Θ Ε Ο Δ Ω Ρ Ο Υ
Γ Ρ Α Μ Μ Α Τ Ι Κ Η Σ
Ε Ι Σ Α Γ Ω Γ Η Σ Τ Ω Ν Ε Ι Σ Τ Ε Σ Σ Α Ρ Α
Ε Ι Σ Τ Ο Τ Ε Τ Α Ρ Τ Ο Ν,

Υ̓πόμνημα, ἐκ Πολλῶν συνερανισθὲν
Υ̓πὸ Νεοφύτου Ἱεροδιακόνου πελαποννησίου,

Καὶ νεῶν πρῶτον Τύποις παρ' αὐτοῦ ἐκδοθὲν ἐπὶ τῆς Θεοσηείκτου Αὐθεντείας τοῦ Υ̓ψηλοτάτου καὶ Θεοσεβεστάτου Ἡγεμόνος
πάσης Οὐγκροβλαχίας,
Κυείου Κυείου

Ι Ω Α Ν Ν Ο Υ
Γ Ρ Η Γ Ο Ρ Ι Ο Υ
Α Λ Ε Ξ Α Ν Δ Ρ Ο Υ

Γκίκα Βοεβόδα.
Ὠ καὶ προσεφωνήθη,

Κατὰ προτροπὴν τοῦ Μακαριωτάτου καὶ Σοφωτάτου Ἱεροσολύμων,
Κ Υ Ρ Ι Ο Υ Ε Υ Φ Ρ Α Ι Μ.

Ἀρχιεράτδύοντος. τοῦ Παναιερωτάτου Μητροπολίτου Οὐγκροβλαχίας,
Κ Υ Ρ Ι Ο Υ Γ Ρ Η Γ Ο Ρ Ι Ο Υ.

Ἐπιμελείᾳ μὲν καὶ Διορθώσει τοῦ ἰδίου Υ̓πομνηματιστοῦ,
Δαπάνῃ δὲ Αὐτοῦτε καὶ τοῦ Παναοσιωτάτου ἐν Ἱερομονάχοις Κυείου Γακώβου
Χίου τοῦ Μαυρογορδάτου,

Ἐκσιωδρομῆς τῶν Φιλοχρίστων καὶ Φιλολόγων Ἀνδρῶν, τῶντε ἐν Χίῳ
καὶ τῶν ἐν Βουκουρεσίῳ,
Ἐντῇ Νεοργηθείσῃ Τυπογραφίᾳ Ἐν Βουκουρεσίῳ. ᾀψξή.



ΤΩ ΥΨΗΛΟΤΑΤΩ ΓΑΛΗΝΟΤΑΤΩ ΤΕ

ΚΑΙ ΘΕΟΣΕΒΕΣΤΑΤΩ ΑΥΘΕΝΤΗ,

ΚΥΡΙΩ ΚΥΡΙΩ

Ἰωάννῃ ΓΡΗΓΟΡΙΩ Ἀλεξάνδρου

Γκίκᾳ Βοεβόδᾳ,

Τῷ Μεγαλοπρεπεστάτῳ Ἡγεμόνι πάσης Οὐγκροβλαχίας.

Σὺ γὰρ δὴ, Κράτιστε καὶ Θεοσεβέστατε Ἡγεμὼν, καὶ Φιλόχριστος εἶ καὶ Φιλόκαλος, ταῖς κατ' ἄμφω ἐμφύτοις μαρμαρυγαῖς οἷά τις λαμπρὸς Ἑωσφόρος, μᾶλλον δὲ ἄλλος Ἥλιος τῶν Πιστῶν καταυγάζων τὸ πλήρωμα. Σὸ με δεῖ καὶ προσαναθέσθαι τὸ τοῦ κοινοῦ Δεσπότου ἀργύριον. ὅπερ τῇ τῶν προειληφότων, οὐκ οἶδ' ὅπως, παροράσει τοῖς τῆς λήθης μυχοῖς πάλαι κατορωρυγμένον, τῷ τῆς σμινύης φιλοπόνῳ ἀνορύξας, προσειργασάμην αὐτὸς, μᾶλλον δὲ οὐκ ἐγὼ, ἀλλ' ἡ Χάρις ἡ τοῦ Θεοῦ λόγῳ μὲν, ἓν τριάκοντα, γραφῇ δὲ, ἓν ἑξήκοντα, Εἴη δὲ καὶ ἓν ἑκατὸν τυπωθὲν ἐπιδοῦναι, τῷ ὑμετέρῳ Ἐκλάμπρῳ Ὀνόματι καταγλαϊζόμενον. τὰ γὰρ δι' Ὑμῶν μάλιστα τελεσφορούμενα, λαμπρὰ τὴν φύσιν τυγχάνοντα, λαμπρότερα τῇ Ὑμετέρᾳ Μεγαλοπρεπείᾳ καθίσταται, καὶ αὐτῶν τῶν Ἡρακλείων στηλῶν μακρῷ ὑψηλότερά τε καὶ περιφανέστερα, οἷά τις ζῶσα καὶ κινουμένη Στηλογραφία πανταχοῦ τε καὶ πᾶσι τὸ τῆς Ὑμετέρας Θεοσεβείας Φιλόκαλον ἀνακηρύττοντα. Δέξαι δὴ, τῶν ἡγεμόνων Θεοσεβέστατε, ἐφ' οἷς οἱ περὶ Εὐγένειόν τε καὶ Νικηφόρον πᾶντα ἄριστοι Ἄνδρες ἐκεῖνοι Ὑμῖν προσανέθεντο, καὶ ἅττα αὐτὸς χερσαίοις τε πόνοις καὶ θαλαττίοις τῶν φιλολόγων χάριν ἐρανισάμενος, κατ' ἐπιταγὴν τοῦ Μακαριωτάτου ἡμῶν Αὐθέντου καὶ Δεσπότου εὐγνωμόνως Ὑμῖν ἀνατίθημι, ἐχομένως

νως φημὶ τῆς Αὐτοκρατορικῆς Βρυεννίου Θεολογίας, καὶ τῆς Δεσποίνης Φιφίας μετὰ τοῦ Λογικοῦ αὐτῆς ὀργάνου καὶ τήν δε τῆς τούτων περικαλλοῦς τε καὶ ἀστείας θεραπαίνης Γραμματικῆς τὴν ξύμμορφόν πως καὶ ἐκ ἀγεννῆ Ἀνάπτυξιν. πρέπον καὶ γὰρ, οὐ μὴν ἀλλὰ καὶ προυργιαίτατον Ὑμῖν δωροφορηθῆναι τῶν καλῶν τὰ τῇ ὑμετέρᾳ, ξὺν Θεῷ δὲ εἰρήσθω, φιλοκάλῳ κηδεμονίᾳ τέλος ἀπειληφότα τὸ κάλλιστον, ὡσὰν ἢ τὰ ἐν τῇ ἀναλήψει ἀλληλουχούμενα, σύνδρομα κἀντῇ προσφωνήσει τῇ πρὸς τὴν ὑμετέραν Θεοσεβεστάτην Ὑψηλότητα. ἐν ᾗ πᾶν ὁ, τιοῦν ἐκ περιουσίας συνέδραμε καλὸν, δαψιλῶς ἐξ αὐτῆς ὑπερεκβλύζον, καὶ μεγαλοπρεπῶς τοῖς πᾶσιν ὑπερεκχυνόμενον, πρὸς μίμησιν τοῦ τῶν Ὅλων Θεοῦ. οὗ τινος ἀνενδεές τε καὶ τέλειον τὸ κατ' Εἰκόνα ἐν ἑαυτῇ χαρακτηρίζουσα ἀποδέδεικται, τῷ τῆς φρονήσεως ἐπιστημονικῷ καὶ ὅπερ ἀρετῆς ἆθλον ἄνωθεν ἐκληρώσατο, ἀρχικὸν σύνδρομον ἔχουσα, κἀντεῦθεν εὐζωΐαν τε καὶ εὐπραγίαν ὅτι πλείστην, καὶ συνόλως τὴν Εὐδαιμονίαν αὐτὴν τοῖς ἀρχομένοις πρυτανεύουσα. ἧς μέρος οὐ τὸ τυχὸν τίθημι καὶ τὸ αὐτοψεὶ ἐν τυχεῖν καὶ τὴν ὀφειλομένην ἀποδοῦναι κατ' ἐντολὴν προσκύνησιν τῇ τῆς ὑμετέρας Γαληνότητος Μεγαλειότητι, οὐχ ἧττον αὐτὸς ἐπὶ τούτῳ σεμνυνόμενος, ἢ ἡ Νότου ἐκείνη Βασίλισσα ἐπὶ τῇ ξυντυχίᾳ τοῦ Σολομῶντος. εἴγ' ὅσον γαλακτοτροφουμένων νηπίων, καὶ τῶν ἐν Χριστῷ τελειουμένων, δὸς εἰπεῖν καὶ τελείων ἀνδρῶν τὸ διάφορον, τοσοῦτον καὶ τῆς ἐκείνου τε καὶ Ὑμῶν ἀρχῆς τὸ παρηλλαγμένον, τά τε ἄλλα καὶ διὰ τὸ τῆς Εὐαγγελικῆς χάριτος πρὸς τὴν Νομικὴν σκιὰν καθ' ὑπεροχὴν ἀσύγκριτον, ἀνυπέρβλητον ἀξίωμα. Ἐν ᾧ δὴ καὶ εἴη τε ἡμῖν, Ἡγεμόνων Θεοσεβέστατε, τῇ κραταιᾷ τοῦ Παντοκράτορος Χειρὶ, καὶ τῷ ὑψηλῷ τοῦ Ὑψίστου Βραχίονι καὶ περιφρουρούμενοι καὶ ἀγόμενοι καὶ ἄγοντες, οὓς ἄγειν ἄνωθεν ἐκληρώσασθε, εἰς δόξαν Θεοῦ τοῦ τοὺς αὐτὸν δοξάζοντας ἀντιδοξάζοντος.

Τῆς Ὑμετέρας Θεοσεβεστάτης Γαληνότητος

Ὑποκλινὴς ἐν πᾶσι καὶ εὐτελὴς Δοῦλος.
Νεόφυτος Ἱεροδιάκονος Πελοποννήσιος.

Ἐπιστολὴ Θεοδώρου τοῦ Γαζῆ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ ἐν Κωνσταντινουπόλει.

Θεόδωρος Ἀνδρονίκῳ καὶ Δημητρίῳ τοῖς ἀδελφοῖς εὖ πράττειν.

Διανοουμένῳ μοι ἐπιστεῖλαι ὑμῖν, ὅπως τὰ περὶ τὴν Βασιλικὴν πρεσβείαν διαπέπρακται, οὐδὲν οὕτως ἔδοξεν ἱκανὸν, ὡς τὸ τὴν τοῦ μεγάλου ἀρχιερέως ἀπόκρισιν μεταφράσαντι, πέμψαι. ἥδε γὰρ τά τε ἄλλα πάντα εὖ μάλα δηλοῖ, καὶ τὴν τοῦ ἀποκρινομένου αὐτοῦ γνώμην, ἣν ἔχει περὶ τῶν ὅλων, φανερώτατα καθίστησι. ταῦτα μὲν οὖν εἴσεσθε, τὴν ἑρμηνευθεῖσαν τήνδε πρὸς τὸν Βασιλέα ἐπιστολὴν ἀναγνόντες. ἐγὼ δὲ θαυμάζω, τί δὴ παθόντες οἱ ἡμέτεροι, σῴζειν μὲν τὰς ἑαυτῶν πόλεις ἀπρονοήτως ἔχουσι, θεολογοῦντες δὲ καὶ διαφερόμενοι ἰταλοῖς πάντα τὸν χρόνον διατελοῦσι, καὶ ταῦτα ὑπὲρ δόγματος, οὗ χάριν ἄμφω συνελθόντα τὰ μέρη, καὶ διαλεξάμενα ἱκανῶς, διετάξατο ὅ, τι δεῖ λέγειν τε καὶ δοξάζειν. ἢ τὰ περὶ τὰς πόλεις ἀκινδύνως ἔχειν οἰόμενοι, ἀπολαύειν τῆς παρούσης ἡσυχίας εἰς νεωτερισμὸν δόξης τοιαύτης, καὶ θεωρίαν περιττοτέραν ἐθέλουσιν; ἀλλὰ βουλοίμην μὲν εἶναι ταῦτα, ἵν', εἰ καὶ πρὸς οὐδὲν ὄφελος θεολογοῦντες ἐτύγχανον, ἀκινδύνως γοῦν τὸ Πνᾶ προέχῃ τοῦ Πρ̃ς. δέδοικα δὲ μὴ ἐπὶ ἁλώσει πόλεων τῶν ὑπολοίπων αὐτῶν, καὶ ἀνδραποδισμῷ γυναικῶν τε καὶ παίδων θεολογῶσι, καὶ τῇ Ῥωμαίων ἐκκλησίᾳ ὑπεναντία γράφωσιν. ὁπότε γάρ τοι βοήθειαν, ἣν μόνην παρὰ τῆς ἐκκλησίας καὶ τῶν περὶ αὐτὴν Εὐρωπαίων γενῶν λαβεῖν ἔχουσιν, ἑκόντες διαφθείρουσί τε καὶ ἀποκρούονται, τί ἄλλο, ἢ παντελῆ χρὴ ἀφανισμὸν προσδοκᾶν, ἤτοι παρὰ τῶν ὁμόρων αὐτῶν βαρβάρων. ἐχθρῶν ἀεὶ ὄντων, ἢ παρὰ τῶν γενῶν τούτων; ἃ κοινὴν σφῶν ἀτιμίαν ἡγούμενα τὸ τοὺς Ἕλληνας μὴ ἐμμένειν, οἷς ξυνέθεντό τε καὶ ὡμολόγησαν, δῆλον ὅτι ἐπὶ τοὺς ἀτιμάζοντας αὐτοὺς κινηθήσεται; ὃ δὴ καὶ ἡ τοῦ ἀρχιερέως ἐπιστολὴ γενήσεσθαι λέγει σαφῶς, εἰ μὴ μεταβαλόντες Ἕλληνες, τὰ ἀμείνω προέλοιντο. ὑμεῖς οὖν διὰ ταῦτα, ᾗ δὴ τυγχάνετε, ὀρθῶς περὶ τῶν τοιούτων λογιζόμενοι καὶ σκοποῦντες, ταύτῃ ἀεὶ λογίζεσθε, καὶ τοῖς ἄλλοις ἅπασι ξυμβουλεύετε, παύσασθαι μὲν ἔριδος, καὶ ἀχρησίμου θεολογίας, ὁμοιοῦντας δὲ τῇ ῥωμαίων ἐκκλησίᾳ, πράττειν ὅπως συμμασίᾳ τοὺς Βαρβάρους ἐξελάσαντες, τὰς ἑαυτῶν ἀνακτήσωνται πόλεις. νῦν γὰρ, εἴπερ ποτε, καιρὸς τοῦ τοιούτου. ἄρχει καὶ γὰρ τῆς ἐκκλησίας ἀνὴρ, μέγα τι ἀεὶ διανοούμενός τε καὶ πράττων. ὀξὺς δὲ τὰ δέοντα συνιδεῖν καὶ δεινὸς ἐξηγήσασθαι. ζηλωτὴς εὖ μάλα τῆς τῶν πάλαι Ῥωμαίων ἀρετῆς τε καὶ πράξεως. Φιλέλλην οὕτως, ὡς ἐὰν μόνον τὰ περὶ θρησκείας ὡμονοηκότας θεάσηται, πάντα ποιήσει εὐθὺς, ἐφ' ᾧ τὰς Ἑλληνίδας πόλεις ἐλευθερῶσαι, καὶ εὐτυχίαν τε καὶ ἀκμὴν παρασχέσθαι ταντὶ τῷ Ἑλληνικῷ. ὥστε ἢν μὴ τάχιστα βουλευσάμενοι ἄμεινον οἱ ἡμέτεροι, τῷ βελτίστῳ τούτῳ μεγάλῳ ἀρχιερεῖ σφὰς αὐτοὺς εὐπειθεῖς καὶ συμφωνοῦντας παράσχωσι, δικαιότατ' ἂν παρ' οὐδενὸς ἐλέου τυγχάνοιεν οὐδενὸς, ἐπειδὰν ὦσι τὰ δεινότατα πεπονθότες. ἔρρωσθε. „ Ἐν ῥώμῃ Νοεμβ. Μηνὶ τοῦ αὐνα, ἔτους.

Βησσαρίων Καρδηνάλης Μηχαήλῳ τῷ ἀποστόλῃ.

Ἀφίκετο ὡς ἡμᾶς βραδύτερον μὲν, ἢ αὐτὸς ᾤου, μᾶλλον δ' ἐπεξειργασμένα, ἃ κατὰ Θεοδώρου τοῦ γαζῆ Πλήθωνι συνιστάμενος, συνέγραψας. Ἀνδρόνικος γὰρ ὁ Καλλίστου, πρότερον αὐτὰ ἐξητακώς τε καὶ διακωδωνίσας, οὕτως αὐτά τε καὶ τὰ ἑαυτοῦ ἡμῖν πέπομφε. τὴν μὲν

οὖν ὁρμὴν

οὖν ὁρμήν σου, καὶ ὅτι Πλάτωνί τε καὶ τοῖς περὶ ἐκεῖνον εὐνοϊκῶς ἔχεις, ἠγάσθημεν, τὸν δὲ τῆς συνηγορίας τρόπον οὐκ ἐπῃνέσαμεν. οὐ γὰρ λοιδορίαις τοῦ ἀντιδίκου, ἀλλ' ἀποδείξεσι καὶ λογικαῖς ἀνάγκαις τῷ τε φίλῳ συνηγορητέον, τόν τ' ἐχθρὸν ἀμυντέον. ὥστε καὶ εἴτι Πλήθων Ἀριστοτέλῃ προεπηλάκισεν, εἴτέ τι Θεόδωρος Πλήθωνα, εἴτι σὺ Θεόδωρον κακῶς εἴρηκας, πάντα ἡμῖν παρὰ τὸ δέον τε καὶ εἰκὸς εἰρημένα δοκεῖ. οὔτε γὰρ Ἀριστοτέλης, οἷος λοιδορεῖσθαι, τοσούτων ἡμῖν ἀγαθῶν ὑπάρξας, οὔτε πλήθων, σοφός τε καὶ μεγάλης τῷόντι εὐφυΐας ἀνὴρ, εἰ μή που τις εἴποι τὸ λοιδοριῶν ἄρξαι, καὶ τοῖς ἀμυνομένοις συγγνώμην τινὰ παρασχεῖν. Θεόδωρός τε τῶν νῦν ἑλλήνων ἐν τοῖς πρώτοις ὤν, ἥκιστα κακῶς ἀκούειν παρὰ σοῦ ἄξιος, καὶ ταῦτα νέου τε ἔτι ὄντος, ἤδη πρεσβύτης, καὶ μήπω λογικῶν ἀποδείξεων καὶ ἐπιστημῶν κατὰ τρόπον ἡμμένου, διὰ πάσης ἥκων σοφίας τε καὶ ἐπιστήμης ἀνήρ. καὶ μάλιστα ὅτε περὶ τοιούτων ἐστὶ θεωρημάτων ἡ ζήτησις, ἅπερ ἅτε δὴ μάλιστα τὸν ἐν πάσῃ σοφίᾳ ὄντα, τήν τε τῶν πολλῶν ἕξιν ἀνάγκη, καὶ μὴ εἶναι περὶ τούτων, ἢ εἰπεῖν, ἤτι γοῦν ἀκριβῶς ἐννοῆσαι, μὴ πολλὰ περὶ τὴν σοφίαν πονήσαντα, καὶ τὰς ἐπιστήμας ἀκριβωσάμενον. ἠχθέσθην μὲν οὖν Θεόδωρον ὑπὸ σοῦ ἀμαθείας ἐγκεκλημένον. τὸ δὲ καὶ Ἀριστοτέλη αὐτὸν πάσης ἡμῖν ἐπιστήμης καθηγεμόνα ταὐτὸ τοῦτο παθεῖν, ἀμαθῆ τε, καὶ κακοήθη, καὶ λῆρον ἀχάριστόν τε ὑπὸ σοῦ κληθῆναι, φεῦ, πᾶσαν ὑπερβαίνειν ἔδοξέ μοι θρασύτητά τε καὶ τόλμην. μόλις ἀκούω, μᾶλλον δ' οὐδ' ἀκούειν ἀνέχομαι αὐτοῦ Πλήθωνος ἀνδρὸς τοιούτου, τοιαῦτα εἰς Ἀριστοτέλη ἀπορρίπτοντος, μήτοι γε σοῦ, μήπω μηδὲν περὶ τῶν γε τοιούτων ἠκριβωκότος. εἴτι οὖν ἐμοὶ πείθῃ, καὶ Πλάτωνα καὶ Ἀριστοτέλη σοφωτάτους ἡγούμενος, κατ' ἴχνος τε τούτοις ἑπόμενος, ἑκάτερον ἡγεμόνα σεαυτοῦ ποιοῦ, σχολῇ τε καὶ μελέτῃ διδασκάλοις τε, οἷς ἄξιον, χρώμενος, πρῶτον μὲν συνιέναι τοῦ βάθους τῶν ὑπ' αὐτῶν εἰρημένων σπούδασον. οὐδὲ γὰρ πᾶσι τοῖς βουλομένοις εὔληπτα λέγουσι τὼ ἄνδρε. ἔπειτα καὶ εἴτι διαφέρεσθον, οὐκ ἀμαθείας, ἄπαγε, ἀλλὰ τῆς μεγάλης αὐτοῖς περὶ λόγους καὶ ἕξεως καὶ τῆς τῶν ζητημάτων διὰ τὸ ἄδηλόν τε αὐτῶν καὶ μὴ σαφὲς ἐπ' ἀμφότερα ῥοπῆς σημεῖον ποιούμενος, θαύμασον τὴν ἐκείνων σοφίαν. ἀμφοῖν δὲ χάριτας ὁμολόγει, ὧν ἡμῖν ἀγαθῶν γεγένοιντο αἴτιοι. οὕτω γὰρ ποιῶν, σαυτῷ τε τὰ βελτίω βουλεύσῃ, ἐμοί τε χάριν καὶ πᾶσι τοῖς εὖ φρονοῦσιν. ὡς νῦν γε χαριεῖσθαι νομίζων, σφόδρα ἐλύπησας. τὸ μὲν, ὅτι ἄνδρας ἀναξίους ὑβρίζεσθαι, οὕτως ἀπερικαλύπτως ἐλοιδόρησας. τὸ δ', ὅτι καὶ σαυτὸν ἔδειξας μὴ πάνυ τοι τὰ ἐκείνων ἠσκημένον. Θεόδωρόν τε τὰ βελτίω ποιῶν, τίμα τε καὶ διδασκάλῳ χρῷ, ἔστι γὰρ, οἷος καὶ σὲ καὶ πολλοὺς ἑτέρους ὠφελεῖν δύναθαι. ἐμὲ δὲ, ἵνα μὴ καὶ αὖθις πλανηθεὶς, δόξῃς μοι, τοιαῦτα εἰς τοιούτους γε λέγων ἄνδρας, χαρίζεσθαι, φιλοῦντα μὲν ἴσθι Πλάτωνα, φιλοῦντα δ' Ἀριστοτέλη, καὶ ὡς σοφωτάτω σεβόμενον ἑκατέρω, Πλήθωνά τε τῆς μεγαλονοίας καὶ εὐφυΐας ἀγάμενον, τῆς τοσαύτης πρὸς Ἀριστοτέλη μάχης τε καὶ δυσνοίας μὴ ἐπαινεῖν. βουλοίμην γὰρ ἂν ἐκεῖνόν τε Θεόδωρον τούς τε ἄλλους, εἴτε τοῖν δυοῖν μεγίστοιν φιλοσόφοιν τούτοιν, εἴτε αὐτῷ Πλήθωνι, καὶ ὁποιοισδήποτε ἄλλοις μετὰ τοσαύτης ἀπαντᾶν εὐσεβείας, μεθ' ὅσης Ἀριστοτέλης ἀντεῖπε τοῖς πρὸ αὐτοῦ. ὃς λόγοις ἀεὶ, καὶ ὡς ἐπιτοπολὺ παραιτούμενος τούς τε ἀκούοντας, οὕς τε εὐθύνει, ἀποδεικνὺς τὸ προκείμενον, τῶν λοιδοριῶν ἀπέσχετο. ὅτε δὲ καὶ σφοδρότερον καταφέρεται, καὶ τότε φυλάττει τὸ μέτριον. ,, τὰ δὲ Εἴδη φησὶ, χαιρέτω. τερετίσματά τε γάρ εἰσι, καὶ εἰ εἰσὶν, οὐδὲν πρὸς τὸν λόγον. ,, καὶ αὖθις, οὐχ ἥψαντο διαλεκτικῆς οἱ ἄνδρες, περί τινων ἄλλων λέγων. οὗτος ὁ τῶν λοιδοριῶν αὐτοῦ κολοφών. ἡμεῖς δὲ ἀνθρωπίσκοι, ἢ πίθηκοί τινες πρὸς ἐκείνους, ἥρωας ὄντας, τολμήσομεν αὐτοὺς, φεῦ, ἀμαθεῖς λέγειν, καὶ τὰ ἐξ ἀμαξῶν σκώπτειν, μᾶλλον ἢ ἡ κωμῳδία τοὺς

διέφθαρται ὧδε.

δία τοὺς περὶ Κλέονά τε καὶ Ὑπέρβολον; τίνες ὄντες; ποίαν γνῶσιν; ποίαν τῶν ὄντων ἔχοντες ἐπιστήμην; μωρία ταῦτα καὶ μανία τῷόντι σαφής. μηδὲ γὰρ οἴου, ὦ βέλτιστε, ὡς εἴτε Πλήθωνι σοφῷ τε καὶ γενναίῳ ἀνδρὶ, εἴτε Πλωτίνῳ, Ἀττικῷ τε, καὶ Πορφυρίῳ, εἴτε ἄλλῳ τῳ τῶν ὁμοίων, Πλάτωνά τε καὶ Ἀριστοτέλη πνέουσιν, ἐξεγένετο Ἀριστοτέλη καὶ Πλάτωνα εὐθῦναί τε ἔστιν ὅπου καὶ βλασφημῆσαι, καὶ ἡμῖν ἐξεῖναι ταὐτό. ἐκείνοις μὲν γὰρ καὶ τῷ ἢ κατ' αὐτοὺς, ἢ οὐ πολύ μετ' ἐκείνους γενέσθαι τῷ χρόνῳ, τῷ τε συνεχεῖς τότε καὶ οὐχ ἧττον ἐριστικὰς γίνεσθαι τὰς διαλέξεις, τῷ τε μήπω τὸν φθόνον ἀπομαρανθῆναι, τῷ τε πάσῃ κεκοσμῆσθαι σοφίᾳ, μέγα πρὸς παραιτήσεως λόγον, ἡμῖν δὲ καὶ τοσούτῳ λειπομένοις ἐκείνων, καὶ τοιοῦτόν τε καὶ τοσοῦτον ἤδη τῷ τε μακρῷ χρόνῳ, τῇ τε κοινῇ πάντων δοκιμασίᾳ, καὶ ψήφῳ χόντων ἀξίωμα, συγγνώμη λείπεται οὐδεμία. ἅτε οὖν Ἀριστοτέλη τε παρὰ πᾶν τὸ εἰκὸς λοιδορήσας, τῷ τε Πλήθωνι μηδαμῇ συνειπὼν, οὐδὲ γὰρ τοιούτων αὐτῷ πρὸς συνηγορίαν δεῖ λόγων, Θεόδωρόν τε ἄνδρα σοφὸν, οὐκ ἐν δίκῃ κακῶς εἰπὼν, ἡμῖν τε οὐ μόνον οὐ πρὸς χάριν οὐδὲν, ἀλλὰ καὶ σφόδρα ἄχαρι πρᾶγμα ποιήσας, ᾆσον παλινῳδίαν, ἐμοὶ συμβούλῳ χρησάμενος, ἀνδρὶ φιλοῦντί σε καὶ τὰ βελτίω βουλομένῳ τέ σοι, καὶ συνευχομένῳ, καὶ τὰς ἀδίκους λοιδορίας ἐκείνας ἐπαίνοις τε καὶ εὐφημίαις ἀπόκλυσον. Ἀνδρονίκου τε τὰ πρὸς τὰς σὰς ἀντιρρήσεις σὺν νῷ τε καὶ καθεστηκότι φρονήματι ἐπιὼν, τήν τε τῶν λόγων ἀλήθειαν αὐτοῦ αἰδέσθητι, καὶ κατ' ἐκεῖνον περί τε Γραμματικὴν καὶ Ὀρθογραφίαν καὶ Κυριολογίαν τῶν λέξεων περί τε Ῥητορικὴν, καὶ τὸ εἰδέναι ὀρθῶς τε καὶ μετὰ κάλλους συντιθέναι πρῶτα σχολάσας ἱκανῶς, εἶθ' οὕτω καὶ τῶν μειζόνων ἐπίβαινε, καὶ σοφίας αὐτῆς. εὖ πράττοις, καὶ φιλοῦντος παραίνεσιν τὰ εἰρημένα ἡγησάμενος, ἕποιο τῇ συμβουλῇ. Ἐν βιτέρβῳ.

Ἀγγέλου τοῦ πολιτιανοῦ Ἐπίγραμμα εἰς Θεόδωρον τὸν Γαζῆν.

Κεῖτο μέγας πότ' ἀγὼν Γαζῆ Θεοδώροιο ἀμφὶ
Μούσαις τ' Αὐσονίαις, ἠδ' ἑλικωνιάσι.
Ταῖς μὲν γὰρ, γενεὴν, ταῖς δ' αὖ θρεπτήρι' ὄφειλεν.
Ἑλλὰς γὰρ τέκε τόν γ', Αὐσονίη δ' ἔτραφεν.
Ἶσον δ' ἀμφοτέρων σοφίῃ γλώττῃτ' ἐκέκαστο.
τὸν, οὔτ' αὐτὸς ζῶν, οὔτ' ἄρ' ἔκρινε, θανὼν,
Ἀλλὰ καὶ Ἰταλίης μεγάλῃ ἔπι Ἑλλάδι κεῖσθαι
εἵλετο, ὄφρα κλέος ξυνὸν ᾖ ἀμφοτέραις,

Ὡς ἀπὸ τῆς βίβλου πρὸς τὸν Ἀναγινώσκοντα.

Χείρεσι μή με λάβῃς, ἀποδείξιος ὢν ἀμύητος.
Γραμματικὴν γὰρ ἐγὼ λογίους διδάω, ἰδὲ Ῥήτρας,
συνθέσιός τε λόγους. οὕς ῥα τέκε, δείξι μιγείς μοι,
ἠδ' ἐξηγήσει πυκινῇ Θεόδωρος ὁ Γαζῆς.

Ἐκ τῶν περὶ τὸ εἰς τὸν Θεόδωρον ὑπόμνημα κριτικῶν ἐπιστάσεων Εὐγενείου τοῦ Βούλγαρι.

Μηδὲν ἄτοπον πάσχειν τοὺς δι' ἀπειρίαν, ἢ γνώμης μοχθηρίαν τῶν σπουδαιοτάτων καταγελῶντας, φησὶν, (ὁ Σχολιαστής.) εἶτα τὸ ἀκόλουθον κατασκευάζει, φέρων τὸ τετριμμένον. οὗ γάρ τις τὴν γνῶσιν ἀφῄρηται, τούτου κατηγορεῖ προχειρότατα. τοῦτ' ἀλλ' οὖν ἐπὶ μὲν τῶν δι' ἀπειρίαν ἐν γέλωτι τιθεμένων τὰ σπουδαῖα, ὀρθῶς ἂν αἰτιολογοῖτο, ἐπὶ δὲ τῶν διὰ γνώμης μοχθηρίαν, οὔ. συ δέ μοι κἀκεῖνο σκόπει, εἰ καλῶς ᾠκονόμηται. τὸ τοῦ Θεοδώρου βιβλίον, φησὶ, κολυμβητοῦ τινος Δηλίου ἐστὶ δεόμενον. δι' ὃ καὶ ἐγκρίνει αὐτὸ καὶ ἀποδέχεται τῆς ἀσαφείας. τὸ γὰρ εὔληπτόν φησιν, εὐκαταφρόνητον. τὸ δὲ δύσληπτον, καὶ περισπούδαστον εἶναι πέφυκεν. ἐμοὶ δὲ δοκεῖ, (ἐρῶ γὰρ καὶ περὶ τούτου τὸ παριστάμενον,) ὡς μάτην ἄν τις καὶ παρὰ λόγον ἐπὶ τούτῳ ἀσαφῆ γράφειν σπουδάσειεν. ἢ γάρ τοι οἱ τῷ συγγράμματι ἐντευξόμενοι, τῶν εὐγνωμόνων ὄντες, τῇ τοῦ λόγου σαφηνείᾳ μᾶλλον ἡσθήσονται καὶ χάριτας οἴσονται, ἢ τῶν μοχθηρῶν ἐκείνων καὶ ἀγνωμόνων τυχόντες μωμοσκόπων ἀνδρῶν, οὐδὲν ἧττον ἐκφαυλίζειν τὰ προτιθέμενα σφίσιν ἕτοιμοι ἔσονται καὶ ταχεῖς, κἂν ἐκ τῆς Ἀριστοτέλους δεινότητος αὐτοῖς, ἢ ἐκ τοῦ καθ' Ἡράκλειτον σκότους, ἢ ἐκ τῶν ἀδύτων τοῦ Πλάτωνος ᾖ τις διαλεγόμενος. ἔδει τοίνυν μηδὲ προσέχειν ὅλως τῇ τούτων κακοηθείᾳ, μηδὲ διὰ τούτους τοῖς ἐπιεικεστέροις τὸν τρόπον παρέχειν πράγματα. ὁ δὲ Σχολιαστὴς ἄλλως κρίνας τὴν, ἥν περ θαυμάσας ἔσχε δεινότητα τοῦ Θεοδώρου, προέθετο καὶ μιμήσασθαι, ἴσως δὲ καὶ ὑπερβαλεῖν. δι' ὃ καὶ πολλοῖς ἐστιν ἐντυχεῖν τῶν ὑπομνηματισμῶν τῶν ἐκείνου ἀσαφεστέροις καὶ αὐτοῦ τοῦ ὕφους οὖσιν, ὃ δὴ ἐξηγήσεσθαι ἐπαγγέλλεται. καὶ πρῶβη ἡμῖν ἄρα κατὰ τὴν δὶς διὰ πασῶν συμφωνίαν, ὡς οἱ ἁρμονικοί φασιν, εἰς ὑπερβολὴν ὀξυνθὲν τὸ σπούδασμα, ἐκ τοῦ δεινοῦ Ἀπολλωνίου διὰ τοῦ δεινοτέρου Γαζῆ ἐπὶ τὸν δεινότατον τούτου Ἐξηγητὴν μετεωρισθὲν, ὡς μηκέτι Δηλίου δεῖσθαι κολυμβητοῦ, τὸ εἰρημένον, Δελφῖνος δὲ αὐτόχρημά τινος, εἰ μέλλοι δι' αὐτοῦ νήξεσθαι. Ὠκεανὸς γὰρ ἄντικρυς ἐκ πολλῶν θαλασσῶν συνέστη, ἀβύσσου ἄβυσσον ἐπικαλεσαμένης. κτ'.

Εὐγενείῳ Ἱεροδιακόνῳ Κερκυραίῳ τῷ Βούλγαρι, Νεόφυτος Ἱεροδιάκονος Πολεποννήσιος ὁ ἐξ Ἑβραίων.

Παιδίσκη Γραμματικὴ Φίφῳ ξυμφθαρεῖσα δεσπότῃ, τέκνα τε αὐτῷ χαρίεντα τέτοκε, καὶ εἰς δεσποτείαν μικροῦ τὰ τῆς τύχης μετήμειψε. περιαλγήσασα δ' ἐπὶ τούτῳ ζηλοτύπως Φῖφία ἡ δέσποινα, τὴν μὲν, ἀπεπέμψατο τῶν ἀνακτόρων, αὐτὴ δ' ἀγεννέσι καὶ ἐκδεδιῃτημέναις ἐξυπηρετουμένη, μᾶλλον δὲ ξυνδιαιτωμένη θεραπαινίσιν, εἰς τὴν αὐτῶν μικροῦ δεῖν διαμόχθηρον ἕξιν μετέβαλε, βαρβαρίζουσα τὰ πολλὰ, καὶ τὴν πρῷαν φωνὴν ἐκμελῆ καθιστῶσα καὶ σόλοικον. τὰ δὴ τῆς παιδίσκης ἔκγονα εἰς παῖδάς τε παραγγείλαντα, καὶ ἰδίαν αἰσχύνην τὴν τῆς μητρυιᾶς διαφθορὰν τιθέμενα, προσίασι δι' ἐμοῦ τῷ Πρὶ, σοὶ λέγω τῷ τῶν Φίφων Ὑπάτῳ, προϊσχόμενά τε τὸ προσῆκον, ἔνθα μὲν, τὸ καθ' αἷμα, ἔνθα δὲ, τὸ τῆς ἀγχιστείας, καὶ τὴν

στείας, καὶ τὴν τῆς δεσποίνης, δὸς εἰπεῖν καὶ μητρὸς θεραπείαν αὐτὰ ἀναλήψεσθαι ὑπισχνούμενα. ἐπιγνοὺς οὖν αὐτὰ ἐκ τῆς ἐπανθούσης αὐτοῖς πρὸς σὲ ὁμοιότητος, ἐγκόλπωσαί τε ἀναλαβὼν, καὶ τῇ συμνάῳ Φιφίᾳ εἰσποίησαι, μακρὰν ἀπελάσας τὰς ἀναγώγους ἐκείνας θεραπαινίδας. Ἐπὶ δὲ τῷ χωρικῶς ἐστάλθαι αὐτὰ μηδὲν ἀηδὲς πάθῃς. αὐτοὶ μὲν γὰρ ἐν αἷς ἔχομεν τοῦ Ἄθω ἐσχατιαῖς, γυμνοῖς περιτυχόντες αὐτοῖς, λιτότητι περιβολῆς, ὡς ἐνῆν, τὴν τούτων περιεστείλαμεν γύμνωσιν, δεινὸν ποιησάμενοι, εἴγε περιορῶντες ἐκεῖνα φαινοίμεθα, ὧν τῇ μητρὶ ἁλῶν τε καὶ ἑστίας διὰ βίου κοινωνοῦντες οὐ διελείπομεν, σὸν δ' ἂν εἴη ἀνθηρᾷ τε καὶ περιρρεούσῃ ἐσθῆτι κοσμήσαντα τὰ σαυτοῦ, τοῖς πᾶσι καταστῆσαι ἐπίφθονα.

ᾳ ψνή. Γαμηλιῶνος ζ', μεσοῦντος.

Τοῖς ἐντευξομένοις,

Θεόδωρος ὁ Γαζῆς τὸ μὲν γένος ἦν Θεσσαλονικεὺς κατά τε Ἄγγλον τὸν κρεϋγθώνιον ἐν τῷ προλόγῳ τῆς ἱστορίας τοῦ ἐν φλορεντίᾳ συλλόγου, καὶ Ἄγγελον τὸν πολιτιανὸν ἐν ἐπιγράμματι τῷ εἰς αὐτὸν, καὶ αὐτὸν τοῦτον οὕτως ἐπιγραφόμενον ἔν τε τῇ πρὸς Ἀλφόνσον τὸν βασιλέα προσφωνητικῇ αὐτοῦ ἐπιστολῇ, κἀν τῇ εἰς τὴν λατινίδα φωνὴν μεταφράσει τῶν πρὸς ἀνομοίους λόγων τοῦ θείου Χρυσοστόμου. ἐγένετο δὲ ἐπὶ τριῶν τῶν ἐσχάτων Παλαιολόγων, καὶ τῶν ἐφεξῆς ἐν τῇ Βασιλίδι τῶν πόλεων Πριαρχευσάντων Ἀντωνίου τε καὶ Καλλίστου καὶ Εὐθυμίου καὶ Ἰωσὴφ καὶ Γρηγορίου, ἢ εἴ τις ἄλλος ὁ τὸν Ἰωσὴφ ἐκεῖνον διαδεξάμενος. τὸ δὲ πολίτευμα ἰταλὸς, ἐν τῇ τῶν ἰταλῶν παροικήσας κατὰ τὸ ἀπὸ Θεογονίας χιλιοστὸν τε τρακοσιοστὸν ἔτος κατὰ Φρέερον τὸν χρονολόγον, ἐπὶ Μανουὴλ τοῦ ἐκ τῶν Παλαιολόγων δευτέρου καὶ Ἀντωνίου, τοῦ μὲν, τοὺς τῆς ἐκκλησίας οἴακας, τοῦ δὲ, τὰ τῆς βασιλείας σκῆπτρα διέποντες. ἔνθα καὶ παρέτεινε μέχρι τοῦ χιλιοστοῦ πεντακοσιοστοῦ τριάκοντα δεόντων. ἐν ᾧ καὶ τὰ περὶ τῶν μηνῶν φαίνεται πραγματευσάμενος, ἑκατοντούτης που, ὡς ἔστιν εἰκάσαι, γεγονὼς, καί τις τῶν μακροβίων. εἰκὸς γὰρ, οἷα ἄνδρα εἰς τοσοῦτον ἐλάσαντα παιδείας, κατὰ τὰς περὶ αὐτοῦ τῶν σοφῶν ἑλλήνων τε καὶ λατίνων ἀμφιλαφεῖς μαρτυρίας, τριακοντούτη που τὴν ἀποικίαν ποιήσασθαι. τὸ δὲ δόγμα ὁποῖός τις ἦν, ἥτε Νικολάου τοῦ ε', πρὸς Κωνσταντῖνον τὸν αὐτοκράτορα περιφερομένη ἐπιστολὴ, ἣν αὐτὸς ἐκ τῆς λατινίδος φωνῆς ἐξελλήνισε, διαβεβαιοῖ, καὶ ἡ αὐτοῦ τούτου ἀπὸ ῥώμης πρὸς τοὺς ἐν κωνσταντινουπόλει αὐταδέλφους Ἀνδρόνικον καὶ Δημήτριον. ἐν ᾗ δῆλός ἐστι παραινῶν τε τοῖς ἕλλησι παύσασθαι μὲν ἔριδος καὶ ἀχρησί μου φησὶ, Θεολογίας, ὁμονοοῦντας δὲ τῇ ῥωμαίων ἐκκλησίᾳ, πράττειν ὅπως ξυμμαχίᾳ τοὺς βαρβάρους ἐξελάσαντες, τὰς σφῶν αὐτῶν ἀνακτήσωνται πόλεις. καὶ συγκατατιθέμενος τοῖς ἰταλοῖς ἐν
,, τῷ λέγειν, ἐγὼ δὲ θαυμάζω, τί δὴ παθόντες οἱ ἡμέτεροι, σῴζειν μὲν τὰς ἑαυτῶν πό-
,, λεις ἀπρονοήτως ἔχουσι, θεολογοῦντες δὲ καὶ διαφερόμενοι ἰταλοῖς πάντα τὸν χρόνον δια-
,, τελοῦσι, καὶ ταῦτα ὑπὲρ δόγματος, οὗ χάριν ἄμφω συνελθόντα τὰ μέρη, καὶ διαλεξά-
,, μενα ἱκανῶς, διετάξαντο ὅ, τι χρὴ λέγειν τε καὶ δοξάζειν. τοιοῦτος μὲν δὴ τό, τε γένος καὶ τὸ πολίτευμα καὶ τὸ σέβας ὁ ἀνὴρ, τῶν δὲ ταῖς τούτου γραικολατινικαῖς μεταφράσεσιν, ἔτι μὴν καὶ τῇ ἐς δεῦρο περιφερομένῃ ἐπεξιόντων πραγματείᾳ περί τε συντάξεως τῶν Γραμματικῶν καὶ τῆς τῶν μηνῶν χρήσεώς τε καὶ τάξεως τῆς καθ' ἕλληνας, οὐδένα, οἶμαι, τὸν ἀντε-

ροῦντα

ροῦντα μὴ οὐχὶ ἑκατέραν ἠκριβωκέναι παιδείαν τὸν πολὺν τοῦτον Θεόδωρον. μηδὲ γὰρ μόνον τῆς κατὰ τὸν ἕλληνα λόγον ἐπιστήμης ἐς ἄκρον σπουδαστὴν καταστῆναι, γραμματικὴν φημι ἀκρίβειαν, δεινότητά τε τὴν κατὰ ῥήτορας καὶ τὸ σεμνὸν τῆς φιφίας διὰ πάσης ποιησάμενον τῆς μελέτης, ἀλλὰ δὴ καὶ τῆς λατινίδος φωνῆς εὔρωστον θιασώτην, ζακόρως περὶ τὴν ἀμφοῖν τῶν γλωσσῶν τράπεζαν ἐκβακχεύσαντα, ὡς ἥτε περὶ Ζῴων ἱστορίας τοῦ Ἀριστοτέλους ἐπὶ τὸ λατινικὸν, καὶ ἡ τῶν τοῦ Κικέρωνος περὶ γήρως ἐπὶ τὸ Ἑλληνικὸν ὑπ' αὐτοῦ γενομένη μετάφρασις παρίστησι. περὶ ὧν εἰπεῖν οὐ ῥᾴδιον, ὡς ἔφησέ τις, πότερος ἡδίων τῇ φωνῇ, Κικέρων κατὰ Ἀριστοτέλη ἑλληνίζων, ἢ Ἀριστοτέλης κατὰ Κικέρωνα λατινίζων. οἷς τὸν ἐγκύπτοντα, μαθεῖν ἔξεστι τό, τε πολυμαθὲς τοῦ ἀνδρὸς, ὡς ἐξ ὄνυχος τὸν λέοντα τεκμαιρόμενον, καὶ τὸ ἐς ὑπερβολὴν διαφέρον τῇ ἀττικῇ εὐγλωττίᾳ τε καὶ κομψότητι μετὰ τοῦ μεγαλοπρεποῦς ἤθους. τούτου τὴν τῆς σοφίας περιουσίαν καὶ Βησσαρίων ὁ γαρδηνάλης ἐκεῖνος ἱκανῶς παρίστησιν, ἐν οἷς πρὸς Μηχαῆλόν τινα βυζάντιον, Πλήθωνι μὲν πλατωνίζοντι συνηγοροῦντα, κατὰ δὲ τοῦ Θεοδώρου ὡς Ἀριστοτελικοῦ συγγεγραφότα πρὸς Πλήθωνα διαφερομένου, ἐπιστέλλων ἀπὸ οὐϊτερβίου, εἴτ' οὖν βιτέρβου, (πόλις δὲ αὕτη κατὰ τὸ Κίμινον ὄρος κειμένη. ἣ πρότερον οὐετουλανία ἐκαλεῖτο, ὡσεὶ τ', σταδίους τῆς ῥώμης ἀπέχουσα.) ἐπιτιμᾷ οἷ. σφόδρα τε ἀχθεσθεὶς ἐφ' οἷς ἐκεῖνος οὐκ ἐνδίκῃ κακῶς εἰπὼν τὸν Θεόδωρον, τῶν ἐφ' ἑαυτοῦ ἑλλήνων ἐν τοῖς πρώτοις τελοῦντα, οὕτως ἀπερικαλύπτως ἐλοιδόρησεν, ἄνδρα διὰ πάσης φησὶν, ἥκοντα σοφίας καὶ ἐπιστήμης, παραινεῖ τὰ βελτίω ποιοῦντι, τιμᾶν τε Θεόδωρον καὶ διδασκάλῳ χρῆσθαι, παλινῳδίαν ᾄσαντα. ἔστι γάρ φησιν, οἷος καὶ σὲ καὶ πολλοὺς ἄλλους ὠφελεῖν δύνασθαι. πάρεστι δὲ τὴν τοῦ ἀνδρὸς ξυμβαλεῖν περίνοιαν οὐδὲν ἧττον κἀκτῆς γραμματικῆς μεθόδου. ὧν εἰς δ', μέρη διειληφὼς, ἕκαστον μὲν, μάλιστα δὲ τὸ δ', κάλλιστά τε καὶ ἐλλογιμώτατα, εἴπέρ τις ἄλλος τῶν καθ' ἡμᾶς, ἐξέθετο καὶ τῶν πώποτε, τὰ πολλὰ μὲν ἐκ τῶν ἀρχαίων γραμματικῶν, οὐκ ὀλίγα δὲ κἀκτῶν τοῦ δεινοῦ Ἀπολλωνίου ἀπανθισάμενος, καὶ τὰ παρ' αὐτῷ τε καὶ τῶν παλαιῶν ἑκάστοις ἐξαίρετα ἀκριβέστερον ἐν τοῖς ἑαυτοῦ λόγοις οὕτω τοι ἐντέχνως συγκερασάμενος, ὥστε μὴ δοκεῖν κατὰ ζῆλον ἐκείνων συναγαγεῖν, ἀλλ' αὐτὸς ἐξ ἑαυτοῦ γενέσθαι ἀρχέτυπον γραμματικῆς ἄγαλμα χάριτος. καὶ τὸ δὴ θαυμαστὸν, ὅτι καὶ σαφής τέ ἐστι καὶ καθαρὸς τὴν φράσιν, καὶ τοῖς πᾶσι σχεδὸν ἀσαφὴς, καὶ ἄληπτος τοῖς πολλοῖς τῶν ἐντυγχανόντων, μυστηρίοις μὲν ἐοικότα λέγων, καὶ μὴ εἰς πολλοὺς οἷά τε ἐκφέρεσθαι, παρακαλῶν δὲ, οἷς θέμις, ἥκειν ἐπὶ τὰς τοῦ λόγου τελετὰς, θύρας δ' ἐπιθεῖναι ταῖς ἀκοαῖς τοὺς βεβήλους. τοιαύτῃ γάρ τινι μεθόδῳ τὰ τῆς γραμματικῆς ἕξεως διηκριβώσατο, ὥστε μὴ τοῖς μαθητιῶσι τοῖς δὲ τούτων καθηγουμένοις καὶ τῶν λόγων δημιουργοῖς τὰ τῆς πραγματείας ἐκθέσθαι δοκεῖν, ἐπαινετῆς μὲν τοῖς εἰδόσι τῆς καθ' ἕκαστα εὐφυΐας, ἀξιεπαινετωτέρας δὲ τῆς καθ' ἕκαστα τάξεως, καὶ δηλίου τοῦ δεομένης κολυμβητοῦ. καὶ τοῦτο οὐκ ἄνευ λόγου. τὸ γάρ τοι πεπατημένον εὐξυνετόν τε καὶ αὐτόθεν ληπτὸν, πρόχειρον ἔχει τὴν καταφρόνησιν, τῷ δὲ δυσλήπτῳ φυσικῶς πως παρέζευκται τὸ περισπούδαστον. εἰ δέ γ' οἱ πολλοὶ καὶ αὐτὰ τὰ σπουδαῖα εἰς γελοῖα δι' ἀπειρίαν ἢ γνώμης μοχθηρίαν λαμβάνουσιν ἐκφαυλίζοντες, οὐδὲν ἴσως ἄτοπον πάσχουσιν, εἰς τὸ κατηγορεῖν τῶν καλῶν προχειρότατα σχόντες τὰς ἀφορμὰς οἴκοθεν δηλονότι, οἱ μὲν, τὴν ἄγνοιαν, οἱ δὲ, τὸ τοῦ ἤθους διάστροφον. Ταυτηνὶ τοιγαροῦν τὴν μεγαλέμπορον Βίβλον, δυσαντίβλεπτον οὖσαν ἐξ ἑτοίμου καὶ τοῖς πολλοῖς ἀνεπίοπτον διά τε τὸ κομψὸν καὶ τὸ στενολόγον τῆς φράσεως, δεῖν ἔγνωμεν, εἰ καὶ τολμηρὸν τὸ ἐγχείρημα, εἰς ἐξήγησιν γοῦν τὸν ἐνόντα τρόπον ἐνστήσασθαι,

οὐχὶ κατά τινα

οὐχὶ κατάτινα τῶν πρὸ ἡμῶν ἔνθα μὲν, τὰς λατινικὰς Ἡλιοῦ τινος Ἀνδρέου βουρδιγαλησίου εἰς τὸ τοῦ Θεοδώρου ἀποσημειώσεις μεταφράσαντα, βραχύτι, ἢ μηδὲν ξυντελούσας εἰς ἀκριβῆ τῆς πραγματείας ἑρμηνείαν, ἔνθα δὲ, τῆς τε Σεβαστοῦ τοῦ Τραπεζουντίου εἰς τὸν Ἀπολλώνιον παραφράσεως, καὶ τῶν εἰς τὸν Ὅμηρον τοῦ εὐσταθείου παρεκβολῶν οὐκ ὀλίγα καὶ τὸ παρατυχὸν παρενείραντα, κἀντεῦθεν τοῖς ἐν τῷ κιβωτίῳ σεμνυνομένοις δόντα ὑπόνοιαν ἐξηγήσασθαι τὸν Θεόδωρον, ὁπότε καὶ αὐτοῖς τοῖς ἐν τῷ στήθει, πολλὰ παρέχει τὰ πράγματα ἡ κατ' αὐτὸν ἑρμηνεία. οὔτε μὴν μακρηγορίᾳ σφετερίσασθαι τὰ, ὥς φασί τινες, ἐκείνου προεθέμεθα. οἵγ' οὐ μᾶλλον ἡμῶν, ἢ ἐκείνου πτεροκλοπίαν κατειπόντες, οὐ συνέγνωσαν, ὧν ἡμᾶς κωλῦσαι ἐπειράθησαν, εἰς ταῦτα ἐκεῖνον ξυνωθοῦντες καὶ ἄκοντα. γνησιώτατον γὰρ προσμαρτυροῦντες πόνημα τοῦ Γερασίμου τὸ τοῦ προληφθέντος Ἡλιοῦ εἰς τὸν Θεόδωρον συνεπτυγμένον ὑπόμνημα, ταὐτότι ὑπ' ἀπειρίας πεπόνθασι τῷ τοῦ παρ' Αἰλιανῷ συβαρίτου παιδαγωγοῦ. (ποικίλ. ἱστορ. βιβλ. ιδ', κφ', ή.) ὃς τοῦ μὲν παιδὸς, ὃν ἦγε διὰ τῆς ὁδοῦ, ἰσχάδι περιτυχόντος καὶ ἀνελομένου, ἐπέπληξεν αὐτῷ ἰσχυρότατα, γελοιότατα δὲ αὐτὸς τὸ εὕρημα παρὰ τοῦ παιδὸς ἁρπάσας, κατέτραγεν. οὔκουν μόνοις τοῖς ὁπωσδήποτε προεκδοθεῖσι προσχεῖν ηὐδοκήσαμεν, ἀλλὰ διακωδωνίσαντες αὐτὰ, ἐπὶ τούτοις καὶ αὐτὰ τὰ τοῦκειμένου, πρὸς δὲ καὶ τὸν ἐγκείμενον νοῦν καθ' ἕκαστον ὡς εἰπεῖν κῶλόν τε καὶ κόμμα, ὅσατε ἑαυτοῖς τε καὶ ἑτέροις δοκεῖ περιπίπτειν, καὶ εἴτι πῃ περινενόηται, διευκρινῆσαι, ᾗπερ ἂν οἷόν τε, προεθυμήθημεν. τὰ μὲν, αὐτοὶ μόχθῳ ἀνευρόντες, τὰ δὲ, παρ' ἄλλων ἐράνῳ ξυνεισενεγκόντες. ἔνθα καὶ τὰς σημασίας τῶν φωνῶν ἀκριβέστερον διαθηρώμενοι, προεχειρισάμεθα περιττῶς πως εἰς ψυχαγωγίαν τοῖς φιλοκαίνοις, καί τιν' ἄττα πλέον ἢ κατὰ γραμματικὴν ὄντα, ὁμοῦ μὲν τὸ πολυωφελές τε καὶ χρήσιμον τῶν ἐγγεγραμμένων ἑαυτοῖς μνώμενοι, ὁμοῦ δὲ καὶ, ὧν οὐ φθόνος τὰς ψυχὰς ὑποσμήχει, μικρά τινα χεῖρα ὀρέγοντες, ὡς ἂν μὴ, οἷς μὲν, οἷς δ' οὔ, εἴη δὲ πᾶσιν ἁπλῶς τὸ πρᾶγμα εὐεπιχείρητον, ἀρκοῦν ἀντὶ πάντων τῶν ἄλλων τοῖς σπουδαιοτέροις εἰς παίδευσιν. τοῖς γὰρ τούτου κατὰ τὸ ἐνὸν πεπειραμένοις, λῆρος σαφὴς, ὅσοι τέχνας τινὰς ἐκδεδώκασι περὶ τῆς τῶν τοῦ Λόγου μορίων συντάξεως, ὧν ἱστορεῖται μάλιστα πρᾶχων ὁ ἀντιοχεὺς Ἀρκάδιος, σπουδάζειν μὲν περὶ τοῦτο οἰηθέντες, μὴ δ' ὄναρ δ' ἰδόντες τίποτ' ἐστὶ τὸ κατὰ Θεόδωρον τοῦ Λόγου συντακτικόν. κατὰ τὸ ἐνὸν δὲ εἴρηται καὶ οὐ πρὸς ἀκρίβειαν. καθ' ὅ, τι τῶν μὲν, πάντα, τῶν δὲ, μηθὲν, τῶν δὲ, τὶ μὲν, εἰδότων, τὶ δ' οὔ, τὸ μὲν πάντα εἰδέναι λέγειν, ἢ οἴεσθαι, δαιμόνων εἰσὶν ἀλαζονείαι, εἰδέναι ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης μεγαλορρημονούντων. τὸ δὲ ἡμέτερον, οἷον μηδὲν εἰδέναι. ἀλλὰ γὰρ ἐπεὶ οὐδεὶς ὢν ἄμοιρος τῆς τοῦ Θεοῦ χάριτος, πονηρὸς ἂν εἴη καὶ ὀκνηρὸς, μὴ μεταδιδοὺς, ὃν οἶδε τρόπον, οὗπερ ἐκεῖθεν ἔσχε λαβὼν, ταῦτ' ἄρα καὶ αὐτοὶ τὸ χερσαῖοίς τε πόνοις καὶ θαλαττίοις συμπορισθὲν ἡμῖν τάλαντον τοῖς τοῦ συντακτικοῦ λόγου ἕνεκα πραγματευομένοις παραθέσθαι σπουδὴν οὐ τὴν τυχοῦσαν κατεβάλομεν. Οὐκ ἀγνοῶ δὲ ἔστι μὲν οἷς τῶν τοῦ τε προειλημμένου ἀνδρὸς καὶ ἑτέρων διαφερόμενος, ἔστι δ' ἃ καὶ ὀβελίζων τοσύνολον. ἀλλὰ γὰρ ἡμῖν εἰ καὶ μὴ μόνον τῶν φίλων, ἀλλὰ δὴ καὶ τῶν τῆς παιδείας καθηγησαμένων ὁ ἀνὴρ ὢν τυγχάνει, σῦκά γε μὴν λεκτέον τὰ σῦκα κατὰ τὸν κωμικὸν, καὶ σκάφην τὴν σκάφην. φιλτάτη καὶ γὰρ ἡ ἀλήθεια, πρὸ παντὸς τιθεμένη φίλου τοῖς εὖ φρονοῦσιν. ὁπότε ἐπὶ σρίᾳ τῆς ἀληθείας καὶ τὰ οἰκεῖα κατὰ τὸν φῖφον ἀναιρετέον. ὧν εἰ καὶ τὰ πλεῖστα ξυμφορυτά γε ὄντα τυγχάνει κατὰ τὸν τοῦ αἰσώπου κολοιὸν ἐκ

ποικίλων

ποικίλων ἀλοξίων πτερῶν, τοῖς γε μὴν δυγνώμοσι τῆ, ὅθεν τε καὶ παρ' ὅτε καὶ ὅπως αὐτε-
λεξάμεθα, ἐπιγινωσκόντων, ἀχὶ μᾶλλον ἐπίμεμπτοι, ἢ περ ἀποδεκτέοι παντσὶ τῆς αὐθα-
λογίας αὖ εἶμεν, καὶ τὸν τῆς Μιλίττης ξόανον ἀπαθισάμενοι τὰ κάλλιστά τε καὶ σωτε-
λείαν ἔχοντα. τὰς δὲ μὴ λαβεῖν τι χρήσιμον, ἐπιλαβέσθαι δέ τε τῆ προκειμένων πρὸς ἐ-
πίρρειαν πειρωμένας, ἐᾶν αὐτὸν αὖ οἶμαι τὸν μυθολόμβον Προμυθέα ἀμώμητον φεύ-
γειν παρὰ Μώμῳ δίκαν. διό, τι μὴ καὶ θυρίδας πάνυ ἀμφὶ τὸ στέρνον πεποιήκοι,
ἐπιμεμψαμένῳ οἱ, ὡς αὖ, ἁπτυσομένων, καταθεῖτο τοῖς ἀγνοοῦσι τὰ ἔνδον τῆς
ψυχῆς παθήματα, ἢ τὸν τῶ Ταύρε δημιουργὸν θεὸν, μὴ προσθεῖτα τῆ ὀφθαλ-
μῶν τὰ κέρατα. μωμεῖσθω δὴ τοίνυν καὶ τὰ περὶ τὸν Θεόδωρον, τῆ ἀλο-
ξίων καὶ μάλιστα τῆ τῶ Ἀπόλλωνίε καὶ τὸ ἀπαράλακτον αὐτιποιησάμε-
νον. ἀλλ' ὦ πάντες πλεῖν ἐς κόρινθον, ἔτε μὴν τῶ τυχόντος τῆ λο-
γικῶν λειμώνων ποικίλα τε καὶ πολυειδῆ ταῖς βαφαῖς ἀποδρεφά-
μενον αὖθι, αὐαμίξασθαί γε αὐτὰ ἐπίσασθαι, καὶ ἀναπλεξάμενον
ἁρμόσασθαι, ὡς μὴ θάτερον θατέρε ἀπᾴδειν. ὃς ἄρα κα-
τ' Αὐτόλυκον ἐκέκασο κλεπτοσυνῃ, Θεὸς οἱ δῆλον αὐτὸς ἔ-
δωκεν ἑρμείας. ὁ δὲ οἱ τρόφρων ἅμ' ἐπιδεῖ, οἶμαι δὲ
καὶ τοῖς ἡμετέροις. ὧν, Θῷ μὲν τὼ χάριν, νοὸς δ' ἐ-
χόντων, ἡμῖν δὲ συγγνώμην, ἑτέρως, δίδοναι ἀ-
ξιοῦμεν τὰς σὺν τυγχάνοντας, ἐπιδιορθῶσαί τε
δυγνωμόνως τὰ ἐπταισμένα καὶ ἡμῶν
ὑπερδύχεσθαι πρὸς τὸν
Κύριον.

Νεόφυτος Ἱεροδιάκονος
Πιλοποννήσιος
ὁ Καυσοκαλυβίτης.

ΘΕΟ.

ΘΕΟΔΩΡΟΥ

ΓΡΑΜΜΑΤΙΚΗΣ ΕΙΣΑΓΩΓΗΣ

Τῶν εἰς Τέσσαρα τὸ Τέταρτον. Καὶ εἰς αὐτὸ Ἐξήγησις.

Καὶ Πρῶτον τί ἐστι Γραμματική.

ΠΡὸ ἔργου οὐδὲν ἧττον τὸν μαθητιῶντα, ἢ τὸν τούτου Καθηγούμενον, εἰδέναι πρότερον τὸ τί ἦν εἶναι τοῦ προκειμένου, εἶθ' οὕτως ἐγχειρεῖν. οὕτω καὶ γὰρ σσουδαιότερον ἀνθέξαι τ' ἄν τις τῶν λεγομένων, προειδὼς περὶ οὗ ἦν ὁ λόγος, καὶ μὴ πλανώμενος τὴν διάνοιαν διὰ τὸ τοῦ πράγματος ἀόριστον. Καὶ γὰρ καὶ κατ' αὐτὸν Πλάτωνα τοῦ παντὸς ἁμαρτάνειν ἀνάγκη, τὸν μὴ εἰδότα περὶ ὅτου ἐστὶν ἡ σκέψις. Ἀμέλειτοι καὶ ἡμᾶς Γραμματικὴν ἐνστησαμένους, ἀναγκαῖόν ἐστι μαθεῖν πρότερον τί ποτέ ἐστιν αὕτη, θηρωμένους τοῦτο ἐκ τοῦ κατ' αὐτὴν ὁρισμοῦ, διὰ συντόμων λόγων τὴν αὐτῆς φύσιν παραδηλοῦντος. ὁ γὰρ ὁρισμὸς περιλαμβάνων τὸ πρᾶγμα, διΐστησι τοῦτο τῶν ἄλλων ἁπάντων, καθ' ὁμοιότητα τῶν ἐν τοῖς χωρίοις ὁροθεσίων. τὸν τοίνυν ταύτης ὁρισμὸν ἄλλων ἄλλως ἀποδιδόντων, αὐτοὶ πρὸς αὐτοῦ τοῦ Θεοδώρου ποριζόμενοι, φαμὲν, ὅτι Γραμματική ἐστι, νοὸς ἕξις, τοῦτ' ἔστι γνῶσις, ἣν ὁ Θεόδωρος θεωρίαν ἐκάλεσε, περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ Λόγου μερῶν σκεπτομένη, τῆς πρὸς ἄλληλα τούτων καταλλήλου ἐπιπλοκῆς τε καὶ ἀπαγγελίας στοχαστική. τούτου γὰρ ἕνεκά φησι, προοιμιαζόμενος, πολυπραγμονεῖ, ὁ περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ Λόγου μερῶν, ὡς ἔχουσι γραφῆς τε καὶ Προσῳδίας, διασκεπτόμενος. τούτων δὲ, ὡς ἕκαστον ταύτῃ γ' ἔχει, τὴν σκέψιν ἐν τοῖς ἕξισι Βιβλίοις παραδεδωκότι, λειπόμενον ἂν εἴη καὶ περὶ τῆς τούτων πρὸς ἄλληλα συντάξεως διαλαβεῖν, εἰς τὴν τῆς εἰσαγωγῆς συντέλειαν. πάντα γὰρ ἕνεκά του κινεῖται, τοῦ οἰκείου τέλους ἕκαστον ἐπιλαβέσθαι φιλοτιμούμενα. οὗπερ ἀπολειπόμενα, ἀτελῆ ἔτι τυγχάνουσιν ὄντα. καὶ ὥσπερ τῶν κατὰ τὸν βίον ἐπιτηδευμάτων ἕκαστον πρὸς τὸ οἰκεῖον ὁρᾷ τέλος, οἷον Ἀθλητικὴ μὲν, πρὸς τοὺς ἐκ Κοτίνου στεφάνους, Στρατηγικὴ δὲ, εἰς ἀριστείαν, Ἰατρικὴ δὲ, εἰς ἄρσιν καὶ θέσιν, εἴτ' οὖν ἀπόθεσιν τοῦ περιττοῦ καὶ πρόσθεσιν τοῦ λείποντος, Ἐμπορικὴ δὲ, εἰς χρηματισμὸν καὶ πλούτου περιουσίαν, οὕτω τοι καὶ ἡ κατὰ Γραμματικὴν ἕξις καρπὸν ἔχει καὶ τέλος τὸν ἐκ τῆς τῶν τοῦ λόγου μερῶν καταλλήλου πρὸς ἄλληλα ἐπιπλοκῆς ἀποτελούμενον Λόγον. καθὰ δὴ καὶ ἡ Διαλεκτικὴ τὴν ἀπόδειξιν.

Προοίμιον.

Κείμενον.

Λοιπὸν δὲ περὶ Συντάξεως τῶν τοῦ Λόγου μερῶν εἰπεῖν.

Ἐξήγησις.

Ἀπὸ συλλογιστικοῦ ἐνθυμήματος τὸ Προοί-

οἰμιον, ἢ πρῶτον ἀπὸ τὲ συμπεράσματος· ὁ γὰρ περὶ ἑκάστε τῆ ὁκτὼ τὲ Λόγε μερῶν, ὡς ἔχει ἤτοι Κλίσεως, ἢ Σχηματισμῦ, ἢ Προσῳδίας, ἢ Ὀρθογραφίας σκεπτόμενος, ἀκολέθως ἔτος καὶ περὶ τῆς τέτων ἐρεῖ Συντάξεως. ἡμεῖς δὲ περὶ ἑκάστε τέτων, ὡς ἔχε Προσῳδίας τε καὶ γραφῆς, ἐν τοῖς φθάσασι διεσκεψάμεθα, λειπόμενον ἂρ' ἔχομεν καὶ περὶ τῆς τέτων εἰπεῖν Συντάξεως. ὁ δὲ, τῶ μὲν ἐλάττονα τῆ Προπάσεων παρεῖσ' ἔξωθεν συνυπακέεδαι, τῆς δὲ μείζονος πρότιθεὶς τὸ συμπέρασμα, ἀπ' αὐτε τέτε ἐνήρξατο. ὁ δὲ ἐν ἀρχῆ Σύνδεσμος Συναπτικός ἐσι τε δ', πρὸς τὰ πρὸ αὐτε. ὁ δ' αὐτὸς καὶ μεταβατικὸς ἐννοίας, ἀπὸ τε ὀρθογραφικε εἴτ' ἔν ἐτυμολογικοῦ εἰς τὸ συναπτικόν. Εἰπὼν δὲ, περὶ συντάξεως τῆ τοῦ Λόγου μερῶν εἰπεῖν λείπεται, τὸ ΤΟΥ ΕΝΕΚΑ ὁ λόγος, καὶ τὸν σκοπὸν τῆς ὅλης πραγματείας προανεφώνησεν, ἀναγκαιότατον ἔργον ὂν τέτο τὲ Προοιμίε, προθυμοτέρες ἐντὸς θεν ποιῶν τὸς ἐντυγχάνοντας. τὲ γὰρ τέλους ἑκάστε ἀγνοεμένε, ἐκ ἐγχειρῶσι προθύμως οἱ ἀναγινώσκοντες. ταῦτ' ἄρα κ' δείγματα τῆ λόγων εἰσὶ τὰ προοίμια, αὐτὰ τὰ κεφάλαια τῆ ῥηθησομένων προλαμβάνοντα. τὸ δὲ τε δ', Προοίμιον, ἱκανὸν τεκμηριῶσαι μὴ μικρὰν εἶναι μηδὲ τῆ τυχόντων τὴν περὶ τὲ δ', διάσκεψιν. Προοιμίῳ γὰρ ἐν μικροῖς πράγμασιν Ἀριστοτέλης μὴ χρῆδαί φησι.

Γραμματικὲ γὰρ ἡ περὶ ταῦτα θεωρία.

Ὡς ἔχει δηλαδὴ κ' συντάξεως. θεωρεῖ δὲ περὶ αὐτὰ ὡς περὶ Ὕλω καὶ ὑποκείμενον. ὡς εἶναι ὕλω μὲν, τὰ μέρη, οἱονεὶ δὲ εἶδος τῆς σκέψεως, τὸ ὡς ἔχσι Συντάξεως μὲν, ἐν τῷ δ', Προσῳδίας δὲ καὶ γραφῆς, ἐν τοῖς πρότερον. ἔσι δὲ τὰ προκείμενα κα-

τασκεν τῆς ἐξῆς μείζονος. εἰκὸς γάρ τινα προσδιαπορεῖσθαι περὶ αὐτῆς, διαπωθάνεδαι τὸ ἀκόλεθον, τί ὅτι τῷ περὶ τῆ μερῶν ἰδίᾳ σκεπτομένῳ, ὡς ἔχσι Προσῳδίας τε καὶ γραφῆς, σκεπτέον αὐτῷ ὡς ἔχσι καὶ συντάξεως; ἢ ὅτι γραμματικοῦ φησιν, ἢ περὶ ταῦτα κ' ὡς ἔχσι συντάξεως θεωρία. Θεωρία δὲ ἀντὶ τε ἡ σκέψις. γραμματικὲ γὰρ ἐσί φησι, τό, τε σκέπτεδαι περὶ τῆ τοῦ Λόγου μερῶν, ὡς ἕκασον ἔχει, καὶ τὸ περὶ τῆς τέτων συντάξεως θεωρεῖν, εἴτ' ἔν περὶ τὲ Λόγε πραγματεύεδαι. τὸ ἄρα θεωρεῖν εἴτ' ἔν πραγματεύεδαι, ἀντὶ τε σκέπτεδαι εἴληπται, ὡς καὶ παρ' Ἀριστοτέλει τὸ θεωρεῖν ἀντὶ τε ζητεῖν εἴληπται, ὡς θεωρίας κ' γνώσεως ἡμῖν αἴτιον ὄν.

Καὶ τῆς γε τοιαύτης Συντάξεως.

Τὸ τε λόγε ἀκόλεθον, τῆς τέτων ἀπήτει συντάξεως εἰπεῖν, ἀχὶ τῆς τοιαύτης. ἡ γὰρ ὁμοιωματικὴ δεῖξις ἐπίτινα προεγνωσμένην ὁμοίαν σύνταξιν ἀνάγει τὴν διάνοιαν. ὁ δὲ, ὅπως τὸ περὶ συντάξεως ἐπραγματεύσατο. ἢ ὅτι τῆς τοιαύτης συντάξεως, οἵαν εἰπεῖν ἐν Προοιμίοις ὑπέχετο. τὸ γὰρ τῆς Συντάξεως ὄνομα τῶν πολλαχῶς ἐσι λεγομένων.

Καὶ τοῦ Λόγου ἕνεκα πραγματεύεται.

Ὁ περὶ τῆς τῆ τε Λόγε μερῶν συντάξεως πραγματευόμενος, περὶ τε Λόγε προδήλως πραγματεύεται. εἰ γε ἡ τῆ τε Λόγε μερῶν Σύνταξίς ἐσι Λόγος. ταυτολογέντος ἄρ' ἐσὶ λέγειν, τῆς τῶν τε Λόγε μερῶν Συντάξεως καὶ τοῦ Λόγου ἕνεκα τὸν Γραμματικὸν πραγματεύεδαι. Ἢ ὅτι ἡ ταὐτὸν σύνταξις τῶν τε Λόγε μερῶν, καὶ Λόγος. ἡ μὲν γάρ ἐσιν ἁρμὸς τῶν τοῦ

Λόγου

Λόγου μερῶν σύνθεσις, ὁ δὲ, ἡ ἐκ τῆς τοιαύτης συνθέσεως αὐτοτελὴς διάνοια. ὡς εἶναι τῷ Γραμματικῷ ἐν τῷ δ', Βιβλίῳ ὑποκείμενον μὲν, τὴν τῶν λέξεων εὐάρμοστον σύνθεσιν, τὴν δὲ ἐντεῦθεν αὐτοτελῆ διάνοιαν, τέλος. ὥσπερ γὰρ παρὰ τῷ Διαλεκτικῷ ἕτερον μὲν, ἡ τοῦ Ὀνόματος καὶ Ῥήματος πρὸς ἄλληλα συμπλοκὴ, εἴτ' οὖν ἡ πρότασις, ἄλλο δὲ, ὁ ἐκ τῆς τοιαύτης συμπλοκῆς ἀποτελούμενος Συλλογισμὸς, οὕτω τοι καὶ παρὰ τῷ Γραμματικῷ ἄλλο μὲν, ἡ τῶν τοῦ Λόγου μερῶν πρὸς ἄλληλα ποιὰ ἐπιπλοκὴ, ἕτερον δὲ, ὁ ἐξ αὐτῆς ἀποτελούμενος λόγος. ἡ μὲν γάρ ἐστιν εἶδος, ὁ δὲ, τέλος.

Ὁ περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ λόγου μερῶν σκεπτόμενος, ὡς ἔχει ἤτοι Κλίσεως, ἢ Σχηματισμοῦ, ἢ Προσῳδίας, ἢ Ὀρθογραφίας.

Κἀνταῦθα ἡ περὶ ἑκάστου τῶν μερῶν σκέψις, ὡς περὶ Ὕλην ἐστὶ καὶ Ὑποκείμενον. ὡς κἀν τοῖς ἑξῆς ἐρεῖ περὶ ἕκαστα τῶν μερῶν Θεωρητέον τὸ ὀρθόν τε καὶ μὴ, τῆς περὶ, καθ' ἑκατέρας τὰς πτώσεις ᾧ δὲ τὸ Ὑλικὸν αἰτιολογούσης, ὡς κἀν τῇ ἀρχῇ τοῦ Προοιμίου. Ἡ γὰρ κατὰ τὸ δ', θεωρία τῷ κατὰ τὰ πρὸ τούτου τρία θεωροῦντι τέλος οὖσα, (τῆς Συντάξεως γάρ φησι, τῶν τοῦ Λόγου μερῶν ἕνεκα πραγματεύεται, ὁ περὶ ἑκάστου τῶν ὀκτὼ τοῦ Λόγου μερῶν σκεπτόμενος, ὡς ἔχει ἤτοι Κλίσεως, ἢ Προσῳδίας, κτ',) τῷ κατὰ τὸ δ', Ὕλη δή ἐστι καὶ αὐτὴ, οὐχὶ ἐξ ἧς, περὶ ἣν δὲ καὶ Ὑποκείμενον. Οὐ δὲ γὰρ, ὥσπερ ἐκ ξύλων ἡ Ναῦς, οὕτω τοι καὶ τὴν κατὰ νοῦν ἕξιν τοῦ ἐπιστήμονος ἐκ τῶν ἐπιστητῶν εἴποι τις ἂν συντεθεῖσθαι. εἴ γ' οὐχ', ὥσπερ τῇ νηὶ, οὕτω τοι καὶ τῇ κατὰ νοῦν φαντασίᾳ τοῦ μετὰ λόγου ναυπηγοῦντος ἐνυπάρχει συνουσιωμένα τὰ ξύλα, ἢ τὰ τοῦ λόγου μέρη τῇ τοῦ Γραμματικοῦ κατὰ νοῦν θεωρίᾳ, ἀλλὰ τῷ μὲν ἐξ αὐτῆς συνθέτῳ Ὕλη, ἐξ ἧς, τῷ δὲ ἐφιστῶντι ἐπιστήμονι, ἢ ἐργαζομένῳ τεχνίτῃ Ὕλη λέγεται, περὶ ἣν ἐργάζεται, ἢ Ὑποκείμενον, περὶ οὗ σκέπτεται. ἢ περὶ ὃ τὴν θεωρίαν ποιεῖται. καὶ τὸ μὲν ἐξ ἧς, Ὕλη λέγεται συνθέσεως, τὸ δὲ περὶ ἧς, ἢ περὶ ἣν, Ὕλη λέγεται, ἢ ὑποκείμενον θεωρίας, ἢ ἐργασίας. καὶ δὴ καὶ τὰ μέρη τοῦ λόγου Ὕλη λέγεται, ἐξ ἧς μὲν, ὡς πρὸς τὸν ἐξ αὐτῶν συγκείμενον Λόγον, περὶ ἣν δὲ, ἢ περὶ ἧς, ὡς πρὸς τὸν περὶ αὐτῶν σκεπτόμενον, ἢ περὶ αὐτὰ ὡς περὶ Ὑποκείμενον τὴν θεωρίαν ποιούμενον Γραμματικὸν, ὡς ἔχουσιν ἤτοι Προσῳδίας τε καὶ γραφῆς, ἢ συμπλοκῆς τῆς πρὸς ἄλληλα. καθὰ δὴ καὶ ὁ Διαλεκτικὸς Ἀριστοτέλης περὶ Ὀνόματος καὶ Ῥήματος καὶ Προτάσεως θεωρῶν τοῦ Συλλογιστικοῦ Λόγου ἕνεκα, Ὕλην μὲν ἔχει ἐκεῖνα ὑποκειμένην αὐτῷ, τέλος δὲ, τοῦτον. μεταβάντι δὲ ἐπὶ τὸν Συλλογιστικὸν Λόγον, οὗτος μὲν, Ὕλη, τέλος δὲ, ἡ ἀπόδειξις, εἴτ' οὖν ἡ ἐπιστήμη. Ὕλη μὲν οὖν ἂν εἴη τὰ μέρη καθ' ἑαυτὰ τῆς περὶ αὐτὰ θεωρίας, εἶδος, δὲ συνυπακουομένην ἔχον καὶ τὴν Ὕλην, τῆς μὲν κατὰ τὸ δ', τὸ ὡς ἔχουσι συμπλοκῆς τῆς πρὸς ἄλληλα, τῆς δὲ κατὰ τὸ γ', καὶ τὰ πρὸ αὐτοῦ, τὸ ὡς ἔχουσι Προσῳδίας τε καὶ γραφῆς. καὶ συνελόντι, τῆς μὲν, τὸ τῆς ἐτυμολογίας, τῆς δὲ, τὸ τῆς συντάξεως ποιὸν, τέλος δὲ, ὁ παρὰ τὴν ποιὰν τῶν λέξεων σύνθεσιν ἀποτελούμενος ὀρθὸς λόγος. ἐρεῖ γὰρ, λεκτέον οὖν καὶ ὅπως ἂν τὰ τοῦ Λόγου μέρη ἀλλήλοις ὀρθῶς συντασσόμενα, ἀποτελοίη τὸν λόγον, ἵνα τέλος ἡ Εἰσαγωγὴ ἔχῃ. ὡς εἶναι τέλος τῆς περὶ τὰ τοῦ Λόγου μέρη πραγματευομένης Εἰσαγωγῆς ὅπως ἔχουσι Συντάξεως τῆς πρὸς ἄλληλα τὸν ἐκ τῆς τοιαύτης Συντάξεως ἀποτελούμενον Λόγον.

οὐδὲ ὅλῳ περὶ λόγου, περὶ δὲ τοῦ ὅπως ἀποτελεῖται ὁ Λόγος, ἡ κατὰ τὸ δ', Εἰσαγωγὴ πραγματεύεται. εἴγε χρὴ τὸν Φίφ, (γ', τῷ ἠθικ, Νικομαχ,) βουλόμεθα οὐ περὶ τῶν τελῶν, ἀλλὰ περὶ τῶν πρὸς τὰ τέλη. ὅτε γὰρ Γαῖος, φησὶν, ὅτε ῥήτωρ, ὅτε πολιτικὸς, οὐδεὶς τῶν λοιπῶν οὐδεὶς περὶ τοῦ τέλους βουλεύεται, ἀλλὰ θέμενοι Τέλος τι, πῶς καὶ διὰ τίνων ἕξαι, σκοποῦσι. τὸ δὲ ὅπως, ὅ ἐστιν ὁ τρόπος τῆς τοῦ Λόγου μερῶν πρὸς ἄλληλα συμπλέξεως, διττὸς, ἁπλῶς τε καὶ πῆ, τοῦτ' ἔστι ποιεῖ τε καὶ περὶ ἅπασα τῶν μερῶν ἰδία, ὡς οὐ τοῖς ἑξῆς διαιτηθήσεται. Ὅπερ δὲ τοῖς Φιλοσόφοις ἐπὶ τῶν ὄντων ἐπινενόηται, τοῦτ' αὐτὸ καὶ τοῖς Γραμματικοῖς ἐπὶ τῶν σημαντικῶν τῶν ὄντων φωνῶν μεμηχάνηται. ἐκεῖνοί τε γὰρ πάντα τὰ Ὄντα ὑπὸ τὰς δέκα ποιότητας, εἴτ' ἂν κατηγορίας ἀνήγαγον, καὶ τὸν Λόγον δὲ τὰ μέρη οἱ μὲν παλαιοὶ, ἄχρι ξ ἰῶν προήγαγον, Ὀνόματα καὶ Ῥήματα καὶ Συνδέσμους πρῶτα μέρη τοῦ Λόγου ποιήσαντες, οἱ δὲ μετ' αὐτοὺς, καὶ μάλιστα οἱ ἀπὸ τῆς Στοᾶς, μέχρι δ', πρὸ βίβασαν, χωρίσαντες ἀπὸ τῶν Συνδέσμων τὰ Ἄρθρα. εἶθ' οἱ μετ' ἐκείνους, τὰς μετοχὰς διελόντες ἀπὸ τῶν Προσηγορικῶν, πέντε ἀπεφήναντο τὰ πρῶτα μέρη. ἕτεροι δὲ καὶ τὰς Ἀντωνυμίας ἀποζεύξαντες τῶν Ὀνομάτων, ἕκτον στοιχεῖον ἐποίησαν. οἱ δὲ, καὶ τὰ Ἐπιῤῥήματα διεῖλον ἀπὸ τῶν Ῥημάτων, καὶ τὰς Προθέσεις ἀπὸ τῶν Συνδέσμων, καὶ ἕτω συνετέλεσαν τὰ ὀκτὼ μέρη. αἱ καὶ στοιχεῖά τινες τοῦ Λόγου καλοῦσι, τὰς μὲν τοιάσδε τῶν φωνῶν ἐπίτινα κοινότητα τοῦ Ὀνόματος, τὰς δὲ τοιάσδε ἐπίτινα κοινότητα τοῦ Ῥήματος, καὶ τὰς λοιπὰς ἐπὶ τὰ λοιπὰ ἀγαγόντες.

Καθάπερ καὶ ὁ διαλεκτικὸς τοῦ συλλογιστικοῦ Λόγου ἕνεκα περὶ Ὀνόματος καὶ Ῥήματος καὶ Προτάσεως θεωρεῖ.

Ὁ συλλογιστικὸς Λόγος συγκειται ἐκ δύο ἢ Προτάσεων καὶ ἑνὸς Συμπεράσματος. οἷον πᾶς ἄνθρωπος ζῷον. πᾶν ζῷον οὐσία. οὐσία ἄρα πᾶς ἄνθρωπος. Πρότασις δὲ καὶ τὸν Θεόδωρον μὲν τὸ Ὄνομα καὶ τὸ Ῥῆμα αὐτὴν ἐπενεγκόντα, ἔστι Λόγος αὐτοτελὴς, ἐκ δύο ἢ ὅρων συνεστηκὼς, ὑποκειμένου τε καὶ κατηγορουμένου, Ὀνόματος δηλαδὴ καὶ Ῥήματος, καὶ τὸ ὅλον εἰπεῖν Ἀπόφανσις, οὐ μὴν ἁπλῶς, ἀλλ' ἡ μέρος ἔσα Συλλογισμοῦ κατ' αὐτὸν πάλιν τὸν Θεόδωρον, ἐχομένως τῆς Προτάσεως τὸν Συλλογισμὸν ἐπενεγκόντα. Συμπέρασμα δὲ, τὸ ἐκ δύο ἢ Προτάσεων συναγόμενον. κατὰ δὲ τὸν Φιλόσοφον ἐν τῷ α', τῆς Τοπικῶν, Πρότασις διαλεκτικὴ καὶ Πρόβλημα, ἐρώτησίς εἰσιν ἑκάτερα ἀντιφάσεως, τῷ μὲν ὑποκειμένῳ ἴσα καὶ ταὐτὰ ὄντα, μόνῳ δὲ τῷ τρόπῳ τῆς ἀπαγγελίας ἀλλήλων διαφέροντα κατά τινα χρῆσιν καὶ συνήθειαν. ἡ μὲν γὰρ ἀντίφασις ἅμα μὲν τοῦ πότερον προαχθεῖσα πύσματος, πρόβλημά φησι, γίνεται. οἷον, πότερον ὁ ἄνθρωπος λογικός ἐστιν, ἢ οὔ; διὰ δὲ τὸ ἄρα, πρότασις. οἷον ἆρ' ὁ ἄνθρωπος λογικὸς, ἢ οὔ; καὶ γὰρ καὶ ἡ διαλεκτικὴ Πρότασις καὶ Ἀντίφασιν προτεινομένη, δῆλον ὅτι ἐπιφερόμενον ἔχει καὶ αὐτὴ τὸ, ἢ οὔ. καὶ ἔχως ὁ Βαρῖνος βούλεται. Εἰ γε Πρότασις ἡ μὲν ἀποδεικτικὴ, λῆψίς ἐστι θατέρου μορίου τῆς ἀντιφάσεως. οὐ γὰρ ἐρωτᾷ, ἀλλὰ λαμβάνει ὁ ἀποδεικνύων, ἡ δὲ διαλεκτικὴ, ἐρώτησις τῆς ἀντιφάσεως ἐστί φησιν Ἀριστ, α', προτέρων Ἀναλυτ, Κφ', α'. Ἡ μὲν οὖν πρότασις καὶ κατ' αὐτὸν τὸν Φίφον, εἰπόντα ἐκ τῶν Προτάσεων γίνεσθαι τοὺς Συλλογισμοὺς, μέρος ἐστὶ τοῦ Συλλογισμοῦ, τὰ δὲ τοῦτο μέρη, πότερον πυσματικῶς, ἢ ἀποφαντικῶς τιθέμενα, κεῖνται, παρίημι τοῖς διαλεγομένοις σκοπεῖν. τὸ μὲν γὰρ πύσμα ἀδηλόν ἔτε καταφάσκει, ἔτε ἀποφάσκει, τὰ δὲ τοῦ Συλλογισμοῦ μέρη θάτερον τούτων

ποιεῖν πέφυκεν, ἐξ ὧν τε καὶ τοῦ ποσοῦ οἱ διάφοροι τῶν Συλλογισμῶν τρόποι.

Λεκτέον τοίνυν καὶ ὅπως ἀν' τὰ τοῦ Λόγου μέρη ἀλλήλοις ὀρθῶς συντασσόμενα, ἀποτελοίη τὸν Λόγον, ἵνα τέλος ἡ Εἰσαγωγὴ ἔχῃ.

Τῶν ἄρα Εἰσαγωγῶν αἱ τοῦ μέρους τούτου μὴ ποιούμεναι πρόνοιαν, ἀτελῶς ἔχουσι, τοῦ ἀναγκαιοτάτου στερούμεναι, φημὶ δὴ τοῦ οὗ ἕνεκα. Ἰστέον δὲ, ὡς ἡ Γραμματικὴ ἕξις εἰς δύω τὰ πρῶτα διανέμεται, τό, τε Θεωρητικὸν καὶ τὸ πρακτικόν. ὧν τὸ μὲν, ὑποδιαιρεῖται εἴς τε τὸ τεχνολογικὸν καὶ τὸ συντακτικόν. (τὸ μὲν γὰρ περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ πραγματευόμενον, ὃ καὶ περὶ Λέξιν λέγεται εἶναι καὶ τὰ ταύτης μέρη, εἴτ' οὖν Συλλαβὴν καὶ Στοιχεῖον, τεχνολογικὸν ἰδίᾳ ἐκλαμβανόμενον ἤκουσε τῆς κατὰ Γραμματικὴν ἕξεως, ὅσα περὶ ἕκαστον μέρος ἰδίᾳ τε καὶ κοινῇ θεωρεῖται, πολυπραγμονοῦν, καὶ ποσαχῶς ἕκαστον λέγεται. Τὸ δὲ περὶ τῆς πρὸς ἄλληλα τούτων συμπλοκῆς πραγματευόμενον, συντακτικὸν ἰδίᾳ καλεῖται.) τὸ δὲ Θεωρητικὸν περὶ ἄμφω ταῦτα τὴν θεωρίαν ποιεῖται, τὸ αἴτιον ἁπάσης τεχνολογίας τε καὶ συντάξεως πολυπραγμονοῦν τε καὶ διασκεπτόμενον. καὶ συνελόντι, θεωρητικὸν Γραμματικῆς ἐστιν, ἡ ἐκ τῶν κοινῶν τόπων αἰτιολογία κατὰ μὲν τὸ γ', τῆς τε Γραφῆς καὶ τοῦ μεταχηματισμοῦ καὶ Προσῳδίας, κατὰ δὲ τὸ δ', τῆς καθ' ἕκαστα συντάξεως. τίνος δέ ἐστιν Εἰσαγωγὴ, ἐς ὕστερον διαιτηθήσεται. ἀκριβολογεῖσθαι γὰρ ἐπὶ τοῦ παρόντος περὶ Εἰσαγῆς τε καὶ θεωρίας οὐδεῖ, μηδὲ περιεργάζεσθαι τὴν τῶν λέξεων οἰκείαν καὶ καθ' αὑτὸ δύναμιν. ληπτέον δὲ ἑκατέρας ἀντὶ πραγματείας, ἢ καὶ μεθόδου. ὡς καὶ ὁ Θεόδωρος ἐν τοῖς ἑξῆς τῇ Γραμματικῇ θεωρίᾳ τὴν μέθοδον ἐπισυνῆψεν, ἐκ τῶν λόγων εἰπὼν εἶναι τὴν Γραμματικὴν θεωρίαν καὶ μέθοδον.

Καὶ διαιρετέον ἀκριβέστερον ἕκαστα, καὶ ὁριστέον ἐν ταῦθα.

Ἐν τῷ δ', δηλαδή. τὸ δὲ ἕκαστα, ἀπὸ κοινοῦ κἀπὶ τοῦ ὁριστέον. ἐν γὰρ τοῖς πρὸ τούτου τοὺς ὁρισμοὺς τῶν ὀκτὼ τοῦ Λόγου μερῶν ἀπεσιώπησεν, ἐν ταῦθα αὐτοὺς ἀποταμιευόμενος. πρέπον καὶ γάρ ἐστι τὰ ὑπερβαίνοντα τὴν τῶν εἰσαγομένων δύναμιν ἐν ταῖς Εἰσαγωγικαῖς πραγματείαις σιωπᾶν ἀπολιμπάνοντα, ὡς μειζόνων ἀκροατῶν δεόμενα. τὸ δὲ ἀκριβέστερον, ἐπὶ μόνης τῆς διαιρέσεως ληπτέον, οὐχὶ κἀπὶ τοῦ ὁρίζειν. καθ' ὑστερολογίαν δ' εἴρηκε καὶ πρωθυστέρως τὸ, διαιρετέον καὶ ὁριστέον, ἐφεξῆς τὰ νάπαλιν ποιῶν. εἴγε τὸ Στοιχεῖον τῶν συνωνύμων τυγχάνει. ὧν ὁ ὁρισμὸς προηγεῖται τῆς διαιρέσεως, ὡς καὶ ἡ μονὰς τοῦ ἀριθμοῦ, εἴτ' οὖν τοῦ πλήθους. ἐκείνη τε γὰρ ἐν τί ἐστι καὶ μία φύσις, καὶ ὁ ὅρος ἐν τὰ πολλὰ καὶ μίαν φύσιν οὖσαν ἀναπτύσσων, ἀποτελεῖ. ἡ δὲ διαίρεσις τοὐναντίον, ὡς καὶ ὁ ἀριθμὸς, τὸ ἐν πολλὰ ποιεῖ.

Ὅρος Στοιχείου.

Ἀρκτέον δ' ἴσως ἀπὸ τοῦ πρώτου, οἷον τῶν Στοιχείων.

Ἐν τοῖς προεκδοθεῖσι τρισὶ βιβλίοις ἡ περὶ τὰς Φωνὰς παράδοσις, καθὼς ἀπῄτει ὁ περὶ αὐτῶν λόγος, κατείλεκται. τὸ δὲ δ', περιέχει τὴν ἐκ τούτων γινομένην σύνταξιν εἰς καταλληλότητα τοῦ αὐτοτελοῦς Λόγου. ἣν ἀναγκαιοτάτην οὖσαν εἰς τὴν τῶν πεζῇ τε καὶ ἐμμέτρως λεγομένων ἐξήγησιν, μετὰ πάσης ἀκριβείας καὶ τελειότητος ἐκτίθεται ὁ Θεόδωρος μᾶλλον, ἢ ὁ Ἀπολλώνιος, ἀπὸ τῆς πρώτης ῥηθείσης ἀμεροῦς ὕλης τὴν ἀρχὴν ποιούμενος, φημὶ δὴ τῶν Στοιχείων,

ὡς

ὡς οὐχ ὡς ἔτυχεν, ἀλλ' ἐν τῇ κατὰ τὸ δέον συντάξει, ἐξ ἧς καὶ τὴν ὀνομασίαν εἴληφε, τὰς τῶν Στοιχείων ἐπιπλοκὰς ἀναδεχομένης, ὅ ἐστι τὰς Συλλαβάς. ἥτε ἐπαναβεβηκυῖα Συλλαβὴ ταὐτὸ ἀνεδέξατο. καὶ γὰρ καὶ αἱ ἐκ τούτων ἀναπληρούμεναι Συντάξεις καὶ συμπλοκαὶ, κατὰ τὸ δέον ἀποτελοῦσι τὰς Λέξεις. καὶ αἱ Λέξεις ἀκολούθως μέρη οὖσαι τοῦ κατὰ Σύνταξιν αὐτοτελοῦς λόγου, τὸ κατάλληλον τῆς συντάξεως ἀνεδέξαντο. καλοῖντο δ' ἂν οὐκ ἀπεικότως Στοιχεῖα λόγου μὲν, αἱ τοῦτον συνιστῶσαι λέξεις, λέξεως δὲ, αἱ συλλαβαὶ, ὥσπερ δὴ καὶ συλλαβῆς, τὰ καθ' αὐτὸ Στοιχεῖα. τὸ γὰρ ἑκάστης λέξεως παρυφιστάμενον νοητὸν, οἱονεὶ Στοιχεῖόν ἐστι τοῦ λόγου. καὶ ὡς τὰ Στοιχεῖα τὰς συλλαβὰς ἀποτελεῖ κατὰ τὰς ἐπιπλοκὰς, οὕτω καὶ ἡ τῶν νοητῶν σύνταξις τρόπον τινὰ δίκην στοιχείου τὸν Λόγον ἀποτελεῖ διὰ τῆς τῶν λέξεων ἐπιπλοκῆς. Ἔτι ὃν τρόπον ἐκ τῶν συλλαβῶν αἱ λέξεις, οὕτως ἐκ τῆς τῶν νοητῶν, εἴτ' οὖν Λέξεων κατάλληλόν τος ὁ αὐτοτελὴς Λόγος. ἔστι δὲ κἀκτῶν αὐτοῖς παρεπομένων ἐπιδεῖξαι τὸ τῆς τοῦ Λόγου συντάξεως κατάλληλον, ἐν οἷς τὰ αὐτὰ ἐπισυμβέβηκε τῷ τε Στοιχείῳ καὶ τῇ Συλλαβῇ καὶ τῇ Λέξει καὶ τῷ Λόγῳ. ἃ γὰρ τοῖς ἐξ ὧν ὁ Λόγος, ἐπισυμβέβηκεν, αὐτὰ ταῦτα ὁρῶμεν καὶ τῷ λόγῳ αὐτῷ ἐπισυμβαίνοντα. ταῦτα δὲ οὐθὲν ἄτακτον ἔχει, ἄρ' οὐδὲ οὗτος. εἰ οὖν καὶ τὰ ἐξ ὧν ὁ Λόγος, οὐχ ὡς ἔτυχε, κατὰ δὲ τὸ δέον ἔχει τὰ τῆς συντάξεως, ἡμῖν δὲ περὶ αὐτῆς εἰπεῖν πρόκειται, ἀρκτέον ἄρ' ἀπὸ τῆς τοῦ πρώτου συντάξεως, φημὶ δὴ τοῦ Στοιχείου. Στοιχεῖον δὲ καλεῖται μεταφορικῶς μὲν, ὃ ἂν ἐν ὂν καὶ μικρὸν, ἐπὶ πολλὰ ᾖ χρήσιμον κατὰ Ἀριστ: μεταφσ: δ. ὅθεν ἐλήλυθέ φησι, τὰ μάλιστα καθόλου, στοιχεῖα εἶναι. καὶ τὸ ἐν δὲ καὶ ἡ στιγμὴ ὡσαύτως. κυρίως δὲ Στοιχεῖα κατ' αὐτὸν τοῦτον τὰ Γράμματα, ἐξ ὧν ἡ φωνή. καὶ τὰ Στοιχεῖα τῶν σωμάτων, καὶ τὰ Στοιχεῖα τῶν διαγραμμάτων, καὶ αἱ πρῶται ἀποδείξεις, αἱ ἐκ τῶν τριῶν δι' ἑνὸς μέσου. τὸ δὴ Στοιχεῖον ὑπογράφεται κατὰ μὲν τὸν Φίφ: μετφ: δ, ὅτι ἐστὶν, ἐξ οὗ ἕκαστον τῶν Στοιχείων τῶν σύγκειται πρώτου, ἐνυπάρχοντος, ἀδιαιρέτου τῷ εἴδει εἰς ἕτερα εἴδη, καὶ γὰρ καὶ αἴτιά ἐστι τῆς Φωνῆς. ἐξ αὐτῶν γὰρ ἡ κατὰ συνθήκην Φωνὴ, καὶ εἴτις μὴ κατὰ συνθήκην ἔναρθρος. καὶ πρῶτα. οὐ γὰρ ἐξ ἑτέρων ταῦτα. καὶ ἐνυπάρχουσι τῇ Φωνῇ. καὶ τελευταῖον εἰς αὐτὰ ἀναλύεται ἡ Φωνὴ, ἐκείνων μηκέτι διαιρουμένων εἰς ἕτερα τῷ εἴδει, τῷ εἰδικωτάτῳ δηλονότι, ὅτι μὴ τῷ ἀριθμῷ. ὁ δὲ Θεόδωρος συντομίας εἰκαί τις ἄλλος ὢν ἐραστὴς, ἑτεροίαν ὑπογραφὴν τῶν Στοιχείων ἀπέδοτο. οἷον Στοιχεῖόν ἐστιν ἡ πρώτη καὶ ἀμερὴς τ' ἄνου φωνὴ, ἐξ Ἀριστοτέλους καὶ αὐτὴν εἰληφὼς, Βιβλ: περὶ Ποιητ: κατ' οὐδὲν ὅμως παραλλάττουσαν τῆς προληφθείσης. καὶ γὰρ, ἡ πρώτη καὶ ἀμερὴς εἰπὼν, ἅμα τό, τε πρῶτα εἶναι καὶ αἴτια τῆς τ' ἄνου παρεδήλωσε Φωνῆς. ὃ γὰρ ἂν ᾖ πρῶτον τῇ φύσει, τοῦτο πάντως καὶ αἴτιον, καὶ ἐναλλάξ. πρὸς δὲ καὶ ἀδιαίρετα εἰς ἕτερα τῷ εἴδει Στοιχεῖα. ὃ γὰρ ἂν ἀμερὲς ᾖ, τοῦτο πάντως καὶ ἀδιαίρετον, καὶ ἀνάπαλιν. τὸ δὲ ἐνυπάρχειν παρέλειψεν, ὡς συνεξακουόμενον. Ὕλη γὰρ ὄντα, δῆλον ὅτι καὶ ἐνυπάρχει. τὸ μὲν οὖν Φωνὴ, ὡς γένος παρείληπται. κοινὸν γὰρ καὶ τῆς Συλλαβῆς, ἀλλὰ καὶ τῆς Λέξεως. τὰ δὲ λοιπὰ ὡς συστατικαὶ διαφοραὶ, διαστέλλουσαι τὸ Στοιχεῖον ἀπό τε τῆς Συλλαβῆς καὶ τῆς Λέξεως. Φωναὶ γὰρ καὶ αὗται τ' ἄνου, ἀλλ' οὔτε πρῶται, οὔτε μὴν ἀμερεῖς. Εἴρηται δὲ εἰς ἕτερα τῷ εἴδει μὴ διαιρεῖσθαι τὰ Στοιχεῖα. καθ' ὅ, τι, διαιρουμένου τοῦ γένους εἰς εἴδη ὑπάλληλα, καὶ τῶν ὑπαλλήλων αὖθις εἰδῶν εἰς τὰ εἰδικώτατα, τῶν εἰδικωτάτων φέρε τὸ ἁπλῶς Ἄλφα, ἢ τὸ

ἁπλῶς

ἁπλῶς Δέλτα, διαιρούμενα εἰς τὰ ἀτομικὰ τὸ μὲν, εἴς τε τὸ Στρογγύλον α̅, καὶ τὸ ὀξύρρυγχον α̅, τὸ δὲ, εἴς τε τὸ ἰσοσκελὲς Δ̅, καὶ εἰς τὸ ἰσόπλευρον Δ̅, καὶ εἰς τὸ ἀγκύλον δ̅, εἰς ἕτερα μὲν διαιροῦνται, οὐ μὴν τῷ εἴδει (Ἄλφα γὰρ τό, τε στρογκύλον καὶ τὸ ὀξύρρυγχον. καὶ Δέλτα ὁμοίως τό, τε ἰσοσκελὲς καὶ τὸ ἰσόπλευρον) ἀλλὰ τῷ ἀριθμῷ. ὅθεν οὐ δὲ διαίρεσις ἂν εἴη κυρίως αὕτη, ὡς μὴ ἀπὸ γένους οὖσα εἰς εἴδη, ἀλλ' ἀπαρίθμησις. Στοιχεῖον δὲ εἰρῆσθαί φησι καὶ ἐξ ἐτυμολογίας τοῦ ὀνόματος κατὰ μεταφορὰν ἐκ τοῦ στείχει κινεῖσθαι, ὅ ἐστιν εὐτάκτως καὶ κατὰ λόγον συντάσσεσθαι. εἰ τοίνυν προηγεῖται τοῦ ὅλου τὰ μέρη τῇ γενέσει, προληπτέον ἄρα καὶ τὴν τῶν μερῶν γνῶσιν τῆς τοῦ ὅλου. τότε γὰρ πρὸς ἀκρίβειαν ἕκαστον ἔγνωμεν, ὅταν τὰ αἴτια γνωρίσωμεν καὶ τὰς πρῶτας Ἀρχὰς μέχρι τῶν Στοιχείων κατὰ τὸν Φίφ: τοιγάρτοι καὶ τοῦ κατὰ σύνταξιν Λόγου τῆς Γραμματικῆς οἰκεῖαι, Ἀρχαὶ ταὐτὸν εἰπεῖν καὶ αἴτια ὑλικὰ προσεχῆ μὲν, αἱ Λέξεις, εἴτ' οὖν τὰ ὀκτὼ μέρη, πόρρω δὲ, αἱ Συλλαβαὶ, καὶ τούτων ἔτι πόρρω, τὰ Στοιχεῖα. εἰσὶ δὲ καὶ φύσει πρότερα, ὡς συναναιροῦντα μὲν, μὴ συναναιρούμενα δὲ, καὶ συνεισαγόμενα μὲν, μὴ συνεισάγοντα δέ. ἀφ' ὧν καὶ ὁ Θεόδωρος ἀρχόμενος, τῆς πρὸς ἄλληλα τούτων, καὶ μάλιστα τῆς τῶν συμφώνων συμπλοκῆς τὴν γνῶσιν, καὶ τίνα μὲν, κατὰ σύλληψιν, τίνα δὲ, κατὰ διάστασιν συνάπτεσθαι πέφυκεν, ἄριστα προεκτίθεται. τὸ δὲ ἴσως πρόσρημα εἴη ἂν τάχα μὲν, καὶ διστάζοντος, ὡς οὐ πάντως ἀπὸ τῶν φύσει προτέρων, τῶν ἀρχῶν φημι καὶ αἰτίων. ἐκεῖνα γὰρ ἡ φύσις πρότερα παρίστησι, καὶ πρὸς ἐκεῖνα πρώτως ὁρᾷ. ἀλλ' ἔστιν ὅτε καὶ ἀπὸ τῶν φύσει ὑστέρων, τῶν ἡμῖν δηλονότι γνωριμωτέρων, ἀρκτέον ὂν κατὰ Ἀριστοτέλη δ̅ μεταφ: λέγοντα, καὶ γὰρ μαθήσεως οὐκ ἀπὸ τοῦ πρώτου, καὶ τῆς τοῦ πράγματος ἀρχῆς ἐνίοτε ἀρκτέον, ἀλλ' ὅθεν ῥᾷστα ἂν μάθῃ. εἴη δ' ἂν ὁ Λόγος σαφὴς, ἀπὸ τῶν ἡμῖν, ὡς εἴρηται, γνωρίμων ἀρχόμενος, εἴτ' οὖν τῶν αἰτιατῶν. ἠθικ: νικμχ: Βιβλίῳ α', Κφ': ε'. τάχα δὲ, καὶ διευλαβουμένου τὴν τῶν πολλῶν νέμεσιν. καθ' ἣν εἴθισται τοῖς συγγραφεῦσι τὸ ὑπερέχον τοῦ ἀποφαντικοῦ καταστέλλειν Λόγου κολαστικοῖς τισι τῶν μορίων, τὸ ἀξιωματικὸν ἑαυτῶν τοῦ μετρίου χάριν ἐν ἀρχῇ καθαιροῦντας. εἰ μὲν γὰρ τῆς τ' ἀνθρώπου φωνῆς οὐχὶ μέρος, σύμπτωμα δέ τι ἦν τὸ Στοιχεῖον καὶ πάθος ἐπισυμβαῖνον αὐτῇ, οὐκ ἀναγκαίως, ἀλλ' ἴσως ἀρκτέον ἀπ' αὐτοῦ, δυνατὸν ὂν καὶ δίχα τῶν τῇ Φωνῇ ἐπισυμβαινόντων κατά τε ποσὸν καὶ ποιὸν παθῶν μαθεῖν τὴν τῆς Φωνῆς Σύνταξιν, ἐπεὶ δὲ μέρος ἐστὶ, συνῳκειωμένον αὐτῇ καὶ συνουσιωμένον, οὐκ ἴσως, ἀλλ' ἀναγκαίως ἀρκτέον ἀπ' αὐτοῦ, πρὸ ἔργου ὂν εἰδέναι τὰ μέρη, ἐξ ὧν τὸ ὅλον, τὸν βουλόμενον μαθεῖν καλῶς ὅ, τί ποτε τὸ ὅλον ἐστί. τῶν γὰρ Στοιχείων οὐ μᾶλλον ἁπλῶς, ἢ ἡμῖν γνωρίμων ὄντων, ἀναγκαίως ἀπ' αὐτῶν ἀρκτέον. διὰ γοῦν Φίφ: ὡς εἴρηται, εὐλάβειαν τὸ ἴσως ἀντὶ τοῦ ἀναγκαίως τέθεικεν, ὡς καὶ Πλούταρχος ἐν τῷ περὶ παίδων ἀγωγ: βέλτιον δ' ἴσως ἀπὸ τῆς γενέσεως ἄρξασθαι πρῶτον. καὶ Ἀριστοτέλης δὲ ὁμοίως ἐν τῷ α', τῶν εἰς νικμ': ἠθικ: ἀρκτέον μὲν ἀπὸ τῶν γνωρίμων, ταῦτα δὲ διττῶς. τὰ μὲν γὰρ, ἡμῖν, τὰ δὲ ἁπλῶς. ἴσως οὖν ἡμῖν γε ἀρκτέον ἀπὸ τῶν ἡμῖν γνωρίμων.

Ταῦτα γὰρ ἡ πρώτη καὶ ἀμερὴς τ' ἀνθρώπου Φωνή.

Ἡ αἰτία, δι' ἣν ἀρκτέον ἀπὸ τῶν Στοιχείων. ἡ δ' αὐτὴ καὶ ὁρισμός ἐστι τῶν αὐτῶν. ἡ φωνὴ δὲ ἀντὶ τῆς εἰδοπεποιημένης Ὕλης εἴληπται, ὡς καὶ ὁ Ἀπολλώνιος ἀντ' αὐτῆς τὴν Ὕλην ἔθετο, πάντως δὲ εἰδοπεποιημένην, τὸ Στοιχεῖον εἰπὼν πρώτην καὶ ἀμερῆ Ὕλην. διαφέρει δὲ Ὕλη Στοιχείου. εἴ γε ἡ μέν ἐστιν ἄποιός τε καὶ ἀνείδεος, τὸ δέ ἐστιν Ὕλη μετὰ ποιότητος, εἴ τ' οὖν εἴδους, ταὐτὸν εἰπεῖν Ὕλη πεποιωμένη. ὡς εἶναι τὸ ᾶ, φέρε Στοιχεῖον συγκείμενον ἐξ Ὕλης μὲν, τῆς ἁπλῶς Φωνῆς, ἐξ εἴδους δὲ, τῆς ἐκφωνήσεως. καὶ ἁπλοῦν μὲν, ὡς πρὸς τὰς ἐξ αὐτοῦ Συλλαβὰς, σύνθετον δὲ καὶ αὐτὸ, ὡς συγκείμενον ἐξ ὧν εἰρήκαμεν. τῶν γὰρ ὑπὸ τὴν αἴσθησιν οὐδ' ὁ, τιοῦν, ἁπλοῦν, νῷ μόνῳ διακρινόμενον τῶν κυρίως ἁπλῶν. καὶ Ἀρχὴ δὲ ὁμοίως διαφέρει Στοιχείου. εἴ γε ἀρχαὶ μέν εἰσιν ἥ τε Ὕλη καὶ τὸ Εἶδος, ἡ ἁπλῶς φημι, Φωνὴ καὶ τὸ ποιὸν τῆς κατ' αὐτὴν ἐκφωνήσεως, Στοιχεῖον δὲ, τὸ ἐκ τῶν τοιούτων Ἀρχῶν συγκείμενον, οὐχ ὡς προϋφεστώτων καθ' ἑαυτὰ, τῆς Ὕλης φημὶ καὶ τοῦ Εἴδους. Οὐδέτερον γὰρ θατέρου χωρὶς ὑποστῆναι δυνατὸν, ἀλλὰ λόγῳ μόνῳ καθ' ἑαυτὸ ἑκατέρου θεωρουμένου. ἔνθεντοι καὶ φωνὴν ἐνταῦθα λέγει, οὐ τὴν φυσικῶς καὶ ἁπλῶς ἡμῖν τοῖς Ἀνοῖς προσοῦσαν. φύσει γὰρ φωνητικὸν ζῷον ὁ ἄνος. διὸ καὶ φύσει πρόσεστιν αὐτῷ τὸ φωνεῖν, ὡς καὶ τὸ ὁρᾶν καὶ τὸ ἀκούειν, καὶ ἁπλῶς τὴν ἄποιον, ἀλλὰ τὴν ὑπὸ τῆς ἡμετέρας ἐπινοίας ποιὸν τὸν σχηματισμὸν καὶ τὴν μόρφωσιν τῆς προφορᾶς ἐκ συνθήκης παραλαβοῦσαν. οἷα τὰ Ὀνόματα καὶ τὰ Ῥήματα καὶ τὰ λοιπὰ μέρη τοῦ Λόγου, ἃ ἐκ τῆς ἡμετέρας ἐπινοίας λαβόντα, ὡς εἴρηται, τὴν τοιάνδε Εἰδοποίησιν, Ὕλη κέχρηται τῇ κατὰ φύσιν ἡμῖν ἀποίῳ φωνῇ. ὡς γὰρ ἡ θύρα λέγεται μὲν εἶναι ξύλον, καὶ τὸ νόμισμα χαλκὸς, ἢ χρυσὸς, διὰ τὸ ἐκ τούτων ἴσχειν τὴν γένεσιν, φυσικῶν ὄντων πραγμάτων, αὐτὰ κατὰ τοὺς ἐπιτεθέντας τοῖς ὑποκειμένοις χαρακτῆρας καὶ τὰ σχήματα τὸ εἶναι ἔχοντα, (ὅταν γὰρ τὰ ξύλα τοιῶσδε, ἢ τοιῶσδε μορφωθῇ συντεθέντα, τότε λέγομεν γεγονέναι Θύραν, ἢ Θρόνον, ἄλλως δ' οὔ. ἢ ὅταν ὁ χρυσὸς τοιούσδε δέξηται τύπους, τότε γίγνεται νόμισμα) οὕτω κἀνταῦθα οὐχ ἁπλῶς φωναὶ, τοῦτ' ἔστιν ἄποιοι καὶ ἀνείδεοι τὰ Ὀνόματα καὶ τὰ Ῥήματα καὶ πρὸ αὐτῶν τὰ Στοιχεῖα, ἀλλὰ τοιῶσδε μορφωθεῖσαι καὶ σχηματισθεῖσαι ὑπὸ τῆς λεκτικῆς φαντασίας. ὥστε τοιαῦτα μὲν λέγεται, τοῦτ' ἔστιν Ὀνόματα καὶ Ῥήματα καὶ Στοιχεῖα παρὰ τὸ εἶδος, φωνὴ δὲ, παρὰ τὴν ὕλην. ὡς γὰρ ἔχει πρὸς Ἀνδριάντα χαλκὸς, ἢ πρὸς Κλίνην ξύλον, ἢ πρὸς ἄλλοτι τῶν μεμορφωμένων τεχνητῶν τὸ ἄμορφον πρὶν μορφωθῇ, οὕτως ἔχει καὶ ἡ φωνὴ οἵα πρώτη ὕλη πρός τε τὸ Στοιχεῖον καὶ τὰ ἐξ αὐτοῦ Στοιχειωτά. ἃ καὶ ἔναρθροι καλοῦνται φωναὶ, διὰ τὸ τὰς συμπληρούσας ἑκάστην αὐτῶν συλλαβὰς ἄρθροις ἐοικέναι ζῴου, δυναμένας ἀπ' ἀλλήλων διακρίνεσθαι κατ' ἐνέργειαν. κἀντεῦθεν δῆλον ὡς καὶ τὰ Ὀνόματα καὶ τὰ Ῥήματα κατὰ συνθήκην, ἀλλ' οὐ φύσει εἰσί. λογικῆς γὰρ ἐπίνοια Ψυχῆς ὑπέστησεν αὐτά. εἶεν δ' ἂν ἄλλως καὶ φύσει τὰ αὐτά. ᾗ μὲν γὰρ τέθεινται ὑπότου ὀνοματοθέτου, θέσει ἂν εἶεν. συνέθεντο γὰρ Ἕλληνες μὲν, τοῖσδε τοῖς ὀνόμασι καλεῖν τὰ πράγματα, Ἰνδοὶ δ' ἑτέροις, καὶ ἄλλοις Αἰγύπτιοι. ᾗ δ' ὁ τοιοῦτος τῆς τῶν πραγμάτων φύσεως ἐπιστήμων ὤν, καὶ πρὸς τὴν ἰδίαν ὁρῶν τοῦ πράγματος φύσιν, καὶ πρὸς τὴν ἀναλογίαν τοῦ ἄρρενος καὶ τοῦ θήλεος τῶν κυρίως ἐν τοῖς θνητοῖς ζῴοις ὁρᾶσθαι πεφυκότων, οἰκείως τῇ ἑκάστου φύσει συναρμόσας ἐπεφήμισε τὰ ὀνόματα, φύσει ἂν καλοῖτο. οὐ γὰρ ἀσκέπτως τῶν πραγμάτων τὰ μὲν, ἀρσενικῶς, τὰ δὲ, θηλυκῶς, οἱ τῶν ὀνομάτων δημιουργοὶ προσηγόρευσαν.

γόρευσαν, ἀλλὰ τὰ μὲν, ὡς ὑποδεκτικὰ ὄντα, καὶ μὴς λόγον ἔχοντα πρὸς τὰ ὑποδεχόμενα, διὰ τοῦ θηλυκοῦ γένους ὀνομάζειν ἐδοκίμασαν, τὰ δὲ, ὡς ἐνεργοῦντά πως, οἰκείως ἔχειν πρὸς τὴν τοῦ ἄῤῥενος ἀναλογίαν ἐνόμισαν, ἢ ξανότερον, ἢ ἀμυδρότερον τὴν ἀναλογίαν εὑρόντες. Φωνὴ δέ ἐστι κατὰ μὲν Ζήνωνα, ἀέρος πληγὴ, ἢ ἀὴρ πεπληγμένος. Ἔνθεν τοι καὶ Ὅμηρος Ἰλ: σ, τοὺς κήρυκας ἠεροφώνους εἶπε. νοητέον δὲ τὴν πληγὴν τελεῖσθαι ὑπὸ τῶν ἐν τοῖς ἐμψύχοις εἴτ' οὖν ζῴοις ὀργάνων. τὸ γὰρ ὑπὸ τῶν ἀψύχων τελούμενον, μάλιστα ψόφος. Φῖφος δέ τις τὸν ὅρον ὡς μὴ ἀντιστρέφοντα (καὶ γὰρ εἴ τι μὲν Φωνὴ, τοῦτο πληγὴ ἀέρος, οὐ μὴν καὶ εἴ τι πληγὴ ἀέρος, τοῦτο καὶ Φωνή. πλήττεται γὰρ ὁ ἀὴρ καὶ ἐρίῳ τυχὸν, οὐ μὴν Φωνὴν ἀποτελεῖ) ἐπιδιορθούμενος, φησὶν, ὡς Φωνή ἐστιν ἀποτέλεσμα τοῦ ἐν ἡμῖν ἀποτεθησαυρισμένου Πνεύματος, διοδευομένη διὰ τραχείας ἀρτηρίας καὶ εἰδοποιουμένη διά τε γλώττης καὶ ἐπιγλωττίδος. οἱ δὲ παλαιοὶ τὴν μὲν Φωνὴν ἁπλῶς εἴτ' οὖν γενικῶς ἐπὶ παντὸς Ζῴου λαμβάνουσιν, οὐ μὴν ἀλλὰ καὶ ἐπὶ τῶν ἀψύχων αὐτῶν, ὡς ὁ παρὰ Πλουτάρ: Ἀρέσκ: δ', Κφ: ιθ', Ἐπίκουρος τὴν Φωνὴν εἶναι ἔλεγε ῥεῦμα ἐκπεμπόμενον ἀπὸ τῶν φωνούντων, ἢ ἠχούντων, ἢ ψοφούντων, τὸ ἐν γένει ἀκουόμενον Φωνὴν λέγων, ἐπὶ δὲ Ἀνοῦ τὴν αὐδὴν ἰδίως, λέγοντες, πᾶσα μὲν αὐδὴ, καὶ Φωνή ἐστιν, οὐ μὴν δὲ καὶ πᾶσα Φωνὴ, αὐδὴ λεχθείη ἄν. ἡ γοῦν τοῦ κριοῦ φασιν, αὐδὴ μὲν οὐκ ἂν εἴη, Φωνὴ δέ. τὴν γοῦν αὐδὴν μὴ φθογγὴν ἁπλῶς οὖσαν, ἢ τὴν τυχοῦσαν Φωνὴν, ἀλλὰ Σύνδεσμον ἀποσῴζουσαν ἐν ἁρμονίου φθογγῆς εἴτ' οὖν Φωνῆς, καιριώτερον δ' εἰπεῖν λαλιᾶς, (δι' ὃ καὶ παρὰ τὸ ἄυω τὸ φωνῶ, καὶ τὸ δέω τὸ δεσμῶ αἰτιολογεῖσθαι δοκεῖ) ἀνόις φασὶ, προσῳκειῶσθαι μάλιστα, καθὰ καὶ ὁ λόγος. εἰ δέποτε καὶ ἡ Φωνὴ ὁμοίως τῇ αὐδῇ ἐπὶ ἀνοῦ ἰδιάσοι καινότερον, θεραπεύεσθαι τότε φιλοσόφως τὴν τόλμαν δι' ἐτυμολογίας. τηνικαῦτα γάρ φασιν οἱ ἀμφὶ τὸν παρὰ Πλουτάρχῳ Ἀρέσκ: Βιβλ: δ', Κφ: ιθ', Πλάτωνα, οὐχ ὁρίζομεν τὴν τοιαύτην φωνὴν ἀέρα πεπληγμένον εἶναι, ἢ ἴδιον αἰθητὸν ἀκοῆς, ἀλλὰ δηλαδὴ φῶς νοῦ. τοιοῦτος γὰρ ὁ προφορικὸς Λόγος, διαφωτίζων τοῖς ἀκροαταῖς τὸν νοούμενον, τὸν ἐν διάθετον δηλαδή. ὃς ἐν καρδίᾳ μελετᾶται.

Οὐ γὰρ ὡς ἔτυχεν ἐπιπλέκεται ἀλλήλοις εἰς σύστασιν Συλλαβῆς, ἀλλ' ὡς καὶ τ' οὔνομα δηλοῖ, στείχει τε καὶ εὐτάκτως κινούμενά πως, συντάσσεται κατὰ λόγον.

Ἀπορήσειέ τις, τί ὅτι περὶ συντάξεως τῶν τοῦ Λόγου μερῶν εἰπεῖν προθέμενος, ἀπὸ τῶν Στοιχείων ἤρξατο; τοῦ Λόγου γὰρ μέρη αἱ Λέξεις, οὐ τὰ Στοιχεῖα. Ἢ ὅτι ὥσπερ τὰ τοῦ Λόγου μέρη ὀρθῶς καὶ κατὰ λόγον ἀλλήλοις συμπλεκόμενα, τὸν Λόγον ἀποτελεῖ, οὕτω τοι καὶ ἡ τῶν Στοιχείων φησὶ, συμπλοκὴ οὐθὲν ἄτακτον ἔχει, ἀλλ' ὡς κἀκτοῦ ὀνόματος δῆλον, στείχει καὶ αὐτὰ κινεῖται, ὅ ἐστιν εὐτάκτως συντάσσεται καὶ κατὰ λόγον, ὃν ἐφεξῆς ἐρεῖ. ἢ τὸ κατὰ λόγον, ἀντὶ τοῦ κατὰ τάξιν ἐκληπτέον παραλλήλως, ὡς ἔχει καὶ τὸ, ἡ Φύσις ἄλογος οὖσα, κατὰ τὸν τῆς γνώσεως δηλαδὴ λόγον, πάντα κατὰ λόγον, τὸν τῆς τάξεως δηλαδὴ ποιεῖ. ἀπαντᾷ δὲ πρὸς μὲν τὸ στείχει, τὸ κινεῖται, πρὸς δὲ τὸ εὐτάκτως, τὸ συντάσσεται. καὶ ἔστι τὰ δεύτερα τῶν προτέρων ἑρμηνευτικά. Προσείληπται δ' ἔτι ἐν τῷ δ', τὰ Στοιχεῖα καὶ διὰ τὸν ὁρισμόν. ἐν γὰρ τοῖς πρὸ τούτου οὐχ ὥρισται. καὶ ὡς ἂν μάλιστα ὁρισάμενος αὐτὰ, καὶ περὶ τῆς (ὅπερ ἦν αὐτῷ πρόργου) αὐτῶν πρὸς ἄλληλα ποιᾶς συμπλοκῆς διέλθῃ.

προκατασκευάζει δὲ καὶ τὰ μέλλοντα ἐχομένως περὶ τῶν Στοιχείων ῥηθήσεσθαι. ἐπειδὴ γὰρ μέλλει τὴν τῶν Στοιχείων ἐκτίθεσθαι πρὸς ἄλληλα συμπλοκὴν, προπαρασκευάζει ἐντεῦθεν τὸν ἀκροατὴν, διανιστῶν τὴν τούτου διάνοιαν εἰς τὴν τῶν ῥηθησομένων προσοχήν. τὸ δὲ τοιοῦτο Προοικονομία ἀκούει, ἢ καὶ Προαναφώνησις. καὶ ἡ μὲν Προοικονομία προδιοίκησίς τίς ἐστι καὶ προδιαίτησις τῶν ῥηθησομένων, ἡ δὲ Προαναφώνησις, καὶ προέκθεσις καὶ ὑπόσχεσις καὶ περιοχὴ ἀκούει. ἀρεταὶ δὲ αὗται Προοιμίων κατὰ τοὺς παλαιοὺς, τὰ μέλλοντα πλατύτερον ῥηθήσεσθαι ἐν βραχεῖ προσυνιστῶσαι. τοῦτ' αὐτὸ καὶ προοιμιαζόμενος, ἐποιήσατο, τὸν σκοπὸν τῆς ὅλης πραγματείας τοῦ Δ', Βιβλίου, προαναφωνήσας. εἴγε Προοίμιον ὡς ἁπλῶς εἰπεῖν κατὰ τὸν Φίφον, ἀκροατῶν ἐστι παρασκευὴ, καὶ τοῦ πράγματος ἐν κεφαλαίῳ μὴ εἰδόσι δήλωσις. συντελεῖ γὰρ ἡ Προαναφώνησις ἐν τοῖς Προοιμίοις, ὅτι μεγάλα τινὰ ἐρεῖ ὁ λέγων, καὶ οὐ μικροπρεπὴς αὐτῷ ἔσται ὁ λόγος, ἐλπίδας ὑποβάλλοντι, ὡς οὐ περὶ τῶν τυχόντων ἐρεῖ. οὗ δὴ χάριν καὶ τὸ τοῦ Θεοδώρου Ὄνομα πρόσκειται κατὰ τὴν ἀρχὴν, ὡς ἂν τῇ τοῦ προσώπου περιφανείᾳ τοὺς ἐν τυγχάνοντας ἐφελκύσηται. ἀξιοπιστία γὰρ τοῦ διδάσκοντος εὐπαράδεκτα μὲν καθίστησι τὰ λεγόμενα, προσεχεστέρους δὲ τοὺς διδασκομένους παρασκευάζει.

Διαίρεσις τῶν Στοιχείων.

Τῶν οὖν Στοιχείων τὰ μὲν, ἀφ' ἑαυτῶν τυγχάνει ἀποτελοῦντα Φωνήν.

Ὅ ἐστι Συλλαβὴν καταχρηστικῶς. προσάπτει δὲ τοῖς ἀψύχοις Φωνὴν, ὡς ἀπὸ προσώπου τοῦ ἐκφωνοῦντος.

Οἷον τὰ Φωνήοντα καλούμενα.

Ἐξ ἐτυμολογίας, διὰ τὸ καθ' ἑαυτὰ ἐκφωνεῖσθαι δύνασθαι δίχα τῆς τῶν Συμφώνων ἐπιπλοκῆς, καὶ τοῖς ἄλλοις συμπλεκόμενα, Φωνὰς ἐνάρθρους ἀποτελεῖν. καὶ τῶν μὲν Ἡμιφώνων ἀναπληροῦντα τὸ ἐνδέον, ὁλοκλήρους κατασκευάζει τοὺς φθόγγους, τῶν δ' Ἀφώνων τρέπει καὶ μεταβάλλει τὰς φύσεις, ἐμπνέοντα τῆς ἰδίας δυνάμεως, ἵνα γένηται ῥητὰ τὰ ἄρρητα.

Τὰ δὲ, Ψόφον. οἷον τὰ Σύμφωνα πάντα, Φωνὴν δ' οὔ, ἄνευ τῆς τῶν Φωνηέντων ἐπιπλοκῆς.

Ψόφος Φωνῆς διαφέρει, ὡς γένος εἴδους. καὶ Ψόφος μέν ἐστι πληγὴ ἀέρος αἰσθητὴ ἀκοῇ. ὃς καὶ ἀπὸ ἀψύχων πολλάκις γίνεται. Φωνὴ δὲ, Ψόφος ἐξ ἐμψύχου γιγνόμενος. Σύμφωνα δ' εἴρηται, παρὰ τὸ σὺν μὲν τοῖς Φωνήεσι Φωνὴν, καθ' ἑαυτὰ δὲ, οἱονεὶ ἄψυχα σώματα καθεστῶτα, Ψόφους ὁποιουσδήτινας ἀποτελεῖν, ῥοίζων, (Ρ) ἢ συριγμῶν, (Σ) ἢ ἀποπτυσμῶν, (Π) ἢ τοιούτων τινῶν ἄλλων. Ἰστέον δὲ ὡς οὐχ ἁπλῶς τῶν ἐμψύχων ἐστὶν ἡ Φωνή. οὐδὲ γὰρ καὶ τῶν Φυτῶν, ἢ καὶ τῶν Ζωοφύτων, ἀλλὰ τῶν Ζῴων, καὶ οὐδὲ τούτων ἁπλῶς, ἀλλὰ τῶν ἀναπνεῖν πεφυκότων, εἴτ' οὖν τῶν ἐχόντων πνεύμονα. τὰ γὰρ ἔντομα τῶν Ζῴων, καὶ ἁπλῶς ὅσα οὐκ ἔχει πνεύμονα, φωνεῖ μὲν οὔ, ψοφεῖ δὲ, τῷ ἔσω πνεύματι, οὐ τῷ θύραζε. εἴγε Ψόφος τρίψις τοῦ ἔσω πνεύματός ἐστι. καὶ τῶν μὲν ψοφούντων τὰ μὲν, βομβεῖ, ὡς ἡ μέλισσα, τὰ δὲ, τρίζει, ὡς τ' ἄλλα τῶν ἐντόμων, καί τινα τῶν νηκτῶν. τὰ δὲ, ῥοίζει. ὡς τῶν ὀστρακοδέρμων οἰκτένες, καὶ αἱ θαλλάττιαι Χελιδόνες. τὰ δὲ, ἄλλο ἄλλως, ὡς πέφυκεν ἕκαστον. τῶν δ' αὖ Φωνούντων τὰ μὲν, καὶ διαλέγεται, ὧν ἡ γλῶττα λεπτὴ καὶ μετρίως πλατεῖα καὶ ἀπολελυμένη, ὡς τῶν ὀρνίθων

τὰ

τὰ ᾠδικὰ, ἰδίως δὲ ὁ Ἄνος, τὰ δὲ, οὐ διάλεκτον ἀφίησιν, ἀλλὰ τὰ μὲν, τριγμὸν, ὡς ὁ Δελφίν. ὃς καὶ μύζει, ἐξελθὼν ἐν τῷ ἀέρι, τὰ δὲ, συριγμὸν, ὡς οἱ Ὄφεις. τὰ δὲ, σιγμὸν μικρὸν, ὡς αἱ Χελῶναι. τὰ δὲ, ὀλολυγόνα, ὡς τῶν Βατράχων οἱ ἄρρενες, ἀνακαλοῦντες τὰς θηλείας πρὸς τὴν ὀχείαν, τὰ δὲ, ἄλλο ἄλλην ἀδιάρθρωτον φωνήν. καὶ ὧν μὲν διάλεκτος, τούτων καὶ Φωνὴ, ὧν δὲ Φωνὴ, οὐ πάντως καὶ διάλεκτος. (Ἀριστοτέλης δ', περὶ Ζῴων Ἱστορίας.

Τούτων δ' αὖ πάλιν,

Τῶν ἀποτελούντων τὸν Ψόφον. ἔστι δ' ὑποδιαίρεσις, ἑκάτερον τῶν τῆς α', διαιρέσεως τμημάτων ὑποτέμνουσα. τῶν δ' Ἐπιρρημάτων θάτερον παρέλκει.

Τὰ μὲν, Ψοφεῖ ἀτελέστερον. οἷον, τὰ Ἄφωνα, τὰ δὲ, τελεώτερον, οἷον τὰ Ἡμίφωνα.

Τὰ μὲν Ἡμίφωνα μετὰ μὲν τῶν Φωνηέντων, κρεῖττον ἐκφέρεται, καθ' ἑαυτὰ δὲ, χεῖρόν τε καὶ οὐκ αὐτοτελῶς. τὰ δὲ Ἄφωνα οὔτε τὰς τελείας, οὔτε τὰς ἡμιτελείους φωνὰς ἔχει καθ' ἑαυτὰ, μεθ' ἑτέρων δ' ἐκφωνεῖται. Ὧν δὲ μὲν οὖν, περὶ τῆς δυνάμεως τῶν Στοιχείων εἴρηκεν, ἑξῆς δὲ, περὶ συμπλοκῆς. τὴν δὲ τῶν Στοιχείων συμπλοκὴν ἐπὶ τὴν ὀρθογραφίαν ἀνακτέον. ἧς τρία τὰ εἴδη, σύνταξις, ποιότης, ποσότης. καὶ σύνταξις μὲν, καθ' ἣν ζητεῖται ἐπὶ τοῦ ἀσθενὴς φέρε, τὸ σ, πότερον κατὰ σύλληψιν, ἢ κατὰ διάστασιν ἀναγνωστέον; ποιότης δὲ, ὡς ἐν τῷ ἔμπορος, πότερον τῷ μ, ἢ τῷ ν, χρηστέον; ποσότης δὲ, ὡς τοῦ νεῖκος τὸ νι, πότερον μονοφθόγγῳ, ἢ διφθόγγῳ γραπτέον. περὶ γοῦν ποιότητός τε καὶ ποσότητος ἐν τῷ γ', διειληφὼς, ᾧδε περὶ Συντάξεως πραγματεύεται.

Συμπάντων δὲ,

Φωνηέντων τε καὶ Συμφώνων. ἔστι δ' ἐπιδιαίρεσις, κατὰ δευτέραν ἐπιβολὴν τὰ αὐτὰ Στοιχεῖα τέμνουσα.

Τὰ μὲν, Προτακτικὰ, τὰ δὲ, Ὑποτακτικά.

Φωνήεντα μὲν, Φωνηέντων, Συμφώνων δὲ Σύμφωνα.

Τῶν μὲν γὰρ Φωνηέντων Προτακτικὰ, ὡς ἐπὶ τῶν Διφθόγγων τὸ α, ε, ο, Ὑποτακτικὰ δὲ τὰ ι, υ. Προτακτικόν γε μὴν καὶ αὐτὸ τοῦ, τοῦ ι. ὡς ἐπὶ τοῦ μυα, καὶ υἱὸς, καὶ ἅρπυα, καὶ ἑτέρων πλειόνων.

Τὰ μακρὰ τῶν Φωνηέντων παρέλειψεν, ὡς Οὐδέτερα. οὔτε γὰρ Προτακτικά τοῦ τῶν Φωνηέντων εἰσὶν, οὔθ' Ὑποτακτικὰ, ὅτι μὴ ἀπὸ Κλίσεως κατὰ διάλεκτον. ὡς ἐπὶ τοῦ ηὐλόγει καὶ ηὔχετο. ὅθεν καὶ Γῶνες τῆς αὖ Διφθόγγου τὸ α, εἰς ω, τρέποντες, κατὰ διάλυσιν ἀναγινώσκουσι, τὸ θαῦμα θώϋμα λέγοντες, καὶ τὸ ἑαυτὸν, ἑωϋτόν. εἰ δὲ κατ' ἀρχὰς τοῦ β', Προτακτικά φησιν, εἶναι καὶ τὰ μακρὰ, ἀλλὰ μόνου τοῦ ἀνεκφωνήτου ι, τοῖς μὲν πάλαι προσγραφομένου, ἤδη δὲ ὑπογραφομένου διὰ τὸ ἀνεκφώνητον.

Τῶν δὲ συμφώνων Προτακτικὰ μὲν,

Οὐ Συμφώνων, ἢ Φωνηέντων ὡρισμένως Προτακτικὰ, ἀλλ'

Ὡς οὐδαμοῦ ἐπὶ τέλει τασσόμενα Λέξεως, τὰ Δασέα, καὶ Ψιλὰ, καὶ Μέσα.

Καὶ ὡς εἰπεῖν, τὰ Ἄφωνα. δι' ὃ καὶ οὐ πρὸς,

πρὸς, τρέψασα τὸ σ̃, εἰς τ̃, δωρικῶς, διὰ τὸ μὴ δύνασθαι Λέξιν Ἑλληνικὴν εἰς Ἄφωνον καταλήγειν, προσλαμβάνει τὸ ι̃, καὶ γίνεται προτί.

Τῶν Ἀμεταβόλων τὸ λ̃, καὶ μ̃, καὶ τῶν Διπλῶν τὸ ζ̃.

Ἐπὶ δὲ τέλει Συλλαβῆς, τοῦτ' ἔστιν ἐν μέσῳ Λέξεως τάσσεται, Προτακτικὰ γιγνόμενα τοῦ τῆς ἑπομένης Συλλαβῆς κατάρχοντος συμφώνου. εἴγ' ἡ εἰς Σύμφωνον Λήγουσα Συλλαβὴ, καὶ τὴν ἑξῆς ἔχει ἀπὸ συμφώνου ἀρχομένην. Ἄλ-μη, ὄμ-φαξ. ἀριθμός. ἄφ-νω. ἄσθ-μα. ἀτ-θίς. Ἴακ-χος. Τί δ' ὅτι μὴ κατὰ τὸ ξ̃, καὶ ψ̃, καὶ τὸ ὁμοειδὲς ζ̃, ἐπὶ τέλει τάσσεται Λέξεως; Ἢ ὅτι τὸ μὲν ξ̃, καὶ ψ̃, ληκτικὸν ἔχοντα τὸ σ̃, ληκτικὸν ὂν Ὀνομάτων τε καὶ Ῥημάτων, τούτου χάριν καὶ ταῦτα ληκτικὰ Λέξεως γίνεται. τοῦ δὲ ζ̃, τὸ δ̃, τυγχάνει ληκτικὸν, τῶν μέσων ὂν, ἐπὶ τέλει Λέξεως Ἑλληνικῆς μὴ πεφυκότων, ὡς εἴρηται, τάσσεσθαι. δι' ὃ οὐδὲ τὸ ζ̃. τὸ δὲ κ̃, ἐν τῷ οὐκ ἄλλος, ἐν τέλει μὲν, οὐλλ' οὐ Λέξεως, ὡς δ' ἄντις εἴποι, Συλλαβῆς. εἴγε καθ' ἑαυτὴν ἡ οὐ ἀπόφασις, οὐδαμοῦ πέφυκεν ἐννοεῖσθαι. ἄλλως τε τὸ κατ' αὐτὴν κ̃, τῶν ἐρχομένων ἐστὶ, καὶ ἀποπιπτόντων πάλιν, οὐ θεματικόν.

Καὶ τῶν μὲν Δασέων;

Ἐντεῦθεν ἄρχι τέλους τὴν τῶν Συμφώνων ἐκτίθεται πρὸς ἄλληλα συμπλοκὴν, τίνα μὲν αὐτῶν εἰσι κατὰ σύλληψιν, καὶ τίνα κατὰ διάστασιν. καὶ πρῶτον τὴν τῶν Δασέων πρὸς ἄλληλα. Προτακτικὰ γοῦν εἰπὼν ἀνωτέρῳ, ᾧδε καὶ τίνων εἰσὶ Προτακτικὰ, λέγει.

Τὸ φ̃, καὶ χ̃, ἐπιδέχεται τὸ θ̃. ἐχθρός. φθορά. ἀνάπαλιν δ' οὔ.

Τὸ θ̃, δηλαδὴ οὐδέτερον τῶν φ̃, χ̃, ἐπιδέχεται, προταττόμενον τούτων.

Τούτοις δ' ὁμοίως καὶ τὰ Ψιλά τε καὶ Μέσα ἔχει. ἀκτίς. ἅπτω. ὄγδοον. βδέλλα.

Συμπλοκὴ τῶν Ψιλῶν τε καὶ Μέσων, ἑκατέρων πρὸς ἑαυτὰ, πρὸς ἄλληλα δ' οὐδαμῶς, ὅ ἐστι Ψιλῶν πρὸς Μέσα. ὥσπερ οὖν τῶν Δασέων τὸ φ̃, ἢ χ̃, ἐπεδέχοντο τὸ θ̃, εἴς τε Προτακτικὴν καὶ Ὑποτακτικὴν συλλαβὴν κατὰ τὴν αὐτὴν δηλονότι Λέξιν, οὕτω καὶ τῶν Ψιλῶν τὸ κ̃, ἢ π̃, ἐπιδέχονται τὸ τ̃, καθ' ἑκάτερα. οἷον ἀκτίς. ἅπτω. καὶ τῶν Μέσων τὸ β̃, ἢ γ̃, ἐπιδέχονται τὸ δ̃. οἷον βδέλλα. ὄγδοον. τὸ δὲ, ἀνάπαλιν δ' οὔ, ἀπὸ κοινοῦ. τὸ γὰρ δ̃, οὐδέτερον τῶν β̃, γ̃, ἐπιδέχεται, προτασσόμενον τούτων.

Ὅτι μὴ ἡ τοῦ γδ̃, Σύνταξις, ἐπὶ Ὑποτακτικῆς Συλλαβῆς μόνον.

Οὐ κατὰ σύλληψιν δηλονότι, ὡς καὶ ἡ τῶν προληφθέντων, ἀλλ' ἐν διαστάσει, ὡς μὴ κατάρχουσα Προτακτικῆς Συλλαβῆς. οὐ γὰρ πέφυκε τὸ γ̃, πρὸ τοῦ δ̃, κατ' ἀρχὴν Λέξεως συντάσσεσθαι. ὅθεν χωρὶς Συλλαβιστέον. οἷον ὄγ-δοον. εἰ δέ σου τὰς ἀκοὰς τοῖς γδούποις γδουποῦσιν οἱ ποιηταὶ, ἴσθι ὡς ἰδιάζουσιν ἐκεῖνοι πολλαχοῦ τῷ θελήματι, καὶ οὐ λαλοῦσι πρὸς ἀκρίβειαν τὴν κατὰ γραμματικούς. κατὰ προσθήκην γάρ ἐστι τὸ γ̃, ἐν τῷ γδοῦπος. Τῶν γοῦν Ψιλῶν τοῖς Μέσοις μηδόλως πεφυκότων συμπλέκεσθαι, ὡς εἴρηται, οὐκ ἄρα εὐλογώτερον ἐπὶ τῶν τοῖς ἀττικοῖς εἰς τὸ διττὸν μεταποιουμένων ΤΤ, τὸ γράφειν διὰ τοῦ τγ̃, οἷον ὀρύτγω, ὡς ἐν τῷ τέλει τοῦ γ', βιβλίου ἐμφέρεται. οὐ δὲ γὰρ, ἐπειδὴ ἐν τοῖς παλαιοτέροις τῶν ἀντιγράφων ὁρῶμεν ἀπάτῃ τῶν γραφέων οὕτω γραφόμενα, ἤδη καὶ ἡμεῖς τὰ μηδόλως οἷά τε συμπλέκεσθαι

θαι συμβιβάσομεν. οἱ μὲν γὰρ παλαιοὶ τῶν γραφέων τοῦ μεταξὺ τῶν δύοιν ΤΤ̃, διαστήματος τὸ διάκενον ἐκκλίνοντες, τοῦ δευτέρου Τ̃; τὸ ἐντὸς ἀπολαμβανόμενον κέρας ἀπέτεμνον τοῦ συντόμου χάριν, μονόγωνον οὕτωσὶ γράφοντες, ΤΓ̃, ὡς ἔστιν ἰδεῖν κἀν τῇ βάσει τῆς κατὰ τὸ ἱπποδρόμιον τῆς Κωνσταντινουπόλεως πυραμοειδοῦς στήλης. Τὸ τετράπλευρον θαῦμα τῶν μεταρσίων, ΚΡΕΙΤΓΟΝ νεουργεῖ, κτ΄. οἱ δέ γε μετ' αὐτοὺς, οὐ χὶ τ̃, γ̃, δὲ εἶναι τοῦτο ὑπονοήσαντες, εἰς τὸ ὀξύρρυγχον γ̃, τὸ στρογγύλον τ̃, μετέλαβον, γράφοντες οὕτωσὶ, τγ̃. οἵ γε μὴν ὕστερον, τὸ διημαρτημένον ἐπιδιορθούμενοι, τῆς ἐπιτεινούσης εὐθείας τὸ ἐκτὸς ἀπέτεμον μέρος, ἀντιστρόφως τοῖς πρότερον γράφειν ἀξιώσαντες οὕτωσὶ τΓ̃, ἵνα μὴ γ̃, ἀλλ' αὐτὸ τοῦθ', ὅπερ ἐστι, Τ̃, νοοῖτο. οὐδὲν οὖν καινὸν, εἴγε τοῦ κατὰ τὸ γράφειν εὐμαροῦς χάριν οἱ γραφεῖς περὶ τοὺς χαρακτῆρας τῶν Στοιχείων καινοτομοῦσιν. ὁπότε κἀπὶ τῶν κατὰ Προσῳδίαν πνευμάτων, τῆς Δασείας φημὶ καὶ τῆς Ψιλῆς, ἐκ τοῦ Η̃, δίχα τμηθέντος Η, γεγενημένων, θάτερον μέρος τῆς ἐπιτεινούσης ἀφαιροῦσιν εὐθείας, γράφοντες οὕτωσί [11]. καὶ γραφεῦσι γάρτι δοτέον. οὐ γὰρ ἀλόγως τῶν δύοιν τΓ̃, τὰς ὑποτεινούσας ἀνίσους παράγουσιν, ἀλλ' ἵνα μὴ τῇ τούτων παραλλήλῳ ἰσότητι συνελθοῦσαι αἱ ἐπιτείνουσαι ΤΤ̃, ἐν τὰ δύω Στοιχεῖα, καὶ τοῦτο παρηλλαγμένον ποιήσωσιν.

Ἔτι τε τὰ Δασέα

Συμπλοκὴ τῶν Δασέων πρὸς τὰ Ψιλά.

Τοῖς Ψιλοῖς τε καὶ Μέσοις οὐδέποτε συμφέρεται, προταττόμενα.

Κατὰ σύλληψιν δηλαδὴ, ὅ ἐστιν εἰς Προτακτικὴν Συλλαβήν.

Δ.

Ὑποταττόμενα δὲ, τοῖς Ψιλοῖς καὶ ἐν διαστάσει. ἀτ-θίς. σαπ-φώ. ἴακ-χος.

Δι' ὃ καὶ τοῦ ρ̃, διπλασιαζομένου, τὸ μὲν προταττόμενον, Ψιλοῦται, τὸ δὲ ὑποταττόμενον, Δασύνεται, ἵνα μὴ συνενεχθῇ Δασὺ Ψιλοῦ προταττόμενον.

Οὐκ ἔτι δὲ καὶ τοῖς Μέσοις.

Ἀπὸ κοινοῦ τὸ, συμφέρεται, ὑποταττόμενα τὰ Δασέα. τὸ δὲ σύγχυσις, καὶ ἐγχωρεῖ, καὶ τὰ ὅμοια, οὐ φύσει, κατὰ δὲ τροπὴν τοῦ ν̃, εἰς τὸ γ̃.

Τῶν δὲ Ἀμεταβόλων

Συμπλοκὴ τῶν Ἀμεταβόλων πρὸς ἄλληλά τε καὶ τὰ Δασέα καὶ Ψιλὰ καὶ Μέσα. τὰ δ' Ἀμετάβολα λέγεται καὶ ὑγρὰ, διὰ τὸ λείαν καὶ οἱονεὶ ὑγρὰν ἀποτελεῖν τὴν ἑαυτῶν ἐκφώνησιν, προφερόμενα.

Τὸ μὲν ν̃, πρὸ τοῦ μ̃, κεῖσθαι οὐ πέφυκεν ἐπὶ τῆς αὐτῆς Λέξεως.

Οὔτε κατὰ σύλληψιν, οὔτε κατὰ διάστασιν. οὐ δὲ τὸ μ̃, πρὸ τοῦ λ̃, ἐπὶ τῆς αὐτῆς. ὅθεν ἐν μέσῳ Λέξεως τὴν ἀπὸ συγκοπῆς κακοφωνίαν τοῦ μ̃, καὶ λ̃, θεραπεύουσιν οἱ παλαιοὶ, ἐπεμβάλλοντες τὸ β̃, καὶ φυλάσσοντες τὸ μ̃, ὡς ἐν τῷ παραμέμβλωκεν. ἐν ἀρχῇ δὲ μὴ δυναμένων ὁμοῦ κεῖσθαι τῶν τριῶν μ̃, β̃, λ̃, μήτε μὴν τῶν δύοιν μ̃, λ̃. οὔτε μ̃, β̃. ἢ τ' ἀνάπαλιν, ἐξεβλήθη μὲν ἐξ ἀνάγκης τὸ μ̃, προετέθη δὲ τὸ β̃. καὶ οὕτως ἐξεφωνήθη ἡ Λέξις κάλλιον, βλώσκω. οὐκ ἀπὸ τούτου δὲ τὸ παραμέμβλωκεν. εἴη γὰρ ἂν βέβλωκεν, ὡς παρὰ τὸ βλώσω βέβλωκα. παρὰ δὲ τὸ μολῶ, παραμεμόληκε, καὶ συγκοπῇ μέμληκε, καὶ τροπῇ τοῦ ν̃, εἰς ω̃, καὶ παρενθήκῃ τοῦ β̃, παραμέμβλωκεν.

Δι.

Δι' ὃ καὶ ἐπὶ τοῦ κέκριμαι καὶ κέκλιμαι, τὸ πρὸ τοῦ μ̃, συμβαῖνον ν̃, ἀποβάλλεται.

Ἐπὶ τῶν εἰς νῶ, δισυλλάβων δηλονότι Θεμάτων. ἐφ' ὧν οὐδ' ὁ ἐνεργητικὸς παρακείμ: τὸ γ̃, τοῦ κ̃, προτασσόμενον ἔχει. τὰ δὲ εἰς νῶ, ὑπερδισύλλαβα Θέματα, τρέποντα μὲν ἐπὶ τοῦ ἐνεργητικοῦ παρακείμ: τὸ ν̃, εἰς γ̃, διὰ τὸ κ̃, ἐπὶ δὲ τοῦ παθητικοῦ θέλοντα ἀποσῴζειν πάλιν τὸ τελικὸν σύμφωνον τοῦ ἐνεργητικοῦ, διάγε μὴν τὸ ἀσυμβάτως ἔχειν τὸ ν̃, πρὸς τὸ μ̃, τινὰ μὲν, ἀποβάλλουσι τέλεον τοῦτο, τινὰ δὲ, τρέπουσιν εἰς μ̃ καὶ αὐτὸ, ἢ εἰς σ̃.

Ἐπικεῖσθαι μέντοι κατ' ἄμφω. ὡς ἐπὶ τοῦ μνεία. ἀμνός.

Ὑποτάσσεσθαι δηλαδὴ τῷ μ̃, τὸ ν̃ πέφυκεν εἴς τε Προτακτικὴν εἴς τε Ὑποτακτικήν. τοῦτο γὰρ βούλεται τὸ κατ' ἄμφω. ἐντεῦθεν δῆλον ὡς οὐδέποτε Ἀμετάβολον Ἀμεταβόλου ἐν συλλήψει ἡγεῖται, ὅτι μὴ μόνον τὸ μ̃, τοῦ ν̃.

Ἀνάπαλιν δὲ τὸ σ̃. οἷον σμῆνος. οὐδέποτε γὰρ Ὑποτακτικὸν τοῦ μ̃, ἐπὶ τῆς αὐτῆς.

Τοῦ γὰρ μ̃, Ὑποτακτικὸν μὲν τὸ ν̃, κατ' ἄμφω, Προτακτικὸν δὲ τὸ σ̃, καθ' ἑκάτερα. τὸ δὲ ἐπὶ τῆς αὐτῆς, παρέλκον δοκεῖ, Λέξεως δηλαδή. οὐ δὲ γὰρ οὐδ' ἐπὶ δύοιν. εἰ μὴ τὰ βάρβαρα νοεῖν ἐθέλοι τις. οὐδαμοῦ γὰρ ἐπὶ τέλει τασσόμενον Λέξεως, ὡς εἴρηται τὸ μ̃, οὐκ ἂν γένοιτο Προτακτικὸν τοῦ ἑτέρας κατάρχοντος Λέξεως σ̃. Σημείωσαι δὲ ὅτι τὸ σ̃, τῶν τε Ἀμεταβόλων καὶ τῶν Μέσων προτατόμενον τοῦ μὲν μ̃, ἐν συλλήψει, τῶν δὲ λοιπῶν, ἐν διαστάσει, ἀντὶ τοῦ ζ̃, προφέρεται, ἐκφωνούμενον. κατὰ γὰρ τὸν βαθὺν Εὐστάθειον τὰ σ̃ β̃, Στοιχεῖα ἀρκτικὰ ὄντα Λέξεων, διὰ τῶν ζ̃ καὶ β̃, ἐγράφοντο παρὰ τοῖς ἀρχαίοις. οὐ μὴν ἀλλὰ καὶ τῶν ἀπὸ τοῦ σ̃ μ̃, ἀρχομένων Λέξεων πολλαὶ διὰ τοῦ ζ̃ μ̃, ἐγράφοντο κατὰ τοὺς παλαιοὺς Γραμματικοὺς, ὡς ἐκ τοῦ ζᾶ, ἐπιτατικοῦ μορίου συγκείμεναι. ἐφ' ὧν καὶ τὸ ζμύρνα, καὶ τὸ ζμικρὸς διὰ τοῦ ζ̃, κατήρχετο, καταργηθέντος παρὰ τῶν ὕστερον τῇ ἀντιθέσει τοῦ σ̃. οὕτω καὶ τοῦ ζμέρδω προϋπάρχει τὸ μερίζω. ὃ συγκοπὲν, μέρζω γίνεται, καὶ δωρικῶς μέρδω, καὶ μετὰ τοῦ ζᾶ, ἐπιτατικοῦ κατὰ συγκοπὴν ζμέρδω. ἀφ' οὗ τὸ ζμερδνὸν, καὶ τὸ ζμερδαλέον. ὅτι δὲ τὸ σ̃, πρὸ τῶν Ἀμεταβόλων ἀντὶ τοῦ ζ̃, ἐκφωνεῖται, αὐτὸ τοῦτο μαρτυρεῖ ἐν τῇ ὑπὲρ αὐτοῦ συστάσῃ δίκῃ τῶν Φωνηέντων κατὰ τοῦ Τ̃, μηδέποτε ἐγκαλέσαν τῷ ζ̃, πλεονεξίας ἐν τῷ σμάραγδος, κἀντῷ σμύρνη. οὐ γράφεται δὲ τὸ ζ̃, ἀντὶ τοῦ σ̃, δι' ὅ,τι Διπλοῦν πρὸ Ἀμεταβόλου οὐχ εὕρηται ἐν συλλήψει Συλλαβιζόμενον. δι' ὃ κἀπὶ τοῦ ἴζμεν, τὸ Διπλοῦν εἰς τὸ συγγενὲς δ̃, μετεχώρησεν ἐν τῷ ἴδμεν. ὅτι δὲ καὶ τὸ σμῶδιξ καθὰ καὶ τὸ σμερδαλέον καὶ τὸ σμικρὸν διὰ τοῦ ζ̃, εἶχον τὴν προφορικὴν ἀρχὴν πάλαι ποτὲ διὰ τὸ παρεοικὸς τοῦ Ἤχου, δηλοῦσι καὶ αὐτὸ οἱ παλαιοί. ὧν ἐν ῥητορικοῖς λεξικοῖς τοῖς κατὰ Στοιχεῖον κεῖται καὶ ταῦτα ἐν τῷ ζ̃, Στοιχείῳ. ζμινύη ὁ τὲ τὸ σκαφίον, ὁ τὲ ἀξινάριον, οἱ δὲ, δίκελλαν. καὶ, ζβέσαι τὸ παῦσαι λῆξαι κοιμῆσαι. καὶ, ζβεννυμενάων αἰγῶν, λήγουσῶν. καὶ ζμῶσαι τὸ πατάξαι. αἴλιος δὲ Διονύσιός φησιν, ὅτι ζμικρὸν καὶ μικρὸν οἱ Ἀττικοί. μικκὸν δὲ ἴωνες, διπλασιάζοντες τὸ κ̃, κατὰ τὸ ἰκκὸς κύριον ὄνομα Ἰατροῦ σοφοῦ. τοῦ δὲ σμικρὸς προϋπόκειται τὸ μικρός. εἶτα ἐπιτείνεται διὰ τοῦ ζ̃, ζμικρὸς, ἤγουν ζαμικρός. καὶ διὰ τὸ εὐσύνοπτον τῶν Στοιχείων, σμικρός.

Καί

Καίτοι τοῦ λ̃, καὶ ν̃, σπανίως μέν τοι. ὡς ἐπὶ τοῦ ἅλς, καὶ τίρυνς, καὶ ἕλμινς.

Τὸ, Ὑποτακτικὸν, ἀπὸ κοινοῦ.

Τοῦ δὲ ρ̃, εὖ μάλα. πέρσω, πυρσός.

Ὑποτακτικὸν καθόλου, ἀλλ' οὐ σπανίως.

Διὰ τὸ Φωνήεντος δύναμιν ἔχειν τὸ ρ̃.

Τοῖς γὰρ Φωνήεσιν ἐπικεῖσθαι τὸ σ̃, πέφυκεν εὖ μάλα. τὸ δὲ ρ̃, δύναμιν Φωνήεντος ἔχει, κατ' αὐτὰ καὶ αὐτὸ πνευματιζόμενον, καὶ τούτῳ ἄρα, πλὴν οὐ κατ' ἄμφω, κατὰ δὲ μόνην Ὑποτακτικὴν Συλλαβήν. ζητητέον δὲ, τῶν Φωνηέντων δυναμένων καθ' ἑαυτὰ προφέρεσθαι, πῶς ἂν τὸ ρ̃, δύναμιν ἔχειν Φωνήεντος λέγοιτο, καθ' ἑαυτὸ μὴ ὂν ῥητόν; οὐδὲ γὰρ παρὰ τὸ φυλάττειν κατὰ τὴν πτωτικὴν κλίσιν τὸ ληκτικὸν α̃, τὰ εἰς ρα̃, λήγοντα κατὰ τὰ εἰς α̃, καθαρὸν, ἤδη φωνήεντος δύναμιν ἀπενέγκοι τὸ ρ̃. ἐπεὶ καὶ τὰ εἰς θα̃, ἢ εἰς δα̃, λήγοντα, οὐδὲν ἧττον φυλάττει τοῦτο, ἀλλ' οὐ φωνῆεν τὸ δ̃, ἢ τὸ θ̃. οὔτ' αὖ παρ' ὃ ἐπιδέχεται ποιὸν πνεῦμα, φωνῆεν λογισθήσεται τὸ ρ̃. εἴη γὰρ ἂν, εἴπερ, καὶ τῶν Στοιχείων τά τε Δασέα καὶ τὰ Ψιλὰ κατὰ τοῦτον τὸν Λόγον Φωνήεντος δύναμιν ἔχοντα. εἴ γε καὶ τούτων ἑκάτερα τὸ πάλαι ἐπνευματίζετο κατὰ τὸν βαθὺν Εὐστάθειον, τὰ μὲν, Δασέως, τὰ δὲ, ψιλῶς. τοῦ γάρ φησι, χάζω δασυνομένου, τὸ δασὺ πνεῦμα ἐναπέμεινε τῷ α̃, ἐν τῷ ἅζομαι μετὰ τὴν τοῦ δασέος χ̃, ἀναχώρησιν. τοιοῦτο δέ τοί φασιν, αἴτιον καὶ τοῦ δασύνεσθαι τοῦ ἑταῖρος τὴν ἄρχουσαν, ὡς ἀπὸ τοῦ ἔθους. ἑταῖρος γὰρ, ὃ ἐν ἔθει τυγχάνων ἡμῖν. ἀνεπόδισεν οὖν φασιν, ἡ τοῦ θ̃, δασεῖα μετὰ τὴν εἰς ψιλὸν μεταβολὴν, καὶ ἀναβέβηκεν εἰς τὴν ἄρχουσαν. καὶ τὸ ἅμα δὲ δασύνεται κατὰ ἀποβολὴν τοῦ θ̃. παρὰ τὸ θαμὰ γάρ. καὶ δὴ δύναμις ἡ τῶν Φωνηέντων ἐστὶν οὐθὲν, ἀλλ' ἢ ἀφ' ἑαυτῶν ἀποτελεῖν Φωνὴν, ὅ ἐστι συλλαβήν. τὸ δὲ ρ̃, δίχα τῆς τῶν Φωνηέντων ἐπιπλοκῆς ψόφον, οὐχὶ Φωνὴν ἀποτελεῖ, ἄρα. φασὶ δέ τινες, ὡς ἐπεὶ τῶν Ἀφώνων προσεχέστερα τοῖς Φωνήεσι τὰ Ἡμίφωνα, ὡς οἱονεὶ ἐξ ἡμισείας φωνήεντα, τῶν δ' αὖ Ἡμιφώνων τὰ ὑγρά. ὑγρῶν δὲ, ὡς ὁ Ἁλικαρνασσεὺς Διονύσιός φησι, τὸ ρ̃, γενναιότατον, εἴη ἂν ταύτῃ γε δύναμιν Φωνήεντος ἔχον τὸ ρ̃.

Αὐτὸ δὲ τοῦ ρ̃, οὐκ ἔστιν ὅπου προτάσσοιτ' ἂν, συντασσόμενον.

Ἀντὶ τοῦ, τὸ μὲν ρ̃, τοῦ σ̃, εὖ μάλα προτάσσεται, ὡς ἐλέγετο ἐν τῷ, πέρσω, πυρσός. ἀνάπαλιν δὲ αὐτὸ τὸ σ̃, τοῦ ρ̃, οὐδαμοῦ προτάσσεται ἐν ἁπλῇ Λέξει. ἡ γὰρ εἰσροὴ σύνθετος.

Ἔτι τῶν Δασέων τὸ θ̃, καὶ χ̃, συζευγνύμενα τῷ μ̃, ἀποτελεῖ συλλαβὴν Ὑποτακτικὴν, Προτακτικὴν δ' οὔ. Ἀριθμός. αὐχμός.

Οὐ κατὰ σύλληψιν δηλαδὴ, ἀλλ' ἐν διαστάσει. Ἀριθ-μός. αὐχ-μός.

Ὡσαύτως δὲ καὶ τῶν Ψιλῶν τὸ κ̃, καὶ τῶν Μέσων τὸ γ̃. ἀκμή. ὄγμος.

Ἀπὸ κοινοῦ τὸ, συζευγνύμενα τῷ μ̃, κτ'.

Ταὐτὸ δὲ τοῦτο συμβαίνει καὶ πρὸ τοῦ δ̃, τῷ γ̃. ὄγδοος. καὶ τῷ φ̃, καὶ τ̃, πρὸ τοῦ ν̃. ἔτνος. ἀφνειός.

Ὁποῖον συνέβη τῶν Δασέων τῷ θ̃, καὶ χ̃, καὶ τῶν Ψιλῶν τῷ κ̃, καὶ τῶν Μέσων τῷ γ̃, πρὸ τοῦ μ̃, ταὐτὸ τοῦτο συμβαίνει καὶ τῷ γ̃, μὲν πρὸς τὸ δ̃, τῷ φ̃, δὲ καὶ τ̃, πρὸς τὸ ν̃. τοῦτ' ἔστι καὶ τὸ γ̃, συζευγνύμενον τῷ δ̃, ἀποτελεῖ

Ὑπο-

Ὑποτακτικὴν Συλλαβὴν, Προτακτικὴν δ' οὔ. φθάνει γὰρ εἰρηκὼς, ὅτι μὴ ἡ τοῦ γ δ, Σύνταξις ἐπὶ Ὑποτακτικῆς Συλλαβῆς μόνον. ὁμοίως ἕξει καὶ ἡ τοῦ φ, καὶ τ, πρὸς τὸ ν, Σύνταξις, εἰς Ὑποτακτικὴν δηλαδὴ καὶ αὐτή. τὸ δὲ πρὸ τοῦ δ, καὶ πρὸ τοῦ ν, πρὸς τὸ δ, καὶ πρὸς τὸ ν, ἐν ἄλλοις γράφεται. ὃ καὶ βέλτιον. ἐρεῖ γὰρ, τὸ δὲ φ, πρὸς τὸ λ, καὶ ρ, οὐ πρὸ τοῦ λ, καὶ ρ.

Ἔτι τὸ θ, καὶ χ, τῷ μὲν λ, καὶ ν, καὶ ρ, τῶν Ἀμεταβόλων συντάσσεται προτιθέμενα, εἴς τε Προτακτικὴν, εἴς τε Ὑποτακτικήν.

Τὰ γὰρ εἰς Προτακτικὴν, πάντως καὶ εἰς Ὑποτακτικὴν, ἀνάπαλιν δ' οὔ. τὸ δὲ προτιθέμενα, ἐννοεῖται ἀπὸ κοινοῦ κἀπὶ τῶν προληφθέντων Δασέων τοῦ θ, καὶ χ, συζευγνυμένων τῷ μ.

Τῷ δὲ μ, εἰς Ὑποτακτικὴν μόνον, ὡς εἴρηται.

Ἐν οἷς ἔλεγεν ὅτι τῶν Δασέων τὸ θ, καὶ χ, κτ': ἐν διαστάσει δηλαδή.

Τὸ δὲ φ, ὁμοίως μὲν καὶ τὰ σύστοιχα πρὸς τὸ λ, καὶ ρ, εἰς μόνην δὲ Ὑποτακτικὴν πρὸς τὸ ν. ἄφνω.

Ἡ σύνταξις οὕτω, τὸ φ, πρὸς μὲν τὸ λ, καὶ ρ, ὁμοίως συντάσσεται, ὥσπερ καὶ τὰ τούτων συστοιχοῦντα τό, τε θ, καὶ χ, ἐπ' ἄμφω ὡς εἴρηται. φλὸξ, ἄφλεκτος. φρίττω, ἀφρός. (ἐν ἄλλοις δὲ γράφεται, τὸ δὲ φ, ὁμοίως μὲν κατὰ τὰ σύστοιχα) πρός γε μὴν τὸ ν, τὸ μὲν θ, καὶ χ, ἐπ' ἄμφω, ὡς εἴρηται, τὸ δὲ φ, εἰς Ὑποτακτικὴν μόνον.

Ἀσυλλήπτως δὲ πρὸς τὸ μ, ἔχει παντάπασι.

Αὐτὸ δὲ τὸ φ, πρὸ τοῦ μ, κεῖσθαι οὐδόλως πέφυκεν, οὔτ' ἐν συλλήψει, οὔτ' ἐν διαστάσει. δι' ὃ καὶ ἐν τῷ τέτυμμαι καὶ γέγραμμαι τὸ πρὸ τοῦ μ, συμβαῖνον φ, τρέπεται εἰς τὸ μ. ἐπικεῖσθαι μέν τοι, ἀλλ' ἐν διαστάσει. ἄμ-φω. ὄμ-φαξ.

Καὶ τὰ Ψιλὰ δὲ καὶ Μέσα τοῖς Ἀμεταβόλοις συντάσσεται, ὡς τὸ θ, καὶ χ.

Προτιθέμενα δηλαδὴ τῶν Ἀμεταβόλων καὶ ταῦτα, πλὴν τῶν ἐξαιρουμένων, τῷ μὲν μ, εἰς Ὑποτακτικὴν μόνον, τοῖς δὲ λοιποῖς, ἐπ' ἄμφω συντάσσεται.

Πλὴν τοῦ π, ἀσυντάκτως ἔχοντος πρὸς τὸ μ.

Πρὸς γὰρ τὸ μ, τῶν θ, καὶ χ, εἰς ὑποτακτικὴν μόνον συντασσομένων, τὸ π, ἀσυντάκτως ἔχει ὅλως, προτιθέμενον δηλαδή. ἐν γὰρ τῷ πέμπω ἐπίκειται.

Καὶ πλὴν τοῦ τ, ἀσυντάκτου μὲν τῷ ν, εἰς προτακτικὴν συλλαβήν.

Ὡς εἴρηται ἐν τῷ ἔτνος.

Τὸ μ, δὲ προσλαμβάνοντος ὑποτακτικὸν, ἐπ' ἄμφω. τμῆμα, ἀτμίς.

Τῷ μὲν ν, τῶν χ, καὶ θ, ἐπ' ἄμφω συντασσομένων, τὸ τ, εἰς Ὑποτακτικὴν μόνον συντάσσεται, τῷ δὲ μ, ἐκείνων εἰς Ὑποτακτικὴν συμπλεκομένων, τὸ τ, ἐπ' ἄμφω τούτῳ συντάσσεται.

Καὶ πλὴν τοῦ β, ἀσυντάκτως πρὸς τὸ μ, καὶ ν, ἔχοντος ὅλως.

Καὶ οὐ κατὰ τὸ θ, καὶ χ, τῷ μὲν μ, εἰς Ὑποτακτικὴν, τῷ δὲ ν, ἐπ' ἄμφω. ὅθεν κἀπὶ

πὶ τοῦ Παθητικοῦ Παρακειμένου τῶν τῆς α', καὶ β', πρὸ τοῦ ληκτικοῦ μαῖ, τὸ τοῦ Ἐνεργητικοῦ ἐκεῖνο δασὺ, ὀφεῖλον μεταβάλλειν εἰς τὸ οἰκεῖον μέσον. οἷον τέτυφα, τέτυβμαι, διὰ τὸ ἐπαγόμενον μ̃, εἰς τὸ μ̃, τρέπεται. τέτυμμαι. ἐν δὲ τῷ ἀμβροσία, ἐπίκειται.

Καὶ πλὴν τοῦ δ̃, τῷ μὲν μ̃, καὶ ἐπιπλεκομένου καὶ προπλεκομένου. δμώς. ἄδμητος. τῷ δὲ λ̃, μηδόλως οἵουτε ὄντος συνάπτεσθαι.

Τῷ μὲν μ̃, τῶν θ̃, καὶ χ̃, ἐπιπλεκομένων, ὅ ἐστιν εἰς Ὑποτακτικὴν μόνον συντασσομένων, τὸ δ̃, καὶ προπλέκεται, ὅ ἐστι καὶ εἰς Προτακτικὴν συντάσσεται, τῷ δὲ λ̃, ἐκείνων ἐπ' ἄμφω συμπλεκομένων, τὸ δ̃, οὐδόλως δηλαδὴ συντάσσεται. ἐν δὲ τῷ ἀλδαίνω, καὶ ἄλδος ἐπίκειται.

Καθόλου δὲ πᾶν Σύμφωνον μεταξὺ ὂν δύοιν Φωνήεντοιν περὶ μίαν Λέξιν, τῷ δευτέρῳ Συλλαβιστέον. ἄγω. φέ-ρω.

Καὶ τί ὅτι μὴ τῷ πρώτῳ Φωνήεντι; Ἢ διὰ τὸν ἐφεξῆς κανόνα λέγοντα, πᾶσα Συλλαβὴ εἰς Σύμφωνον λήγουσα, καὶ τὴν ἑξῆς ἀπὸ Συμφώνου, κοὐκ ἀπὸ Φωνήεντος ἔχει ἀρχομένην.

Καὶ ἐὰν μὴ ᾖ δὲ μία Λέξις, ἀλλὰ δύω, πάθῃ δ' ἔκθλιψιν ἡ πρώτη, τὸ πρὸ τῆς Ἀποστρόφου Σύμφωνον τῷ ἑπομένῳ Φωνήεντι συντακτέον. κατὰ ἐμοῦ, κα-τ' ἐμοῦ.

Ναὶ δὴ καὶ Συλλαβιστέον. κα-τ' ἐμοῦ. τὰ γὰρ ἐναπομείναντα Σύμφωνα μετὰ τὴν τῶν Φωνηέντων ἔκθλιψιν κατὰ τὰς συναλιφὰς, τῷ ἑπομένῳ Φωνήεντι ἕπεται, ἤτοι μονοφθόγγῳ, ὡς κα-τ' ἐμοῦ, ἢ Διφθόγγῳ, ὡς κα-θ' αἷμα, τὴν γὰρ ἑπομένην αἱ Δίφθογγον τῷ ἐκθλιβέντι θ̃, συλλαβιστέον. οἷον κα-θ' αἷμα. κα-τ' εἰπεῖν, κα-θεύδειν. ταῦτ' ἄρα καὶ συμπληρουμένου τοῦ Στίχου, κατ' ἀρχὴν τοῦ ἑτέρου τῷ, ὧ Συντάσσεται Φωνήεντι συγγραπτέον τοῦτο δὴ τὸ πρὸ τῆς ἀποστρόφου σύμφωνον, ὡς καὶ παρ' Ὁμήρῳ εὕρηται Ἰλ: ζ. Ἢ φῄς, ὡς τρώεσσιν ἀρηγέμεν εὐρύοπα ζῆν', ὡς Ἡρακλῆος περιχώσατο παιδὸς ἑοῖο:

Κἀντῶ ω̄, τῆς αὐτῆς.

Παῖδες καὶ γαμβροὶ, τὼ δ' οὐλάθον εὐρύοπα Ζῆν', ἐς πεδίον προφανέντε.

Ἐν οἷς ἀμφοτέροις ἡ παράδοξος μὲν, συνήθως δὲ τῷ ποιητῇ ἀποκοπεῖσα αἰτιατικὴ τοῦ εὐρύοπα Ζῆν', κουφίσασα τὸ ᾶ, δι' ἐκθλίψεως ἐντέλει Στίχου, τὸ νῦ, τῷ κατ' ἀρχὴν τοῦ ἐφεξῆς στίχου Φωνήεντι προσέθηκεν: ὥστε αὐτοὺς μὲν ἀπὸ τοῦ νῦ, κατάρχεσθαι, τοὺς δὲ πρώτους στίχους καταλήγειν εἰς μόνην τὴν ζῆ, Συλλαβήν. Εἰ μέντοι τις τὸν πρῶτον στίχον οὐκ εἰς τὸ η̃, μόνον, ἀλλ' εἰς τὸ νῦ, ἀπαρτίζοι, Ζῆν' λέγων, εἶτα γράφων, ὡς Ἡρακλῆος, κτ̃: θεραπεύει μὲν τὴν καινότροπον τοῦ πρώτου στίχου κατάληξιν, καὶ τὴν ὁμοίαν τοῦ δευτέρου ἀρχὴν, καινοτομεῖ δ' ὅμως τὴν ἔκθλιψιν, μὴ ἀφεὶς τὸ νῦ, τῷ ἐπαγομένῳ στίχῳ ἀκολουθεῖν.

Ἔτι ἐὰν τύχῃ κατ' ἀρχὴν Λέξεως Σύμφωνον Συμφώνου ἡγησάμενον ἐν συλλήψει, οὐδ' ἐν μέσῳ Λέξεως συνθέτου χωρίζεται.

Οἷον ἐν τῷ βρέχω, ἡγήσατο τὸ β̃, τοῦ ρ̃, οὐκοῦν οὐδ' ἐν τῷ ἄβροχος χωρίζεται, κατὰ συλλήψιν δηλαδὴ συλλαβιζόμενον καὶ οὐ κατὰ διάστασιν. ὡσαύτως κἀν τῷ σθένος ἡγησάμενον τὸ σ̃, τοῦ θ̃. κἀν τῷ ἀσθενής. δημοσθένης,

νης, οὐ χωρίζεται. κἀπὶ τῶν λοιπῶν ὁμοίως. ἀλλ' οὐδ' ἐπὶ ἁπλῆς λέξεως. ὕ-βρις γάρ. ὅτι καὶ βρέχω, καὶ τ' ἄλλα. τὸ δὲ κατ' ἀρχὴν λέξεως πρόσκειται, καθ' ὅ, τι εὑρίσκεται μὲν κἀπὶ τέλους λέξεως Σύμφωνον Συμφώνου ἡγησάμενον ἐν συλλήψει, ἐν μέσῳ γε μὴν Λέξεως ἐν διαστάσει συλλαβίζεται. αὐτίκα τοῦ ἅλς, τὰ ἐπὶ τέλους Σύμφωνα, συνείληπται. ἔν γε μὴν τῷ ἁλ-σὶ διέστηκεν. ὅτι οὐδὲ λέξις ἀπὸ τοῦ λσ̃, τυγχάνει τις ἀρχομένη. ὡσαύτως τοῦ μάκαρς τὰ ἐπὶ τέλους καὶ σύλληψιν Στοιχεῖα ἐν τῷ μάκαρ-σι διέστησαν. ὅτι οὐκ ἀπὸ τοῦ ρσ̃, ἀρχή. ὁμοίως Σὰρξ, σαρ-ξί. ἴυγξ, ἴυγ-ξι.

Καὶ ὅλως τὰ κατ' ἀρχὴν Λέξεως πρὸ ἑτέρων τῷ εἴδει Συμφώνων πεφυκότα συντάττεσθαι, ταῦτα δὴ καὶ ἐν μέσῳ λέξεως εὑρίσκοιτ' ἂν ἐν συλλήψει. οἷον ὕ-βρις. ὅτι καὶ βρέχω. ἀ-γρός. ὅτι καὶ γράφω. ὅ-πλον. ὅτι καὶ πλέω. ὕ-μνος. ὅτι καὶ μνεία.

Ἐπαναλαμβάνει τὰ κατὰ σύλληψιν συλλαβιζόμενα, καθολικῶς περὶ τούτων ὧδε ἀποφαινόμενος. ἐντεῦθεν δὲ δῆλον, ὡς ἡ τῶν Στοιχείων διαίρεσις ἀπὸ γένους ἐστὶν εἰς εἴδη. γένος μὲν γὰρ τὸ Στοιχεῖον, εἴδη δὲ αὐτοῦ κατὰ πρώτην μὲν ἐπιβολὴν δύω, τὰ Φωνήεντα καὶ τὰ Σύμφωνα. ὧν ἑκάτερα ὑποδιαιρεῖται, τὰ μὲν Φωνήεντα, εἰς Μακρὰ, Βραχέα, καὶ Μέσα, τὰ καὶ Δίχρονα καὶ μεταπτωτικά τισι διὰ τοῦτο καλούμενα, τὰ δὲ Σύμφωνα, εἰς Ἡμίφωνα καὶ Ἄφωνα. ὧν αὖθις τὰ μὲν Ἡμίφωνα εἰς Διπλᾶ καὶ Ἀμετάβολα τὰ καὶ ὑγρὰ καθ' Ἡρῳδιανὸν, τὰ δ' Ἄφωνα, εἰς Ψιλὰ, Δασέα καὶ Μέσα. ξυμπάντων δὲ τῶν εἰδῶν τὰ μέν εἰσιν εἰδικώτατα εἴδη, τὰ δὲ, γένη καὶ εἴδη ὑπάλληλα. εἰδικώτατα δέ μοι νόει αὐτῶν τῶν εἰκοσιτεσσάρων ἁπλῶς ἕκαστον, οὐ λέγω τὸ ἐγγραφόμενον, ἀλλὰ τὸ ἐκφωνούμενον. οὐδὲ γὰρ ἀτομικὰ ταῦτα. εἴγε τὸ μὲν ἄτομον μεταφυσικὴν οὐχ ὑπομένει διαίρεσιν, τῶν δὲ κδ', ἐν ἕκαστον ἁπλῶς διαιρεῖται εἴς τε στρογγύλλα καὶ ὀξύῤῥυγχα καὶ κεφαλαιώδη, καὶ μυρία ὅσα ἄλλα ἀτομικὰ σχήματα, εἴτ' οὖν χαρακτῆρας. ὡς εἶναι τούτων τὸ μὲν ἄλφα φέρε τοῦ δέλτα τῷ εἴδει ἕτερον (οὐχὶ ᾗ τὸ μὲν, Φωνῆεν, τὸ δὲ, Σύμφωνον. οὐδὲ ᾗ τὸ μὲν, Δίχρονον, τὸ δὲ, Μέσον, ἀλλ' ᾗ τὸ μὲν, αὐτὸ τοῦτο ἄλφα, τὸ δὲ, δέλτα) τὸ δὲ στρογγύλον ἄλφα τοῦ ὀξυῤῥύγχου ἄλφα, ἢ τὸ ἰσοσκελὲς δέλτα τοῦ ἰσοπλεύρου δέλτα, τῷ ἀριθμῷ. μᾶλλον δὲ καὶ ταῦτα, (τό, τε στρογγύλον καὶ τὸ ὀξύῤῥυγχον ἄλφα) τῷ εἴδει εἰσὶν ἕτερα, οὐχὶ τῷ ἀριθμῷ. εἴγ' ἑκάτερον τούτων εἰς μυρία ὅσα διαιρεῖται ὁμοειδῆ Ἄτομα, τὸ μὲν, εἰς στρογγύλα, τὸ δὲ, εἰς ὀξύῤῥυγχα. οὐδὲ γὰρ ταὐτὰ τῷ ἀριθμῷ δύω, ἢ ὁσαδηποτοῦν στρογγύλα, ἢ ὀξύῤῥυγχα, α̃, α̃, α̃, ἢ β̃, β̃, β̃. εἴγ' ἡ μὲν ταὐτότης ἐστὶν ἑνότης ἀντικρυς κατὰ τὸν Ἀριστ'λ, τὰ δέ εἰσι πλείω ἢ ἕν. ἔστιν οὖν τῶν ἀτομικῶν Στοιχείων ἕκαστον ἐν μὲν τῷ ἀριθμῷ, δύω δὲ τῷ εἴδει, ὡς ἐξ Ὕλης καὶ Εἴδους, Ὕλης μὲν, ὡς εἴρηται, τῆς ἁπλῶς Φωνῆς, εἴδους δὲ, τῆς ποιᾶς εἴ τ' οὖν τοιᾶσδε. ὅσα τοιγαροῦν τῶν Συμφώνων κατ' ἀρχὴν Λέξεως πρὸ ἑτέρων τῷ εἴδει Συμφώνων πέφυκε συντάττεσθαι, οἷον ἐπὶ τοῦ βρέχω, ταῦτα δὴ καὶ ἐν μέσῳ Λέξεως κατὰ σύλληψιν συλλαβίζεται. οἷον-ὕ-βρις. μνεία. ἀ-μνός. πτύον. ἅ-πτω κτείνω. ἀ-κτίς. βδέλλα. ἔ-βδομος. πρὸ ἑτέρων δὲ τῷ εἴδει φησὶ, καθ' ὅ, τι πρὸ ἑτέρων τῷ ἀριθμῷ οὐθὲν οὐδαμοῦ πέφυκε συνάπτεσθαι κατ' ἀρχὴν Λέξεως, ὅ ἐστι τὰ ταυτοδύναμα.

Ὅσα δὲ μὴ, ἐν διαστάσει κεῖται ἀεί. οὔκουν τὸ ἐσ-θλὸν ἐν συλλήψει.

ὅτι

Τῶν δ', καὶ κ', Γραμμάτων.

- Τὰ μὲν, Φωνήεντα, ὧν,
  - Τὰ μὲν, Μακρὰ
  - Τὰ δὲ, Βραχέα.
  - Τὰ δὲ, Δίλβονα.
  - τούτων δὲ
    - Τὰ μὲν Μακρὰ καὶ Βραχέα καὶ τῶν Διλβόνων τὸ ᾶ, καὶ μεταβολικὰ καὶ προτακτικά.
    - Τὰ δ' ἄλλα, καὶ ἀμετάβολα καὶ ὑποτακτικά.
    - ἐκ δὲ τῆς αὐτῶν προταχθυποταγῆς αἱ Δίφθογγοι.
      - κυρίως μὲν, ἕξ.
      - καταλληστικῶς δὲ, δ'.
- Τὰ δὲ, Σύμφωνα, ὧν,
  - Τὰ μὲν, Ἡμίφωνα. ὧν
    - Τὰ μὲν, Διπλᾶ,
    - Τὰ δὲ, ἀμετάβολα.
  - Τὰ δὲ, Ἄφωνα. ὧν
    - Τὰ μὲν, Ψιλὰ,
    - Τὰ δὲ, Δασέα.
    - Τὰ δὲ, Μέσα.
  - ἀλλήλοις δὲ συμπλέκεται.
    - Τὰ μὲν, Κατὰ σύλληψιν.
    - Τὰ δὲ, Κατὰ διάστασιν.

ὅτι οὐ δὲ Λέξις ἀπὸ τοῦ σθλ̃, τυγχάνει τις ἀρχομένη. οὐδὲ τὸ ὄγδοον. ὅτι οὐκ ἀπὸ τοῦ γδ̃, ἀρχή. οὐδὲ τὸ ὄγκος. ὅτι οὐκ ἀπὸ τοῦ γκ̃.

Τὰ δὲ ἐκ τοῦ ἐναντίου μὴ, ὡς εἴρηται, πεφυκότα συντάσσεσθαι, ταῦτα δὴ ἐν μέσῳ λέξεως, ἤτοι ἁπλῆς, ἢ καὶ συνθέτου, ἐν διαστάσει κεῖται ἀεί. οὔκουν τὸ συγκάθεδρος ἐν συλλήψει. ὅτι οὐδὲ Λέξις ἀπὸ τοῦ γκ̃, τυγχάνει τις ἀρχομένη, μὴ πεφυκότων τῶν Μέσων πρὸς τὰ Ψιλὰ συντάσσεσθαι. ἀλλ' οὐδὲ τὸ ἄσθμα. τῶν γὰρ Δασέων τὸ θ̃, συζευγνύμενον τῷ μ̃, οὐχὶ Προτακτικὴν, Ὑποτακτικὴν δὲ, ὡς εἴρηται, ἀποτελεῖ συλλαβήν. τὰ δὲ τοιαῦτα ἐν διαστάσει κεῖται ἀεί. εἰ γὰρ καὶ τῶν Συμφώνων τὰ, ὡς εἴρηται, Δασέα Προτακτικά εἰσιν ἀεὶ, ὡς οὐδαμοῦ ἐπὶ τέλει τασσόμενα, ἀλλὰ Λέξεως, οὐ μὴν πάντως καὶ Συλλαβῆς. ὅθεν οὐκ ἀληθὲς τὸ, οὐδέποτε Συλλαβὴ εἰς δασὺ λήγει, κατά τινας. οὐ γὰρ ἔρρωται τὸ ἄσ-θμα. οὐδὲ τὸ ἀρι-θμός. οὐδὲ τὸ ἄ-φνω. ὅτι οὐδὲ Λέξις ἀπὸ τοῦ θμ̃, ἢ φν̃, ἐστὶν ἀρχομένη. Αἴτιον δέ φησι Διονύσιος ὁ Ἁλικαρνασσ: τοῦ τὰ κατὰ διάστασιν μὴ πεφυκέναι ἀλλήλοις συνάπτεσθαι, ὁ τοῦ στόματος σχηματισμὸς, μὴ κατὰ τὸν αὐτὸν τρόπον τῶν Στοιχείων ἐκφέρων ἑκάτερον. οὐκ ἀκριβὴς δὲ ὁ Λόγος. καὶ γὰρ τὰ μὲν ταὐτὰ τῷ εἰδικωτάτῳ εἴδει, εἴτ' οὖν τὰ τῷ ἀριθμῷ ἕτερα, καί τοι τῷ αὐτῷ τρόπῳ σχηματιζόμενα, οὐδέποτε πέφυκεν ἀλλήλοις συνάπτεσθαι. ἔδ-δεισε γὰρ, καὶ κάβ-βαλε, καὶ τὰ τοιαῦτα ἐν διαστάσει ἀεί. τῶν δὲ τῷ εἴδει ἑτέρων τὰ κατὰ σύλληψιν, καί τοι μὴ κατὰ τὸν αὐτὸν τρόπον σχηματιζόμενα εἴτ' οὖν προφερόμενα, ἀλλήλοις γε μὴν συνάπτεται.

Ἔτι τὰ αὐτὰ Σύμφωνα οὐδέποτε ἐν συλλήψει. ἐκ-κόπτω οὖν, καὶ ἔδ-δεισε καὶ κάβ-βαλε, καὶ τὰ τοιαῦτα ἐν διαστάσει.

Οὐ δὲ γάρ ἐστιν εὑρεῖν εἰς Προτακτικὴν Συλλαβὴν, τοῦτ' ἔστι κατάρχοντα Λέξεως, δύω Σύμφωνα ταὐτοδύναμα, ὅ ἐστι ταὐτὰ μὲν τῷ εἰδικωτάτῳ εἴδει, τῷ δὲ ἀριθμῷ ἕτερα. δύω β̃ β̃, φέρε, ἢ δύω δδ̃. ὅθεν ἐν μέσῳ λέξεως κείμενα, ἐν διαστάσει ἀεί. Λέξις γὰρ Ἑλληνικὴ οὔτε ἀπὸ δυοῖν τῶν αὐτῶν Συμφώνων τυγχάνει τις ἀρχομένη, οὔτε εἰς δύω Σύμφωνα τὰ αὐτὰ καταλλήγει διὰ τὸ δυσεκφώνητον. Ὅθεν τὸ ἔς, παρὰ τὸ ἐμὶ, ὃ παρὰ τὸ ἔω τὸ ὑπάρχω. διπλασιαζομένου τοῦ σ̃, γινόμενον ἔσ, ἵνα γένηται κἂν γοῦν θέσει μακρὸν, μὴ ἐνὸν φύσει. (ἐπεὶ οὐδέποτε ῥῆμα μονοσύλλαβον συστέλλεται, πλὴν τοῦ δός. θές. ἔς. χές.) ἢ γὰρ τὸ ἔ, εἰς ἤ, τραπήσεται, καὶ συνεμπίπτει τῷ ἧς αὐτὶ τοῦ ἔφης. ἢ τὸ ἴ, προσλήψεται, καὶ γενόμενον εἷς, συμπεσεῖται τῷ εἷς, αὐτὶ τοῦ ἔρχῃ. ὡς τὸ, τίς πόθεν εἷς ἀνδρῶν; τὸ τοίνυν ἔσ, προσλαβὸν τὸ ἴ, γίγνεται ἐσί. καὶ οὕτως ἀναπληροῦται τὸ ἐλλεῖπον διὰ τῆς τοῦ ἴ, ἐπεκτάσεως. ἔστι δὲ μονῆρες τὸ ῥῆμα. οὐδὲν γὰρ τῶν δευτέρων προσώπων εἰς ἴ, λήγει. δι' ὃ οὐδὲ ἐφελκυστικόν ποτε τοῦ ν̃, γίγνεται, ὡς τὸ τίθησι καὶ δίδωσι, καὶ τὰ ὅμοια.

Ἔτι πᾶσα Συλλαβὴ εἰς Σύμφωνον λήγουσα ἐν μιᾷ Λέξει, καὶ τὴν ἑξῆς ἔχει ἀπὸ Συμφώνου ἀρχομένην.

Περὶ μίαν φησὶ Λέξιν, καθ' ὅ, τι ἐν τῷ ἄραψ ἀνὴρ, ἡ ἑξῆς οὐκ ἀπὸ Συμφώνου. τοῦτο δὲ ἐπὶ μόνων τῶν κατὰ διάστασιν ἐκληπτέον. τούτων γὰρ θάτερον μέν ἐστι τελικὸν τοῦτ' ἔστι ληκτικὸν τῆς α', θάτερον δὲ ἀρκτικὸν τῆς β', Συλλαβῆς. οἷον. ὄγ-δοος. μεσημ-βρία. ἔτ-νος. καὶ τὰ ὅμοια. οὐ μὴν δὲ κἀπὶ τοῦ ἕβδομος. ἢ ἀγρός. ἢ ἀμνὸς, ἡ πρώτη Συλλα-

λαβὴ εἰς Σύμφωνον λήγει. εἰσὶ γὰρ τῶν κατὰ σύλληψιν. οὐ μὴν ἀλλ' οὐδ' ἐπὶ τοῦ ἄγω, ἢ φέρω τὸ γ̃, καὶ τὸ ρ̃, τῆς πρώτης Συλλαβῆς εἰσι ληκτικά. ὅτι πάλιν εἴρηται, πᾶν Σύμφωνον μεταξὺ ὂν δύοιν Φωνηέντοιν, κτ'· τὸν ἄρα ἐκτεθέντα κανόνα ἐπὶ τῶν κατὰ διάστασιν μόνον ἀκουστέον. Ὅθεν πᾶσα Συλλαβὴ ἀπὸ Φωνήεντος ἀρχομένη περὶ μίαν Λέξιν, καὶ τὴν πρὸ αὐτῆς ἔχει εἰς Φωνῆεν καταλήγουσαν. αἴδιος. δύω. τρία. ἀάαπτος. Ἔτι οὐδέποτε εὑρίσκεται πρὸ δύοιν σ, Δίφθογγος, πλὴν τοῦ λεύσσω. οὐδὲ πρὸ τῶν διπλῶν, ἀπαθὴς οὖσα. ὅθεν τῆς γυναικὸς ἥτε εὐθεῖα σεσίγηται, καὶ ἡ Κλητικὴ ἀπέβαλε τὸ διπλοῦν. ἡ δέ γε προῖξ καὶ ἡ αἶξ καὶ θραῖξ, ἀπὸ Συναιρέσεως ἔχουσι τὰς Διφθόγγους. ἡ δὲ γλαῦξ παρὰ μὲν Δωριεῦσιν ὀξύνεται, παρὰ δὲ τοῖς παλαιοῖς περισσωμένη, δίδωσιν ἐννοεῖν, ἀπαθῆ μὴ εἶναι καὶ αὐτήν. περὶ δὲ τοῦ δείξω, αὔξω, εὖξαι, οἴξω παρὰ τὸ οἴγω, ῥητέον ὡς ἀπὸ κλίσεως ἔχον τὸ διπλοῦν, οὐ μὴν πρωτοθέτως. Τίνα μὲν οὖν πρὸ τίνων πέφυκε συντάττεσθαι, καὶ τίνα τίνων διΐστασθαι, ὅ ἐστι τίνα μὲν, κατὰ σύλληψιν, τίνα δὲ, κατὰ διάστασιν, εἴρηται ἀποχρώντως.

Ἔτι οὐκ ἔστιν εὑρεῖν τρία Σύμφωνα ἀμέσως κείμενα, ὧν τὰ δύω ταὐτοδυναμεῖ.

Δύναμις τῶν Στοιχείων ἐστὶν ἐν γένει μὲν, καθ' ἣν, ὡς εἴρηται, τὰ μὲν αὐτῶν Φωνὴν, τὰ δὲ, Ψόφον ἀποτελεῖ. ἐν εἴδει δὲ ὑπαλλήλῳ μὲν, καθ' ἣν τῶν ψοφούντων τὰ μὲν, ἀτελέστερον ψοφεῖ. τὰ δὲ, τελεώτερον, ἢ καθ' ἣν τῶν μὲν ἀτελεστέρων, τὰ μὲν, ἐν δασύτητι πνεύματος, τὰ δὲ, ἐν ψιλότητι, τὰ δὲ, ἐν μεσότητι ψοφεῖ. τῶν δὲ τελεωτέρων, τὰ μὲν, ἐν ὑγρότητι γλώττης, τὰ δὲ, ἐν ἰσχνότητι. εἰδικωτάτῳ δὲ, καθ' ἣν τὰ μὲν αὐτῶν ἐστιν ἄλφα, τὰ δὲ, βῆτα, τὰ δὲ, γάμα, καὶ ἑξῆς. Κατὰ μὲν οὖν τὴν εἰδικὴν, φημὶ δὴ τὴν ὑπάλληλον, ἔστιν εὑρεῖν ἐπὶ τριῶν ἐπαλλήλων Συμφώνων δύω ταὐτοδύναμα. ὡς ἐπὶ τοῦ σκῆπτρον. οἰκτρός. ἐχθρός. ἔστι γὰρ τὰ τοῦ Ἀμεταβόλου προηγούμενα δύω ἔνθα μὲν, Δασέα, ἔνθα δὲ, Ψιλά. κατὰ δὲ τὴν εἰδικωτάτην ταὐτοδυναμίαν, περὶ ἧς ἐν ταῦθα ὁ Λόγος, παράλληλα καὶ προσεχῆ, ὥστε μεταξὺ μηδὲν ἔχειν τῶν Φωνηέντων, ἀμήχανον εὑρεθῆναι. Ταῦτ' ἄρα καὶ τὸ ρ̃, δέον, ἀρκτικὸν ὂν Λέξεως, καὶ συντεθὲν τοῖς εἰς Φωνῆεν καταλήγουσι, διπλασιάζεσθαι, ὡς ῥῆμα Ἐπίρρημα. ῥωστὸς, Ἄρρωστος. ἐπί γε μὴν τοῦ εὔρωστος οὐκ ἀναδιπλασιάζεται, διὰ τὸ Συμφώνου δύναμιν ἔχειν ἐκφωνούμενον τὸ αὐτοῦ προταττόμενον Ὑποτακτικὸν τῆς διφθόγγου Φωνῆεν. τρία γὰρ ἂν, εἴπερ, ἔσοιντο Σύμφωνα ἄμεσα, ὧν τὰ δύω ταὐτοδυναμεῖ. δι' ἣν αἰτίαν καὶ τοῖς εἰς Σύμφωνον καταλήγουσι συντεθὲν, οὐκ ἀναδιπλασιάζεται. Διὰ τὸν αὐτὸν δὲ Λόγον κἀν τῷ σύστοιχος, σύζυγος, τὸ κατὰ τροπὴν τοῦ ν̃, τῆς προθέσεως σ̃, ἀπεβλήθη. ἔστι γὰρ τὸ ζ̃, ἐκ σ̃, καὶ δ̃. ὡσαύτως καὶ τὸ κάσχεθεν, ἀντὶ τοῦ κατέσχεν, ὤφειλε μὲν συγκοπὲν, τρέψαι τὸ τῆς προθέσεως σύμφωνον εἰς τὸ ἐπαγόμενον σ̃, ἵνα ᾖ κάσσχεθεν, κατὰ τὸ κάββαλε. κάππεσε. καμμύω. κάτθανεν. οὐκ ἔσχε δὲ διὰ τὸν κανόνα. δι' ὃν καὶ τὸ σύσκηνος, δύστηνος, ἐξώθησαν τὸ ἕτερον σ̃, καὶ τὸ προσχὼν, παρὰ τὴν πρὸς καὶ τὸ σχών. καὶ αὕτη ἐστὶν ἡ αἰτία τοῦ μὴ ἐθέλειν πρὸ συμφώνου κείμενον διπλοῦσθαι οὐ μόνον τὸ σ̃, ἀλλὰ καὶ πᾶν ὁ, τιοῦν ἕτερον σύμφωνον. Ὅθεν ἄπορον πῶς ἐν τῷ συγγνώμῃ, ἐγγράφω, διπλασιάζεται τὸ γ̃, τὸ γάρ τοι ν̃, ὥσπερ πρὸ τοῦ σ̃, μονοσυμφώνου μὲν ὄντος, τρέπεται εἰς αὐτὸ, σύσσωμος, σύσσιτος, μετὰ δὲ τοῦ τ̃, ἐκλείπει τέλεον, σύστοιχος, οὕτω καὶ πρὸ

τοῦ

τοῦ γ̃, μονάζοντος, εἰς αὐτὸ τρεπόμενον, ἐγγύη, ὤφειλεν ἐκλείπειν συντιθέμενον ἐφ' ὧν τὸ γ̃, μεθ' ἑτέρου Συμφώνου ἕπεται. μήποτε οὖν μετὰ προσδιορισμοῦ ἀναγνωστέον οὑτωσὶν, οὐκ ἔστιν εὑρεῖν ἐν ἁπλῇ Λέξει τρία Σύμφωνα, κτ'. ἐν γὰρ συνθέτῳ ἔστιν εὑρεῖν, ὡς κἀν τῷ ἐκκλίνω. ἐκκρούω. ἐν δὲ τῷ Ἄρθρον, τὰ ταυτοδύναμα δύω Σύμφωνα οὐκ εἰσὶν ἐπάλληλα. κατὰ γοῦν τὸν παρόντα κανόνα καὶ τὸ Γάγκρα πόλις, οὐχὶ διὰ δυοῖν γγ̃, διὰ δὲ γκ̃, γραπτέον. εἰ μή τί γέ τις Γάγρα γράψας, πραγμάτων ἀπαλλαγείη. οὕτω μὲν δὴ τῶν Στοιχείων ἃ μὲν, κατὰ σύλληψιν, ἃ δὲ, κατὰ διάστασιν συλλαβιστέον ἂν εἴη τὸν βουλόμενον κατὰ Λόγον συμπλέκειν ταῦτα πρὸς ἄλληλα. Τῶν δὲ Στοιχείων ἁπάντων μὴ μίαν εἶναί φασι καὶ οἱ παλαιοὶ τὴν φύσιν, ἀλλὰ πολλὰς ἔχειν δυνάμεις τε καὶ διαφορὰς οὐ μόνον παρὰ τὰς ἐκτάσεις καὶ συστολὰς, ἀλλὰ καὶ παρὰ τοὺς ἤχους, καθ' οὓς τὰ μὲν αὐτῶν, Φωνὴν ἀποτελεῖ, ὡς εἴρηται, τὰ δὲ, Ψόφον. καὶ τούτων τὰ μὲν, ἀτελέστερον, τὰ δὲ, τελεώτερον. Ἐκφωνεῖται δὲ τὰ μὲν Φωνήεντα πάντα, τῆς ἀρτηρίας συνεχούσης τὸ πνεῦμα, καὶ τοῦ στόματος ἁπλῶς σχηματισθέντος, τῆς τε γλώττης μηδὲν πραγματευομένης, ἀλλ' ἠρεμούσης. πλὴν τὰ μὲν Μακρὰ καὶ τῶν Διχρόνων, ὅσα μακρῶς λέγεται, τεταμένον λαμβάνει καὶ διηνεκῆ τὸν αὐλὸν τοῦ πνεύματος, τὰ δ' αὖ Βραχέα, ἢ βραχέως λεγόμενα, ἐξ ἀποκοπῆς τε καὶ μιᾷ πληγῇ πνεύματος, καὶ τῆς ἀρτηρίας ἐπὶ βραχὺ κινηθείσης, ἐκφέρεται. Τούτων δὲ κράτιστα μέν ἐστι, καὶ φωνὴν ἡδίστην ἀποτελεῖ τά τε Μακρὰ καὶ τῶν Διχρόνων, ὅσα ἐκτείνεται κατὰ τὴν ἐκφοράν. ὅτι πολὺν ἠχεῖται χρόνον, καὶ τοῦ πνεύματος οὐ κατακόπτει τὸν τόνον, χείρω δὲ τὰ Βραχέα, ἢ τὰ βραχέως λεγόμενα. ὅτι μικρόφωνά τέ ἐστι καὶ σπαδωνίζει τὸν ἦχον. αὐτῶν δὲ τῶν μακρῶν εὐφωνότα

τον τὸ Ἀ, ἐκτεινόμενον. λέγεται γὰρ, ἀνοιγομένου τοῦ στόματος ἐπὶ πλεῖστον, καὶ τοῦ πνεύματος ἀναφερομένου πρὸς τὸν οὐρανόν. δεύτερον δὲ τὸ Η. ὅτι κάτω περὶ τὴν βάσιν τῆς γλώττης ἐρείδει τὸν ἦχον ἀκόλουθον, ἀλλ' οὐκ ἄνω, καὶ τοῦ στόματος μετρίως ἀνοιγομένου. τρίτον δὲ τὸ Ω. στρογγύλλεται γὰρ ἐν αὐτῷ τὸ στόμα καὶ περιστέλλει τὰ χείλη. τήν τε πληγὴν τὸ πνεῦμα περὶ τὸ ἀκρόστομον ποιεῖται. ἔστι δὲ ἧττον τούτου τὸ Υ. περὶ γὰρ αὐτὰ τὰ χείλη συστολῆς γενομένης ἀξιολόγου, πνίγεται καὶ στενὸς ἐκπίπτει ὁ ἦχος. ἔσχατον δὲ πάντων τὸ Ι̃, περὶ τοὺς ὀδόντας τε γὰρ ἡ κρότησις τοῦ πνεύματος γίγνεται, μικρὸν ἀνοιγομένου τοῦ στόματος, καὶ οὐκ ἐπιλαμπρυνόντων τῶν χειλέων τὸν ἦχον. τῶν δὲ βραχέων οὐδέτερον μὲν εὔηχον, ἧττον δὲ δυσηχὲς τὸ Ο. διΐστησι γὰρ τὸ στόμα κρεῖττον θατέρου, τοῦ Ε̃, τήν τε πληγὴν λαμβάνει περὶ τὴν ἀρτηρίαν μᾶλλον. Φωνηέντων μὲν οὖν γραμμάτων αὕτη φύσις. Ἡμιφώνων δὲ τοιάδε. ὧν πέντε μέν ἐστιν ἁπλᾶ, τρία δὲ διπλᾶ. διπλᾶ δ' ἤκουσεν ἤτοι διὰ τὸ σύνθετα εἶναι τὸ μὲν ζ̃, διὰ τοῦ σ̃, καὶ δ̃. τὸ δὲ ξ̃, διὰ τοῦ κ̃, καὶ σ̃. τὸ δὲ ψ̃, διὰ τοῦ π̃, καὶ σ̃, συνεφθαρμένων ἀλλήλοις, καὶ ἰδίαν φωνὴν λαμβανόντων, ἢ διὰ τὸ χώραν ἐπέχειν δυοῖν γραμμάτων ἐν ταῖς συλλαβαῖς παραλαμβανόμενα. τούτων δὴ κρείττω μέν ἐστι τὰ διπλᾶ τῶν ἁπλῶν. ἐπειδὴ μείζονά ἐστι τῶν ἑτέρων, καὶ μᾶλλον ἐγγίζειν δοκεῖ τοῖς τελείοις. ἥττω δὲ τὰ ἁπλᾶ, διὰ τὸ εἰς βραχυτέρους αὐτῶν τόνους συνάγεσθαι τὸν ἦχον. ἐκφωνεῖται δὲ αὐτῶν ἕκαστον ὧδε. τὸ μὲν λ̃, τῆς γλώττης πρὸς τὸν οὐνὸν ἀνισταμένης, καὶ τῆς ἀρτηρίας συνεχούσης τὸ πνεῦμα. τὸ δὲ μ̃, τοῦ μὲν στόματος τοῖς χείλεσι πιεσθέντος, τοῦ δὲ πνεύς διὰ τῶν ῥωθώνων μεριζομένου. τὸ δὲ ν̃, τῆς γλώττης τὴν φορὰν τοῦ πνεύματος ἀποκλειούσης, καὶ μεταφερούσης ἐπὶ τοὺς ῥώθωνας τὸν ἦχον.

Τὸ δὲ ρ̃, τῆς γλώττης ἄκρας ἀπορραπιζούσης τὸ πνεῦμα, καὶ πρὸς τὸν οὐνὸν ἐγγὺς τῶν ὀδόντων ἀνισταμένης, τὸ δὲ σ̃, τῆς μὲν γλώττης προσαναγομένης ἄνω πρὸς τὸν οὐρανὸν, τοῦ δὲ πνεύματος διὰ μέσου αὐτοῦ φερομένου, καὶ περὶ τοὺς ὀδόντας λεπτὸν καὶ στενὸν ἐξωθοῦντος τὸ σύριγμα. Τρία δὲ τὰ λοιπὰ Ἡμίφωνα μικτὸν λαμβάνει τὸν ψόφον, ἐξ ἑνὸς μὲν τῶν ἡμιφώνων τοῦ σ̃, τριῶν δὲ ἀφώνων, τοῦ τε κ̃, καὶ τοῦ δ̃, καὶ τοῦ π̃. οὗτοι σχηματισμοὶ γραμμάτων Ἡμιφώνων. δύνανται δὲ οὐχ ὁμοίως κινεῖν τὴν ἀκοὴν ἅπαντα. ἡδύνει μὲν γὰρ αὐτὴν τὸ λ̃, καὶ ἔστι τῶν ὁμοειδῶν γλυκύτατον. κἂν ταῖς ὀνοματοπεποιημέναις φωναῖς λείας κινήσεώς ἐστι μιμητικὸν, λεῖον ἦχον προφαῖνον. Τραχύνει δὲ τὸ ρ̃, καὶ ἔστι τῶν ὁμοειδῶν γενναιότατον. τοῖς δὲ τραυλίζουσι δυσπρόφορόν ἐστι. δι' ὃ καὶ ἀπέχονται αὐτοῦ, ἵνα μὴ ὁ τραυλισμὸς αὐτοὺς ἐλέγχῃ, ἀχρειοῦντας τὴν λαλιὰν δι' αὐτοῦ. ἐν δὲ μιμητικῇ τραχυφωνίᾳ πλεονάζει δεόντως. εἰ γὰρ καὶ ἄλλως μεμπτέος ὁ τοῦ τοιούτου Στοιχείου πλεονασμὸς, δι' ὃ καὶ οἱ ἐρετριεῖς ἐκωμῳδοῦντο, ὡς πολλαχοῦ τῷ ρ̃, ἐν ταῖς ὁμιλίαις χρώμενοι, καὶ δι' αὐτὸ τοῦτο βαρβαρόφωνοι καλούμενοι. ἀλλ' οὖν πρὸς πραγμάτων τραχύτητος ἔμφασιν, οἷον τοῦ ῥήγνυσθαι, τοῦ βρέμειν καὶ τῶν τοιούτων, χρεία συχνοῦ τοῦ Στοιχείου. ἐπεὶ μιμητικόν ἐστι τῶν τραχέων ἦχων. ὡς κἂν τῷ τριχθὰ καὶ τε τραχθὰ διὰ τρυφθὲν, ἔκπεσε χειρός. κἂν τῷ εὐρυνόμη θυγάτηρ ἀψιρόου ὠκεανοῖο, ἀφρῷ μορμύρων, ῥέεν ἄσπετος. Ἰλ, σ̃. τοιοῦτον γάρ τινα ἦχον ἡ τῶν Λέξεων ὑπηχεῖ τραχύτης, ἐπίτηδες οὕτω φράζοντος τοῦ ποιητοῦ, ὀνοματοποιίας τρόπῳ τὴν φράσιν συνεκτραχύνοντος τῷ ὠκεανείῳ ῥεύματι. ὥσπερ αὖ πάλιν τοὐναντίον ἐν τῷ, μέγαν ἐλέλιξεν ὄλυμπον, ἐπλεόνασε τῇ τοῦ λ̃, λειότητι, ἵνα τῷ ἀπαραποδίστῳ καὶ τῷ τάχει καὶ λείῳ καὶ ἀπροσκόπῳ τῆς κατὰ τὰ ὑγρὰ Ἀμετάβολα φράσεώς τε καὶ ἐκφωνήσεως τῶν Συλλαβῶν, ὃ καὶ ἐπαινεῖται παρὰ τῶν παλαιῶν, τὴν ὀξυκινησίαν ἐμφήνῃ τοῦ οὐρανοῦ, ὃς λειότερον Ὄλυμπος λέγεται. μέσως δέπως διατίθησι, τὰ διὰ τῶν ῥωθώνων συνηχούμενα, τό, τε μ̃, καὶ τὸ ν̃, κερατοειδεῖς ἀποτελοῦντα τοὺς ἤχους. ἄχαρι δὲ καὶ ἀηδὲς τὸ σ̃, καὶ εἰ πλεονάσειε, σφόδρα λειπεῖ. θηριῴδους γὰρ καὶ ἀλόγου μᾶλλον ἢ λογικῆς ἐφάπτεσθαι δοκεῖ Φωνῆς ὁ συριγμός. τῶν γοῦν παλαιῶν σπανίως ἐχρῶντό τινες αὐτῷ καὶ πεφυλαγμένως. εἰσὶ δὲ οἳ καὶ ἀσίγμους ὅλας ᾠδὰς ἐποίουν, διὰ τὸ σκληρόστομον εἶναι τὸ σ̃, καὶ ἀνεπιτήδιον αὐλῶ. ὅτι δὲ ὁ τούτου ἦχος καὶ ἄλλως λυπεῖν οἶδεν ἀκροατὴν διὰ τὸ συχνὸν τοῦ σιγμοῦ, ὅτε στοιβάζεται, ὡς κἂν τῷ ἔσωσά σ', ὡς ἴσασι, καὶ ἑξῆς τὸ τοῦ εὐρυπίδου, δηλοῖ καὶ ὁ πρός τινα ἐν διπλασιασμῷ τοῦ τ̃, ἀττικίζοντα εἰπὼν, ὡς εὐγέσοι, ὅτι ἀπήλλαξας ἡμᾶς τῶν σίγμα τῶν εὐρυπίδου. τῶν δὲ Διπλῶν τὸ ζ̃, μᾶλλον ἡδύνει τὴν ἀκοὴν τῶν ἑτέρων. τὸ μὲν γὰρ ξ̃, διὰ τοῦ κ̃, τὸ δὲ ψ̃, διὰ τοῦ π̃, τὸν συριγμὸν ἀποδίδωσι, ψιλῶν ὄντων ἀμφοτέρων, τοῦτο δ' ἡσυχῇ τῷ πνεύματι δασύνεται. καὶ ἔστι τῶν ὁμοειδῶν γενναιότατον. καὶ περὶ μὲν τῶν ἡμιφώνων τοσαῦτα. Τῶν δὲ Ἀφώνων ἕκαστον ὧδε ἐκφωνεῖται. Τρία μὲν ἀπ' ἄκρων τῶν χειλέων, τὰ π̃, φ̃, β̃, ὅταν τοῦ στόματος πιεσθέντος, τὸ προβαλλόμενον ἐκ τῆς ἀρτηρίας πνεῦμα, λύσῃ τὸν δεσμὸν αὐτοῦ. καὶ ψιλὸν μὲν αὐτῶν τὸ π̃. δασὺ δὲ τὸ φ̃, μέσον δὲ ἀμφοῖν τὸ β̃. τοῦ μὲν γάρ ἐστι ψιλώτερον, τοῦ δὲ, δασύτερον, τοῦ π̃. μία μὲν αὕτη συζυγία τριῶν γραμμάτων ἀφώνων, ὁμοίῳ μὲν σχήματι λεγομένων, ψιλότητι δὲ καὶ δασύτητι διαφερόντων. τρία δ' ἄλλα λέγεται, τῆς γλώττης ἄκρῳ τῷ στόματι προσερειδομένης κατὰ τοὺς μετεωροτέρους ὀδόντας, ἔπειθ' ὑπὸ τοῦ πνεῦς ὑπορραπιζομένης, καὶ

τὴν

τὴν διέξοδον αὐτῷ περὶ τὰς ὀδόντας ἀποδιδάσης, τὰ τ, θ, δ. διαλλάττει δὲ καὶ ταῦτα Δασύτητι καὶ Ψιλότητι. Ψιλὸν μὲν γὰρ αὐτῆ ἐστι τὸ τ, Δασὺ δὲ τὸ θ, Μέσον δὲ κὴ Ἐπίκοινον τὸ δ. αὕτη Διέρα Συζυγία Γραμμάτων Ἀφώνων. ξία δὲ τὰ λοιπὰ τῆ Ἀφώνων λέγεται, τῆς γλώττης ἀνισαμένης κὴ τὸν Οὐρανὸν ἐγγὺς τῆς φάρυγγος, κὴ τῆς ἀρτηρίας ὑπηχέσης τῷ πνεύματι, τὰ κ, χ, γ, ἑδενὶ καὶ ταῦτα διαφέροντα τῷ χήματι ἀλλήλων, πλὴν ὅτι τὸ μὲν αὐτῆ, ψιλῶς λέγεται, τὸ δὲ, Δασέως, τὸ δὲ γ, μεξίως, καὶ μεταξὺ τύπων. κράτισα μὲν ἔνεσιν, ὅσα πολλῷ τῷ πνεύματι λέγεται, δεύτερα δὲ, ὅσα Μέσῳ, κακίω δὲ, ὅσα Ψιλῷ. ταῦτα μὲν δὴ τὴν ἑαυτῆ δύναμιν ἔχει μόνην, τὰ δὲ Δασέα καὶ τὴν τὸ πνεύματος προθήκην, ὥστε ἐγγὺς τὸ τελειότατα εἶναι ἐκεῖνα. καὶ τοιαῦτα μὲν κὴ ταῦτα. Τῶν δὲ δ', καὶ π', Γραμμάτων φασὶ τὸν μὲν Δασέων δύρετὴν εἶναι Κάδμον τὸν ἀπὸ τῆς Μιλήτε, ἐλθόντα εἰς Θήβας ἐκ Τύρε Φοίνικα. Τῶν δὲ τριῶν Διπλῶν Ἐπίχαρμον τὸν ἐκ τῆς Συρακόσης, τῆ δὲ δυοῖν Μακρῶν, κατὰ δὲ Σίδαν καὶ τῶν Διπλῶν τὸν Σιμωνίδην εἴτε τὸν Ἀμόργε τὸν Σάμιον, εἴτε τὸν Λεωπρέπεως τὸν Κῆον. τῶν δ' ὑπολοίπων ἑκκαίδεκα, εἴτ' ἓν τῆ Ψιλῶν καὶ Μέσων καὶ τῆ Ἀμεταβόλων μετὰ τὸ σ, ἔτι τε τῆ Διχρόνων καὶ Βραχέων τὸν Παλαμίδην τὸν Νυκτλίε καὶ Κλυμένης υἱόν. Ὅρα καὶ τὸν Πλάτ: ἐν τοῖς συμποσιακ: προβλήμ: Βιβλ', θ', πρόβλ: δ'. καὶ ἄπω τὴν τῆ Γραμμάτων δύρεσιν οἱ μὲν, τῷ Παλαμίδη, οἱ δὲ, Φοίνικι παιδαγωγῷ Ἀχιλλέως, καὶ ἄλλοι ἄλλοις, οἱ πλείους δὲ τῷ Κάδμῳ προσάπτουσιν, ἀρχαιοτέρῳ τῆ λοιπῶν ὄντι, καὶ τῆς Φοινίκων εἰς τὴν Ἑλλάδα μεπακομίσαντι. φησὶ δὲ κὴ Κύριλλος Ἀλεξανδρείας Λόγ: ζ', κὴ Ἰουλιανὸς. κὴ αὐτὴ τῆ πρώτων Στοιχείων ἡ ἐπιστήμη παρ' Ἑβραίων ἦκει τοῖς Ἕλλησι, μεσολαβέντος τὲ Κάδμε. Εὐπόλεμος γάρ ὁ ἱστορικὸς τὰς ἐπὶ τῷ Μωϋσῆ λόγας σωτιθεὶς ἐν τῷ περὶ τῆ ἐν τῆ Ἰουδαίᾳ βασιλέων, φησὶν ἐναργῶς. Μωϋσέα δὴ πρῶτον γενέθαι σοφὸν, κὴ Γραμματικὴν τοῖς Ἰουδαίοις παραδῶναι, τὴν τοινικάδε πάχαπε νενομισμένην. Φοίνικας δὲ παρ' αὐτῆ καταπτήσαθαί τε τὴν ἐπιστήμην, ἅτε δὴ καὶ ὁμόρους ὄντας Ἰουδαίοις, παραδῶναι δὲ τοῖς Ἕλλησι παισὶ, Κάδμε δηλονότι παρ' αὐτοῖς γεγονότος, καὶ αὐτὰ δὲ διδάξαντος τὰ πρῶτα Στοιχεῖα. ταύτης Ἰδίᾳ μέμνηται τῆς ἱστορίας ἐν τοῖς τρωμαϊκ: ὁ Κλήμης, Ἀνὴρ ἐλλογιμώτατος κὴ φιλομαθὴς, καὶ ἀναγνωσμάτων Ἑλληνικῶν πολυπραγμονήσας βάθος, ὡς ὀλίγοι τὰ χαπε τῆ πρὸ αὐτε. Ἕτεροι δ' ἐπισατικώτερον ἐπιβαλόντες, ἔτε τὸν Παλαμίδην, ἔτε μὴν τὸν πρὸ αὐτὲ Φοίνικα, ἀλλ' ἐδὲ Κάδμον αὐτὸν εὑρεῖν φασι τὰ Γράμματα, προάγοντες εἰς πᾶν τὸν Ὅμηρον πρὸ Παλαμίδες καὶ Φοίνικος λέγοντα περὶ τὲ Πρόιτου ιλ: ζ. ἐν βελεροφόντιω ὧδί. κτεῖνε μὲν ῥ' ἀλέεινε, σεβάσατο δὸ τό γε θυμῷ, πέμπε δέ μιν λυκίηνδε, πόρε δ' ὅγε σήματα λυγρά. γράψας δ' ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλὰ, δείξε δ' ἱνώγει, ᾧ πενθερῷ, ὄφρ' ἀπόλοιτο. Ἐκ γὰρ τῆ ἐπῶν Ὁμήρε δεικνύουσι προϋπάρχειν τὰ Γράμματα Παλαμίδες καὶ Φοίνικος, τὲ δὲ Κάδμε, ἐκ χρησμὲ, ὃν ἐλθὼν ἐκ Φοινίκης εἰς Ἑλλάδα, ἀνείλεπεν Δελφοῖς Ἑλληνικαῖς λέξεσιν ὧδί.

Φράζεο δὴ τὸν μῦθον, ἀγήνορος ἔκγονε Κάδμε, ἣς ἐρόμβος προλιπὼν, ἶθι Πυθὼ δίαν, ἐν θάδ' ἔχων ἔθηπα καὶ αἰγανέην μετὰ χερσὶν, κὴ τὰ λοιπὰ τὲ χρησμὲ. Εἰ δὲν ὁ Κάδμος δύρὼν τὰ Γράμματα, ἦγαγέ φασιν, ἐκ Φοινίκης εἰς τὴν Ἑλλάδα, πρὶν ἐλθεῖν αὐτὸν εἰς Ἑλλάδα, πόθεν αὐτῷ εἵρηται

ται ὀχρησμὸς Ἑλληνικαῖς λέξεσιν; εἰ δὲ πρὸ Κάδμου πρὸ ἑπτὰ γενῶν ὄντος Ἑλλήνων ἦσαν ἐπὶ τῶν Ἑλλήνων καὶ Γράμματα καὶ Λόγοι, δῆλον ὅτι πολὺ πάντως ἦν πρεσβύτερα Παλαμίδους καὶ Φοίνικος καὶ τῶν λοιπῶν. Παλαιὰ οὖν ἐστιν ἡ τῶν Γραμμάτων εὕρεσις, καὶ τῶν Ἑλλήνων ταῖς γοναῖς οὐχὶ ταῖς Αἰγυπτίων. Τοὺς δὲ περὶ τοὺς χαρακτῆρας πρὸς δὲ καὶ τὴν τάξιν καὶ τὸν ἀριθμὸν τῶν Στοιχείων πραγματευομένους ἑατέον αὐταῖς αὐτῶν εἰσηγήσεσι καὶ Ἐτυμολογίαις. ἦν γὰρ ὁ παρὰ Πλουτάρχῳ Χαιρωνεὺς τάξιν ἐξέδωκε τῶν Στοιχείων. καθ' ἣν τῶν μὲν Ἀφώνων πρωτεύει τὰ Ἡμίφωνα, μεταξὺ τούτων τε καὶ τῶν Φωνηέντων κείμενα, ὡς τῆς ἀμφοῖν τρόπον τινὰ κοινωνοῦντα δυνάμεως, τούτων δὲ τὰ Φωνήεντα, καὶ τούτων αὖ τὰ Δίχρονα, καὶ τῶν Διχρόνων τὸ ἄλφα, ὡς τῶν τε δυοῖν ὁμοειδῶν καὶ πάντων ἁπλῶς προτατόμενον, δι' ὃ καὶ τὰ τῶν Ἀφώνων ὀνόματα, πλὴν ἑνὸς τοῦ π, ἅπαντα προχρῆται τῷ α, καθάπερ φωτὶ τῆς περὶ αὐτὰ τυφλότητος. (τὸ γὰρ φεῖ, καὶ χεῖ, τὸ μέν ἐστι π, τὸ δὲ, κάπα δασυνόμενον) καὶ τὸν ἀριθμὸν δὲ αὐτῶν, ὃν συναπαρτίζει, πολυπλασιασθεῖσα ἥτε τριάς, πρῶτος οὖσα καὶ τέλειος ἀριθμὸς πρὸς τὴν ὀκτάδα, πρῶτον οὖσαν Κῦβον, καὶ ἡ τετρὰς πρῶτος οὖσα Τετράγωνος πρὸς τὴν ἴσην τοῖς ἑαυτῆς μέρεσιν ἑξάδα, τούτων φημὶ ἑκάτερα εἰσαχθεὶς Ζωπυρίων παρὰ τῷ αὐτῷ πλουτάρχῳ συμπσ: βιβλ: θ', προβλ: γ', κατεγέλασε, φλυαρίαν αὐτὰ ἀποκαλῶν, καὶ τυχαῖα ἐξ αὐτομάτου ἑκάτερα. οὕτως οὖν ἔχοντα φύσεως εὑρέσεώς τε καὶ τῆς πρὸς ἄλληλα συμπλοκῆς τὰ Στοιχεῖα, ἐν μὲν εὐθείᾳ καὶ αἰτιατικῇ ἐνάρθρως τε καὶ ἀνάρθρως λέγεται, κατάγε μὴν τὰς λοιπὰς πτώσεις ἀδύνατον ἐκστῆναι τὸ Ἄρθον τῆς τῶν Στοιχείων Συντάξεως. ἧς ἡ αἰτία ἥδε. τῶν Στοιχείων μονοπτώτων καὶ ἀκλίτων ὄντων, ἡ αὐτῶν πρώτη ἐκφώνησις καὶ θέσις, ἄγνωστος μὲν οὖσα τοῖς ἀρτιμαθέσι τῶν Παίδων, ἀναγκαίως ἀνάρθρως λέγεται. εἴγε τὸ μὲν Ἄρθρον ἀναφέροντος, τοῦτ' ἔστι προϋφεστῶσαν γνῶσιν δηλοῖ, ὁ δὲ Παῖς ἀγνοεῖ τὸ Στοιχεῖον. φαμὲν ἄρα διδάσκοντες, τοῦτο α, ἢ β, ἐστὶν, ἢ καλεῖται, νῦν εὐθείας νοουμένης, ὡς εἴτις φαίη, τοῦτο Ἄνος, ἢ Ἵππος ἐστίν. ἤδη δὲ τὴν τούτου γνῶσιν ἀναλαβόντες, ὡς προδεδιδαγμένοι ἀναγκαίως συνάρθως ἀποφαινόμεθα, τὴν κατ' αὐτοῦ ἀναπόλησιν παρεμφαίνοντες. τὸ α, τελικόν ἐστι Θηλυκῶν καὶ Οὐδετέρων, τοῦτ' ἔστιν, ὃ προεμάθομεν. οὐ μὴν ἀλλὰ καὶ ἡ ὁμόφωνος τῇ εὐθείᾳ Αἰτιατικὴ, ἑκατέρως λέγεται, κατὰ μὲν τὴν πρώτην θέσιν ἀνάρθρως, τοῦτο α, ἢ β, προσαγορεύει ὁ Διδάσκαλος. κατὰ δὲ τὴν προϋποκειμένην γνῶσιν ἐνάρθρως. τὸ α, ἢ τὸ β, ἀπήλειψεν ὁ Παῖς. ἡ μέντοι Γενικὴ καὶ ἡ συμπαθοῦσα αὐτῇ Δοτικὴ, μὴ ἔχουσα διὰ τῆς Φωνῆς τὴν Γενικὴν ἀποδεῖξαι, ἐπεὶ Ἄκλιτα τὰ Στοιχεῖα, (δι' ὃ καὶ τὸ παρὰ Ξενοφῶντι ἐν τοῖς Ἑλληνικοῖς εἰρημένον, οὐχ ὑφὲν τὰ σίγματα, τῶν ἀσπίδων ἀναγνωστέον, ἀλλὰ δισυλλάβως μὲν τὰ σίγμα, ἀπ' ἄλλης δὲ ἀρχῆς τὰ τῶν ἀσπίδων κατὰ διάστασιν.) βοηθεῖται τῇ τοῦ Ἄρθρου κεκλιμένῃ γενικῇ. οἷον τοῦ α, ἡ ἐκφώνησις μεγίστη ἐστί. κἀπὶ Δοτικῆς τῷ α, πρόσκειται τὸ ι. εἰ γὰρ τὸ Ἄρθρον τις ἀφέλοι, τῆς λειπομένης τοῦ Στοιχείου φωνῆς, ὡς εὐθείας λελημμένης, ἡ, ὡς εἴρηται, πρώτη θέσις, εὐθεῖα οὖσα, ἀκατάλληλον ποιήσει τὸν Λόγον. καθ' ὅ, τι δύω εὐθεῖαι ὁμοειδεῖς οὐδέποτε συνίστανται ἀσύνδετοι. ἄλφα ἡ ἐκφώνησις μεγίστη ἐστίν. ὠμέγα πρόσκειται τὸ ι. ἐπίσης γὰρ τὸ ἐστὶ ῥῆμα τῷ τε α, καὶ τῷ μεγίστῃ ἡ ἐκφώνησις συντετάξεται. Ὅτι δὲ διὰ τὸ τῆς τῶν Στοιχείων Φωνῆς ἄκλιτον τὰ Ἄρθρα κατὰ Γενικὴν καὶ Δοτικὴν προστίθεται, δῆλον κἀκ τῶν κατὰ Φωνὴν κλινομένων.

οἷς

οἷς μὴ συνόντος τοῦ Ἄρθρου, κατάλληλα τὰ τοῦ λόγου. Δίωνος ἡ ἐκφώνησις μεγίστη ἐστί. Δίωνι πρόσκειται τὸ ἰ. ἡ ἄρα Γενικὴ καὶ Δοτικὴ τῶν Στοιχείων ἀναγκαίως οὐ μεθίησι τὰ Ἄρθρα. Κατὰ ταὐτὰ δὴ τοῖς Στοιχείοις καὶ τοῖς Ἀπαρεμφάτοις ἡ τῶν Ἄρθρων Σύνταξις πρόσκειται. εἴ γε κἀκεῖνα ἄκλιτα Ὀνόματα. Ἰστέον μέντοι ὡς διχῶς πρόσεισι τὸ Ἄρθρον, ὁ τὲ μὲν, τῇ Φωνῇ τῇ προκειμένῃ, καθάπερ ἐπὶ τῶν Στοιχείων καὶ παντὸς μέρους Λόγου, ὁ τέ δὲ, ὡς πρὸς τὸ σημαινόμενον ὑπὸ τῆς φωνῆς πρᾶγμα. Τῶν δὲ κδ', Στοιχείων τὰ μὲν μονοσύλλαβα περισπᾶται, τῶν μὲν φεῖ, χεῖ, ψεῖ, Διφθογογραφομένων, τῶν δὲ ἄλλων μονοφθόγγῳ τῷ υ, μυ, νυ, υ, καὶ τῶν Δισυλλάβων τὰ φύσει μακροπαράληκτα, βῆτα, ζῆτα, ἦτα, ἰῶτα (Δισύλλαβον γὰρ καὶ τοῦτο, συνεκφωνουμένων τῶν δυοῖν Φωνηέντων.) τὰ δὲ λοιπὰ παροξύνεται.

Μετάθεσις.

Γίνεται δὲ καὶ μετάθεσις τῶν Στοιχείων. κραδία, καρδία. ἀτραπὸς, ἀταρπός. σφάγανον. φάσγανον. ὀλίγος, λοιγός.

Τηρητέον, ὅτι μὴ μεταμείβουσα τὴν οἰκείαν Συλλαβὴν ἡ τοῦ Στοιχείου μετάθεσις, ποιητικόν ἐστι σχῆμα, μεταμείβουσα δὲ, Βαρβαρισμὸς, ὡς τὸ δίφρον, δρίφον.

Καὶ πάθη συμβαίνει τοιαῦτ' ἄττα, τὸ μὲν Μακρὸν εἰς Βραχέα διαλύεσθαι. ἦγεν, ἔαγε. καὶ ἀνάπαλιν συναιρεῖσθαι. ἱερὸν, ἱρόν. δίϊος, δῖος.

Οὐκ ἄρα ἀμερῆ τὰ Στοιχεῖα. εἴ γε τὸ ῆ, εἰς τὸ ε, καὶ α, μεμέρισται. τὸ γὰρ ε, καὶ α, ἕτερά εἰσι τῷ εἴδει τοῦ ῆ, τὸ μὲν γὰρ, τῶν Μακρῶν, τὰ δὲ, τῶν Βραχέων. Ἢ οὐ ταὐτὸν διαίρεσις καὶ ἀνάλυσις. ἡ μὲν γάρ ἐστι τῶν ἁπλῶν καὶ καθολικωτέρων εἰς τὰ μερικώτερα διανομὴ, ὡς ἡ τῶν Γενῶν εἰς τὰ Εἴδη καὶ τῶν Εἰδῶν εἰς Ἄτομα. ἡ δ' ἀνάλυσις τἀνάπαλιν τῶν συνθέτων καὶ μερικῶν εἰς τὰ ἁπλᾶ τε καὶ καθόλου ἀναδρομή. ὡς ἡ τῶν Ἀτόμων εἰς τὰ Εἴδη, καὶ τῶν Εἰδῶν εἰς τὰ οἰκεῖα Γένη. τοιγαροῦν τῆς ἀναλύσεως τὴν σύνθεσιν προυποτιθείσης, τῶν Στοιχείων τὰ μὲν ἐξ ἁπλῶν συνῃρημένα, εἰς τὰ ἐξ ὧν σύγκειται ὡς σύνθετα ἀναλύεται, τὰ δ' ἁπλᾶ, οὐδαμῶς. τὰ δὲ ἀναλυόμενα, ἢ ὁπωσοῦν συντιθέμενα τῶν Στοιχείων ἀκύρως φασὶ καλεῖσθαι Στοιχεῖα, ὡς μήτε πρῶτα, καὶ ᾗ δὴ εἰς ἕτερα τῷ εἴδει ἀναλυόμενα διαιρεῖται. οἱ δὲ τοιοῦτοι οὐ δὲ τὰ δ', τοῦ παντὸς Στοιχεῖα, Στοιχεῖα δώσουσι καλεῖσθαι, τὰ καθ' ἑαυτὰ μὲν οὐδαμοῦ ὄντα, δι' ἀλλήλων δὲ κεχωρηκότα. καθαρὰ γὰρ αὐτὰ καὶ εἰλικρινῆ νοῦς μόνος οἶδε διακρίνων ὁρᾶν. ἐν γὰρ οὐδὲ ἐν αὐτῶν ἐστιν ἀμιγὲς τῶν λοιπῶν. δι' ὅ, τι ἀναμέμικται τοῖς ἑτεροειδέσι καὶ νενόθευται, καὶ μᾶλλον, ἢ ἧττον ἀλλήλων μετείληφεν. ὥστε κατὰ τὸ ἐπικρατοῦν τὸ μὲν, πῦρ ὀνομάζεται, τὸ δὲ, Ὕδωρ. καὶ τὸ μὲν, Ἀὴρ, τὸ δὲ, Γῆ. Καὶ τὰ εἰς εα, δὲ λήγοντα τρίτα πρόσωπα Πληθυντικὰ Παθητικῶν Παρακειμένων, ἐκ τῶν διὰ τοῦ ηνται κοινῶν διαλέλυνται ἰωνικῶς ἀπελεύσει τοῦν. κατὰ δέ τινα τῶν Ἰώνων διάλεκτον καὶ μετὰ τοῦ ν, λέγεται. φασὶ δέ τινες καὶ τὰ σύστοιχα ἑνικὰ διὰ τοῦ εα, ὁμοίως λέγεσθαι, οἷον πεποιέα, ἀντὶ τοῦ πεποίηται. καὶ τὰ εἰς εα δὲ πρῶτα πρόσωπα Ὑπερσυντελικῶν, οἷα πεποιήκεα, ἤδεα, νενοήκεα, ἐκ τῶν ἀττικῶς εἰς ῆ, μόνῳ καθ' Ἡρακλείδην περατουμένων ὑπερσυντελικῶν διαλέλυνται. οἷς ὁμοφωνοῦσιν ἐνίοτε τὰ σύστοιχα τρίτα, οἷον ἐκ τοῦ ἤδη πρώτου τὸ ἤδεα. ἐπὶ δὲ τοῦ συναιρεῖσθαι, ἀπὸ κοινοῦ ἀκουστέον ἐναλλὰξ τὸ τὰ Βραχέα εἰς Μακρόν.

Ταῦτά γε μὴν ἑτέρας ἂν θεωρίας εἴη.

Τῆς ποιητικῆς δηλαδὴ, καὶ οὐ τῆς ἀπαθῶς ἐχούσης διαλέκτου. Τὰ γὰρ τοιαῦτα πάθη τῶν Λέξεων ὑπὸ τῆς μετρικῆς ἀνάγκης τῶν Ποιητῶν ἐν ταῖς διαλέκτοις παρεισήχθη, βιαζομένων ὑπὸ τῶν κατ' εἶδος στιχουργικῶν μέτρων, τῶν Λέξεων ταῖς μὲν, προστιθέναι τι τῶν μὴ προσόντων, τῶν δὲ, ἀφαιρεῖν τι τῶν ἐνόντων. καὶ τὰς μὲν, ἀναλύειν, τὰς δὲ, συναλείφειν. καὶ τὰς μὲν, ἐκτείνειν, τὰς δὲ, συστέλλειν, καὶ ὡς ἂν ἄλλως εὖ ἔχοι εἰς τὴν τῶν ἐπιζητουμένων ποδῶν συμπλήρωσιν. ἡμῖν δ' ἐπὶ τοῦ παρόντος οὐ τοῦτο πρόκειται.

Ὅρος Συλλαβῆς.

Οὕτω μὲν οὖν τὰ Στοιχεῖα πρὸς ἄλληλα ἔχοντα, συντίθησι διαφόρως τὴν Συλλαβὴν,

Ὅ ἐστιν ἐπιπλεκόμενα, ἃ μὲν, ὡς εἴρηται, κατὰ σύλληψιν, ὅσα Προτακτικὰ, ἃ δὲ, κατὰ διάστασιν, ὅσα Ὑποτακτικὰ, συνίστησι τὴν διάφορον Συλλαβὴν ἐκ τῆς σφῶν ποιᾶς κράσεως τῆς κατά τε τὰ διπλᾶ τῶν Συμφώνων καὶ τὰ μακρὰ τῶν Φωνηέντων, καὶ τῆς κατὰ τὰ ἁπλᾶ παραθέσεως. αὗται δέ εἰσι μυρίαι τὸ πλῆθος ὅσαι. συντίθησι δὲ τὰ Στοιχεῖα τὴν Συλλαβὴν. καθ' ὅ, τι τὰ κδ', τοῦ Λόγου Στοιχεῖα, καθ' ἑαυτὰ μὲν, ᾗ Στοιχεῖα, οὐδαμοῦ ἐστιν, ὥσπερ οὐ δὲ τὰ δ', τοῦ παντὸς Στοιχεῖα, δι' ἀλλήλων δ' ἀεὶ κεχωρηκότα, τὸ σύνθετον ἀποδιδόασιν. ὥσπερ δὴ καὶ τὰ μέρη τοῦ ὅλου, ᾗ μέρη, καθ' αὑτὰ εἶναι οὐ δύναται.

Σύλληψιν οὖσαν Στοιχείων εὐαρμόστως συνταττομένων.

Ὁρισμὸς οὗτος Συλλαβῆς ἐξ ἐτυμολογίας, ἢ καὶ πραγματιώδης.

Ὃν δὲ τρόπον ἡ τῶν Στοιχείων συμπλοκὴ οὐθὲν ἄτακτον ἔχει, οὕτω καὶ αἱ Συλλαβαὶ κατὰ Λόγον

Ἀντὶ τοῦ κατὰ τάξιν καὶ εὐτάκτως, ὡς εἴρηται, οὐ μὴν ἀτάκτως.

Ἀλλήλαις συνιοῦσαι, τὴν Λέξιν ποιοῦσι, καὶ αὖ πάλιν αἱ Λέξεις τὸν Λόγον.

Τὸ κατὰ Λόγον συνιοῦσαι, ἀπὸ κοινοῦ.

Ὅρος Λόγου.

Ἔστι γάρ τοι ὁ Λόγος Σύνταξις Λέξεων,

Σύνταξις συνθέσεως διαφέρει. ὅτι ἡ μὲν σύνθεσις λέγεται, ἐφ' ὧν τὰ μέρη ἀδιαφόρως ἔχει συντιθέμενα καὶ συγκεχυμένως, ὡς ἐπὶ τῆς Οἰκίας οἱ πλίνθοι, οἱ λίθοι, τὰ ξύλα. ταῦτα γὰρ οὐκ ἔχει ἁρμογὴν ὡρισμένην, ὥστε τὸ μὲν, ἄνω τίθεσθαι, τὸ δὲ, κάτω, ἀλλ' ἀδιαφορεῖ ἡ τούτων σύνθεσις, συγκεχυμένη τις οὖσα καὶ ἄτακτος, καὶ νῦν μὲν τὰ ἄνω κάτω τιθεῖσα, νῦν δὲ τ' ἀνάπαλιν. τ' ἀνάπαλιν δὲ ἡ σύνταξις. λέγεται γὰρ, ἐφ' ὧν τὰ μέρη κατὰ τάξιν ὡρισμένα, τὴν ἐναντίαν τάξιν οὐ παραδέχεται. ὡς ἐπὶ τοῦ Ἀνδριάντος τυχὸν, οὗ κάτω μὲν οἱ πόδες, ἄνω δ' ἡ κεφαλή. καὶ τῶν λοιπῶν ὡσαύτως τὴν ἰδίαν ὡρισμένως ἕκαστον εἴληφε τάξιν. καὶ οὐχ ὡς ἐπὶ τῆς Οἰκίας τὰ μὲν ἄνω κάτω τιθέναι ἐστὶ, πλίνθους ὡς εἴρηται καὶ λίθους, τὰ δὲ, τ' ἀνάπαλιν. καθ' ὅ, τι τῶν ἐμψύχων ὡρισμένην ἕκαστον τῶν μερῶν εἴληφε τάξιν. κατὰ τ' αὐτὰ δὴ καὶ ἡ τῶν τοῦ κατὰ σύνταξιν λόγου μερῶν συμπλοκὴ, σύνταξις μᾶλλον, ἢ Σύνθεσις ἀκούει. διὰ τὸ ἕκαστον τούτων ἰδίαν τάξιν σχεῖν, ὡς δειχθήσεται, τὸ μὲν Ὄνομα πρὸς τοῦ Ῥήματος. καθ' ὅ, τι καὶ ἡ οὐσία τοῦ συμβεβηκότος.

Τὸ

Τὸ δὲ Ῥῆμα πρὸ τοῦ Ἐπιῤῥήματος. εἴγε πρότερον τῇ φύσει τὸ ποιοῦν καὶ πάσχον τῶν συνεδρευόντων αὐτοῖς, τρόπου λέγω καὶ τόπου καὶ χρόνου, καὶ τῶν ὁμοίων. καὶ τὰ λοιπὰ δέτοι ὡσαύτως. ᾗ γεμὴν πολλαχοῦ δι' εὐφράδειαν ἐναλλάττει τὴν ἰδίαν θέσιν τὰ μόρια, μὴ συναλλάττοντα ταύτῃ καὶ τὴν φυσικὴν τάξιν, ὥς τισιν ἔδειξε, (τὴν γὰρ φράσιν ἑρμηνεύοντας, τῇ φυσικῇ τάξει τῶν μορίων παρακολουθεῖν ἀνάγκη) ῥηθείη ἂν ταύτῃ καὶ συνθέσις. ἐρεῖ γὰρ, ὡς παρὰ τὴν ποιὰν τῶν Λέξεων συνθέσιν, ὁρθῶς ἔχει, ἢ μὴ, ὁ Λόγος. εἴη δ' ἂν καὶ ἑτέρως συνθέσις συντάξεως διαφέρουσα. ὅτι ἡ μὲν συνθέσις λέγεται, ἐφ' ὧν τὰ μέρη συνέχεταί τε καὶ διαμένει πρὸς ἄλληλα, ὡς τὰ μόρια τῆς τε Γραμμῆς καὶ τῆς Ἐπιφανείας καὶ τοῦ Σώματος καὶ τοῦ τόπου, ἡ δὲ σύνταξις, ἐφ' ὧν τὰ μόρια οὔτε συνέχεται, οὔτε μὴν ὑπομένει, τάξιν δ' ἔχει τί πρῶτον καὶ τί δεύτερον, ὡς τὰ μόρια τοῦ προφορικοῦ Λόγου. ἢ συνέχεται μὲν, οὐ χ' ὑπομένει δὲ, ὡς τὰ τοῦ Χρόνου, ἢ τοὐναντίον ὑπομένει μὲν, οὐ συνέχεται δὲ, ὡς τὰ τοῦ διωρισμένου Ποσοῦ, εἴτ' οὖν τοῦ Ἀριθμοῦ καὶ τοῦ γραπτοῦ Λόγου.

Εὐαρμόστως συντιθεμένων, διάνοιαν ἔχουσα αὐτοτελῆ.

Τὸ μὲν Λέξεων Σύνταξις, πρόσκειται διὰ τὸν συλλογιστικὸν Λόγον προτάσεων, ἀλλ' οὐ Λέξεων οὖσαν Σύνταξιν, τὸ δὲ εὐαρμόστως, διὰ τὴν μὴ οὕτως ἔχουσαν. ἥτις τὸν ἀκατάλληλον Λόγον ἀποτελεῖ. τὸ δὲ τῆς διανοίας αὐτοτελὲς, διὰ τὰ συνεκτικὰ τοῦ Λόγου μόρια, τό, τε Ὄνομα καὶ τὸ Ῥῆμα. ὧν θατέρου ὑποσταλέντος, συνίσταται μὲν διάνοια, οὐ μὴν αὐτοτελής. Ἔδει δὲ μετὰ τὸν τῆς Συλλαβῆς ὅρον τὸν τῆς Λέξεως προσεχῶς ἐκθέσθαι, εἶτα τὸν τοῦ Λόγου, ὡς τούτου φύσει προτέρας. ὁ δὲ, τὸν τοῦ Λόγου πρότερον ἀπέδοτο ἢ τὸν τῆς Λέξεως, τῇ μὲν, συνέχισας αὐτὸν τῇ τοῦ Λόγου ἀκολουθίᾳ ἐν τῷ εἰπεῖν, καὶ αὖ πάλιν αἱ Λέξεις τὸν Λόγον. καὶ ἔστι τὸ τοιοῦτο σχῆμα πρέπον μεγέθει συντάξεως. τῇ δὲ, ὡς ἐνὸν καὶ ἐκ τῶν φύσει ὑστέρων ἄρχεσθαι.

Ὅρος Λέξεως.

Λέξις δὲ, μέρος ἐλάχιστον τοῦ κατὰ σύνταξιν Λόγου.

Τὰ μέρη, τῆς προσεχοῦς ὁλότητος λέγεται μέρη οὐ τῆς πόῤῥω. ὅθεν τὸ Στοιχεῖον Λόγου μέρος, ἢ ἡ Συλλαβὴ οὐκ ἂν ῥηθείη, ἀλλ' ἡ Λέξις. ἐλάχιστον δὲ αὕτη τοῦ Λόγου ἀκούει μέρος, ὡς πρὸς τὰς ὑπολοίπους ἑπτά. ἐξ ὧν ἡ αὐτοτελὴς διάνοια. εἴγε κοινότερον ὀκτὼ τὰ μέρη τοῦ Λόγου. ἐλάχιστον γοῦν ὡς πρὸς τὰ ἑπτὰ τὸ ἕν. μήποτε δὲ παρέλκῃ τὸ ἐλάχιστον. παρὰ γὰρ τῷ ἀπολλωνίῳ δίχα τούτου τὰ κατὰ τὴν Λέξιν ὥρισται. Εἰσὶ δὲ οἱ, ἐλάχιστον εἰρηθαίφασι τὴν Λέξιν τοῦ Λόγου μέρος, ὡς πρὸς τὸν Λόγον, ὡς τὸ ἐλάχιστον δῆθεν τῆς αὐτοτελοῦς διανοίας ὑποδηλοῦσαν. ἀλλὰ γὰρ κατ' αὐτοὺς οὐκ εἰσὶ λοιπὸν μέρη Λόγου οὔτε τὰ προτακτικὰ τῶν Ἄρθρων, οὔθ' αἱ Προθέσεις, οὔθ' οἱ Σύνδεσμοι, καθ' ἑαυτοὺς μηθέντι δηλοῦντες. ἔπειτα, τὸ μέρος, τοῦ ὅλου ἔλαττον μὲν λέγεται, ἐλάχιστον δ' οὔ. εἰγ' ἡ ὑπέρθεσις οὐ πρὸς ἕν, πρὸς δὲ πλείω ᾀεί. Τὸ δὲ κατὰ σύνταξιν πρόσκειται διὰ τὴν τοῦ Λόγου ὁμωνυμίαν. σημαίνει γὰρ κοινῶς πᾶσαν ἔγγραφον Λέξιν νοήματος σημαντικήν. Τὸν ἐννοηματικὸν Λόγον, εἰ τ' οὖν ἐνδιάθετον, φημὶ δὴ τὸν διανοητικὸν, καθ' ὃν λογικοὶ λεγόμεθα (ὃς ἐνδιάθετος εἴρηται, ὡς οἷον ἐν διαθέσει καὶ ἀμόρφωτος ὢν πρὸς τὸν οἷον ἐν ἕξει καὶ μεμορφωμένον προφορικόν) διαφέροντα εἰδικῶς τῆς νοήσεως. ἥτις καὶ αὐτὴ Λόγος ἀκούει. κατὰ γὰρ τὸν Αὐγουστῖνον Βιβλ:

περὶ

περὶ προγνώσεως τῆς ἀληθινῆς ζωῆς κφ'. ιϛ', ἡ ἀνθρωπεία γνῶσις οὐδέν ἐστιν ἕτερον εἰμὴ Λόγος. νοούμενοι γάρ εἰσιν οἱ Λόγοι, ἀλλ' οὐ νοήσεις. νόησις μὲν γάρ ἐστιν ἡ τοῦ νοὸς ἐνέργεια (καθ' ὃν τρόπον ὁ Υἱὸς τοῦ Θεοῦ, Λόγος τοῦ Πατρὸς ὡς Νοῦ λέγεται. ἀλλὰ γὰρ ἡ μὲν τοῦ Νοὸς ἐνέργειά ἐστιν ἐνυπόστατος, μᾶλλον δὲ ἀνυπόστατος, ὁ δὲ Θεὸς Λόγος ἐστὶν αὐθυπόστατος. ἔνθεντοι καὶ λεγέσθω ὑπὲρ Λόγον ὁ Θεὸς Λόγος κατὰ τὸν Ναζιανζ: Λόγος ἀκούεις, καὶ ὑπὲρ Λόγον εἶ) νόημα δὲ αὐτὸ τὸ ἐννοούμενον. Τὴν διδασκαλίαν. Τὴν ἐπαγγελίαν. Τὸν ὁρισμόν. Τὴν ἐντολήν. Τὴν ἐνοῦσαν τοῖς φυσικοῖς δυνάμιν. Τὸν ῥητορικὸν Λόγον. Τὸν ἐξ Ὀνόματος συγκείμενον καὶ Ῥήματος, ὅ ἐστι τὴν Πρότασιν. ὃς μικρὸν ἢ οὐθὲν διενήνοχε τοῦ ἐσχάτου. Τὴν ἀπόδειξιν, ὅ ἐστι τὸν ἐκ προτάσεων εἰς συμπέρασμα μεταβαίνοντα Συλλογισμόν. ὥς που καὶ εἴρηται, ὁ διαλεκτικὸς περὶ Προτάσεως θεωρεῖ, τοῦ Συλλογιστικοῦ Λόγου ἕνεκα. Τὸν προφορικὸν, φημὶ δὴ τὸν διὰ γλώττης τῶν νοημάτων ἄγγελον. Τὸ λογοθέσιον, ὅ ἐστι τὸν λογαριασμόν. Τὴν γνῶσιν, ὡς ὅτε λέγομεν ἄλογον τὸν ἄγνωστον. Τὴν ἀπολογίαν. Τὴν κατὰ ἀναλογίαν σχέσιν. ὡς τὸ, ὃν Λόγον ἔχει τὰ δ', πρὸς τὰ η'. τὴν Δόξαν εἴτ' οὖν ὑπόληψιν. Τὴν φροντίδα. Τὴν παραβολήν. Τὸν τρόπον. Τὴν παροιμίαν, ἥ ἐστι ῥῆμα παρόδιον (ὅ ἐστι τῶν ἐν ταῖς ὁδοῖς λαλουμένων ὡς τὰ πολλὰ) τετριμμένον ἐν τῇ χρήσει τῶν πολλῶν, ἀποκεφαλαιούμενον μὲν εἴς τινα παραίνεσιν, ἐκδεχόμενον δέ τι ἔξωθεν ἐπέκεινα τοῦ κειμένου, καὶ ἀπ' ὀλίγων ἐπὶ πλείονα ὅμοια μεταληφθῆναι δυνάμενον. Πᾶν ὁ, τιοῦν σύγγραμμα, πεζῶς, ἢ ἐμμέτρως συγγεγραμμένον. Τὴν τάξιν, ὡς τὸ, ἡ Ἄλογος Φύσις, πᾶντα κατὰ Λόγον ποιεῖ. τὸ σπέρμα, καθ' ὃ εἴρηται, ὡς φωστῆρες ἐν Κόσμῳ Λόγον ζωῆς ἐπέχοντες. Χρυσός: ὁμλ': η', εἰς τὴν πρὸς Φιλιπ', καὶ Ἀθανάσ: λόγ: γ', κατὰ Ἀρειαν: τοῦτ' ἔστι δύναμιν ζωτικὴν καὶ ἐνέχυρα ζωῆς. εἰ γὰρ καὶ Ἀδὰμ ἐκ γῆς μόνος ἐπλάσθη, ἀλλ' ἐν αὐτῷ ἦσαν οἱ Λόγοι τῆς διαδοχῆς παντὸς τοῦ γένους. Τὴν φήμην. Τὸ τέλος. Τὴν αἰτίαν. Τὸν ἐν ἑκάστῳ τῶν γενομένων συμπεπλεγμένον καὶ συμπεφυκότα τεχνικὸν Λόγον. ὅ ἐστι τὴν ἐν τῷ τεχνητῷ ἕξιν καὶ σοφίαν τοῦ τεχνίτου. ὃν δὴ καὶ σπερματικόν τινες εἰώθασι καλεῖν, ἄψυχον ὄντα καὶ μηδὲν λογιζόμενον μήτε νοοῦντα, ἀλλὰ τῇ ἔξωθεν τέχνῃ μόνον ἐνεργοῦντα κατὰ τὴν τοῦ ἐπιβάλλοντος αὐτὸν ἐπιστήμην. Τὸ ἀπόφθεγμα, βιωφελῆ οὖσαν παραίνεσιν. Ἔτι καὶ τὸ θεῖον καὶ ἀγαθὸν θέλημα, τῷ ἐν Θῷ ἐνιαίως προϋφεστὼς τῶν ὄντων οὐσιωποιόν. ὃ ἡ Θεολογία Προορισμὸν καλεῖ. Ἔσχατον δὲ δηλοῖ καὶ τὴν ἐκτῆς τῶν Λέξεων παραθέσεως αὐτοτελῆ διάνοιαν. καὶ συνελόντι κατὰ τὸν βασίλ: εἰς τὴν ἀρχὴν τοῦ κατὰ Ἰω: Εὐαγγελίου, τοῦ Λόγου ὁ μέντις ἐστὶν ἐννοηματικὸς, εἴτ' οὖν ἐν διάθετος, ὁ δὲ, τεχνικὸς, περὶ οὗ νῦν ὁ Λόγος.

Καὶ μέντοι καὶ πολλαχῇ ὅμοιόν τι ἐπίτε τῶν Στοιχείων καὶ ἐπὶ τῶν Συλλαβῶν καὶ ἐπὶ τῶν Λέξεων καὶ ἐπὶ τῶν Λόγων ἐστὶ θεωρεῖν.

Εἰ γὰρ καὶ ἑτέρας ἐστὶ θεωρίας τὰ τῶν λέξεων πάθη, θεωρεῖταί γε μὴν κἀπὶ τοῦ λόγου τὰ αὐτά.

Διπλασιασμός.

Διπλασιάζεται γὰρ οὐ μόνον Στοιχεῖον, ἵππος. ἄλλος.

Ἐν οἷς τὸ αὐτὸ δὶς παραλαμβάνεται. ἔλλαχεν. ἔννεπεν. ἔδδεισε. κάββαλεν. ἀ', δεια γὰρ ἦν Αἰολεῦσιν, ἤδη δὲ καὶ τοῖς Ἴωσι

καὶ

καὶ ὅλως εἰπεῖν ταῖς Γλώσσαις διπλασιάζειν Σύμφωνα πλὴν τῶν Δασέων. (ὑφαιρουμένου τοῦ ὀφφίκιον. αὐτὸ δὲ οὐ γλώσσης ἑλλήνων ἐστίν) αὐτὰ γὰρ οὐκ ἐξῆν διπλάζεσθαι, οἷα αὐτόθεν τὴν κατὰ τὸ δασὺ πνεῦμα διπλόην ἔχοντα. δι' ὃ εἴπου καὶ ἐχρῆν ἀναγκαίως τὰ Δασέα διπλοῦσθαι, μετέπιπτεν εὐθὺς τὸ Δασὺ τῆς διπλώσεως εἰς τὸ ἀντίστοιχον Ψιλόν. οἷον βάζω, βάξω, βέβαχα. βάχος καὶ βάχαι, αἱ τροφοὶ αὐτοῦ. διπλουμένου δὲ τοῦ χ, καὶ οὕτως ἀηδὴ ἐρυγὴν ἐκπέμποντος, τρέπεται τὸ διπλωθὲν Δασὺ εἰς τὸ αὐτοῦ ἀντίστοιχον. καὶ γίνεται βάκχος καὶ βάκχαι. τοιοῦτο δὲ καὶ τὸ ἴακχος. καὶ τὸ ὀκχῶ Πινδαρικῶς· τὸ δ' αὐτὸ γίνεται κἀπὶ τοῦ καπφάλαρα. ἔτι δὲ καὶ ἐπὶ τοῦ κάτθανεν. ὅθεν καὶ οἱ τοῦ Ὄφιν ἀναιδεσάμενοι διπλάσαι τὸ δασὺ φ, οὐκ ἐτόλμησαν οὕτω προαγαγεῖν τὴν Ἑλληνικὴν Λέξιν, ἀλλ' Ὄπφιν ἔγραψαν. Ἔνθεντοι οὐδὲ τοῦ χ, Στοιχείου δύναται προκαθεσθῆναι δασεῖα πλὴν τοῦ ἧχι, ὃ δηλοῖ τὸ ὅπου. δι' ὃ τὸ ἴχνιον ὀφεῖλον δασύνεσθαι ὡς ἀπὸ τοῦ Ἱκάνω ψιλοῦται διὰ τὸ χ. κατὰ δὲ τὸν αὐτὸν λόγον καὶ τὸ ἀφὴ παρὰ τὸ ἅπτομαι γινόμενον, ψιλοῦται.

Ἀλλὰ καὶ Συλλαβή. ἀλαλάζω. μεμένηκα. προπροκυλινδούμενος. (Ἰλ: ρ.

Ὁποῖον καὶ τὸ ἐλέλεκτο. ἐλέλεγες. πάμπαν. καὶ ἡ ἄρχουσα δὲ τοῦ μερμηρίζειν ἐξ ἀναδιπλασιασμοῦ ἐστι καὶ προσθήκης τοῦ ρ, καὶ ἡ τοῦ μαρμέρω, ὁμοίως καὶ ἡ τοῦ δαρδάπτω.

Καὶ Λέξις. Ἄρες, ἄρες. τὸ Ὁμήρου. καὶ, ὦ κύκλωψ, κύκλωψ. τὸ Θεοκρίτου· καὶ, ἰοὺ, ἰοὺ. Ἀριστοφάνους. (Ἐν Πλούτ.

Ἄρες, Ἰλ: ε, μῶσάγε μῶσα λιγεῖα. βαρὺς βαρὺς σύνοικος. οὐδὲ γὰρ οὐδὲ, ὦ κύκλωψ.

Θ.

Θεοκρίτου Εἰδυλλ: ιά.

Καὶ Λόγος. τοῦ δ' ἐγὼ ἀντίος εἶμι. καὶ εἰπυρὶ χεῖρας ἔοικεν, εἰπυρὶ χεῖρας ἔοικε, μένος δ' αἰθωνι σιδήρῳ. τὸ Ὁμήρου. καὶ, βωκολιάσδεο, Δάφνι. τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος, ᾠδᾶς ἄρχεο πρᾶτος. τὸ Θεοκρίτου.

Ἀλλὰ καὶ μέχρι Λόγου τὸ τοιοῦτο διήκει, ἡνίκα τὰ εἰρημένα αὖθις ἐπαναλαμβάνεται. διχῶς δὲ, ὁτὲ μὲν, ἀναγκαίως. ὁτὲ δὲ, ἐν παρολκῇ. ἀναγκαίως δὲ, κατὰ τρεῖς τρόπους. Ἐπὶ πράγματος διδασκαλίᾳ. Ἐπὶ προσώπου συστάζει, ἢ διαβολῇ. Ἐπὶ ἤθους βεβαιώσει. παράδειγμα δὲ τοῦ μὲν α', ὡς παρ' Ὁμήρῳ, ἀλλ' ὁ μὲν, αἰθίοπας μετεκίαθε τηλόθ' ἐόντας. αἰθίοπας. τοὶ διχθὰ δεδαίαται ἔσχατοι ἀνδρῶν. ἐπανέλαβε τὸ ὄνομα, ἵνα δείξῃ δύω γένη αἰθιόπων. Τοῦ δὲ β', συστατικῶς μὲν, Νιρεὺς, δ' αἰσύμηθεν ἄγε τρεῖς Νῆας εἴσας. Νιρεὺς, ὃς κάλλιστος ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν. ἐπανέλαβεν, ἵνα κοσμήσῃ τὸ πρόσωπον. ἐπὶ διαβολῇ δὲ, Ἄρες, ἄρες βροτολοιγέ. ἐπανέλαβεν ἵνα διαβάλῃ τὸ πρόσωπον. Τοῦ δὲ γ', τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰπυρὶ χεῖρας, κτ: ἐπανέλαβεν, ἵνα τὸ ἀνδρεῖον βεβαιώσῃ. παρὰ δὲ πεζοῖς Ἐπὶ μὲν πράγματος διδασκαλίᾳ, ξενοφῶν, ἐν ἀπομνημ', ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει Θεοὺς, οὐ νομίζων, ἕτερα δὲ καινὰ Δαιμόνια εἰσφέρων, ἀδικεῖ δὲ καὶ τοὺς νέους, διαφθείρων. καὶ Δημοσθ: ἐν Φιλπ'. παρὰ τούτων τῶν τὰς νήσους οἰκούντων χρήματα λαμβάνουσι. λαμβάνουσι δὲ οἱ μὲν πλείονας ἔχοντες Ναῦς, πλείονα. Ἐπὶ δὲ προσώπου συστάσει, ὡς Ξενοφῶν, πολλάκις Κύρον ἐπαναλαμβάνων. Ἐπὶ δὲ διαβολῇ, ὡς ὁ Δημοσθ'. ἀλλ' Ἀνδροτίων ἡμῖν πομπείων ἐπισκευαστής; Ἀνδροτίων; ὦ Γῆ καὶ Θεοί-

καὶ ἀλλαχοῦ, ὑμεῖς δὲ Χαρίδημον, εἰ χρὴ φρουρεῖν, βουλεύεσθε; Χαρίδημον; οἴμοι. Ἐπὶ ἤθους βεβαιώσει. ἔστιν ὑμῖν, ὦ Ἀθηναῖοι, χρήματα, ἔστιν, ὅσα οὐδενὶ τῶν ἄλλων ἀνῶν. κἀν τῷ κατὰ Μειδίου. ἀλλ' Ἵππον; Ἵππον μὲν οὐκ ἐτόλμησεν ὁ κατάρατος οὑτοσὶ πρίασθαι. καὶ Ἡρόδοτος. φονεὺς μὲν τοῦ ἑωυτοῦ ἀδελφοῦ, φονεὺς δὲ τοῦ καθήραντος. Ἡ δὲ τοῦ Λόγου ἐπαναδίπλωσις, ἔτι καὶ ἐπαναστροφὴ λέγεται κατὰ τὸν Εὐστάθειον, καὶ οὐ μόνον ἐπανάληψις. Ἐπανάληψις δέ ἐστι σχῆμα κατὰ ταυτότητα πτώσεως διὰ τῆς αὐτῆς Λέξεως ἐπαναλαμβανόμενον. καθόλου γὰρ ἡ ἐπανάληψις, εἰ μὴ καινοπρέπειαν ἔχει, συντρέχει τῇ φθασάσῃ Λέξει κατὰ τὸ ἀπαράλλακτον, ὁμοιοπτώτως δηλαδή. ὅς περ δὴ συνήθης τρόπος ἐστὶν ἐπαναλήψεως. Τὰ γὰρ διὰ μιᾶς πτώσεως ἐπαναλαμβανόμενα, ταυτότητα δεῖ πτώσεως φυλάττειν. ὥστε ἐν τῷ, Τρῷες δ' ὥστ' ὄϊες, Ἰλ: δ', καὶ μετ' ὀλίγα, ὣς Τρῴων ἀλαλητός. ἀκαλλήλως ἔχει πρὸς τὴν ἀπόδοσιν ἡ σύνταξις τῆς ἀρχῆς, ἀρχομένη μὲν κατ' εὐθεῖαν, ἀποδιδομένη δὲ κατὰ γενικήν. οἷον, Τρῷες δ', ὡς ὄϊες μηκῶνται, οὕτω Τρῴων ἀλαλητὸς ὀρώρει. ὡς δῆθεν ταὐτὸ ὂν Τρῷες μηκῶνται εἰπεῖν, καὶ Τρῴων ἀλαλητός. τινὲς δέ φασιν, ἀσύντακτον μεῖναι τὸ Τρῷες δ' ὥστ' ὄϊες. οὐ γὰρ ἔχει ἀπόδοσιν. καὶ ἔστιν οὕτω πάνυ καινοπρεπὲς τὸ σχῆμα. ἠδύνατο μὲν γὰρ ὁ Ποιητὴς τὴν παραβολὴν ἤτοι ἀποδοῦναι, ὡς ἤρξατο, ἢ ἄρξασθαι, ὡς ἀπέδωκεν, ἵν' ᾖ ὁμοιόπτωτος τῇ ἀποδόσει καὶ ἡ ἀρχή. ὁ δὲ, οὐκ ἠθέλησεν, ἀλλ' οἷον συνεβαρβάρισε καὶ αὐτὸς τῷ Τρῳϊκῷ ἀλαλητῷ. τὸ δὲ, τοῦδ' ἐγὼ ἀντίος εἶμι, λόγοι εἰσὶ τοῦ Ἕκτορος πρὸς τὸν Ἀχιλλέα Ἰλ: υ'. τὸ δὲ τοῦ Θεοκρίτου Εἰδυλ: θ', ἀντὶ τοῦ, ὦ δάφνι, βουκολικῶς ᾇδε, σὺ γὰρ πρῶτος ἀρχὴν ποίει. Κατὰ δὴ τὸ τῆς καινοπρεποῦς ἐπαναλήψεως εἴληπται καὶ Ἡρῳδιανοῦ τὸ ἐν τῷ β', κφ': τοῦ α', βιβλ': Εἰπὼν γὰρ, ἐπεὶ δὲ ὁ Μάρκος ἑώρα τὸν Παῖδα τῆς μειρακίων ἡλικίας ἀρχόμενον ἐπιβαίνειν, δεδιὼς μὴ νεότης ἀκμάζουσα, εἶτα ἐπεμβαλὼν πλεῖστ' ἄττα, πρὸς τῷ τέλει που ἐπανέλαβεν, εἰπὼν, τοιαύτας δὴ τυραννίδος Εἰκόνας ὑποτυπούμενος, ἐδεδίει τε καὶ ἤλπιζε. τό γε μὴν καινοπρεπὲς ἡ λῆψις ἔχει, οὐχ ἡ ἐπανάληψις. συνημμένου γὰρ ὄντος τοῦ Λόγου, τὸ κατὰ τὸν ἐπεὶ, παρασυναπτικὸν Σύνδεσμον ἡγούμενον, πρὸς τὸ ἐδεδίει τε καὶ ἤλπιζεν ἑπόμενον σχοινοτενῶς ἀποδέδοται. ἀλλὰ μὴν ἐν τῷ ἐδεδίει, οὐθὲν ἀλλ' ἢ τὰ κατὰ τὸ δεδοιὼς κτ': ἐπαναλαμβάνεται, τὸ ἄρα δεδιὼς, ἀντὶ τοῦ ἐδεδίει εἴληπται. ὥστε τοῦ δεδιὼς εἰς τὸ ἐδεδίει μεταχηματισθέντος, οὐχ ἕξει τις πράγματα, τόθ' ἡγούμενον τοῦ συνημμένου προσεχῶς ἀποδιδοὺς, καὶ τὸ ληφθὲν ἐπαναλαμβάνων κατὰ τὸ ἀπαράλλακτον.

Πλεονασμός.

Ἔτι καθάπερ Στοιχεῖον ἔστιν οὗ

Ὅ ἐστιν ἐνιαχοῦ, ἔντισι δηλαδὴ Λέξεσι.

Πλεονάζει οὐ τὸ αὐτό. στάχυς, ἄσταχυς.

Οἱονεὶ σίταχυς, παρὰ τὸ σῖτον ἔχειν. ὥστε πλεονάζει τὸ α'. καὶ ἐν μὲν τῷ διπλασιασμῷ τὸ αὐτὸ Στοιχεῖον ἐπλεόναζε καὶ τὰ λοιπὰ τὰ αὐτὰ, ᾧ δὲ δὲ οὐ τὰ αὐτά.

Πνοὴ, πνοιή. τοῦτον, τουτονί.

Τὸ Α', κἀντῷ ἀλαλητός. ὅπερ δύναται καὶ ἐν πλεονασμῷ Συλλαβῆς παραλαμβάνεσθαι. ὡς κἀντῷ ἄσταχυς. ἐπεὶ καταχρηστικώτερον καὶ αἱμονογράμματοι ἐκ φωνήσεις, φημὶ δὴ τὰ Φωνήεντα Συλλαβαὶ ἤκουσαν. Καὶ τὸ Β', δὲ πλεονάζει διὰ καλλιφωνίαν ἐν τῷ γαμβρὸς, καὶ μεσημβρία, καὶ βροτός. Τὸ Γ',

ἐν τῷ γδοῦπος. Τὸ Δ̃, ἐν τῷ πολυδίψιον, κἀν τῷ διψῶ τῷ παρὰ τὸ ἵπτῳ, ὅ ἐστι βλάπτω. κἀν τῷ ὕδωρ, τοῦ ὕειν ἐγκειμένου. κἀν τῷ οὐτιδανός. κἀν τῷ ἐχθροδοπός. ὃ παρὰ τὸ ἔχθω καὶ τὸ ὄπτω, ἢ τὸ ὄψ ὀπὸς, ἵν' ᾖ ἐχθροπὸς, ὁ βαρὺς ἡμῖν ὢν καὶ βλεπόμενος. ὃν μισοῦμεν καὶ βλέποντες, ἢ προσφωνοῦντες. κἀν τῷ κνώδαλον, παρὰ τὸ εἴτε ὑπὸ κυνῶν ἁλίσκεσθαι, εἴτε κνώσσειν ἐν τῇ ἁλί. κἀν τῷ ἄχερδος. ἧς οὐκ ἔστι χειρὶ ἅψασθαι διὰ τὸ ἀκανθῷδες. κἀν τῷ ἀνδρός. καὶ ἡπίδαξ δὲ ἀπὸ τοῦ πιεῖν γινομένη, ἐκ πλεονασμοῦ ἔχει τὸ δ̃. ἐν οἷς καὶ τὸ ἁμαλδῦναι, ἐν ἴσῳ τῷ ὁμαλύνειν παρὰ τὸ ἁμαλόν. κἀν τῷ διώκειν παρὰ τὸ ἰέναι ὦκα ἰώκειν. καὶ τὸ Η̃, δὲ πλεονάζει κατ' ἀρχάς τινων Λέξεων. μύειν, ἠμύειν. βαιὸν, ἠβαιόν. λύγη, ἠλύγη. ἀφ' οὗ τὸ ἐπηλυγάζω. παρὰ τὸ βάλλω βόλος, ἠβόλος καὶ ἐπήβολος. φαίνω ὑπερήφανος. Τὸ Ι̃, ἐν τῷ ε̃, τὸ γὰρ Ε̃, Στοιχεῖον Εἶ, ἐλέγετο παρὰ τοῖς παλαιοῖς προστιθεῖσι τὸ ι̃, ἵνα τῇ διὰ διφθόγγου ἐκτάσει δύνωνται περισπᾶν αὐτὸ, καθ' ἃ καὶ τ' ἄλλα Στοιχεῖα. τοιοῦτο δὲ ποιοῦσι κἀπὶ τοῦ μικροῦ Ο̃. κἀκεῖνο γὰρ διὰ τὴν αὐτὴν αἰτίαν Οὖ, λέγουσι. Τὸ δὲ Ι̃, πλεονάζει καὶ ἐν μέσῳ λέξεων πολυβραχέων πρὸς συντέλειαν μέτρου δακτυλικοῦ. ὁδοιπόρος. μεσαιπόλιος. αἰέλιοι. αἰεί. αἰζόκροτος. αἶψα. αἰζηός. καὶ κατ' ἐπέκτασιν, οὑτοσί. νυνί. λόγοισι. Τὸ Κ̃, ἐν τοῖς εἰς σκῶ λήγουσι τῶν Ῥημάτων. παρὰ γὰρ τὸν μέλλοντα κατ' ἐπένθεσιν τοῦ κ̃, γίνεται. δάω, δάσω, δάσκω. καὶ ἀναδιπλασιασμῷ διδάσκω. οὕτω καὶ παρὰ τὸ νοῶ τὸ νοήσω, καὶ κράσει νώσω καὶ νώσκω, καὶ προσθέσει τοῦ γ̃, καὶ ἀναδιπλασιασμῷ γιγνώσκω. Τὸ Μ̃, ἐν τῷ ἄμβροτος. πίμπλημι. πίμπρημι. κἀν τῷ Ἑρμῆς. παρὰ γὰρ τὸ εἴρω τὸ Ἀγγέλλω ἐρέας, ὡς αἰνέας, καὶ Ἑρμέας, ῆς. κἀν τῷ μοχλὸς παρὰ τὸ ὀχλῶ. κἀν τῷ μείραξ, παρὰ τὸ εἴρω εἴραξ. κἀν τῷ ἀχυρμιὰ, παρὰ τὸ ἄχυρον. κἀν τῷ τέκμωρ, παρὰ τὸ τέκω. Τὸ Ν̃, ἐν τισι τῶν εἰς νυῶ, Ῥημάτων. ἀρτύνω Δωρικῶς παρὰ τὸ ἀρτύω. παρὰ τὸ θύω τὸ θύνω, τὸ ὁρμῶ, κἀν τῷ, ἐμοὶ δοκεῖν. τὸ Ξ̃, ἐν τῷ ξανθὸς τὴν κόμην, παρὰ τὸ ἄνθος κατὰ τοὺς παλαιοὺς, ἵν' ᾖ ξανθὴ κόμη, ἡ ἀνθηρά. Τὸ Ρ̃, ἐν τῷ σκῆπτρον παρὰ τὸ σκάπτω. ὅτι δὲ καὶ ἄλλαι εἰσὶ Λέξεις, ἐπένθεσιν παθοῦσαι τοῦ ρ̃, διὰ τραχύτητα ἐπιτετηδευμένην σεμνῶς, δηλοῖ καὶ ὁ Οἶστρος τὸ Ζωύφιον. ἀφ' οὗ καὶ ὁ κατ' ἔρωτα οἶστρος, καὶ οἱ τοιοῦτοι. Οἶστος γὰρ ὢν ἀπὸ τοῦ οἴω τὸ κομίζω, ἐτραχύνθη διὰ τοῦ ρ̃, ὁμοιοπαθὲς δὲ καὶ τὸ ἀλάβαστρον ἡ μυροθήκη. παρὰ γὰρ τῷ Μενάνδρῳ ἄνευ τοῦ ρ̃, κατὰ αἴλιον Διονύσιον. Καὶ παρ' Ἀθηναίῳ δὲ κεῖται Ἀλέξιδος τὸ, οὐ γὰρ ἐμυρίζετο ἐξ ἀλαβάστου. ἐν οἷς καὶ τὸ ἀγαυρὸς, πρόσληψιν ἔχει τοῦ ρ̃, καὶ τὸ ὄστρεον ὡς ἀπὸ τοῦ ὀστέου, καὶ τὸ ὄστρειον. Ἔτι δὲ καὶ τὸ ὄστρακον. ἀφ' οὗ καὶ τὸ ἐξοστρακίζειν. ὃ παρ' Ἀθηναίοις ἔθος ἦν ὡς ἐν εἴδει ἀφορισμοῦ, ἤγουν ἐξορίας. καὶ ὁ ἐποστρακισμός. εἶδος δὲ οὗτος παιδιᾶς. ἔτι πλεονασμὸς τοῦ ρ̃, κἀν τῷ βλήτροισι, κἀν τῷ ἀμφιβλήστρῳ. κἀν τῷ ῥόπτρῳ. κἀν ταῖς συλλαβικαῖς αὐξήσεσι τῶν ἀπὸ τοῦ ρ̃, ἀρχομένων Ῥημάτων διπλασιαζομένου. ἔρρει. καὶ ὅταν ἀρχόμενον Λέξεως, συντεθῇ τοῖς λήγουσιν εἰς Φωνῆεν. Ῥῆμα, Ἐπίρρημα. χρυσορρόας, χρυσορρήμων. κἀν τῷ ἐλάστρεον, ἐκ τοῦ ἐλαττῶ, καὶ ἐν ἄλλοις πολλοῖς. Ὁ δὲ τοῦ Σ̃, μέσον πλεονασμὸς ἐν τῷ ἐλάστρεον, ὁμοίως ἔχει τῷ, βωστρῶ. κομῶ, κοσμῶ. ματροπὸς, δωρικῶς ἡ Μητρὸς ὄπα σοφιζομένη, ἵνα ᾖ ματεροπὸς, καὶ πλεονασμῷ μαστροπός. κατ' ἀρχὰς δὲ, ἐν τῷ σφάζω, ἐκ τοῦ φῶ, φάζω. κατὰ τὸ τέγος, στέγος. μικρὸν, σμικρόν. μέρδω, σμέρδω. μῶ, σμῶ.

σμῶ. ὅθεν καὶ τὸ σμήχω. μίγω, σμίγω, ὁ καὶ μίσγω. καὶ τὸ σκάζειν ἐκ τοῦ κῶ τὸ κεῖμαι κατὰ παραγωγὴν καὶ πλεονασμόν. Ἔτι ὁ τοῦ Σ, πλεονασμὸς ἐν πολλαῖς εἴθισται βραχυνομέναις Λέξεσι κατ' ἐπαλληλίαν πυκνήν. ὁποῖα καὶ τὸ θέσκελον. θέσφατον. δολιχόσκιον. θεσπέσιον. Θεόσδοτον. μογοστόκος. ἢν δ' ἂν οὕτω κἀντῷ θεοστόκος, δι' ὁμοίαν αἰτίαν τοῦ σ, πλεονασμὸς, ὡς ἂν οὕτως εὔχρηστον γένηται ἐν μέτρῳ δακτυλικῷ, εἰ μὴ τραπέντος τοῦ ο, εἰς η, θεητόκος ἐγράφη, καθ' ὁμοιότητα τοῦ στεφανηφόρος. βοτρυηφόρος. σικυήλατον. ὑπεήλατον, ἐνεήλατον, καὶ τῶν ὁμοίων. τὸ μέντοι ὁδοδόκος καὶ ὁδοπόρος, ἄλλως ἐθεράπευσε τὸ πολύβραχυ τῶν Συλλαβῶν τῇ ἐπενθέσει τοῦ ι, καθὰ καὶ τὸ, ὡς εἴρηται, μεσαιπόλιος. ὁλοοίτριχος. σκοτοιβόρος, ὁ ὑπὸ σκότῳ βιβρώσκων, ἤγουν κρύφα μονοφαγών. θυλαιμένης. ἰχθαιμένης, καὶ ὅσα τοιαῦτα. πλεονασμὸς ἀναγκαῖος τοῦ σ, κἀν τῷ σακέσπαλος. κἀτῷ σακεσφόρος. ὁ πρὸς ὁμοιότητα τούτου εἴρηται. φερέσβιος. ὁποῖον καὶ τὸ ὀρχῶ, ὀρχήσω, ὀρχηστής. οὐ κατὰ τὸ ποιητής. καὶ χηρῶ, χηρώσω, χηρωστής. οὐ κατὰ τὸ ἐεδνωτής. κἀντῷ σκεδάζω, παρὰ τὸ χέω, ἢ τὸ κεάζω τὸ κλῶ. οὗ πρωτότυπον τὸ κέω. κἀν τῷ θήρεσσι, κύνεσσι, λελάχωσσι, καὶ ὅσα τοιαῦτα. ἐν οἷς καὶ Συλλαβῇ πλεονάζειν φαμέν. Τοῦ δὲ Τ, πλεονασμὸς ἐν τῷ πτόλις. Κύπριοι γὰρ καὶ Ἀττικοὶ παρεντιθέασιν Ὀνόμασί τε καὶ Ῥήμασι τὸ τ, τὸν πόλεμον, πτόλεμον λέγοντες. τὸ δ' αὐτὸ κἀντῷ Ἄρκτος, κἀντῷ Ἄνακτος, καὶ νυκτὸς, καὶ ἀνύτω. ἀφ' οὗ τὸ Ἄνυτος Κύριον. κἀντῷ ἀρύτω. ὅθεν ἡ Ἀρύταινα. καὶ ὁ Τιτθὸς δὲ ὁ μαζὸς, πλεονασμὸν ἔχει τοῦ τ, ἐπίτηδες διὰ τραχυφωνίαν. ἀπὸ γὰρ τοῦ ἐντίθεσθαι γίγνεται. Τυτθὸς δὲ ὁ μικρὸς παρὰ τὸ τίτθη κατὰ τροπὴν τοῦ διχρόνου. παρ' ὃ καὶ ὁ μικρὸς τὸ δέμας Τυδεύς.

Οὕτω καὶ Συλλαβή. λιπὼν, προλιπών. ἔτυμος, ἐτήτυμος. ἔφης, ἔφησθα.

Συλλαβῆς δὲ καὶ τὸ ἕζομαι, καθέζομαι. ἔπω, ἐνέπω. ἀντίος, ἐναντίος. καὶ τὸ Η, ἐν τῷ ἐπειῆ, καὶ τίη. ὃ οἱ μὲν παλαιοὶ περισπῶσι μὲν, ἐν τῷ ἐπειῆ, ἐν δὲ τῷ τίη, βαρύνουσιν, ἐγκλίνοντες, ὡς ἐν τοῖς Ἀπίωνος καὶ Ἡροδώρου φέρεται. οἱ δ' Ἀττικοὶ ὀξυτόνως λέγουσι, τιὴ, καὶ ὁ τιή. δῆλον δ' ὡς ἐπέκτασίς τίς ἐστιν ἐν τοῖς τοιούτοις τὸ η, ἑτεροία μέντοι παρὰ τὴν ἐν τῷ νυνὶ καὶ τοῖς ὁμοίοις. καὶ ἡ Νῆ, δὲ Συλλαβὴ πλεονάζει κατὰ τοὺς παλαιοὺς οὐ μόνον ἐν τέλει Λέξεων, ὡς ἐπὶ τοῦ ἐγώνη, τύνη. ἀντὶ τοῦ σὺ δωρικῶς, ἀλλὰ καὶ ἐν μέσῳ. ὡς ἐπὶ τοῦ ἀμενηνὸς, ὁ ἀσθενὴς ἐκ τοῦ ἀμενός. ὅπερ ἐκ τοῦ μένος. οὕτω δὲ καὶ νῶ τὸ σωρεύω, καὶ προσθέσει τῆς νῆ, Συλλαβῆς ἐν καταρχῇ, νηνῶ, ἐξ οὗ τὸ ἐπενήνεον ἐν κανέοισι. κἀντῷ ἀταρτηρὸς ἡ ταρ. καὶ ἡ δευτέρα ἀπὸ τέλους τῶν εἰς δαται, ληγόντων ἰωνικῶς τρίτων Προσώπων Πληθυντικῶν παθητικῶν Παρακειμένων ἐκ πλεονασμοῦ ἐστιν. ὧν τὰ μὲν, ἀπὸ τῶν συστοίχων ἑνικῶν σχηματίζεται, ἀποβολῇ δυοῖν Συμφώνων. ἐρήρεισται, ἐρηρέδαται. τὰ δὲ, ἀπὸ τοῦ Ἐνεργητικοῦ Παρακειμένου. ἃ καὶ θεματικὸν ἔχει τὸ δ, ὠνόμαδα, ὠνομάδαται. καὶ τὰ εἰς Α͂ται, δὲ μὴ προπαραλήγοντα τῷ ε, Ῥηματικὰ τρίτα Πληθυντικὰ Πρόσωπα, ἀπὸ τῶν συστοίχων Ἑνικῶν ἰωνικῶς ἐσχηματισμένα, κατ' ἐπένθεσιν ἔχει τὸ α. εἴρηται εἰρήαται. ἔσπαρται, ἐσπάραται. καὶ τὰ εἰς οῶ δὲ καὶ ωῶ ἐκφερόμενα, ἐξ ἐπενθέσεως ἔχει τὸ Ο, Τὸ ο, μὲν, βραχείᾳ παραλήγοντα. γελῶ γελόω. τὸ ω, δὲ, Μακρᾷ, ἠβῶ, ἠβώω. καὶ τὰ εἰς Αᾶ, τὸ α, βοᾷ, βοάᾳ. ὁρᾷ, ὁράᾳ. τοῦ Ο, δὲ Συλλαβικὸς πλεονασμὸς κἀπὶ τῶν Ἀττικῶν Ὀνομάτων κατὰ

τὰς

πὰς πλαγίας. πετεὼς, πετεὼ, πετεώο. ἀνδρό γεως, ἀνδρόγεω, ἀνδρογέωο. μίνως, μίνω, μίνωο. λῶδ' ἀὐ ϗ ἄθως, ἄθω, ἄθωο. εἰμὴ ἐκώλυε τὸ μέτρον ἐν τῷ ἐξ ἀθόῳ δ' ἐπὶ πόντον ἐδύσατο κυμαίνοντα. τοιᾶτόν τι ἔ παθε ϗ ἡ τᾶ γάλῳ δοτικὴ ἐν τῷ εἰδομένη γαλόῳ. ἕτω κὰ πὶ τῷ φῶς, φόως. κῶς, κόως, οἷον, κόων ἀ ναιομενίω. ϗ τὰ ξ ἴπα δὲ τῷ βαρυτόνων τε ϗ πεζαπωμένων Ῥημάτων κατὰ τὸ Ἐνικὸν εις τὴν σι, Συλλαβὴν περαιόμενα, τᾶ ἢ, παραλήγοντος, ἐκ πλεονασμᾶ ἔχει τὴν σι, τὰ μὲν Ὀ ειτικὰ ϗ τῳ ῥιγίνων διάλεκτον, λέγει, λέγησι. φιλεῖ, φίλησι. τὰ δὲ Ὑ ποπακτικὰ Ἰ ωνικῶς, λάβῃ, λάβησι, λάχῃ, λάχησι.

Καὶ Λέξις τᾶτο μὲν, ἐν συνθέσει, τᾶτο δὲ, ἐν παραθέσει.

Ἀ ντὶ τᾶ ἔσι μὲν ἓ, ἔσι δὲ ἕ. τί δέ ἐσι σύνθεσις ϗ τί παράθεσις λέξεων, ἐν ταῖς Προθέσεσιν ἐρᾶμεν.

Βοῶν ἐπιβουκόλος Ἀ νήρ. λῦσα δὲ σήσας Ὀ δυσσεὺς δέκα πᾶντα τάλαντα. (Ὀ δ: γ̃.) ϗ, ἦμαλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος Υἱός. (Ι λ: σ̃.) Ἔ νθα μὲν ϗ, τὸ πᾶντα, ἔνθα δὲ, τὸ μάλα, ἔνθα δὲ, τὸ ἐπὶ, πλεονάζον.

Καθόλα ϗ τὸ πᾶς ϗ αἱ ἀπ' αὐτᾶ πλάγιαι, τοῖς ἀριθμητικοῖς τῷ Ὀνομάτων παρατιθέμενα, παρέλκει. ὡς σωεξακοσίοι. ὡς κἀντῷ; ξ ίποδας ἐείκοσι πᾶντας ἔτυχε. Ἰ λ: σ̃. ποτὲ δὲ ϗ ἐλλείπει. ὡς ἐν τῷ, πανυσάμβυος ἑξ ἀμήλων. ὀδ': ῑ̃. ὁ ταὐτόν ἐσι ϗ τὸν Ἀ θήν: τῷ ἑξ ἀπάντων τῷ μήλων. ἕτω δέ φασι ϗ τὸ ἑξ ἀνυκτός, ταὐτόν ἐσι τῷ δι' ὅλης τῆς νυκτός. Ἐ φ' οἷς ἰσέον ὅτι τὸ μὲν ὅλον, ἐπὶ τᾶ συνεχᾶς Ποσᾶ τίθεται, τὸ δὲ πᾶς, ἐπὶ τᾶ διωρισμένα, ϗ ἁπλῶς ἐπὶ πολλῶν Ἀ τόμων. κατὰ δὲ τὸν Ἀ ριστ: δ̃, Μεταφ: ὅσων μὲν μὴ ποιεῖ ἡ μπάθεσις διαφορὰν, (φύσεως,) πᾶν λέγε ϗ: οἷον Ὑ δωρ; ϗ ὅσα ὑγρά. ϗ ἀριθμός. ὅλος δὲ Ἀ ριθμός, ϗ ὅλον Ὑ δωρ ϗ λέγε ϗ, ἂν μὴ μεταφορᾷ, (ἐφ' ὧν δὲ ὡς ἐφ' ἑνὸς τὸ πᾶν, ἐπὶ τᾶτων διῃρημένων ϗ τὸ πᾶν πᾶ. πᾶς ἔτος ἀριθμός, πᾶσαι αἱ δεκάδες.) ὅσων δὲ διαφορὰν ποιεῖ, ὅλον. ὅλος ὁ Οἶκος. ὅλη ἡ Ναῦς. ὅσα δὲ ἄμφω ἐν δέχε ϗ, ϗ ὅλον ϗ πᾶν. ἔσι δὲ ταῦτα, ὅσων ἡ μὲν φύσις ἡ αὐτὴ μένει τῇ μεταθέσει, ἡ δὲ μορφὴ ἄ. οἷον κηρὸς ϗ ἱμάτιον. ϗ ϗ ὅλον ϗ πᾶν λέγε ϗ. ἔχει γὰρ ἄμφω. ϗ τὸ βοῶν δὲ, ὡς ἐγκείμενον ἐν τῷ βυκόλος, παρέλκει. τὸ δὲ μάλα, ὑ τῷ πέθνηκε σωπάττεθαι ἀξιᾶσί τινες. γελοῖον δὲ τᾶτο γέφασι, ϗ ἀδιανόητον, ἐπίσης ἁπάντων, ϗ μὴ τᾶ μὲν, μᾶλλον τᾶ δὲ, ἧττον θνήσκοντος. ἀλλὰ τῷ ἦ, ἵν' ᾖ ὅπως μάλα. ἐν δὲ τῷ, πλεονάζον, συνεξακᾶτέον τὸ Ὑ παρκτικὸν εις ἀπόδοσιν τῆς Μετοχῆς. Δωριέων δὲ ϗ ὁ τᾶ Οὐδέτερος Ἄρθρος πλεονασμὸς κατ' ἀρχάς τινων χρονικῶν Ἐ πιῤῥημάτων προκειμένων. τοπρίν, τοπάλαι, τόνυν, καθ' ἕν τι μέρος Λόγου καὶ ὑφ' ἕν. δοκεῖ δὲ ϗ ἀττικῶς ἐλλείφθαι τὰ τοιαῦτα, ἵνα νοῆται ϗ τὸ πρίν ποτε τᾶ χρόνου κατάσημα. ἢ ϗ τὸ πάλαι, ἢ ϗ τὸ νῦν. ἀλλὰ πάδε μὲν πᾶντα ϗ πᾶσιν αἰτιατικῶν, Τόδε γε τῷ τέως, ϗ τῷ ποτὲ, ϗ τῷ μεταξύ, ἐδὲν μὲν ἐκώλυε καθ' ὁμοίαν πᾶσιν συνεξάλθαι ϗ αὐτά, ἔδοξε δὲ ὅμως τοῖς Ἀττικίζουσι ϗ δοτικὴν αὐτὰ προσενεγκεῖν, ἐλλείψει Προθέσεώς τε ϗ Ὀνόματος χρονικᾶ, ἵν' ᾖ ἐν τῷ τότε καιρῷ, ἢ χρόνῳ, ἢ ἐνιαυτῷ. ἕτω δὲ κἀντῷ τῷ μεταξύ, κἀντῷ, τῷ τέως. ἕτω ϗ τὸ, τῷ πρότερον ἐτέων, Ἰ λ̃, ληφθὲν περιφρασικῶς αὐτὶ τᾶ πάλαι, λείπεται τῆς ἐπὶ, Προθέσεως Ἀττικῶς. ϗ τὰ Ὑ ποπακτικὰ δὲ τῷ Ἄρθρων πλεονάζει Ἰ ωνικῶς. Ἡ ρόδ: α̃, λίθῳ ὀξεῖ παραχίσαντες, ἐξ ὧν εἶλον τῳ κοιλίαν. ϗ ἀπ' ὧν ἔδωκαν τὸν νεκρόν. ἢ χώραν ἀπωνυμιῶν ἐν τούτοις τὰ Ἄρθρα πληροῖ. αὐτὲ

αὐτὶ τοῦ ἐξεῖλον αὐτῶν τὴν κοιλίαν, καὶ ἀπέδωκαν αὐτῶν τὸν νεκρόν. κἀντῇ αὐτῇ. τίσε ἐγὼ κακὸν, ἢ αὐτὸς, ἢ τῶν ἡμετέρων τίς σε προγόνων εἰργάσατο, ἢ σὲ, ἢ τῶν σῶν τινα; Θουκυδ': δ', ἐκέλευεν, ἥν τινα βούλεται δύναμιν λαβόντα, τὸ ἐπὶ σφᾶς εἶναι χωρεῖν. (τὸ εἶναι) ὃ κἀντῷ σήμερον παρέλκει, ἐνόν. κἀντῷ ἑκών. κἀντῇ γ'. κρύφα μετὰ τὴν μάχην ὕστερον εἰσπλέουσι. (τὸ ὕστερον) κἀντῇ α', κλέος ἐχόντων τὰ περὶ τὰς Ναῦς. (τὸ τά) ὡς καὶ παρ' Ἰσοκρ': πρῶτον μὲν οὖν εὐσέβει τὰ πρὸς τοὺς Θεούς. εἰ μήτις συνεκδοχικῶς εἰλῆφθαι λέγει τὸ τᾶ. Θουκυδ': ᾳ, καὶ ἐβοήθησαν δὲ ἐπ' αὐτοὺς οἱ Ἀθηναῖοι πανδημεὶ, καὶ τῶν ἄλλων ξυμμάχων ὡς ἕκαστοι. (τὸ ὡς) Λουκιαν. ἐν τῷ ἐνυπν': ἤδη τὴν ἡλικίαν πρόσηβος ὤν. τὸ ἡλικίαν. καὶ ἡ σὺ δὲ Ἀντωνυμία δὶς παραλαμβανομένη, παρέλκει κατὰ τὸ δεύτερον. ὡς ἐν τῷ μὴ δὲ σύ γ' αἰδόμενος) Ἰλ: κ', τὸ μὲν ἀρείω καλλείπειν, σὺ δὲ χεῖρον ὀπάσαιεν. ἤρκει γὰρ καὶ ἅπαξ ῥηθῆναι τὸ σύ. σχεδιασμοῦ δὲ τοῦτο ἔμφασις. τὸν ὅμοιον τρόπον καὶ παρὰ Σοφοκλ': τὸ ὥστ' εἴ τις δύω, ἢ καὶ πλείους τις ἡμέρας λογίζεται, μάταιός ἐστι. περιττεύει τὸ δεύτερον ἀόριστον ὄνομα. καὶ τὸ ἔπειτα πολλαχοῦ. οἷον, οὐ σύγ' ἔπειτα Τυδέως ἔγγονος ἔσσι. καὶ τὸ εἰ σοὶ μηδὲν μετὸν, εἶτ' ἀπεχθάνῃ; Ἄρθρα τε, ὡς εἴρηται, προτακτικὰ, ἐν τῷ, ποῖον τὸν μῦθον ἔειπες; καὶ, τὰ δὲ λυγρὰ περὶ χροῒ εἵματα ἕστο. καὶ, τὰ νῦν. Τὸ τῖ, Ῥήμασί τε καί τισι τῶν Ἐπιρρημάτων ἐπιπλεκόμενον καὶ Συνδέσμοις, καὶ δὴ καὶ τῶν Ὀνομάτων ἄλλοις τε καὶ τοῖς Ἀριθμητικοῖς καὶ τοῖς Ἀορίστοις, πρὸς δὲ καὶ τοῖς Ἀναφορικοῖς τῶν Ἄρθρων τε καὶ τῶν Ὀνομάτων, καὶ τοῖς ὁ μὲν, ὁ δὲ, Ἀντωνυμικοῖς, ἢ Ἀοριστουμένοις. Ἐκ τῶν Μετοχῶν τὸ Φέρων ἐνίοτε. ὡς ἐν τῷ, καὶ τούτοις φέρων ἑαυτὸν ἐπιδίδωσι. καὶ αἱ κατὰ διάλυσιν μηθὲν πλέον τῶν συστοίχων δηλοῦσαι Ῥημάτων Μετοχαί. συμμαχῶν εἰμι. ὡς καὶ τὸ, ᾤχετο ἀπιών. Συλλαβὼν ἔχει. Τὸ ἔχων ἐν τῷ παίζεις, ἢ Ληρεῖς. κἀντῷ, τόγε νῦν, ἐν ᾧ καὶ τὸ Εἶναι. τὸ θε, ἐν τῷ εἴθε, καὶ ὅλως αἱ ἐπεκτάσεις (πλὴν τῶν δεικτικῶν Οὑτοσί. ᾗχι) οἷόν τι καὶ τὸ ναίχι. ἀλλ' αὗται μὲν Συλλαβῆς, οὐ Λέξεως. Τὸ νῦν μετὰ τοῦ τὰ, μὴ ὂν ἀρκτικὸν Λόγου. τό, τ' εὖ οἶδ' ὅτι, καὶ τὸ εὖ ἴσθι, καὶ τὸ οἶμαι, ἀργὰ κεῖται πολλαχοῦ. Τὸ οὖν ἐν τοῖς ὅπερ, ὥσπερ, ἐπεί, εἴτε, ἐάντε, ὅς τις, ὅ, τι, ὅπως, ὁπότερος, ὅπῃ, καθάπερ, ὡς, δὲ, οἷον. Τὸ οὖν δή, ἐν τοῖς ὁποῖος, ὥσπερ. Τὸ αὖ, ἐν τῷ δέ. τὸ ἀμέλει. Τὸ ὧν ὡς εἴρηται, ἐν τῷ ἐξ ὧν εἷλον. Τὸ ἄττα ἐν τῷ τινὰ παραλλήλως, Τὸ ἔφθην καὶ τὸ φθάνω ἐν τῷ ἔφθην ποιήσας, ἀντὶ ἐποίησα. Τὸ γὰρ, τῷ ἀλλὰ ὑποτασσόμενον ἐν τῷ ἀλλὰ γὰρ. Τὸ τοι, ἐν τοῖς οὕτω, πάνυ, γάρ, δὲ, τοιγὰρ, οὔ. Τὸ ἄρα, δῆτα, ἐν τοῖς μήτι, τὸ πῦ ἐν τοῖς μὲν, γε, ἤδη, οὕτω, μέντοι, τάχα, ἴσως, ἤ. Τὸ οὐχὶ ἐν τῷ μή. καὶ Τὸ μὴ ἐπὶ τῷ οὔ. Τὸ οὔ, καὶ τὸ ἀλλὰ ἐν τοῖς οὐ γὰρ, ἀλλά. οὐ γάρ τοι ἀλλά. Τῶν κἂν εἰ, θάτερον. Τὸ τε, ἐπὶ τοῖς οἷος, οἷον, ὡς, ἄλλως, ἐφ' ᾧ. Τὸ οὐχ ὁρᾷς, ἢ καὶ τὸ ὡς ὁρᾷς, ὅλον, ὡς ἐν τῷ, ἀγαθῇ δὲ, οὐχ ὁρᾷς, τύχῃ συμβεβιωκὼς, τῆς ἐμῆς ὡς φαύλης κατηγορεῖ. Τὸ ποτὲ, ἐν τῷ τί δήποτε. Τὸ ἔτι παρ' Ἀττικοῖς, Ἀριστφ', ἢν οὖν ἐμοὶ πείθεσθε, σωθήσεσθ' ἔτι. Τὸ ὡς ἐν ἄλλοις τε κἀντῷ εὖ τε καὶ ὡς ἑτέρως ἔχει. τοῖς θ' Ὑπερθετικοῖς τῶν τε Ὀνομάτων καὶ τῶν Ἐπιρρημάτων συμπλεκόμενα, αὐτό τε τὸ ὡς, καὶ ὅτι, καὶ τὸ ὅσον, καὶ μάλιστα τοῖς Ἀπαρεμφάτοις. ἔνθα τὸ ὡς, ἢ ὅτι, ἐπεμβληθέντων τινῶν ἐν τῷ μεταξὺ, εἰς Ἀπαρέμφατον φέρεται. οἷον καὶ Κορυδλ': ἐν ταῖς μετὰ τρόπου ἀποφάνσεσι τὸ, φασὶ γὰρ, ὡς εἰ μὲν ὁ τρόπος παντὸς προτεθῇ τοῦ λεγομένου,

μένου, ἢ ὑποτεθῇ, τοτηνικαῦτα δύω ἐνεργειῶν πολλάκις ἀντικειμένων συνύθεσιν δηλοῦσθαι. τὸ γὰρ ὅτι, οὐ πέφυκε τοῖς Ἀπαρεμφάτοις συντάσσεσθαι. Ὁμοίως καὶ ἐπίθετά τινα, ἤγουν συμβεβηκότων Ὀνόματα, ἐξ ἀνάγκης οὐσίαις τισὶ παρακολουθησάντων, παρελκόντως ἐπιτίθεται ταῖς τῶν οὐσιῶν ἐκείνων προσηγορίαις. οἷον τάφρος ὀρυκτή. νεκρὸς τεθνηκώς. οἶκος ποιητός. οὐ γὰρ δήπου πρός τινα διαστολήν. παρακολουθεῖ γὰρ νεκρῷ μὲν, τὸ τεθνάναι, οἴκῳ δὲ, τὸ πεποιῆσθαι. καὶ χειροποιήτῳ τάφρῳ τὸ ὀρωρῦχθαι. Καὶ μὴν τὰ τοιαῦτα μὲν ἔχει καὶ ἄλλους λόγους, τὸ μέντοι τεθνηκὼς ἁπλοϊκῶς ἐπὶ νεκροῦ παρέρριπται. οὕτω κἀντῷ, οὐ γάρ τις φειδὼ νεκύων κατατεθνειώτων γίνεται, ἐπείκε θάνωσιν. ἰλ: ῆ. περισσόν ἐστι καὶ τὸ, κατατεθνειώτων, καὶ τὸ, ἐπειδὰν θάνωσιν. ἀρκεῖ γὰρ καὶ μόνον τὸ νεκύων. καὶ ἔστι καὶ τοῦτο προσθήκη ἄκυρος. ὡς καὶ τὸ τῆλε, ἐν τῷ τῆλ' ἀσκανίης. οὐ γὰρ οὕτω φασὶ, μακρὰν τροίας ἡ ἀσκανία. ὅμοιον καὶ τὸ, εἵλετο ἡ Πηνελόπη κληΐδα χειρὶ παχείῃ. τί γὰρ ἔδει φασὶ, παχεῖαν χεῖρα γυναικὸς εἰπεῖν; ἐπὶ γὰρ ἀνδρὸς τὸ παχύ. τοῦ αὐτοῦ τύπου καὶ τὸ, οὐ δὲν γλύκιον, ἧς γαίης, οὐδὲ πρίδος. ἤρκει γὰρ τὸ ἧς γαίης τὴν πρίδα δηλῶσαι, νοούμενον ἀντὶ τῆς οἰκείας γῆς. ἐπεὶ καὶ ἡ οἰκεία καθ' ἑαυτὴν τὴν πρίδα σημαίνει, οὐ μὴν καὶ ἡ ἰδία. οὐ γὰρ οἶδε τοῦτο ἡ κοινὴ χρῆσις. καὶ Εὐρυπ': δὲ ἀκύρως προσέθετο, εἰπὼν τὸ, σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον. ἤρκει γὰρ τὸ γυναιξὶν, εἰ μὴ ἐναγώνιος ἦν καὶ ἄσκεπτος ὁ τοῦτο εἰπών. παρέξεσται δὲ ἐκ τοῦ θηλύτεραι δὲ γυναῖκες. κἀτῷ ποντοπόροις δὲ ναυσὶ πόντον ἐπιπλώσας. ῥαψ: γ̃. ἤτοι τὸ ποντοπόροισι ναυσὶ, παρελκόντως τέθειται, ἢ τὸ πόντον, μὴ ἀκριβωθείσης κἀκεῖ τῆς φράσεως διὰ θυμόν. καὶ τὸ καρηκομόωντας δὲ, ὅμοιον τῷ τάφρος ὀρυκτὴ, καὶ γάλα λευκόν. καὶ ὑγρὸν ἔλαιον. καὶ παρὰ Σοφοκλεῖ δὲ ἐν τῷ, τυμβεῦσαι τάφῳ, οὐκ ἀναγκαίως κεῖται τὸ τάφῳ, εἰ μή τις σοφιστικώτερον ἐπιβαλὼν, εἴποι ἂν πρὸς διαστολὴν εἰρῆσθαι ἑτεροίων τυμβευμάτων. καὶ Θαλάσσῃ γὰρ τυμβεύεσθαί τις λέγεται, βυθισθεὶς ἐκεῖ. καὶ εἰς Θηρίων δὲ γαστέρας, εἰ καταφάγωσιν αὐτόν. οὕτω δὲ καὶ γῦπες τυμβεύουσι κατὰ γαστέρων, ὡς καί τινων τάφων τοὺς ὑπ' αὐτῶν διασπωμένους, καὶ οὕτω κατασπωμένους. δι' ὃ καὶ τάφους ἐμψύχους ἐτόλμησάντινες εἰπεῖν αὐτούς. εἰ δὲ καὶ οἱ ἅρπαγες τυμβεύειν πειρῶνται τροπικώτερον τοὺς ἀδικουμένους, ἀλλ' αὐτοὶ τυμβεύοιντο κυριολεκτικῶς, ὡς οὐκ ἂν ἐθέλοιεν. Καθ' ὁμοίαν δέ τινα ἐπιβολὴν καὶ τὸ, νεκύων κατατεθνειώτων, πρὸς διαστολὴν εἴρηται νεκύων ζώντων. οἷοι οἱ ἐν τληπαθείαις βιοῦντες. ὧν μέρος καὶ οἱ ἐν παρέσει καὶ τυφλότητι καὶ σκοτῴδει καθείρξει. οἳ ζῶντες μὲν, λογίζοιντ' ἂν εἰς νέκυας, διὰ τὸ μὴ καλῶς ζῆν, μὴ ζῶντες δὲ, καλοῖντ' ἂν νέκυες τεθνειῶτες. συντελεῖ δ' ἐν ταῦθα καὶ Στρατονίκου τὸ, ἔνθα καὶ οἱ νεκροὶ περιπατοῦσι, ῥηθὲν ἐκείνῳ ἐπὶ καχεκτούντων ἀνδρῶν, καὶ διὰ τοῦτο ἀχρείων τὰ εἰς ὄψιν ὅτι μάλιστα, ὡς καὶ νεκροῖς ἐοικέναι, καίπως ψεύδεσθαι τὴν ζωήν. καὶ τὸ δύω δὲ ἐν τοῖς δυϊκοῖς παρέλκει, ὡς ἐν τῷ, ἀτρείδα δὲ μάλιστα δύω κοσμήτορε Λαῶν. καὶ, δύω δοῦρε. πάντως γὰρ ὁ ἀκούσας ἀτρείδα καὶ δοῦρε, δύω νοεῖ, καὶ μὴ προσκειμένου ῥητῶς τοῦ δύω. καλοῦσι δὲ καὶ τοῦτο ἀδολεσχίαν οἱ σοφοὶ, ὅτε δηλαδὴ τὸ ἀπότινος νοούμενον Λέξεως προστεθείη, ἐκ περισσοῦ ἐκφωνηθὲν, καὶ οὕτω διττολογηθῇ. τοιοῦτο καὶ τὸ, Πριαμίδην νόθον Υἱόν. καὶ γὰρ κἀν ταῦθα, ἐπειδὴ τῷ εἰπεῖν Πριαμίδην, τὸν υἱὸν δηλοῖ τοῦ Πριάμου, παρελκόντως κεῖται τὸ, νόθον Υἱόν. ὅμοιον καὶ παρὰ τῷ Κωμικῷ τὸ, διὰ μικρὸν ἀργυρίδιον. καὶ δίχα γὰρ τοῦ μικρὸν, ἀργυρίου σμικρό-

κρότητα δηλοῖ τὸ ἀργυρίδιον, Ὑποκοριστικὸν ὄν. ἔχουσι δέφασιν, ἀπολογίαν τὰ τοιαῦτα οὐμόνον τὸν συνήθη τῇ ποιήσει πλεονασμὸν, ἀλλὰ καὶ τὴν ἀπὸ τῆς τοιαύτης προσθήκης σαφήνειαν. Ἄλλως τε δοκεῖ τὸ εὔλογον ἔχειν διὰ τὴν παρὰ τῷ ποιητῇ ἀοριστίαν τῶν δυϊκῶν, ἵνα μὴ τὰ δυϊκὰ πληθυντικῶς νοήσῃ τις, ἀλλ' ἵνα τὸ δύω Ἀτρείδα, καὶ τὸ δύω δοῦρε, καθαρῶς νοηθῶσι δυϊκά. διὰ τὸ ἔστιν οὗ κἀπὶ πληθυντικῶν τὰ τοιαῦτα λαμβάνεσθαι. ὡς καὶ τὰ πληθυντικὰ πολλάκις κεῖνται ἀντὶ δυϊκῶν κατὰ τὴν συνήθη ἐν τοῖς τοιούτοις παρὰ τῷ Ποιητῇ ἀδιαφορίαν. ὡς ἐν τῷ, μὴ νύτοι οὐ χραίσμωσι θεοὶ ἆσσον ἰόντε. Ἰλ: ᾱ. ἐν ᾧ πληθυντικὸν πτωτικὸν δυϊκῇ μετοχῇ ὑπόκειται, καὶ ἐναλλὰξ δυϊκὸν πτωτικὸν πληθυντικῇ μετοχῇ ὑποκείμενον, ὡς ἐν τῷ ἄνδρε ὁρόω κρατερὼ, ἵν' ἀπέλεθρον ἔχοντας. καὶ ὅλως τῷ ποιητῇ ἀδιαφόρως τὰ δυϊκὰ πληθυντικῶς ἐκφωνεῖται, καὶ τὰ πληθυντικὰ δυϊκῶς κατά τινα σύγχυσιν, ἣν παρασημειοῦνται εἰς πλάτος οἱ παλαιοί.

Τοιοῦτο δὲ καὶ τὸ, ὀφθαλμοῖσιν ἰδῶμαι.

Εἶπεν ἄν τις πρὸς διαστολὴν εἰρῆσθαι τοῦ κατὰ νοῦν ὁρᾷν τε καὶ ἀκούειν καθ' ἡράκλητον. Χρυσόμς: Ψαλμ': μγ', διὰ τί οὐκ εἶπεν, ἠκούσαμεν ἁπλῶς, ἀλλ' ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν; ποίῳ γὰρ ἑτέρῳ μέρει τις ἀκούει τοῦ σώματος; ἆρα μὴ περιττολογία τὰ λεγόμενα; μὴ γένοιτο. ἀλλὰ κοινὸν ἔθος τῶν ἀνθρώπων ἐστὶν, ὅταν τινὰ διηγῶνται, ὑπὲρ ὧν εἰσι πεπληροφορημένοι, καὶ περὶ μεγάλων τινῶν καὶ ὑπερόγκων ποιῶνται τὴν διήγησιν πρὸς τοὺς οὔπω μὴ σφόδρα πεπληροφορημένους, προστιθέασιν ἀεὶ τὰ ὦτα, φάσκοντες τοῖς ὠσὶν ἀκηκοέναι. οὐκ ἐπὶ ταυτησὶ δὲ τῆς ἐνεργείας μόνον, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων τὸ αὐτὸ ποιεῖν εἰώθαμεν, μάρτυρας καλοῦντες αὐτὰς τὰς αἰσθήσεις. πιστουμένων τοίνυν ἐστὶ τὸν ἀκροατὴν τὸ τῶν ὤτων τὴν προσθήκην ποιεῖν. ἐπεὶ καὶ ἐπὶ ὀφθαλμῶν καὶ χειρῶν τὸ αὐτὸ ποιοῦμεν, ὡς ὅταν λέγωμεν, ταῖς χερσὶν ἡμῶν ἐψηλαφήσαμεν. καὶ οἱ Ἀπόστολοι ἔλεγον, ἃ ἑωράκασιν οἱ ὀφθαλμοὶ ἡμῶν, ἃ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν. καὶ ὁ μλ': κέ, εἰς τὸν Ἰῶ, ἐπειδὴ γάρ φησι, καὶ παρ' ἡμῖν ἡ ὄψις ἐστὶ τῶν ἄλλων αἰσθήσεων πιστοτέρα, κἂν βουληθῶμέν τινα πιστώσασθαι, οὕτω λέγομεν, ὅτι τοῖς ὀφθαλμοῖς ἡμῶν ἑωράκαμεν.

Καὶ οἱ παραπληρωματικοὶ δὲ οὐθὲν πολλαχῇ εἰς ἔννοιαν συντελοῦσιν.

Ἀλλὰ καὶ παραπληρωματικοὺς Συνδέσμους καὶ Λόγους παρέλκειν φασὶ πολλαχοῦ, πρὸς οὐδὲν συντείνοντας. εἴ γε πλείους πολλῶν ἀθετήσεις διὰ τὸν τοῦ πλεονασμοῦ τρόπον γίνονται. Εἰς ἔννοιαν δέφησι, καθ' ὅ, τι εἰς μέτρου, ἢ κόσμου χάριν συντελοῦσι. τὸ δὲ παραπληροῦν εἴληπται ἐκ τῶν παραλληλογράμμων χωρίων, ὧν τὰ πληρώματα παραπληρώματα εἴρηται τῷ εὐκλείδῃ.

Καὶ Λόγος. ἔοικέ τοι, οὔτοι ἀεικές. τὸ γὰρ οὔτοι ἀεικές, παρέλκον. Ἰλ: ῑ.

Ταυτὸν γὰρ τῷ ἔοικέ τι. καθ' ὅ, τι αἱ δύω ἀποφάσεις εἰς μίαν συνωθοῦνται κατάφασιν, τῆς μιᾶς τὴν ἑτέραν ἀναιρούσης. καὶ Γρηγόριος εἰς τοὺς Λόγους, πάντες δ' ἔφερον, καὶ οὐδεὶς ἦν ἀσυντελής. Ἡρόδ. ἐν ε', αὐτὸς μὲν Ὑμέης αἱρέων ταῦτα τὰ ἔθνεα, νόσῳ τελευτᾷ ἐν τῇ τρῳάδι, οὗτος μέντοι οὕτω ἐτελεύτησε, Ἀρταφέρνης δὲ κτ': ληπτέον δὲ ἀπὸ κοινοῦ τὸ οὐχ ὁ αὐτὸς, κἀπὶ τοῦ Λούγου, δῆλον δ' ὅτι τῇ ὕλῃ, τῷ γὰρ εἴδει ὁ αὐτός.

Καὶ, ἅσσα οἱ αἶσσα γεινομένῳ ἐπένησε λίνῳ.

Οὕτω γραπτέον, ὡς κεῖται Ἰλ: υ. λέγει δὲ, ὡς ὕστερον ταῦτα πείσεται ὁ ἀχιλλεὺς, ἅσσα, εἴτ' οὖν ἅτινα ἡ τῶν ἀνίνων πραγμάτων ἐνλεπτῷ στροφὴ καὶ ὁ ἐν τούτοις εἱρμὸς, καὶ κατὰ τοὺς παλαιοὺς εἰπεῖν, ὁ τοῦ παντὸς λόγος προωρίσατο αὐτῷ παθεῖν, ὁδ' Ἀριστοτ'λ: ἐν τῷ τέλει περὶ Κόσμου, οἷ μαίφησιν, οὐκ ἄλλοτι λέγεσθαι πλὴν τὸν Θν καὶ Εἱμαρμένην, διὰ τὸ εἵρειν τε καὶ χωρεῖν ἀκωλύτως, καὶ πεπρωμένην διὰ τὸ πεπερατῶσθαι πάντα, καὶ μηδὲν ἐν τοῖς οὖσιν ἄπειρον εἶναι. καὶ μοίραν μὲν, ἀπὸ τοῦ μεμερίσθαι, νέμεσιν δὲ, ἀπὸ τῆς ἑκάστῳ διανεμήσεως. Ἀδράστειαν δὲ, ἀναπόδραστον αἰτίαν οὖσαν κατὰ φύσιν, αἴσαν δὲ, αἰεὶ οὖσαν. τάτε περὶ τὰς μοίρας καὶ τὸν ἄτρακτον εἰς τοῦτό πως νεύει. τρεῖς μὲν γὰρ αἱ μοῖραι κατὰ τοὺς χρόνους μεμερισμέναι. νῆμα δὲ ἀτράκτου τὸ μὲν, ἐξειργασμένον, τὸ δὲ, μέλλον, τὸ δὲ, περιστρεφόμενον. τέτακται δὲ κατὰ μὲν τὸ γεγονὸς, μία τῶν μοιρῶν ἄτροπος. ἐπεὶ τὰ παρελθόντα πάντα ἄτρεπτά ἐστι. κατὰ δὲ τὸ μέλλον, λάχεσις. εἰς πάντα γὰρ ἡ κατὰ φύσιν μένει λῆξις. κατὰ δὲ τὸ ἐνεστὼς, κλωθὼ, συμπεραίνουσά τε καὶ κλώθουσα ἑκάστῳ τὰ οἰκεῖα. ταῦτα δὲ πάντα ἐστιν οὐκ ἄλλοτι πλὴν ὁ θεὸς, καθάπερ καὶ ὁ γενναῖος πλάτων φησί. κτ'.

Ὅτε μὶν τέκε μήτηρ. πλονάζει γὰρ τὸ, ὅτε μὶν τέκε μήτηρ.

Ἕτεροι δέ φασι τὸ, ὅτε μιν τέκε μήτηρ πρὸς σαφήνειαν εἰρῆσθαι τοῦ γεινομένῳ, ἵνα τὸ, γεινομένῳ μὴ νοηθῇ ἀντὶ τοῦ γεννῶντι, ὡς ἐν τῷ γαμέοντί τε γεινομένῳ τε, ἀλλ' ἀντὶ τοῦ γεννωμένῳ, ὡς εἴη ἐν ταῦθα γεινόμενος, οὐχ ὁ γεννῶν, ἀλλ' ὃν τέκε μήτηρ. ἀλλὰ γὰρ τὸ, γεινομένῳ ἐν τῷ γαμέοντι προθυστέρως εἴληπται, ἀντὶ τοῦ, ὃν τέκε μήτηρ. τοιοῦτο καὶ τὸ, ἠὲ χόλον παύσειε, ἐρητύσειέ τε θυμόν. ταὐτὸν γὰρ χόλον παῦσαι καὶ κωλῦσαι θυμόν. οἷον καὶ τὸ, ἀρναῖος ὄνομα ἔσκε, τὸ γὰρ θέτο πότνια μήτηρ. ἤρκει γὰρ τὸ, ἀρναῖος ὄνομα ἔσκε, νενομισμένον ὂν τοῖς πάλαι, οὐκ ἄλλους ἢ τοὺς τεκόντας ὀνοματοθετεῖν τοῖς ἐξ αὐτῶν γεννωμένοις, ὡς δῆλον ἔκτε τοῦ, τὸ γὰρ θέτο πότνια μήρ, κἀκτῆς παλαιᾶς γραφῆς. τοῦ τοιούτου εἴδους τυγχάνει καὶ τὰ ἐκ παραλλήλου κείμενα, ἤτοι κατὰ συνθέσιν, ἢ κατὰ παράθεσιν. καὶ γὰρ καὶ ὅλαι ἔννοιαι ἐκ παραλλήλου τίθενται, ὅταν ἐφ' ὧν ἰσχύωμεν πραγμάτων διὰ τὸ ἔνδοξον τῆς ἐννοίας ἐπιμένωμεν. οἷόν ἐστι καὶ τὸ, ὁπηνίκα ἐφαίνετο ταῦτα πεποιηκὼς, καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμέ. καὶ γὰρ ἐν ταῦθα ὁμοῦ περιττεύει τὸ ἕτερον κῶλον, ἐκ παραλλήλου τεθέν. ὥσπερ ἡ λέξις ἐν τῷ, τί ἐροῦμεν καὶ τί φήσομεν; ὁ δὲ τῶν ἐννοιῶν πλεονασμὸς γίγνεται, ἢ διὰ ἔλεγχον τοῦ ἀκούοντος, ἢ διὰ αὔξησιν, ἢ σαφήνειαν τῶν ἀσαφῶς εἰρημένων.

Ἔλλειψις.

Ἔτι στοιχείου μὲν ἔλλειψις, γαῖα, αἶα. ἑκατέρωθεν, ἑκάτερθεν. πολλάκις, πολλάκι.

Καὶ ἐναντία δὲ τῷ πλεονασμῷ πάθη ἐνδείᾳ στοιχείου ἐγγίνεται. παρὰ τὸ σκῆπτρον ὁ σκηπτοῦχος βασιλεύς. ἐπλεόναζε μὲν γὰρ ἐν τοῖς ἔμπροσθεν τὸ ρ, ἐν τῷ σκῆπτρον, ὡς πρὸς τὸ σκάπτω, ἐλλείπει δὲ ὧδε ἐν τῷ σκηπτοῦχος, ὡς πρὸ τὸ σκῆπτρον, οὐχ ὡς πρὸς τὸ σκάπτω. εἴγε οὐ παρὰ τὸ σκάπτω, παρὰ δὲ τὸ σκῆπτρον τὸ σκηπτοῦχος. παρὰ τὸ φαιδρὸν ὁ φαίδιμος. κἀν τῷ ἰωκῆ ἡδίωξις, καὶ τῷ ἰωχμὸς ὁ διωγμὸς τὸ δ, κἀν τοῖς εἰσθεῖν, ἐπιρρήμασι τὸ σ, ὄπιθεν, ἔκτοθεν. κἀν τοῖς εἰσνέρθεν καὶ νέρτερος τὸ ε, κατ' ἀρχάς. κἀν τῷ ξανθὸς παρὰ τὸ ἐξανθεῖν, ἀπέλευσις τοῦ ε, ἐγένετο. ὃ ἐν τοῖς ἔμπροσθεν κατὰ πλεονασμὸν ἐλέγετο ἔχειν τὸ ξ,

ὡς πρὸς τὸ ἄνθος οὐχὶ πρὸς τὸ ἐξανθεῖν. ὡς κἀντῷ ξάδιος ὁ ἑξάδιος τρισυλλάβως γραφόμενον. οὕτω δὲ καὶ τῆς ἐς, Προθέσεως, ὥσπερ καὶ τῆς ἐν, ἀφαιρεῖται τὸ κατάρχον ε, ὡς δῆλον ἐν τῷ σκορακίζειν καὶ σκαρδαμύττειν καὶ σκερβόλλειν. ὅ ἐστιν ἐς κέαρ βάλλειν. καὶ προνώπιον, ἤτοι προενώπιον, πρόσχημα. καὶ κτεὶς κτενὸς, παρὰ τὸ ἐκτείνειν τὰς κτενιζομένας τρίχας, ἴσως δὲ καὶ τὸ κλέπτειν, ὡς ἀπὸ τοῦ ἐκλέπειν τοὺς ὑποκλεπτομένους, ἀφηρέθη τὸ ε. ὡς δὲ ἐκτρέχει τοῦ μέσου ἔστιν ὅτε καὶ τὸ Σ, ἡ λάταξ δηλοῖ, γενομένη ἐκ τοῦ λᾶ, ἐπιτατικοῦ μορίου καὶ τοῦ στάζω στάξω. παιδιᾶς δέ τινος μέρος ἦν ἡ λάταξ, τὸν παρὰ τῷ κωμικῷ συναπαρτίζουσα κότταβον, ὃν ὁ φιλοσίγματος εὐρυπίδ: κόσσαβον ἐν δυσὶ σσ, γράφει. χρήσιμος δὲ ἡ λάταξ καὶ εἰς τὸ γνωτὰ κοὐκ ἄγνωτα, (ὧν προϋπάρχει τὸ γνωστός. ἔτι δὲ καὶ κατὰ τὸ ἐραστὸς, ἐρατός. ὅθεν καὶ ἐρατὼ ἡ Μοῦσα. καὶ κατὰ τὸ ἀγάζω ἀγαστὸς, καὶ ἀπελεύσει τοῦ σ, καὶ τροπῇ τοῦ τ, εἰς θ, ἀγαθός. τούτων καὶ τὸ θαυμαστὰ θαυματὰ παρὰ πινδάρ:) κἀντῷ ἀλλόγνωτος, κἀντοῖς ἐκ τοῦ ἀνυστοῦ. ὁποῖον τὸ ἀνήνυτος. παρ' οὗ καὶ τὸ Κύριον ἄνυτος, προπαροξυνθὲν πρὸς σημασίαν διάφορον τοῦ ἀνυτός. καὶ δεσμὸς παρ' εὐρυπίδ:. δυσεξήνυτος κἀντῷ κτίται παρὰ τῷ αὐτῷ. ὅ ἐστι κτίσται. κἀντῷ ἀσώτου σισυφιδῶν γενεᾶς, τοῦτ' ἔστιν ἀσώστου. κἀντῷ βλῆτρον, ὃ ἄλλως ἐξενήνεκται ἤπερ τὸ ἀμφίβληστρον. καὶ εἰς τὸ, σωτήριόν τε τοῖς καλῶς κεκτημένοις, καὶ εἰς τὸ Σωτήρ. ὧν τὴν τοῦ σ, ἔλλειψιν τὰ σῶστρα δηλοῦσι. πολλὰ δὲ καὶ ἄλλα οὕτω τοῦ σ, ἐστέρηται, ὡς καὶ τὸ ζῶμα καὶ ὁ ποταμός. ποτασμὸς γὰρ ἦν. ὥσπερ αὖ ἐν ἄλλοις πλεονάζον αὐτὸ οὐ πάνυ ἀναλόγως ἐφάνη. ἀλλὰ δὴ καὶ τῆς ἀρχῆς ἐκτρέχει ἐπὶ τοῦ αὐτοῦ σημαινομένου. πολλαὶ γὰρ τῶν Λέξεων ἀπὸ Συμφώνου ἀρχόμεναι, εἶτα τοῦ κατ' ἀρχὰς Συμφώνου ἐκπεσοῦσαι, μένουσι πάλιν ἐπὶ τῆς αὐτῆς σημασίας, οἷον καύχημα, αὔχημα. χλιαρὸν, λιαρόν. γαῖα, αἶα. σμικρὸν, μικρόν. σῦς, ὗς. οὕτω γοῦν καὶ σκεδάζω, κεδάζω. φασὶ δὲ καὶ τὸ πήγανον οἱ παλαιοὶ τοιούτῳ Λόγῳ ἤγανον λέγεσθαι. οὕτω καὶ τὸ φημὶ, ἠμί. ἀποβάλλεται δέ ποτε τὸ σ, καὶ ληκτικὸν ὄντινων Ἐπιρρημάτων, Συμφώνου ἐπιφερομένου, οἷον οὕτω, μέχρι, ἄχρι, αὖθι, ἀντικρύ. τῆς Ἰώνων δὲ καὶ αἰολέων ἐστὶ διαλέκτου πάθος τὰ τῶν λέξεων πρῶτα σύμφωνα αἴρειν, ἄν τε ἐν ᾖ, ἄν τε καὶ δύω, ὡς ἐπὶ τοῦ πλευρὰξ, εὐρὰξ, ἐπιρρήματος ποιότητος. οὕτω γοῦν καὶ φθείρω, εἴρω, ἀπελθόντων τῶν κατ' ἀρχὰς δυοῖν δασέων. ἐξ οὗ αἰολικῶς αἴρω. καθ' ὁμοιότητα τοῦ κείρω, κέρρω. δείρω, δέρρω. αἰολεῖς γάρ φασι, τὴν τῶν τοιούτων θεμάτων παρατέλευτον ἀλλοιώσαντες, καὶ μεταθέντες τὸ ι, εἰς ρ, ἴδια ποιοῦσι ῥήματα. παράγων δὲ ἡρακλείδης πρὸς ὁμοιότητα τοῦ φθείρω εἴρω, καὶ τὸ πλάνη ἄνη, καὶ ἀντιθέσει τοῦ ν, εἰς λ, ἄλη, οὕτω δὲ καὶ ἐκ τοῦ πλανᾶσθαι τὸ ἀλᾶσθαι. καὶ εἰπὼν ἀντιστοιχεῖν τὸ λ, καὶ τὸ ν, δωρικῶς ὡς ἐν τῷ ἄνη, ἄλη, οὕτω καὶ ἐν τῷ φίντατος φίλτατος. ἦνθεν, ἦλθεν. ὃ δὴ καὶ ἐν τῷ φίντης γίνεται παρὰ πινδάρ:. καὶ παρ' ἀττικοῖς δὲ, καὶ ἐν τῷ νίτρον λίτρον. καὶ πνεύμων πλεύμων, λέγει καὶ ὡς ἐκ τοῦ φθείρω γίνεται κατὰ δωριεῖς φθαίρω. ἀφ' οὗ τὸ ἔφθαρκα. καὶ ἐκ τοῦ κτείνω, κταίνω. δωρικώτερον παρὰ ἀλκαίῳ. ὅμοιον δὲ καὶ τὸ μεσόγειον, μεσόγαιον. κύπειρον, κύπαιρον παρ' ἀλκμᾶνι. καὶ εἴθε, αἴθε. καὶ δεινὸς, αἰνὸς, παρέσει τοῦ δ, Ἰωνικῇ διαλέκτῳ. καὶ οὕτω μὲν φθείρω, φθαίρω, δωρικῶς, ἐξαιρέσει δὲ τῶν πρώτων συμφώνων, αἴρω, ἀφ' οὗ τὸ σπέρμα ἡ αἶρα. φθορὰ γάρ τις ἡ αἶρα σίτου. καὶ ὑπερβιβασμῷ κατὰ Ἴων: ῥαίω. Τοῖς δὲ τὸ κατ' ἀρχὴν ἐν σύμφωνον ἀποβάλλουσι συντακτέον καὶ τὸ σιαγὼν, ὑαγὼν. τὸ

καινὸ

καινότατον. καθ' ὃ καὶ τοῖς ἀνάτομοις τὸ ἐκ δύοιν τὸν σύμφυσιν ἔχον ὀστοῦν, ὑοειδὲς ὠνόμασαι, ἀπὸ τοῦ ὖ, στοιχείου χήματος. καὶ τὸ σμάραγδος, μάραγδος. τὸν δὲ εἰρημένον ὑαγόνα καὶ ἀνάλογίαν εἶναί φασιν ἀπὸ τοῦ ὗς, ὑός.

Συλλαβῆς δὲ, ἁρπάπτει, ῥαπτεῖ. ἀμφιφορβὺς, ἀμφορβύς. ἀπόλλωνα, ἀπόλλω.

Οἱ ποιοῦντι καὶ τὸ θέλω, λῶ. καὶ δὲ λῇς, αὐγάσδεο. αἰγοπόλος, αἰπόλος. ὀπτηπὰ, ὀπτὰ πυρί.

Λέξεως δὲ, εἷς οἰωνὸς ἄριστος ἀμύνασθαι περὶ πάτρης. ἐνδεῖ γὰρ τοῖς.

Λέξεως καὶ ὅτε τὸ, τε τις καὶ αἱ ἀπ' αὐτοῦ πλάγιαι ἐλλείπουσιν, ὡς καὶ τῷ, ἐγὰρ πω ἐδόμιλω δ' ἔπλυον αὐδήσαντος. Ἰλ. κ. ὅπως ὑπακούεται πρὸς σύνταξιν ἡ τινος γενικὴ. ὡς καὶ τῷ, ἔρρεξεν ὕας ἀχαιῶν. καὶ τῷ κακὰ μήσατ' ἀχαιούς. λείπει Πρόθεσις ἡ εἰς. ἔτι καὶ ἡνίκα ἀπαιτεῖ τὸ, ἀλλ' ὑμεῖς ἔρχεσθε, τὸν ἀπό, Πρόθεσιν. καὶ τῷ πικρὰς ὠδίνας ἔχουσα, ἡ τοῦ Λόγου αὐτοτέλεια ὡς Στοιχεῖον ζητεῖ τὸν παρά, Πρόθεσιν. καὶ τῷ ἡ στρατιὰ σῖτον οὐκ εἶχεν αὐτῷ, δηκυδ': β'. καὶ τῇ γ'. ἐγὼ δὲ ξυγγνώμω' ἔχω. καὶ, τὸ μὲν λυπρὸν ἔχει τὸν αἴσθησιν ἑκάστῳ. τὸν ἀπὸ, δὲ πάλιν σὺν τῷ, ἔχω, ὦ ξεῖνε, παρὰ σοῦ πᾶσαν τὸν δίκην. Ἡρόδ: α'. καὶ τῷ, ἀρνειὸν δ' ἐμοὶ οἴῳ, ὁ Λόγος τὸν ἀναφορὰν τοῦ ἀρνὸς ἐπιζητῶ, τὸν τοῦ Ἄρθρου σύνδεσμον ἔλλειψιν ἐκ τῆς δεύσης Συμπλέξεως. ἐξ ἧς καὶ ζηνόδοτος κινούμενος, ἐσχάσατο καὶ σωκράτην τοῦ Ἄρθρου γράφειν τὸ ὦ ἄλλοι, σὺν τῷ, ἄλλοι μὲν ῥα θεοί τε. δῆλον δ' ὅτι καὶ τὰ τοιαῦτα, ἀλλ' Ἄννα, εἰ μέμονάς γε. πάρα δ' ἀνὴρ, ὃς καταδήσει, ἢν ἀποκοπαὶ εἰσι κατά τινας. εἴγε πᾶσα ἀποκοπὴ ἔχολον, μέρος δέ τι τοῦ ὅλου λειπόμενον ὑπαγορεύει. οἷον δῶ, αὐτὶ δῶμα. ποσειδῶ, αὐτὶ ποσειδῶνα. Πότε δ' ὅλης Λέξεως ἀποκοπὴ γίνεται; ἀλλὰ πάθη Λόγε, λειπομένου ὅλου ῥήματος σὺν θαμὰ, τοῦ σῆθι, σὺν θα δέ, τοῦ εἶσίν. ὡς σὺν τῷ γ', περὶ Τόνου καὶ Χρόνου Προθέσεως εἴρηται. ἔστι δ' ὅτε καὶ ἡ ἐπὶ, Πρόθεσις αὐτὴ καθ' ἑαυτὴν τίθεται μόνη αὐτὶ Ῥήματος τοῦ ἔπεσιν. οἷον ὄτι ἐπιδέος, αὐτὶ τοῦ ἐπέπεσί σοι φόβος. ὡσαύτως καὶ ἡ μή, τὸν Τόνον ἀναβιβάσασα, λέγεται αὐτὶ τοῦ μέτεσιν, ὡς καὶ δύρυπίδ: δηλοῖ. ἔτω καὶ τὸ πάρα. τοῦτο δὲ αὐτὶ Ῥήματος λαμβάνεται ἐνικῶς τε τῷ πάρεσι, καὶ πληθυντικῶς. οἷον πάρ' ἔμοιγε καὶ ἄλλοι. Ἀλλὰ καὶ αὐτὶ τοῦ πάρειμι πρώτου καινότερον ἐνικῶς προσώπου, ὡς σὺν παλαιῷ περὶ παθῶν σκέμματι φέρεται, ὅπου καὶ χρῆσις κεῖται τοιαύτη. τίς ἐδ' ὁπωλῶν τ' ἀνδράποδα; ἐγὼ πάρα. ὁμοίως καὶ τὸ σοί. ὅπερ ἐστὶν ἡ σὺν, Πρόθεσις μὴ ἐπεκτάσεως. καὶ αὐτὴ δὲ ποτὲ μὲν, αὐτὶ τοῦ ἔνεστιν, ἤγουν ἐνυπάρχει νοεῖται, ποτὲ δὲ, αὐτὶ τοῦ ἔνεισιν. ὡς τὸ ἐπεὶ ἀοὶ ἑνὶ φρένες ἦσαν δ' ἠβαιαί. τοῦτο δὲ τὸ χῆμα μετατύπωσιν οἱ παλαιοὶ καλοῦσι, λέγοντες ὅτι ἐκ σωθήκης ἁπλοῦν γέγονεν, ἤγουν μετετυπώθη ἀπὸ σωθέτου Λέξεως εἰς ἁπλῆν. Καὶ καλὸν ἰδεῖν, ἐὰν αἱ προθέσεις αὗται, ὑπαρκτικοῦ ῥήματος λείποντος, λαμβάνωνται αὐτὰ αὐτοῦ. ἐν πολλοῖς γὰρ ἡ τῶν ὑπαρκτικῶν ῥημάτων ἐλλείπεται σωτάξις. Ἰσέον δὲ ὅτι κατὰ τὸν πλεονασμὸν καὶ ἡ ἀττικὴ ἔλλειψις ἔχωρὶς θεωρεῖται. ἢ γὰρ τοι καὶ αὐτὴ σὺν ἀρχῇ γίγνεται, οἷον, ὅπως μὴ ποιήσῃς τόδε, νοουμένου ἔξωθεν τοῦ σκόπει. ἢ σὺν τῇ μέσῃ, ὡς παρ' ὁμήρῳ, εἰ μὲν δώσουσι γέρας μεγάθυμοι ἀχαιοί, εἰ δὲ μή. λείπει γὰρ τὸ, παύσομαι, ἢ ἡσυχάσω, κατὰ τὸν ἀπόδοσιν τοῦ πρώτου κώλου. ἢ σὺν τῷ τέλει, ὡς

ὡς ἔχει τὸ ἀνεφέλ. Ἀείσοφ. τὸ δὲ μὴ κυνλιῶ εἰκοθεν ἐμὲ τὸν κακοδαίμονα ἔχοντα. κἀκεῖ γὰ νοεῖται ἔξωθεν τὸ, ἐσκαιόν. ἀλλ' ἐν τούτοις λόγε μᾶλλόν ἐστιν ἔλλειψις ἢ λέξεως. Λέξεως δὲ κἀντῇ Παροιμίᾳ. κινεῖν τὸν ἀφ' ἱερᾶς. Λείπει τὸ, πεσὸν, ἢ λίθον. Ἡρόδ: ζ', ἐπεὶ δὲ ἐς τὸ ἀναιδέστερον ἐξάπιο, τιλὼ μοὶ ἀξίλω ἐλάμψαι, ἐλάττω δὲ τῆς ἀξίης. τιμωρίαν δηλαδή. Λέξεως ἔλλειψις κἀντοῖς, εἰ μοί κε λίπω κάπα τοὔχεα καλὰ, πάξοκλόν θ'. ὃς κεῖται ἐμῆς ἕνεκ' οὐθάδε τιμῆς, μήτις μοι δαναῶν νεμεσήσεται. ὅς κεν ἴδηται. εἰδέκεν Ἔκτορι μῦθος ἐὼν καὶ ἔξωσὶ μάχωμαι, αἰδεσθείς, μήπως με πεύσεσθαι ἔπος ἀπολοί. Γλ: ρ. Κἀνταῦθα δὲ ἐπ' ἀμφοῖν λείπει τὸ, δέδοικα, ἢ ποιεῖτό τι Ῥῆμα, ἵνα λέγῃ ὅτι δέδοικα ἵνα μὴ νεμεσηθῶ, καὶ δέδοικα μὴ κινδυνεύσω. λεκιαν: σὺ τῷ ἀφροδ: καὶ ἔρωτ: αἰτιτέον, καὶ ὅπως μὴ χαλεπήνητε τῷ δικασῇ αἰνενικημένοι. ὡ ᾧ λείπει τὸ ὁράτε. καζιανζ: σὺ τῷ περὶ ἱερωσύνης. τὸ δὲ δὴ καὶ οἴεσθαι ὡς ἀποκρύψειν ἑαυτὸν τῷ πελάγει ἢ λήσειν Ἰωνᾶς, καὶ τὸν μέγαν ὀφθαλμὸν τοῦ Θεοῦ δυνήσεσθαι τῇ φυγῇ, μὴ καὶ παντελῶς ἄτοπον ἢ καὶ ἀπαίδευτον; αὐτὶ τοῦ, σκοπῶμεν μὴ ἦ, κτ. εἰ δ' ἂν σὺ τοῖς τοιούτοις λόγε μᾶλλον ἢ ἔλλειψις. κἀντῶ, ἐπιβάλλειτω, λείπει σὺθα μοὶ, τιλὼ χεῖρα, αὐτὶ τοῦ ἅπτεται. ἔνθα δὲ, τὸν νεῶν, αὐτὶ τοῦ ἐννοεῖ. ὡς κἀντῶ καὶ πρώτην ἢ δευτέραν ἐπιβολλω, τὸ, νοός. κἀντῶ, ἐπέσπασε τοῖς λεγομένοις, ἢ προσέχε, τὸ, τὸν νεῶν, κἀντῶ, ἀπήχθη, τὸ πηὲπὶ θάνατον. ὡς σὺ ταῖς πράξεσι, κφ: ιβ', ἀνακείνας τὰς φύλακας, ἐκέλδσεν ἀπαχθῆναι. κἀντῶ ἔ πρὸς τὸν τυχόντα ἔχεις, λείπει τὸ, τὸν πόλεμον. ὅθεν ὁ Χρυσόστομ: σὺ τῷ καὶ Ἰελιαν: σὺ τελῶς προὐνεγκεν εἰπὼν, ἔ πρὸς νεκρὸν (τὸν Μάρτυρα Βαβύλαν) τὸν ἀγῶνα εἶχεν (ὁ Ἰελιανὸς) κἀντῶ λαῖς, ἢ πῦξ σὺ τεῖναί τινι, τὸ ἑαυτὸν· καὶ χεδὸν αἱ τοιαῦται παραθέσεις ἀπερίληπτοί εἰσι.

Καὶ τὸ Θεοκρίτε. ὁ δέ μοι τὸ Λαγωβόλον ἁδὺ γελάσας, ὡς πάρος, ἐκμοισᾶν ξυνίπον ὥπασεν εἶμεν. σὺ δεῖ γὰ τὸ, ὑπέχετο.

Ἐντῷ, ὡς πάρος. ὁ δὲ βεκόλος, φησὶν εἰδυλλ: ζ', ἡδὺ γελάσας, δέδωκέ μοι, ὡς προὐπέχετο, τὸ Λαγωβόλον, ὥστε δῶρον εἶναι φιλικὸν, ἕνεκα τῆ Μεσῶν, τετ' ἔστι τῆς ἐμῆς ᾠδῆς. ἤτοι διὰ τὼ Μεσικὼ ᾠδώ. ἢν ᾖσα. αἱ μέσαι γὰρ σὺ ταύθα ἐπὶ τῆς μεσικῆς ἐπλαμβάνονται, ἔγε μὲν ἅπασαι, μόνη δὲ ἡ Τερψιχόρη. καὶ ἵνα παρεμβατικώτερον περὶ αὐτῆ εἴπωμεν, σὺν αἷς ἱστορῦνται αἱ μέσαι παρ' Ἡσιόδ:, Κλειώ τ' Εὐτέρπη τε Καλλιόπη θ', ἣ καὶ προφερεστάτη ἐστὶν ἁπασέων, Θάλειά τε Μελπομένη τε Τερψιχόρη τ' Ἐρατώ τε Πολύμνιά τε Οὐρανίη τε. ἐννέα δ' εἰσὶ καὶ αἱ ἀπὸ τῶ Μαθημάτων τῇ ψυχῇ γινόμεναι μέθοδοι γνώσεων. Γραμματικὴ, Ποιητική τε, καὶ Μεζικὴ, Ῥητορικὴ, Φυσικὴ Φιλοσοφία, Γεωμετρικὴ, Ἀστρονομικὴ, Ἀριθμητικὴ καὶ Μυστική. ἡ γὰρ Ἠθικὴ καὶ ἡ Θεολογικὴ, ὡς ἀπὸ τέτων ἐγγινόμεναι, αὐταῖς καὶ συμπινοῦνται. ῥυθμίζει γάρ τις τὸ οἰκεῖον ἦθος, παύταις προσομιλήσας ταῖς ἐπισήμαις τελειώτερον. ἀλλὰ μοί τοι καὶ ἀπὸ τέτων προειλθών, περὶ Θεοπέρας Φιλοσοφεῖ λέξεως ὕστερον. Πολύμνια μὲν ἔν λέγοιτ' ἂν ἡ Γραμματική, ὡς πολλὰς ὑμνῆσά τε καὶ δοξάζεσα· τὰς γὰρ πολλὰς ἤτοι τὰς ἀγελαίας καὶ πρότερον ἰδιωτικὸν βίον ζώντας πρὸς ἑαυτὼ ἑλκυσαμένη, ὑμνεῖ, τε καὶ ἀνυμνοῖ ἔκτοτε, καὶ τὴν παχυτῆτα παρασκευάσαμένη ἀποθέσθαι, καὶ τὸ δίυγρον βίον καὶ τὴν ἀνοησίαν καὶ ἀγροικίαν ἀποξέσασα, τὰς γὰρ ἔτω ζώντας, πολλῷ εἰκῇ

εἰώθαμεν ὀνομάζειν, ὑμενεῖ, τε καὶ οἷον πτερύσσει, καὶ λεπτοτέρους ἐργάζεται πρὸς τὰς ἑξῆς μαθήσεις καὶ γνώσεις, παιδαγωγός τις οὖσα καὶ καλλίστη μαιεύτρια, διαπλάττουσα καὶ διαρθροῦσα τὴν ἄναρθρον γλῶσσαν, καὶ ἐξελληνίζουσα τῷ ἀποδιώκειν μακρὰν πᾶν βαρβαρῷδες καὶ ἄλογον, μορφοῦσα δὲ πρόσωπον καὶ παρρησιάζεσθαι ποιοῦσα τοὺς πρὶν ἀφανεῖς, χεῖρας δὲ ὀξύνουσα πρὸς Ὀρθογραφίαν καὶ ἑτοιμάζουσα, καὶ οὐδέν τι κατὰ τοῦτο λειπομένη ἐστὶ τῆς Ἄρκτου. ἀνάρθρωτα γὰρ καὶ βάρβαρα καὶ ἄσημα παραλαβοῦσα μειράκια, διαρθροῖ, τε καὶ περίβλεπτα ποιεῖ. Θάλεια δ' ἂν εἴη καὶ Εὐτέρπη ἥ τε Μετρικὴ καὶ ἡ Ποιητική. Μελπομένην δὲ καὶ Τερψιχόρην ἀκουστέον τήν τε Μουσικὴν καὶ τὴν Ἀριθμητικήν. τοὺς γὰρ λόγους τῶν ἁρμονιῶν ἡ ἀριθμητικὴ δίδωσι καὶ ἐπιτέρπει τῇ Τερψιχόρῃ, ἤγουν τῇ Μουσικῇ τῇ τερπούσῃ τοὺς χοροὺς τῶν ἀκουόντων. Ἐρατὼ δ' ἐκληπτέον καὶ Οὐρανίαν τὴν Γεωμετρίαν, ὡς καὶ αὐτὸ ὑπεμφαίνει τοὔνομα, καὶ τὴν Ἀστρονομίαν τὴν περὶ τὰς οὐνίας κινήσεις ἐπτοημένην γνῶσιν. Κλειὼ δ' ἐννοητέον τὴν ἔνδοξον Φιφίαν, τὴν κλείουσαν τὸν ἄνον καὶ ἀπαθανατίζουσαν, καὶ θῷ ἀφομοιοῦσαν διὰ τῆς τῶν ὄντων γνώσεως. Καλλιόπη δὲ ἡ Ῥητορική. ταύτῃ γὰρ πλέον τοῦ κατὰ λέξιν κάλλους μέλει, καὶ τῆς εὐφραδίας ἢ εὐγλωττίας.

Καὶ ταύτας ἱστοροῦσι τὰς ἐννέα Μούσας κλάδους δρεψαμένας ἑλικωνίτιδας, καθεύδοντα τὸν Ἡσίοδον ἐλθεῖν καὶ ἐπισιτίσαι, καὶ οὕτω σοφίας ποιητικῆς ἐμφορηθῆναι. περὶ ὧν ἐστιν ἐντυχεῖν καὶ παρὰ Πλουτάρχῳ συμποσ': βιβλ': θ'. προβ: ιδ'. ὑμῶν δὲ μήτις νωχελὴς καὶ ῥάθυμος καὶ ἀμβλὺς περὶ λόγους, καὶ μονονουχὶ καθεύδων, τοῖς περὶ τὸν Ἡσίοδον τούτοις μύθοις ἐξηπατημένος, εἶτα καὶ παρ' αὐτὸν ἐπελθεῖν δαφνηφορούσας τινὰς παθένους καραδοκάτω, ψωμιζούσας δάφνας, καὶ ἀκαριαίως σοφίζειν ἐχούσας, ἀλλὰ πόνοις προσκείμενος, σπουδαιοτέρως ἐχέσθω παιδείας, τῆς κατ' αὐτὴν πικρίας πρότερον μεταχὼν, καὶ μόχθῳ τοὺς θησαυροὺς αὐτῆς λαμβάνων, ταμιευέτω ἐν τῷ προκολπίῳ. ὁ δὲ τοιοῦτος εὔελπις ἔστω, ὅτι ἀειθαλλεῖς γεννήσει τοὺς τῆς παιδείας ὄρπηκας. καθ' ὅ, τι καὶ ὁ Ἡσίοδος οὐχ, ὡς ὁμῦθος βούλεται, ἀλλὰ πάσῃ μὲν ἀποταξάμενος φαντασίᾳ, πάσῃ δὲ χαίρειν εἰπὼν ἀνέσει τοῦ σώματος, καὶ πρὸς τὴν σπουδαίαν ἐκκλίνας διαγωγὴν, καὶ τῶν τῆς Παιδείας πικροτάτων πόνων, ὅπερ ἡ δάφνη ὑπαινίττεται, ὅσα καὶ μέλιτος γευσάμενος, καὶ σχολάσας, ἔσχε ποτὲ τὰς ἐπιστήμας αὐτῷ ἐγγινομένας καὶ σοφιζούσας αὐτόν. εἶεν. τοῦ δὲ τοιούτου τῆς κατὰ λέξιν ἐλλείψεως εἴδους τυγχάνει καὶ τὰ ἐξ ἀναλόγου νοούμενα Ῥήματα, ὡς ἐν τῷ Ἰλ': α'. ἡ μὲν, ἔπειτα εἰς ἅλα ἆλτο βαθεῖαν, ζεὺς, δ' ἑὸν πρὸς δῶμα. Ἐνῷ ἐξ ἀναλόγου νοητέον ἔξωθεν ῥῆμα, ἵν' ᾖ, ὡς ἡθέτις μὲν ἥλατο εἰς τὴν θάλασσαν, ζεὺς δὲ πρὸς τὸ ἴδιον δῶμα ἦλθε. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα παρὰ τῷ Ποιητῇ. ὧν καὶ τὸ Ἰλ': μ'. ἔδουσί τε πίονα μῆλα, οἶνον δ' ἔξαιτον μελιηδέα. ὑπακουστέον ἀναλόγως τὸ, πίνουσι. μῆλα μὲν γὰρ, ὅ ἐστι θρέμματα, ἐσθίεται, οἶνος δὲ πάντως πίνεται. τοιοῦτο καὶ τὸ, ἄλλον μειλιχίοις, ἄλλον στερεοῖς ἐπέεσι νείκεον. ἰλ': μ'. μειλιχίοις γὰρ φιλοφρονεῖταί τις, οὐ μὴν φιλονεικεῖ. ὅμοιον καὶ τὸ ἰλ': θ'. δουρὶ δ' ἀκοντίζω, ὅσον οὐκ ἄλλος τις ὀϊστῷ. ὀϊστῷ γὰρ οὐδεὶς ἀκοντίζει, ἀλλὰ ῥῆμα νοητέον ἔξωθεν τὸ, βάλλει, ἢ ἴησιν, ἢ πέμπει, ἤ τι τοιοῦτο. τὸ γὰρ ἀκοντίζειν οὐκ ἔστιν οἰκεῖον ἐπὶ ὀϊστοῦ. κἀν τῷ ἰλ: ν'. νευρῇφιν ἀπ' ὀϊστῷ, προσυπακουστέον τὸ, ἔβαλε, κατὰ τὸ τῆς ἐλλείψεως, ἢ συλλήψεως σχῆμα. οὐ γὰρ δήπου ὡς δόρατι, οὕτως ἀκοντίζει τις καὶ διὰ νευρᾶς, καὶ, ποῦ δὲ οἱ ἔντεα κεῖται;

ποῦ δὲ

τοῦ δὲ οἱ ἵπποι; λείπει γὰρ τὸ ἵστανται· καὶ, Κυκλώπων ἐς γαῖαν ἐλεύσομεν, αὐτῶν τε φθογγήν. νοητέον γὰρ ἐξ ἀναλόγου κἀν ταῦθα τὸ ἠκούομεν. φθογγὴ γὰρ οὐ βλέπεται, ἀκούεται δέ. οὕτω καὶ τὸ, δήμια πίνουσιν, ἐλλιπῶς πέφρασται, συνεννοουμένης καὶ τῆς δημίας βρώσεως. οὐ γὰρ ἔφη καὶ ἐσθίουσιν, ἀλλὰ δηλοῖ ἀπὸ τοῦ μέρους τὸ πᾶν. ὡσαύτως κἀν τῷ, δώροις τρύχω καὶ ἐδωδῇ, συνεξακούεται καὶ ἡπόσις. ὅθεν καὶ παρὰ τῇ κοινῇ συνηθείᾳ τὸ συμπόσιον καὶ ὁπότος, σιγωμένης τῆς ἐδωδῆς, καθὰ καὶ τὸ συσσίτιον, σιωπωμένης τῆς πόσεως. οὕτω κἀν τῷ ἰλ: γ. λιγέων δ' ἀνέμων ἐπ' αὐτμένα χεύας, κυματάτε τροφόεντα πελώρια ἶσα ὄρεσσιν. οὐ προσυπακουστέον ἀπὸ κοινοῦ κἀπὶ τῶν κυμάτων τὸ χεύας, ἀλλ' ἐξ ἀναλόγου νοητέον τὸ ἐγείρας, ἢ κορυφώσας. οὕτω κἀπὶ τοῦ σῖτον καὶ οἶνον ἔσθων, ἡ ἀκολουθία τὴν τοῦ πίνειν μετοχὴν ἔξωθεν τῷ οἴνῳ κομίζει, ὡς τοῦ ἔσθων τῷ σίτῳ προσαρηρότος. καὶ ἰλ: α, ἐσθλὸν δ' οὐδέ τί πω εἶπας ἔπος, οὐ δ' ἐτέλεσας. ἔργον δηλαδή. οὐκ ὀλίγα δέ εἰσι καὶ ἄλλα τοιαῦτα, ὧν ὁποιητικὸς τρόπος σύλληψις εἴτ' οὖν συνεκδοχή ἐστιν. οἷον καὶ τὸ, εἷς βασιλεὺς, ᾧ ἔδωκε κρόνου παῖς. ἰλ: β. τί γὰρ ἔδωκεν ὁζεύς; ἢ πάντως τὸ βασιλεύειν. ὅπερ ἀπὸ τοῦ βασιλεὺς ἀφῆκε νοεῖσθαι, λαβὼν ἀπὸ κοινοῦ ῥῆμα ἐξ ὀνόματος συστοίχου. καὶ ἀντιστρόφως ὄνομα συνεισαγόμενον ὑπὸ συστοίχου ῥήματος, ἢ μετοχῆς. οἷον ἐν τῷ, ζεφυρίη πνείουσα. ἰλ: η. ἀπὸ κοινοῦ γὰρ εἴληφε τὸ, πνοή. καὶ ἔστιν ὅμοιον τῷ, δικάσω. ἰθεῖα δὲ ἔσται. ἡ δίκη δηλαδή. κἀν τῷ, ἰλ: β. εἰ δέποτ' ἔς γε μίαν βουλεύσομεν. ἀπὸ κοινοῦ ληπτέον ἐκ τοῦ βουλεύειν ῥήματος ὄνομα σύστοιχον τὴν βουλήν. ἵνα λέγῃ, εἰς μίαν βουλήν. κἀν τῷ, ἀλλ' ἄναξ, αὐτός τ' εὖ μήδεο, πείθεό τ' ἄλλῳ. ἀπὸ κοινοῦ τὸ, εὖ μηδομένῳ. τοιοῦτο καὶ τὸ, Γρηγορ: ναζιανζ: ἆρ' οὖν ἐβίω μὲν, ὥσπερ εἰκὸς τοὺς λαοῦ τοιούτου προστησομένους; καὶ τὸ, ἐπισκήψασα δὲ καὶ ἀνδρὶ καὶ τέκνοις, ὅσα εἰκὸς τὴν φίλανδρον καὶ φιλότεκνον. κἀπὶ τούτων γὰρ ἀπὸ κοινοῦ ἐννοεῖται ἐπὶ τοῦ εἰκὸς ἀπαρέμφατον σύστοιχον τῷ προηγουμένῳ ῥήματι. οἷον, ὥσπερ εἰκός ἐστι βιοῦν. καὶ, ὅσα εἰκός ἐστιν ἐπισκήπτειν. κἀν τῷ, ὤφελον, προσωπικῷ ῥήματι ὑπακούεται ἀπαρέμφατον σύστοιχον τῷ προηγουμένῳ ῥήματι. οἷον, ἐπεὶ ἐγένετο τόδε, ὡς μὴ ὤφελε. γενέσθαι δηλ: κἀ τῷ, ὄφελον, εὐκτικῷ προσρήματι εὐκτικὸν, ἢ ὁριστικὸν ῥῆμα, σύστοιχον τῷ προηγουμένῳ ἀπὸ κοινοῦ. οἷον, ὡς ὀφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον. κἀν τοῖς τελικοῖς ἀπαρεμφάτοις πολλαχοῦ ἐλλείπει τὰ τοιαῦτα μόρια, ἤτοι τὸ ὥστε, ἀποστατικὸν, ἢ τὸ τοῦ, ἐλλειπτικὸν τοῦ ἕνεκα. ἢ προθετικὸν μετ' ἄρθρου. οἷον, ἐφ' ᾧ, ἢ ἐφ' ὃ. ἐπὶ τὸ, διὰ τὸ· κἀν τῷ, συνελόντι εἰπεῖν, τὸ, δὸς, ἢ δότε ὥστε. ὃ καὶ κατ' ἔλλειψιν τοῦ εἰπεῖν εὕρηταί τε καὶ λέγεται. κἀν τῷ, σχεδὸν εἰπεῖν, ἢ μᾶλλον, ἢ ἀληθέστερον φάναι. Καὶ οἱ περὶ προσώπου δὲ διηγούμενοι, κατ' ἔλλειψιν λέξεως ἐξαίφνης παρενεχθέντες, εἰς τὸ αὐτὸ πρόσωπον ἀντιμεθίστανται. Ἕκτωρ δὲ Τρῴεσσιν ἐκέκλετο, μακρὸν αὔσας, νηυσὶν ἐπισσεύεσθαι, ἐὰν δ' ἔναρα βροτόεντα. ὃν δ' ἂν ἐγὼν ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω, αὐτοῦ οἱ θάνατον μητίσομαι. Ἐν ᾧ τὴν μὲν διήγησιν ὁ Ποιητὴς, ὡς εἰκὸς, ἑαυτῷ προσῆψε, τὴν δ' ἀπότομον ἀπειλὴν, τῷ θυμῷ τοῦ ἡγεμόνος ἐξ ἀπίνης, μηδὲν προδηλώσας, περιέθηκεν, ἀφεὶς ἐννοεῖσθαι τὸ, ἔλεγέ τε τοιάδε ὁ Ἕκτωρ. ὡς καὶ παρὰ τῷ Ἑκαταίῳ. κήρυξ δὲ ταῦτα δεινὰ ποιούμενος, αὐτίκα ἐκέλευε τοὺς ἡρακλειδῶν ἀπογόνους ἐκχωρεῖν. οὐ γὰρ ὑμῖν δυνατός εἰμι ἀρήγειν, ὡς μὴ ὢν, αὐτοί τε ἀπώλεσθε κἀμὲ ἐξώσετε εἰς ἄλλον τινὰ δῆμον ἀποίχεσθαι.

Λόγου

Λόγου δὲ Ἔλλειψις. κἄπειτ' ἀπὸ Ταῤῥοῦ τοὺς θεοὺς ὑπερφρονεῖς, ἀλλ' οὐκ ἀπὸ γῆς, εἴπερ; ἐλλείπει τὸ, ἠβούλου.

Ἀριστοφ: ἐν Νεφέλαις πλάττει τὸν Σωκράτην κρεμάμενον ἀπὸ Ταῤῥοῦ (ὅπερ ἐστι μετέωρόν τι ἰκρίον, ἐφ' ᾧ Ἀλεκτορίδες κοιμῶνται. κρεμάθαν δὲ τοῦτο ὑποληπτέον. κατ' ἄλλους δὲ Ταῤῥὸς ὁτάραλος. ὅς ἐστι γεωργικὸς καλαθίσκος τούτων δὴ τῶν ἐξ οἰσύων, ἢ σχοίνου, ἢ καλάμου πεπλεγμένων, ἢ καὶ τὰ τῶν τυρῶν ἀγγεῖα) εἶτα ἐρωτώμενον, τί ποιῶν, ἐπὶ Ταῤῥοῦ ἀναβαίη; τὸν δὲ, φάναι, ὡς περιφρονοίη καὶ περισκοποίη τὸν ἥλιον, Τὸν δ' αὖ ἐρωτήσαντα, φάναι πρὸς ταῦτα, κἄπειτ' ἀπὸ Ταῤῥοῦ, κοὐκ ἀπὸ τῆς γῆς τοὺς θεοὺς ὑπερφρονεῖς; εἴπερ ἐβούλου τούτους ὑπερφρονεῖν; (διαβάλλων δὲ τὸν Σωκράτην, ἀντὶ τοῦ εἰπεῖν περινοεῖς καὶ περισκοπεῖς, ὑπερφρονεῖς εἴρηκε.) καὶ γὰρ εἴπερ ἦν δυνατὸν ἄνον ὄντα διαγνῶναι τὰ θεῖα, οὐδὲν οἷον καὶ ἀπὸ τῆς γῆς αὐτὸ διαπράξασθαι. ἐν γοῦν τῷ εἴπερ, ἐλλείπει τὸ, ἠβούλου ὑπερφρονεῖν. Θεόφραστ: ἐν τῷ περὶ Φυτῶν. τὴν Ἄμπελον οὔφασι δεῖν ὑποκονίειν, ἢ ὅλως ἅπτεσθαι, περκάζοντος τοῦ βότρυος. ἀλλ' εἴπερ, ὅταν ἀπομελανθῇ. τοῦτ' ἔστιν ἀλλ' εἴπερ τοῦτο ποιητέον ἐστὶ, τότε ὑποκονίειν δεῖ, ἢ καὶ ἅπτεσθαι, ὅταν, κτ': κἀν τῷ, ὅλως μὲν γὰρ ἢ οὐδὲν, ἢ βραχύτι πάμπαν ἐστὶν ἐν τοῖς ἄλλοις Ζῴοις τὸ τὴν εὐωδίαν διῶκον αὐτῆς χάριν, ἀλλ' εἴπερ, κατὰ συμβεβηκὸς, ὧν ἡτροφὴ τοιαύτη. τοῦτ' ἔστιν ἀλλ' εἴπερ καὶ ἔστι τι ζῷον τοιοῦτον, διῶκον δηλ: τὴν εὐωδίαν, τοῦτο οὐκαθ' αὑτό. Ἀριστοτέλ: ἠθ: νικομχ: βιβ: έ. κἀν τῷ, οὐθὲν γὰρ παρὰ τὴν αὑτοῦ πάσχει βούλησιν. ὥστε οὐκ ἀδικεῖται διάγε τοῦτο, ἀλλ' εἴπερ, βλάπτεται μόνον, τοῦτ' ἔστιν ἀλλ' εἴπερ καὶ πάσχει τὶ, ζημιοῦται μὲν, οὐκ ἀδικεῖται δέ. τὸ δὲ Ἀριστοτέλους, χρησίμου δὲ οὔσης τῆς θρασύτητος πρὸς οὐδὲν τῶν ἐγκυκλίων, ἀλλ' εἴπερ, πρὸς τὸν πόλεμον, βλαβερώτατα καὶ πρὸς ταῦθ' αἱ τῶν Λακώνων ἦσαν. τὸ ἀλλ' εἴπερ, ἀντὶ τοῦ ὅτι μὴ εἴληπται. Λόγου ἔλλειψις κἀν τοῖς τοιούτοις. χρυσμ: ἐν τῷ περὶ Παρθενίας. οὐκ ἐκείνων δὲ (τῶν ἐναρέτων) μόνων ἕνεκεν, ἀλλὰ καὶ τῆς τῶν χλευαζότων (τοὺς σπουδαίους) αὐτῶν σρίας τοῦτο (ἡ παρὰ τοῦ θεοῦ παίδευσις) γίνεται, ὥστε μὴ περαιτέρῳ προελθεῖν τῆς κακίας αὐτοὺς (τοὺς χλευάζοντας) τῷ μηδεμίαν ὑπὲρ τῶν προτέρων δοῦναι δίκην. ἐν ᾧ προσυπακούεται τὸ, προέρχονται γὰρ περαιτέρῳ, τῷ μηδεμίαν, κτ'. τούτου γὰρ μὴ προσυπακουομένου, προέρχονται μᾶλλον περαιτέρῳ τῆς κακίας, τῷ μηδεμίαν ὑπὲρ τῶν προτέρων δοῦναι δίκην. Λόγου ἂν ἔχοι ἔλλειψιν καὶ τὸ ἵνα, πολλαχοῦ ἀνανταποδότως προενεχθέν. Γρηγόριος ἐν τῷ εἰς Καισάριον, ἀλλ' ἵνα μικρὸν προσδιατρίψω τῷ λόγῳ, εἰσήει μὲν ὀγεννάδας ἐκεῖνος. κἀν τῇ πρὸς Βασίλειον ἐπιστλ: πῶς ἐπιφυλλὶς ἡμῖν τὰ σὰ, ἵνα τὶ καὶ αὐτὸς θαῤῥήσω μικρόν; ἐν γὰρ τοῖς τοιούτοις ὁ ἵνα, ἔχει προσυπακούμενον ἔξωθεν κατ' αἴτησιν τὸ δὸς, πρὸς ὃ καὶ ἀνταποδίδοται. οἷον, δὸς ἵνα θαῤῥήσω. δὸς ἵνα διατρίψω. ὡς κἀν τῷ α', στηλιτευ: Γρηγό: καὶ πρὸ μὲν συντριβῆς ἡγεῖται ὕβρις, αἱ παροιμίαι καλῶς φασι, πρὸ δὲ δόξης ταπείνωσις. ἢ ἵνα σαφέστερον εἴπω, ὕβρει μὲν ἕπεται συντριβὴ, ταπεινώσει δ' εὐδοξία. τοιοῦτόν ἐστι καὶ τὸ δι' ἀπαρεμφάτου φερόμενον ἀποστατικῶς, ὡς εἰπεῖν, ὡς ἀθρόως τε εἰπεῖν καὶ ἡμῖν ἱκανῶς, ἀντὶ τοῦ δὸς ὥστε εἰπεῖν.

Τοιοῦτο καὶ τὸ, εἰ μὲν κατέδυσάν τινα, εἰ δὲ μὴ, ἀνεκρούοντο πρὶν εἰς χεῖρας ἐλθεῖν. ἐνδεῖ γὰρ τὸ, εὖ εἶχεν.

Ἐν

Ἐν γὰρ τοῖς συνημμένοις τῶν λόγων, μὴ ἀποδοθέντος τοῦ ἑπομένου πρὸς τὸ ἡγούμενον, χωλεύει ἡσυύταξις. καὶ μένουσα ἐκκρεμὴς, οὐκ ἀπήρτισται. ἐλλέλειπται δὲ ἀρχαϊκῶς διὰ τὸ πάνυ δῆλον καὶ αὐτόθεν φανερόν. τίς γὰρ οὐκ οἶδεν, ὅτι οἱ ἐν τῇ ναυμαχίᾳ καταδύοντες τοὺς πολεμίους, οὐκ ἀνακρούονται; εἰσὶ δὲ καὶ ἄλλα τοιαῦτα σχήματα ἐλλείψεως παρὰ τοῖς παλαιοῖς. οἱ μέντοι καθιστῶντες τὸ σχῆμα εἰς τὸ εὖ ἂν ἔχοι, καὶ οὕτω ποιοῦντες αὐτὸ ἀνελλιπὲς, εὐσύνοπτον μὲν ποιοῦσι τὴν ἑρμηνείαν, ἀποδιδόντες τὸ φύσει ἑπόμενον, ἀχρειοῦσι δὲ τὴν τῆς ἐλλείψεως ἀρετήν. τηρητέον δὲ, ὡς οὐκ ἐπὶ ἑνὸς συνημμένου ἐλλείπειν ἐφεῖται τὸ ἑπόμενον, ἐπὶ δὲ δύοιν ἐπιμεριστικῶς συνημμένων σχημάτων. ὧν τοῖς ἐπιμεριστικοῖς συνδέσμοις ἀντιφατικῶς ἀντιδιῃρημένων ἀλλήλοις, τὸ τῆς πρώτης ἀκολουθήσεως ἐλλεῖπον ἑπόμενον ἐκ τοῦ κατὰ τὴν δευτέραν ἀκολούθησιν ἐγκειμένου ἑπομένου κατὰ λόγον συνυπακούεται. εἴγε τῶν ἐναντίων ἡ αὐτή ἐστιν ἐπιστήμη. οἷον, εἰ μὲν κατέδυσάν τινα, εἰ δὲ μὴ, ἀνεκρούοντο, κτ΄: Θουκυδ΄: ε΄. τὸ γὰρ καταδύειν, ἢ μὴ, ἀντίφασίς ἐστι. τῆς γοῦν τῇ καταφάσει μαχομένης ἀποφάσεως, τὸ ἀνακρούεσθαι ἐχούσης ἐγκείμενον, ὁμόλογον ὡς ἡ τῇ ἀποφάσει μαχομένη κατάφασις, τὸ τῷ ἀνακρούεσθαι ἀντικείμενον ἕξει προσυπακούομενον, δηλονότι Τὸ μὴ ἀνακρούεσθαι, κἀπὶ τῶν ἄλλων δέ τοι ὡσαύτως. ἔστι δὲ ἡ ἐπὶ δύοιν συνημμένων ἔλλειψις παρακεχρωσμένη πως τῷ ἀπὸ κοινοῦ λεγομένῳ σχήματι, ἀπὸ τοῦ β΄, ἐπὶ τὸ α΄, μεθέλκουσα ἀντιφατικῶς τὸ νοούμενον.

Ὅμοιον δ' ἂν εἴη καὶ τὸ τὸν ἅπαξ ῥηθέντα λόγον, δὶς καὶ τρὶς καὶ πολλάκις λαμβάνοντα ἀπὸ κοινοῦ ἐννοεῖν. οἷον, κόσμος ἀνῷ φρόνησις, σωφροσύνη, δικαιοσύνη, ἀνδρία. πᾶσι γάρτοι προσυπακούεται τὸ, κόσμος ἐστί.

Σημείωσαι τὸν λόγον ἐνταῦθα πάσαν ἁπλῶς λέξιν δηλοῦν. ἀπὸ κοινοῦ δ' εἴρηται, καθ' ὅ, τι τὸν ἅπαξ ῥηθέντα λόγον, καὶ ὅλως τὰ προειρημένα κοινοποιεῖ καὶ τοῖς ἐφεξῆς τὸ ταυτὸν τῆς τοῦ λόγου συντάξεως. ἕκαστον γὰρ τῶν εἰρημένων τὴν εἰς τὸ κοινὸν ἐπάνοδον ἀναλαμβάνει. κρεῖττον γοῦν τὸ ἀπὸ κοινοῦ, ὅταν λείπῃ μὲν, μὴ λεγόμενον, φαίνηται δὲ ὡς λεγόμενον τῷ συνυπακούεσθαι. τὸ δὲ ἀπὸ κοινοῦ τῆς ἐλλείψεως σχῆμα καὶ ζεῦγμα ἀκούει προζευκτικόν μὲν, κατὰ πρόληψιν, οἷον, ἀετοὶ διέπτησαν δύω ὁμὲν, ἀπ' ἀνατολῶν, ὁ δὲ, ἀπὸ δυσμῶν. Φιλοσοφοῦσι Σωκρά: καὶ Πλά: ἐπιζευκτικὸν δὲ, τὸ ἀνάπαλιν. Σωκρά: καὶ Πλά: φιφεῖ. τὸ γὰρ ἀπὸ κοινοῦ σχῆμα ἐνίοτε ἀπὸ τοῦ α΄, ἐπὶ τὸ β΄, μεθέλκεται τὸ ἀπὸ κοινοῦ νοούμενον μόριον. ἐνίοτε τὸ ἀνάπαλιν ἀπὸ τοῦ β΄, ἐπὶ τὸ α΄, ὡς παρὰ τῷ Σοφοκλεῖ, ἑκόντα μήτ' ἄκοντα. ἀντὶ τοῦ μή θ' ἑκόντα μήτ' ἄκοντα. τοιοῦτο καὶ τὸ, πολλῶν μὲν, μάλιστα δὲ δύοιν ἕνεκα ὤκνουν πρὸς ὧν ἐπέμψωμοι τὴν ἀπάντησιν. καὶ παρὰ τῷ θεολόγῳ γρηγό. ἐν τῷ εἰς τὸ ἅγιον βάπτισμα, παραδοξότερον διὰ βορβόρου μικρὰ ῥαντίζεσθαι, ἢ καθαρὸν εἶναι διὰ καθαρᾶς ὁδοῦ φερόμενον. τὸ γὰρ, φερόμενον, κἀπὶ τοῦ βορβόρου. κἀντῷ ὀδ: ξ΄. οὐδέτ' οἶδα ζώει ὅγ', ἢ τέθνηκεν. ἀπὸ κοινοῦ ληπτέον τὸν ἢ, κἀντῷ ζώει. ὅμοιόν τι καὶ τὸ, ἁλὸς, ἢ ἐπὶ γῆς. ἤγουν ἢ ἐπὶ ἁλός. εἴγε διαζευγνύων ὁ ἢ, ἀορίστως, οὐκ ἄνευ ἑτέρου ἢ, λέγεται. λουκιαν΄: ἐν τῷ περὶ κάλλους, οὐ γὰρ δὴ τοσοῦτον ἡμῖν τῶν λόγων ἐκείνων, ὅσον ἐμέλησε τῶν σῶν ἀκοῦσαι. Θουκύ: α΄. λακεδαιμόνιοι δὲ αἰσθόμενοι τὸ μέλλον, ἦλθον εἰς πρεσβείαν, τὰ μὲν καὶ αὐτοὶ ἥδιον ἂν ὁρῶντες μήτ' ἐκείνους μήτ' ἄλλον μηδένα

τεῖχος

τεῖχος ἔχοντα. ἀντὶ τοῦ μήτ' ἐκείνους τεῖχος ἔχοντας. κἀν τῇ β', Τὸ δὲ πάλαι ἐκείνῃ (τῇ κρήνῃ) τὰ πλείστου ἄξια ἐχρῶντο, καὶ νῦν ἔτι πρότε γαμικῶν καὶ ἐς ἄλλα τῶν ἱερῶν νομίζεται τῷ ὕδατι χρῆσθαι· ἡ γὰρ εἰς, κἀπὶ τοῦ, τὰ πλείστου ἄξια. κἀν τῇ γ', καὶ τῷ μὲν, αἰσχύνονται, ἐπὶ δὲ τῷ, ἀγάλλονται.

Ἡρόδ: ε', καὶ μέχρι μὲν θαλάσσης αὐτοῖσι ὑμῖν, τὸ δὲ ἀπὸ τοῦδε ἡμῖν ἤδη μελήσει. κἀν τῇ ζ', ὑμέων δίχα γίγνονται αἰγνῶμαι, τῶν μὲν, κελευόντων, τῶν δὲ οὔ, ξυμβαλέειν. Δημοσθ': ὀλυνθ': γ', ἐπράξαμεν ἡμεῖς κἀκεῖνοι πρὸς ἡμᾶς εἰρήνην. ἀντὶ τοῦ ἡμεῖς τε πρὸς ἐκείνους. Πλούταρχ: περὶ τοῦ ἀκούειν. οὔτε γὰρ βαλανείου οὔτε λόγου μὴ καθαίροντος ὄφελός ἐστι. Τῶν γεμὴν ἀπὸ κοινοῦ κατὰ δυοῖν ἢ πλειόνων πτωτικῶν λεγομένων ῥημάτων ῥᾷον ὑπακούεται τὰ προταττόμενα, ἢ τὰ ἐπιταττόμενα. Ἡρόδ: η'. Καὶ κατὰ μὲν ἔλευσαν αὐτοῦ τὴν γυναῖκα, κατὰ δὲ τὰ τέκνα. τὸ γὰρ προλαληθὲν ῥῆμα, ὕστερον δεχόμεθα εὐκόλως ἐκ κοινοῦ, τὰ δὲ ἐπιταττόμενα, διάφορά ἐστι τῇ ἐξαλλαγῇ, ὡς τοῦ ἀκροατοῦ καραδοκοῦντος πότε ἂν τὸ κοινὸν ῥῆμα ἀποδοθείη. ὡς κἀν τῷ, οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρῴεσσιν ἀρήγεις. ἐν δὲ τῷ ὕφει τὸ, ἀπὸ κοινοῦ, κατὰ κοινοῦ μᾶλλον ἂν εἴη χραπτέον, ὡς καὶ ὁ Χρυσόστομος (ὁμλ': λή, τῆς α', πρὸς Κορινθίους) τρὶς οὕτως ἐχρήσατο. λέγεταί γε μὴν καὶ ἀπὸ κοινοῦ ὡς Γρηγόριος ὁ Θεολόγος, Λόγῳ β', περὶ Υἱοῦ. τοῦ τοιούτου ἂν εἴη τρόπου καὶ τὰ ἐξ ἀναλόγου, ὡς εἴρηται, νοούμενα. οὐ μὴν ἀλλὰ καὶ τὸ φησὶν, ἢ φασὶν, ἐλλείπει ἐν ἄλλοις τε κἀπὶ τῶν Ἀπαρεμφάτων, ἐννοούμενα ἔστι μὲν οὗ, ἀπὸ κοινοῦ, ἔστι δ' οὗ, κατ' ἔλλειψιν. ἐγκειμένων δὲ τούτων τὸ μὲν φασὶ, ποτὲ μὲν, περὶ τῶν κατὰ φήμην γινωσκομένων διστακτικῶς λέγεται, ποτὲ δὲ, περὶ τῶν κατὰ κοινὴν δόξαν ὁμολογουμένων πρὸς Ἱστορικὴν ἀκρίβειαν καὶ πίστιν. τὸ δὲ φησὶν, ἀποφαντικῶς καὶ ἀξιωματικῶς κατ' ἐπίκρισιν περὶ τῶν ἀκριβῶς γινωσκομένων λέγεται. ἀοριστότερον δὲ τὸ φασὶ τοῦ φησὶν ὁδεῖνα. τὸ μὲν γὰρ, ἀληθοῦς μαρτυρίας, τὸ δὲ φασὶν, ὕποπτον. Τοῦ τοιούτου σχήματος τυγχάνει καὶ τὸ παρ' ὁμήρῳ, ἀγαθὴ παραίφασίς ἐστιν ἑταίρου. ἰλ: λ'. κἀκεῖ γὰρ ἀπὸ κοινοῦ προσληπτέον τὸ ἀγαθοῦ. οὐ γὰρ ἡ τοῦ τυχόντος ἑταίρου παραίφασις ἀγαθή ἐστιν, ἀλλ' ἡ τοῦ ἀγαθοῦ, ἵνα λέγῃ ἀγαθὴν παραίφασιν τὴν τοῦ ἀγαθοῦ ἑταίρου. τοιοῦτο καὶ τὸ, ὡς ἀγαθὸν καὶ παῖδα καταφθιμένοιο λιπέσθαι πατρὸς, προσνοητέον κἀκεῖ ἀπὸ κοινοῦ τὸ ἀγαθὸν παῖδα. ἄλλως γὰρ, οὐδὲν ἀγαθὸν κατοιχομένῳ πατρὶ παῖς οὐκ ἀγαθός. τί γὰρ ἄλλως ἀγαθὸν, ἐὰν ἐξώλης υἱὸς πατέρα ἀγαθὸν διαδέχοιτο; ὅμοιον καὶ τὸ, οὐδεὶς γὰρ ἂν εὔξαιτο πατὴρ συναπολέσθαι παιδὶ, μηδὲν ἡμαρτηκώς. δῆλον γὰρ ὡς ἡμαρτηκότι παιδί. Χρυσόστομος ἐν τῷ πρὸς σταγείριον ἀσκητὴν δαιμονῶντα. τοῦ αὐτοῦ σχήματος καὶ τὸ, οὐδεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους. κἀκεῖ γὰρ ἀπὸ κοινοῦ ἐννοεῖται τὸ δεινὰ ἐν τῷ εἰργασμένους, ἵνα λέγῃ ὡς οὐ δεινὸν πάσχειν δεινὰ τοὺς δεινὰ εἰργασμένους. οὕτω καὶ τὸ γνωμολογούμενον στρεπταὶ φρένες ἐσθλῶν. ἰλ: ο', ἐννοεῖ ἀπὸ κοινοῦ τὰ ἐσθλὰ, ἵν' ᾖ λέγων ὁ ποιητὴς, ὅτι οἱ ἐσθλοὶ μεταστρέφονται ἐπὶ τὰ ἐσθλὰ, ἐκ τῶν φαύλων δηλαδὴ, ὡς αἱ τῶν φαύλων πρὸς τὰ φαῦλα. τοιοῦτο καὶ Γρηγορίου τοῦ Θεολόγου, πουλιῆς δὲ παραίφασίς ἐστιν ἀρίστη. κἀκεῖ γὰρ τὸ ἀρίστη κἀπὶ τῆς πολιᾶς. καὶ Σοφοκλ': ἐν τῷ, πρὸς τὸν ἔχονθ' ὁφθόνος ῥέπει. παρῆκε τὸ ἀγαθὸν ὡς φανερόν. πάντως γὰρ ὁ ἔχων ἀγαθόν τι, φθονεῖται. τοιοῦτο καὶ τὸ, μεταβολὴ πάντων ἡδύ.

δῆλον γὰρ ὡς γλυκύ ἐστιν ἡ μεταβολὴ οὐχ ἁπλῶς, ἀλλ' ἡ τῶν κακῶν. καὶ τὸ παρὰ Ξενοφ: πρὸς τὸν Σωκρ: παρὰ τοῦ Εὐθυδήμου εἰρημένον. καὶ οἷ μαίγε, ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος. ἐξακούει τὸ, δικαίου. Διαφέρει δ' ἔλλειψις παρασιωπήσεως. ὅτι αὕτη μὲν, εἰς τὸ παντελὲς σιωπᾷ τὰ τοῦ πράγματος· ἡ δὲ ἔλλειψις τὸ μὲν, λέγει, τὸ δ' οὔ. ὡς καὶ Σωνέσ: ἐπιστ: δ'. ἔρρωσο καὶ τὸν υἱὸν Διόσκορον κέλευε, ἐρρῶσθαι δηλ':.

Ὑποτακτικὴ θέσις.

Ἔτι ὡς ἐπὶ τῶν Συλλαβῶν ἔστιν ἃς ὑποτασσομένας μηδέποτε προτασσομένας εὑρεῖν,

Ὡς εἴρηται ἐν τοῖς κατὰ διάστασιν Συμφώνοις. Ἔτι τε ληκτικὰς μερῶν Λόγου, λς, νς, ρξ, γξ. ἀλλὰ καὶ στοιχεῖα ἔστιν εὑρεῖν τὰ μὲν, ὑποτασσόμενα, τὰ δὲ, προτασσόμενα ὡς ἐπὶ τῶν Διφθόγγων. τὸ δ' ἔστιν ἃς, οὐκ ἀναφέρει, ἀλλ' ἀοριστάνει, ἀντὶ τοῦ τινὰς, ὡς καὶ τὸ ἔστιν ὃν, ἢ ἔστιν ὅντινα, ἀντὶ τοῦ τινά. ἔστιν οὓς, ἀντὶ τοῦ τινάς. ἔστιν οἷς, ἀντὶ τοῦ τισίν. ἔστιν οἵτινες, ἢ εἰσὶν οἱ, ἀντὶ τοῦ τινές. ἐν δὲ τῷ εὑρεῖν, ἐκληπτέον ἔξωθεν τὸ Ὑπαρκτικὸν εἰς ἐξάρτησιν τοῦ Ἀπαρεμφάτου, ἵν' ᾖ, ὥσπερ ἐστὶν εὑρεῖν.

Οὕτω τοι καὶ ἐπὶ τῶν Λέξεων. τὰ γὰρ Ὑποτακτικὰ τῶν Ἄρθρων,

Ἅπερ εἰ καὶ ἀπὸ τῆς Συντάξεως μᾶλλον, ἤπερ ἀπὸ τοῦ δηλουμένου τὴν ὀνομασίαν ἔλαβον, τοῦ γε μὴν τις ἀοριστοῦ προτάσσεται, συναοριστούμενα, καί τινων παραπληρωματικῶν Συνδέσμων.

Καὶ αἱ ἐπιταγματικαὶ Ἀντωνυμίαι, καὶ τὰ Ὑποτακτικὰ τῶν Ῥημάτων τοιάδε,

Ἐπιταγματικὴ Ἀντωνυμία μία τυγχάνει ἡ αὐτός. οὕτω δ' ἤκουσεν ὡς ταῖς πρωτοτύποις εἴτ' οὖν δεικτικαῖς τῶν Ἀντωνυμιῶν κατὰ πᾶν πρόσωπον καὶ Ἀριθμὸν ἐπιτασσομένη, ὅ ἐστιν ἐπιπλεκομένη εἰς ἐπίτασιν δείξεως. οἷον ἐγὼ αὐτός. ἡμεῖς, ἢ ὑμεῖς αὐτοί. νῶϊ αὐτὼ, νῶϊν αὐτοῖν. σφῶϊ αὐτὼ σφῶϊν αὐτοῖν. πλὴν τῶν ἐπὶ τρίτου δυϊκῶν διὰ τὸ ἐγκλίνεσθαι. ἐπιτασσομένη μὲν οὖν, τὸ ὀρθὸν, προτασσομένη δὲ, τὸ ἀντεστραμμένον, ὡς κἀντῷ, ὅ δ' αὐτὸς ἐγὼ, πάτερ. ἥ δ' ἐγὼ ταχυτάτη.

Τ' αὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τοῦ Λόγου.

Τὸ, ἐστιν εὑρεῖν, ἀπὸ κοινοῦ.

Τοιοῦτο γάρ τοι τὸ συνημμένον. εἰ περιπατεῖ Σωκράτης, κινεῖται.

Ἐπὶ γὰρ τῶν συνημμένων τοῖς προλημματιζομένοις καὶ οἱονεὶ προλαμβανομένοις ἀεὶ ὑποτέτακται τὰ ἐπιφερόμενα. ἅπερ ἔγκειται κατὰ τὴν πρώτην τοῦ Λόγου συναφήν. οἷον, εἰ περιπατεῖ Διονύσιος, κινεῖται. καὶ ἀντεστραμμένως. προηγουμένοις γὰρ τὸ ὀρθόν. Δυονύσιος κινεῖται, εἰ περιπατεῖ. ἀντιστρέφοντος δὲ τοῦ Λόγου, οὐκ ἀληθεύει τὸ ὅλον. οἷον, εἰ κινεῖται, περιπατεῖ. κινεῖται γάρ τις, καὶ μὴ περιπατῶν, καθ' ὅ, τι οὐ πᾶσα κίνησις κατὰ τόπον. εἰ μέντοι περιπατεῖ, ἐξ ἀνάγκης δὴ καὶ κινεῖται. συνημμένον δ' ἤκουσεν ἔτι μὴν καὶ συνεχὲς ἐν μὲν, διὰ τὸ ἀεὶ συνῆφθαι ἀλλήλοις τό, τε ἡγούμενον καὶ τὸ ἑπόμενον κ[illegible]ά τινα ἀδιάσπαστον καὶ συνεχῆ ἀκολουθίαν, ἕτερον δὲ, πρὸς ἀντιδιαστολὴν τοῦ διεζευγμένου. οἷον, ὁ δέκα ἤτοι ἄρτιός ἐστιν ἢ περιττός. Ἰστέον δὲ ὡς ἐπὶ μὲν τῶν ἐπ' ἔλαττον, ἀναγκαία ἡ Ὑποτακτικὴ τοῦ ἑπομένου θέσις. οἷον, εἰ ἐστὶν ἄνος, ἔστι καὶ ζῷον, εἰ περιπατεῖ, κινεῖται. Ἐπὶ δὲ τῶν ἐξίσου, καὶ ἀντιστρέφει. οἷον, εἴ ἐστι λογικὸν, ἔστι καὶ

γε-

γελαστικόν. ὥσπερ δὲ Ὑποτακτικὴν, οὕτω τοι καὶ Προτακτικὴν θέσιν ἐστὶν εὑρεῖν, οὐδέποτε δὲ Ὑποτακτικὴν, Στοιχείων μὲν, ἔν τε Φωνήεσι καὶ Συμφώνοις, ὡς εἴρηται, Συλλαβῶν δὲ, τῆς ηὖ, ὡς οὐδαμοῦ τασσομένης ἐπὶ τέλει Λέξεως, ὡς ἐπὶ τοῦ ηὐλόγει. καὶ ἁπάσης τῆς ἐν φωνήεσι κατὰ τὸ κοινὸν ἔθος δασείας. Λέξεων δὲ, οἷαι αἱ Προθέσεις καὶ τὰ Προτακτικὰ τῶν Ἄρθρων, καὶ τῶν Ἀντωνυμιῶν αἱ Πρωτότυποι, τῆς ἐπιταγματικῆς ὡς ἐπίπαν προταττόμεναι. Λόγου δὲ, ὡς ἐπὶ τοῦ συνημμένου τὸ ἡγούμενον.

Διάλυσις καὶ Συναίρεσις.

Ἔτι ὡς τὰ Στοιχεῖα ἀνάλυσιν καὶ συναίρεσιν πάσχει, ἦγεν, ἔαγε,

Μερίζεται μὲν, ἰωνικῶς εἰς δύω ἐσθ' ὅτε καὶ τὰ Στοιχεῖα, καθὰ ἐν τῇ μεταθέσει τῶν Στοιχείων προείρηται, ἀλλὰ τρόπῳ συλλαβικῷ. δηλονότι οὐχ ὡς Στοιχεῖα, ἀμερῆ γὰρ, ὡς συλλαβαὶ δέ. ἦδεν, ἔαδε. συναιρεῖται δ' αὖ, βέλεα, βέλη.

Οὕτω καὶ Συλλαβή. πηλείδου, πηλείδαο. ἑρμέας, ἑρμῆς.

Ἀλλὰ καὶ συλλαβαὶ δύω εἰς μίαν συνίζουσι, λέγω τὴν κυρίως συλλαβήν. γήραϊ, γήρα.

Καὶ Λέξις. κατὰ ταῦρον ἐδηδὼς, ἀντὶ κατεδηδώς. (ὁδ: . μ̃.

Ἰστέον ὅτι δύω εἰσὶ τὰ εἴδη τοῦ ὑπερβατοῦ σχήματος. ἔστι δὲ κατὰ Διονύσιον τὸν λογγῖνον Λέξεων, ἢ νοήσεων ἐκ τοῦ κατὰ ἀκολουθίαν κεκινημένη τάξις. καὶ τὸ μὲν ἐστιν ἐννοίας διακοπὴ, διττῶς δὲ, ἤτοι κατὰ παρένθεσιν ἐξ ἐπεμβολῆς ἔξωθέν τι προσλαμβάνον. οἷον, τοῦτ' ἐκεῖνον, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι. καὶ τὸ, ὁ γὰρ, οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράσσων, οὗτος ἐμοὶ πολεμεῖ. καὶ τὸ, εἶτα οὐκ αἰσχύνεσθε, εἰ μηδ' ἃ πάθοιτ' ἂν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα καιρὸν ἔχοντες, οὐ τολμήσετε; καὶ τὸ, Ἀγαμέμνων, Βασιλεὺς δὲ ἦν Ἑλλήνων ἐραστὴς γέγονε χρυσηΐδος. γίνεται δὲ τοῦτο, ἔνθα μὲν, σαφηνείας καὶ διορισμοῦ χάριν, ὅταν τὴν αἰτίαν τοῦ λεγομένου, ἣν μέλλει ποθεῖν ὁ ἀκροατὴς, μέσην ὁ λέγων τάξῃ. οἷον, ὦ φίλοι, (οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠὼς, οὐδ' ὅπῃ ἠέλιος φαεσίμβροτος εἶσ' ὑπὸ γαῖαν, οὐδ' ὅπῃ ἀνεῖται.) ἀλλὰ φρασώμεθα θᾶσσον. εἰ γὰρ εἰρήκει, ὦ φίλοι, φρασώμεθα θᾶσσον, ἐτάραξεν ἂν αὐτοὺς, καὶ ἐποίησε τί γέγονεν ἐρωτῆσαι. νῦν δὲ διὰ μέσου τὴν αἰτίαν τοῦ θᾶσσον φράσεσθαι τάξας, τῆς τοιαύτης ταραχῆς ἀπήλλαξε. γίνεται δὲ μακρὸν τὸ ὑπερβατὸν, ὅταν ἡ αἰτία ἑτέρας αἰτίας χρείαν ἔχῃ. ἔνθα δὲ, ἐπίτασιν τῇ ἀποφάνσει πρὸς μείζονα πληροφορίαν ἐπάγον. οἷον, καὶ ταῦτα διῆλθον, οὐ διαβάλλειν βουλόμενος, μήποτε οὕτω μανείην, ἀλλ' ὑπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας ἐν ταῦθα ἐμπεσών. ἢ ἐν εἴδει ὑποπαραιτήσεως. οἷον, καὶ γὰρ εἰ μὲν ἅπαντες, ἐρῶ γὰρ, εἰ καὶ φορτικώτερον ἀκοῦσαι, συνῳκεῖτε τῇ γυναικί. λιβάν: πρεσβ: β'. ἢ κατὰ σχῆμα παραλλείψεως. οἷον, δεδόθω μήτ' Ἀχιλλέως, μήτ' Αἴαντος, μήτε Διομήδους, μήτ' Ἰδομενέως, μήτε Τεύκρου κτ'. ἐμαυτὸν γὰρ καὶ τοὺς Βασιλεῖς ἀφήσω καὶ πολλοὺς ἄλλους καλοὺς κἀγαθοὺς στρατηγοὺς, δεδόσθω νῦν μηδενὸς εἶναι τούτων φαυλοτέρους ἐκείνους, οἷς φατε πιστεύειν εἰς τὴν νίκην. ἢ τρόπῳ συγχωρήσεως. οἷον, ἔπειτα εἰ καὶ πλέον τῶν πεπονθότων ἤχθοντο, δῶμεν γὰρ ὅτι καὶ μᾶλλον ἤλγουν Ἠνάχου, οὐχ ἁρπαγῇ τὴν ἁρπαγὴν μετιέναι ἐχρῆν. ἢ κατ' ἔμφασιν πάθους ἐπισκήπτοντος οἷον αἴφνης τῇ ψυχῇ, καὶ ταράσσοντος τὸν λόγον, καὶ σχετλιάζειν, ἢ θαυ-

θαυμάζειν, ἢ ἐπιθυμεῖν ἢ ἀμηχανεῖν ἢ ἄλλοτι τοιοῦτο παθαίνεσθαι ποιοῦντος. οἷον τέθνηκεν, οἴμοι, οὔπω τὸν πρῶτον ἀμείψας ἴουλον. καὶ, ὁ δὲ, αὐτίκα ἐπιδραμὼν, φεῦ τῆς τύχης, κτ': Καὶ τοιαύτη μὲν ἡ κατὰ παρένθεσιν ἐπεμβολή. ἧς τὴν μὲν φασιν ἀναγκαίαν, τὴν δὲ, καὶ ἐκβληθεῖσαν, μηθὲν ὅλως τῇ τοῦ Λόγου ἀκολουθίᾳ λυμαίνεσθαι. ἡ δὲ, ἐστὶ καθ' ὑπέρθεσιν, ὃ καὶ κάλλος ποιεῖ. οἷον, τὴν τοῦ διαπράξασθαι ταῦθ', ἃ μηδεὶς πώποτε ἄλλος Μακεδόνων Βασιλεὺς, δόξαν ἀντὶ τοῦ ζῆν ἀσφαλῶς ᾑρημένος. Ὃ μηδὲ τῆς κατὰ παρένθεσιν ἐπεμβολῆς ἀπήλλακται. τὸ δὲ ἕτερον, ὃ οὐδὲ κυρίως ὑπερβατὸν, ἐν διακοπῇ Λέξεως θεωρεῖται. καὶ τὸ μὲν πρῶτον, Ῥητορικὸν, τὸ δεύτερον δὲ, Γραμματικὸν ὂν τυγχάνει. Ἡρόδ: γ', καὶ ἀπὸ μὲν σεαυτὸν ὤλεσας, ἀπὸ δὲ ὤλεσας Κύρον. ὁμοίως καὶ τὸ, αὐτὰρ διά τε σκόλωπας καὶ τάφρον ἔβησαν, οἱ μὲν Γραμματικοὶ σχῆμα λέγουσιν ὑπερβατὸν, οἱ δὲ Ῥήτορες οὐκ ἀξιοῦσιν οὕτω καλεῖν αὐτό. οὐδεμία γὰρ αἰτία μέση κεῖται, ἢ ἕτερόν τι τῶν εἰρημένων, διακεκόφθαι δέ φασι τὴν Συνταξιν ἐπίτηδες, ἵνα τῇ διακοπῇ τῆς Λέξεως τὸ ταλαίπωρον καὶ δυσδιόδευτον ἐμφήνῃ τῶν τὴν τάφρον διαβαινόντων. τοιοῦτό φασι καὶ τὸ, κατὰ πυρὸν ἤλεσαν. καὶ τὸ, ὡς δ' ὅταν ὀξὺν ἔχων πέλεκυν ἀνὴρ βοὸς ἶνα τάμῃ διὰ πᾶσαν. ἀντὶ τοῦ διατάμῃ τὴν ἶνα. φασὶν οἱ παλαιοὶ, ὅτι τῇ τῆς Λέξεως διακοπῇ μεμίμηται τὸ γιγνόμενον. οὕτω δὲ καὶ τὸ, ὥς τίς τε Λέων κατὰ Ταῦρον ἐδηδὼς, αἰτιολογοῦσι. τῇ γὰρ ἐκκοπῇ φασι, τῆς Λέξεως τὸν εἰς πολλὰ διεσπασμένον Ταῦρον παρέστησεν. οἱ δ' αὐτοὶ καὶ τὸ, οἳ κατὰ βοῦς ὑπερίονος ἠελίου ἤσθιον, εἰς τοιοῦτον ἀνάγουσιν, Λόγον. φέρουσι δὲ εἰς ὁμοιότητα καὶ ἀνακρέοντος τὸ, καδδὲ λοπὸς ἐσχίσθη, ἀντὶ τοῦ κατεσχίσθη τὸ ἱμάτιον. ὁμοίως καὶ τὸ, διὰ δὲ δειρὴν ἔκοψε μέσην. καὶ τὸ, σὺν δὲ γέροντι χυτὸ νόος, ἤγουν συνεχύθη ὀνοῦς τῷ Πριάμῳ, τὴν ταραχὴν φασι τῆς διανοίας μιμεῖσθαι τῇ τῆς συντάξεως διακοπῇ. τὰ δὲ τοιαῦτα λέγεται ἔτι καὶ Ἰακὴ διαίρεσις. τῶν Ἰώνων δὲ ἡ διάλυσις. Διονύσιος δὲ ὁ λογγῖνος ἐναγωνίου πάθους χαρακτῆρα ἀληθέστατον τίθησι τὰ ὑπερβατά. ὡς γὰρ οἱ τῷόντι φησὶν ὀργιζόμενοι, ἢ φοβούμενοι, ἢ ἀγανακτοῦντες, ἢ ὑποζηλοτυπίας, ἢ ἄλλου τινὸς πάθους ἑκάστοτε παραπίπτοντες, ἄλλα προθέμενοι, πολλάκις ἐπ' ἄλλα μεταπηδῶσι, μέσα τινὰ παρεμβάλλοντες ἀλόγως, εἶτ' αὖθις ἐπὶ τὰ πρῶτα ἀνακυκλοῦντες, καὶ πάντῃ πρὸς τῆς ἀγωνίας ὡς ὑπ' ἀστάτου πνεύματος τῇδε κἀκεῖσε ἀγχιστρόφως ἀντισπώμενοι, τὰς Λέξεις, τὰς νοήσεις, τὴν ἐκ τοῦ κατὰ φύσιν εἱρμοῦ παντοίως πρὸς μυρίας τροπὰς ἐναλλάττουσι τάξιν, οὕτω καὶ παρὰ τοῖς ἀρίστοις συγραφεῦσι διὰ τῶν ὑπερβατῶν ἡ μίμησις ἐπὶ τὰ τῆς φύσεως ἔργα φέρεται. τότε γὰρ ἡ τέχνη τέλειος, ἡνίκα ἂν φύσις εἶναι δοκῇ. ὥσπερ λέγει ὁ παρ' Ἡροδ': φωκαεὺς Διονύσιος. ἐπὶ ξυροῦ γὰρ τῆς ἀκμῆς ἔχεται ἡμῖν τὰ πράγματα, ἄνδρες Ἴωνες, ἢ εἶναι ἐλευθέροισι, ἢ δούλοισι, καὶ τούτοισι ὡς δραπέτῃσι. νῦν ὦν ὑμέες, ἢν μὲν βούλησθε ταλαιπωρίας ἐνδέκεσθαι, τὸ παραχρῆμα μὲν πόνος ὑμῖν ἔσται, οἷοί τε δὲ ἔσεσθε, ὑπερβαλλόμενοι τοὺς ἐναντίους, εἶναι ἐλεύθεροι. οὗ τὸ κατὰ τάξιν ἦν, ὦ ἄνδρες Ἴωνες, νῦν καιρός ἐστιν ὑμῖν πόνους ἐπιδέχεσθαι. ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἕστηκεν ἡμῖν τὰ πράγματα, κτ': ὁ δὲ, τὸ μὲν ἄνδρες Ἴωνες, ὑπερεβίβασε. προσέβαλε γὰρ εὐθὺς ἀπὸ τοῦ φόβου φθάνων, ὡς μηδὲ τὴν ἀρχὴν πρὸς τὸ ἐφεξῆς δέος προσαγορεῦσαι τοὺς ἀκούοντας. ἔπειτα δὲ τὴν τῶν νοημάτων ἀπέστρεψαι τάξιν. πρὸ γὰρ τοῦ φῆσαι, ὅτι αὐτοὺς δεῖ πονεῖν (τοῦτο γάρ ἐστιν, ὃ παρακελεύεται) ἔμπροσθεν ἀποδίδωσι τὴν αἰ-

αἰτίαν, δι' ἣν πονεῖν δεῖ, ἐπὶ ξυροῦ ἀκμῆς φήσας ἔχεται ἡμῖν τὰ πράγματα, ὡς μὴ δοκεῖν ἐπεσκεμμένα λέγειν, ἀλλ' ἠναγκασμένα. πρὸς δὲ καὶ ὁ ἀναγραμματισμὸς ὑπερβατὸν ἀκούει, Γραμματικοῖς μὲν θελητὸν, τεχνικοῖς δὲ Ῥήτορσιν οὐκ ἀρεστόν. ἔστι δὲ τοιοῦτος. ἥρα, ἀήρ. ἐξ ὧν γὰρ ἡ ἥρα Γραμμάτων, ἐκ τούτων λαλεῖται καὶ ὁ ἀήρ. τοῦτο δὲ ὁμοιότητα τῶν ταυτογραφομένων δηλοῖ. τοιαῦτά τινα καὶ τὸ χόλος, ὄχλος, λόχος. καὶ τὸ ἀρετὴ, ἐρατή. καὶ τὸ φλύαρος, φλαῦρος. παρ' Ἀττικοῖς, ἀρσινόη, ἥρας ἴον. τοῦ δὲ αὐτοῦ τύπου καὶ τὸ λιαρὸς, ἱλαρός. καὶ τὸ ὀλίγος, λοιγός. ὀλίσθια, λοίσθια. λιχανὸς, χαλινός. ὄλισθος, λοῖσθος. τὸ ἄτλας, τάλας. παραχύτης, σαπρὰ τύχη. χλόη, χολή. τὸ ῥὰ, ἄρ, δι' ὧν δηλοῦται τὸ δή. καὶ τὸ ἀγρυπνία, ἀργυπνία. ἐν οἷς καὶ τὸ κάρα, ἄκρα, ταυτιζόμενα ἐν τῷ κατ' ἄκρης. ἤδη δὲ καὶ καρὶς, ἀκρίς. ῥέα, ἔρα. ὑπερβατὸν ἄρα κοινότερον τὸ μὲν, Λόγου, τὸ δὲ, λέξεως, τὸ δὲ, Στοιχείου. κἀπὶ Συλλαβῶν δὲ, ἡ τούτων μετάθεσις.

Κἀκτοῦ ἐναντίου Λέξεις δύω εἰς μίαν. βαρυστενάχων καὶ δακρυχέων, ἀντὶ τοῦ βαρὺ στενάχων, καὶ δάκρυ χέων.

Λέξεων συνίζησις καὶ τὸ ἄκρα πόλις, ἀκρόπολις. χώρα καλὴ, καλλίχωρος. ἄγριον σῦν, συνάγριον. καὶ ἁπλῶς τὰ λελυμένα ἔσθ' ὅτε συνίζει, ὡς ὑφ' ἓν Λόγου μέρος ἀναγινωσκόμενα. ἰστέον δὲ ὡς ἐπὶ μὲν τῆς τῶν δύοιν Λέξεων εἰς μίαν συνιζήσεως ὑπογράφεται τὸ προσῳδιακὸν πάθος ἡ ὑφὲν, εἰς ἔνδειξιν τῆς τῶν δύοιν Λέξεων συναφείας εἴτ' οὖν συνθέσεως, οὐκ ἔτι δὲ καὶ ἐπὶ τῆς τῶν δύοιν Συλλαβῶν εἰς μίαν συναλειπτικῆς ἐκ Φωνήσεως ἐν μιᾷ Λέξει. τὰ μὲν γὰρ συναλειφόμενα ἢ συντιθέμενα, ὡς γράφεται, οὕτω καὶ ἐκφωνεῖται, τὰ δὲ συνιζάνοντα ἢ συνεκφωνούμενα, οὐχ οὕτως, ἀλλὰ τὰ τῶν δύοιν συνιζανουσῶν Συλλαβῶν Φωνήεντα οὐκ ἔτι ὡς δύω, ἀλλ' ὡς ἔν τι συνεκφωνεῖται, ναὶ δὴ καὶ μετρεῖται τῷ μετρικῷ, ὡσπερεὶ τῇ τοῦ ἑνὸς φωνῇ συνανακραθείσης καὶ τῆς τοῦ ἑτέρου κατὰ μίμησιν τῶν συνιζανόντων καὶ πυκνουμένων ἐξ ἀραιότητος, καὶ ἐκ πλείονος ὀλιγώτερον κατεχόντων τόπον κατὰ συμπίλησιν. ὃ δὴ καὶ ἐπὶ σεισμῶν ποτε γίγνεται. πάσχουσι δὲ τοῦτο φυσικῶς καὶ αἱ χασμῳδίαι, ἤγουν αἱ τῶν φωνηέντων ἐπαλληλίαι καὶ συμπτώσεις. ὡς ἐν τῷ μῆνιν ἄειδε θεὰ πηληιάδεω ἀχιλῆος. ἰλ: ᾱ, ἐν γὰρ τῷ πηληιάδεω, κἀν τῷ ἀλληλούια ὁ καταλογισμὸς τῶν δυοῖν συλλαβῶν τοῦ ῑ, καὶ ᾱ, εἰς μίαν συλλαβὴν, δοκεῖ ποιῆσαι αὐτὰς συνιζῆσαι, καὶ οἷον κατασμικρυνθῆναι καὶ στενοχωρηθῆναι ἐκ πλατυσμοῦ εἰς στενότητα. τὸ δ' αὐτὸ καὶ συνεκφώνησις λέγεται. συνίζησις δὲ πάλιν διὰ τὸ ταχὺ καὶ οἷον συναλειπτικὸν καὶ ἐπίτροχον καὶ οὕτω στενολόγον τῆς συνεκφωνήσεως. ὑπὸ δὲ τοῖς ἐν μιᾷ Λέξει συνεκφωνουμένοις φωνήεσιν ἡ ὑφὲν τὸ πάθος οὐ τίθεται. οὐ δὲ γὰρ μιᾶς, ἀλλὰ δύοιν οὖσα συνάφεια Λέξεων, ὑπὸ τῶν συνθέτων οὐχ ὑπὸ τῶν ἁπλῶν ἐθέλει τάττεσθαι, οὐ μὴν ἀλλ' οὐδὲ τὰς δύω στιγμὰς ἐπιδέχονται τῶν συνεκφωνουμένων Διχρόνων τό, τε ῑ, καὶ τὸ ῡ, αὗται καὶ γὰρ ἐπὶ τῶν κατὰ διάλυσιν ἀναγινωσκομένων Διχρόνων τίθενται πρὸς ἀντιδιαστολὴν τῶν συνεκφωνουμένων. ἡδὲ τῶν αὐτῶν φωνηέντων συναίρεσις πρὸς ἀποφυγὴν παραλληλίας γίνεται, οἷον, ἐν τῷ πλόος πλοῦς, καὶ τοῖς τοιούτοις. ἅπερ εἰ καὶ συναιροῦσιν ἄλλοι, ὡς ἂν μὴ παράλληλα τὰ αὐτὰ Φωνήεντα ᾖ, καθ' Ἡρῳδιανὸν εἰπεῖν, ὃ δὴ γίνεται κἀντῷ σαπφόος καὶ ἄλλοις μυρίοις, ἃ συναλείφεται εἰς τὴν οῦ, Δίφθογγον, Ὅμηρός γε μὴν ἀσυναιρέτως φράζει, καὶ οὐδὲ πόρρω σεμνότητος, ἀφιεὶς

ἄλλα παρ' ἄλλοις εἶναι καλά.

Καὶ Λόγος.

Ἀπὸ κοινοῦ τὸ διάλυσιν καὶ συναίρεσιν πάσχει.

Συντίθενται μὲν γὰρ, συνδεδεμένοι ἀλλήλοις οἱ Λόγοι, διῄρηνται δὲ, ἀσύνδετοι ὄντες.

Ἀλλὰ καὶ οἱ τοῖς Λόγοις παρεπόμενοι Σύνδεσμοι, ἐσθ' ὅτε ἑνοῦσι δύω λόγους ἢ καὶ πλείους. οἷοι οἱ συνδεόμενοι ἐκ συνημμένων, ἢ παρασυνημμένων, ἢ καὶ ἔτι συμπεπλεγμένων. οἳ πάλιν ἀποστάντες, διάλυσιν τῶν Λόγων ποιοῦνται. ὁ γὰρ Σύνδεσμος καὶ κατὰ τὸν Ἀριστ: βιβλ: γ', ῥητορ: ἐν ποιεῖ τὰ πολλά. ὃ πάλιν, ἀρθέντος τοῦ Συνδέσμου, πολλὰ γίγνεται, τὰ λεγόμενα κομματικὰ τὰ καὶ ἀσύνδετα. ἐνίοτε δὲ, φησὶν Ἀμμώνιος, καὶ δίχα συνδέσμου πλείονας λόγους ἐφεξῆς λέγοντες, ὡς ἕνα τὸν ἐκ πάντων λέγομεν, τῶν συγκατηγορημάτων, ἢ τῆς ἐφεξῆς ῥήσεως τὴν χρείαν τοῦ συνδέσμου ἀναπληρούσης. οἷον, διὰ τὸ δυσχεραίνειν κατὰ τὴν ὕβριν ἀλκιβιάδης, ἐπολέμησε τῇ πατρίδι. ἀλλὰ καὶ Ὀνόματα πλείονα συνείροντες ἀλλήλοις ἀσυνδέτως, μὴ συμπλεκόμενα πρὸς ἑνός τινος σημασίαν, καθάπερ ἐπὶ τῶν ὁρισμῶν, ἀλλὰ δηλωτικὰ πραγμάτων ἀπηρτισμένων, ἔντι αὐτῶν κατηγοροῦμεν, πλείονας μὲν πάντως Λόγους λέγοντες, διὰ τὸ πλείονα εἶναι τὰ ὑποκείμενα, τὴν δὲ ἐφεξῆς γινομένην ἀπαρίθμησιν, τοῦτ' ἔστι τὴν κατὰ πτῶσιν ταυτότητα ἀντὶ Συνδέσμου παραλαμβάνοντες, οἷον, ἀχιλλεὺς, αἴας, διομήδης, ἄριστοι τῶν Ἑλλήνων. καὶ φανερὸν ὅτι πολλοὶ οἱ Λόγοι, ἑνοῦνται δὲ τῇ κατὰ πτῶσιν, καὶ μάλιστα τῇ τοῦ κατηγορουμένου ταυτότητι. ὁ δὲ ἀσύνδετος Λόγος σχῆμά ἐστι γοργότητος, καὶ θυμῷ καὶ ἀγωνίᾳ πρέπον, καὶ ἤθους ἀρχοντικοῦ. φορὰν γὰρ καὶ συγκίνησιν ἐμφαίνει ψυχῆς κατὰ τὸν Λογγῖνον Διονύσιον. ἥτις, ἐὰν τοῖς συνδέσμοις ἡ φράσις ἐξομαλισθῇ, εἰς λειότητά τε καταπίπτει καὶ εὐθὺς ἔσβεσται. ὥσπερ γὰρ εἴτις συνδήσειε τῶν θεόντων τὰ σώματα, τὴν φορὰν αὐτῶν ἀφῄρηται, οὕτω καὶ τὸ πάθος ὑπὸ τῶν Συνδέσμων καὶ τῶν ἄλλων προσθηκῶν ἐμποδιζόμενον, ἀγανακτεῖ. τὴν γὰρ ἐλευθερίαν ἀπόλλυσι τοῦ δρόμου. κατὰ δὲ τὸν Ἑρμογένην ἑκάτερα, τό, τε ἀσύνδετον καὶ τὸ συνδεδεμένον φημὶ σχῆμα, ταὐτὸ δηλοῖ καὶ ἐργάζεται. καὶ ἦθος ὁμοίως καὶ μέγεθος, ἢ πλῆθος πραγμάτων, ὅταν ἑκατέρου καιρὸς ᾖ. τοῦ μὲν, Ὄλυνθον μὲν δὴ καὶ Μεθώνην καὶ Ἀπολλωνίαν καὶ δύω καὶ τριάκοντα πόλεις ἐπὶ Θρᾴκης ἐῶ. τοῦ δὲ, ἡνίκα Πύδνα, Ποτίδαια, Μεθώνη, Παγασαὶ, τἄλλα, ἵνα μὴ καθ' ἕκαστον λέγων διατρίβω, πολιορκούμενα ἀπηγγέλλετο.

Μετάθεσις.

Καὶ μὲν δὴ καὶ Συλλαβαὶ μετατίθενται τοῖς Στοιχείοις ὁμοίως. κελάρυζα, λακέρυζα. κρυπτοκέφαλος, κεπτοκρύφαλος.

Οὕτω καὶ τὸ ἠνάλωτο ἐκ τοῦ ἀνήλωτο μετηλλάγη τῷ χρόνῳ. καὶ τὸ ἠναντιοῦτο ἐκ τοῦ ἐνηντιοῦτο. Συλλαβῆς δὲ καὶ τὸ ἐξαπίνης, ἐξαίφνης, κατὰ τροπὴν τοῦ π, εἰς φ. ὄρωρεν ὤρορε. λιχανὸς, χαλινός. κατὰ ἀναγραμματισμὸν δὲ καὶ τοῦτο.

Καὶ Λέξις. οἷον, εἴ τις Θεὰς σεμνὰς, τὰς σεμνὰς Θεὰς λέγοι.

Τὰς Ἐριννύας κατὰ ἀντίφρασιν σεμνὰς Θεὰς οἱ Ἀθηναῖοι ἐκάλουν. τὰ γὰρ δύσχρηστα τῶν Ὀνομάτων εὐφημότερον εἰώθασιν οἱ Ἀτ-

Ἀττικοὶ προφέρεσθαι. καθ' ὃν δὴ Λόγον καὶ ἡ τῇ δεξιᾷ ἀντιδιῃρημένη χεὶρ, ἀριστερὰ παρὰ τὸ ἄριστος κέκληται. ἡ δ' αὐτὴ καὶ εὐώνυμος κατ' εὐφημισμὸν ἑκάτερα.

Καὶ ἄπυρον Θεῖον, τὸ Θεῖον ἄπυρον.

Ὁ Θέαφος Θεῖον μὲν λέγετ), διὰ τὸ καινὸν ἴσως τῆς αὐτοῦ ἐνεργείας καὶ τεράστιον, μετὰ δὲ προσθήκης Θεῖον ἄπυρον, τὸ ὀλιγόπυρον. βραχὺ γὰρ ψαῦσαν πυρὸς, ἀνάπτεται. ἢ ὅτι οὐ χρὴ ἁπλῶς πυροῦσθαι αὐτὸ διὰ τὸ δύσοσμον. ἕτεροι δέφασιν ἄπυρον τὸ ἄκαυστον πρὸς ἀντιδιαστολὴν τοῦ ἐν ὑπονόμοις πυρὶ τελειουμένου. Πλίν: Βιβλ: λέ, Κφ': ιέ.

Ἔνθα μὲν γὰρ, τὸ σεμνὰς, ἔνθα δὲ, τὸ θεῖον προτάττειν σύνηθες.

Ὁ μὲν γὰρ φυσικὸς λόγος τὰ οὐσιαστικὰ τῶν ἐπιθέτων προτάττειν βούλεται, τὰ δὲ τοῦ ἔθους, (σύνηθες γάρ φησιν) ἔστιν οὗ ἐναλλάττει τὴν τῶν μορίων τάξιν. ὡς καὶ Θουκυδ': α', καθεζομένους δέ τινας καὶ ἐπὶ τῶν σεμνῶν θεῶν ἐν τοῖς βωμοῖς ἐν τῇ παρόδῳ διεχρήσαντο. τὰ γὰρ ἐπίθετα οὐμόνον προταττόμενα τῶν οὐσιαστικῶν κατά τινας, ἀλλ' ἁπλῶς ὁ ποτέρας ἂν τύχῃ τάξεως, τῆς ὁμωνυμίας ἀντιδιαστέλλει πάντως τὰ καθ' ὧν λέγεται, ἐφ' ᾧ καὶ ἐπινενόηται κατὰ Ἀπολλώνιον. εἰ μή τις λέγοι τῶν ἐπιθέτων τὰ κατὰ ἀντίφρασιν λεγόμενα δεῖν τῶν οὐσιαστικῶν προτάττεσθαι. τοὺς γὰρ μὴ διὰ ἔθος, ὡς εἴρηται, διὰ δὲ τὴν τῶν ἀσυμβάτως ἐχόντων πρὸς ἄλληλα Στοιχείων σύγκρουσιν (ἐπὶ μὲν τοῦ θεὰς σεμνὰς τῶν δύοιν σσ, ἐπὶ δὲ τοῦ ἄπυρον θεῖον, τοῦ ν, καὶ θ.) οἰομένους τὰ τῆς μεταθέσεως τελεῖσθαι, ἐλέγχει προφανῶς Θουκυδ': συγκρούσας κἂν τῇ μεταθέσει τὸ ν, πρὸς τὸ θ, εἰπὼν σεμνῶν θεῶν. Ἀλλὰ μὴν καὶ κατά τε εὐθεῖαν καὶ αἰτιατικὴν συγκρούσεως μηδεμιᾶς γινομένης, ὁ πότερον ἂν προταχθῇ, ἐπὶ τοῦ σεμναὶ Θεαὶ, ὥσπερ κατά τε γενικὴν καὶ δοτικὴν ἐπὶ τοῦ Θείῳ ἀπύρῳ, καὶ οὕτω γε μὴν τὸ ἐπίθετον τοῦ οὐσιαστικοῦ προτάττειν ἔθος. Λέξεως ἔτι κατὰ Ἀπολλών: καὶ ὅτε ὁ οἰνοφόρος φερέοινος λέγεται, ἢ ὁ οἰκοφόρος φερέοικος. (ἀναλογώτερον γὰρ τὸ οἰκοφόρος ἢ τὸ κατά τινας φερέοικος. εἴγε τῶν ἐν Συνθέσει κατὰ Ἀπολλών: τὰ τέλη ἐπικρατεῖ. ἐπικρατοῦντος γοῦν ἐν μὲν τῷ οἰκοφόρος τοῦ φέροντος, εἴη ἂν ἀκολούθως ὁ οἶκος φερόμενος. ἐν δὲ τῷ, φερέοικος τοῦ οἴκου ἐπικρατοῦντος, ἔσται δήπου φερόμενος μὲν, ὁ φέρων, φέρον δὲ, τὸ φερόμενον, οὗ τί γελοιότερον; καὶ τὰ τῆς ἀναλογίας δὲ, τῶν Ὀνομάτων τὰ τῷ φέρω συντιθέμενα προτάττει ὡς ἐπίπαν τοῦ ῥήματος. ὑδροφόρος. ξυλοφόρος. μαστιγοφόρος. δρεπανηφόρος. σιτοφόρος. θανατηφόρος. ζωηφόρος. θυηφόρος. πλὴν τοῦ φερέπονος. φερέσβιος, καὶ εἴτι ἕτερον.) οἱ ἀνδρόγυνοι, γύνανδροι. θηρικλῆς, κλησιθήρα. πάτροκλος, κλεοπάτρα. τοιοῦτο καὶ τὸ μετάλλα παρὰ τὸ τὰ μὲν ἄλλα. ὑστερολογεῖ δὲ ὁμοίως καὶ εἴ τις τοῦ εὐφραδοῦς χάριν προτάττει τοῦ ὑποκειμένου τὸ κατηγορούμενον. (εἰ γάρ τι καὶ ᾗ πρός τι, ἅμα εἰσὶν ἑκάτερα, κατὰ δευτέραν λέγω ἐπίνοιαν, τῷ γε μὴν Λόγῳ τῆς ὑπάρξεως καὶ κατὰ πρώτην ἐπίνοιαν πρότερον πάντως τὸ ὑπάρχον τοῦ ἐν ὑπάρχοντος, καὶ τὸ ὑφεστὼς τοῦ παρυφεστῶτος εἴτ' οὖν ἐν ὑποστάτου) ἢ τοῦ κατηγορουμένου τὰ συγκατηγορήματα, Προθετόπτωτα λέγω καὶ Ἐπιῤῥήματα. ἢ τοῦ Ῥήματος τὰ τούτου ἐκ τρίτου πτωτικά, ὅτι μὴ τὰ κατὰ ἀναφορὰν τὴν πρὸς τὰ προηγούμενα. τὰ γὰρ ἀναφορικὰ τῶν πτωτικῶν, πλὴν τῆς Ἀντωνυμίας, καὶ ἐκ τρίτου ὄντα, προηγητικὰ τυγχάνει τοῦ Ῥήματος. οὐ μὴν ἀλλὰ καὶ τοῦ κλητικοῦ Λόγου ἢ καὶ τῆς κλήσεως τἄλλα εἴδη τῶν Λόγων προτασσόμενα, καθ' ὑστερολογίαν ἐστὶ καὶ αὐτά.

πρὸ

πρὸ γὰρ παντὸς Λόγου ἐπιστρεπτέον τὸ πρὸς ὃ ὁ Λόγος πρόσωπον πρὸς τὸ ἐξ οὗ ὁ Λόγος. κατὰ δὴ τὸ πρωθύστερον εἴρηται καὶ τὸ, καὶ εἰ μηδὲ δι' ἐν ἄλλο, ἀντὶ τοῦ, εἰ καὶ διὰ μηδ' ἐν ἄλλο. καὶ τὸ, ἱστορεῖ δὲ οὐδεὶς, ὅς τις οὐ τῶν ἁπάντων. Γρηγόρ: εἰς Βασιλ': ἀντὶ τοῦ οὐδείς ἐστι τῶν ἁπάντων, ὅς τις οὐχ ἱστορεῖ.

Καὶ Λόγος, οἷον τὸ καλούμενον πρωθύστερον. οἱ δ' ἄνεσάν τε πύλας καὶ ἀπῶσαν ὀχῆας. (Ἰλ: φ.

Πρῶτον γὰρ οἱ ὀχῆες, τοῦτ' ἔστιν οἱ μοχλοὶ ἀπωθοῦντες, εἶθ' αἱ πύλαι ἀνίεντες. ὃ δηλοῦντες διὰ τοῦ ἄνεσαν, ἤτοι ἀνῆκαν καὶ ἐχαύνωσαν, εἰρήσθω καὶ ἐχάλασαν. ὁ δὲ, τὸ πρῶτον ὕστερον, καὶ τὸ ὕστερον ἔθετο πρῶτον. ὃ καὶ ὑστερολογία ἀκούει κατά τινας. τοιοῦτο καὶ τὸ, ἐν σοὶ μὲν λήξω, σέο δ' ἄρξομαι. πρῶτον γὰρ ἄρχεταί τις, εἶτα παύει. ὡς καὶ τὸ, ἀνδρῶν ἀγορὴ ἡ μὲν, λύει, ἡ δὲ, καθίζει. πρῶτον γὰρ τὸ καθίζειν ἀγορὰν τοῦ λύειν. ὅμοιον καὶ τὸ, ἐτράφησαν καὶ ἐγένοντο. Ἰλ: α. τὸ γὰρ ἐγένοντο πρότερον τοῦ ἐτράφησαν. ὕστερον γάρ τις τρέφεται, γεννηθῆναι φθάσας. καὶ τὸ, ἀνέβη μέγαν οὐνὸν οὔλυμπόν τε. καὶ τὸ, τὰς μὲν ἄρα θρέψασα τεκοῦσά τε. οἱ γὰρ παῖδες τεχθέντες πρότερον, εἶτα τρέφονται. καὶ, αὐτὰρ ὃ εἴσω ἴε καὶ ὑπέρβη λάϊνον οὐδόν. πρῶτον γάρ τις ὑπερβαίνει οὐδόν, εἶτ' εἰσέρχεται. πολλὰ δὲ καὶ ἄλλα τοιαῦτα. τὸ δὲ τοιοῦτο σχῆμα βιωτικῶς καὶ σύγχυσιν διανοίας ὁ Ποιητὴς σχηματίζει. εἰκὸς γὰρ βραχύτι τοῦ ὅλου νοήματος ἐνθυμούμενον, καὶ κατ' αὐτὸ συμπεράναντα τὸν ὅλον λόγον, εἶτά τι προσενθυμηθῆναι κύριον, καὶ προσεπιβαλεῖν καὶ αὐτὸ τῷ λόγῳ, καὶ οὕτω πρωθυστέρως καὶ ἀνάγκην εἰπεῖν.

Δύναμις.

Δύναμιν ἐκληπτέον ἐν ταῦθα, οὐσιῴδη ποιότητα, καθ' ἣν τὰ μὲν, τὰ δ' οὐ πέφυκεν ἐκφωνεῖσθαι καθ' ἑαυτά.

Ἔτι ὃν τρόπον τῶν Στοιχείων τὰ μὲν, Φωνήεντα, τὰ δὲ, Σύμφωνα,

Ἀντὶ τοῦ, ὥσπερ τῶν Στοιχείων τὰ μὲν, οἷόν τε προφέρεσθαι καθ' ἑαυτὰ εἰς ἐντελῆ Συλλαβὴν, τὰ δὲ, οὐκ ἔστιν ἄνευ ἑτέρου τοῦ προενεχθῆναι καὶ Συλλαβὴν ἐντελῆ.

Ταύτῃ καὶ τῶν λέξεων τὰς μὲν, οἷόν τε προφέρεσθαι καθ' ἑαυτὰς, οἷον τὰ προστακτικὰ τῶν Ῥημάτων, καὶ τὰς κλητικὰς τῶν Ὀνομάτων, καὶ Ἀντωνυμιῶν ἔσθ' ὅτε. τὰς δὲ, οὐκ ἔστιν ἄνευ ἑτέρου τοῦ προενεχθῆναι καὶ διάνοιαν ἐντελῆ, οἷον προθέσεις τε καὶ Συνδέσμους,

Τὸ καὶ διάνοιαν ἐντελῆ, ληπτέον κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα κἀπὶ τοῦ α', οἷον, καὶ τῶν λέξεων τὰς μὲν, οἷόν τε προφέρεσθαι καθ' ἑαυτὰς καὶ διάνοιαν ἐντελῆ, κτ': Ἄλλως γὰρ καὶ μὴ καὶ διάνοιαν ἐντελῆ, ὅ ἐστιν οὐχὶ καὶ καὶ τὸ εἶδος καὶ τὴν ποιότητα, φημὶ δὴ τὴν σημασίαν, καὶ δὲ μόνην τὴν ὕλην, τὴν λέξιν λέγω, πᾶσα λέξις ὅιατε καθ' ἑαυτὴν προφέρεσθαι, ὡσπεροῦν καὶ Στοιχεῖον. Ἐντελῆ δὲ πάλιν διάνοιαν ληπτέον ἁπλῶς τὴν ἐξ ὀνόματος καὶ ῥήματος. ἥτις εἰ καὶ πρὸς τὸ ποιὸν εἰ τύχοι, τῆς σχέσεως τοῦ ὑποκειμένου, ἢ τοῦ κατηγορουμένου, ἢ καὶ ἀμφοῖν, ἢ πρὸς τὰ συγκατηγορήματα, ἢ καὶ πρὸς τὸ θατέρου τούτων ἢ καὶ ἀμφοῖν ἀπόλυτον μὲν, ἀόριστον δὲ, ἀτελής ἐστι καθ' ἑαυτὴν, ὥς γε μὴν πρὸς τὴν ἐκ θατέρου τούτων ἀτελῆ ἐντελής ἐστιν, ἐξ ἀμφοῖν συνεστηκυῖα, καὶ μηδενὸς ἑτέρου προσδεομένη κατὰ Πλάτωνα. εἴγε καὶ καὶ τὸν Θεόδωρον ἐξ Ὀνόματος ἁπλῶς καὶ Ῥήματος γί-

γίγνοιτ' ἂν Λόγος τέλειος. τέλειος δὲ, ὡς πρὸς τὸν ἐκ θατέρου τούτων δηλαδὴ ἀτελῆ. παράγε μὴν τῷ Ἀπολλών: τὸ, κατὰ διάνοιαν ἐντελῆ, οὐδαμοῦ κεῖται. φησὶ γὰρ, ὥσπερ τῶν στοιχείων τὰ μὲν, ἀφ' ἑαυτῶν τυγχάνει ἀποτελοῦντα φωνὴν, ὡς εἴρηται, τὰ δὲ, τῇ τούτων συμπλοκῇ ἐκφωνεῖται. ὧν ἄνευ οὐκ ἔχει ῥητὴν τὴν ἐκφώνησιν, τὸν αὐτὸν τρόπον ἐστὶν ἐπινοῆσαι κἀπὶ τῶν λέξεων, ταὐτὸν φάναι τῶν τοῦ λόγου μερῶν. αἱ μὲν γὰρ αὐτῶν φωνηέντων δίκην καθ' ἑαυτὰς ῥηταί εἰσιν, οἷα τὰ Ῥήματα, τὰ Ὀνόματα, αἱ Ἀντωνυμίαι, τὰ Ἐπιῤῥήματα. αἱ δὲ, ὥσπερ σύμφωνα ἀναμένουσι τὰ προειλημμένα φωνήεντα, μὴ δυνάμεναι κατ' ἰδίαν ῥηταὶ εἶναι, ὡς αἱ Προθέσεις, τὰ προτακτικὰ τῶν Ἄρθρων, οἱ σύνδεσμοι. Ἐνοῖς διαιρῶν τὰ τοῦ λόγου μέρη εἰς τὰ καθ' ἑαυτὰ ῥητὰ καὶ τὰ ἄῤῥητα, οὐ προστίθησι τοῖς καθ' ἑαυτὰ ῥητοῖς τὸ κατὰ διάνοιαν ἐντελές. λόγου γὰρ τοῦ τόγε, λέξεως δὲ τὸ ἤτοι σημαίνειν τί, ἢ συσσημαίνειν.

Ἔνθεντοι ἀπορήσεις, τὰ προστακτικὰ τῶν ῥημάτων κλητικῆς, ὡς εἰρήσεται, ἔχοντα σύνταξιν, καθ' ἑαυτὰ ληφθέντα, θατέρου τυγχάνει λειπόμενα τῶν συμπληρούντων τὸν λόγον, ἄρα. ἢ ὅτι καὶ καθ' ἑαυτὰ ληφθέντα, συνενοουμένην οὐχ ἧττον ἔχει τὴν ἤτοι ἀντωνυμικὴν, ἢ ὀνοματικὴν κλητικήν. ὥρισται γὰρ τὰ κατὰ τὸ α', καὶ β', πρόσωπα. διὰ δὴ τὸν αὐτὸν λόγον καὶ τὰ κατὰ τὰς λοιπὰς ἐγκλίσεις, πλὴν τῆς ὑποτακτικῆς, καθ' ἑαυτὰ ἐπὶ α', τε καὶ β', λόγον αὐτοτελῆ συνίστησι, καὶ οὐμόνα τὰ ἐπὶ β', προστακτικά. ὅθεν ἀντὶ τοῦ τὰ προστακτικὰ, τὰ προσωπικὰ τῶν ῥημάτων γραπτέον ἴσως. εἴγε καὶ παρὰ τῷ Ἀπολλωνίῳ, ὅθεν καὶ ταῦτα παρέξεται, Ῥήματα ἁπλῶς κεῖται, οὐχ ὡρισμένως προστακτικά. οὐδὲ γὰρ τὰ προστακτικὰ μᾶλλον κατά τινας, ἢ καὶ τὰ ὁριστικά τε καὶ εὐκτικὰ κατὰ τὸ β', δι' ὅλου διώρισται κατά τε τὸ πρόσωπόν φημι καὶ τὴν διάθεσιν. Εἶεν. Τί δαὶ καὶ ἡ κλητική; τίνα δὴ λόγον καὶ αὐτὴ εἰς ἐντελῆ διάνοιαν προφέρεται καθ' ἑαυτὴν, ἢ καθ' ἑαυτὴν μὲν οὔ, τοῖς δὲ β', τῶν ῥημάτων προσώποις, ὡς εἰρήσεται, συντασσομένη; οὐθὲν γάρτι τῶν αὐτὴν συνεισαγόντων ῥημάτων καθ' ἑαυτὴν καὶ αὐτὴ συνεισάγει. οὐδὲ γὰρ, ὥσπερ τῷ γράφε, καὶ ἁπλῶς τοῖς τε τοῦ β', καὶ τοῦ α', προσώπου ῥήμασι παρυφίσταται τὸ ταυτοπροσωπικὸν πτωτικὸν, οὕτωτοι καὶ τῷ σώκρατες, καὶ ἁπλῶς τοῖς ἐκ α', πτωτικοῖς παρυφίσταταί τι τῶν ταυτοπροσωπικῶν ῥημάτων. ἔστι μὲν οὖν καὶ ταῦτα τῶν ἀπεριστκέπτως τῷ Ἀπολλωνίῳ παρειλημμένων. εἴγε καὶ κατ' αὐτὸν παρὰ θάτερον τῶν ἐμψύχων τοῦ λόγου μερῶν ἐντελὴς ἔννοια οὐκ ἂν γίγνοιτο. εἴη δ' ἂν ἄλλως αὐτοτελοῦς ἐννοίας καὶ ἡ κλητικὴ, ἐνὁριστικῷ τε καὶ εὐκτικῷ λόγῳ συνεισάγουσα καθ' ἑαυτὴν τὸ, ἄκουσον. Τὰς δὲ τῶν Ἀντωνυμιῶν κλητικὰς ἔσθ' ὅτε καθ' ἑαυτάς φησι προφέρεσθαι, καθ' ὅ, τι ἡ τῶν Ὀνομάτων κλητικὴ φθάνει κατὰ τὸ β', πρόσωπον. καὶ περισσόν ἐστιν ἐν Ἀντωνυμίᾳ ἡ κλητικὴ, δι' Ὀνόματος τῆς κλήσεως καὶ τῆς ἐπιστροφῆς δυναμένης γίγνεσθαι. ἀγνοουμένων δέ ποτε τῶν ὀνομάτων, ὦ οὗτός φαμεν, καὶ ὦ αὕτη.

Αἱ γὰρ τοιαῦται λέξεις

Αἱ μὴ οἷαί τε καθ' ἑαυτὰς προφέρεσθαι.

Αἰεὶ συσσημαίνουσι, προσκείμεναι δηλονότι ἑτέροις. ὅθεν δὴ αἱ σημασίαι τούτων μεταπίπτουσι πρὸς τὴν τῶν συναπτομένων αὐτοῖς δύναμιν δηλονότι.

Σημαίνειν μὲν λέγεται κατὰ τοὺς παλαιοὺς, ὅσα καθ' ἑαυτὰ προφερόμενα, σημαίνει τί, συσσημαίνειν δὲ, ὅσα καθ' ἑαυτὰ μὲν οὔ, ἑτέροις δὲ συμφερόμενα, δύναταί τι σημαι

μαίνειν. ὅθεν τὰ Ἄρθρα αἱ Προθέσεις, καὶ οἱ Σύνδεσμοι σημαίνειν μὲν οὐ λέγονται, συσσημαίνειν δὲ, διὰ τὸ τὰς τούτων ἀνειδέους σημασίας μεταβαίνειν καὶ προσχωρεῖν εἰς τὴν τῶν συναπτομένων αὐτοῖς δύναμιν, κἀκεῖθεν εἰδοποιεῖσθαι. δῆλον δ' ἐντεῦθεν ὡς αἱ Προθέσεις βαρύνονται, ὡς ἐν τῷ γ', φησὶν ἐν τῷ, τόνος καὶ χρόνος Ἄρθρου καὶ Προθέσεως, οὐ μὴν ὀξύνονται κατά τινας. πῶς γὰρ; αἱ καθ' ἑαυτὰς μηδέ ποτε πεφυκυῖαι προφέρεσθαι, ἑτέροις δ' ἀεὶ συμφερόμεναι; δι' ὃν δὴ Λόγον τὸν ἐν τῇ ληγούσῃ τόνον εἰς βαρεῖαν ἀεὶ μεταμείβουσιν, ὡς ἂν ἔχωσι καθ' ὁμαλισμὸν ἀναγινώσκεσθαι.

Οἷον ἡ μετὰ, ἕτερον μὲν, τῇ αἰτιατικῇ συναπτομένη,

Τὸ σησσημαίνει, ἀπὸ κοινοῦ.

Ἕτερον δὲ, τῇ γενικῇ.

Τὰ γοῦν τοιαῦτα τῶν μορίων ἀεὶ σησσημαίνει. εἴ γε ἐν γενικῇ μὲν λέγομεν δι' Ἀπολλωνίου, ὡσεὶ γινώσκοντος, ἢ συνεργοῦντος Ἀπολλωνίου. κατὰ δὲ αἰτιατικὴν δι' Ἀπολλώνιον, ὡς ἂν αὐτοῦ αἰτίου ὄντος.

Καὶ σὺν τοῖς Ῥήμασιν.

Τὸ τασσομένη ἡ Πρόθεσις, ἀπὸ κοινοῦ, οἷον, ἕτερον μὲν, τοῖς Ὀνόμασι συντασσομένη συσσημαίνει, ἄλλο δὲ, τοῖς Ῥήμασιν. ἢ καὶ οὕτως, ὃ καὶ βέλτιον, ἡ αὐτὴ Πρόθεσις ἕτερον μὲν, τῷ δὲ τῷ Ῥήματι συντασσομένη, ἄλλο δὲ, τῷ δὲ. οἷον ἡ διὰ, τῷ μὲν γράφω ἀναίρεσιν, τῷ δὲ στέλλω διαίρεσιν.

Ὁμοίως καὶ τοῖς Συνδέσμοις.

Καὶ οἱ Σύνδεσμοι δὲ πρὸς τὰς τῶν Λόγων συντάξεις, ἢ ἀκολουθίας τὰς ἰδίας δυνάμεις παρεμφαίνουσιν, ἄλλο τε ἄλλως κατὰ τὸ δέον ἐκλαμβανόμενοι. ὁτὲ μὲν γὰρ, συμπλεκτικὸς ἀκούεται ὁ ἤτοι. ἤτοι ὅ γ' ὡς εἰπὼν, κατ' ἄρ' ἕζετο. Ἰλιᾶ. ἐν ἴσῃ γὰρ δυνάμει τοῦ μὲν, παρείληπται. δι' ὃ καὶ κατὰ τὴν ἑξῆς συμπλοκὴν ἀναγκαίως ἐπηνέχθη ὁ δὲ, ἐν τῷ, τοῖσι δ' ἀνέστη. ὁτὲ δὲ, διαζευκτικὸς, ὅτε καὶ συνεπαγόμενον ἔχει τὸν ἤ. ἤτοι νέος ἐστὶν, ἠὲ παλαιός. τῇδε ἔχει καὶ τὰ Ἄρθρα. συμφερόμενα μὲν γὰρ τοῖς Ὀνόμασι, τὴν ἑαυτῶν δύναμιν ἐπαγγέλλεται, μὴ ἔχοντα δὲ τῇδε, μεθίσταται εἰς τὰς Ἀντωνυμίας, ὡς ἐν τοῖς κατὰ μέρος ἔσται δῆλον. ἔνθα καὶ ἐπιδείξομεν τὸ αἴτιον. καθ' ὃ καὶ ἐπ' ἄλλων μερῶν τοῦ Λόγου ταὐτὸ παρακολουθεῖ. οὐ μὴν ἀλλὰ καί τινων ἐπιθέτων Ὀνομάτων ἡ κατὰ τὸ Οὐδέτερον θέσις εἴτ' οὖν λῆψις μετὰ τῶν Ῥημάτων τιθεμένη, ἀνάρθρως μὲν, Ἐπιρρηματικῶς ἀκούεται ἤπερ Ὀνοματικῶς. οἷον ταχὺ παρεγένου. τάχιον διαλέγου. εὐρὺ ῥέει. ὥστε καὶ τὰ συντάξεως Ἐπιρρηματικῆς τυχόντα πτωτικὰ, τὸν τόπον ἀπενεγκάμενα τοῦ Ἐπιρρήματος, ἄκλιτα διαμένει, τὸ μοναδικὸν τῶν Ἐπιρρημάτων μιμούμενα. οἷον, ταχὺ ἐλθὸν παιδίον, ταχὺ ἐλθόντος, ταχὺ ἐλθόντι, καὶ τὰ τοιαῦτα καθ' ἕνα μόνον σχηματισμὸν λέγεται. τῇδε τῶν Ἄρθρων παραθέσει τὰ Ἐπιρρηματικῶς πάλιν νοούμενα πτωτικὰ, εἰς τὴν Ὀνοματικὴν ὑποστρέφει σύνταξιν. τὸ γὰρ, ταχὺ ἐλθὸν παιδίον, δυνάμενον ἀκούεσθαι ταχέως ἐλθὸν, προσλαβὸν τὸ Ἄρθρον, ἀποβάλλει τὴν Ἐπιρρηματικὴν σύνταξιν. τὸ ταχὺ ἐλθὸν παιδίον, ὠφέλησεν ἡμᾶς. τὸ εὐρὺ ῥέει. Καὶ τὰ μέρη δὲ ὁμοίως τοῦ Ὀνόματος καὶ τοῦ Ῥήματος, εἴτ' οὖν αἱ Συλλαβαὶ, συσσημαίνειν μὲν ἀλλήλαις λέγονται, σημαίνειν δέτι τῶν μερῶν ἕκαστον οὐδαμῶς. καὶ τὰ μὲν τῶν ἁπλῶν Ὀνομάτων ἢ Ῥημάτων μέρη, οὐδὲ κἂν γοῦν δόκησιν ἔχει τοῦ καθ' ἑαυτὰ εἶναι σημαντικὰ, τὰ δὲ τῶν συνθέτων,

φαν-

φαντασίαν μέν τινα τοῦ σημαίνειν παρέχει, οὐ μέν τοι σημαίνει κατά γε τὸ ἀληθές. μέρη γὰρ ὄντα τῆς οἰκείας ὁλότητος, καὶ ταύτης ἀποσπασθέντα, νεκρὰ κατὰ τὸ σημαινόμενον γίνεται. οὐ μὴν ἀλλὰ καὶ αὐτὰ τὰ ἐμψυχότατα τοῦ Λόγου μέρη, τὸ ἐν προτάσει φημὶ Ὄνομα καὶ Ῥῆμα, αὐτὰ καθ' ἑαυτὰ καὶ μὴ κατὰ συμπλοκὴν προφερόμενα, οὐδέν τι σημαίνειν δύναται εἰς διανοίαν, ὡς εἴρηται, ἐν τελῆ τοῦ ἀποφαντικοῦ Λόγου, κἂν μυριάκις τούτων ἑκάτερον καθ' ἑαυτὸ τύχοι λεγόμενον. (ὅτι μὴ τῶν Ῥημάτων τὰ ἐπὶ α', τε καὶ β', καὶ τῶν γ', ὅσα ἐπὶ ὡρισμένου λέγεται. οἷς τὸ τῆς διανοίας αὐτοτελὲς ἐκ τῆς κατὰ δύναμιν ἀκολουθεῖ συμπλοκῆς.) συμπλακέντα δ' ἀλλήλοις, ἀεὶ συσσημαίνουσιν αὐτοτελές τι νόημα. ἐν δὲ τῷ, συναπτομένων αὐτοῖς, αὐταῖς γραπτέον, ταῖς Λέξεσι δηλαδή.

Ἡ μὲν οὖν

Ἀντὶ τοῦ καθ' ὅ, τι πάθος.

Ἀλλήλοις ὅμοια Στοιχεῖον καὶ συλλαβὴ καὶ Λέξις καὶ Λόγος, εἰρήσθω ἐπὶ τοσοῦτον.

Ἡ μὲν μέχρι τοῦδε ὁμοιότης, τῶν δ', ἡ κοινὴ, ἡ δὲ ἐφεξῆς ἀναλογία, τῶν δυοῖν μόνων, λόγου λέγω καὶ Λέξεως. λέγω δὴ τὸ παρὰ τὴν ποιὰν τῶν ἐξ ὧν ἑκάτερον σύγκειται σύνθεσιν ὀρθῶς ἔχειν καὶ μή.

Ἀνάλογον.

Κοινὸν δ' ἀνάλογον Λόγου καὶ Λέξεως, τὸ τὸν μὲν Λόγον παρὰ τὴν ποιὰν τῶν Λέξεων σύνθεσιν ὀρθῶς ἔχειν, καὶ μὴ, τὴν δὲ Λέξιν παρὰ τὴν τῶν Συλλαβῶν καὶ Στοιχείων.

Τῆς Λέξεως καὶ τοῦ Λόγου τὸ ὀρθὸν, ἢ μὴ, ἐκ τῆς ποιᾶς συμπλοκῆς τῶν ἑκάτερα ξυντιθέντων συμβαίνει. ὃν γὰρ ἔχουσι Λόγον, εἴτ' οὖν σχέσιν, τὰ Στοιχεῖα μὲν, πρὸς τὴν ἐξ αὐτῶν Συλλαβὴν, αἱ Συλλαβαὶ δὲ, πρὸς τὴν ἐξ αὐτῶν Λέξιν, τὸν αὐτὸν ἔχουσι καὶ αἱ Λέξεις πρὸς τὸν ἐξ αὐτῶν Λόγον. ἀλλὰ μὴν τά τε Στοιχεῖα καὶ αἱ Συλλαβαὶ τὴν ποιὰν ἔχουσι σύνθεσιν πρὸς τὴν ἐξ αὐτῶν Λέξιν, τὴν ποιὰν ἄρα καὶ αἱ Λέξεις ἔχουσι σύνθεσιν πρὸς τὸν ἐξ αὐτῶν Λόγον. ἐκ γὰρ τῆς ποιᾶς ταύτης συνθέσεως ὀρθῶς ἔχει, ἢ μὴ, τῆς μὲν τῶν Λέξεων, ὁ ἐξ αὐτῶν Λόγος, τῆς δὲ τῶν Στοιχείων καὶ Συλλαβῶν, ἡ ἐξ αὐτῶν Λέξις. σολοικισμὸς ἄρα καὶ βαρβαρισμὸς ἀνάλογά εἰσιν. εἴγε ἀναλογία ἐστὶ Λόγων εἴτ' οὖν σχέσεων δυοῖν ὁμοιότης.

Ἐπὶ μὲν οὖν τῶν δ', ὅμοιόν τι μόνον ἦν θεωρεῖν, οὐ μὴν καὶ ἀνάλογον, ἐπὶ δὲ τῶν δυοῖν, καὶ ἀνάλογον. τὸ δὲ παρὰ τὴν ποιὰν, ἀντὶ τοῦ διὰ τὴν τοιάνδε ἢ τοιάνδε. τὸ γὰρ ὡδίπως, ἢ ὡδὶ συγκεῖσθαι τοῦ Λόγου τὰ μέρη, καὶ ἡ τοιάδε, ἢ τοιάδε τῶν Συλλαβῶν, ἢ Στοιχείων πρὸς ἄλληλα συμπλοκὴ, ποιὰ σύνθεσις λέγεται, ἀπὸ τῆς ποιότητος. καθ' ἣν ποιοίτινες εἶναι λεγόμεθα. τοιοῦτοι δηλαδὴ, ἢ τοιοῦτοι. ποιὰν δὲ τῶν Λέξεων σύνθεσιν, οὐ τὴν κατὰ τὰς εἰδικὰς φησι διαφορὰς τῆς συνθέσεως, πολλάς τε οὔσας σφόδρα, καὶ εἰς σύνοψιν ἐλθεῖν ἀδυνατούσας. ὥσπερ γὰρ ὄψεως, οὕτω τοι καὶ συνθέσεως Ὀνομάτων ἴδιος χαρακτὴρ ἑκάστῳ παρακολουθεῖ τῶν γραφόντων. καὶ ὥσπερ οἱ τὰ ζῷα γράφοντες, τὰ αὐτὰ χρώματα λαμβάνοντες, οὐδὲν ἐοικότα ποιοῦσιν ἀλλήλοις τὰ μίγματα, οὕτω καὶ οἱ Λογογράφοι τοῖς αὐτοῖς Ὀνόμασι χρώμενοι, οὐχ ὁμοίως αὐτὰ συντιθέασιν. οὔκουν τὴν κατὰ τὰς εἰδικὰς, ἀλλὰ τὴν κατὰ τὰ παρεπόμενα, Γένος λέγω, Ἀριθμὸν, Πτῶσιν, Πρόσωπον, Χρόνον, κτ': τοίνυν ἐκ τοῦ ὡδίπως, ἢ ὡδὶ συγκεῖσθαι τὰς Λέξεις, κἂν

τοῦ

τοῦ τοιῶσδε, ἢ τοιῶσδε τά τε Στοιχεῖα καὶ τὰς Συλλαβὰς, τὸ ὀρθὸν, ἢ μὴ, τοῦτε Λόγου καὶ τῶν ἐξ ὧν ὁ Λόγος συμπαρίσταται. διάφορος γὰρ ἥ τε τῶν Συλλαβῶν γίνεται σύνταξις καὶ Λόγον τῶν πολλῶν τε καὶ διαφόρων ἐπιπλοκῶν τῶν Στοιχείων, καὶ ἡ τῶν Λέξεων καὶ Λόγον τῶν αὐταῖς παρεπομένων.

Ὅ, τε γὰρ βαρβαρισμὸς ἁμάρτημα περὶ Λέξιν ἐστὶν, ὅ, τε σολοικισμὸς ἁμάρτημα περὶ Λόγον.

Ὁρισμοὶ τοῦτε βαρβαρισμοῦ καὶ τοῦ σολοικισμοῦ. ὥσπερ δὲ τὸ περὶ τὴν γραφὴν τῶν Λέξεων ἁμάρτημα, ἤτοι προφανές ἐστι καταλαβέσθαι διὰ τῆς ἀκοῆς, ἡνίκα καὶ πλεονασμὸν, ἢ ἔνδειαν, ἢ μετάθεσιν, ἢ ἐναλλαγὴν προφέρονται, ἢ ἀδήλου τοῦ τοιοῦτου ὄντος, ἡ καὶ τὸν λογισμὸν ἐξέτασις κατορθοῖ, εἴτ' οὖν διορθοῦται, ἣν καλοῦμεν Λόγον τὸν περὶ ὀρθογραφίας, οὕτω κἀντοῖς Λόγοις. ἐπειδὰν γὰρ τὰ μὴ δέοντα τῶν Λέξεων ἐπισυναφθῇ, τὸ τοιοῦτο καλοῦμεν σολοικισμὸν, ὡς τῶν Στοιχείων τοῦ Λόγου ἀκαταλλήλως συνελθόντων, καὶ τὸν σόον εἴτ' οὖν ὀρθὸν Λόγον αἰκιζόντων. εἴπερ οὖν ἐστι μαθεῖν τἀκριβὲς τῆς γραφῆς, μαθεῖν ἄρ' ἐστὶ καὶ τἀκριβὲς τῆς τοῦ Λόγου Συντάξεως, ἀλλὰ μὴν τὸ α', ἄρα καὶ τὸ β'.

Βαρβαρισμός.

Ὁ Βαρβαρισμὸς ἁμάρτημά ἐστι προφορᾶς ἐν Λέξει παρὰ Προσῳδίαν, ἢ γραφὴν, ἢ διάλεκτον. ὁ δὲ παρὰ διάλεκτον, σαρκασμὸς λέγεται κωμικώτερον.

Καὶ τετραχῶς μὲν ὁ Βαρβαρισμὸς, τοσαυταχῶς δὲ καὶ ὁ σολοικισμός.

Οὐ μόνον δὲ, ἀλλὰ καὶ οἰαχῶς ὁ Βαρβαρισμὸς, τοιαυταχῶς καὶ ὁ Σολοικισμός.

Ἢ γὰρ ἐνδείᾳ

Στοιχείου, ἢ Συλλαβῆς. αὐτὰ δὲ ταῦτα ἐκληπτέον κἀπὶ τῶν λοιπῶν τρόπων τοῦ Βαρβαρισμοῦ. ἐπὶ δὲ τῶν τοῦ σολοικισμοῦ, τὴν Λέξιν.

Βαρβαρίζων τις ἐλέγχεται. Δημοσθένους, Δημοσθένου. γεγράφασι, γέγραφαν, ἢ πλεονασμῷ. αἰσχίνου, αἰσχίνους. κοιμᾷ, κοιμᾶσαι.

Οἱ γὰρ τόποι, καθ' οὓς ἕκαστον τούτων ἀνάγεται, τῶν μὲν, πλεονασμὸν κατηγορεῖ, τῶν δὲ, ἔνδειαν, τῶν δὲ, ἐναλλαγήν.

Τοιοῦτο δὲ καὶ τὸ διαιρούμενον φαύλως, κοῖλον, κόϊλον.

Τὰ μὲν γὰρ ἐξ ἁπλῶν εἴτ' οὖν διῃρημένων συνῃρημένα, καλῶς ἂν ἔχοι εἰς αὐτὰ πάλιν ἀναλύεσθαι, ὡς τὸ Ἑρμῆς, εἰς τὸ ἑρμέας. καὶ τὸ βέλη, εἰς τὸ βέλεα. τὰ δὲ μὴ οὕτως ἔχοντα, φαύλως ἂν διαιροῖτο. οἷον καὶ τὸ παῖς, πάϊς.

Ἢ Μεταθέσει. κρόταφον. κότραφον. δίφρον, δρίφον.

Μετήμειψε γὰρ, ὡς εἴρηται, τὴν οἰκείαν Συλλαβὴν τὸ Στοιχεῖον.

Ἢ ἐναλλαγῇ. φιάλη, φιέλη. ὕαλον, ὕελον. αἰνείου, αἰνεία. καὶ περὶ Προσῳδίαν. φίλος, φιλός. μισθωτὸς, μίσθωτος.

Συμβαίνει δηλονότι καὶ περὶ τὴν Προσῳδίαν ἁμάρτημα τοῦ Βαρβαρισμοῦ. ἧς τὸ ἐπισυμβαῖνον ἁμάρτημα, πρὸς δὲ καὶ τὸ τοῦ χρόνου τε καὶ τῆς γραφῆς, ἐπίτου τῶν ἐκτεθέντων δ', τρόπων ἀνακτέον. παρὰ γὰρ τούτους οὐκ ἔστιν εὑρεῖν καὶ ἄλλον τρόπον τοῦ καὶ τὸν Λόγον ἢ τὴν Λέξιν ἁμαρτήματος. τὸ μὲν οὖν φιλὸς καὶ μί-

Ἁμάρτημα. Λέξεως μεν, ὁ Βαρβαρισμός, Λόγου δε, ὁ Σολοικισμός. ὧν ἑκάτερα τετραχῶς. Ἐνδεία, Πλεονασμῷ, Ἐναλλαγῇ, Μεταθέσει, Στοιχείου μεν, ἢ Συλλαβῆς, ὁ Βαρβαρισμός, Λέξεως δε, ὁ Σολοικισμός.

μίσθωτος, μεταθέσει τῇ κατὰ Προσῳδίαν ἡμάρτηται, τὸ δὲ νῖκος, τῇ κατὰ χρόνον τε καὶ γραφὴν ἐνδείᾳ.

Καὶ περὶ χρόνον τε καὶ γραφὴν. νῖκος τῷ ῑ, δέον τῇ εῖ. περὶ ὧν ἄρα καὶ εἴρηται πρότερον τὸ ὀρθόν.

Ἐν τῷ γ', ἄριστά τε καὶ ἀκριβέστατα. τῶν δὲ δ', τούτων ἡμαρτημένων τρόπων, οἱ μὲν δύω εἰσὶ τοῦ ποσοῦ, ἔνδεια καὶ πλεονασμός. οἱ δὲ λοιποὶ δύω, τοῦ ποιοῦ. Ἱστέον δὲ ὅτι τοῦ Σολοικίζειν καὶ Βαρβαρίζειν διαφερόντων παρὰ τοῖς ὕστερον, ὅμως ἄλλως ταυτίζοντες ἀμφότερα οἱ παλαιοὶ, τοὺς Βαρβάρους Σολοίκους ἔλεγον, προφέροντες εἰς χρῆσιν Ἱππώνακτος μὲν τὸ, καὶ τοὺς Σολοίκους ἵν' ἐθέλωσι περνᾶσιν, ἀνακρέοντος δὲ τὸ, Σόλοικος φθόγγος. ὅπερ ἐστὶ Βαρβαρικὸς, τὸ δὲ Βάρβαρον ἐξεφωνήθη τὰς ἀρχὰς ἐπὶ τῶν δυσεκφόρως καὶ σκληρῶς καὶ τραχέως λαλούντων, ὡς καὶ τὸ Βαρβαρίζειν καὶ τὸ τραυλίζειν. Τῶν δὲ τραχυστομούντων ἐντεῦθεν Βαρβάρων λεγομένων, ἐπειδὴ καθ' ὅλην οἱ Κᾶρες ἐπλανήθησαν τὴν Ἑλλάδα, μισθοῦ στρατεύοντες καὶ ἠγνωρίσθησαν, πυκνὸν ἦν ἐπ' αὐτοῖς τὸ Βαρβαρόφωνον, καὶ Βαρβαρίζειν ἐκεῖθεν ἐλέγετο τὸ οἷον καρίζειν. ἐντεῦθεν δέφησιν ὁ Γεωγράφος Διονύσιος κατεχρησάμεθα ἐθνικῷ κοινῷ Ὀνόματι, ἀντιδιαιροῦντες Βαρβάρους πρὸς Ἕλληνας οὐκ ἔτι διὰ παχυστομίαν ἢ τραχυστομίαν καὶ ἀφυΐαν φωνητικῶν ὀργάνων, ἀλλὰ κατὰ διαλέκτων ἀνομοιότητα. πρῴην δὲ οὐκ ἦν τοῦτο. Θουκυδ': οὖν ἐν τῇ α', φησὶ μὴ λέγεσθαι Βαρβάρους, διὰ τὸ μηδὲ Ἕλληνάς πω εἰς ἓν ἀποκεκρίσθαι ἀντίπαλον Ὄνομα.

Σολοικισμός.

Ὁμοίως δέτοι καὶ ὁ Σολοικισμός.

Ο.

Τὸ λέγειν, τοσαχῶς δὲ καὶ ὁ Σολοικισμὸς, τοῦ ποσοῦ ἐστι, τε τραχῶς δηλαδὴ, τὸ δὲ, ὁμοίως δέτοι, κτ': τοῦ ποιοῦ ἐστιν, ἢ ἐνδείᾳ δηλαδὴ, ἢ πλεονασμῷ καὶ ἑξῆς. Ἀλλ' ἀπορήσεις, τὸν ἁμάρτημα Σολοικισμοῦ φυλάξασθαι βουλόμενον, δέον εἰδέναι πρότερον τὸ καταλλήλως ἐπιπλέκειν πρὸς ἄλληλα τὰ τοῦ Λόγου μέρη. ὁ γὰρ εἰδὼς τὸν Σολοικισμὸν, πολὺ πρότερον οἶδε τὴν τοῦ Λόγου ὀρθοέπειαν. ταύτης δ' ἐπὶ τοῦ παρόντος ἀγνοουμένης, εἰς μάτην ἂν εἴη ὁ Θεόδωρος τὰ τοῦ Σολοικισμοῦ προϋποτιθεὶς, μὴ προεκθέμενος πῶς ἄν τις συντάσσων τὰ μέρη πρὸς ἄλληλα, κατάλληλον ἀποτελοίη τὸν Λόγον. ὥσπερ γὰρ ἔφη ἐν τῷ περὶ Βαρβαρισμοῦ, περὶ ὧν ἄρα καὶ εἴρηται πρότερον τὸ ὀρθὸν, καὶ ἐν οἷς λέγει, περὶ αὐτοῦ πρότερον τοῦ καταλλήλου ῥητέον κοινῇ, εἶτα περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ Θεωρητέον τὸ ὀρθόν τε καὶ μὴ, οὕτως ἔδει ἀναγκαίως μετὰ τὴν τοῦ ὀρθοῦ Λόγου διδασκαλίαν, οὐ μὴν πρὸ αὐτῆς τὴν τοῦ ἐναντίου ἐκθέσθαι φυλακήν. τὸ δὲ λέγειν τῶν ἐναντίων τὴν αὐτὴν εἶναι ἐπιστήμην, ἔχετο μὲν καὶ παρὰ τοῖς Γραμματικευομένοις Λόγου, ἀλόγως γε μὴν ἐνταῦθα προβάλλεται, δέον μετὰ τὴν τοῦ ὀρθοῦ Λόγου διδασκαλίαν λέγεσθαι. ὁ γὰρ οἰκοδόμος τὰν λίθον ποτὶ τὰν σπάρταν ἄγει, οὐ τὰν σπάρταν ποτὶ τὰν λίθον, τῇ σπάρτῃ διευθύνων τὸ τοῦ τοίχου διάστροφον, οὐχὶ τούτῳ τὴν σπάρτην. τῷ μὲν γὰρ εὐθεῖ καὶ αὐτὸ καὶ τὸ καμπύλον γινώσκομεν. κριτὴς γὰρ ἀμφοῖν ὁ κανών. τὸ δὲ καμπύλον, οὔθ' ἑαυτοῦ, οὔτε τοῦ εὐθέος. (κριτικόν. Ἀριστ'λ: α', περὶ ψυχῆς) οὐδὲ γὰρ οἷόν τε εἰδέναι τὸ Σόλοικον, τὸ ὀρθὸν μὴ προειδότας. Ἢ ὅτι οὐδόλως περὶ Σολοικισμοῦ καθ' αὑτὸ ἦν αὐτῷ ὁ Λόγος ἐνταῦθα, καθάπερ τινὲς ἀποπλανηθέντες, παραθέσει διαφόρων σολοικισμῶν ἐνταῦθα μάτην ἐχρήσαντο, μὴ διδάξαντες τί τὸ-

ποιοῦν ἐστι τὸ ἀκατάλληλον, ὅπερ εἴτις μὴ συνείδοι, εἰς οὐδὲν συντείνουσαν ἕξει τὴν τῶν σολοικισμῶν παράθεσιν. οὐδὴ οὖν, ὡς εἴρηται, περὶ σολοικισμοῦ καθ' αὑτὸ εἰπεῖν πρόκειται ᾧδε τῷ Θεοδώρῳ, ἀλλὰ ποσαχῶς ὁ Σολοικισμὸς. τοῦτ' ἔστι τὴν τῶν τρόπων ποσότητα τούτου μόνον ἐκτίθεται, ὡς ἂν ἔχοις διαγνῶναι πρῶτον μὲν, ὅτι δ', οἱ τούτου τρόποι, ἔπειτα, πόιῳ τρόπῳ ἀνακτέον ἐστὶ τὸ περὶ τὸν Λόγον συμβαῖνον ἁμάρτημα ἐκ τῆς τοῦ ὀρθοῦ λόγου παρατροπῆς. ὃν ἐν τοῖς ἑξῆς παραδίδωσι. τὰ μὲν γὰρ, ἐν κεφαλαίῳ λέγεται, τὰ δὲ, καθ' ὃν τρόπον γίνεται, ἡμῖν παραδίδοται. ἐνταῦθα οὖν, τὸ ποσαχῶς ὁ Σολοικισμὸς, ἐφεξῆς δὲ καὶ, τὸ πῶς, εἰδικώτερον παραδίδοται.

Ἢ γὰρ ἐνδείᾳ.

Ἀπὸ κοινοῦ τὸ, Λέξεως, ὅ ἐστι μέρους Λόγου, ἤτου τῶν παρεπομένων, σολοικίζων τις ἐλέγχεται. Εἴπερ κατὰ σχῆμα Λόγου τὸν συντακτικὸν αὐτὸν Λόγον, καὶ τὰ ἐξ ὧν ὁ Λόγος συνέστηκεν, ἐλλείπειν τε καὶ πλεονάζειν καὶ μετατίθεσθαι ἀναμαρτήτως ἐν τοῖς φθάσασι δεδιδάγμεθα, πῶς ἄν τις ἐν αὐτοῖς τούτοις πάλιν τοῖς πάθεσιν, εἴτ' οὖν σχήμασι Βαρβαρίζων, ἢ Σολοικίζων ἐλέγχοιτο; εἰ μὲν γὰρ ταῦτα ἡμάρτηται διὰ τὰ ἐπισυμβαίνοντα, κἀκεῖνα δήπου διὰ τὸν αὐτὸν Λόγον, εἰδ' ἐκεῖνα αἰτίας ἀπήλλακται, τί ὅτι ταῦτα ἁμαρτήματι ὑποπέπτωκεν; Ἢ ὅτι τὰ μὲν Σολοικοβάρβαρα ὑπὸ διαφόρων κανόνων ἐλέγχεται ἀκαταλλήλως ἔχοντα, τὰ δὲ προληφθέντα τῶν σχημάτων μὴ ἔκτου κανόνος ἐλεγχόμενα, οὐ μόνον Σολοίκου γραφῆς αἰτίαν ἐκπέφευγεν, ἀλλὰ καὶ τοῖς πλείοσι τῶν ἀττικιστῶν ἐν μοίρᾳ κεῖται λαμπροῦ καλλωπίσματος. πολλὰ γὰρ τοιαῦτα παρὰ τοῖς ἐνδοξοτέροις τῶν τε Ποιητῶν καὶ Λογογράφων. μή γε μὴν εἰς κόρον ταῦτα, καὶ μάλιστα τὸ τῆς ἐλλείψεως εἶδος, μηδὲ εἰς ἐκτοποτάτην τομὴν τοῦ συνήθους καὶ παρατροπὴν ἐκβιάζεσθαι. πεσεῖται γὰρ ἂν, εἴπερ, ὑπὸ ἐπιτίμησιν ὑπὸ τῶν ἐπιστήμην ἐχόντων κρίνειν τὰ τοιαῦτα.

Ἔρχονται πεδίοιο. ἐνδεῖ γὰρ ἡ διά.

Πᾶς Λόγος οὐκ ἀκριβῆ τὴν ὁμιλίαν ἔχων, ἀπαιδευσίας φέρει τεκμήριον. ὅθεν τοὺς πειρωμένους τὴν Γραμματικὴν ἀκρίβειαν μεταδιώκειν, ἀναγκαιόν ἐστιν ἄπταιστον τὴν προφορὰν τοῦ λόγου ποιεῖσθαι, εἰδότας τὴν ἐν αὐτῇ γενομένην ἁμαρτίαν, ἧς αἱ κακίαι τρεῖς περὶ τὸν Λόγον διατελοῦσι, Βαρβαρισμὸς, Σολοικισμὸς καὶ Ἀκυρολογία. καὶ περὶ μὲν Βαρβαρισμοῦ ἐν τοῖς πρὸ τούτου δὴ εἴρηται, Ἀκυρολογία δέ ἐστι τὸ μὴ κεχρῆσθαι τοῖς ἰδιάζουσι, καὶ ὅσα προσφυῶς ἀφώρισται τοῖς πράγμασι. περὶ ἧς τάτε Λεξικὰ καὶ τὸ καίσαρι Κομμόδῳ συγγραφὲν Ὀνομαστικὸν τοῦ Πολυδεύκους, ἐφ' οἷς καὶ αἱ τῶν Λέξεων συλλογαὶ Φρυνίχου τε καὶ ἄλλων συνοψίζουσιν. ἡμῖν δ' ἐπὶ τὴν τοῦ Σολοικισμοῦ καὶ τῶν αὐτοῦ τρόπων ἔρευναν, εἰ καὶ μὴ εὐκαίρως, ἀλλ' οὖν βαδιστέον τῷ Λόγῳ, ἐφ' ἑνὸς ἑκάστου ἐπιστήσαντας, ἐκθέσθαι τὴν τοῦ ἀκαταλλήλου αἰτίαν, ἀπὸ τῆς ἐνδείας αὐτῆς ἀρξαμένους.

Τὸ γοῦν ἔρχομαι, αὐτοενεργητικὸν μὲν, τῶν δὲ, κατ' αἴσθησιν ἀναληπτικῶν μὴ ὂν, γενικὴν οὐ προσίεται. ἀτελὲς δὲ τυγχάνον, ἀπαιτεῖ τὸ εἴς τι, ἢ τὸ διάτου, ὡς ἐν τοῖς ἑξῆς ἔσται δῆλον. ἡ ἄρα τούτῳ προσκειμένη γενικὴ, μὴ οὖσα τούτου συντακτικὴ, ἀκατάλληλον ὑπεμφαίνει τὴν σύνταξιν, ἐλλείπουσα προθετικοῦ τοῦ μορίου εἰς τοῦ Λόγου τήν τε αὐτοτέλειαν καὶ τὴν Σύνταξιν.

Ἡ πλεονασμῷ. ἐξ Οὐρανόθεν. πλεονάζει γὰρ ἡ ἐξ.

ὡ-

Ὥσπερ ἐν τῷ, πόλεμόνδε. πυθώδε. φύγαδε. Ἀθήναζε. οἴκαδε καὶ τοῖς ὁμοίοις εἰς τὴν δὲ, Συλλαβὴν ἐπεκτεινομένοις, λαμβάνεται ἔξωθεν Πρόθεσις χάριν Συντάξεως ἐν τελοῦς, ὁποῖόν τι γίγνεται κἀντῷ, τὸ δ' ἱκάνει. ἤγουν εἰς τόδε τὸ χωρίον. κἀτῷ τῇδε, ὅ ἐστιν ἐν ταύτῃ, τῇ ὁδῷ τυχὸν, ἢ τῇ κώμῃ, ἢ καὶ αὐτὴν ταύτην τὴν δὲ, ἐπέκτασιν δυνατὸν ἐκλαβεῖν αὐτὶ τῆς εἰς, Προθέσεως ἐξ ἀντιστρόφου κατὰ τὸν βαθὺν Εὐστάθ: οὕτω κἀντοῖς εἰς θεν, ἐπεκτεινομένοις, οἷον Οὐρανόθεν, Ἰλιόθεν, οἴκοθεν, καὶ τοῖς ὁμοίοις, τῆς θεν, ἐπεκτάσεως αὐτὶ τῆς ἀπὸ, Προθέσεως, ἢ καὶ τῆς ἐκ, ἐκλαμβανομένης. ἄμφω γὰρ τῇ ἀπὸ τόπου κινήσει οἰκεῖαι, αἱ προστιθέμεναι τούτοις Προθέσεις, πλεονάζουσιν.

Ἢ ἐναλλαγῇ. Τόξων εὖ εἰδὼς, αὐτὶ τοῦ τοξεύειν.

Τὸ οἶδα μὴ ὂν ἐμπεριεπτικὸν εἰδικῶς πράγματος, καθὰ δὴ καὶ τὰ προαιρετικὰ, οὐ πρὸς γενικὴν πτωτικοῦ, πρὸς δ' ἀπαρέμφατον φέρεται, τῇ τούτου παραθέσει ἀναπληρούμενον. πότε δὲ οὐδὲ πρὸς ἀπαρέμφατον, ἀλλὰ πρὸς μετοχὴν φέρεται, ἐν οἰκείῳ τόπῳ ἐροῦμεν. ἔσχε δὲ τὴν σύνταξιν εἰς γενικὴν ἐν ταῦθα, ληφθὲν αὐτὶ τοῦ εἴδησιν ἔχων, ἢ εἰδήμων ὢν Τόξων. ὡς καὶ τὸ διδασκόμενος πολέμοιο, Ἰλ: π, ἀναλυθὲν εἰς τὸ διδασκαλίαν ἔχων. ἢ καὶ κατ' ἔλλειψιν. ἵν' ᾖ διδασκόμενος περὶ πολέμου. οὕτω καὶ ἐπειγόμενος ἐπὶ ὁδοῦ. ὁποῖον καὶ τὸ προληφθὲν, ἔρχονται πεδίοιο. τοιοῦτο καὶ τὸ, γινώσκειν ἀλλήλων, ὅ ἐστι γνῶσιν ἔχειν καὶ εἴδησιν. τοῖς πολλοῖς γεμὴν ἀσυνήθη τὰ τοιαῦτα καθειστήκει. λαμβάνεται δὲ πολλάκις ἄλλα μέρη Λόγου, αὐτὶ ἄλλων διὰ τὴν πρὸς ἄλληλα συγγένειαν κατὰ τὴν πολυθρύλλητον Ἀντιμέρειαν. οἷον, Ἀπαρέμφατα αὐτὶ Ὀνομάτων. ὡς ἐν τῷ, περίεστε μὲν τῇ βουλῇ, περὶ δέ ἐστε μάχεσθαι. Ἰλ: β, ἤγουν περίεστε δὲ καὶ ὑπερέχετε καὶ ἐν τῇ μάχῃ. λαμβάνονται δὲ καὶ Μετοχαὶ αὐτὶ Ὀνομάτων. ὡς ὅτε τὴν τοῦ δεῖνός φαμεν ἐρωμένην, αὐτὶ τοῦ γυναῖκα. καὶ, νοῦσον οὐλομένην τὴν ὀλεθρίαν. καὶ αὐτὶ Ῥημάτων, ἀνταπόδοσιν μὴ ἔχουσαι, ὡς ἐν τῷ, μήκων δ' ὡς ἑτέρωσε κάρη βάλεν, ἥτ' ἐνὶ κήπῳ βριθομένη νοτοίησίτ' εἰαρινοῖσιν. Ἰλ: θ, ἐν θαὸρθῶς μὲν εἰπεῖν λείπεται τοῦ ἐστὶν, ἵνα λέγῃ, ὅτι ἥ τις τῷ καρπῷ βαρυμένη ἐστὶ, τῶν τινες δὲ παλαιῶν ἠθέλησαν τὸ βριθομένη νοῆσαι αὐτὶ τοῦ βρίθεται, εἰπόντες εἰλῆφθαι Μετοχὴν αὐτὶ Ῥήματος, καὶ σημειωσάμενοι τὴν Λέξιν ὡς καινοσχήμονα.

Νέον δ' ἐσαγείρατο θυμόν. αὐτὶ τοῦ νεωστί.

Καὶ Ὀνόματα αὐτὶ Ἐπιῤῥημάτων λαμβάνεται, ὡς τὸ πλατὺ χαίνειν, αὐτὶ τοῦ, πλατέως. καὶ εὐρυρέειν. καὶ ὠκὺ βαδίζειν, αὐτὶ τοῦ ταχέως. καὶ Ἀντωνυμίαι δὲ αὐτὶ Ἐπιῤῥημάτων. ὡς τὸ ἄλλῃ, αὐτὶ τοῦ ἀλλαχοῦ. καὶ ταύτῃ αὐτὶ τοῦ οὕτω. καὶ σύνδεσμος δὲ αὐτὶ Προθέσεως. οἷον, ὁ δὲ, αὐτὶ τῆς εἰς, ἐν τῷ πυθώδε, ἤγουν εἰς πυθὼ, ὡς εἴρηται. καὶ ἀγορήνδε, αὐτὶ τοῦ εἰς ἀγοράν. εἰ μή τις λέγοι τὴν δὲ, μὴ εἶναι Σύνδεσμον, ἀλλ' ἐπέκτασιν καὶ Συλλαβὴν, εἴτ' οὖν μέρος Λέξεως. καθ' ὅ, τι ὁ μὲν δὲ, Σύνδεσμος οὐδέποτε ἐγκλίνεται, ἡ δὲ δὲ, ᾧδε ἐγκλίνεται. ἔστι δὲ ἐξ ἀντιστρόφου καὶ Πρόθεσιν εὑρεῖν ποτε λαμβανομένην αὐτὶ Συνδέσμου. ὡς ὅτε τις εἴποι, ἐκ τῶν δὲ τάδε γενήσεται, τοῦτ' ἔστιν ἕνεκεν τούτων τάδε συμβήσεται. ἐν ταῦθα γὰρ ἡ ἐκ, Πρόθεσις ἰσοδυναμεῖ Συνδέσμῳ τῷ ἕνεκεν. οὕτω δὲ πολλάκις νοεῖται καὶ τὸ ἐπὶ τούτοις, αὐτὶ τοῦ διὰ ταῦτα καὶ ἕνεκεν τούτων. καὶ Ἀφθόνιος δὲ εἰπὼν, ὅτι ὁ μῦθος κοινός ἐστι τῶν Ῥητόρων ἐκ παραινέσεως, αὐτὶ Συν-

δέ-

δέσμιος τῶ ἐνεκεν, τοῦ ἕκ, Προθέσιν ἔλαβε. γίνονται γάρ ποτε αἱ Προθέσεις καὶ Συνδέσμικῆς Συντάξεως παρεμφατικαί. φαίη δ' ἄν τις καὶ ταὐτὸ τοῦτο τὸ τῆς Ἀντιμερείας εἴτ' ἐνεναλλαγῆς χῆμα ἐκλαμβάνεσθαι καὶ Ἀντωνυμίαν πτητικὴν α', ἢ β', προσώπων συνεισφέροντος τοῦ μὲν α', τὸ β', τοῦ δὲ β', τὸ α'. Πλάτων ἐν Γοργ: ναὶ μὰ μὲν δὴν ἀγαθὲ ὦ. διὰ σοί γὰρ ἐρῶ τὴν σὴν. τοῦτ' ἔστι τὴν ἐμαυτοῦ, ἵν' πρός σε ἔχω. καὶ Σοφοκλ: τῷ μῷ θυμῷ κατέφθιται. τοῦτ' ἔστιν ὑπὸ τοῦ ἰδίου αὐτοῦ ἔρωτος, ὃν πρός με ἔχει. καὶ Ὅμηρ: ἐν ὀδ: ἀλλά με σός τε πόθος σάτε μήδεα, φαίδιμ' Ὀδυσσεῦ, μελιηδέα θυμὸν ἀπῦρα.

Ἀκτίνεσσιν ἐοικότες, ἀντὶ τοῦ ἐοίκασιν. (Γλ: ζ̃.

Κἀνταῦθα ἡ Μετοχὴ εἰς Ρῆμα μεταλαμβάνεται διὰ τὸ ἀναπαπόδοτον. τῆς γὰρ ἐμψυχοπάντων τοῦ Λόγου μερῶν θατέρα ὑποσαλεύσης, λόγος αὐτοτελὴς οὐ συνίσταται. ὅθεν ἡ Μετοχὴ ἤτοι Ρῆμα ἀπαιτήσει ὁμοιοπρόσωπον τῇ διαθέσει, ἀντὶ Ρήματος ἔσαι εἰλημμένη. ἔχει δὲ ὁμοιότητα πρὸς τὸ, ἀκτίνεσσιν ἐοικότες, καὶ τὸ, μῦθος, ὃς μοι εἰρημένος ἔσω. ἦγεν, ὃς νῦν εἴρηται. ὅμοιον καὶ παρὰ τῷ ὁμηρικῷ ζηλωτῇ Σοφοκλεῖ τὸ, πρῶτά σε κεκλόμβος. ἢ γὰρ κἀκεῖ λείπει τὸ εἰμί, ἢ τὸ κεκλόμβος ἀντὶ τοῦ κέκλομαι εἴληπται. καὶ Θουκυδ: ς', ὑμεῖς πρὸς Ἀθηναίους καταλλασσόμενοι, τοῖς μὲν ἐμοῖς ἐχθροῖς δι' ὠμότητα παρ' ἐκείνων πράξαντες, ἐμοὶ δὲ ἀτιμίαν περιθέντες, ἀντὶ τοῦ ἐπράξατε. ὡς καὶ τῷ Γλ: ζ̃. οὐδ' ἕλκε Ἀχιλλῆος καὶ ὑπείροχα, τὸν μὲν, ὑπερμαζοῖο βαλὼν χαλκήρεϊ δουρὶ, τὸν δ' ἕτερον ξίφει μεγάλῳ κληῖδα παρ' ὦμον πλῆξε. τὸ γὰρ ἀκόλουθον ὧδ' εἰπεῖν, τὸν μὲν βαλὼν, τὸν δὲ, πλήξας. Θουκυδ: γ', καὶ ὕστερον ὑποσπόνδους τοὺς νεκροὺς ἀποπλεύσαντες οἱ Ἀθηναῖοι, παρὰ τῆς Λακεδαίμονος ἐκομίσαντο. ἀντὶ τοῦ κομισάμενοι, ἀπέπλευσαν. εἰ δ' αὖ τοῦτο καὶ κῆ χῆμα τοῦ ὑστερόπρωτον. καὶ τῇ α', καὶ ἐν τῷ μὴ μελετῶντι ἀξιωπότεροι ἔσονται, ἀντὶ τοῦ ἐν τῷ μὴ μελετᾶν. καὶ τῇ ζ', οἱ δὲ θεραπεύοντες, αὐτομολοῦσιν. ἀντὶ τοῦ οἱ θεραπεύοντες. ἐν δὲ τῇ ε', σὺ δὲ Κλεαρείδα, τὰς πύλας ἀνοίξας, ἐπεισθεῖν καὶ ἐπείγεσθαι. ἀντὶ τοῦ ἐπέπεισθε καὶ ἐπείγεσθε. Λυκιαν: ἐν τῷ ἔρωτ: σὺ δὲ ἡμῖν τὰ πάλαι κλέα τῆς ἐρωτικῆς διαφορᾶς μελῳδίᾳ περαίνειν. ἀντὶ τοῦ πέραινε. καὶ τῷ περὶ συρίγγων Θεῶ. νῦν δ' ἐπεὶ μεγάλων δὴν ἔρχομαι, παρὰ σοὶ τόδε θήσομαι. σὺ δέ μοι ἀσφαλέως ἔχειν, ἀντὶ τοῦ ἔχε. ἅτινες ἀγνοήσαντες, ἐπιφέρουσι προαιρετικόν τι ῥῆμα τὸ θέλησον, ἢ τοιοῦτόν τι. καὶ τὸ φθάνω δὲ ἀεί ποτε Μετοχῇ συμπαρομένον, τοῦ κατ' ἐναλλαγὴν ἐστι καὶ αὐτὸ ξόπτω, εἴτ' ἐν τῇ ἀντιμερείας, ἐμὲ μὲν τοι γε καὶ ἐν κάκῃ. Θουκυδ: ς', καὶ τούτους οἱ συρακούσιοι φθάνουσιν ἁρπάσαντες, ἀντὶ τοῦ φθάσαντες, ἥρπασαν. Λυκιαν: ἐν τῷ Τειχιάδ: καὶ Φιλοκλ: ἐφθάκει δὲ ὀλίγον προεξεληλυθώς.

Τῶτοι προφρονέως ἐρέω. ἀντὶ τοῦ δίδ.

Ἔτι καὶ τό, δύρηται διὰ τοῦ ο ἀντὶ τοῦ δι' ὅ, τόμοι ὅτι μὴ φρεσὶ ταῦτα μέμηλε. ἀσυνήθης δὲ ἡ δοτικὴ, ἢ ἡ αἰτιατικὴ τὸ τελικὸν αἰτιολογοῦσα ἄνευ Προθέσεως. εἰ μή τί γε τις τῆς περιττολόγων καινοτομεῖν ἐθέλοι, ὡς ἐν τῷ, τῷ τοι ἄρα καὶ δὴ καταλύειν αὐτῷ ἐδόκει ἐν τοῖς πολίσμασι. καὶ αὖθις, ἐπεὶ ἀφειδῶς τοῖς πολεμίοις. τῷ τοι ἄρα καὶ πλήττεται βέλει τὸν πόδα.

Εἴσω ἁλὸς δύρεα κόλπον, αὐτὶ τοῦ εἰς δύρεα κόλπον. (Γλ. φ̃.

Τὸ δὲ εἴσω ὡς πρὸς τὸ δύρεα κόλπον φερόμενον, γενικῇ ὤφειλε συμπαγῆναι κατὰ Λά-

Λόγον τῶν τοπικῶν Ἐπιῤῥημάτων. νῦν δὲ αἰτιατικῇ συνταγὲν, ἀντὶ τῆς εἰς, κεῖται. οἷον καὶ τὸ Ἴλιον εἴσω. Ἰλ: α. ἰστέον δὲ ὡς οὐ μόνον διὰ τοῦ ἰ, αἱ ἐπεκτάσεις γίνονται, ὡς ἐν τῷ οὑτοσὶ, καὶ ταυτὶ, καὶ νυνὶ, ἔτι δὲ καὶ διὰ τῆς δε, συλλαβῆς ὡς προείρηται, καὶ διὰ τῆς θα, ὁμοίως, ὡς δηλοῖ τὸ ἔφησθα, οἴδασθα, οἶσθα καὶ τὰ τοιάδε, ἔτι καὶ διὰ τῆς θεν, ὡς τὸ οὐρανόθεν, ἀλλ' οἵγε παλαιοὶ καὶ τὸ ὦ μέγα, ἐν τε ἄλλοις καὶ ἐν τῷ Ἴλιον εἴσω ἐπέκτασιν εἶναί φασι τὸ εἴσω, ἀντὶ αὐτῆς ἐκείνης τῆς εἰς, Προθέσεως. τοῦτο δὲ οὐδὲν καινὸν, ἐὰν καὶ ἀντὶ Ἐπιῤῥήματός τις νοήσῃ διφορουμένου κατὰ τὴν Σύνταξιν. ὥσπερ γὰρ ἀπὸ τῆς ἐξ, Προθέσεως ἀεὶ γενικῇ συντασσομένης, τὸ ἔξω Ἐπίῤῥημα γενόμενον, ἀεὶ καὶ αὐτὸ τὴν πρὸς γενικὴν ἔχει σύνταξιν, οὕτως οὐδὲν παράλογον, εἰ καὶ τὸ εἴσω γενόμενον ἀπὸ τῆς εἰς, Προθέσεως διφορουμένης ἐν τῇ συντάξει, διφορεῖται καὶ αὐτὸ καθ' ὁμοίωσιν ἐκείνης. καὶ ἐπείπερ ἡ εἰς, Πρόθεσις καὶ αἰτιατικῇ κοινῶς οἶδε συντάσσεσθαι, ναὶ μὴν ἀλλὰ καὶ γενικῇ ἀττικῶς, ὡς τὸ εἰς Ἅιδου, διὰ τοῦτο καὶ τὸ εἴσω, ποτὲ μὲν οὔτω συνταχθήσεται, οἷον, Ἴλιον εἴσω. ποτὲ δὲ ἄλλως, οἷον, εἴσω τοῦ οἴκου. ὥσπερ δ' Ἐπιῤῥήματα ἀντὶ Προθέσεων, οὕτως ἐκ τοῦ ἐναντίου καὶ Προθέσεις ἀντὶ Ἐπιῤῥημάτων λαμβάνονται. Ἡρόδ: ζ'. ὁρᾷς τὰ περσίων πρήγματα ἐς ὃ δυνάμιος προκεχώρηκε; ἀντὶ τοῦ μέχρι ποίας; κἀντῇ ζ', καὶ αὖ τις ἐκ τῆς σικελίας ὀπίσω (ἀπίκετο) πρὸς βασιλῆα, ἐς ὃ γήρᾳ μέγᾳ ὄλβιος ἐὼν, ἐτελεύτησεν ἐν πέρσῃσι. ἀντὶ τοῦ μέχρις οὗ. καὶ Ἐπιῤῥήματα δὲ ἀντὶ Ἄρθρων. καθὰ τὸ ὡς, Θουκδ': ἐν α', ἀντὶ Ὑποτακτικοῦ Ἄρθρου ἐξέλαβε. ξυνέγραψε τὸν πόλεμον τῶν Πελοποννησίων καὶ Ἀθηναίων, ὡς ἐπολέμησαν πρὸς ἀλλήλους. κἀντῇ β', οἱ Ἀθηναῖοι φύλακας κατεστήσαντο κατὰ γῆν τε καὶ θάλασσαν, ὥσπερ δὴ ἔμελλον διὰ παντὸς τοῦ πολέμου φυλάξειν. ἀντὶ τοῦ, ὃν ἐπολέμησαν, καὶ οἵπερ ἔμελλον. τινὲς δὲ τὸ ὡς, ἐν τῷ ὡς ἐπολέμησαν, τροπικὸν εἰλήφασι, προθεμένου δηλονότι τοῦ συγγραφέως οὐ μόνον τὸν πόλεμον, ἀλλὰ καὶ τὸν τοῦ πολέμου τρόπον ἱστορῆσαι. καὶ μὴν οὐκεῖται ἐν συμπλοκῇ, καὶ ὡς ἐπολέμησαν.

Τοιοῦτο δὲ καὶ τὸ τὰ παρεπόμενα τοῖς τοῦ Λόγου μέρεσιν, οἷον Εἶδος, Γένος, Ἀριθμὸν, Σχῆμα, Πτῶσιν, Διάθεσιν, Πρόσωπον, καὶ Χρόνον, ἢ Ἐπιῤῥήματα, ἢ Προθέσεις, ἢ τάξιν Συνδέσμων, καὶ Συνδέσμους αὐτοὺς ἐναλλάσσειν.

Ἐν ἐκείνοις τὴν τῶν μερῶν τοῦ Λόγου ἐναλλαγὴν ἐδίδαξεν, ἐντεῦθεν δὲ καὶ τὴν τῶν παρεπομένων τοῖς τούτου μέρεσιν ὑποτίθεται. Εἴδους, λέγω, Γένους, Ἀριθμοῦ, Σχήματος, Πτώσεως, Διαθέσεως, Προσώπου καὶ Χρόνου. Εἴδους μὲν, Γένους καὶ Προσώπου ἀνὰ δύω τιθεὶς τὰ παραδείγματα, Ἀριθμοῦ δὲ, Σχήματος, Διαθέσεως καὶ Χρόνου ἀνὰ ἐν, Πτώσεως δὲ, τρία.

Εἶδος μὲν, δῖα γυναικῶν.

Ἐν τοῖς κατὰ φωνὴν εἴδεσι τῶν Ὀνομάτων εἴ τις ἀπόλυτον ἀντὶ συγκριτικοῦ, ἢ συγκριτικὸν ἀντὶ ὑπερθετικοῦ, ἢ καὶ τὸ ἀνάπαλιν χρήσαιτο, καὶ ὅλως πρωτόθετον ἀντὶ παραγώγου, ἢ ἐναλλὰξ, τὸ τοῦ Σολοικισμοῦ ἁμάρτημα συναντήσει ἐν Εἴδει. ὡς Θουκυδ': ἐν α', ὑπερθετικῷ ἀντὶ θετικοῦ ἐχρήσατο. οἱ δ' Ἀθηναῖοι ἔγνωσαν οὐκ ἐν τῷ βελτίωνι Λόγῳ ἀποπεμπόμενοι. τὸ γοῦν δῖα, θετικὸν ὄν, οὐ γὰρ εἰς τύπον παραθετικὸν ἐσχημάτισται, ἀντὶ ὑπερθετικοῦ εἴληπται. καθ' ὅ, τι πρὸς γενικὴν οὐ τὰ θετικὰ τῶν ἀπολελυμένων, τὰ δὲ παραθετικὰ φέρεται. συντάσσεται ὅμως τὸ δῖα, ὑπερθετικῶς γενικῇ. ἐπεὶ γὰρ ὑπερκεῖσθαι πάντων ἐδόκει ὁ Ζεὺς, διὰ τοῦτο καὶ τὸ

δῖος καὶ τὸ δῖα ἐκ τῆς διὸς γενικῆς γινόμενα, Ὑπερθετικὴν Σύνταξιν ἔχουσι διὰ τὸ φύσει τῆς Λέξεως ὑπεροχικόν. δι' ὃν δὴ Λόγον οὐδὲ παράγει σύγκρισιν, ἢ ὑπέρθεσιν τὸ δῖος. οὐδεὶς γὰρ λέγει, διότερος ἢ διότατος. οὕτως οὐδὲ τὸ ἀγαθὸς, διὰ τὴν ἐν αὐτῷ τοῦ ἄγαν ἐπίτασιν. φησὶ γοῦν αἴλιος Διονύσιος, ὅτι ἀγαθώτερος καὶ ἀγαθώτατος, παρ' οὐδενὶ τῶν Ἑλλήνων κεῖται. θηλυτέρα δὲ ἡ γυνὴ παρ' Ὁμήρῳ ἐκλήθη κατὰ Σύγκρισιν τῶν θηλέων Ζῴων. εἴ γε καὶ καταδέχονται τὴν κοινωνίαν τὰ μὲν, διὰ μόνην τὴν τοῦ γένους διαδοχὴν, μετὰ δὲ τὴν σύλληψιν οὐκ ἔτι, ἡ δὲ, δι' οἶστρον μᾶλλον καὶ ἀκόλαστον μανίαν. ἥτις οὐδὲ ἐν ἀφέδρῳ οὖσα καὶ καθαιρομένη, οὐδὲ ἔγκυος, παραιτεῖται τὴν κοινωνίαν, οὐδὲ ἐν ᾧ φημι ἡ φύσις περὶ τὴν τοῦ Ζῴου διάπλασιν ἀσχολουμένη, ἢ περὶ τὴν κάθαρσιν, σβέννυσι τὰ τῆς ἐπιθυμίας. Ἰσίδρ: πηλσ ἐπιστλ: πά: τμήμ: β'.

Καὶ, μελάντερον ἠΰτε πίσσα. Ἰλ. δ'.

Ἀπεναντίας τοῦτο τῷ, δῖα γυναικῶν. τύπον γὰρ ἔχον παραθετικὸν, Σύνταξιν ἔσχε θετικὴν, ληφθὲν ἀντὶ τοῦ μέλαν τὸ νέφος κατὰ τὴν Πίσσαν. μὴ γὰρ ἔχων εἰπεῖν τι Πίσσης μελάντερον, τὴν ὑπεροχικὴν σύγκρισιν εἰς ἰσότητα κατεβίβασε.

Γένος δὲ, Αἴθη θῆλυς ἐοῦσα. (Ἰλ. ψ'.

Αἴθη, θηλείας Ἵππου Ὄνομα. ἔδει οὖν εἰπεῖν θηλεῖα, ἢ θήλεα. καθ' ὅ, τι τὸ Αἴθη θηλικοῦ ὂν γένους, τὸ παρεμπεσὸν θῆλυς εἰς οὐκ ἐπιβάλλουσαν θέσιν ἀρσενικοῦ, διὰ τῆς παρ' ἑαυτοῦ ἀκολουθίας ὡς ἀκατάλληλον ἐλέγχει. ὁμοίου τρόπου καὶ ὅτε Μετοχαὶ ἀρσενικαὶ ἐπιτίθενται θηλυκοῖς Προσηγορικοῖς, γενικαῖς κτητικῶς συντασσομένοις. οἷον, ἦλθε δ' ἐπὶ ψυχὴ θηβαίου Τηρεσίαο, χρύσεον σκῆπτρον ἔχων. ἀντὶ τοῦ Τηρεσίας περιφραστικῶς. ἀπεδόθη δὲ πρὸς τὸ σημαινόμενον Τηρεσίας, τὸ συναμφότερον. καὶ τὸ, ἀκέων Ἀθηνᾶ, καὶ, ὕλη εἰς ζάκινθος. ὁποῖον καὶ τὸ, ἐλθὼν ἐκάκωσε βίη Ἡρακληείη. Ἰλ: λ'. ἀντὶ τοῦ ὁ Ἡρακλῆς ἐλθών. ἵνα γένηται κἀνταῦθα οὐ πρὸς τὸ θηλυγενὲς τῆς Φωνῆς, ἀλλὰ πρὸς τὸ ἄρρεν σημαινόμενον ἡ ἀπόδοσις. ὅπερ ἐστὶν ὁ Ἡρακλῆς. ἡ δὲ τῶν γενῶν ἐναλλαγὴ τῆς καρῶν ἐστι διαλέκτου. Θουκυδ': β', καὶ ἅμα ἀτάκτως διώκοντες διὰ τὸ κρατεῖν, αἱ μέν τινες τῶν νεῶν καθεῖσαι τὰς κώπας, ἀπέστησαν τοῦ πλοῦ, ἀξύμφορον δρῶντες. καὶ, ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον. κἀντῇ γ', λέσβος ἀπέστη ἀπ' Ἀθηναίων, βουληθέντες μὲν καὶ πρὸ τοῦ πολέμου. κἀντῇ ς', καὶ καταλαμβάνουσι τὴν σαλαμινίαν ναῦν ἐκ τῶν Ἀθηναίων ἥκουσαν ἐπὶ Ἀλκιβιάδην, ὡς κελεύσοντας ἀποπλεῖν (αὐτὸν) ἐς ἀπολογίαν. κἀντῇ α', ἐκ δὲ τῶν Ἀθηναίων καὶ τῆς ἄλλης ξυμμαχίας πεντήκοντα τριήρεις διάδοχοι πλέουσαι ἐς Αἴγυπτον, ἔσχον κατὰ τὸ μενδήσιον κέρας, οὐκ εἰδότες τῶν γεγενημένων οὐδέν. τῶν δ', ὥστε ψαρῶν νέφος ἔρχεται ἠέτε κολοιῶν οὖλον κεκλήγοντες. ἀττικῶς ἔχει τὸ, νέφος ψαρῶν, ἢ κολοιῶν κεκλήγοντες, ὡς εἴπερ ἔφη, ψᾶρες καὶ κολοιοὶ κλάζοντες. οὐ γὰρ πρὸς τὸ ἑνικὸν οὐδέτερον νέφος, πρὸς δὲ τὸ νοητὸν ἀπήντησε τῆς Λέξεως, ὅπερ ἐστὶν οἱ ψᾶρες καὶ οἱ κολοιοὶ, κατὰ τὸ προληφθὲν, ἦλθε δ' ἐπὶ ψυχὴ, κτ'. πλὴν τὰ μὲν τοιαῦτα, κατὰ Φωνὴν μόνον ἡμάρτηται, τὸ δὲ, Αἴθη θῦλυς ἐοῦσα, καὶ τὸ ἑξῆς, καὶ κατὰ τὸ σημαινόμενον.

Καὶ, οὐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντε, ἀντὶ τοῦ πληγείσα. (Ἰλ. θ'.

Τὸ γὰρ πληγέντε, δίκην ἀρσενικοῦ, ἢ οὐδετέρου σχηματισθὲν, κἀπὶ Ἥρας καὶ Ἀθηνᾶς

νᾶς λεχθὲν πρὸς τοῦ διὸς, ἡμάρτηται, ὡς διελεγχόμενον ἂν ἐκ τῆς τοῦ θηλυκοῦ γένους ἀκολουθίας, τοῦ πληγείσα δυικοῦ. ὅμοιον καὶ Ἡσιόδου τὸ, προλιπόντε ἀνθρώπους αἰδὼς καὶ νέμεσις. καὶ Εὐριπίδ: ταῦτ' ἔχοντε Γράμματα. ἤγουν ἔχουσαι αἱ δύω αἰδοῖ. καὶ ἡ τοῦ Σοφοκλέους δὲ Ἠλέκτρα ἐφ' ἑαυτῇ καὶ τῇ ἀδελφῇ λέγει, ἴδεσθαι τώδε τὼ κασιγνήτω; ἤγουν ταύτας τὰς ἀδελφὰς. τούτω χρὴ τιμᾶν, ὦ ψυχῆς ἀφειδήσαντο. ἤγουν ταύτας, αἳ ψυχῆς, κτ'. ἀττικοί γε μὴν οὐ ταῦτα μόνον καινοτομοῦσιν, ἀλλὰ καὶ εὐθείας ἑνικὰς ἀρρενικὰς τῇ προφορᾷ ἐκθηλύναντες, ἡ κλυτὸς, καὶ ἡ γενναῖός φασι, καὶ ἡ ἀδελφὸς δέ. ἧς δυϊκὸν παρὰ Σοφοκλεῖ τὼ ἀδελφώ. Καὶ ἄρρενα δὲ Ἄρθρα τοῖς θήλεσι προσαρμόζοντες, τὼ γυναῖκε λέγουσι καὶ τὼ χεῖρε καὶ τὼ Θεὼ, τοῦτ' ἔστι τὰς Θεὰς, τὴν Δήμητραν καὶ τὴν Κόρην. εἴποι δ' ἄν τις, ὡς τὸ, οὐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντε κεραυνῷ, ἂψ ἐς Ὄλυμπον ἵκεσθον. μὴ εἶναι ἡμαρτημένον. εἰ γὰρ καὶ κατὰ θηλέων εἴρηται, ὅγε μὴν Λόγος οὐδὲν ἧττον ἔχει τὸ τοῦ καταλλήλου δέον. ἐρεῖ γὰρ προϊὼν, ὡς καὶ κατὰ θηλείας εἰπών τις, οὗτός με ἔτυψε, ψεύδεται μὲν, οὐχ ἁμαρτάνει δὲ τὰ περὶ τὸν Λόγον.

Ἀριθμὸν δὲ, Θέσπειαν, Γραίαν τε, ἀντὶ τοῦ Θεσπιάς. (Ἰλ. β'.

Καὶ Ἡρόδ: ἐν η', ἐν ἔπρησε δὲ Θέσπειάν τε καὶ Πλάτεαν. ὥσπερ τῶν πόλεων αἱ μὲν, θηλυκῶς, αἱ δὲ, οὐδετέρως καλεῖσθαι ἔλαχον. οἷον ἡ Τροία. τὸ Ἄργος. τὸ Ἴλιον. οὕτως αἱ μὲν, ἑνικῶς, αἱ δὲ, πληθυντικῶς, Θῆβαι, Πάτραι. Ἰωάννινα. Αἰγαί. Κωλωναί. Παγασαί. Φεραί, κατὰ τὸ Ἀθῆναι. ὅθεν ἐν πληθυντικῷ ἀριθμῷ Θεσπείας ἔδει εἰπεῖν, ἢ Θεσπιὰς, κοὐχὶ Θέσπειαν. ἔστι δὲ πόλις τῆς βιωτίας. ἀντὶ δὲ τοῦ Θεσπιαὶ, Θεσπιὰς γραπτέον, ὡς καὶ ἐν πάνυ συχνοῖς βιβλίοις φέρεται. ἵν' ᾖ ἀκόλουθον τῷ Θέσπειαν κατὰ πτῶσιν. ἀποροῦσι δὲ οἱ περὶ τὸν Εὐστάθειον καὶ τὸν τὰ ἐθνικὰ συγγράψαντα Στέφανον, θαυμάζοντες πῶς τὸ μὲν ἑνικὸν διὰ Διφθόγγου, (καθ' ὅ, τι ὁ Ἡρῳδιανὸς ἐν τῇ καθόλου προσῳδίᾳ τὴν εἶ, Δίφθογγον αὐτῇ ἐχαρίσατο κατὰ τὸ ἑνικόν) τὸ δὲ πληθυντικὸν διὰ μονοφθόγγου γράφεται; ἀγνοοῦντες, ὡς οἶμαι, τὸν κανόνα τῶν εἰς ιᾶ ληγόντων θηλυκῶν. τὸ μὲν γὰρ θέσπειαι Διφθογγογραφεῖται διὰ τὸ προπαροξυτονεῖσθαι, τὸ δὲ Θεσπιαὶ οὐκ ἀπὸ τοῦ Θέσπεια, ἀλλ' ἀπὸ τοῦ Θεσπιὰ, ἰωταγραφεῖται διὰ τὸ ὀξυτονεῖσθαι, καὶ ζήτει ἐν τῷ γ'. περὶ ὀρθογραφίας. κατὰ ἀριθμὸν ἐνήλλακται καὶ ταῦτα. χεῖρας τ' ἀλλήλων λαβέτην καὶ πιστώσαντο. Ἰλ: ζ'. καὶ Θουκυδ: ς', τριήρεσι μὲν οὐκ ἔλασσον, ἢ ἑκατὸν πλευστέα εἶναι, ἀντὶ τοῦ πλευστέον. κἀντῇ α', οὓς οὐ παραδοτέα τοῖς Ἀθηναίοις ἐστὶν, οὐδὲ δίκαις καὶ Λόγοις διακριτέα, ἀλλὰ τιμωρητέα. καὶ Ἰλ: ρ'. καμάτῳ δὲ καὶ ἱδρῶ νωλεμὲς αἰεὶ γούνατά τε κνῆμαί τε πόδες θ' ὕπερθεν ἑκάστου, χεῖρές τ' ὀφθαλμοί τε παλάσσετο. ἐν ᾧ τοῖς τῶν διαφόρων γενῶν πληθυντικοῖς ὀνόμασιν ἐπήγαγε τὸ παλάσσετο ῥῆμα ἑνικὸν. καί φασι πινδαρικὸν τὸ σχῆμα οἱ παλαιοὶ, οὐχ ὅτι πίνδαρος εὗρεν αὐτὸ, τῆς γὰρ Ὁμήρου μεταλλείας καὶ τοῦτο ἐκεῖνος ἐκέρδανεν, ἀλλ' ὅτι διαδεξάμενος καὶ ζηλώσας, κατεχρήσατο. ἔχει δὲ ἀφορμὴν ἡ Σύνταξις τὸ γούνατα οὐδέτερον, ὡς πρὸς αὐτὸ μὲν ἀσφάλτως ἀποδοθεῖσα, ἐκεῖθεν δὲ ἀναλόγως ἀπὸ κοινοῦ συμβιβαζομένη καὶ πρὸς τὰ λοιπὰ δύω γένη. καὶ εἰσὶ μὲν καὶ ἄλλα τοιαῦτα ἄλλοις τε καὶ παρὰ Πινδάρῳ πολλὰ, εὐαμόρφως ἑνικὸν ῥῆμα συντάσσοντα πληθυντικοῖς ὀνόμασιν. οὐκ ὀλίγα δὲ ὅμως καὶ ἀθεράπευτα διαλέκτου Νόμῳ. τοιοῦτο καὶ παρ' Ἡσιόδῳ τὸ, τῆς δ' ἦν τρεῖς

κεφα-

περαλαί. καὶ παρ' Ἐπιχάρμῳ. ἰὼ δ' Ἐρωδιοὶ μαπροκαμπυλαύχενες. καὶ, ἰὼ δὲ Νάρκαι, ἰὼ δὲ Ζύγαιναι, Τέξακές τε ἀσπραμοτολέγοι, καγλαΐαι Συκαλίδες. καὶ παρὰ Πινδάρῳ. χλαΐναι κ' ῥήγεα ἔχθετο. ἀττικὸς δ' ἀνὴρ εἰκαῦ ἔπω φράσοι, ἀλλ' ἐροῖ αὖ, ἦσαν κ' ἔχθοντο, καθ' ὅ,τι ἦπων ὀνομάτων θέσις ὁμοιαρίθμου ἀπαιτεῖ τὸ ῥῆμα. ὑπεξαιρείσθω τὰ Περιληπτικὰ τῶν ὀνομάτων σληθυντικοῖς σὺν ἁπαξ σωπαῖς ὁμοιορήμασι. φασὶν ὁδῦμος, κ' πατ' ἄντοις ἐναντίως σωπασόμοιρα ἑκάτερα. τὰ παιδία παίζει.

Σχῆμα δὲ, αὐτὰρ ἐγὼν ἐμὲ λύσομαι. ἀντὶ τοῦ ἐμαυτόν.

Ἐπ' αὐτοπαθείας ταῖς σωθέτοις ἀταῖς ἁπλαῖς τῶν Ἀντωνυμιῶν χρώμεθα. διὰ τὸ μὴ δυνάσθαι μετὰ τῶν συζύγων ῥημάτων, τῶν ταυτοπροσωπικῶν δηλ: ἁπλᾶς ὑπάρχειν τὰς ἐκτρίτε Ἀντωνυμίας, ὅτι μὴ ἐπὶ τῆς θείας. ἐγὼ ὕβρισα. ἡμεῖς ὑβρίσαμεν. σωθέτοις δὲ καὶ πὶ τῶν ἐπ' αὐτοπαθείας πτητικῶν. οἷον, τὰ ἐμαυτὸν μὲ σῴζει. κ' ἐγὼ σῴζω τὰ ἐμαυτοῦ. ἐπὶ δὲ ἑτεροπαθείας, ἁπλαῖς. οἱ δὲ σὺν ἀλλάξ χρώμενοι, σολοικίζουσι.

Πτῶσιν δὲ, νεοριίδα δ' ὁμοῦ, ἅπασιν, ἀντὶ τοῦ νεοριδῶν. (ἰλ: π'.

Ἐν τοῖς ἐπιμερισμοῖς τὸ ῥήματος φορὸς τὰ ἐπιμεριζόμενα τῶν πτωτικῶν κεμένε, γενικὴν δέοι ἂν ἡγεῖσθαι σὺν τῷ ἀθροίσματι. οἷον, τῶν νεοριδῶν ὁμοῦ, ὁδέ.

Καὶ, ἀσράπτων ἐπιδέξια. ἀντὶ τοῦ ἀσράπτοντα.

Οὗ τὸ σύνταλες, φημὶ καπανδέσαι δία, ἀσράπτων ἐπιδέξια. Ἰλ: β'. τὰ δ' ταυτοπροσωπᾶντα καὶ ὁμοιοπτωτεῖν αὐάγκη, ἐκά, ἠ ἐκγ', ὄντε ἑκάτερα. τοιῶτο καὶ Εὐριπ δ: τὸ πάλαι δέσε ἄξερωπᾶσαι θέλων, χολήμε' ἀπεῖργε. καὶ τὸ, ὀξὺν καθόδειν, τὼ ἐρωμενίω ἔχων. καὶ τὸ, ἤδη δέγ' ἐδὸν τῶν ποιήσας, τὰ τῆς ἐλπίδος μοι ἐπ' ἀδήλως ἀλδύει. καὶ τὸ, πολλὰ δὲ πάλαι προκόψασα, ἐπόνε πολλέ μοι δεῖ. καὶ τὸ, τὸ ἀκρατὲς τῆς ἀγαθῶν ἐσέρημαι τῆς ἐλπίδος. ἧς δ' ἀποτυχών, ἐδὸν αὐτῷ τὸ λοιπὸ λείπεται. καὶ ἄλλα μυρία ὅσα. ἐν οἷς δεῖ τὰ Μετοχικὰ οἷα δὴ Ἐπίθετα, ὁμοιοπτωτεῖν τοῖς ὡς πυρίοις ἢ προσηγορικοῖς ὑποτιθεμένοις. καὶ πῶσιν σεσολοίκισαι κ' τὸ, διαφέρειν δὲ ἡ ῥυσμῷ, ὅ ἐσι σχῆμα. ἢ ξοπὴ ὅ ἐσι θέσις. ἢ διάθιγῆ, ὅ ἐσι τάξις (εἰσὶ δὲ λέξεις δωρικαί. αἷς ἐχρῆτο Δημόκριτος) τὸ δ' ὅ ἐσιν, ὀξυγηματικὸν ὄν, ὁμοίε ὀπτον ἀπαιτεῖ τὸ ἐπόμενον τῷ ἡγεμένῳ. πῶσεως σὺν ἀλλαγὴ καὶ τὸ, ὅτι οἱ ὦκ' ἦκε τε μέγας Θεὸς δ' ξαμενοῖο. Ἰλ: π'. ὅ τῇ παραθέσει τῆς γενικῆς καὶ τῆς δοτικῆς ἀλλοίωε ἔχει ὀξαλλαγὼ, θεραπδομένων μὲν τῇ ἀμφοῖν τῶν πτώσεων συγγενείᾳ, (διὸ παυτὸν εἰπεῖν, ὅτι οἱ Θεὸς ἦκε δ' ξαμενῷ, καὶ, δ' ξαμενῷ.) σόλοικον δ' ἔν. εἰδέ τινες μηδαμῶς φασι Σολοικίζεσθαι τὸν πλαγιασμὸν, καθ' ὅ,τι ὐκ οἱ δὲ Σολοικισμὸν ποιεῖν ἡ γενικὴ, τὸ Ὀμήρε ὑπεραπολογούμενοι, ἀλλ' ἡμῖν καὶ παῦτα μὴ τῶν ἄλλων Σόλοικα. εἰγ' ἀκαπαλλήλως ἀλλήλοις ἐπιπλέκεται, κ' τὼ τὸ αὐτὸ προσώπε παρέμπτωσιν μὴ ὁμοιοπτωτοῦντα. τοιοῦτο καὶ τὸ, Ἀχιλῆος ὀλοοῦ κῆρ γήθει, φόνου ἀχαιῶν δερκομένω. καὶ τὸ, τῆς δ' αὐτῶ λύτο γόνατα σήματ' ἀϋγένσ, καὶ, ὡς τῷ ὕπνος ἀποβλεφάροισιν ὅλωλεν, νύκτα φυλασσομένοισι. κ' σὺν τοῖς κ' τὸν Κυκλῶπα. ἡμῖν δὲ κατεκλάθη φίλον ἦτορ, δεισάντων φθόγγον βαρύ. καὶ, πολλὰ οἱ σφέλα ἀποξίφεσι βαλλομένοιο. Ὀδ: ρ'.

Τῆς αὐτῆς κ' πῶσιν ἀκαπαλλήλως ἐσὶ καὶ

καὶ τὸ, ὧδέσφ' ἐγκέφαλος χαμάδις ῥέει, ὡς ὁ δὲ οἶνος αὐτῷ καὶ τεκέων. πρὸς δὲ τῶν ἀκολουθίαν τε, ὧ δέσφιν, αὐτοῖς καὶ τεκέεσσιν ὠφελον εἶναι. τοιοῦτο καὶ τὸ, σφίσι θυμὸς ἰένεται λάσσονται. ὀδ: ζ. λάσσασι δὲ ὠφελον εἰπεῖν. ταῦτα μὲν τοι ἐ μᾶλλον καὶ τῶν γυναικῶν ἢ καὶ τῶν δοτικῶν ἐνήλαξε). χρῆται δὲ τοῖς τοιούτοις χήμασιν Ὅμηρος, ὅτε συγχέει πάθος τι τῶν ψυχῶν, ἔκπληξίς τις ἢ δέος. ὃν ἔχει δὲ κρατεῖν τῆς κατ' ὀρθὸν φράσεως, ὁ τεταραγμένος τὴν ψυχήν. τὸ δὲ τὸ Σοφοκλέους, ἀλλ' εἰ δοκεῖ, χωρῶμεν, σὺ δὸς δὸν λαβών, ὅτι σε πόθος ἔχει. Σολοικοφανὲς μᾶλλον, ἢ Σόλοικον. συμπέπτωκε δὲ ἐν τῷ αὐθυποπτάκτῳ χωρῶμεν, β', προσωπεῖον ῥῆμα τὸ χώρει. πρὸς ὃ ὑγιῶς ἂν ἀποδοθείη ἡ ἀπὸ δοτικῆς ταυτοπροσωπεῖα μετοχή. ἐ δὲ δὲ ἀναγκαίως κατά τινας ἡ θέσις τῆς πτωτικῆς ὁμοιόθεμον ἀπαιτήσει ῥῆμα, ὡς ὁδὲ ἡ τῶν ἐπιμεριζομένων. χωρῶμεν δὲ ἕκαστος.

Καὶ, δοιὼς δ' ἄρ' ὑπήλυθε θάμνος ἐξ ὁμόθεν πεφυῶτας, ὁ μὲν, πτελέης, ὁδ' ἐλαίης. (ὁδ: ε.

Ἐν τοῖς ἐπιμερισμοῖς μεταβάσεως ἑτεροπροσωπικῆς γνωμονὸς ἐπὶ τὸ ἀθροίσματος, τὰ ἐπιμεριζόμενα πτωτικὰ, τῷ ἀθροίσματι ὁμοιοπτωτεῖν ἀνάγκη, ἵν' ᾖ, δύω ὑπήλυθε θάμνος, ἔνθας τὸν μὲν, πτελέης, τὸν δὲ, ἐλαίης. ἀρρημάτιστα δὲ ὄντα τὰ μέρη, τῷ ὅλῳ κατὰ πτῶσιν ἀκολουθοῦσιν. ὁ δὲ, εἴξας ἐν τῷ πεφυῶτας, ἐπήγαγε τὸ, ὁ μὲν, ὁ δὲ, κατ' ἔλλειψιν ὑπαρκτικῆ ῥήματος ὡς ἐξ ὑπαρχῆς, κατὰ τὸ καὶ ἀπόσασιν πολυθρύλλητον χῆμα, ἢ γὰν ἀποσατικῶς τελούμενον, ὡς ἀπ' ἄλλης ἀρχῆς. τῷ δὲ τοιούτων ἐκ ἀπήλλακται ὁδ' ἡ ἐξαγωγία, ὡς δηλοῖ καὶ τὸ, ὣς δ' ἔις ἐς ραπτὰ λάταις, οἱ μὲν, παπάξαι τόνδε, οἱ δὲ, τόνδε. πολλὰ δὲ καὶ παρ' ἄλλοις τῶν παλαιῶν ἀγαθῶν Ῥητόρων Σολοικοφανῆ καὶ ἕτερα καινοπρεπῆ πεφώραται, ὧν τὰ μὲν, θεραπείας ἀξιοῦται διὰ τῆς σιγμῆς, ὡς εἴρηται, οἷς καὶ τῶν ὁμηρικῶν τὰ πλεῖστα. τὰ δὲ, παντελῶς εἰσιν ἀθεράπευτα. διὸ καὶ Φρυνίχου κανταῖς ἀγαμαι εἰπόντος, ὅπως δὴ καὶ τὰ ἄκρα τῶν Ἑλλήνων πταίοντα ὁρᾶται. ὅπως ἄρα δυσφύλακτόν ἐστι τὸ Σολοικίζειν, Πτώσεως ἀναλλαγὴ καὶ τὸ, Ἔκτορι προπάροιθε ποδῶν πέσε, ἀντὶ τοῦ Ἔκτορος. καὶ τὸ, νεφεληγερέτα Ζεύς. καὶ ὅσα ἄλλα ἡ τῶν πτώσεων οἰκειότης καινοτομεῖ, τῶν τε πλαγίων πρὸς ἀλλήλας καὶ τῆς εὐθείας πρὸς τὴν κλητικήν. οἷον, νῶϊν ἀγάσαντο, παρ' ἀλλήλοισι μένον τε ἔβης παρπῆναι. ὀδ: ψ, ὃ τὸ μὲν ἀκόλουθον ἰῶ εἰπεῖν, Θεὸς ἡμῖν ἐφθόνησε, παρ' ἀλλήλοις μενοῦσι πρέπεσθαι, ὁμοιοπτώτως. ἡ δὲ Ὁμηρικὴ μοῦσα ἤλαξε τὸ χῆμα ἀπὸ δοτικῆς εἰς αἰτιατικὴν, καινότερον μὲν, ἀσολοίκως δὲ, εἰποῦσα, ὅτι Θεοὶ ἡμῖν ἐφθόνησαν τὸ τέρπεσθαι δηλαδὴ ἡμᾶς μενόντας παρ' ἀλλήλοις. ὡς καὶ εἴ τις εἴποι, παραινῶ σοι ζῶντα ἀσφαλῶς διάγειν τὸν βίον. καλὸν μὲν γὰρ καὶ τὸ, παραινῶ σοι ζῶντι ἀσφαλῶς ποιεῖν τόδε τι, ἀσόλοικον ὅμως καὶ τὸ, παραινῶ σοι διάγειν σε τὸν βίον, ζῶντα ἀσφαλῶς. αἴτιον δὲ τῆς τοιαύτης ἀσφαλοῦς ἀναλλαγῆς τὸ ἀπαρέμφατον, ὃ προκαλεῖται τὴν ἐπαγομένην αἰτιατικήν. εἰ γὰρ ἴδιον ἀπαρεμφάτου τὸ αἰτιατικὴν ἔχειν. ἡ δὲ τῆς Πτώσεως ἀναλλαγὴ καὶ ἀλλοίωσις χήματος ἦν σον, ὅταν δηλονότι τοῖς ἡγεμονικοῖς μὴ ὁμοιοπτώτως ἀποδοθῇ τὰ ἐπιφερόμενα. οἱόν τι καὶ Θουκυδ: β', πᾶσι γὰρ ἐν τοῖς ὁμασικὰ καὶ ἐν τῷ παραυτίκα ὁρῶ πάσχοντας εἰκὸς ὀργὴ προαισθέσθαι. ἀντὶ τοῦ πάσχουσι.

διά γε μὴν τὸ Ἀπαρέμφατον εὖ ἔχει καὶ τὰ τῆς αἰτιατικῆς. κἀντῇ ς', πολλὴ γὰρ οὖσα (ἡ στρατιὰ) οὐ πάσης ἔσται πόλεως ὑποδέξασθαι. ἀντὶ τοῦ πολλὴν οὖσαν. καὶ οὐχ ὥς τισιν ἔδοξεν ἀντὶ γενικῆς ἀπολύτου. δύναταί γε μὴν καὶ πρὸς τὸ ἔσται φέρεσθαι ἀπ' εὐθείας ταυτοπροσωπικῶς. οἷον καὶ τὸ, Αἴσωπος λαλεῖν ἀρξάμενος, οὐδὲν ἐμοὶ ὄφελος ἔσται. κἀντῇ γ', ἔπειτα προσέμιξαν τῷ τείχει, λαθόντες τοὺς φύλακας, ἀνὰ τὸ σκοτεινὸν μὲν οὐ προειδότων αὐτῶν, ψόφῳ δὲ τῷ ἐκ τοῦ προσιέναι αὐτοὺς ἀντιπαταγοῦντος τοῦ ἀνέμου οὐ κατακουσάντων. κἀτῇ α'. εἰ οὖν τίσε τούτων ἀρέσκει, πέμπε ἄνδρα. Ἡρόδ: ε', καὶ γὰρ τὴν Καῦνον πρότερον οὐ βουλομένην συμμαχέειν, ὡς ἐνέπρησαν τὰς σάρδεις (οἱ Ἴωνες) τότε σφι καὶ αὕτη προσεγένετο. Φώτιος, ἡ δὲ ζωὴ αὐτῶν, (τῶν Ἰνδῶν) ρκ', καὶ λ', καὶ ν', καὶ σ', οἱ τὰ πλεῖστα βιοῦντες.

Διάθεσιν δὲ, ὁρῶμαι, ἀντὶ τοῦ ὁρῶ.

Ἐν δὲ Διαθέσει γίνεται Σολοικισμὸς, ὅταν τις τῷ ἐνεργοῦντι παθητικὸν περιάψῃ ῥῆμα, ἢ καὶ ἐναλλάξ. Θουκυδ': ε', καὶ τά τε ἄλλα θυμῷ ἔφερον, ἀντὶ τοῦ ἐφέροντο. κἀντῇ ς', ἵνα εὐκοσμότεροί τε καὶ ῥᾴους ἄρχειν ὦσι, κατὰ τέλη στρατηγῷ προστεταγμένοι, (οἱ στρατιῶται.) ἀντὶ τοῦ ἄρχεσθαι, κἀντῇ ζ', τούτων δὲ πάντων ἀπορώτατον, τὸ μὴ οἷόν τε εἶναι ταῦτα ἐμοὶ κωλῦσαι τῷ στρατηγῷ. χαλεπαὶ γὰρ αἱ ὑμέτεραι φύσεις ἄρξαι. ἀντὶ τοῦ ἄρχεσθαι. Δείναρχ: κατὰ Δημοσθ': τὸν εἰς τὰς δεινοτάτας δυστυχίας ἐμβεβλημένον τὴν πόλιν. ἀντὶ τοῦ ἐμβεβληκότα, Δημοσθ': περὶ τῆς τῶν ῥοδίων ἐλευθερίας. καὶ παρὸν αὐτοῖς ἕλλησι καὶ βελτίοσιν ἡμῖν αὐτῶν ἐξ ἴσου συμμαχεῖν βαρβάροις καὶ δούλοις, οὓς εἰς τὰς ἀκροπόλεις παρεῖνται, δουλεύουσι. τοῦτ' ἔστιν οὓς παρείκασι, τὴν δίοδον αὐτοῖς ἐπιτρέψαντες. καὶ κατὰ Στεφ': τοὺς τὰς προκλήσεις μαρτυροῦντας, τοὺς ἀπὸ ταυτομάτου προστάντας, καὶ ἐν Μάλθῃ γεγραμμένους τὴν μαρτυρίαν. καὶ ἀλλαχοῦ, μᾶλλον δὲ ἀναγνώσομαι μὲν ὑμῖν, ὡς ἐμαυτῷ γέγραμμαι, πάντα τὰ ὑπομνήματα. Διόδορ: οὗτος οὖν ἐπηγγείλατο καθηγήσεσθαι διὰ τῆς δυσχωρίας, καὶ ποιήσειν αὐτὸν ὑπερδέξιον γενέσθαι τῶν κατειλημμένων τὴν πέτραν βαρβάρων. ἀντὶ τοῦ κατειληφότων. ἐξ ὧν ἐλέγχεται Ἀπολλώνιος, εἰπὼν, οὐκ ἂν εὕροι τις τὸ φύσει Ἐνεργητικὸν, ἢ τὸ φύσει Παθητικὸν ἐν ὑπαλλαγῇ τῶν ἰδίων διαθέσεων. ἐπεὶ δὲ τὰ μεσότητος καλούμενα ῥήματα συνέμπτωσιν ἀναδεξάμενα ἐνεργείας καὶ πάθους, οὐ παρὰ τὰς διαθέσεις ἁμαρτάνεται, τῶν δὲ εἰς παθητικὴν διάθεσιν σχηματιζομένων, λέγω δὴ τὴν εἰς μαῖ, ῥημάτων οἱ χρόνοι, πλὴν τοῦ παρακειμένου καὶ ὑπερσυντελικοῦ, (οὗτοι γὰρ ἐν τοῖς ἐνεργητικῶς σχηματιζομένοις ἐν μεσότητι παραλαμβάνονται) πάντες ἐν μεσότητι παραλαμβάνεσθαι δύνανται, ὡς ἔστιν ἰδεῖν ἐν τῷ α', τοῦ Θεοδώρου. καὶ τὸ ὁρῶμαι ἄρα οὐχ ἡμάρτηται κατὰ διάθεσιν, μέσως ληφθέν. δεῖ γὰρ μὴ ἀγνοεῖν ὡς οἱ ἓξ χρόνοι οἱ αὐτοὶ καὶ μέσως λαμβάνονται, ὁ μὲν παρακείμενος καὶ ὑπερσυντελικὸς ἐν τοῖς ὡς εἴρηται ἐνεργητικῶς, ἐν δὲ τοῖς παθητικῶς σχηματιζομένοις οἱ παρὰ τούτους. εἰ μή τις λέγοι μὴ κατὰ πᾶν ἁπλῶς ὁ, τιοῦν ῥῆμα, κατὰ δὲ τὰ ἐν χρήσει νενομισμένα. εἴγε καὶ τῶν Φωνηέντων τὰ α, ι, υ, Δίχρονα μὲν ἀκούει οὐ μὴν ἁπανταχοῦ καθ' ὁποτερονοῦν χρόνον ληπτέα ἐστὶν, ἀλλ' ᾗ πολλαχοῦ κεκανόνισται. ἀλλὰ γὰρ οὐχὶ κατὰ τὰ εἰρημένα δίχρονα καὶ τὰ τῶν μέσων χρόνων κεκανόνισται, ἐν τούτοις μὲν τοῖς ῥήμασιν ἐνεργητικῶς, ἐν ἐκείνοις δὲ τοῖς ῥήμασι παθητικῶς λαμβάνεσθαι.

Πρόσωπον δὲ, ὅσοι Θεοί εἰσ' ἐν Ὀλύμπῳ, σοίτ' ἐπιπείθονται καὶ δι-

δεδμήμεθα πᾶντες. (Ἰλ: ε̃.

Τῶν Συνδέσμων τὰ ὅμοια συνάπτειν ἐθελόντων, δέον ἦν εἰπεῖν καὶ δέδμηνται κατὰ τὸ πείθονται, ἐν γ', προσώπῳ. ὁ δὲ, ἐπεὶ ὡς περὶ ἑτέρου εἶπε τὸ πείθονται, ἑαυτὸν τῆς ὑποταγῆς ἀποστήσας, οἱονεὶ τὸ δοκοῦν ἡμαρτῆσθαι ἐπιδιορθούμενος, συμπεριέλαβεν ἐν τῷ β', καὶ ἑαυτὸν, ὥσπερ θεραπείαν ἐπαγαγὼν τὴν μετάνοιαν. τοιοῦτο καὶ Θουκυδ': ἐν α', καὶ μήτε τοὺς Ἀθηναίους ἐᾶτε μείζους γίγνεσθαι, μήτε τοὺς ξυμμάχους καταπροδιδῶμεν. οὐ κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ τὸ, Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν Οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσιν, εἰς τὸ ἀναπέμπομεν μεταχηματισθήσεται. εἴ γ' ὁ μὲν Ἄρης ὡς τῶν Ὀλυμπίων ὢν καὶ αὐτὸς Θεῶν, ἀποστήσας δὲ ἑαυτὸν τῆς πρὸς τὸν δία εὐπειθείας, δέον εἰπεῖν, ὅσοι Θεοί ἐσμεν ἐν Ὀλύμπῳ σοίτ' ἐπιπειθόμεθα, εἰκότως συνέλαβεν ἑξῆς καὶ ἑαυτὸν, ἐν γεμὴν τῷ σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν Οὐρανῶν, τῶν οὐρανίων ἡμεῖς μὴ ὄντες δυνάμεων, οὐ δοκοῦμεν ἁμαρτῆσαι, ὡς δῆθεν ὑπεξαγαγόντες ἑαυτοὺς τῆς αἰνέσεως. ἐπεὶ οὐδὲ συνειλήμμεθα ταῖς οὐρανίαις δυνάμεσιν. ὅθεν ὀρθῶς ἔχει τὸ ἀναπέμπουσι καὶ κατ' ἔννοιαν. Εἰπόντες γεμὴν, σὲ αἰνοῦσι πᾶντα τὰ ἔργα, δεόντως καὶ δὴ ἑξῆς καὶ ἑαυτοὺς συλλαβεῖν ὀφείλομεν, λέγοντες, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, οὐκ, ἀναπέμπουσιν, ὡς συνειλημμένοι μὲν καὶ αὐτοὶ ἐν πᾶσι τοῖς ἔργοις, ὑπεξελόντες δὲ ἑαυτούς.

Ἐν δὲ τῷ εἴσ' ἐν ὀλύμπῳ, οὐκ ἐκθλίβεται τοῦ εἰσὶ καθάτινες οἴονται τὸ ῑ, σὺν τῷ ν̃, ἀλλὰ μόνον τὸ ῑ, πρὶν ἢ διὰ χασμῳδίαν προσλάβῃ τὸ ν̃. τὸ δ' αὐτὸ κἀπὶ τοῦ ἔσθ' ὅτε καὶ ἐπὶ ἄλλων μυρίων τοιούτων κουφισμῶν.

Καὶ, σφέτερον πατέρ' ὑμνείουσαι, ἀντὶ τοῦ ὑμέτερον.

Ἡσίοδος προοιμιαζόμενος, εἴγε γνήσιον Ἡσιόδου τὸ προοίμιον, προσκαλεῖται τὰς Μούσας τὸν σφῶν αὐτῶν ὑμνῆσαι πατέρα, λέγων οὑτωσὶ, δεῦτε δὴ ἐννέπετε, σφέτερον πρὰ ὑμνείουσαι. ἀντὶ γὰρ τοῦ ὑμέτερον β', προσώπου ἐπήνεγκε τὸ σφέτερον, οὐ πρὸς τὴν ἀκολουθίαν τῶν προσώπων ἀπιδὼν, πρὸς δὲ τὴν τῆς λέξεώς φασι, σημασίαν. σημαίνει γὰρ τὸ σφέτερον ἔσθ' ὅτε καὶ τὸ ἴδιον.

Χρόνον δὲ, ἐγὼ δ' ἄγω Βρισηΐδα, ἀντὶ τοῦ ἄξω.

Παρὰ δὲ τοὺς χρόνους ἁματάνουσιν, ἐναλλάσσοντες τούτους, καὶ νῦν μὲν παρεληλυθότας ἀντὶ ἐνεστώτων λαμβάνοντες, νῦν δ' ἐνεστῶτι ἀντὶ μέλλοντος χρώμενοι. οἷον ἐγὼ δέ κ' ἄγω Βρισηΐδα, Ἰλ: β'. ὅταν γε μὴν τὰ παρεληλυθότα τοῖς χρόνοις εἰσάγηται ὡς γιγνόμενα καὶ παρόντα, οὐκ ἔτι διήγησιν τὸν λόγον, ἀλλ' ἐναγώνιον πρᾶγμα ποιεῖ. οἷον πεπτωκὼς δέ τις, φησὶ Ξενοφὼν ὑπὸ τῷ Κύρου ἵππῳ καὶ πατούμενος, παίει εἰς τὴν γαστέρα τῇ μαχαίρᾳ τὸν ἵππον αὐτοῦ, ὁ δὲ, σφαδάζων, ἀποσείεται τὸν Κύρον. ὁ δὲ, πίπτει. τοιοῦτος ἐν τοῖς πλείστοις ὁ Θουκυδ'. οἱ δὲ Προφῆται τὸ πάντως ἐκβησόμενον δηλοῦντες, καὶ τὸ μέλλον ἐπιπλέον Πιστοποιοῦντες, παρῳχηκότα πολλαχοῦ ἀντὶ μέλλοντος προχειρίζονται. ὤρυξαν γάρ φασι, χεῖράς μου καὶ πόδας μου. ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισέ με ὄξος. οὗτος ὁ Θεὸς ἡμῶν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτὸν, κτ', μετὰ δὲ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. καὶ παιδίον ἐγεννήθη ἡμῖν ὁ υἱὸς, καὶ ἐδόθη ἡμῖν. Βασίλ: Λόγ: β'. εἰς τὸν Ἡσ:.

Περὶ Ἐπιῤῥήματα δὲ Σολοικισμὸς ἐξ ἐναλλαγῆς.

Τὴν ἐναλλαγὴν τῶν παρεπομένων τοῖς

τοῦ

τοῦ Λόγου μέρεσιν ἀναπληρώσας, αὖθις περὶ τὴν ἐναλλαγὴν τῶν ὑπολοίπων τοῦ Λόγου μερῶν ἐπάνεισιν. οὐ μετὰ τὴν συμπλήρωσιν δὲ τῶν τοῦ Λόγου μερῶν, (δηλονότι μετὰ τὴν τῶν Συνδέσμων ἐναλλαγὴν) τὴν τῶν παρεπομένων αὐτοῖς προσέθηκεν, ἀλλὰ πρὸ τῶν Προθέσεων καὶ τοῦ Ἐπιρρήματος καὶ τοῦ Συνδέσμου. καθ' ὅ, τι ὧν ἀπηριθμήσατο παρεπομένων οὐδὲν ἦν παρεπόμενον ταῖς Προθέσεσιν, ἢ τοῖς Ἐπιρρήμασιν, ἢ τοῖς Συνδέσμοις. παρὰ γὰρ τὸ εἶδος καὶ τὸ σχῆμα οὐθὲν ἁμαρτάνεται ἐν Συνδέσμῳ, ἢ ἐν Ἐπιρρήματι.

Εἴσω δόρπον ἐκόσμει, ἀντὶ τοῦ ἐντός. (Ἰλ: σ̃.

Τὸ μὲν γὰρ εἴσω, δηλοῖ τὸ εἴςτι, τοῦ δὲ ἐκόσμει τὸ ἔντινι ἀπαιτοῦντος, δῆλον ὅτι κατ' ἐναλλαγὴν τὸ ἁμάρτημα. οὗ τὸ ἑξῆς ἐναντίον.

Καὶ, ἐγγύθεν ἱςαμένη, ἀντὶ τοῦ ἐγγύς.

Τὸ μὲν γὰρ, τὴν ἀπότου σημαίνει κίνησιν, τὸ δὲ ἱςαμένη, τὴν ἐν τόπῳ ςάσιν. ςάσις δὲ καὶ κίνησις ἀσύμβατα. τοῖς δὲ Ῥήμασι προσκεῖσθαι ὀφείλει τὸ προσῆκον σφίσιν ἠρεμίας τε καὶ κινήσεως Ἐπίρρημα.

Περὶ δὲ Προθέσεις, εἰς Ἀγαμέμνονα δῖον. ἀντὶ τοῦ πρὸς Ἀγαμέμνονα. καὶ, ὑπὸ Ἴλιον ἦλθεν, ἀντὶ τοῦ ἐπὶ Ἴλιον.

Εὐπαρατήρητος δὲ καὶ ὁ περὶ τὰς Προθέσεις Σολοικισμὸς. ἐλέγχεται γὰρ ὑπὸ τῆς τῶν πραγμάτων διανοίας. οἷον, εἴτις χρῷτο ἐν ςάσει μὲν, τῶν Προθέσεων ταῖς ἐν κινήσει νενομισμέναις, ἢ τοὐναντίον, ἐν ἐμψύχοις δὲ ταῖς ἐν ἀψύχοις, ἢ τἀνάπαλιν, ἐν καταφορᾷ δὲ ταῖς ἐν ἀναφορᾷ. ἐν ἐπαίνῳ δὲ ταῖς ἐν ψόγῳ, ἢ ἐναλλάξ.

Περὶ δὲ Συνδέσμους, αὐτὸς μὲν ἐγὼ μενέω, ἀλλ' ἑτάρον πέμπω. ἀντὶ τοῦ ἑταῖρον δέ.

Τῷ μὲν, ἐπανακολουθητικὸς μέν ἐςι καὶ ἀλλὰ, οἷον μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητὴς, κατὰ τὸ πλέον γεμὴν ὁ δέ.

Καὶ, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν. ἀντὶ τοῦ κρατερὸν γάρ.

Ἐπὶ γὰρ αἰτιολογίας ἀπρόσφορος ὁ δέ.

Μετάθεσις.

Σολοικισμὸς δ' ἐκμεταθέσεως.

Καινοπρεπὴς ἐν ταῦθα ἡ σύνταξις, καὶ μὴ καταλλήλως ἔχουσα. οὐ γὰρ ἔφρασε κοινότερον ὁμοιοπτώτως, ὅτι ἢ ἐναλλαγῇ, ἢ μεταθέσει, ἀλλ' ἔφη, ἢ ἐναλλαγῇ, Σολοικισμὸς δὲ ἐκ μεταθέσεως. ἐξαλλάξας τὸ φραςικὸν σχῆμα τοῦ λόγου, ἵνα πως συνεξομοιώσῃ καὶ τὴν φράσιν τῷ τῆς ἐναλλαγῆς πράγματι. εὐοδοῦται δὲ αὕτη ἡ κατὰ σχῆμα ἐναλλαγὴ ἐκ τῆς ἐπεμβολῆς. εἰπὼν γὰρ, ἢ ἐναλλαγῇ, εἶτα ἐπεμβαλὼν τὰ τῆς ἐναλλαγῆς παραδείγματα, ἐντεῦθεν ἀκολούθως μετέβη εἰς τὸ, Σολοικισμὸς δὲ, κτ'. καὶ ἔςι τὸ ὅλον οὕτως. ἢ ἐναλλαγῇ. καὶ οὕτω μὲν τὰ τῆς ἐναλλαγῆς, Σολοικισμὸς δὲ ἐκμεταθέσεως.

Ὡς τὸ Μενάνδρου. θυγάτριον, ἢ νῦν ἡμέρα δίδωσί μοι ἢ δόξαν, ἤτοι διαβολήν. τὸ γάρ τοι ὀρθῶς ἔχον, ἤτοι δόξαν, ἢ διαβολήν.

Ὁ γὰρ ἤτοι, ἰσοδυναμῶν τῷ ἢ, ὅ ἐςι διαζευκτικὸς ὢν, προτακτικός ἐςι τοῦ ἢ, οὐκ ἐπιτακτικός. Θουκυδ': ἀλλ' ἤτοι μαθόντες γε, ἢ μεταγνόντες. ἐπὶ δὲ τῷ Μενάνδρου, ςικτέον.

τὸ δὲ

τὸ δὲ θυγάτριον, καὶ κλητικὴν ἀναγνωστέον· τὰ δὲ τῆς μεταθέσεως πάντα καὶ τάξεως Συμδέσμων ἐστὶν ἀλλαγή. οὐχὶ δὲ σωτηρία καὶ θήτοι προστάγματι ἢ, ἵνα καὶ χήματα λόγου ἀσολίκως μεταθῇ, Ἀλλ' ἀνάγκη, ἵνα μὴ ἐξηγηματικὸς ᾖ ἐπιτατικόμενος. Εἶτα δ' ἂν πρὸς τοῖς ἐκτεθειμένοις καὶ ταῦτα. Ἔκτορι μὲν ὑπήνεσαν, κακὰ μητιόωντι, Πολυδάμαντι δ' ἄρα ἄτης. ὃς ἐσθλὴν φράζετο βουλήν. ἴλ: σ'. τῆς γὰρ βουλῆς ἀπὸ κοινοῦ ληφθείσης καὶ τῷ Ἕκτορι καὶ τῷ Πολυδάμαντι, ὁμοιοπτώτως ἐχρῆν ἐξενεχθῆναι τὰ τοῦ λόγου, ἵν' ᾖ Ἕκτορι μὲν τὴν βουλὴν ἐπήνεσαν, Πολυδάμαντι δ' ἄτης ἐσθλὰ φραζομένῳ. καὶ Συνέσ: ἐπισλ: νή, τοῦτο δὲ δήπουθεν ἔξεστι τοῖς οἰκέταις ποιεῖν. Ἀνδρόνικος δὲ ὁ δὲ τοῦτο. δέον ἀνδρονίκῳ. ἴσῃ μοίρᾳ μένοντι, καὶ εἰ μάλα τις πολεμίζει, Ἰλ: ι'. δέον γάρ, καὶ τῷ πολεμίζοντι κατὰ τὸ, μενοῦντι. ἐγὼ γὰρ ἔγωγε τὸν δεῖνα μένειος χήσεσθαι οἴω, πρίν γ' ἔτι καλλίχροα βῆμεναι ἵππω, φοβηθεὶς τὸ σίχας ἀνδρῶν, ἢ καὶ τὸς σὺν πρώτοισιν ἀλᾶσθαι. Ἰλ: ρ'. ἕτοιμος κοινοῦ, ἢ αὐτὸν ἐνὶ πρώτοισιν ἀλῶναι. ἀλλάσ' ἔγωγε κέλομαι ἀναχωρήσαντα, εἰς πλῆθος ἰέναι, μηδ' αὐτίος ἴσασ' ἐμεῖο. Ἰλ: π'. ἕτοιμος ἀκόλουθον, μηδ' αὐτίον ἴσασθαι. εἶπε δὲ οὐχ ἁπλῶς διὰ τὸ καινότερον τῆς ὡς ἐξ ὑπαρχῆς συντάξεως. ἡδὲ τοιαύτη ἐξαλλαγὴ τοῦ χήματος ὑπελαλήθη καὶ τῷ, φασὶ σὲ μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι, αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος ἀγχίσαο εὔχομαι εἶναι· μὴ δέμοι ἐς Ἀφροδίτη. Ἰλ: υ'. αὐτὶ τοῦ, φασὶ σὲ μὲν ἔκγονον εἶναι τοιῶνδε, ἐμὲ δὲ τοιῶνδε, μοῖρα δέμας τὴν Ἀφροδίτην εἶναι. ἐξηλλάγη ὧδε τὸ χῆμα τῆς φράσεως, ὡς αὖ ἀντιδιαστείλῃ καπάτινας ὁ Αἰνείας τὴν ἑαυτοῦ μητρὸς πλημμέλειας ἐπὶ τοῖς τεκοῦσιν δυκλειαν τῆς περὶ τὸ Ἀχιλέως διαρρήδησις φήμης. ἀλλως δὲ, τῷ σωμδέσμων ὁμοιοπτωτα σωμδεῖν πεφυκότων, ἐπενεχθεῖσι δὲ τῷ δὲ μὲν, τὸ ἐμὲ δέ. Τὸν δ' ὡς ἂν εἰσέπεσε παλάρκης διὸς Ἀχιλλεὺς γυμνὸν ἄπερ κόρυθός τε καὶ ἀσπίδος, ἀδ' ἔχεν ἔγχος, ἀλλὰ τὰ μὲν ῥα ἀπὸ πάντα χαμάδι βάλε. Ἰλ: φ', ἕτοιμος ἀκόλουθον, ἀδ' ἔχοντα ἔγχος, ἀλλ' ἀποβαλόντα. Ἀλλήλοις ὀλέκεσθον ὀϊμωγῇ μόνοι νέκυος πέρι, οἰδὲ, ἐρύσασθαι Τρῶες ἐπιθύουσιν. Ἰλ: σ'. ἕτοιμος κοινὸν, οἰδὲ, ἐρύσασθαι ἐπιθύοντες, ὅ ἐστιν ἐφορμῶντες. ἡδὲ πολὺ χρῆσις τῆς ὁμηρικῆς λογιότητος ἔχει καὶ ἄλλα ἕτοιμος ἀνεπιδύοντα πάντα χήματα εἰς ψυχαγωγίαν τοῖς φιλοκαίνοις. ἅπερ πάντα τὸν σωμδεσμικὸν ἀποπτύσαντα χαλινὸν, τὰ ὅμοια σωμδάπτειν ἐθέλοντος, τὰ μὲν, κατὰ πτῶσιν, τὰ δὲ, κατὰ ἔγκλισιν, τὰ δὲ, κατάτι τῆς τοῦ λόγου μερῶν, ἢ τῆς τούτοις παρεπομένων ἐνήλλακται. ὡς καὶ Θυκδ: δ', γνοὺς ὅτι πλείους ἤδη καὶ τιμωρείας μετιόντες τοὺς ἀδικοῦντας, καὶ ἐλπίσαντες ἕτεροι δυνάμει πλεονεκτήσειν, οἱμὲν, ἀδ' ἐσώθησαν, τοῖς δὲ προσκαταλιπεῖν τὰ αὐτῆς ξυμμβη. ἀντὶ τοῦ γνοὺς ὅτι πολλοὶ μὲν τῆς μετιόντων κτ: τοῖς δὲ πλεονεκτήσειν ἐλπίσασι προσκαταλιπεῖν ξυμμβη. καὶ, τῷ δὲ Ἱπποκράτει ὄντι περὶ τὸ δήλιον, ὡς αὐτῷ ἠγγέλθη ὅτι βοιωτοὶ ἐπέρχονται, πέμπει εἰς τὸ στράτευμα. ἀντὶ τοῦ, ὡς δὲ τῷ Ἱπποκράτει ἠγγέλθη ὄντι, κτ: ἢ ὁ δὲ Ἱπποκράτης περὶ τὸ δήλιον ὢν, ὡς αὐτῷ ἠγγέλθη, πέμπει. Τάπων ὕπως ἔχόντων, ἐπεὶ φησιν ὁ βαθὺς Εὐσάθειος καὶ τὰς παλαιὰς καὶ σολοικισμοὺς ἰσήμασι. καὶ γὰ καὶτοί τινες ἐλέγοντο σολοικισμοὶ, καθάπερ καὶ τὸ ἵππος εἰς πεδίον. αἰτὶ τοῦ εἰς πεδίαδα οἱ ἵπποται χρήσιμοι. ἑαυτὶς καὶ ἐφ' ἑνὸς ἵππου λοιπὸν, ἐξεφαυλίζετο παρὰ τῆς σοφοῖς καὶ αὐτὸς, καὶ σολοικίζειν καὶ νῦν ἐλέγετο· οἷα τὴν παροιμίαν ὕπω παραποιῶν. πιεῖν καὶ τὸ ἀπὸ σκώμματος παλαιὸν ῥηθέν· πα-

θόντος γάρ τινος πρόσκομα, καὶ ἐρωτηθέντος τί τοῦτο; καὶ ἀμαθῶς εἰπόντος ὡς ὑπώπιον πάθοι, ἀκούσας τῶν τις ἔσω λόγου καὶ ἀστείων, καὶ τὴν κεφαλὴν ἐς νέωτα ταινίαις διαλαβὼν, ὅ ἐστι φασκίαις, καὶ ἐρωτώμενος, τί πάθοι; πρόσκομμα ἔφη, καὶ οὕτω τοῖς ἀκροαταῖς ἐκίνησε γέλωτα, ὡς ἐπίσης γελοῖον ὂν ὑπώπιόν τε φάναι παθεῖν περὶ πόδας, καὶ πρόσκομμα περὶ πρόσωπον. ὧν ἐπὶ ποδῶν μὲν τὸ πρόσκομμα, ἐπὶ προσώπου δὲ τὸ ὑπώπιον κυριολεκτεῖται. ὅμοιον δὲ καὶ τὸ, ὠῶν ἑκατόμβη, παιχθὲν παρά τινι παλαιῷ. τί γὰρ κοινὸν ὠοῖς καὶ τῇ ἐκ βοῶν παρωνύμῳ ἑκατόμβῃ; τοιοῦτο καὶ Σοφοκλέους τὸ, ἵπποισιν ἢ κύμβαισι ναυστολεῖς χθόνα; τοῦτ' ἔστιν ἱππότης ἥκεις, ἢ διὰ πλοίου; κἀνταῦθα γὰρ τὸ ναυστολεῖς, ἵπποις μὲν οὐ, κύμβαις δὲ ᾠκείωται. κύμβαι γὰρ πλοίου εἶδος. τοιαῦτα μὲν δὴ καὶ ταῦτα.

Ταῦτά γε μὴν πάντα, εἰ καὶ τοῖς ποιηταῖς σχήματ' ἄττα ἐστὶν, ἡμῖν μέν τοι ὡς ὑποδείγματα κείσθω τοῦ περὶ τὸν πεζὸν Λόγον Σολοικισμοῦ.

Ἐπειδὴ εἰς ὑπόδειγμα τοῦ Σολοικισμοῦ τὰ ποιητικὰ προχειρισάμενος, σύνοιδεν ἑαυτῷ σολοικίαν τῶν ποιητῶν κατειπὼν, ἐπιδιορθώσει χρησάμενος, μὴ εἶναί φησι τὰ τοιαῦτα Σολοικισμοὺς, ἀλλὰ σχήματά τινα, ἡμῖν μέντοι καὶ σχήματα ὄντα, οὐδὲν ἧττόν φησι διευλαβητέα. τί δέ ἐστι σχῆμα, ἐξ αὐτῶν ἂν εἴη τῶν τοῦ Θεοδώρου ξυμβαλεῖν. τὸ γὰρ σχῆμα τῇ φυσικῇ τοῦ Λόγου συμπλοκῇ ἀντιδιήρηται. εἴγ' ἐν ῥῆμα δυοῖν Ὀνόμασιν ἤτοι φύσει φησὶν, ἢ σχήματι συνάπτεται. τὸ δὲ τῇ φύσει ἀντιδιαιρούμενον, ἐκτροπή ἐστι τοῦ κατὰ φύσιν. τὸ ἄρα ἐν Λόγῳ σχῆμα ἐκτροπή ἐστι τῆς φύσει τοῦ Λόγου συμπλοκῆς, ποιά τις οὖσα τῶν Λέξεων συνθέσις, κάλλους ἢ χρείας χάριν ἐξηλλαγμένη τοῦ κατὰ φύσιν. φύσιν δὲ ἐνταῦθά φημι τοὺς τεχνικοὺς Λόγους εἴτ' οὖν κανόνας. ἐπειδὴ δὲ ἡ τοῦ κατὰ φύσιν ἐκτροπὴ διττὴ, ἡ μέν τις, ἐπὶ τὸ κρεῖττον καὶ ὑπὲρ φύσιν, ἡ δὲ, τοὐναντίον ἐπὶ τὸ χεῖρον καὶ παρὰ φύσιν, καὶ τὰ τοιαῦτα ἄρα σχήματα τοῖς μὲν ποιηταῖς εἴη ἂν ὑπὲρ φύσιν, τοῖς δὲ πεζολόγοις παρὰ φύσιν, ὅ ἐστι τοῖς μὲν, ὑπὲρ τοὺς κανόνας, τοῖς δὲ, παρὰ τοὺς κανόνας. δι' ὃ καὶ ὡς ὑποδείγματά φησι, κείσθω τοῦ περὶ τὸν πεζὸν Λόγον Σολοικισμοῦ. Οὐ μὴν ἀλλὰ καὶ τὰ τοῦ ὀρθοῦ Λόγου ὑποδείγματα σχήματά ἐστι καὶ αὐτά. καὶ ἁπλῶς οὐδεὶς τῶν ὀρθῶν Λόγων ἀσχημάτιστος. τὰ γὰρ τοῦ Λόγου μέρη εἴτ' οὖν αἱ Λέξεις καθ' ἑαυτὰς μὲν, σχηματίζονται κατὰ τὰ παρεπόμενα, καθ' ὁ, τιοῦν τῶν σφίσι προσόντων τυπούμεναί τε καὶ οἱονεὶ μορφούμεναι, συντεθεῖσαι δὲ εἰς λόγου συμπλήρωσιν, εἰδοποιοῦνται καθ' ἕντι τῶν τοῦ Ῥήματος εἰδῶν, τῶν ἁπλῶν, ἢ συνθέτων, τῶν μεταβατικῶν, ἢ ἀμεταβάτων. καθάπερ τινα μορφὴν ἀπολαμβάνουσαι τὴν κατ' εἶδος ποιὰν σύνθεσιν. καὶ ὥστε ἀνεπτυγμένως εἰπεῖν, τὸ μὲν Σωκράτης ὄνομα μεμόρφωται παρά τε τὴν εὐθεῖαν πτῶσιν καὶ τὸ ἀρρενογενὲς, καὶ τ' ἄλλα, τὸ δὲ διδάσκει ῥῆμα παρά τε τὸν ἐνεστῶτα χρόνον καὶ τὴν ὁριστικὴν ἔγκλισιν. συντεθέντα δὲ, οἷον Σωκράτης διδάσκει, εἰδοπεποίηται κατὰ μὲν τὰ κοινῇ προσόντα παρά τε τὸ ὁμοιάριθμον καὶ τὸ ταυτοπροσωπικὸν, κατὰ δὲ εἶδος ῥήματος, παρὰ τὸ ἁπλοῦν μὲν καὶ μεταβατικὸν, ἀτελὲς δέ. σχήματα μὲν οὖν ἐστι καὶ τὰ τοῦ ὀρθοῦ λόγου ὑποδείγματα, ἀλλὰ κατὰ φύσιν, τὰ δὲ τοῦ Σολοικισμοῦ, τοῖς μὲν, ὡς εἴρηται, Ποιηταῖς, ὑπὲρ φύσιν, ἡμῖν δὲ, παρὰ φύσιν. οὐ μέντοι γε τῶν ποιητικῶν σχημάτων ἁπλῶς ἕκαστον, ἀλλὰ μόνα τὰ τὸν Σόον αἰκίζοντα λόγον παρὰ φύσιν ἡμῖν ἐστι. τὰ δὲ καλλύνοντα

νοντα αὐτὸν καὶ ἡμῖν ὑπὲρ φύσιν ἐστίν. εἴ γε τό, τε προεπιζευκτικὸν καὶ ἐπιζευκτικὸν τῆς τοῦ λόγου συμπλοκῆς, ποιητικὸν μὲν καὶ οὐ κατὰ φύσιν, οὐδὲν γε μὴν ἧττον καὶ ἡμῖν ζηλωτόν. παρὰ γοῦν τοῖς Ποιηταῖς τῶν προειλημμένων σχημάτων οὐκ ἔστι κατειπεῖν Σολοικισμὸν εἴτ' οὖν Βαρβαρισμόν. κατὰ γὰρ τοὺς κριτικοὺς πᾶν τοιοῦτον λάλημα ἤγουν σχῆμα, (κέκριται δὲ Σολοικοφανῆ τε σχήματα καλεῖν ταῦτα καὶ ἁπλῶς οὕτω σχήματα) ἁμάρτημά ἐστιν ἑκούσιον διὰ τέχνην, ἢ ξενοφωνίαν, ἢ καλλωπισμόν. δι' ὃ καὶ τὴν ἐξάλλαξιν εὔλογον ἔχει. Σολοικισμὸς δὲ ἁμάρτημα ἀκούσιον, ἐξ ἀμαθείας λαληθὲν παρὰ ὄνομα ἢ ῥῆμα, ἢ ἄλλο τι, ὧν λέγουσιν οἱ γραμματικοί. Οἱ μὲν οὖν δόκιμοι τῶν λογίων ἀνδρῶν μηδ' ἄκοντες περιπεπτώκασι τῇ καινότητι τῆς συντάξεως, ἀλλ' ἐπίτηδες ἐτεχνάσαντο, οὐ μὴν ἀλλὰ καὶ πλεῖστα ὅσα ἐκ πονήσαντες, ἅπαξ, ἢ δὶς, ἢ καὶ σπανίως εἰς χρῆσιν τῶν τοιούτων ἐγένοντο, ἡμεῖς δὲ ζηλωταὶ πῶς ἂν εἴημεν τῶν αὐτῶν, οἱ πολὺ τῆς ἐκείνων σοφίας τε καὶ δυνάμεως καὶ χαρακτῆρος καὶ ἰδέας καὶ αὐτῆς τῆς κατὰ σύνταξιν τεχνικῆς ἀκριβείας κατόπιν ἀπολειπόμενοι; ἔχει δὲ συγκρότησιν ὁ λόγος καὶ ἐκ τῶν κριτικῶν, ἐν οἷς φασι, τὸ δὲ Γριφῶδες, ὅ ἐστι τὸ αἰνιγματῷδες καὶ δυσκαταμάθητον τοῦ Λόγου, καὶ γραμματικῶν ἐξηγήσεων δεόμενον, καὶ πολὺ τό, τε βεβιασμένον καὶ Σολοικοφανὲς ἐν τοῖς σχηματισμοῖς ἔχον, οὐ ζηλωτέον θαυμάζοντας, οὔτε μὴν χρηστέον τῇ τοῦ καινίζειν ἐφέσει, τό, τε κατὰ γλῶτταν τῆς Λέξεως καὶ ξένον καὶ ποιητικὸν, κἀν τῇ συνθέσει τοῦ Λόγου τὸ ἐκτόπως περινενοημένον καὶ περιβεβλημένον μετὰ κακοζηλίας, καὶ τὸ δύσηχον καὶ ἀπηχὲς ταῖς ἀκοαῖς τῶν ἀκροωμένων, οὐχ ἡγουμένους ἐπιτήδεια τῷ πεζῷ Λόγῳ, παραλειπτέον. Ἔτι γε μὴν οὐδὲν ἔλαττον ἀπορραπιστέον καὶ τῶν σχημάτων τὸ πεπλανημένον, ἐκ τῆς κατὰ φύσιν ἀκολουθίας ἐξαλλαττόμενον. ἀμαθείας τε γὰρ καὶ ὑπεροψίας φέρει τεκμήριον, τῶν μὲν συνήθων καὶ παλαιῶν καὶ Γραμματικῆς ἐχομένων ἀκριβείας ὡς ἑώλων καταφρονεῖν, τὰ δὲ καινίζοντα ἀνθαιρεῖσθαι τῶν σχημάτων κατὰ τοὺς φιλοκόσμους τὴν ἐξηλλαγμένην ἀεὶ τῆς κοινῆς προτιμῶντας ἐσθῆτος. παρεγγυῶσι δὲ καὶ οἱ παλαιοὶ μὴ μιμεῖσθαι τῶν ὀλίγων σοφιστῶν τὰ φαυλότατα, μηδὲ περιεσθίειν ἐκεῖνα, οἷον, τὸ μῶν. τὸ κᾆτα. τὸ ἦδ' ὅς. ἀμηγέπη. λῷστε. δήπουθεν. καὶ συνεχὲς τὸ ἄττα. οἷον δὴ καὶ τὸ Ἀμμιανοῦ κατὰ τῶν τοιούτων φερόμενον ἐπίγραμμα.

Ὦ γαθὲ, καὶ μῶν οὖν. καὶ πῇ δή. καὶ πόθεν, ὦ τὰν. καὶ θαμά. καὶ φέρε δή. καὶ κομιδή. καὶ ἴθι. καὶ στόλιον, μάλιον, πωγώνιον, ὤμιον ἔξω. ἐκ τούτων ἡνῦν εὐδοκιμεῖ σοφία.

Ἀλλὰ ταῦτα μὲν καὶ τὰ τοιαῦτα καταπατεῖν. καὶ γὰρ καὶ οἱ Ἀττικοὶ κατὰ χρόνους τινὰς πολλὰ ἀνέτρεψαν τῆς σφῶν φωνῆς, καὶ αὐτῶν τῶν παλαιῶν Ὀνομάτων τὰ μὲν, λέγοντες, τὰ δ' οὔ, ὁ πόσα αὐτῶν μὴ συνήθη τοῖς πολλοῖς ὄντα, ἐτάραττε τῶν συνόντων τὰς ἀκοάς. ζηλοῦν δὲ τὰ ἀρχαῖα τῶν παραδειγμάτων, μηδὲ θέλγεσθαι ταῖς ἀνεμόναις τῶν λόγων, ἀλλὰ κατὰ τὸν τῶν ἀθλητῶν νόμον τῇ στερεᾷ τροφῇ συνδιαιτᾶσθαι, χάριτι μάλιστα καὶ σαφηνείᾳ θύοντας. Περινενοημένον μὲν οὖν ἐστι, τὸ συνεστραμμένον καὶ συγκεχυμένον. οὗ μὴ σαφὴς ἀφ' ἑαυτῆς οὐδὲ εὐκρινὴς ἡ ἔννοια, μηδὲ κοινὴ πάντων, ἢ εἰς ἅπαντας ἀνελθεῖν δυναμένη, βαθεῖα δέ τις καὶ ἐκμόνης τῆς τοῦ λέγοντος ἐπινοίας προσειλημμένη, αὐτοῦ τε μόνου εἰς ἐξήγησιν χρῄζουσα. περίνοια γὰρ ἡ πονηρία. Περιβεβλημένον δὲ, ὅ τε τις ἀρξάμενος ἀπὸ πλαγιασμοῦ

πτω-

πτωτικοῦ, στήσει μὲν αὐτίκα τὸν τῆς συντάξεως δρόμον, ἀναρτήσας τέως αὐτὴν, πρὸ δὲ τῆς ῥηματικῆς ἀποδόσεως ἐποίσει σχῆμα ὀρθότητος νόμῳ ἐπεμβολῆς, καὶ ἀπαρτήσας τούτου τὴν ἔννοιαν, εἶτα διὰ μακροῦ ἐπανακάμψει εἰς τὴν ἐξ ἀρχῆς τοῦ πλαγιασμοῦ σύνταξιν, ἔσχατον ἐπαγαγὼν, ὃ προὐκαλεῖτο ῥῆμα ἡ κατάρξασα πτῶσις τοῦ πλαγιασμοῦ, ὡς ἔχει τὸ Ὁμηρικὸν ἐκεῖνο. Ἰλ: υ, Τρῷα δ' ἀλαστορίδην ὁ μὲν, ἀντίος ἤλυθε γούνων, εἴπως εὐπεφίδοιτο, λαβὼν, καὶ ζωὸν ἀφείη, μηδὲ κατακτείνειεν, ὁμηλικίην ἐλεήσας. νήπιος. οὐδὲ τὸ ἤδη, ὃ οὐ πείσεσθαι ἔμελλεν. οὐ γάρτοι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων, ἀλλὰ μάλ' ἐμμεμαώς. ὁ μὲν, ἥπτετο χείρεσι γούνων, ἱέμενος λίσεσθ', ὁ δὲ, φασγάνῳ οὖτα καθ' ἧπαρ. Ἐν ᾧ ὁ Ποιητὴς σχεδιάζων, καὶ κατενεχθεὶς εἰς αἰτιατικὴν πτῶσιν, εἶτα συνιδὼν ἐν ταῦθα, ὅτι ἐχρῆν πρὸ τούτου ἄλλο τι ἀναγκαῖον εἰπεῖν πρὸ τῆς ῥηματικῆς ἀποδόσεως, εἰ καὶ τῷ σχεδιασμῷ ἔλαθεν, ἵστησι μὲν ἐν ταῦθα τὸν Λόγον, ἐπεμβαλὼν δὲ τὸ ἐνθυμηθὲν κατ' ὀρθὸν σχῆμα, καὶ συμπληρώσας τὴν τούτου διάνοιαν, μετ' αὐτὸ ἀπαρτίζει τὴν προκειμένην σύνταξιν, ἐπαναλαβὼν μὲν πρότερον γοργῶς ἐν μέσῳ ἕκτου στίχου τὸ ἐπεμβληθὲν, ἐπαγαγὼν δὲ ἔπειτα πρὸς τὸ τρῷα τὸ φασγάνῳ οὔτασεν. οὗ τὸ εὐσύντακτον οὕτως ἔχει. Τρῷα δ' ἀλαστορίδην φασγάνῳ οὖτα καθ' ἧπαρ. ἵν' ὡς ἐν ὀλίγῳ σχηματίσας, δίχα ἐπεμβολῆς λέγῃ, Τρῷα δ' ἀλαστορίδην, ὁ μὲν (τρῷς) ἥπτετο γούνων, ὁ δὲ, (ἀχιλλεὺς) φασγάνῳ οὔτασεν. ὅμοιον ὡς εἴ τις εἴποι, τόνδε τὸν πένητα, ὁ μὲν, (ὁ πένης λέγω) ἥκει γουνασόμενος, εἴπως ἄρτου τις λαβὼν, ἢ ψυχροῦ ποτήριον, μεταδῷ, τὴν ἀνθρωπότητα ἐλεήσας, νήπιος. οὐδὲ ἤδη μὴ πείσων. οὐ γὰρ γλυκύθυμος ὁ πολὺς ἀνός. καὶ ὁ μὲν, οὕτω γουνάζεται, ὁ δὲ, ῥάβδῳ πλήττει κατὰ κεφαλῆς, τὸν ἐξ ἀρχῆς δηλαδὴ ῥηθέντα πένητα. Καὶ συνελόντι περιβλητικά ἐστι σχήματα, τὰ διὰ μακροῦ ἐκφερόμενα εἴτ' οὖν ἀποδιδόμενα. ὧν τὸ ἐπεμβληθὲν, χρῄζει καὶ ἐπαναλήψεως εἰς εὐκρίνειαν, ὡς ἂν μὴ συγχέοιτο ὁ Λόγος. οἷόν τι καὶ Θουκυδ: γ', ὁ δὲ, (πάχης) προσκαλεσάμενος ἐς λόγους ἱππίαν, ὁ μὲν, (ἱππίας) ἐξῆλθε παρ' αὐτὸν, ὁ δὲ, ἐκεῖνον μὲν ἐν φυλακῇ ἀδέσμῳ εἶχεν, αὐτὸς δὲ προσβαλὼν τῷ τειχίσματι, αἱρεῖ. οὗ τὸ εὐσύνοπτον, ὁ δὲ, προσκαλεσάμενος ἱππίαν, ἐκεῖνον μὲν ἐξελθόντα ἐν φυλακῇ εἶχεν, αὐτὸς δὲ, κτ'. Κακόζηλον δέ ἐστιν, ὅταν μιᾷ Λέξει τροπικῇ μὲν κατὰ ῥήτορας, μεταφορικῇ δὲ κατὰ Γραμματικοὺς, χρησάμενοι, εἶτα τὸ πλῆρες τῆς τροπῆς κατὰ συζυγίαν εἴτ' οὖν ἀκολουθίαν ἀποδοῦναι μὴ δυνηθῶμεν. τροπὴ δέ ἐστι τὸ μὴ τοῦ ὑποκειμένου πράγματος, ἀλλοτρίου δὲ σημαντικὸν ὄνομα θεῖναι, κοινὸν εἶναι δυνάμενον τοῦ τε ὑποκειμένου καὶ τοῦ ἔξωθεν ὑπεμφαινομένου. οἷον, προπέποται τὰ τῆς πόλεως. ἀντὶ τοῦ προδέδοται. καὶ, τιθασσεύουσιν. ἀντὶ τοῦ κολακεύουσιν. οὔτε γὰρ ἐκεῖ συμπόσιον ἐμφαίνεται ὑποκείμενον τῷ λόγῳ, οὔτε ἐν ταῦθα θηρία τιθασσευόμενα. ἀρετὴ δὲ τοῦ τοιούτου εἴδους τὸ πᾶσαν ἐνθέντα τὴν παραβολὴν, σύστοιχόν τι καὶ συγγενὲς ἐφεξῆς τῆς τροπῆς ὄνομα ἀποδοῦναι, ἐλλεῖπον δὲ, κακοζηλότερον ἔσται, ὅτι μὴ αἱ μετρίως ἔχουσαι τῶν τροπῶν, καὶ τὸν λόγον σεμνύουσαι, οὐδὲ ἐμφαίνονται. ὡς τὸ τὴν ἀγαθὴν προβαλλομένους ἐλπίδα. ἀντὶ τοῦ ἀγαθὰ ἐλπίζοντας. δι' ὃ οὐδὲ ἀποδόσεως δέονται. περὶ τὸν πεζὸν δὲ λόγον φησὶ. καθ' ὅ, τι οἱ ἔμμετροι τῶν λόγων τοῖς μέτροις ὡς ἵπποις ἐπιβεβηκότες, ἔποχοι ἂν λέγοιντο, ἔφιπποί τινες ὄντες. οἱ δὲ, οἷα ποδῶν τῶν μέτρων στερούμενοι, πεζοὶ ἂν εἰκότως καλοῖντο. φησὶ δὲ καὶ ὁ παρὰ Πλουτάρχῳ Θέων, τοὺς

Φίφου

Φίφους καὶ Ἱστορικοὺς πρότερον μὲν ἐν ποιήμασιν ἐκφέρειν τὰ δόγματα καὶ τοὺς λόγους, ὕστερον δὲ καταβῆναι ἀπὸ τῶν μέτρων ὥσπερ ὀχημάτων τὴν Ἱστορίαν, καὶ τῷ πεζῷ μάλιστα τοῦ μυθῴδους ἀποκριθῆναι τὸ ἀληθές.

Ἐπεὶ δὲ περὶ Λόγου συντάξεως καταλλήλου θεωροῦμεν, περὶ αὐτοῦ πρότερον τοῦ καταλλήλου ῥητέον κοινῇ.

Περὶ οὗ καὶ προηγουμένως εἰπεῖν πρόκειται. Φίφος δ' ὢν ὁ Θεόδωρος, φυσικῶς τὰ τῆς τάξεως μεθοδεύεται, ἀπὸ τῶν καθολικωτέρων ὁδεύων ἐπὶ τὰ μερικώτερα. κἀπὶ τὰ σύνθετα ἀπὸ τῶν ἁπλῶν. εἴγε πρῶτον μὲν περὶ τοῦ κοινῇ τε καὶ ἁπλῶς καταλλήλου φησὶν, ἔπειτα περὶ τοῦ πῇ τε καὶ καθ' ἕκαστον τῶν μερῶν παρυφισταμένου. οὕτω κἀντῷ β', φαίνεται πεποιηκὼς περὶ τε τῶν κλίσεων καὶ τῶν συζυγιῶν, τὰ κοινὰ πρῶτον τούτων, εἶτα τὰ ἴδια ἐκτιθέμενος, συνῳδὰ τῷ Φιλοσόφῳ λέγοντι ἐν τῷ α', τῶν περὶ ἀρχῶν, κφ: ζ'. ἔστι γὰρ κατὰ φύσιν τὰ κοινὰ πρῶτον εἰπόντας, οὕτω τὰ περὶ ἕκαστον ἰδίᾳ θεωρεῖν.

Εἶτα περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ θεωρητέον τὸ ὀρθόν τε καὶ μή.

Ὁρᾷς ὡς ὕστερον ὑπισχνεῖται ματὰ τὸ ὀρθὸν τὴν τοῦ ἀκαταλλήλου θεωρίαν; πῶς οὖν οὐκ εὐήθεις οἱ περὶ Σολοικισμοῦ πρότερον λέγειν αὐτὸν ὑποτοπάσαντες; ἀλλ' ἐνίστασαι, ὡς οὐδαμοῦ φαίνεται μετὰ τὴν τοῦ ὀρθοῦ Λόγου διδασκαλίαν τὴν ἐναντίαν ἐκθέμενος. ἢ παρέλκον ἂν εἴη. ὁ γὰρ τὸ ὀρθὸν εἰδὼς, καὶ τοὐναντίον εἴσεται, τῆς ὀρθότητος ἐκτρεπόμενος. καθ' ὅ, τι τῶν ἐναντίων ἡ αὐτή ἐστιν ἐπιστήμη. κοινῇ μὲν οὖν θεωρεῖται τὸ ὀρθὸν κατὰ τὸ ταυτοπροσωπικὸν καὶ ἀμετάβατον. ἰδίᾳ δὲ, κατὰ τὸ ἑτεροπροσωπικὸν καὶ ἐν διαβάσει. καὶ ὡς εἰπεῖν, κοινῶς μὲν, κατὰ τὰ κοινῇ τοῖς τοῦ λόγου μέρεσι παρεπόμενα, ἰδίᾳ δὲ, καθ' ἕκαστον τῶν τοῦ λόγου μερῶν. ἡ δὲ περὶ, ᾧδε τὸ ὑλικὸν αἰτιολογοῦσα φαίνεται καθ' ἑκατέρας τὰς πτώσεις.

Ἔστι μὲν οὖν οὐκ ἐν τοῖς ὑποκειμένοις τὸ κατάλληλόν τε καὶ μὴ, ἀλλ' ἐν τῇ συντάξει τῶν Λέξεων. αἷς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον. εἰ οὖν, ὑπούσης θηλείας, λέγοι τις, αὕτη με ἔτυψαν, Σολοικίζει διὰ τὸ ἀκατάλληλον τῶν λέξεων, κἂν ἀληθεύῃ τῷ γένει. εἰ μέντοι, οὗτός με ἔτυψεν, οὐθὲν ἁμαρτάνει. ἔχει γὰρ τὸ τοῦ καταλλήλου δέον ὁ λόγος.

Ὑποκείμενά τινες οὐκ αὐτὰ τὰ πράγματα, καθ' ὧν αἱ λέξεις, τὰς δὲ λέξεις αὐτὰς ἐξελάβοντο. καὶ οὖν ἔδει κατ' αὐτοὺς ἐπειπεῖν, ἀλλ' ἐν τῇ τούτων συντάξει, οἷς παρέπεται, καὶ μὴ, ἐν τῇ τῶν λέξεων, αἷς. ἀλλὰ γὰρ οἷς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον, ἐν τούτοις τὸ ἀκατάλληλον. ἀλλὰ μὴν ταῖς λέξεσι παρέπεται τὸ μεταποιεῖσθαι, τῶν ὑποκειμένων πραγμάτων ἁπάντοτε τῶν αὐτῶν ὄντων κατὰ Ἀπολλών:, ἐν αὐταῖς ἄρα τὸ ἀκατάλληλον. αὗται δέ εἰσιν ὑποκείμενα κατ' αὐτοὺς, ἐν τοῖς ὑποκειμένοις ἄρα. καὶ μὴν οὐκ ἐν τοῖς ὑποκειμένοις φησὶ Θεόδωρος. οὐκ ἄρα τὰς λέξεις ὑποκείμενα, ἕτερα δὲ παρὰ ταύτας. τὰ πράγματα ἄρα, καθ' ὧν αἱ λέξεις. φησὶ γὰρ, εἴπερ θηλείας ὑπούσης, ὅ ἐστι ὑποκειμένης τῷ λόγῳ, λέγοι τις κατ' αὐτῆς τὸ, αὕτη με ἔτυψαν. ὡς εἶναι τὸ ἀκατάλληλον οὐκ ἐν τῇ ὑποκειμένῃ θηλείᾳ, ἀλλ' ἐν τῇ συντάξει τῶν κατὰ τῆς θηλείας λεγομένων λέξεων. ὑποκειμένων δὴ κατά τε Θεόδωρον καὶ Ἀπολλώνιον ταῖς λέξεσι τῶν ὄντων, λέγοιντ' ἂν καὶ αἱ λέξεις κατὰ τὸ ἀκόλουθον κατη-

κατηγορεῖσθαι τῶν ὄντων, οὔ γε μὴν ἡ Φωναὶ ἁπλῶς, ἡ δὲ σημαντικαί. καὶ δὴ οὐκ ἐν τοῖς πράγμασιν, ὧν αἱ φωναὶ εἴτ' οὖν αἱ Λέξεις εἰσὶ σημαντικαὶ, καὶ καθ' ὧν κατηγοροῦνται, τὸ ὀρθόν τε καὶ μὴ, καταφαίνεται νοούμενον, ἐν δὲ τῇ ποιᾷ τῶν Λέξεων συντάξει, καὶ ὡς εἰπεῖν ἐν τοῖς ταῖς Λέξεσι παρεπομένοις. ὥστε καὶ θηλείας ὑποκειμένης, κατ' αὐτῆς εἰπόντις, οὗτός με ἔτυψε. κἂν τῷ πράγματι ψεύδηται, ἐν ἀλλάξας τὸ γένος, ὅ ἐστιν ἀρρενώσας τὸ θῆλυ, τῇ γε μὴν τοῦ λόγου ὁμοιαρίθμῳ συντάξει οὐδὲν ἁμαρτάνει. τὰ γὰρ τοῦ λόγου μέρη κατάγε τὰ ἀμφοῖν παρεπόμενα εὖ ἔχει τῆς πρὸς ἄλληλα συντάξεως. εἰ μέντοιγ' εἴποι κατὰ τῆς αὐτῆς, αὕτη με ἔτυψαν, κἂν ἀληθεύῃ τῷ θηλυκῷ γένει διὰ τοῦ αὕτη, σεσολοίκισται ὅμως κατὰ τὸν παρεπόμενον ἀριθμὸν διὰ τοῦ ἔτυψαν, τὰ ταυτοπροσωποῦντα τῶν μορίων, τ' οὔνομα λέγω καὶ τὸ ῥῆμα ἀνακολούθως εἴτ' οὖν ἀνομοιαρίθμως προενεγκάμενος. Ἡ μὲν οὖν παρὰ πᾶσι συμφώνως πιστευθεῖσα δόξα φησὶν Ἀπολλ': βούλεται μιᾶς μὲν λέξεως κακίαν εἶναι τὸν Βαρβαρισμὸν, ἐπιπλοκῆς δὲ λέξεων ἀκαταλλήλων τὸν Σολοικισμὸν, τινὲς δὲ ταύτην φησὶν ἐπετάραξαν, εἰσηγησάμενοι καὶ ἐν μιᾷ λέξει καταγίνεσθαι Σολοικισμὸν, εἰ κατὰ θηλείας φαίη τις, οὗτός με ἔτυψε. Πρὸς ὃ ῥητέον ὡς οὐκ ἄρα ἐν νυκτὶ ἐγχωρήσει ὁ καινότερος ἐπινοηθεὶς παρ' αὐτῶν διὰ τῆς οὗτος Ἀντωνυμίας Σολοικισμός. καὶ δέον αὐτοὺς προσθεῖναι τῷ κατ' αὐτὸν ὅρῳ, ὅτι μὴ ἐν νυκτερινῷ καταστήματι εἴη τὰ τῆς συντάξεως. (καθ' ὅ, τι τὰ τοῦ γένους ὑπ' ὄψιν μὲν πίπτοντα καὶ δεικνύμενα, πρόδηλά ἐστιν, ὅ ἐστιν ἐν ἡμέρᾳ καὶ φωτὶ, τῆς δεικτικῆς Ἀντωνυμίας ὑπ' ὄψιν ἀπαιτούσης τὰ δεικνύμενα, ἐν δὲ τῷ χρήματι τῆς νυκτὸς ἄδηλα καθειστήκει, ὡς τῇ ὄψει μὴ ὑποπίπτοντα.) οὗτί γελοιότερον; οἱ γὰρ Σολοικισμοὶ ἀκοῇ ὑποπίπτουσιν, ἐλεγχόμενοι ἐκ τῆς κατὰ παράθεσιν τῶν Λέξεων συνούσης ἀκαταλληλίας, ὧν μεταλαμβάνουσι καὶ οἱ τεθρυμμένοι εἴτ' οὖν πεπηρωμένοι τὰς ὄψεις, εἴ γε μὴ ἐλλειπεῖς εἰσι τοῦ ἐξιδιοποιουμένου τὴν φωνὴν αἰσθητηρίου, λέγω τῆς ἀκοῆς. τὸ οὖν κατὰ θηλείας λεγόμενον, οὗτός με ἔτυψεν, οὐχ ἁμάρτημα τοῦ Λόγου. τὸ δέον γὰρ τοῦ καταλλήλου ἀνεδέξατο, ὁμοιαρίθμων ὄντων ἑκατέρων τῶν μερῶν. εἴ γε μὴν, ὑπούσης θηλείας, φαίη, αὕτη με ἔτυψαν, ὁμολόγως σολοικιεῖ διὰ τὸ τῶν Λέξεων ἐν ἀριθμῷ ἀκατάλληλον, κἂν ἀληθεύῃ τὸ γένος. οὐ γὰρ ὡς εἴρηται, ἐν τοῖς ὑποκειμένοις ἐστὶ τὸ ἀκατάλληλον, ἢ κατάλληλον, ὥστε διὰ τῆς τῶν ὑποκειμένων δείξεως ἀπελέγχειν τοὺς Σολοικίζοντας, ἐν δὲ τῇ τῶν Λέξεων Συντάξει. αἷς παρέπεται τὸ μεταποιεῖσθαι εἰς τὸ δέον, τῶν ὑποκειμένων ἁπάντοτε τῶν αὐτῶν ὄντων, καὶ μὴ μεταποιουμένων κατὰ γένος, ἢ κατὰ ἀριθμὸν. ἐν τούτοις μὲν γὰρ τὸ ἀληθές τε καὶ ψευδὲς θεωρεῖται, τὸ δὲ ὀρθόν τε καὶ μὴ, ἐν τῷ λόγῳ. ὥστε καὶ ὁ εἰπὼν ἡγῆ περιέχει τὸν οὐρανὸν, ψεύδεται μὲν, οὐχ ἁμαρτάνει δὲ τὰ περὶ τὴν συντάξιν. ἔστιν οὖν καὶ οὐδετέρως φάναι κατὰ θηλείας, τοῦτό με ἔτυψε. καὶ οὐδὲ οὕτω τὰ τοῦ λόγου ἠλόγηται. κατ' οὐδένα γὰρ τρόπον ἐλλειπὲς γενήσεται, ἀναφερόμενον ἐπὶ τὸ γένναιον. καθάπερ ἐκεῖ τὸ, νεφέλη δέ μιν ἀμφιβέβηκε κυανέη μελάντερος, τὸ μὲν, οὔποτ' ἐρωεῖ. τὸ γὰρ, τὸ μὲν, οὐκ ἐπ' ἄλλο, ἢ πρὸς τὸ συνώνυμον εἴτ' οὖν συγγενὲς τῇ νεφέλῃ νέφος ἀπήντησε. καὶ ἔτι ἐπὶ πλήθους. ᾗ μάλα δὴ τάδε δώματα κάλ' Ὀδυσῆος. οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσαιτο. πρὸς γὰρ τὸν συνώνυμον τοῖς δώμασιν οἶκον παρείληπται τὸ ἐνικὸν μίν. δώματα γὰρ καὶ οἶκος συνωνυμοῦσιν ἀλλήλοις. Ἦν μέντοι ἐκεῖνο παρακινδυνευόμενον, τὸ ἐν συνθέτῳ λέξει

ὑπο-

ὑποφαίνεσθαί τινα Σολοικισμόν. λέγω ἐπὶ τοῦ ἑνδέκατος, ἢ ἐπιπλέον τοῦ ἑνδεκάτη, διὰ τὸ συγκεῖσθαι ἐξ οὐδετέρου καὶ ἀρσενικοῦ, ἢ θηλυκοῦ. οὐ γὰρ ἐκεῖνό ἐστι φάναι, ὅτι ἡ ἑνὸς ἔγκειται τοῦ ἀρσενικοῦ γενική. παρὰ γὰρ τὰς εὐθείας αἱ συνθέσεις τῶν τοιούτων ἀριθμητικῶν ὀνομάτων γίνονται. οἷον, δέκατος, τρεισκαιδέκατος. τεσσαρεσκαιδέκατος. ὅπουγε κἂν δοίημεν τὴν τοῦ ἑνὸς ἀρσενικοῦ ἐγκεῖσθαι γενικὴν, οὐδ' οὕτω τὸ ἑνδεκάτη θηλυκὸν συνίσταται. Ἐφ' οὗ σχήματος τὸ μὲν ἁπλοϊκόν ἐστι φάναι, ὡς παρὰ τὸν ἕνδεκα ἀριθμὸν, εἴτε ἐκ παραθέσεως ὄντα, εἴτε καὶ ἐκ συνθέσεως, παραγωγή τις ἐγένετο ἡ τοῦ ἑνδέκατος. καὶ οὕτω διαπεφευγὸς ἂν εἴη τὸ ἀκατάλληλον, ὡς ἕβδομος, ἑβδόματος. ἀφ' οὗ τὸ θηλυκὸν ἑβδομάτη. οὕτω καὶ παρὰ τὸ ἕνδεκα, ἑνδέκατος, ἑνδεκάτη. ὅτι δὲ οὐ μόνον ἐκ συνθέσεως, ἀλλὰ καὶ ἐκ παραθέσεως δύοιν ἓν γίνεται παράγωγον, διὰ πλειόνων δείκνυται. τὸ αὐτὸ, ταυτότης. παρὰ ποταμὸν μένει ὁδεῖνα, παραποτάμιος. ἔστι δὲ ἀκριβέστερον φάναι, ὡς κἂν παρὰ τὸ δέκατος ἦν ἡ σύνθεσις, πάλιν τὰ τῆς συνθέσεως ἐν λόγῳ τὴν τοῦ οὐδετέρου σύνθεσιν ἀναδέχεται, λέγω τοῦ ἕν. πᾶν γὰρ τὸ παρὰ ἀριθμὸν συγκείμενον, τοῦτο ἐκ κοινότητος τοῦ ἀριθμοῦ παραλαμβάνεται. οἷον, οἱ τέσσαρες, αἱ τέσσαρες, τεσσαρεσκαιδέκατος. οἱ καὶ αἱ τρεῖς, τρεισκαιδέκατος. καὶ οἱ λοιποὶ ἀριθμοί. οὐδὴ οὖν παρὰ τὴν τοῦ εἷς ἀρσενικοῦ γενικὴν ἐδύνατο τὰ τῆς συνθέσεως τοῦ ἑνδέκατος καὶ ἑνδεκάτη ἐγγίνεσθαι. καθ' ὅ, τι οὐχ ὥσπερ οἱ παρὰ τὸ εἷς ἑξῆς ἀριθμοὶ οἱ δύω λέγω καὶ τρεῖς, οὕτω τοι καὶ τὸ εἷς κατηγορεῖται τοῦ ἀρσενικοῦ τε καὶ θηλυκοῦ, μόνον ἀρσενικὸν ὄν. ἐν οἷς δ' οὐκ ἔστι γένος κοινὸν, ἄμφω τὰ γένη συνωθεῖται εἰς τὸ οὐδέτερον. ὥστε καὶ τὸ, οὗτος καὶ αὕτη, εἰς ἓν συνωθεῖται τὸ τοῦτο. καὶ πάλιν παραστατικόν ἐστι τῶν αὐτῶν. διὸ καὶ κατὰ τοῦτον τὸν λόγον κἂν φῶμεν ἐπὶ γυναίου τοῦτο, οὐ σολοικιοῦμεν, ὥς τινες ὑπέλαβον, πρὸς γὰρ τὸ γύναιον τὰ τῆς συντάξεως ἀναφέρεται. καὶ περισσὸν εἰς τὸ τοιοῦτο πλείονα παρατίθεσθαι. ἀναλόγως ἄρα κἀπὶ τοῦ ἑνδέκατος τὸ ἓν παρελήφθη κατὰ τὴν σύνθεσιν, ἵνα μήτε τὸ ἀρσενικὸν ἐξιδιοποιήσοιτο μήτε τὸ θηλυκὸν, ἀλλ' εἴη κοινὸν ἐπ' ἀμφοῖν τῶν γενῶν.

Ὥστε αἱ Λέξεις ἀναμεμερισμέναι εἰς Θέσεις ἰδίας, τὰ ὁπωσοῦν παρεμπίπτοντα εἰς οὐκ ἐπιβάλλουσαν Θέσιν ἐλέγχουσι διὰ τῆς παρ' ἑαυτῶν ἀκολουθίας.

Θέσεις ἐν ταῦθα οὐ τὴν ἁρμόζουσαν τῶν μορίων ἑκάστῳ φυσικὴν τάξιν δηλοῖ, ἀλλὰ τὰ ἑκάστῳ παρεπόμενα, ὡς αὐτὸς οὗτος ἑαυτὸν ἑρμηνεύει. φησὶ καὶ γὰρ, τῶν μορίων τὰ κατὰ Θέσιν μὴ ἐπιβάλλουσαν παρεμπίπτοντα, αἱ εἰς ἰδίας Θέσεις ἀναμερισθεῖσαι λέξεις, ἐλέγχουσι διὰ τῆς παρ' ἑαυτῶν ἀκολουθίας. ὃ ταὐτόν ἐστι τῷ ἐκ τῆς ἰδίας ἑαυτῶν Θέσεως, καὶ ὡς εἰπεῖν διὰ τῶν αὐταῖς παρεπομένων. οὐ μὴν ἀλλὰ καὶ ὑποκαταβὰς, τὰ εἰς γένη καὶ πτώσεις, ἀριθμούς τε καὶ πρόσωπα μεταχηματιζόμενα, ἐξ ἰδίων μεταχηματισμῶν λέγει μεταλαμβάνεσθαι, τὰς ἀνωτέρῳ Θέσεις ἰδίας, ἰδίους μεταχηματισμοὺς ἐν τοῖς ἑξῆς προσειπών. ἰδίους δὲ πάλιν τῶν μορίων μεταχηματισμοὺς τὰς ἀκολουθίας ὁ αὐτός φησιν, ἀριθμῶν τυχὸν, προσώπων, γενῶν, πτώσεων, χρόνων, εἰς ἃ κατὰ τὸ δέον τὰ τοῦ λόγου μέρη ἀναμεμέρισται. ταῦτα δὲ παρεπόμενα τῶν μορίων ἀκούει, ἄρα. σαφέστερον δὲ ἐν τοῖς ἑξῆς κεῖται. ἔνθα φησὶν, αἰγοῦν κυρίως Ἐγκλίσεις εἰς πρόσωπα καὶ ἀριθμοὺς μερισθεῖσαι, τὸ ἀκατάλληλον συνελέγχουσι διὰ τῆς παρ' ἑαυτῶν

αὐτῶν ἀκολουθίας. τῶν γὰρ λέξεων τὰς ἐν ταῦθα εἰς ἰδίας θέσεις ἀναμερισθείσας, εἰς πρόσωπα καὶ ἀριθμοὺς εἶπεν ἐκεῖσε ἀναμεμερίσθαι, ταὐτὸν ὂν εἰπεῖν εἰς τὰ παρεπόμενα. ἐρεῖ δὲ καὶ τὸ γράφειν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ μεταληφθῆναι. ἐν γοῦν τῷ αὐτῇ μὲ ἔτυψαν, ἑκατέρων τῶν μορίων, τοῦ τε Ὀνόματος καὶ τοῦ Ῥήματος ἀναμεμερισμένων τοῦ μὲν, εἰς γένος καὶ πτῶσιν, τοῦ δὲ, εἰς διάθεσιν καὶ χρόνον, ἀμφοῖν δὲ, εἰς ἀριθμὸν καὶ πρόσωπον, θάτερον, ὁπότερον βούλει, διὰ τῆς παρ' ἑαυτοῦ ἀκολουθίας, τοῦ κοινῇ φημι παρακολουθοῦντος ἀριθμοῦ, ἐλέγχει τὸ ἕτερον παρεμπεσὸν κατὰ ἀκολουθίαν τὴν θατέρῳ μὴ ἐπιβάλλουσαν, τὸ μὲν, διὰ τοῦ ἑνικοῦ τὸ πληθυντικὸν, τὸ δὲ, διὰ τοῦ πληθυντικοῦ τὸ ἑνικόν. Ἐντεῦθεν δὲ δῆλον, ὡς πρὸς τὴν τῶν ταυτοπροσωπικῶν λέξεων ἐπιπλοκὴν συνδέσμου λόγον πληροῖ ἡ τῶν παρεπομένων ταὐτότης. ὡς γὰρ ἐκεῖνοι, οὕτωτοι καὶ τῶν παρεπομένων ἡ ταὐτότης τὰς λέξεις συνδεῖν ἀλλήλαις πέφυκεν. ὅπερ ἐστιν ἡ συνεκτικωτάτη αἰτία τοῦ πρώτου καὶ ἀρχικοῦ καταλλήλου. τὸ γὰρ κατὰ τὴν ἐπιβάλλουσαν, ἢ μὴ, Θέσιν, τὸ κατὰ ταὐτὰ καὶ μὴ, βούλεται. Ἀπορήσειε δ' ἄν τις οὐκ ἔξω λόγου, τί δήποτε τὰ παρεπόμενα Θέσεις ἤκουσεν; ἢ ὅτι τὸ τῆς Θέσεως ὄνομα τῶν πολλαχῶς ἐστι λεγομένων. Θέσις γάρ ἐστι παράδοξος ὑπόληψις, εἴ τ' οὖν δόξα ἑνός τοῦ τῶν ἐπὶ Φιφίᾳ γνωρίμων, ὡς ἡ τοῦ Ἡρακλείτου. ὅτι πάντα κινεῖται, καὶ ἡ τοῦ Παρμενίδου, ὅτι ἐν τὸ ὂν καὶ ἀκίνητον. καὶ ἡ τοῦ Ἀντισθένους. ὅτι οὐκ ἔστιν ἀντιλέγειν. καὶ τὰ ῥητορικὰ Προβλήματα, ἔτι καὶ αἱ συλλογιστικαὶ Προτάσεις, πᾶσά τε Ἀρχὴ ἀναπόδεικτος καὶ παρὰ πᾶσιν ὁμολογουμένη, Θέσις ἀκούει, ἐν ᾗ ὡς ἐν ὡρισμένῳ τινὶ ὑποκειμένῳ τὰ ἐφεξῆς συνίσταται. καθ' ὃ δὴ σημαινόμενον Θέσεις ἤκουσαν καὶ τῶν τοῦ λόγου μερῶν τὰ παρεπόμενα. ὡς γὰρ ἐπὶ τοῦ συλλογιστικοῦ Λόγου τεθέντων τινῶν, ἅ ἐστιν ὁμολογηθέντων, παραδεχθέντων, αὐρωθέντων (αὗται δέ εἰσιν αἱ Προτάσεις) ἕτερόν τι τούτων ἐξ ἀνάγκης συμβαίνει, τοῦτο δὲ ἤ τοι ἀληθείας ἐστὶν ἢ ψεύδους ἐνδεικτικὸν, οὕτω κἀνταῦθα, λέγω δὴ ἐπὶ ταυτοπροσωπίας ὡς ἐξ ἀναποδείκτου καὶ ὁμολογουμένης ἀρχῆς τῆς τῶν παρεπομένων, δύοιν θάτερον ἕξει τὰ τοῦ λόγου, ἤ τοι τὸ κατάλληλον, ἢ τὸ μὴ τοιοῦτον. Θέσεις μὲν οὖν τὰ ὡς εἴρηται παρεπόμενα ἐκ λήπτεον, λέξεις δὲ οὐχ ἁπλῶς, (εἴγε τῶν πτωτικῶν τὰ ταυτοπροσωποῦντα, οἷον ὁ ἀγαθὸς Σωκράτης, εἰς κοινὰς ἀλλ' οὐκ εἰς ἰδίας θέσεις ἀναμεμέρισται) ἀλλὰ τὰ τοῦ λόγου μέρη τὰ ἀλλήλοις ἀντιδιαιρούμενα. τούτων γὰρ, ὡς ἑξῆς ἐρεῖ, τὰ μὲν, εἰς γένη καὶ πτώσεις, τὰ δὲ, εἰς πρόσωπα καὶ χρόνους μεταχηματίζεται.

Σὺ δέ μοι σημείωσαι, ὅτι αἱ εἰς ἰδίας Θέσεις ἀναμερισθεῖσαι λέξεις, τὰς εἰς οὐκ ἐπιβάλλουσαν θέσιν παρεμπιπτούσας, οὐ διὰ τῆς ἰδίας, διὰ δὲ τῆς κοινῆς ἐλέγχουσι θέσεως. τὸ γὰρ Σωκράτης περιπατεῖ, δι' ἀριθμῶν καὶ προσώπων τῶν ἀμφοῖν προσόντων, οὐ μὴν διὰ γενῶν τε καὶ διαθέσεων, ἢ χρόνων διαιτηθήσεται. κατὰ δὴ τὴν κοινὴν τῶν τοῦ λόγου μερῶν σύνταξιν καὶ ἡ ἰδία περὶ ἕκαστα τούτων, εἰς Θέσεις καὶ αὐτὴ καὶ οἱονεὶ κανόνας καὶ τόπους ἀναμεμέρισται. τούτων δ' ἀναποδείκτως, ὡς εἴρηται, λαμβάνεσθαι ὀφειλόντων, τὸ καὶ ἐπ' αὐτῶν λόγον ζητεῖν, ἐκ περιουσίας ἂν εἴη. οἷον, τοῦ τὰ πτωτικὰ τῶν μερῶν, ἢ τὰ ἄπτωτα τοιαῖσδέ τισι πτώσεσιν, ἢ τοιοῖσδε χρόνοις συντάσσεσθαι. κατὰ γὰρ τὸν Ἀριστοτέλην α', τῶν τοπικῶν, οὐ δεῖ ἐν ταῖς ἀρχαῖς ἐπιζητεῖσθαι τὸ διὰ τί, ἀλλ' ἑκάστην τῶν ἀρχῶν, αὐτὴν καθ' ἑαυτὴν εἶναι πιστὴν, ἥκιστα μὲν ἀποδείξεως, ἀναπτύξεως δὲ μόνον τῆς κατὰ τοὔνομα ἐπιδεομένην. οὐδεὶς γοῦν τὸν Γεωμέτρην ἀπαιτήσειε, διὰ τί ἀμερὲς

τὸ Ση-

τὸ Σημεῖον, ἢ ἀπλατὲς μῆκος ἡ Γραμμὴ, ἤτι τοιοῦτο, ἀλλ' ἱκανὸν ἐν ταῖς ἀρχαῖς τὸ ὅτι, δειχθῆναι καλῶς. τὸ γὰρ ὅτι, πρῶτον καὶ ἀρχὴ κἂν ταῖς ἐπιστήμαις αὐταῖς, ἵνα μὴ τῇ ἐπ' ἄπειρον προόδῳ τὸ εἶναι ἐπιστήμην ἀνέλωμεν, πρώτων ἀρχῶν μὴ οὐσῶν. οὐ μὴν ἀλλὰ κἀπὶ τῶν ἐκ τῶν ἀρχῶν ἀποδεικνυμένων κατὰ τὴν ὑποκειμένην ὕλην τ' ἀκριβὲς ἐπιζητητέον, καὶ ἐφ' ὅσον ἡ κατ' αὐτὴν φύσις ἐπιδέχεται. ἀπαιδεύτου γὰρ ὁμοίως Μαθηματικόν τε πιθανολογοῦντα ἀποδέχεσθαι, καὶ ῥητορικὸν ἀποδείξεις ἀπαιτεῖν. τὰ γὰρ τῆς συντάξεως, περὶ ἧς ἡ Γραμματικὴ σκοπεῖται, νόμῳ μᾶλλον καὶ θέσει, ἀλλ' οὐ φύσει ἐστὶν, οὐδ' ἀναγκαῖα, ἀλλ' ὡς ἐπὶ τὸ πολύ. δι' ὃ δὴ ἀνάγκη καὶ περὶ τῶν ὡς ἐπὶ τὸ πολὺ καὶ ἐκ τοιούτων λέγοντας, τοιαῦτα καὶ συμπεραίνεσθαι.

Τῶν τοίνυν τοῦ λόγου μερῶν ἃ μὲν, εἰς ἀριθμοὺς καὶ γένη καὶ πτώσεις μεταχηματιζόμενα,

Ὡς τὰ πτωτικὰ, λέγω δὴ τὰ Ὀνόματα καὶ τἄλλα, ὅσα δύνανται ἀριθμὸν μετὰ πτώσεως καὶ γένους διάκρισιν ἐπιδέξασθαι. ἀνάπτυξις δέ ἐστι ταῦτα τοῦ τῶν λέξεων εἰς ἰδίας θέσεις ἀναμερισμοῦ. ἐν δὲ τῷ μεταχηματιζόμενα, συνεννοεῖται τὸ ἔστιν, ἵν' ᾖ ἀντὶ τοῦ μεταχηματίζεται, καθ' ὅ, τι τὰ ὑποτακτικὰ, ῥημάτων οὐ πτωτικῶν ἡγεῖται.

Ἃ δὲ, εἰς πρόσωπα καὶ ἀριθμοὺς,

Ὡς τὰ ῥήματα καὶ αἱ Ἀντωνυμίαι.

Ἃ δὲ, μηθὲν ἐπιδεχόμενα τοιοῦτότι, ἀλλὰ καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερόμενα,

Ὥσπερ οἱ Σύνδεσμοι καὶ αἱ προθέσεις καὶ ἅπαντα σχεδὸν τὰ Ἐπιῤῥήματα. Σχηματισμὸς μὲν οὖν λέξεώς ἐστι, κανονικὴ διατύπωσις καὶ οἱονεὶ μόρφωσις τῆς Λέξεως κατὰ τε τέλος καὶ μέσην καὶ ἀρχήν. παρὰ γὰρ τὸ σχῆμα ὁ σχηματισμός. Σχῆμα δέ ἐστιν ἥ τε ποιὰ τῆς ἐπιφανείας ἀποπεράτωσις, ὑφ' ἑνὸς ἢ πολλῶν ὅρων εἴτ' οὖν ἄκρων ὅ ἐστι περάτων περιεχομένης, καὶ τὸ περὶ τὴν ἐπιφάνειαν ἐπιφαινόμενον ποιὸν τύπωμα, τοῦτ' ἔστιν ἡ ἰδέα καὶ ὁ χαρακτήρ. Μεταχηματισμὸς δὲ, ἡ κατὰ τὰ παρεπόμενα τῆς λέξεως μεταβολὴ καὶ μεταποίησις. τὸ γὰρ ἐνταῦθα μεταληφθῆναι εἰς τὰς δεούσας ἀκολουθίας, ἀνωτέρῳ μεταποιεῖσθαι εἰς τὸ δέον εἴρηκεν. ἐρεῖ δὲ καὶ τὸν τῆς πτώσεως κατὰ τὸ τέλος μεταχηματισμὸν μεταβολήν. ταὐτὸν ἄρα τό, τε ἐναλλάσσειν καὶ τὸ μεταποιεῖν καὶ μεταλαμβάνειν καὶ μεταχηματίζειν τὴν λέξιν.

Ταῦτα δὴ,

Οὐχ ἁπλῶς καὶ τὰ καθ' ἕνα σχηματισμὸν ἐκφερόμενα, μόνα δὲ τὰ εἰς Θέσεις μεταχηματιζόμενα.

Μεταληφθέντα ἐξ ἰδίων μεταχηματισμῶν, εἰς τὰς δεούσας ἀκολουθίας ἀριθμῶν, ἢ προσώπων, ἢ γενῶν τῇ τοῦ Λόγου συντάξει ἀναμεμέρισται εἰς ἐπιπλοκὴν τοῦ πρὸς ὃ φέρεσθαι ἕκαστον δεῖ.

Τὰ δὴ προκείμενα μέρη τοῦ Λόγου, εἰ μέλλει ἐν τῇ πρὸς ἄλληλα ἐπιπλοκῇ καταλλήλως ἕξειν, μεταληφθέντα τῷ γραμματικῷ, ὅ ἐστι μεταποιηθέντα ἐκ τῶν ἰδίων σχηματισμῶν κατὰ τὰς δεούσας ἀκολουθίας τῶν οἷς ἐπιπλεκτέα, φημὶ δὴ τὰς τῶν προκατειλεγμένων ἀριθμῶν, ἢ προσώπων, ἢ γενῶν, ἢ πτώσεων, ἀναμεριθήσεται τῇ τοῦ λόγου συντάξει εἰς ἐπιπλοκὴν τοῦ μέρους, ᾧ συντακτέον ἕκαστον.

Κατὰ Ἀριθμόν.

Ἀπὸ κοινοῦ τὸ, ἀναμερισμὸς εἴτ' οὖν ἀκολουθία τῶν τοῦ λόγου μερῶν κατὰ Ἀριθμόν. ὁμοίως κἂν τοῖς ἑξῆς.

Οἷον, εἰ οὕτω τύχῃ, πληθυντικὸν, πρὸς πληθυντικὸν,

Ἀναμερισθήσεται δηλαδή. λέγω δή,

Κατὰ τὴν τοῦ αὐτοῦ προσώπου παρέμπτωσιν. γράφομεν ἡμεῖς. μανθάνουσιν ἄνθρωποι.

Ἐν τούτοις διδάσκειν βούλεται τὴν ἐν τοῖς τοῦ λόγου μέρεσι κοινῇ παρυφισταμένην καταλλίαν κατὰ τὰ κοινῇ παρεπόμενα, καὶ πρῶτον τὴν κατὰ ἀριθμόν. τῶν γοῦν τοῦ λόγου μερῶν τὰ καθ' ὁ, τιοῦν τῶν κοινῇ παρεπομένων συμπαραλαμβανόμενα, κατὰ τοῦτο συνακολουθεῖν ἀλλήλοις ἀνάγκη, κατὰ τὸ αὐτὸ λέγω συνεμπίπτοντα πρόσωπον ἑκάτερα, τοῦτ' ἔστιν ἐὰν ᾖ ταυτοπροσωπικά. ὑπεξαιρείσθω τά τε ἀττικῶς συντασσόμενα ἑνικοῖς ῥήμασιν οὐδέτερα πληθυντικὰ ὀνόματα, τὰ παιδία παίζει, καὶ τὰ ἐναντίως τούτοις περιληπτικά. ὥς φασαν ἡ πληθύς.

Τὸ γάρ τοι ἐν διαβάσει τοῦ προσώπου, οὐ πάντως ἀπαιτήσει τὸν αὐτὸν ἀριθμόν. ἔστι γὰρ φάναι καὶ τύπτουσι τὸν ἄνδρα, καὶ, τύπτουσι τοὺς ἄνδρας.

Τὰ γὰρ ἑτεροπροσωποῦντα, οὐ πάντως ἐξαιτήσεται παρεπομένων ταυτότητα, ἐνὸν κατὰ τὸ παρατυχὸν ἀλλήλοις συμπλέκεσθαι, ἔνθα μὲν, ὁμοειδῶς, τύπτει τὸν ἄνδρα, ἔνθα δὲ, ἑτεροειδῶς, τύπτει τοὺς ἄνδρας. ὅθεν οὐδὲ τὰ ἐπ' αὐτοπαθείας ἀδιαφορήσει, ὡς μὴ ἐν διαβάσει ὄντα προσώπου, ἀλλ' ἀκολούθως συνενεχθήσεται κατὰ ἀριθμόν. τύπτω οὖν ἐμαυτόν.

Κατὰ πτῶσιν.

Ὁ αὐτὸς δὲ λόγος κἀπὶ τῶν κατὰ γένος, ἢ πτῶσιν, ἢ πρόσωπον λαμβανομένων.

Ὁποῖά φησιν, εἴρηται ἐπὶ τῶν κατὰ ἀριθμὸν συμπαραλαμβανομένων, αὐτὰ ταῦτα ῥητέον κἀπὶ τῶν κατὰ πτῶσιν, ἢ γένος. οἷον, εἰ τύχοι, γενικὴ πρὸς γενικὴν ἀναμερισθήσεται. ἡμῶν αὐτῶν ἀκούουσι. καὶ δοτικὴ ὁμοίως πρὸς δοτικὴν, κατὰ τὴν τοῦ αὐτοῦ δηλονότι προσώπου παρέμπτωσιν, εἴτ' οὖν συνέλευσιν. (ἔστι δὲ ὁ λόγος περὶ τῶν ἐξ ὑποκειμένου καὶ κατηγορουμένου. ὅθεν τὰ ἐπ' αὐτοπαθείας, οὐ προσίσταται τῷ λόγῳ κατὰ τὴν τοῦ αὐτοῦ μὲν προσώπου ὄντα παρέμπτωσιν, μὴ ὁμοιοπτωτοῦντα δὲ ἀλλήλοις. οἷον, ἐγὼ φιλῶ ἐμαυτόν. οὐδὲ γὰρ τὸ ἐκ γ', κατηγορούμενόν ἐστι τοῦ α'.) καὶ γένος ὁμοίως ἀρσενικὸν πρὸς ἀρσενικὸν, ὥστε ὁμοιόπτωτα καὶ ὁμοιογενῆ τυγχάνειν ἀλλήλοις, τὰ εἰς τὸ αὐτὸ πρόσωπον παρεμπίπτοντα.

Ἔτι γὰρ καὶ τὸ ἐν μεταβάσει, ἀδιαφορεῖ. ἡμῶν αὐτὸς ἀκροᾶται. ἡμῶν αὐτοὶ ἀκροῶνται.

Πάλιν γὰρ τὸ ἐν διαβάσει τοῦ προσώπου ἀδιαφορεῖ, ὥσπερ κατὰ τὸν ἀριθμόν, οὕτω καὶ κατὰ τὴν πτῶσιν. ἡμῶν αὐτὸς ἀκούει. ἡμῶν αὐτοὶ ἀκούουσι.

Καὶ οὖν εἰ συνέλθοι

Τὰ τῆς μεταβάσεως πρόσωπα

Κατὰ τὴν αὐτὴν Πτῶσιν,

Ὁμοιοπτωτήσοι δηλονότι

Ὑποπεσεῖται εἰς τὸ αὐτὸ πρόσωπον. ἡμῶν αὐτῶν ἀκροῶνται.

Διὰ

Διὰ γὰρ τὸ ταὐτὸν τῆς πτώσεως ὑποδραμεῖται τὰ διάφορα πρόσωπα εἰς ἓν καὶ ταὐτὸν πρόσωπον, καὶ οὐκ ἔτι τὸ ἐνμεταβάσει τοῦ προσώπου ἀδιαφορήσει κατὰ πτῶσιν.

Εἰ μὴ παρέμπτωσις συνδεσμικὴ τὸ πρόσωπον διαστήσῃ. ἡμῶν καὶ αὐτῶν ἀκροῶνται.

Ἵνα γοῦν ἀποσπασθῇ τὸ πρόσωπον, συνδεσμικῆς παρεμπτώσεως χρεία. ὡς τὸ, ἡμῶν καὶ αὐτῶν, ἐκείνων δηλαδὴ ἀκούουσι. τὸ δὲ, κατὰ τὴν αὐτὴν πτῶσιν, οὐχ ἁπλῶς ληπτέον, ἀλλὰ κατὰ τὴν τοῦ αὐτοῦ καὶ ῥήματος καὶ τόπου δηλαδή. ὥστε ἐν τῷ, φασὶ δίωνα ὑβρίσαι θέωνα, τὰ κατὰ τὴν αὐτὴν πτῶσιν συνελθόντα πτωτικὰ, μὴ ὄντα τοῦ αὐτοῦ ῥήματος καὶ τόπου, οὐ συμπίπτει εἰς τὸ αὐτὸ πρόσωπον. ὡς οὐδ' ἐν τῷ, θέωνα ὑβρίσαι δίωνα λόγος. εἰ γάρτοι καὶ τοῦ αὐτοῦ ἀπαρεμφάτου εἴτ' οὖν ῥήματός εἰσιν ἑκάτερα τὰ πτωτικὰ, ἀλλ' οὐ καὶ τοῦ αὐτοῦ τόπου. τὸ μὲν γὰρ αὐτῶν ἐστιν ἐκά, τὸ δὲ, ἐκγ'. ἐν δὲ τῷ, σωκράτης ἐστὶν ἀγαθὸς, τὸ δοκοῦν ἐκγ', ἐκά, ἐστὶ καὶ αὐτὸ, ὡς τοῦ ἐκά, κατηγορούμενον.

Κατὰ Γένος.

Ὡσαύτως δὲ κἀπὶ τῶν Γενῶν. οὗτοι οἱ ἄνδρες. τούτους τοὺς ἄνδρας.

Ὁ αὐτὸς λόγος κἀπὶ τῶν κατὰ Γένος συμπαραλαμβανομένων. φήσομεν γὰρ ὁμοιογενῶς. οὗτοι οἱ ἄνδρες. ἢ καὶ κατὰ πλαγίαν πτῶσιν.

Πάλιν γὰρ τὸ ἐνμεταβάσει τοῦ προσώπου ἀδιαφορήσει καὶ κατὰ Γένος καὶ κατὰ ἀριθμόν. τούτους γυνὴ ὕβρισε.

Περισσὸν εἰς τὸ τοιοῦτο παραθέσει χρῆσθαι παραδειγμάτων. προφανὲς γὰρ τὸ λεγόμενον.

Κατὰ Πρόσωπον.

Καὶ ἐπὶ Προσώπου. ἐκεῖνος πήρ ὢν, ἐπιμελήσεται τοῦ παιδός.

Τὸ αὐτὸ τοῦτο ῥητέον κἀπὶ τῶν κατὰ Πρόσωπον συμπαραλαμβανομένων. καὶ γὰρ κἀπὶ τούτων τὸ α', εἰ οὕτω τύχοι, πρὸς α', ἀναμερισθήσεται, καὶ τὸ β', πρὸς β'. καὶ τὸ γ', πρὸς γ'.

Ἀλλὰ δὴ καὶ σοῦ καὶ ἐμοῦ.

Τὸ δὲ ἐνμεταβάσει τοῦ προσώπου, οὐπάντως ἀπαιτήσει κἀνταῦθα τὴν ταυτοπροσωπίαν.

Εἴπερ οὖν μὴ ἐπισυμβαίνει τῇ λέξει τὸ τὴν διάκρισιν δυνάμενον φανερῶς ποιεῖσθαι, ἀδιαφορήσει τὸ ἐπιπλέκεσθαι διαφόροις τῷ Γένει, ἢ τῇ πτώσει, ἢ τῷ Ἀριθμῷ, ἢ τῷ Προσώπῳ, ἢ τοιούτῳ τινί.

Ὧδε περὶ τῶν καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερομένων φησί. καὶ ἔστιν ὁ οὖν, ἀντὶ τοῦ δὲ, μεταβατικοῦ. εἴτινι οὖν, ὡς προείρηται, λέξει μηθὲν τῶν προκατειλεγμένων παρακολουθεῖν ὡρισμένως πέφυκεν. οἷον ἀριθμὸς, γένος, πτώσεις, πρόσωπον καὶ τὰ τοιαῦτα, ἀδιαφορήσει αὕτη ἐπιπλεκομένη, τοῦτ' ἔστιν ἀδιαφόρως ἐπιπλακήσεται τοῖς διακριτικοῖς τῶν κατειλεγμένων, λέγω γένεσι διαφόροις, πτώσεσιν, ἀριθμοῖς, προσώποις, καὶ ὅλως τοῖς δυναμένοις τοιοῦτό τι παρεπόμενον ἀναδέξασθαι.

Ἀνέλεγκτα γὰρ οὕτω τὰ τοῦ μετασχηματισμοῦ γίγνεται. καλῶς γράφω. γράφεις. ἔγραψα.

Ὅ ἐστι τὰ τῶν τινος παρεπομένων διάκρισιν ἀναδεγμένα, καθ' ὁ, τιοῦν αὐτῶν μεταποιούμενα, οὐκ ἐλέγχεται τότε ἀκαταλλήλως ἔχοντα ὑπὸ τῆς μὴ πεφυκυίας λέξεως διάκρισίν τινος τῶν παρεπομένων ποιεῖσθαι. φέρε

γὰρ

γὰρ ἔστω ὡς ἐπὶ τῶν ἐπιῤῥημάτων σύνταξίς τις τῆς τοῦ καλῶς, ἢ τῶν ὁμοίων, ἐπὶ παντὸς προσώπου, ἐπὶ παντὸς ἀριθμοῦ. ὅτε φαμὲν, καλῶς ἔγραψα. καλῶς γράφω, ἢ καλῶς γράφετε. καὶ ἐπὶ τῶν μετασχηματιζομένων χρόνων, λέγω τοῦ ἔγραψα, ἢ γράψω.

Δῆλον γὰρ ὅτι κατάλληλος πάντῃ ἡ σύνταξις.

Ἡ δὲ τοιαύτη σύνταξις πρόδηλον, ὅτι κατάλληλος. καθ' ὅ, τι περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα, μὴ ἔχοντα λέγω ἀκολουθίαν τινὸς τῶν παρεπομένων, οὐθὲν συμβαίνει ἁμάρτημα.

Ἡ γὰρ τοῦ ἐπιῤῥήματος σύνοδος, μὴ οὖσα δεκτικὴ ἀριθμῶν, ἢ προσώπων, ἢ πτώσεων, ἢ χρόνων,

Μερικῶς ἐκληπτέον ἐνταῦθα τὴν τοῦ ἐπιῤῥήματος σύνταξιν. οὐ γὰρ δὴ πρὸς τοῖς ἄλλοις καὶ χρόνων ἀνεπίδεκτον ὂν τυγχάνει τὸ ἐπίῤῥημα.

Ὧν παραδέχεται τὸ ῥῆμα,

Τὴν τοῦ ὑποτακτικοῦ ἀναφορὰν οὐ καὶ πρὸς τὰς πτώσεις ἀποδοτέον, πρὸς δὲ μόνα τὰ τῷ ῥήματι παρεπόμενα.

Ἀκώλυτον τὴν ἐπιπλοκὴν ἔσχει.

Πρὸς τὰ δεκτικὰ τῶν προκατειλεγμένων ὄντα, φημὶ δὴ τὴν πρὸς τὸ ῥῆμα. πρὸς γὰρ αὐτὸ τὴν ἀναφορὰν ἔχει τὸ ἐπίῤῥημα.

Καὶ ἥκιστα ἔκτου ἐλεγχομένην ὁμοειδοῦς.

Ἡ παρεπόμενον ἁπλῶς φωνὴ, γένος τί ἐστιν. εἴδη δὲ αὐτῆς, Γένος, Ἀριθμὸς, πτῶσις, Πρόσωπον, Διάθεσις, Χρόνος, κτ'. Ἔνθεντοι τῶν τοῦ λόγου μερῶν καὶ αὐτὰ τὰ ἀλλήλοις ἀντιδιαιρούμενα, λέγω δὴ τὰ ἑτεροειδῆ, ἐν τῇ πρὸς ἄλληλα συμπλοκῇ καθ' ὁ, τιοῦν τῶν σφίσι προσόντων ἀκολουθοῦντα ἀλλήλοις, ὁμοειδῆ ταύτῃγε λέγεται, ὡς ὑπότι σφίσι κοινὸν εἶδος τοῦ παρεπομένου ἀγόμενα ἑκάτερα, Πρόσωπον τυχὸν, ἢ χρόνον, ἢ Ἀριθμὸν, ἢ ὁ, τιοῦν ἄλλο. ὁμοειδῆ γοῦν τὰ ὁμοιογενῆ, τὰ ὁμοιάριθμα, τὰ ὁμοιόχρονα, τὰ ταυτοπροσωπικὰ, καὶ ὅλως τὰ ἀκόλουθα. οἷον σωκράτης περιπατεῖ. ὁμοειδὴ ἀλλήλοις ἑκάτερα τὰ μόρια, εἰ καὶ ἄλλως ἑτεροειδῆ. ἑτεροειδῆ μὲν γὰρ, ᾗ τὸ μὲν, ὄνομα, τὸ δὲ, ῥῆμα. ᾗ γε μὴν ἑκάτερα ὁμοιάριθμα καὶ ταυτοπρσωπικὰ, ὁμοειδῆ. θατέρου δὲ τούτων μεταποιηθέντος, οἷον σωκράτης περιπατοῦσιν. οὐχ ὁμοειδῆ κατὰ ἀριθμόν. ὡσαύτως κἀπὶ τοῦ, ὁ ἀγαθὸς σωκράτης. γράφων εἰμί. αὐτίκα γράψω. ἄρτι γέγραφα. καὶ ὅλως ἐπὶ τῶν συνεξακολουθεῖν πεφυκότων. τὸ δὲ ἐπίῤῥημα εἰς πρόσωπα, ἢ εἰς ὁ, τιοῦν τῶν τοῦ παρεπομένου εἰδῶν μὴ πεφυκὸς μεταποιεῖσθαι, ὡς καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερόμενον, οὐδ' ἂν γένοιτό ποτε ὁμοειδὲς ᾧ ἐπιπλέκεται ῥήματι. μὴ γιγνόμενον δὲ, οὐδ' ἂν ἐλέγξοι τὴν τοῦ καλῶς πρὸς τὸ γράφω, γράφεις, γράφει σύνταξιν. εἰ γὰρ ἦν τῶν μεταποιουμένων, λόγου χάριν εἰς πρόσωπα, καλῶς, καλῆς, καλῆ, συμμετασχηματισθὲν τῷ γράφεις καὶ οἷον συμμορφωθὲν αὐτῷ κατὰ τὸ παρεπόμενον πρόσωπον, ἤλεγξεν ἂν τὴν τοῦ καλῶς πρὸς τὸ γράφεις σύνταξιν τὸ καλῆς, γεγονὸς αὐτὸ μὲν, ὁμοειδὲς εἴτ' οὖν ὁμοιοπρόσωπον τῷ γράφεις, τὸ δὲ καλῶς ἐξελέγξαν ὡς ἑτεροειδὲς, εἴτ' οὖν ἑτεροπροσωπικόν. νῦν δὲ μὴ μεταποιούμενον, ἀκώλυτόν φησι τὴν ἐπιπλοκὴν ἔχει πρὸς τὸ μεταποιούμενον ῥῆμα, ὡς μὴ δυνάμενον ἐλεγχθῆναι ἔκ τινος ἑτέρου ἐπιῤῥήματος συζύγου καὶ ὁμοειδοῦς τῷ ῥήματι. ὅτι δὲ τὸ ὁμοειδὲς ἐπὶ τῆς κατὰ τὰ παρεπόμενα ἀκολουθίας

θίας εἴληπται, δηλοῖ τοῦτο καὶ ὁ Θεόδωρος. τὸ ὁμοειδὲς εἰς τὸ σύζυγόν τε καὶ ἀκόλουθον ἑξῆς μετειληφὼς, ἐν οἷς ἐρεῖ τὸ μὲν ἐμοὶ, ἐπὶ γ', οὐτίθεται, ὡς διελεγχόμενον ὑπὸ τοῦ οἷ συζύγου. καὶ, ἡ αὐτὸς γ', ὅσα, καὶ α', καὶ β', συντάσσεται. ὅτι οὐδὲν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν ὑπάρχει τῷ α', καὶ β', ὃ ἂν τὴν αὐτὸς γ', ὅσαν ἐλέγξοι ὡς ἀλλοτρίαν. εἰ γοῦν τὸ ἐξ οὗ ὁ ἔλεγχος, σύζυγόν ἐστι καὶ ἀκόλουθον, τὸ δὲ ὁμοειδές ἐστιν ἐξ οὗ ὁ ἔλεγχος. (φησὶ γὰρ, ἥκιστα ἐλέγχεται ἔκτινος ὁμοειδοῦς, ὡς τοῦ ὁμοειδοῦς δηλονότι ποιουμένου τὸν ἔλεγχον) τὸ ἄρα ὁμοειδὲς ἀκολουθίαν τὴν κατά τι εἶδος τοῦ παρεπομένου δηλοῖ. οὐ καθόλου δὲ τὸ τὴν τοῦ ἐπιρρήματος σύνοδον μὴ ἐλέγχεσθαι ἔκτινος ὁμοειδοῦς. ἡ γὰρ κατὰ χρόνον καὶ ἔγκλισιν, ἐλέγχεται. ἐλέγχεται γὰρ ἡ μὲν τοῦ εἴθε γράφε, ἐκ τοῦ ἄγε. ἡ δὲ τοῦ ἄγε γράφοις, ἐκ τοῦ εἴθε. ἡ τοῦ ἄρτι γράψω ἐκ τοῦ αὐτίκα. καὶ ἡ τοῦ αὐτίκα γέγραφα, ἐκ τοῦ ἄρτι. ὁμοειδῆ γὰρ τὰ μὲν παρακελευστικὰ, τῇ προστακτικῇ, τὰ δὲ εὐκτικὰ, τῇ εὐκτικῇ, τὰ δὲ βεβαιωτικὰ τῇ ὁριστικῇ ἐγκλίσει, καὶ τῶν χρονικῶν ὁμοίως τὸ μὲν ἄρτι, παρῳχημένου, τὸ δὲ αὐτίκα, μέλλοντος χρόνου ῥήματι.

Οὐκ ἔτι δὲ τ' αὐτὸ τοῦτο συμβαίνει καὶ ἐπὶ τοῦ καλός. προσώπου γὰρ γ', ἀριθμοῦ ἑνικοῦ τουτί. ὅθεν καὶ πρὸς ἑνικὸν τὸ γράφει ἡ σύνταξις. καλὸς γράφει.

Οὐκ ἔτι δὲ ταὐτόν ἐστιν εὑρέσθαι κἀπὶ τῶν δεκτικῶν, φέρε τῶν πτωτικῶν. τούτοις γὰρ καταλλήλως πρόσεισιν ὁμοιάριθμον καὶ ὁμοιοπροσωποῦν ῥῆμα.

Καὶ αὖ πάλιν, ἐπεὶ τὸ καλὸς οὐ παρέμπτωσιν χρόνου σημαίνει, ἀδιαφορεῖ, χρόνοις συντασσόμενον διαφόροις.

καλὸς γράφει. ἔγραψε. γράψει.

Οὐ μόνον δὲ τὰ ἄπτωτα, ἀλλὰ καὶ τῶν πτωτικῶν τὰ παρέμπτωσιν εἴτ' οὖν διάκρισιν χρόνου μὴ δηλοῦντα, ἀδιαφορεῖ κατὰ τοῦτο, διαφόροις χρόνοις συμφερόμενα.

Κατὰ Ἐπίρρημα.

Ἔτι τῶν Ἐπιρρημάτων τὰ εἰς διαφόρους ἀναμεριζόμενα χρόνους, προσώποις μὲν διαφόροις καὶ ἀριθμοῖς συντάσσεται,

Κακ' τοῦ ἐναντίου δὲ πάλιν τὰ τετμημένα τῶν ἐπιρρημάτων εἰς διαφόρους χρόνους, τοῖς μὲν διαφόροις προσώποις καὶ ἔτι ἀριθμοῖς συντάσσεται. καθ' ὅ, τι ἀνεπίδεκτος οὖσα τούτων, ὡς εἴρηται, ἡ τοῦ ἐπιρρήματος σύνταξις, ἀκώλυτον ἴσχει κατὰ ταῦτα τὴν πρὸς τὸ Ῥῆμα σύνοδον.

Χρόνοις δὲ οὔ. κατέβην χθὲς, κατέβης, κατέβη. καταβαίνει δὲ, ἢ καταβήσομαι, οὔ. ὡσαύτως δὲ καὶ ὅσα σημαινόμενον ἐπιδέχεται ἐγκλίσεως. εἴθε. ἄγε. ἡ γὰρ προστακτικὴ ἀνεπίπλοκος τῇ εὐκτικῇ.

Καὶ γὰρ καὶ τὰ κατὰ χρόνον, ἢ ἔγκλισιν συμπαραλαμβανόμενα, εἰς τὰς δεούσας ἀκολουθίας χρόνου τε καὶ ἐγκλίσεως ἀναμεριζόμενα ἐπιπλακήσεται. καὶ οὕτω τὸ εἴθε ἀφίσταται τῶν προστακτικῶν, εὐκτικὸν ὄν. καὶ τὸ ἄγε τῶν εὐκτικῶν, παρακελευσματικὸν ὄν.

Τἄλλα δὲ,

Τῶν Ἐπιρρημάτων,

Σημασίας ἀμοιροῦντα τοιαύτης,

Ἐγκλιτικῆς.

Φ.

Ἀκώ-

Ἀκώλυτον ἔχει ἐπὶ πασῶν τῶν ἐγκλίσεων τὴν σύνταξιν.

Κατὰ Συνδεσμον.

Καὶ οἱ Συνδεσμοι δὲ εἰς οὐδὲν τῶν εἰρημένων τεμνόμενοι, ἀδιαφόρους τὰς συνδέσεις ποιοῦνται πρὸς διάφορα γένη, ἢ πτώσεις, ἢ πρόσωπα.

Ἔστι καὶ ἐκσυνδέσμων παραστῆσαι μηθὲν συμβαίνειν ἁμάρτημα περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα. καὶ γὰρ καὶ οὗτοι εἰς οὐδὲν ἀναμεριζόμενοι τῶν προκατειλεγμένων, γενῶν, προσώπων, ἀριθμῶν, πτώσεων, χρόνων, ἀδιαφόρως τὰς πρὸς αὐτὰ συνδέσεις ποιοῦνται, ὡς ὄντες τούτων ἀνεπίδεκτοι.

Εἴγε μὴν καὶ ἐπ' αὐτῶν γένηταί τις ἐν μέρει διαφορὰ, οὐκ ἂν τὰ περὶ τὴν σύνταξιν σῴζοιτο.

Εἴγε μὴν πάλιν μερικήτις γένοιτο καὶ ἐφ' ἑνός του τούτων διάκρισις, ὡς κἀπὶ τῶν ἐπιρρημάτων ἐλέγετο, ἀπολειφθείη ἂν πάντως τῆς προκειμένης ἀδιαφόρου συντάξεως, μὴ σῴζουσα δηλαδὴ τότε διὰ τὸ ἐγκείμενον τοῦ συνδέσμου ἀδιόριστα τὰ τῆς συντάξεως.

Οἷον ὁ ἄν. ὅτι τὰ μὴ γεγονότα ἀναιρῶν,

Μὴ τιθεὶς μηδ' αὐτὸς αὐτὰ ἐνεργείᾳ, μηδ' ὁμολογῶν δηλονότι. εἴγε καὶ ὁ οὐκ ἔγραψα εἰπὼν, τὴν μὴ γεγονυῖαν γράψιν ἀναιρεῖ, μὴ ὁμολογῶν μηδὲ τιθεὶς αὐτήν. Συνέσιος ἐπιστολ: ἐγὼ δὲ οἶμαι δεῖν ἅπαντας ἑξῆς ἀποτροπιάζεσθαι, τὸν μὲν, (Ἰῶ:) ὅτι τοιοῦτός ἐστιν, ὥστε εἰ καὶ μὴ πεποίκε, (τὸν φόνον) ἀλλ' ἐποίησεν ἂν, τοὺς δὲ, καὶ μὴ συμπλάσαντας, ὅτι συνέπλασαν ἄν. (τὸ πεποιηκέναι τὸν φόνον τὸν ἰῶ:) τὰ γὰρ τοῦ φόνου καὶ τὰ τοῦ πλάσματος τῶν μὴ γεγονότων ὄντα μὴ τιθεὶς μηδ' ὁ ἂν ἐνεργείᾳ, ἀλλ' ἀναιρῶν αὐτὰ, ταὐτὸν εἰπεῖν, μὴ ὁμολογῶν γεγονέναι,

Θέλει παρισταῖν αὐτὰ εἰς τὸ δύνασθαι. ὅθεν ἄρα καὶ δυνητικὸς εἴρηται. διὰ τοῦτο παρῳχημένοις συντάσσεται, πλὴν τοῦ παρακειμένου.

Ὅτι δὲ ὁ δυνητικὸς οὐχ, ὥς τινες φαύλως ἐπιδιορθοῦσι, τὰ γεγονότα, ἀλλὰ τὰ μὴ γεγονότα ἀναιρεῖ, αὐτόθεν δῆλον. ἅπερ γὰρ ἀναιρεῖ, παρίστησί φησιν, αὐτὰ εἰς τὸ δύνασθαι γενέσθαι. τὸ δὲ δυνάμενον γενέσθαι, τῶν τέως μὴ γεγονότων ἐστί. τοιοῦτο γὰρ τὸ δυνάμει. ἐπεὶ δὲ οὐ περὶ Συνδέσμων ἄρτι πρόκειται λέγειν, ἐνὶ παραδείγματι τῷ κατὰ τὸν ἄν, ἐχρήσατο. ὃς τῷ μὲν Ἀπολλωνίῳ παρῳχημένοις παρατετήρηται συντασσόμενος, ἐξῃρημένου τοῦ παρακειμένου. ἀκατάλληλον γάρ φησι, κἀπὶ μέλλοντος φάναι, γράψω ἄν. ἐφ' ἧς συντάξεως γένοιτ' ἂν τὸ ἀκατάλληλον οὔτε παρὰ ἀριθμοῦ, ἢ γένους ἀνθυπαλλαγὴν, ἢ ἄλλου τοῦ τῶν, ὅσα δύναται διελέγξαι τὸ γράψω ῥῆμα, ὡς μὴ συμπληθυνομένου δῆθεν, ἢ συγχρονιουμένου τῷ Ῥήματι, ἢ συνδιατιθεμένου τοῦ συνδεσμικοῦ μορίου, παρὰ δὲ λόγον τοιοῦτον. τὰ μὴ γεγονότα φησὶ, τῶν πραγμάτων ὁ σύνδεσμος ἀναιρεῖν ἐθέλει, παριστάνων αὐτὰ εἰς τὸ δύνασθαι γενέσθαι. ἔνθεν καὶ δυνητικὸς εἴρηται. τὸ μὲν γὰρ ἔγραψα, ἢ τὸ ἔγραφον, ἢ τὸ ἐγεγράφειν, ἤτοι ἀπὸ μέρους γεγονότα ἐστὶν, ὡς τὰ τοῦ παρατατικοῦ, ἢ καὶ ἔκπαλαι γεγονότα, ὡς τὰ τοῦ ἀορίστου. ἔνθεν προσέρχεται ὁ ἄν, σύνδεσμος τοῖς δυναμένοις τὴν ὕλην αὐτοῦ παραδέξασθαι, τοῖς ἤτοι πάλαι γεγονόσιν, ἢ ἀπὸ μέρους δηλονότι. οἷον, ἔγραφον ἄν. ἔγραψα ἄν. ἐγεγράφειν ἄν. ἀλλ' οὐ τοῖς νυνὶ γιγνομένοις, οἷον, τῷ γράφω. οὔτε τοῖς μήπω γεγονόσιν. οἷον, τῷ γρά-

ψω. οὐ γὰρ παρῴχετο, ἵνα ἐγχωρήσῃ ἡ ἐκ τοῦ Συνδέσμου ἀναίρεσις μὲν τοῦ γεγονότος, ἐπαγγελία δὲ τοῦ ἐσομένου, τοῦ δυνάμει φημι, τοῦ ὅπερ ἔσοιτ' ἄν. τὸ γὰρ ἔγραψα, καθ' αὑτὸ μὲν, συντέλειαν τοῦ παρεληλυθότος σημαίνει. ὁ δὲ ἂν προσελθὼν, τὸ μὲν ἐντελὲς τῆς ἐνεργείας ἀφείλετο, εἰς δὲ τὸ δύνασθαι γενέσθαι ἀνεπέμψατο. ὁμοίως καὶ ἐπὶ τῶν ἄλλων χρόνων. ὅγε μὴν παρακείμενος, ἐπεὶ οὐ παρῳχημένου συντέλειαν σημαίνει, ἀλλὰ τὴν ἐνεστῶσαν, διὰ τοῦτο οὔτε παρῳχημένου ἀναίρεσιν, καὶ ἀκολούθως οὔτε δυνησόμενον γενέσθαι παραδεχόμενος, ἀπροσδεὴς τοῦ ἄν, Συνδέσμου ἐγεγόνει. τὰ μὲν οὖν τοῦ Ἀπολλωνίου τοιαῦτα. ὃς μὴ ἀκριβῶς παρατηρησάμενος φαίνεται τὰ κατὰ τὸν δυνητικόν. τετήρηται γὰρ οὐχὶ μόνοις παρῳχημένοις, κατὰ δὲ τὰς τρεῖς τοῦ χρόνου διαφορὰς συντασσόμενος. ὅγε μὴν Θεόδωρος ἐκ τοῦ προφανοῦς ἀντιδιατάσσεσθαι τηλικούτῳ ἀνδρὶ, καὶ παρ' οὗ μάλιστα ἐρανισάμενος τὰ πολλὰ ξυνεισήνεγκεν, ἄχαρι ἡγησάμενος, ᾧδε μὲν τὰ ἐκείνου αὐταῖς ὡς εἰπεῖν λέξεσι παρατίθεται, ἐν δὲ τοῖς ἑξῆς καὶ τοῖς λοιποῖς τοῦ χρόνου μορίοις συντάσσεσθαι τὸν δυνητικὸν παραδίδωσιν. εἰ γὰρ δι' ὅ, τι τὰ μὴ γεγονότα ἀναιρεῖ, διὰ τοῦτο παρῳχημένοις συντάσσεται. συντάσσεται ἄρα καὶ ἐνεστῶτι, τὰ μὴ γιγνόμενα ἀναιρῶν, καὶ μέλλοντι ὡσαύτως, τὰ μήπω γενησόμενα μὴ τιθεὶς, παριστάνων εἰς τὸ δύνασθαι τὰ μὲν, γενέσθαι, τὰ δὲ, γίγνεσθαι, τὰ δὲ, γενήσεσθαι. ὧν δὴ τριῶν τοῦ χρόνου διαφορῶν παραδείγματα εὕροις ἂν ἐπιστήσας πολλαχοῦ οὐκ ὀλίγα. ὁ γὰρ Ἀπολλώνιος οὐδὲ τὸ φύσει ἐνεργητικὸν, ἢ τὸ φύσει παθητικὸν ἐν ὑπαλλαγῇ τῶν διαθέσεων εὕροι τις ἄν φησι. τὰ δὲ, καὶ ὑπηλλαγμένα εὕρηται τοῖς ἀκριβέστερον ἐκείνου τετηρηκόσιν, ὡς ἐν τοῖς κατ' ἐναλλαγὴν σχήμασιν ἐσημειώθη. Ἰστέον δὲ ὅτι ἐπὶ παρῳχημένου οὐχ ὡς ἐν καταφάσει, οὕτω τοι καὶ ἐν ἀποφάσει ἀναιρεῖ ὁ ἂν τὸ μὴ γεγονὸς, τὸ δὲ γεγονὸς μᾶλλον τίθησι, παριστὰς ἐν τῷ δυνάμει τὴν τούτου ἀναίρεσιν. οἷον, Ἡρόδ: ε', εἰ γὰρ δὴ μὴ παρέπρηξε μηδὲν, (ὁ δωριεὺς) ἐπ' ᾧ τε ἐστάλη, ἐποίεε, εἷλε ἂν τὴν ἐρυκίνην χώραν, οὐδ' ἂν αὐτὸς καὶ ἡ στρατιὴ διεφθάρη. ἐν γοῦν τῷ οὐκ ἂν διεφθάρη, τοῦ ἀποφατικοῦ μορίου τὴν ἐγκειμένην ἐν τῷ ἂν ἀναίρεσιν ἀνελόντος, τίθησι μὲν ὁ ἂν, ὅτι διεφθάρη, παρίστησι δ' οὖν ὅμως, ὅτι ἠδύνατο μὴ διαφθαρῆναι. καὶ γὰρ καὶ τὰ γεγονότα ἠδύνατο μὴ γενέσθαι.

Εἰ οὖν τις λέγοι, γράψω ἂν, ἀκαταλλήλως συντάττει.

Κατὰ τὴν τοῦ Ἀπολλωνίου ὑπόθεσιν, εἴτ' οὖν τήρησιν, καθ' ὃν οὐχὶ καὶ μέλλοντι, ἀλλ' ὑπεξαιρουμένου τοῦ παρακειμένου, παρῳχημένοις μόνοις ὁ ἂν συντάσσεται.

Κατὰ Ἀντωνυμίαν.

Ἔτι ἐπὶ τῶν Ἀντωνυμιῶν τὸ ἐμοὶ ἐπὶ γ', οὐ τίθεται, ὡς διελεγχομένον ἂν ὑπὸ τοῦ συζύγου τοῦ οἷ.

Τὸ ἐμοὶ καὶ οἷ οὐκ ἀλλήλοις εἰσὶ σύζυγα. πῶς γὰρ; τὸ μὲν, α', τὸ δὲ, γ', τυγχάνον προσώπου; ἀλλὰ τοῖς ἀντονομαζομένοις ὑπ' αὐτῶν προσώποις, τῷ α', φημὶ τὸ ἐμοὶ. τῷ β', τὸ σοὶ, καὶ τὸ οἷ τῷ γ'.

Δῆλον δ' ὅτι οὐδὲ τὸ οἷ, ἐπὶ α', διὰ τὸν αὐτὸν λόγον.

Ὡς διελεγχόμενον ἂν καὶ αὐτὸ ὑπὸ τοῦ τῷ α', συζύγου τοῦ ἐμοί.

Ἥγε μὴν αὐτὸς τρίτου οὖσα, καὶ α', καὶ β', συντάσσεται.

Οὐ

Οὐχ ἡ ἀναφορικὴ, ἀλλ' ἡ ταῖς πρωτοτύποις συμπαραλαμβανομένη τε καὶ ἐπιτασσομένη, εἴτ' οὖν ἡ ἐπιταγματική.

Ὅτι οὐδὲν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν ὑπάρχει, ὃ ἂν τὸ ἀλλότριον συνελέγξειεν. αὐτὸς οὖν ἐγὼ, αὐτὸς σύ.

Ἀκόλουθον, καὶ κατὰ συζυγίαν, ταὐτόν ἐστι. τὰ γὰρ καθ' ὅ, τι οὖν τῶν παρεπομένων ἀλλήλοις ἀκολουθοῦντα, δῆλον ὅτι καὶ συζυγοῦσιν ἀλλήλοις κατ' αὐτὸ τοῦτο, ὑπ' αὐτὸ ὡς ὑφ' ἕνα καὶ τὸν αὐτὸν οἱονεὶ ζυγὸν ὑπαγόμενα. ἀλλ' ἀπορήσεις, συζυγοῦντος τῷ μὲν α', προσώπῳ τοῦ ἐγὼ, τῷ δὲ β', τοῦ σὺ, ὥσπερ καὶ τῷ γ', τοῦ ὅς, ἢ ἐκεῖνος, πῶς φησι μηδὲν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν ὑπάρχειν συνελέγχον τἀλλότριον; ἀλλότριον γὰρ ἐπὶ α', τε καὶ β', τὸ αὐτὸς, ὡς διελεγχόμενον ἂν ὑπὸ τοῦ κατὰ συζυγίαν α', τε καὶ β', τοῦ ἐγώ τε καὶ σύ. Ἢ ὅτι οὐ τοῦτό φησιν, ὥστ' ἀντὶ τῶν πρωτοτύπων τοῦ ἐγὼ καὶ σὺ παραλαμβάνεσθαι τὴν αὐτὸς, ἀλλὰ μετὰ τῶν πρωτοτύπων τοῦ ἐγὼ καὶ σὺ, εἰς ἐπίτασιν δείξεως. οὕτω γὰρ παραλαμβανομένη, α', καὶ β', συντάσσεται. καθ' ὅ, τι ἕτερον παρὰ τὴν αὐτὸς πρόσωπον ἀκολουθοῦν κατὰ συζυγίαν τὴν πρὸς τὰς πρωτοτύπους οὐκ ἔστιν, ὃ ἂν συνελέγξειεν ὡς ἀλλοτρίαν τὴν αὐτὸς, ἀντ' αὐτῆς μεταληφθέν. δοκεῖ δὲ συζυγεῖν τοῖς α', τε καὶ β', καὶ τὸ οὗτος καὶ ὅδε, καὶ οὐ μόνον τὸ αὐτὸς κατὰ Ἀπελλώνιον, λέγοντα ἀκώλυτον εἶναι τὸ οὗτος ἐγὼ, καὶ ὅδ' ἐγὼ, καθὼς καὶ ἐπὶ τῆς αὐτός. ὅδ' αὐτὸς ἐγὼ πέρ. τῇ γε μὴν κοινῇ χρήσει τὸ οὗτος καὶ ὅδε, ἐπὶ α', τε β', οὐκ ἔγνωσται οὔτε καθ' ἑαυτὰ οὔτε μετὰ τῶν πρωτοτύπων.

Ὅλως γὰρ οὐθὲν συμβαίνει ἁμάρτημα περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα, γινόμενά γε μὴν ἔκτου ἀκόλουθα, οὐκ ἔτι παρὰ τὸ δέον συνοισθήσεται. οὔκουν τὸ ἑαυτοὺς ἐπὶ α', ἐν κάκῃ. οὐ γὰρ ὑπὸ τοῦ ἐμαυτοὺς διελέγξεται.

Καθόλου γάρ ἐστι φάναι, ὅτι οἷς μηδέν τι τῶν εἰρημένων εἴτ' οὖν παρεπομένων ὡρισμένως παρακολουθεῖ, ταῦτα δὴ συμπλεκόμενα τοῖς ἐν ἀκολουθίᾳ τῶν εἰρημένων οὖσιν, ἥκιστα ἁμαρτάνεται μὴ συμμεταχηματιζόμενα. ἀπειληφότα γε μὴν ἀκολουθίαν τινὸς ὡρισμένως, οὐκ ἔτι ἀδιαφόρως ἕξει τὰ τῆς συμπλοκῆς, ἐν δὲ τῷ δέοντι λόγῳ συνταγήσεται. παρὰ γὰρ τὸ δέον συμφερόμενα, ἐλέγχεται ὑπὸ τῆς ἀκολουθίας. αὐτίκα τὸ ἑαυτοὺς, ἐν προσώπων μὲν ἀκολουθήσει μὴ ὂν, οὐχ ἁμαρτάνεται, ἐπὶ πᾶν ἀνατρέχον πρόσωπον. ἐξ ἀριθμοῦ γε μὴν καὶ γένους ἀκόλουθον γεγονὸς, παρὰ τὴν τούτων ἐναλλαγὴν τὸ ἀκατάλληλον ἐμφανίζει. καὶ ἐπὶ τῶν ὁμοίων ὡσαύτως. τὸ δὲ ὡρισμένως πρόσκειται, καθ' ὅ, τι ἀορίστως ἐν πάσῃ τυγχάνει ἀκολουθίᾳ. τὸ γὰρ καλῶς φέρε Ἐπίρρημα, ἀορίστως ἀκολουθίαν ἔχει παντὸς προσώπου, ἀριθμοῦ, γένους, πτώσεως, χρόνου. Τῶν δὲ θ', καὶ δ', ἡ εἰς ἄλληλα μεταχώρησις ἀρέσκει τοῖς παλαιοῖς Αἰολέων εἶναι. οὐδὲν, οὐθέν. ἐξουδενῶ, ἐξουθενῶ. μήδω, μήθω. δάσος. θάσος. τινὲς δὲ ἀντειπόντες τῷ Θεοδώρῳ, γράψαν τι οὐθὲν διὰ τοῦ θ', διὰ τὸ δοκεῖν εἶναι διαφορὰν τοῦ οὐδὲν καὶ οὐθέν. (συμπλοκὴν γάρ φασιν, ἑτέραν ὁμοιόπτωτον ζητεῖ τὸ οὐθέν) ἀπέδειξαν γενναῖον οὐδὲν, ἀνεμώλια βάζοντες. πρὸς δὲ καὶ κατὰ τὰς παραγωγὰς τρέπεται τὸ δ', εἰς τὸ θ', διὰ τὴν πρὸς ἄλληλα συγγένειαν. ὡς κἀκ τοῦ ὡς εἴρηται μήδω, προμηθεύς. κἀν τῷ πόθεν, ποδαπός. ἔριδος, ἐρίθεια. καὶ τὸ ἀθρῶ δὲ παρὰ τὸ δρῶ τὸ βλέπω δοκεῖ γίγνε-

γίγνεσθαι, ἵν' ᾖ ἁδρῶ τὸ ἄγαν ὁρῶ, καὶ κατὰ συγγένειαν τοῦ δ', πρὸς τὸ θ', ἀθρῶ. τὸ δὲ οὐθ' ἓν ἐνδυοῖν λόγου μέρεσι συνειλημμένον, ὡρισμένως λαμβάνεται, ἀντὶ τοῦ μηδὲ κἂν γοῦν ἕν. καὶ ἔστιν ἑτεροῖον τοῦτο πρὸς τὸ ἄλλο μηθὲν, τὸ ἀορισταῖνον, καὶ ὡς ἓν λόγου μέρος ἀσυναλείπτως τῇ ἐκφωνήσει νοούμενον, δίχα δασείας καὶ ἀποστρόφου. ᾧ συστοιχεῖ καὶ τὸ μηδείς. ὃ καί τινες τῶν παλαιῶν οὐδ' ἐκ τριῶν συγκεῖσθαι εἶπον, τοῦ μὴ, καὶ τοῦ δὲ, καὶ τοῦ εἷς, ἀλλὰ τοῦ μὴ, καὶ τοῦ δεὶς, ἀῤῥήτου ὀνόματος. δι' ὃ μηδὲ περισπᾶσθαι ὡς ἀπὸ τοῦ εἷς ἑνὸς, ἀλλ' ὀξύνεσθαι κατὰ τὸ κτεὶς, κτενός. δεὶς, δενὸς, καὶ μηδενός.

Τὸ ἑαυτὸν δ' ἴσως. ἔστι γὰρ καὶ τὸ ἐμαυτόν.

Καὶ τὸ ἑαυτὸν ἐπὶ α', κακῶς ἂν εἴη λαμβανόμενον, ὡς διελεγχόμενον ἂν καὶ αὐτὸ ὑπὸ τοῦ ἐμαυτόν. τὸ δ' ἴσως πρόσκειται κἂν ταῦθα διὰ φίφον ὡς εἴρηται εὐλάβειαν, διευλαβουμένου τοῦ Θεοδώρου τὴν μέμψιν τῶν πολλῶν καὶ πολλοῦ λόγου ἀξίων ἀνδρῶν χρησαμένων τῷ ἑαυτὸν καὶ ἐπὶ α'. ἡμῖν δὲ καὶ ταῦτα διευλαβητέον. καὶ γὰρ καὶ αὐτῶν εἴ τις πύθοιτο, εἰπεριόντες ἐτύγχανον, πάντως ἂν τὴν κοινὴν χρῆσιν προέλοιντο. οὐ γάρ τις οὕτω μάταιος, ὥστε τὰ σπάνια τῶν τετριμμένων ἔμπροσθεν τίθεσθαι.

Οὔτε μὴν τὸ σὺ, ἢ ἐγὼ, ἐπὶ διαφόρων γενῶν, φαύλως. οὐ γάρ τι διακριτικὸν γένους. σὺ οὖν αὐτὸς, σὺ αὐτή. ἐγὼ αὐτὸς, ἐγὼ αὐτή.

Τῶν γὰρ ἀντωνυμιῶν ἡ σύτε καὶ ἐγὼ, τῆς ὀνοματικῆς λήξεως ἀποστάσαι, συναπέστησαν δι' αὐτὸ τοῦτο καὶ τῆς τῶν γενῶν διακρίσεως. ἔστι δὲ κυριώτερον εἰπεῖν κατὰ Ἀπολλ': ὡς τὰ ὑπὸ τῆς ἐγὼ καὶ σὺ δεικνύμενα προσωπα, ὑπ' ὄψιν πίπτοντα, αὐτόθεν διαστέλλει τὰ γένη. ἥγε μὴν οὗτος καὶ ἡ ἐκεῖνος καὶ γένους ἐγένοντο παρεμφαντικαί. καθ' ὅ, τι ἡ ἐξ αὐτῶν νοουμένη ἀπόστασις, ἀμαυροτέραν τὴν δεῖξιν καθιστάνει. κἂν τεῦθεν αὐταῖς παρεισέδυ τὸ γένος, διὰ τὴν ἀπόστασιν δηλαδὴ τῶν ὑπ' αὐτῶν δεικνυμένων προσώπων. κατὰ δὴ τὴν ἐγὼ, καὶ σὺ, καὶ ἡ ἐπὶ γ', ὃς ἐπὶ διαφόρων γενῶν οὐφαύλως ἂν ἐλαμβάνετο, οἷον ὃς αὐτὴ, ἢ οὗ αὐτῆς, καὶ ὃς αὐτὸ, εἰ μὴ ἦν διελεγχομένη ὑπὸ τοῦ κατὰ τὸ γ', οὗτος, ἐκεῖνος. συμπίπτουσα δὲ καὶ τῷ ὑποτακτικῷ ἄρθρῳ, ἀπεώσθη τῆς τοιαύτης χρήσεως, ὅτι μὴ ἐπὶ τῶν διαλόγων, ἦδ' ὅς. ταῦτ' ἄρα καὶ ὁ Θεόδωρος τῶν κατὰ τὸ α', καὶ β', ἐπιμνησθεὶς πρόσωπον, ταύτην παρέλειψε, παρειλημμένων τῆς οὗτος καὶ ἐκεῖνος, ἀντ' αὐτῆς, δεικτικαὶ γὰρ καὶ αὗται, καὶ δὴ καὶ πρωτότυποι, εἰ καὶ ἡ οὗτος, παρὰ τὴν ὃς, παρῆκται κατὰ Ἀπολλ': εἰ δὲ καὶ αἱ πρωτότυποι Ἀντωνυμίαι οὐφιλοῦσιν ὑπερβαίνειν τὴν δισυλλαβίαν, ἀπαθεῖς οὖσαι, ἥγε μὴν ἐκεῖνος, ἐκφωνήεντος ἤρξατο κατὰ τὰς πρωτοτύπους μονοπροσώπους Ἀντωνυμίας, ἃς ἐκτίθενται οἱ παλαιοί. πολλαχοῦ δὲ ἀναλόγως τῇ οὗτος, αὐτὸς, δισυλλαβεῖ καὶ ἡ κεῖνος. εὕρηται δὲ παρὰ τῷ ποιητῇ ἡ οὗ κἀπὶ θηλυκοῦ. καὶ γὰρ ῥὰ Κλυταιμνήστρης προβέβουλα κουριδίης ἀλόχου. ἐπεὶ οὐ ἕθεν ἐστὶ χερίων· ἰλ: α'. ὅ ἐστιν οὐκ ἔστιν αὐτῆς χείρων, ἡ Χρυσηὶς δηλ': τὸ γὰρ Οὗ ἀντωνυμικὸν καὶ τὰ σύστοιχα πενταχῶς κινεῖται. τὰ μὲν γὰρ πρωτότυπα, ἐμοῦ, σοῦ, οὗ. ἡ δὲ διάλυσις ποιεῖ αὐτὰ, ἐμέο, σέο, ἕο. ταῦτα δ' αὖ συναίρεσις μὲν ποιητικὴ συναλείφει εἰς τὸ ἐμεῦ, σεῦ, εὗ. ἐπένθεσις δὲ τοῦ ῑ, μετάγει εἰς τὸ ἐμεῖο, σεῖο, εἷο. παραγωγὴ δὲ μετασύρει αὐτὰ εἰς τὸ ἐμέθεν, σέθεν, ἕθεν, κατὰ συγκοπὴν τοῦ ο. σέοθεν γὰρ τὸ πλῆρες. ἔτι καὶ ἡ οἷ. Ἡρόδ: ἐν α', ἦν δὲ γυνὴ, τῶν μασαγετέ-

γετέων βασίλεια. Τόμιες οἱ ἰῶ ὄνομα. κἀντῇ β, ἔπειτα ἐμίγησαν οἱ ἀσκέται. Λεκιανὸς ἐν τῷ περὶ Ἀστρολογίας, ὅτι οὐκ ἀίδιον τῇ Σελήνῃ τὸ φέγγος, ἀλλὰ καὶ οἱ παρὰ Ἡλίου ἔρχεται. Ὅτι οἱ λέγοντες ἑαυτῷ καὶ ἑαυτοῖς καὶ ἑαυτὰς, λελήθασι σολοικίζοντες, ὡς Ἀθήναιος βέλεται, φησὶν Εὐσάθειος. αἴτιον δ' ὅτι ἐν συνήθεσι μὲν τὸ ἑαυτὸν καὶ ἑαυτῷ καὶ ἑαυτόν, ἐκ δύοιν ἕκασον ὁμοιοπτώτων καὶ ὁμοιαρίθμων πτώσεων σύγκειται, οἷον ἑαυτὸν, ἑαυτῷ, ἑαυτόν. ὁποιόν τι καὶ τὸ ἐμὲ δ' αὐτὸν ἐποξύνει μάχεσθαι. σωφρέσθην πάλαι δὲ, ποιοῦσι τὸ ἑαυτὸν, ἑαυτῷ, ἑαυτόν. ἐπὶ δὲ γε πληθυντικῶν πτώσεων τὸ αὐτῶν, αὐτοῖς, αὐτὰς, οὐκέχει χώραν σωφρόσεως ἡ Ἀντωνυμία τὸ ἐ. ἀλλ' ὁ προθέμενος αὐτὸν ἀνομοίοπτον ἦσαν καὶ ἀνομοιάριθμον τοῖς τοιούτοις πληθυντικοῖς, ἐποίει καθ' Ἕλληνας. ὥσπερ δ' ὁ τολμήσας εἰπεῖν, ἐμαυτὸς, ἢ σαυτὸς, ἢ τι τοιοῦτο. διὸ κάλλιον ἐν τοῖς τοιούτοις τὸ ἀρκεῖσθαι τῇ τῆς ἀρχαίας δασείᾳ, καὶ αὐτὶ τοῦ ἑαυτοῖς καὶ ἑαυτὰς δασύνειν τὸ ἀ, πρὸς διαχολὴν τῶν κατ' ἄλλων ἐννοιαν φιλεμένων. ὁ δὴ ποιοῦσιν ἀξιολόγως οἱ γράφοντες τὸ καθ' αὑτὰς, καὶ καθ' αὑτὸ, καὶ καθ' αὑτὰ, καὶ ὅσα τοιαῦτα. πλὴν ἐπεὶ πολλῶν καὶ πολλὰ λόγα ἀξίων Ἀνδρῶν χωμένων καὶ ταῖς εἰρημέναις σωφρέτοις πληθυντικαῖς αὐτωνυμίαις, οὐκέστι σολοικίαν καταλέγειν ἁπάντων, ῥητέον ὡς ἐκ ἀμφιλήκτως σωφρέσις δύοιν αὐτωνυμιῶν προήγαγε τὸ ἑαυτῷ, ἑαυτοῖς, ἑαυτὰς, ἀλλ' ὡς ἁπλαῖ λογίζονται μὴ πάθος πλεονασμοῦ. δοκεῖ γὰρ, δασυνθέντων, ὡς ἐρρέθη, τῶν αὐτῷ, αὐτοῖς, αὐτὰς, προκαθεθῆναι πλεονάσαν τὸ ἐ, καὶ αὐτὶ καὶ ἐφελκύσαθαι εἰς ἑαυτὸ τὴν δασεῖαν τῆς αὖ, διφθόγγε πρὸς ὁμοιότητα τοῦ ὦρανα, ἑώρακα, καὶ τῷ ὁμοίων, καὶ οὕτω παρρησιάσασθαι ὁμοίως ταῖς, ὡς λέλεκται, δασυνομέναις δισυλλάβοις αὐτωνυμίαις καὶ τὰς ξισυλλάβους. Ἐπὶ τούτοις ἐκ ἂν διαπορήσειέ τις, τί δήποτε αἱ μὲν τὸ ἀ, καὶ β, ἐμετίασιν ἐπὶ τὰ γ, πρόσωπα κατ' ἐδοκίμου ἀριθμὸν, ἐγὼ γὰρ φαμι, ἐγὼ, ἢ σὺ γράφει. τὰ γε μὴν γ, μετίασιν ἐπὶ τὰ ἀ, καὶ β, καὶ πάλιν ἐχ ἁπλῶς ἅπαντα, ἀλλ' ἐκ μὲν τῆς ἁπλῶν συνικῶν ἡ αὐτὸς μόνη. οἷον αὐτὸς ἐγὼν οἱ δῶκα. αὐτὸς δὲ σὺ δῶκας. ἐκ ἔτι δὲ καὶ ἡ οἱ, καὶ ἡ ἑ, καὶ αἱ σύζυγοι συνικαὶ, ἁπλαῖ ἔσαι. ἐκ δὲ τῶν σωφρέτων αἱ πληθυντικαὶ μόνον, οἷον ἡ ἑαυτὰς, ἐκέτι δὲ καὶ αἱ συνικαὶ, οἷον ἡ ἑαυτὸν καὶ αἱ σύζυγοι, ἐκ δύοιν ξίτων ἔσαι συντεθειμέναι, τῶν ἐ καὶ αὐτὸν, ἐξ ὧν καὶ αἱ πληθυντικαὶ, ἑαυτῷ, ἑαυτοῖς, ἑαυτὰς; πῶς ἔν ἐκ ἄλογον τὸ καθ' ἑνικὸν σωφρέξιν ἀπαράδεκτον ἐν ἀ, τε καὶ β, ἐν πληθυντικῇ μεταπρόσει δ' ἀπαράδεκτον γίνεσθαι; ἐγὼ γὰρ φαμι ἑαυτὸν ὑβρισα, ἢ ἑαυτὸν ὑβρισας. ἑαυτὰς δὲ καθυβρίσαμεν. ὥσπερ δὲ εἴ τί ἐσιν ἐν ἀ, καὶ β, τοῦτο καὶ ἐν γ, παραλαμβανόμενον, ἀκαταλήπλον ποιεῖ τὸν λόγον ὅλως τὸν ἀναλαγὸν τῆς προσώπων, εἰ τῇδέ τις ἀποφαίνοιτο, ἐγὼ, ἢ σὺ γράφει. ἡμεῖς, ἢ ὑμεῖς γράφουσιν, ἔπω καὶ ἐκ τοῦ ἐναντίου, εἴτί ἐσιν ἐν γ, τοῦτο καὶ ἐν ἀ, παραλαμβανόμενον, ἢ β, ἀκαταλήπλοτα παρέξει. πῶς ἔν τὸ ἑαυτὰς ξίτον καὶ ἐκ ξίτων γινόμενον, καταλήπλον ποιεῖ λόγον ἐν τῷ ἀ, καὶ β, παραλαμβανόμενον; τὸ δὲ δέον ἐσὶν, ἑαυτὰς τύπτουσιν. ἐμὲ τύπτομεν. Ἀλλὰ πάλιν πάνυ καταλήπλον ἔχει ἐπανόρθωσιν ὅλως τοῦ ἀκολούθου χήματος. εἰ γάρ τοι σολοικισμὸς τὸ ἑαυτὰς ὑβρίζομεν, τί τὸ ἐπανορθοῦν τὸ χῆμα; εἶπεν αὐτὶς τὸ ἡμᾶς ὑβρίζομεν. τοῦτο δὲ ἐ μόνον ἐκ χήσεως, ἀλλὰ καὶ ἐξ ἀποδείξεως δείκνυται μὴ δύνασθαι ἐπ' αὐτοπαθείας ἁπλᾶς ὑπάρχειν τὰς αὐτωνυμίας μὴ τῶν συζύγων ῥημάτων, ὅ ἐσι τῶν ταυτοπροσώπων, ὅτι μὴ μόνον ἐπὶ τῆς δύ-

τῆς εὐθείας. ἐγὼ ὕβρισα, ἡμεῖς ὑβρίσαμεν. ἐπὶ δὲ τῶν πλαγίων συντίθενται. καθ' ὅ,τι ἐν αὐτοπαθείᾳ μετὰ τῶν συζύγων ῥημάτων οὐ δύνανται καθ' ἑαυτὰς συνέχειν τό, τε ποιοῦν καὶ τὸ πάσχον, ὅτι μὴ συντεθεῖσαι. ὥστε τὸ ἐμὲ ὕβρισα, εἰς τὸ ἐμαυτὸν μεταλαμβάνεται. οὐδὴ οὖν συστήσεται τὸ ἡμᾶς ὑβρίσαμεν, ἢ ἡμῖν ἐλαλήσαμεν. τὸ δ' ἑαυτοὺς γ', ἢν ἂν ἐν κακίᾳ, ἐπὶ α', τε καὶ β', συντεῖνον, εἰ διηλέγχετο ὑπὸ τοῦ ἐμαυτοὺς, ἢ σαυτοὺς, ὡς παρὰ τὸ πρόσωπον ἡμαρτημένον, ἐκείνων μὴ συγχωρουμένων τῷ λόγῳ τῶν συνθέτων, διὰ τὸ μὴ ἐξ ὁμοειδῶν, ὡς εἰρήσεται, ἐκ δὲ διαφόρων συγκεῖσθαι προσώπων. ἤδη δὲ ἀνεξέλεγκτον καθεστὼς τὸ ἑαυτοὺς, ἀδεεστέραν τὴν σύνταξιν κατὰ τῶν α', καὶ β', ἐποιήσατο. Ἀνεμώλια ἄρα βάζουσαν οἱ φάσκοντες, ὅτι τῶν πληθυντικῶν αἱ μὲν τοῦ α', καὶ β', ἁπλαῖ, ὡς συλληπτικαὶ τῶν γ', οὐ μεταλαμβάνονται εἰς τὸ γ', ἡ δὲ τοῦ γ', σύνθετος ἡ ἑαυτοὺς, μέτεισιν εἰς τὸ α', καὶ β', ὡς μηδ' ἑτέρου τούτων οὖσα συλληπτική. οὐ γὰρ παρὰ τὸ συλληπτικὰς ἑτέρων εἶναι, ἢ μὴ, παρὰ δὲ τὸ ἐλέγχεσθαι, ἢ μὴ, ὑφ' ἑτέρων, αἱ μὲν, μεταβαίνουσιν ἐφ' ἕτερα, αἱ δὲ, μένουσι κατὰ χώραν. πρόδηλον γὰρ ὅτι τὸ μὴ γενόμενον ἐν προσώπου ἀκολουθίᾳ, οὐδὲ παρὰ τὸ ἀκόλουθον, ὡς εἴρηται, τῶν προσώπων ἁμαρτηθήσεται, ἀδιαφόρως τούτοις συντασσόμενον. ὡς τὸ καλῶς γράφω, γράφεις, γράφει. γενόμενόν γε μὴν ἔκτινος τῶν παρεπομένων ἀκόλουθον, γένους λέγω καὶ πτώσεως καὶ ἀριθμοῦ, οὐκ ἔτι συνοισθήσεται παρὰ τὸ δέον τῶν προκειμένων, κατὰ τὸ δέον δέ. ἐμὲ γὰρ αὐτὸν, καὶ ἡμᾶς αὐτούς. οὐ μὴν ἐμὲ αὐτοὺς, ἢ ἡμᾶς αὐτόν. καθ' ὅ,τι αἱ λέξεις ἀναμεμερισμέναι, ὡς προείπομεν, κατὰ τὰς ἰδίας Θέσεις, τὰς ὁπωσδήποτε παρεμπιπτούσας εἰς οὐκ ἐπιβάλλουσαν Θέσιν διελέγχουσι διὰ τῆς ἐξ αὐτῶν ἀκολουθίας, παρὸν πιστώσασθαι καὶ δι' ὧν ἔφθημεν ἔναγχος παραθέντες. αὐτίκα καὶ γὰρ τὸ ἐμοὶ, ἐπὶ τρίτου τίθεται. ὑπὸ γὰρ τοῦ τῷ τρίτῳ συζύγου τοῦ οἱ διελέγχεται. καὶ σαφὲς ὅτι καὶ τὸ οἷ οὐκ ἐπὶ α', διὰ τὸν αὐτὸν λόγον. ὥσπερ οὐδὲ τὸ γράφω ἀντὶ τοῦ γράφει, ἢ ἐναλλάξ. ὁ αὐτὸς λόγος κἀπὶ τῶν β', προσώπων, τοῦ σοί φημι καὶ τῶν ἄλλων. μετατιθέμενα γὰρ καὶ αὐτὰ, ἐλέγχεται ὑπὸ τῶν συζύγων. πῶς οὖν ἡ αὐτὸς, γ', καθεστῶσα, σύνταξιν τὴν κατὰ τὸ α', καὶ τὸ β', ποιεῖται; ἢ ὅτι ἕνεκα τοῦ μὴ ἔχειν ἀκόλουθον πρόσωπον κατὰ συζυγίαν, ὃ ἂν συνελέγξοι τὸ ἀλλότριον τοῦ προσώπου. σαφὲς δὲ πάλιν καὶ ἐκ τῶν ἄλλων ἀντωνυμιῶν, αἳ γένος μὴ διακρίνουσαι, ἀκόλουθον ἔχουσι τὴν ἐν τοῖς τρισὶ γένεσιν ὑπαγωγήν. φαμὲν γοῦν, σὺ αὐτὸς, ἢ σὺ αὐτή. καὶ ἔτι ἐμοὶ αὐτῷ, ἐμοὶ αὐτῇ. καὶ οὐ κακία τὸ τοιοῦτον. ὅτι οὐκ ἐνεχώρει τὸ δυνάμενον ἐλέγξαι τὴν κακίαν. καθ' ὅ,τι, ἀπαράδεκτοι γένους τῶν δεικτικῶν αἱ πρωτότυποι.

Ῥήματα.

Ὁ αὐτὸς δὲ κἀπὶ τῶν Ῥημάτων λόγος. αἱ γοῦν κυρίως Ἐγκλίσεις εἰς πρόσωπα καὶ ἀριθμοὺς μερισθεῖσαι, τὸ ἀκατάλληλον συνελέγχουσι δι' ἀριθμῶν καὶ προσώπων.

Ὅ ἐστι διὰ τῆς ἀκολουθίας τῶν ἀριθμῶν καὶ προσώπων. τὸ γὰρ γενόμενον, ὡς εἴρηται, ἔκτου ἀκόλουθον, κατὰ τὸ δέον συνταχθήσεται.

Ἡ δ' Ἀπαρέμφατος ἀμοιρήσασα τούτων,

Τὰ μὲν Ἀπαρέμφατα ὀνόματα συμβεβηκότων εἰσὶ, καθ' ἑαυτὰ καὶ ἀπολύτως τῶν ἐν οἷς εἰσι, θεωρούμενα, τὰ δὲ πρόσωπα τῆς οὐσίας τυγχάνει, οἷς παρέπεται ἡ ψυχικὴ

χικὴ διάθεσις καὶ ὁ ἀριθμός. προσώπων μὲν οὖν ἀμοιρεῖ ἡ Ἀπαρέμφατος, ὡς καθ' ἑαυτὴν θεωρουμένη, καὶ μὴ εἰς πρόσωπα ἀνακυκλουμένη. δι' αὐτὸ δὲ τοῦτο καὶ ἀριθμῶν. δι' ὅ, τι παῦ ῥῆμα καθ' ἑαυτὸ ἐν ἐστι τῷ ἀριθμῷ, τὸ τύπτειν τυχὸν, ἢ τὸ γράφειν. ἐγγενόμενον δ' ἐν προσώποις. τότε καὶ συμπληθύνεται, διαστέλλον τὰ πρόσωπα, ὄντα λοιπὸν ἤτοι ἑνικὰ, ἢ δυικὰ, ἢ πληθυντικά.

Ἐπὶ παῦντα πρόσωπα καὶ ἐπὶ παῦντας ἀριθμοὺς ἐπιβάλλει.

Ναὶ δὴ καὶ ἐπιτρέχει κατὰ Ἀπολλώνιον.

Γράφειν ἐμὲ, ἡμᾶς, σὲ, ὑμᾶς.

Περὶ γὰρ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα, οὐθὲν, ὡς εἴρηται, συμβαίνει ἁμάρτημα.

Χρόνου γε μὴν καὶ διαθέσεως οὐκ ἀμοιροῦσα, παρὰ τὴν τούτων ἐναλλαγὴν τὸ ἀκατάλληλον ἐμφανίζει.

Κἀπὶ πάλιν οὐκ ἀμοιρεῖ διαθέσεως, ἢ χρόνων, ἐν τῇ τούτων ἐναλλαγῇ τὸ ἀνακόλουθον ἐπιδείκνυται. οἷον, εἰ λέγοι τις, συνέβη χθὲς γράψειν.

Μετοχαί.

Δῆλον ταὐτὸ τοῦτο καὶ ἐκ τῶν Μετοχῶν.

Φημὶ δὴ τὸ ὅτι οὐθὲν ὅλως συμβαίνει ἁμάρτημα περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα.

Αἷς μετουσία γένους καὶ πτώσεως καὶ ἀριθμοῦ, οὐ μὴν δὲ καὶ προσωπικῆς διακρίσεως καὶ ψυχικοῦ τοῦ βουλήματος. δι' ὃ δὴ καὶ περὶ τὰ μὴ προσόντα ταῦτα οὐθὲν φαῦλον συμβαίνει. γράψας ἀνέστην, ἀνέστης, ἀνέστη, ἀνάστηθι, ἀνασταίην.

Προσδίδωσι μὲν γὰρ ταῖς μετοχαῖς ἡ ἐκ τῶν ῥημάτων μετάληψις καὶ γένος καὶ πτῶσιν καὶ τὸν ἐν τούτοις ἀριθμὸν, ἀφαιρεῖται δ' αὖ τι προσώπων διάκρισιν, δι' αὐτὸ δὲ τοῦτο καὶ ψυχικὸν βούλημα. (τὰ γὰρ πρόσωπα ἔμψυχα ὄντα, τὴν ἐν αὐτοῖς διάθεσιν, βούλημα λέγω, ἢ πάθημα τῆς ψυχῆς ἐπαγγέλλεται) καὶ ἕνεκα τούτου περὶ τὰ ἀφῃρημένα οὐχ ἁμαρτάνομεν, ἀδιαφόρως αὐτὴν συντάττοντες διαφόροις προσώποις μὲν, γράψας ἀνέστην, ἀνέστης, ἀνέστη, ἐγκλίσεσι δὲ, γράψας ἀνάστηθι, ἀνασταίης. ἀπὸ κοινοῦ ἐπ' ἀμφοῖν τὸ γράψας. τά γε μὴν ἐμμείναντα, χρόνων λέγω διαφορὰν, τῷ ἀκαταλλήλῳ λόγῳ ὑποπίπτει, εἰ παρὰ τὸ δέον συνταγείη. ἀναπνέων οὖν ζῶ, καὶ γράψας ἀνέστην. ἂν γε μὴν καὶ ἐπὶ τῆς μετοχῆς γένηταί τις διαφορὰ, ἀφίσταται τοῦ κοινῇ παρακολουθοῦντος. ἥκω ἐρῶν. τὸ γὰρ οὗ ἕνεκα αἰτιολογοῦσα, μέλλοντα ᾔτησε.

Σύμπτωσις Ῥημάτων κατὰ Ἀριθμόν.

Ἔτι τὸ ἔλεγον καὶ τὰ ὅμοια ἑνικὰ ὄντα, διὰ τὸ συμπίπτειν τῷ γ', πληθυντικῷ καταλλήλως συντάσσεται τῷ πληθυντικῷ. ἔλεγον ἐκεῖνοι.

Ἀλλὰ καὶ ἐπὶ ῥημάτων τὸ αὐτὸ δείκνυται ὁμοίως ἔχον. τὸ γὰρ ἔλεγον καὶ τὰ ὅμοια ἑνικὰ ἐπὶ α', προσώπου, ὅμοια ὄντα τῷ ἔγραψα, ἔλεξα. ἐφ' ὧν εἴτις φαίη, ἔλεξα ἐκεῖνοι, ἀκατάλληλον λόγον παραστήσει προδήλως, καὶ ἕνεκα τοῦ α', προσώπου, καὶ ἕνεκα τοῦ α'-

τοῦ ἀσυμφώνου ἀριθμοῦ. οὐ μὴν ἐν τῷ ἔλεγον, ἢ ἔγραφον ἐκεῖνοι. πάλιν γὰρ ἡ πρὸς τὸ γ', πληθυντικὸν τοῦ α', ἑνικοῦ συνέμπτωσις τὸ ἀκατάλληλον παρῄτηται. καθ' ὃ δέουσα σύνταξις γέγονεν ἡ πρὸς τὸ πληθυντικὸν, συνελθόντων τοῦ τε διαφόρου ἀριθμοῦ καὶ προσώπου καὶ τὴν φωνήν. ἔγραφον γὰρ ἐγώ τε κἀκεῖνοι. ὅλως γὰρ τῶν παρεπομένων τὰ διάφορα καὶ μίαν φωνὴν συμπίπτοντα, ἀφίσταται τοῦ ἀκαταλλήλου, μὴ ἐνὸν οὐδέτερον εἰς ἔλεγχον τοῦ ἑτέρου παραλαβεῖν διὰ τὴν τῆς φωνῆς ταυτότητα.

Ὑπεξαιρείσθω τὰ Δωρικά. ἡ γὰρ ἐν αὐτοῖς

Ὁ δὲ Ἀπολλώνιος παρ' αὐτοῖς φησι.

Καταβιβαζομένη ὀξεῖα, ἀφίστησι τὴν πρὸς τὸ ἑνικὸν σύμπτωσιν.

Ὅ ἐστι συνέμπτωσιν καὶ Ἀπολλ': Δωριεῖς γὰρ τῶν ἀορίστων τὰ ἐπὶ γ', πληθυντικὰ εἰσᾶν καὶ ὄν, λήγοντα ῥήματα παροξυτονοῦσιν. ἐστάσαν. ἐφάσαν. ἐλέγον. ἐφάγον ἐκεῖνοι.

Ὀνομάτων κατὰ γένος.

Ὁμόλογον δὲ καὶ τὸ τὰ συμπίπτοντα ἤτοι κατὰ γένος, ἢ καθ' ὁ, τιοῦν, ἀφίστασθαι τοῦ ἀκαταλλήλου. οἷον σοφὸς, ἢ θεὸς, καὶ ὅλως τὰ διγενῆ. τὸ μὲν γὰρ θεὸς, σαφὲς, κἂν πρὸς θηλυκὸν τάσσηται, τὸ δὲ κλυτὸς καὶ ἄγριος, καὶ ὅλως τὰ τριγενῆ, οὔ. ὅθεν ἐναλλαγὴ τὸ, κλυτὸς Ἱπποδάμεια.

Παρέμπτωσις μέν ἐστι, δύοιν τινῶν ὁμοίων κατὰ μέσον τρίτου τινὸς παρενθήκη, ὡς εἴρηται ἐν τοῖς ὁμοιοπτώτοις ἡ τοῦ συνδέσμου παρέμπτωσις, συνέμπτωσις δὲ, δύοιν τινῶν διαφόρων κατὰ ταὐτὸ ἀπὸ τύχης συνέλευσις. ὥστε τὸ συμπίπτειν οὐ τῶν μερῶν ἐστι, τῶν δὲ τούτοις παρεπομένων. οἷόν τι λέγω, οὐ τὸ ἀνὸς ὄνομα συμπίπτειν λέγεται κατὰ γένος τὸ ἀρσενικὸν καὶ τὸ θηλυκὸν. οὐδὲ τὸ γράφειν ἀπαρέμφατον, κατὰ χρόνον τὸν ἐνεστῶτα καὶ παρατατικὸν, ἀλλὰ τὰ διάφορα γένη καὶ οἱ διάφοροι χρόνοι συμπίπτουσιν, ὅ ἐστι συνέρχονται κατὰ μίαν φωνὴν, τὰ μὲν, τὴν ἀνὸς, οἱ δὲ, τὴν γράφειν, ἢ γράφων. τὸ γοῦν, τὰ κατὰ γένος, ἢ καθ' ὁ, τιοῦν συνεμπίπτοντα, ληπτέον, ἀντὶ τοῦ, τὰ συνεμπτωσιν ἀναδεχόμενα διαφόρων παρεπομένων. ἐρεῖ γὰρ ἐν τοῖς ἑξῆς, τὰ μεσότητος ῥήματα συνέμπτωσιν ἀναδεξάμενα ἐνεργείας καὶ πάθους, κτ': ὥσπερ οὖν οὐθὲν συνέβαινεν ἁμάρτημα περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα, οὕτως ἐκ τοῦ ἐναντίου περὶ τὰ κατὰ μίαν φωνὴν ἐν διαφόρῳ ἀκολουθήσει ὄντα, οὐθὲν συμβαίνει ἁμάρτημα. ὁμόλογον γοῦν, ὡς καὶ τῶν τοῦ λόγου μερῶν τὰ κατὰ μίαν φωνὴν συνέλευσιν ἀναδεξάμενα ἤτοι γένους διαφόρου, ἢ πτώσεως, ἢ προσώπου, ἢ ἀριθμοῦ, ἢ χρόνου, ἤτου τῶν καθ' ἑαυτὰ μὲν ἑτέρων ὄντων, δυναμένων δὲ τὴν κατὰ τὴν φωνὴν ταυτότητα ἀπενέγκασθαι, ἀποστήσεται τῆς τοῦ ἀκαταλλήλου κακίας, ἑκάστου κατὰ τὸ οἰκεῖον συντασσομένου. τῇ γὰρ συνεμπτώσει βοηθεῖται μὴ εἶναι ἀκατάλληλα. ἐσθ' ὅτε γὰρ ἐν δεούσῃ συντάξει καταγινόμενα, μέτεισι καὶ ἐφ' ἑτέραν σύνταξιν ἐν λόγῳ δυναμένην καὶ αὐτὴν παραλαμβάνεσθαι διὰ τὸ ἐκκεχυμένον τῆς φωνῆς, ὡς ἐπὶ τῶν τριγενῶν ἐπιθέτων καὶ αὐτῶν δὴ τῶν κοινῶν ἔστιν ἰδεῖν. ἔστω γάρ τις σοφὸς, ἢ κλυτὸς, ἤτι τῶν δυναμένων ὑπὸ τριγένειαν πίπτειν. ἔστω δὲ καὶ τὸ θεὸς, ἤτι τῶν δυναμένων κατὰ κοινότητα μόνον ἀκούεσθαι. ἐφ' ὧν τῆς συντάξεως τὸ μὲν θεὸς, κἂν ἐπὶ θηλυκοῦ τάσσηται, ἀνενδοίαστον κατὰ γένος ἐστί. Θεὸς γὰρ ὁ Ζεὺς, ἀλλὰ καὶ ἡ ἥρα θεός. ἐν οἷς

φησιν, ὅσον ἐγὼ μετὰ πᾶσιν ἀτιμωτάτη θεός εἰμι. Ἰλ: α'. οὔ γε μὴν τὸ κλυτὸς, ἢ ἄγριος, ταὐτὸ πείσεται, μὴ κοινολεκτούμενον τῷ γένει. καὶ ἔνθεν γνωρίζεται τὸ ἐν βιωτίᾳ, κλυτὸς Ἱπποδάμεια, Ἰλ: β'. καὶ ἄγριον αἶγα, Ἰλ: γ', καὶ τὸ θῆλυς ἑέρση. καὶ παρ' Εὐριπ': τὸ ἀγγελθεῖσά μοι γενναῖος, ἐν ὑπαλλαγῇ γένους καθεστῶτα κατὰ δωρικὴν καὶ ἀττικὴν διάλεκτον. δι' ὃ καὶ τὸ παρ' Ἀθηναίοις, μὰ τὼ θεὼ, ἐπὶ Ἥρας καὶ Ἀθηνᾶς λεγόμενον, οὐκ ἐν τῷ θεὼ, τὸ τῆς ἐναλλαγῆς σχῆμα ἐπεδείξατο, κοινῷ ὄντι ὡς εἴρηται, ἐν δὲ τῷ συνόντι δυϊκῷ ἄρθρῳ τῷ τώ. ὃ μὴ κοινωνοῦν τῷ θηλυκῷ ἀρσενικὸν ὂν, ἐδείκνυεν, ὡς καὶ τὸ Θεὸς νῦν ἀρσενικόν ἐστι. δῆλον γὰρ ὅτι εἰ ἀφαιρεθείη τὸ Ἄρθρον, καὶ τὰ τοῦ σχήματος ἀποστήσεται, κοινοῦ μένοντος πάλιν τοῦ θεώ. οὐ γάρ ἐστιν ὅμοιον τῷ, καλυψαμένω χρόα καλὸν, οὐδὲ τῷ, οὐκ ἂν ἐφ' ἡμετέρων ὀχέων πληγέντε κεραυνῷ. εἴ γε ταῦτα μὲν, αὐτόθεν ἐπεδείξατο τὰ σχήματα, ἀρσενικὰ ὄντα, κἀπὶ θηλυκῶν λεγόμενα ἀδείᾳ ποιητικῇ, τὸ δὲ προκείμενον, διὰ τῆς τοῦ Ἄρθρου παραθέσεως, κοινὸν ὂν οἴκοθεν. προφανὴς ὁ λόγος ἐπὶ ἁπάντων τῶν γενῶν, εἴτις μὴ ἐνδεέστερον τὴν τούτων διάκρισιν γιγνώσκοιτο. κοινὰ μὲν γάρ εἰσι τῷ γένει, τῶν Ἐπιθέτων τὰ κατὰ μίαν φωνὴν ἀρσενικῷ τε καὶ θηλυκῷ ἄρθρῳ ὑποτασσόμενα. οἷα τὸ ἀληθὴς, εὐειδὴς, ἀμαθὴς, εὔνους, σύνδουλος, Φιφός, καὶ ὅλως τὰ σύνθετα. καὶ τὰ σημαντικὰ τῶν ζῴων ὡς ἐπὶ τὸ πλεῖστον. ἄνος, ἵππος, βοῦς, καὶ τὰ ἐπαμφοτερίζοντα, καὶ νῦν μὲν, ὡς Ἐπίθετα, νῦν δὲ, ὡς προσηγορικὰ λαμβανόμενα. οἷα τὸ εὐεργέτης, πολίτης, βασιλεὺς, θεὸς, καὶ τὰ τοιαῦτα. τὸ δὲ σοφὸς, κλυτὸς, ἄγριος, καὶ ὅλως τὰ μὴ καθ' ἕνα σχηματισμὸν, κατὰ δὲ μετασχηματισμὸν τριγενοῦς φωνῆς καὶ ἰδίᾳ ἑκάστῳ τῶν ἄρθρων ὑποτασσόμενα, οὐ διγενῆ, τριγενῆ δέ. ὁ σοφὸς γὰρ, ἡ σοφὴ, τὸ σοφόν. ὅ γε μὴν Θεόδωρος τὸ σοφὸς ἐν τοῖς διγενέσιν ἔταξεν, ὡς μὴ ἐνὸν, οἶμαι, καὶ τὸ παιδίον καθ' ἕξιν εἶναι σοφόν. Οἵ γε μὴν παλαιοὶ παρασημειοῦνται ἁπλῶς, ὡς τὰ εἰς ὃς, Ἐπίθετα, κοινολεκτεῖται τῷ γένει. θηραῖος. σπουδαῖος. ῥαγδαῖος. βίαιος. χρύσεος. θεός. ὡς Ἰλ: ζ'. τρῳαὶ εὐπλόκαμοι δεινὴν θεὸν ἱλάσκονται, τὴν Ἀθηνᾶν. καὶ τὰ εἰς ιμος, θανάσιμος ἀδικίᾳ. δικάσιμος ἡμέρα. γνώριμος. δόκιμος. ὥριμος. πλώϊμος. ἁλώσιμος ψυχή. διαδόσιμος φήμη. ὠφέλιμος ἡδονή. γόνιμος ὑγρότης, βάσιμος πῆξις. καταπαύσιμος, ἢ ἀθροίσιμος ἡμέρα. χρήσιμος ἡ Ῥητορική. τρόφιμος ἀναθυμίασις. ἕτοιμος κύλιξ, ἄδικος ἡμέρα. ἐν ᾗ δίκης ἐστὶν ἐκεχειρία. ὁ δὲ Εὐστάθειος ἀττικὸν ἔθος φησὶν, ἀποδιδόναι θηλυκὰ ἀρσενικοῖς, καὶ ἀνάπαλιν. οἷον καὶ τὸ πικρὸν ὀδμήν. μυρία δὲ τοιαῦτα καὶ ἄλλα παρεσημειώθη πολλαχοῦ. ὧν ἐστι καὶ τὸ, πάντων χαλεπώτατον, στρατιὰν ἀργὸν τρέφειν, παρὰ Ξενοφ: καὶ τὸ ἀργὸς, ἢ ἔρημος ἡ γῆ, κατὰ κοινότητα γένους. κατὰ τὸ, ἐν πύλῳ ἐν νεκύεσσι. τοῦτ' ἔστιν ἐν τῇ κατὰ νεκροὺς πύλῃ. καὶ πλάνος φρενῶν ἡ πλάνη, καὶ φαῦλος οὖσα. καὶ ὁδὸς λεῖος. καὶ ἡ θηραῖος παρὰ Σοφοκλεῖ. καὶ ἡ τηλικοῦτος. καὶ δεινὴ Θεός. καὶ μάταιος σπουδή. καὶ φωκάων ὀλοώτατος ὀδμή. καὶ ἀκοὴ λίχνος. καὶ νεκρὸν δάμαρτα, καὶ ἐν ἄλλοις μυρίοις ὁμοφωνοῦντος τοῦ θηλυκοῦ τῷ ἀρσενικῷ. Θουκυδ': α', τῆς τε καθ' ἡμέραν ἀναγκαίου τροφῆς. κἀν τῇ γ', θαρσαλέως εἴη, βέβαιον νομίζων τὴν πόλιν, κἀν τῇ β', πᾶσαν μὲν γῆν καὶ θάλασσαν ἐσβατὸν. κἀν τῇ ς', φαύλου στρατιᾶς. καὶ οἱ μὲν παλαιοὶ ἐντεῦθεν προήχθησαν εἰπεῖν, τὰ εἰς ὃς, Ἐπίθετα κοινολεκτεῖσθαι τῷ γένει, ἡμῖν δὲ διακριτέον τὰ τοιαῦτα. εἰ καὶ Εὐστάθειος ἐν ταῖς τοῦ Ὁμήρου παρεκβολαῖς ἀττικός

κός φησιν, ἀνὴρ, οὐ τὴν αἶγα, τὸν αἶγα δὲ λέγει, ὥσπερ καὶ τὸν ἀηδόνα, Ἐφ' οἷς Ἰστέον ὡς τὰ τοῦ προκειμένου ὕφους μὴ ἀκριβῶς τοῖς προτέροις τύποις ἐκδεδομένα, ἐκτῶν ἐσπλάτος τῷ Ἀπολλωνίῳ εἰρημένων ἀποκατέστη:

Μετοχῶν κατὰ Χρόνον.

Ὁμόλογον δὲ καὶ τὸ, τὸ γράφων συντάττεσθαι παρατατικῶ, ἠδηλονότι συνέμπτωσιν παρατατικοῦ ἐπιδέχεται. γράφων ἔχαιρον.

Κἀπὶ τῶν Χρόνων δὲ ὁμοίως ἔχει. ὁμόλογον γὰρ κἀκεῖνό ἐστιν, ὡς τοῦ γράφω ἡμετοχὴ γράφων ἐστί. καὶ οὐχ οἷόν τε φάναι, χθὲς γράφων. δι' ὅ, τι μηδὲ, χθὲς γράφω. ἡ γὰρ ἐγκειμένη τῷ ἐπιῤῥήματι χρονικὴ διαφορὰ, τὸν αὐτὸν ἀπαιτεῖ χρόνον τὸ ῥῆμα. ἀλλοῦν γε παρεδέξατο ἡμετοχὴ τὸ ἐπίῤῥημα, καθ' ὃ συνέμπτωσιν ἐπιδέχεται ἐν τῷ ἐνεστῶτι τὴν τοῦ παρατατικοῦ, λέγω τοῦ ἔγραφον. οὗτος δὲ συνετάττετο τῷ παρήκοντι χθὲς, ὡς ἐλέγετο, καὶ ἡ ἐξ αὐτοῦ ἄρα μετοχή. φαμὲν οὖν οὕτως. ἔγραφον καὶ ἠνιώμην. ἐφ' ἧς συντάξεως ἡμετάληψις καταλλήλως γενήσεται εἰς τὸ γράφων ἠνιώμην, κατὰ τὸ σημαινόμενον τῆς τοῦ παρατατικοῦ μετοχῆς. ὥστε ἡμετοχὴ κατὰ μὲν τὸ ἐνεστὼς οὐ συνταχθήσεται παρῳχημένοις, κατὰ τὸ παρῆκον δέ.

Καὶ Ἀπαρεμφάτων.

Καὶ τὸ Ἀπαρέμφατον δὲ γράφειν, μεταληφθὲν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ, κατάλληλον ἀποτελεῖ λόγον ἐν συντάξει τῶν τοιούτων ἐπιῤῥημάτων. συνέβη χθὲς γράφειν σωκράτῃ. συνέβη σήμερον γράφειν σωκράτῃ.

Ὁ δὲ αὐτὸς λόγος κἀπὶ τῶν Ἀπαρεμφάτων. πάλιν γὰρ τὸ γράφειν, μεταληφθὲν ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ, κατὰ μίαν καὶ τὴν αὐτὴν φωνὴν, ἐν τῇ προκειμένῃ συντάξει τῶν χρονικῶν ἐπιῤῥημάτων, κατάλληλον ἀποτελεῖ λόγον. οἷόν τε γὰρ φάναι, συνέβη ἐχθὲς γράφειν ἀπολλώνιον, καὶ συνέβη σήμερον γράφειν. τὸ μὲν, κατὰ τὸ ἔγραφον, τὸ δὲ, κατὰ τὸ γράφω. ἐπίγε μὴν τῶν μὴ συμπιπτόντων, ἕνα δὲ μόνον χρόνον ὑπαγορευόντων ἀπαρεμφάτων τὸ τοιοῦτον οὐκ ἂν εὕροις, λέγω ἐπὶ τοῦ συνέβη γράψαι ἐχθές.

Ῥημάτων κατὰ Διάθεσιν.

Δῆλον δ' ἔτι καὶ ἐπὶ Διαθέσεως. τὰ γὰρ καλούμενα μεσότητος ῥήματα, συνέμπτωσιν ἀναδεχόμενα ἐνεργείας καὶ πάθους, οὐθὲν παρὰ τὰς διαθέσεις ἁμαρτάνεται.

Ἔστι καὶ ἐπὶ Διαθέσεως ἐπιδεῖξαι τὸ τὰ καθ' ὁ, τιοῦν συμπίπτοντα, ἀφίστασθαι τοῦ ἀκαταλλήλου. τὰ γὰρ καλούμενα μεσότητος σχήματα, συνέμπτωσιν ἀνεδέξατο ἐνεργητικῆς καὶ παθητικῆς διαθέσεως, καὶ ἔνθεν οὐ παρὰ τὰς διαθέσεις ἁμαρτάνεται, τὴν ἐφ' ἑκατέρας σύνταξιν ἀναδεχόμενα καταλλήλως. τὸ γὰρ ἐλουσάμην, ἐποιησάμην, καὶ ἐτριψάμην, καὶ τὰ τούτοις ὅμοια, ἐκδηλοτάτην ἔχει τὴν σύνταξιν, ὁτὲ μὲν, ἐνεργητικὴν, ὁτὲ δὲ, παθητικήν. εἴγε τὸ ἔτριψα τοῦ ἐτριψάμην διαφέρει, καὶ τὸ ἔλουσα τοῦ ἐλουσάμην. οἵγε μὴν ἀπειρότερον περὶ τὰς τούτων διαφορὰς ἀναστρέφοντες, οἴονται (ὧν ἐστι καὶ Βουδαῖος) ἐσθ' ὅτε παθητικὰς διαθέσεις ἀντὶ ἐνεργητικῶν παραλαμβάνεσθαι, ἀττικὴν εἶναι λέγοντες τὴν τῶν παθητικῶν χρῆσιν ἀντὶ τῶν ἐνεργητικῶν, οὐ μικρὸν ἁμάρτημα τοῖς λόγοις προσάπτοντες. τὸ γὰρ ἀντὶ

ἐνερ-

ἐνεργητικοῦ παθητικῷ χρῆσθαι λόγῳ, ἢ καὶ ἀνάπαλιν, τοῦ ἀκαταλλήλου ἐστίν. οὐδὲ γὰρ, ᾗ περὰν εὕρῃ τις τὸ φύσει ἐνεργητικὸν, ἢ τὸ φύσει παθητικὸν ἐν ὑπαλλαγῇ τῶν ἰδίων θέσεων, λέγω τὸ ἐποίησα ἀντὶ τοῦ ἐποιήθην, ἢ ἐναλλὰξ, ἢ τὸ γεγράφθαι ἀντὶ τοῦ γεγραφέναι, καὶ ἄλλ' ἄττα ὑπαλλάττοντα τὴν ἰδίαν θέσιν, παράτισι τῶν ἐνδοξοτέρων ὡς ἐπ' ἔλαττον, εἰς τὸ κοινὸν ταῦτα παραθετέον. ὁμολόγως οὖν, ὡς τὸ, ἀμφοτέρω κεκοπὼς, ἢ πεπληγὼς ἀγορῆθεν, ἢ ῥάβδῳ πεπληγυῖα, καὶ τὰ τούτοις ὅμοια διὰ τὸν προειρημένον τῆς μεσότητος λόγον οὐκ ἀνθυπήλλακται κατὰ τὴν διάθεσιν, κατὰ δὲ τὸν δέοντα λόγον τῆς συντάξεως ἀμφοτέρας ἐπιτρέχει τὰς διαθέσεις.

Ἐγκλίσεων κατὰ Πρόσωπα.

Καὶ ἐπὶ συμπτώσεως δὲ Προσώπου δῆλον ταὐτό. τὸ γὰρ νικῷ, κατάλληλον μὲν ἐπὶ α', ὁριστικοῦ, καὶ β', προστακτικοῦ, καὶ γ', εὐκτικοῦ, ὡς ἔχει τὸ παρ' Ἀλκμᾶνι. νικῷ δ' ὁ Κάρρων. ἀκατάλληλον δὲ ἐπὶ δευτέρου ὁριστικοῦ. ᾗ δεύτερον τὸ νικᾷς.

Ἔστι καὶ ἐπὶ συνεμπτώσεως Προστώπων ταὐτὸ ἐπιδεῖξαι. τὸ γὰρ νικῶ, α', ὂν προσώπου ἐπὶ τῆς ὁριστικῆς, οὐ μετελεύσεται ἐπὶ β', καθ' ὃ ἔχει β', τὸ νικᾷς. ἀλλ' ἐπεὶ πάλιν προστακτική τις διαφορὰ ἐν δευτέρῳ προσώπῳ ἀναμένει τὴν φωνὴν, κἂν ἐπὶ β', τίθηται, καταλληλότητα ἀναδέχεται, γενόμενον ὡς εἴρηται προστακτικὸν κατὰ παθητικὴν διάθεσιν. μέτεισιν ὁ τοῦ νικῶ λόγος κἀπὶ γ', προσώπου ἐπὶ εὐκτικῆς ἐγκλίσεως. δύναται δὲ περιγράφεσθαι τῆς πρὸς τὸ προστακτικόν τε καὶ ὁριστικὸν συνεμπτώσεως διὰ τὴν προσοῦσαν τοῦ ι, ὑπογραφήν. ὅμως γοῦν ἀκουόμενον, συνεμπίπτει τῇ τε ὁριστικῇ καὶ προστακτικῇ προφορᾷ. ἔνθεν τοι καὶ κατάλληλόν ἐστιν ἐπὶ γ', μὲν, ἐν εὐκτικῇ, ἐπὶ β', δὲ, ἐν προστακτικῇ, κἀντῇ ὁριστικῇ ἐπὶ α'. ἀπόχρη τὸ παράδειγμα εἰς ἀφορμὴν τῶν παραπλησίων τοῖς ἀνελλειπέστερον κεκλικόσι τὰ ῥήματα. ἔστι καὶ ἐξ ἀριθμῶν ἐπιδεῖξαι ὅτι τὰ καθ' ὁ, τιοῦν συμπίπτοντα, ἀφίστανται τοῦ ἀκαταλλήλου. τὸ γὰρ φίλων, ἢ ἀγαθῶν, ἤτι τῶν τοιούτων, γενικῆς ὂν πληθυντικῆς, τριγενείας τε τῆς ὑπούσης, σύνταξιν ἀπαιτήσει δυναμένην δεῖξαι τὸ ἀκατάλληλον οὐκ ἐν γένει, διὰ τὸ συγκεχυμένον τῶν γενῶν, οἷόν τε γὰρ φάναι [. φίλων καὶ περιπατούντων, καὶ περιπατουσῶν. ἐν γε μὴν πτώσει, ἢ ἀριθμῷ, εἰ φαίη τις, φίλων περιπατοῦντας, ἢ περιπατοῦντος. οὐ μὴν οὐδ' ἐν τῷ φίλων περιπατῶν, ἢ περιπατεῖ. ἐπεὶ πάλιν εὐθεῖα γενικῇ συμπέπτωκε. προφανὴς ὁ λόγος κἀπὶ τῶν ὁμοίων.

Τὸ μὲν οὖν κατάλληλόν τε καὶ μὴ, τῆς συντάξεως, οὕτω πως ληπτέον, καὶ ἔτι τὸ μεταβατικὸν, καὶ ὅλως τὸ πρὸς ἕτερον τῶν μερῶν.

Κατὰ μόνην δηλονότι τὴν, ὡς εἴρηται, τῶν θέσεων εἴτ' οὖν παρεπομένων ταὐτότητα μὲν, ἐν τῇ τοῦ αὐτοῦ προσώπου παρεμπτώσει, οὐ πάντως δὲ τὴν αὐτὴν ἐν τῇ τοῦ προσώπου διαβάσει. κατὰ γὰρ τὴν τῶν καθ' ἕνα σχηματισμὸν ἐκ φερομένων ἀόριστον ἀκολούθησιν, ἔτι καὶ τὴν καθ' ὁ, τιοῦν τῶν παρεπομένων ἐν ταυτότητι φωνῆς διάφορον συνέμπτωσιν, οὐθὲν ὡς εἴρηται συμβαίνει ἁμάρτημα.

Πρὸς γὰρ τὰς διαφόρους τούτων δυνάμεις, διάφορα καὶ τὰ τῆς συντάξεως, ὡς ἐν τοῖς καθ' ἕκαστα ἔσται δῆλον.

Τῶν γὰρ τοῦ Λόγου μερῶν, τὰ μὲν, ἔχει δυνά-

δύναμιν ἀμετάβατον καὶ ἄχετον, εἴτ' ἐν αὐτοτελῇ, τὰ δὲ, μεταβατικὴν καὶ πρός τι, εἴτ' ἐν ἀτελῇ, καὶ μὲν ἐν τῷ ἀμετάβατον τύπων δύναμιν, ταυτότητα ἔξει παρεπομένων ἡ τύπων σύνταξις, ὡς ἐλέγετο. καὶ δὲ τῷ μεταβατικῷ, ὡς αὐτοῖς καὶ μέρος διαιτηθήσεται.

Τί τὸ Εὖ συντάττειν.

Διὸ δὴ εἴη αὖ τὸ Εὖ συντάττειν, καταλλήλως ἐπιπλέκειν πρὸς ἄλληλα τὰ τοῦ λόγου μέρη, ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει. καὶ τὸ ἀναντίον τὸ Σολοικίζειν.

Λαβὼν, ὅ ἐστι συναγαγὼν ἐκ τῆς ἐπαγωγῆς τῆς καὶ μέρος, ὅτι τῆς εἰσὶ δίας Θέσεις ἀναμειφθέντων τοῦ Λόγου μερῶν ἕκαστον οὐκ ἄλλως ἐπιπλέκεται τῷ πρὸς ὃ φέρεσθαι δεῖ, ὅτι μὴ κατὰ τὴν δέουσαν τούτου Θέσιν μεταχηματιζόμενον, τὸ δὲ παρεμπίπτον εἰς ἐπιβάλλουσαν Θέσιν, ἐλέγχεται διὰ τῆς παρὰ τοῦ πρὸς ὃ φέρεται Θέσεως, σωρεπέρασον ἢ δή τί ποτε ἐστὶ τὸ κοινῇ καταλλήλου, περὶ οὗ πρῶτον εἰπεῖν κοινῇ προὔθετο, ὅτι ἐστὶ δηλαδὴ τῆς τοῦ Λόγου μερῶν ἀκόλουθος ἐπιπλοκή. τὸ δὲ τῆς ἀκολουθίας οὐ μόνον ἐπὶ τῆς αὐτοπροσωπεύντων λεπτέον, ἀλλ' ἁπλῶς καὶ ἐπὶ τῆς ἑκάστου δυνάμεως καὶ τοῦ πεφυκότος, ἵν' ἁπλῶς καὶ μὴ πῇ ἀποδεδομένον ᾖ τὸ Εὖ συντάττειν. καὶ δὴ καὶ τοῖς ἑτεροπροσωπικοῖς τῆς ῥημάτων καὶ αὐτοῖς τοῖς καθ' ἕνα σχηματισμὸν ἐκφερομένοις, Προθέσεσι λέγω, Ἐπιρρήμασι καὶ Συνδέσμοις, καὶ ἁπλῶς τοῖς ἀπτώτοις, πρὸς δὲ καὶ τῆς πτωτικῶν τοῖς πρός τι τὸ ἀποδιδόμενον μόριον εἴτε πτωτικὸν εἴτε, εἴτ' ἐν ἄπτωτον, καὶ τὸ ἀκόλουθον τῆς ἑκάστου τύπων δυνάμεως καὶ τοῦ πεφυκότος αὐτοῖς συνενεχθήσεται.

Ἁμαρτία γὰρ περὶ σύνταξίν τε καὶ φράσιν ὁ Σολοικισμός.

Οὐμὴν περὶ λέξιν, ὡς ἐλέγετο. τὰ δὲ καὶ τὸν ὀρθὸν λόγον εἶλημμένα ἐκ τοῦ ἑξῆς ἡδυνικομένου τοῦ ἀεὶ στολῆς λέγοντος καὶ τὴν ἀρχὴν, δεῖ τὸ μέσον αἱρεῖσθαι, μήτε τὴν ὑπερβολὴν, μήτε τὴν ἔλλειψιν. τὸ δὲ μέσον ἐστὶν, ὡς ὁ λόγος ὁ ὀρθὸς λέγει. λέγει δὲ ὀρθὸν λόγον ὁ μὲν φιλόσοφος ἐν τῷ τελευταίῳ, τῆς αὐτῶν, τὴν φρόνησιν. ἡ τίς ἐστιν ἕξις μετὰ ὀρθοῦ λόγου πρακτικὴ τῶν καθ' ἕκαστα, ὁδὲ Θεόδωρος, τὴν γραμματικὴν θεωρίαν καὶ μέθοδον.

Τὸ δὲ ὀρθὸν, ἐν τοῖς παρ' ἐνδοξοτέροις τῶν λογίων ὡς ἐπιτοπολὺ λεγομένοις.

Θεωρεῖται δηλονότι ἐν τοῖς λεγομένοις παρὰ τοῖς ἐνδοξοτέροις τῶν Λογίων Ἀνδρῶν. τὸ δὲ παρ' ἐνδοξοτέροις, ἐν παραθέσει ἀναγνωστέον. ἔχει δὲ καὶ ἔλλειψιν ἄρθρου. καὶ δὲ Ἀπολλόνιος ἀνένδεκτον αὐ ἀφαιρεθῆναι κατὰ τόπον, μὴ ἐχὶ καὶ τέκνα τοῦ ματος αὐ ἀφερομένου, ἢ καὶ ἐναλλάξ. τῶν πρός τι γάρ. ὥστε ἢ τοῦ σωτῆρος, ἢ αὐτῆρος ἑκάτερα. τοὺς δὲ τῶν λογίων ἐνδοξοτέρους παρ' Ἑρμογενείῳ ζητητέον.

Ἐκ τούτων γὰρ καὶ περὶ τούτων ἡ Γραμματικὴ θεωρία καὶ μέθοδος.

Καὶ τοῦτο παρέξεσαι ἐκ τοῦ Φίλου. ἐν οἷς φησιν ἐν τῷ α', τῶν Νικομηδείας τῆς πολιτικῆς ἐστιν οἰκεῖος ἀκροατὴς ὁ νέος, ἄπειρος ὢν τῶν κατὰ τὸν βίον πράξεων. οἱ λόγοι δὲ, ἐκ τούτων καὶ περὶ τούτων. φησὶν ἐν, ὅτι ἡ Γραμματικὴ ἐκ τῶν παρὰ τοῖς δοκίμοις τῶν λογίων ἀνδρῶν πεπονημένων ληφθεῖσα, περὶ αὐτὰ ταῦτα καὶ τῷ θεωρίαν ποιεῖται, οἷονεὶ Τύλλιον, ἐξ οὗ τε καὶ περὶ ἐκείνου, αὐτὰ ὑποτιθεμένη, ἐξ οὗ μὲν, ὡς ἐξ αὐτῶν συγκροτουμένη ὡς ἐκ μερῶν, περὶ ἐκείνου δὲ, ὡς περὶ αὐτὰ θεωροῦσα τὸ ὀρθόν τε καὶ μή. ἐδὲ δὴ τὸ τελικὸν αἰτιολογεῖ τὸ περὶ τούτων, μὴ οὐδὲν τοῦ αὐτοῦ τε αὐτῷ καὶ πρότερον εἶναι ἢ ὕλη, καὶ πρόπασις, καὶ ὕστερον, ἢ τέλος τε καὶ συμπέρασμα, ἀλλὰ

ἀλλὰ τὸ ὑλικὸν ὑποκείμενον. ὡς ἐπὶ τὸ πολὺ δ' φησίν. ἐπεὶ οὐκ ἀναγκαῖα ὡς μὴ ἐπιστημονικὰ τὰ ὑποκείμενα. ὅ ἐστι τὰ παρὰ τὴν ἐνδοξοτέρων λεγόμενα. ἀλλ' ὡς ἐπὶ τὸ πολὺ ἐνδεχόμενα. τὸ γὰρ Ἐνδεχομένως διαφορὰ ἕξεως, τὸ ὡς ἐπὶ τὸ πολὺ, τὸ ἐπίσης, καὶ τὸ ἐπ' ἔλαττον. καὶ περὶ μὲν τὸ ὡς ἐπὶ τὸ πολὺ τέχνη καταγίνεται, ἐκ τῶν ὡς ἐπὶ τὸ πολὺ προτάσεων τὰ ὡς ἐπὶ τὸ πολὺ συμπεράσματα. περὶ δὲ τὸ ἐπίσης λογισμὸς καὶ προαίρεσις, κριτικαὶ ὅσαι δυνάμεις, καὶ ἀμφὼ τὰ μέρη τῆς Ἀντιφάσεως ἑκατέρωθεν ταλαντεύουσαι. καὶ ὁ αὐ δοξῆ δέον, τοῦτο τὸ ἀντικείμενον τιθέμενοι πρεσβύτερον. τὸ δὲ ἐπ' ἔλαττον, τύχῃ καὶ αὐτομάτῳ οἱ παλαιοὶ ἀνέθεντο, τὰς περὶ τὰ τοιαῦτα λόγους ἀποδιδόναι μὴ ἔχοντες. Ὅσος μὲν οὖν εἴρηται παρὰ τῆς Γραμματικῆς μέθοδος, ἐπὶ τῆς ἐρατεινῆς Πιερίδος ἀτεχνῶς τὰς εἰσπορευομένας ἀνάγουσα, πάλαι μὲν ποτὲ καὶ αὐτὴ τετιμημένη ὅσα καὶ βάσιμος, νῦν δὲ χήτει τῆς ὀδυόντων ὑλομανήσασα. Οἴδασι δὲ, οἱ τῆς Λογίων Ἀνδρῶν ἐνδοξότεροι. Γ' χνη δὲ τούτων, ἅπερ ἡμῖν ἐπιλελοίπασι συγγράμματα. Οὐ δὴ ὧν τῆς μὲν προκειμένης Ὁδὸς ἐπιληπτέον, τῆς Γ' χνῶν δὲ τῆς προωθουμένων ἀπολειπτέον. ἐχώρισα καὶ γὰρ τὰ πρὸς ὃν ὄρος διαμαρτάνουσιν, οἵ τε ταύτης ἀποπλανώμενοι, καὶ οἱ ἀντεχόμενοι μὲν, τῆς δὲ καταφαινομένων Γ' χνῶν μὴ ἐχαζόμενοι. ἑκάτερα γὰρ ἀλλήλω τυγχάνει ἐχόμενα, καὶ ἐν ἀλλήλοις τὸ εἶναι μετέχοντα. ἀποσαίνεται δ' ἀλλήλων, καὶ τὸ εἶναι συναποσήσεται. ἐν γὰρ πέφυκεν ἰδιάσαντα, καθ' ἑαυτὰ ὑφεστάναι, τὰ ἐν τῇ ἀλληλοχίᾳ τυχόντα τῆς ὑποστάσεως. ἐν δὲ γὰρ αὐτάρκη τὰ παραγγέλματα τῆς τεχνῶν φασι, δεινὰς ἀπαγωνιστὰς ποιῆσαι τοὺς βαλομένους, δίχα μελέτης τε καὶ γυμνασίας. ἀλλ' ἐπὶ τοῖς πονεῖν καὶ κακοπαθεῖν αἱρεμένοις κεῖται, ἢ αὐδαίαι εἶναι τὰ παραγγέλματα καὶ λόγου ἄξια, ἢ φαῦλα. τὸ μὲν οὖν Ὅρος ὑπερεφέστεροί εἰσι καὶ ἀρωμόμπνες, καὶ τῆς Ἀόρατος Πέρας ἐκείνης καὶ διαμέσον ὑπεραίσιος, ἡ δὲ τῆς αὐδὸς, μακρὰ μὲν καθ' Ἡσίοδον, ὀλιθρὰ δέ τις καὶ ἔρασκεία, καὶ δεῖ χειρὸς ὀρεγόντος. ἐπεὶ δὲ δι' ὅλου ἰθυτενής τε καὶ ὀρθὸς, ἐπεί μὴ ἐπίπαν τυγχάνει εὐκάρσιος, ἐξ ἀμφοῖν δέ πως συνεστηκυῖα, μέχρι μέν τινος ὀρθότητος ἔχεται, εἶθ' ὥσπερ ἀνακλωμένη, πλαγιάζεται ἐπὶ πόσον, καὶ πάλιν ὡς ἐξ ὑπαρχῆς ἀνορθοῦται, τὰς ἐναλλὰξ γωνίας ὀρθογώνιος. καὶ τὰ μὲν τῆς αὐδὸς, ὅσαν ἐμὲ εἰδέναι, ἔτω πως ἔχει, τὸ δὲ ταύτης Ὀρθόν τε καὶ πλάγιον σαθμοῖς τισιν ὡρισμένοις διειλῆπται. ὧν ἕκαστος ὅρος τίς ἐστιν, ἐφ' ὅ μὲν τῆς ὀρθότητος, ἀφ' ὅ δὲ, τὸ πλαγιασμὸς ὡς ἐπὶ τὸ πολὺ. ἔστι δ' ἔτι καὶ τὸ ἀνάπαλιν. Τοιγαροῦν δέον τὰς παύτης ἀποπειρομένους τῆς αὐδὸς, ἐπειδὴ τῷ τῆς ὡρισμένων σαθμῶν πεπτύχωσι, τὰ μὲν ἐπ' εὐθείας τῆς, ἧς ὁδοιπορεῖται περιέχονται, ὁποπέρατις αὖ ἔσα τυγχάνῃ, εὐθὺς ἀφίσασθαι, ἔχεσθαι δὲ τῆς ἐναντίας, κατατείνοντας συνεχῶς ἐπὶ τὸ αὐτὸ χήματος, μέχρις αὖτε τῆς ὡρισμένων αὖθις σαθμῶν ἐπιτύξωνται. καὶ ἔτω κατὰ σαθμοὺς τῆς αὐδὸς ἐχόμενοι, καὶ ἐπὶ τῆς Ἀκρωρείας αὐτῆς ἀπλανῶς ποτε ἐπιβήσονται. Τῶν δὲ τῆς μὲν προκειμένης ἀναβάσεως ἐπειλημμένων, τῆς δὲ σαθμῶν μὴ ἐχαζομένων, διὸ ὅλως δὲ ἥπτοι τῆς ὀρθότητος, ἢ τὸ πλαγιασμὸς ἀντεχομένων, ἢ καὶ παρὰ τὰς ὡρισμένας σαθμοὺς τὸ ἐφ' ἑκάτερα μεταβαίνειν ποιουμένων, ἀκέσιν ὅς τις μὴ αὖ καὶ διαμάρτοι τὸ τέλος. τῆς τε γὰρ Ὀρθότητος καὶ τὸ πλαγιασμὸς ἡ παρὰ τὰς σαθμοὺς ἐπ' εὐθείας σωτήρια, ἐπ' αὐτῆς μᾶλλον καταστρέφει τῆς ὑπωρείας. Τῶν δὲ σαθμῶν ἡ μὲν ποσότης πολυειδής τίς ἐστι καὶ ἄορισος, καὶ ἥκιστα δι' ἀκριβείας

εἰδόντε

οἷόν τε περὶ αὐτῆς διαλαβεῖν, τῆς δὲ ποιότητος, ἐπειδὰν πρὸ ὁδοῦ ἡμῖν γένηται, ὡς ἂν οἷόν τε ᾖ, ἐφικέσθαι πειρασόμεθα. τοῖς γὰρ τοῦ ποιοῦ σχοῦσιν εὐεπηβόλως, μικρὰ τοῦ ποσοῦ φροντιστέον. Ἐπεὶ τῶν ἐφ' ἡμῶν οἱ μὲν, οὐδὲ εὗρον ὅλως τὴν ἀρχὴν, εὐθὺ τῆς λεωφόρου βαδίσαντες, οἱ δὲ, ἅτερον τοῖν ποδοῖν ἐπιβαλόντες, τὴν ἑτέραν αὖθις ἀναποδίσαντες, ἐξάποντο, τὰς χαράδρας καὶ τοὺς ἀκανθεῶνας ἐκτρεπόμενοι καθ' ἑκάτερα. τῶν γεμὴν τουτὶ τὸ ἐπίτομον τοῦ Θεοδώρου βαδισάντων κοπενδάριον οὐκ ὀλίγους ἴδοι τις ἂν ἐπὶ τοῦ Ἑλικῶνος ταῖς Μούσαις συνοργιάζοντας. τῶν δὲ τὴν ἑτέραν τραπομένων, ἐπὶ μὲν τῆς Ἀκρωρείας οὐδένα, περὶ δὲ τὴν ὑπώρειαν οὐκ εὐκαταφρόνητόν τινα τὸν ἀριθμὸν ὅμιλον. ἡ γὰρ Πολύμνια συνέστιος οὐδὲν ἧττον ταῖς μούσαις ἤπερ εἰσαγωγὸς πεφυκυῖα, τῶν εἰσφοιτώντων, εἰ μέν τις δι' αὐτῆς καὶ τὰς λοιπὰς ἐθέλοι μνηστεύσασθαι, τὸν δ' ἀλλαχόθεν εἰσκωμάσαι πειρώμενον ῥίψε ποδὸς τεταγυῖα ἄπο βηλοῦ θεσπεσίοιο, Ἄτης ἐν πεδίῳ κατὰ σκότον ἠλάσκοντα. ἐν ἴσῳ γάρ ἐστι τῷ ἀπορρίφῆναι τὸ ἀποτυχεῖν τῆς ἀκρωρείας.



Περὶ Ὀνόματος.

Τῶν δὲ τοῦ Λόγου μερῶν τὰ πρωτεῖα εἴληχε τ' Οὔνομα καὶ Ῥῆμα.

Ἀποπεράνας τὸν περὶ τοῦ κοινῇ καταλλήλου λόγον, ἐντεῦθεν τοῦ περὶ ἕκαστα τῶν τοῦ συντακτικοῦ Λόγου μερῶν ὀρθοῦ τε καὶ μὴ, τὴν Θεωρίαν ποιεῖται, ὡς ὑπέσχετο. Ἴσως δὲ καὶ ἡ τάξις τῶν Στοιχείων πρὸς ἄλληλα, καθ' ἣν ἄλλα ἄλλων ἡγεῖται, ἐν λόγῳ παραλαμβανομένη, (ὃν ἄλλοι τε καὶ Μιχαὴλ ὀψελλὸς ἐκτίθησι, φιλοσοφῶν περὶ τῆς τάξεως τοῦ ἄλφα πρὸς τὸ βῆτα καὶ ἑξῆς.) συναπαιτήσει καὶ τὴν κατὰ λόγον τῶν μερῶν τοῦ Λόγου πρὸς ἄλληλα τάξιν. εἰ γὰρ ἐν τοῖς Στοιχείοις, πολλῷ μᾶλλον ἐν τούτοις θεωρηθήσεται τὸ, διὰ τί τὸ μὲν Ὄνομα ἡγεῖται προκείμενον, μεθ' ὃ τὸ Ῥῆμα, καὶ καθεξῆς τὰ ὑπόλοιπα μέρη τοῦ Λόγου; ὡσεὶ κἀπὶ τῶν Πτώσεων, διὰ τί πάλιν ἡγεῖται ἡ λεγομένη Εὐθεῖα, εἶτα ἡ Γενικὴ, καὶ καθεξῆς αἱ ὑπόλοιποι; κἀνταῖς χρονικαῖς τομαῖς καὶ τὰ Ῥήματα, διὰ τί προτετάκται μὲν ὁ Ἐνεστὼς, εἶθ' ὁ Παρατατικὸς, καὶ οἱ ἑξῆς Χρόνοι; πρὸς δὲ κἀπὶ τῶν Γενῶν διὰ τί πρῶτον τὸ Ἀρσενικὸν, μεθ' ὃ τὸ Θηλυκὸν, καὶ τρίτον τὸ τούτων ἀποφατικὸν οὐδέτερον; καὶ ἐν ἄλλοις πλείστοις. περὶ ὧν ἰδίᾳ ἂν εἴη ποιήσασθαι συναγωγήν. ἐπὶ δὲ τοῦ προκειμένου κατεπεῖγόν ἐστιν ἀντιπαραβαλέσθαι τὴν τάξιν τῶν τοῦ Λόγου μερῶν. ἣν οὐκ ἂν Ζωπυρίονές τινες εἰσαχθέντες, καταγελάσωσι.

Τῶν μὲν γὰρ Ἄλλων χωρὶς, γίγνοιτ' ἂν λόγος τέλειος, ἄνευ δὲ τουτωνὶ οὐκ ἂν γίγνοιτο.

Ἔστιν οὖν τάξις ἐπὶ τοῦ παρόντος, μίμημα τοῦ αὐτοτελοῦς λόγου, πάνυ ἀκριβῶς πρῶτον τὸ Ὄνομα θεματίσασα, μεθ' ὃ τὸ Ῥῆμα.

μα. εἴγε πᾶς Λόγος ἄνευ τούτων οὐ συγκλείεται, κἂν πάντα τὰ ἄλλα μέρη συνάψῃς. παρὸν πιστώσασθαι ἐκ συντάξεως τὰ τοῦ Λόγου μέρη περιεχούσης. ἑξῆς, εἴπερ ὑποσταλήσεται Ὄνομα ἢ Ῥῆμα, τὰ τοῦ Λόγου οὐ συγκλείεται. οἷον, ὁ αὐτὸς ἄνος ὀλισθήσας σήμερον, κατέπεσεν. ἐν ᾧ πλὴν τοῦ συνδέσμου, (ἐπεὶ προστεθεὶς, ἕτερον λόγον ἀπαιτήσει. Ὅμηρος δὲ νεανιευσάμενος, ἐν ἑνὶ στίχῳ τὰ πάντα συνέταξεν. αὐτὸς ἰὼν κλισίηνδε, τὸ σὸν γέρας ὄφρ' εὖ ἰδῇς) πάντα τὰ τοῦ Λόγου ἔγκειται μέρη. φέρε οὖν ἐλλεῖψαι τὸ Ὄνομα, ἢ τὸ Ῥῆμα, καὶ πάντως ἐλλείψει ὁ Λόγος, ἐπιζητῶν ἔνθα μὲν, τὸ Ὄνομα, ἔνθα δὲ, τὸ Ῥῆμα. ὁ αὐτὸς ὀλισθήσας σήμερον, κατέπεσεν. ἢ ὁ αὐτὸς ἄνος ὀλισθήσας, σήμερον. εἰ μέντοι τις ὑφέλοι τὸ Ἐπίρρημα, οὐ πάντως λείψει ὁ Λόγος. οἷον, ὁ αὐτὸς ἄνος ὀλισθήσας, κατέπεσεν. οὐ δὲ, εἰ καὶ τὴν Μετοχήν. ὁ αὐτὸς ἄνος κατέπεσεν. οὐ δὲ, εἰ καὶ τὴν Πρόθεσιν. ὁ αὐτὸς ἄνος ἔπεσεν. ἀλλ' οὐ δ', εἰ καὶ τὸ Ἄρθρον. τὸ γὰρ ἄνος ἔπεσεν, οὐ πάντως ἀναφορὰν ζητεῖ, πρώτην δ' ἀφήγησιν τοῦ ἀνοῦ. προτέτακται μὲν οὖν τῶν λοιπῶν τοὔνομα καὶ τὸ Ῥῆμα, ᾗ καθ' ἑαυτά τε καὶ τῶν ἄλλων χωρὶς αὐτοτελῆ λόγον ἀπαρτίζει. οἷον γὰρ ὕλη καὶ εἶδος ταῦτα τοῦ Λόγου. καὶ κατὰ τὸν παρὰ Πλουτάρχῳ Πλάτωνα τῷ μὲν Ῥήματι τὰ πράγματα καὶ τὰ πάθη, τῷ δὲ Ὀνόματι τοὺς πράττοντας αὐτὰ καὶ πάσχοντας ἀποχρώντως δηλοῦμεν. τὰ δὲ παρὰ ταῦτα, συμβεβηκότων ἐπέχει λόγον, γινομένων τε καὶ ἀπογινομένων χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. καὶ γὰρ καὶ κατὰ τοὺς παλαιοὺς τῶν θρυλλουμένων ὀκτὼ τοῦ Λόγου μερῶν τὰ μὲν φύσεως σημαντικὰ, ὡς τὰ Ὀνόματα, ἢ ἁπλῶς προσώπων, ὡς αἱ Ἀντωνυμίαι, ἢ ἐνεργειῶν ἢ παθῶν, ὡς τὰ Ῥήματα, ἢ ποιᾶς τούτων συμπλοκῆς, ὡς αἱ Μετοχαὶ, μόνα ταῦτα δύνα-

ται εἰς τελείου Λόγου ἀρκέσαι γένεσιν. οἷον, σωκράτης, ἢ ἐγὼ, ἢ ὁ τρέχων περιπατεῖ, ἢ ἔστι περιπατῶν, τοῦ μὲν, ὡς ὑποκειμένου, τοῦ δὲ, ὡς κατηγορουμένου λαμβανομένου. τῶν δὲ, παρὰ ταῦτα, τὰ μὲν σχέσιν τινὰ τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον σημαίνοντα, ὡς τῶν Ἐπιρρημάτων τὰ πλεῖστα, συμβάλλεσθαί τι δοκοῦσι πρὸς γένεσιν τοῦ τοιούτου Λόγου, τὰ δὲ παρὰ ταῦτα λεγόμενα τοῦ Λόγου μέρη, ὡς Ἄρθρον, Πρόθεσις, Σύνδεσμος, καὶ παντάπασίν εἰσιν ἄσημα καθ' ἑαυτά. τὰ μὲν οὖν ὡς εἴρηται φύσεων, ἢ προσώπων, ἢ ἐνεργειῶν, ἢ παθῶν, ἢ ποιᾶς συμπλοκῆς προσώπου πρὸς ἐνέργειαν, ἢ πάθος σημαντικὰ, πάντα ταῦτα εἰς Ὀνόματα διαιρεῖται καὶ Ῥήματα κοινότερον. καὶ τὰ μὲν ἄνευ χρόνου λεγόμενα, ἢ τὴν τῶν ὑποκειμένων πληροῦντα χρείαν, κατ' εὐθεῖαν μὲν προαγόμενα, Ὀνόματα, κατὰ δὲ τὰς ἄλλας πλαγίας, πτώσεις καλεῖται Ὀνόματος παρὰ τοῖς διαλεκτικοῖς, ὡς ἐκ τῆς ὀρθῆς εἴ τ' οὖν εὐθείας πεπτωκότα, (παρ' οἷς κατὰ τὸν ἐν Πλουτ: Πλάτ:, καὶ τὸ Ὄνομα ἁπλῶς πτῶσις ἐκαλεῖτο. λόγον γάρ φασιν οἱ παλαιοὶ τὴν τότε μὲν καλουμένην πρότασιν, νῦν δὲ ἀξίωμα, προσηγόρευον, ὃ πρῶτον λέγοντες, ἀληθεύουσιν, ἢ ψεύδονται. τοῦτο δὲ ἐξ Ὀνόματος καὶ Ῥήματος συνέστηκεν, ὧν τὸ μὲν, πτῶσιν οἱ διαλεκτικοὶ, τὸ δὲ, κατηγόρημα καλοῦσι) τὰ δὲ κατὰ χρόνον λεγόμενα, ἢ ὁπωσοῦν ἐν ταῖς ἀποφάνσεσι κατηγορούμενα, Ῥήματα μὲν, τὰ κατὰ τὸν ἐνεστῶτα χρόνον, πτώσεις δὲ Ῥημάτων, τὰ παρὰ τὸν ἐνεστῶτα ἀκούει. τὰ δέ γε ἐν μηδετέρᾳ τούτων χώρᾳ παραλαμβανόμενα, κἂν ἄλλως προσκέηται τῷ λόγῳ, τὸ ὑπάρχειν, ἢ μὴ ὑπάρχειν, ἢ ποτὲ, ἢ πῶς, ἢ ποσάκις ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ σημαίνοντα, ἤ τινα ἄλλην αὐτῶν πρὸς ἄλληλα σχέσιν, οὐδὲ κυρίως ἀξιοῦνται μέρη Λόγου καλεῖσθαι. ὥσπερ γὰρ

τῆς νε-

τῆς νεὼς αἱ μὲν Σανίδες εἰσὶ τὰ κυριώτερα μέρη, Γόμφοι δὲ καὶ Λῖνος καὶ Πίττα, συνδέσεως αὐτῶν καὶ τῆς τοῦ ὅλου ἑνώσεως ἕνεκα παραλαμβάνεται, οὕτω κἀπὶ τοῦ Λόγου, σύνδεσμοι, Ἄρθρα, καὶ Προθέσεις, καὶ αὐτὰ τὰ Ἐπιρρήματα Γόμφων τινῶν χρείαν ἀποπληροῦσι, μέρη δ' οὐκ ἂν λέγοιντο δικαίως. καθ' ὅ, τι οὐδύναται καθ' ἑαυτὰ συντεθέντα, ἐργάσασθαι Λόγον, ὡς εἴρηται, τῶν δὲ τοῦ Λόγου μερῶν συνεκτικὰ καὶ συνδετικά, χρησίμως παραλαμβανόμενα πρὸς τὴν παράλληλα ποιὰν τῶν τοῦ Λόγου μερῶν σύνθεσιν, καθὰ δὴ καὶ ὁ δεσμὸς πρὸς τὴν ἐπίκτητον ἕνωσιν τῶν δεδεμένων, καὶ ἡ κόλλα τῶν δι' αὐτῆς συνεχομένων. ἀλλ' οὔτ' ἐκεῖνα μέρη τῶν δεδεμένων, ἢ κεκολλημένων, οὔτε ταῦτα τοῦ λόγου. κοινότερόν γε μὴν πάντα μέρη Λόγου προσαγορεύεται. Τῶν δὲ μερῶν ἕκαστον καθ' ἑαυτὸ μὲν, ὅλον τί ἐστι καὶ αὐτὸ, πρὸς δὲ τὸ ὅλον λέγεται μέρος. οἷον, ἡ κεφαλὴ καθ' ἑαυτὴν μὲν, ὅλη τυγχάνει, μέρος δὲ, τοῦ σώματος λέγεται. ὡσαύτως δέ τοι καὶ τὸ ὅλον πρὸς ὁ λικώτερον ἄλλο μέρος ἐστὶν. οἷον, ἡ γῆ καθ' ἑαυτὴν μὲν, ὅλη ἐστὶ, πρὸς δὲ τὸν σύμπαντα κόσμον μέρος λέγεται. (οὐκ ἄκαιρον δὲ ἐπὶ τοῖς τοῦ Ἀμμωνίου καὶ τὰ τοῦ Πλουτάρχου παραθέσθαι. ὃς ἔπειτα σκόπει, φησὶ, μὴ παρακούωμεν τοῦ Πλάτωνος, ἐκ τούτων κεραννύσθαι τὸν Λόγον, οὐ διὰ τούτων εἰρηκότος, εἶτα, ὥσπερ ὁ τὸν λέγοντα τὸ φάρμακον ἐκ Κηροῦ μεμίχθαι καὶ Χαλβάνης συκοφαντῶν, ἐπεὶ τὸ Πῦρ παρέλιπε καὶ τὸ ἀγγεῖον, ὧν χωρὶς οὐκ ἐνῆν μεμίχθαι, καὶ ἡμεῖς ὁμοίως ἐγκαλῶμεν, ὅτι Συνδέσμους καὶ Προθέσεις καὶ τὰ τοιαῦτα παρῆκεν. οὐ γὰρ ἐκ τούτων ὁ Λόγος, ἀλλ' εἴπερ ἄρα, διὰ τούτων. εἴ γε καὶ ἄνευ τούτων κεράννυσθαι πέφυκεν. οὐ γὰρ, ὥσπερ ὁ τὸ τύπτειν φθεγξάμενος, ἢ τὸ τύπτεσθαι, καὶ πάλιν τὸ σωκράτης, ἢ τὸ πυθαγόρας, ἀμωσγέπως νοῆσαί τι καὶ διανοηθῆναι παρέσχηκεν, οὕτω καὶ τοῦ μὲν, ἢ

γὰρ, ἢ περὶ, καθ' αὑτὸ ἐκφωνηθέντος, ἔστιν ἔννοιάν τινα λαβεῖν ἢ πράγματος, ἢ σώματος, ἀλλ' ἐὰν μή τι περὶ ἐκεῖνα καὶ μετ' ἐκείνων ἐκφέρηται, ψόφοις κενοῖς καὶ ἤχοις ἔοικεν. ὅ τι ταῦτα μὲν οὔτε καθ' αὑτὰ σημαίνειν οὔτε μετ' ἀλλήλων οὐδὲν πέφυκεν, ἀλλ' ὅπως ἂν συμπλέκωμεν, ἢ μιγνύωμεν εἰς ταὐτὸ Συνδέσμους καὶ Ἄρθρα καὶ Προθέσεις, ἔν τι πειρώμενοι ἐξ αὐτῶν ποιεῖν, τερετίζειν μᾶλλον, ἢ διαλέγεσθαι δόξωμεν. Ῥήματος δὲ Ὀνόματι συμπλεκομένου, τὸ γενόμενον, εὐθὺς διάλεκτός ἐστι καὶ λόγος. Τί οὖν φήσι τις ἂν; οὐθὲν ταῦτα συμβάλλεται πρὸς λόγον; ἔγωγε φήσαιμι ἂν, ὥσπερ Ἅλας μὲν συμβάλλεται πρὸς ὄψον, ὕδωρ δὲ πρὸς Μάζαν. Εὔηνος δὲ καὶ τὸ Πῦρ ἔφασκε τῶν ἡδυσμάτων εἶναι ἄριστον, καίτοι οὔτε Πῦρ, οὔτε Ἅλας, ἑψήματος ἢ βρώματος, ὧν ἀεὶ τυγχάνομεν δεόμενοι, μέρη ἐστίν. οὕτως ὁ λόγος ἐκείνων πολλάκις ἀπροσδεής ἐστι. τὸ δὲ τοὺς Διαλεκτικοὺς μάλιστα συνδέσμων δεῖσθαι πρὸς τὰς τῶν Ἀξιωμάτων συναφὰς καὶ συμπλοκὰς καὶ διαζεύξεις, ὥσπερ Ἡνιόχους ζυγῶν, οὐ μέρος Λόγου τὸν Σύνδεσμον, ἀλλ' ὄργαννόν τι συνδετικὸν ἀποφαίνει καὶ συνεκτικὸν οὐ πάντων, ἀλλὰ τῶν οὐχ ἁπλῶς λεγομένων. εἰ μὴ καὶ τοῦ φορτίου τὸν Ἱμάντα καὶ τοῦ Βιβλίου τὴν κόλλαν ἀξιοῦσι μέρος εἶναι, καὶ τὰς διανομὰς τοῦ πολιτεύματος, ὡς ἔλεγε δημάδης, τὰ Θεωρητικὰ κόλλαν ὀνομάζων τῆς δημοκρατίας. ποῖος δὲ σύνδεσμος οὕτως ἐκ πολλῶν ἀξίωμα ποιεῖ, συμπλέκων καὶ συνάπτων, ὡς ἡ μάρμαρος τὸν συλλιπαινόμενον διὰ τοῦ πυρὸς σίδηρον; ἀλλ' οὐκ ἔστιν οὐδὲ λέγεται τοῦ σιδήρου μέρος.

Διαφερέτω δὲ μηθὲν Ὄνομα λαβεῖν, ἢ Ἀντωνυμίαν.

Ἡ Ἀντωνυμία διχῶς λαμβάνεται, ἤτοι ἀντὶ τῶν προλεχθέντων μὲν, μὴ δυναμένων δὲ πάλιν παραληφθῆναι, ἢ τῶν δεικτικῶς ἐξενεχθῆναι μὴ δυναμένων Ὀνομάτων. Τί οὖν

δήποτε, τοσαύτης οὔσης διαφορᾶς πρὸς τ' Οὔνομα τῆς Ἀντωνυμίας, μηδὲν εἶναί φησι διαφέρον λαβεῖν τούτων ὁπότερον ἔτυχεν; Ἢ ὅτι εἰρηκὼς, Ὀνόματος ἄνευ καὶ Ῥήματος μὴ συνίστασθαι Λόγον, εἶτ' ἐπεὶ ἐδόκει διαψεύδεσθαι τὰ τοῦ λόγου, ἐν οἷς Ὀνόματος δίχα τὸ Ῥῆμα μετὰ Ἀντωνυμίας αὐτοτελῆ παρέχει διάνοιαν, τούτου δὴ χάριν, εἴ τε Ὄνομά φησι, ληφθείη ἐπὶ τῆς τοῦ Λόγου συντάξεως εἰς ἐντελοῦς ἐννοίας ἀπαρτισμὸν, εἴτ' οὖν Ἀντωνυμία, οὐδὲν τὸ διάφορον. καὶ γὰρ τῆς Ἀντωνυμίας ἀντὶ Ὀνόματος εἰλημμένης, καὶ μὴ παρὸν, πάρεστι δι' αὐτῆς τ' Οὔνομα. οὐκ ἀγνοῶ γάρ φησι καὶ ὁ Ἀπολλώνιος, ὅτι καὶ ἐξ Ἀντωνυμίας αὐτοτέλεια Λόγου συνίσταται, ἐλλείποντος τοῦ Ὀνόματος, ὅτε φαμὲν, ἐγὼ περιπατῶ, σὺ περιπατεῖς. συνίσταται μὲν, ἀλλ' ὅταν ἀντὶ Ὀνόματος παραληφθῇ ἡ Ἀντωνυμία. ὥστε καὶ οὕτω δυνάμει πάλιν ἡ αὐτὴ σύνταξις οὖσα τυγχάνει. πότε δ' ἀνθυπάγεται Ἀντωνυμία, ἐν τοῖς κατὰ μέρος εἰρήσεται. Τούτων δ' αὖ πάλιν τῶν δυοῖν ἐμψύχων τοῦ Λόγου μερῶν ἀναγκαίως ἡγεῖται τὸ Ὄνομα, φημὶ δὲ τοῦ Ῥήματος. ἐπεὶ τὸ διατιθέναι, καὶ διατίθεσθαι, εἴτ' οὖν τὸ ἐνεργεῖν καὶ πάσχειν, Οὐσίας ἴδιον, λέγω δὴ ἀναλόγως, τῇ δὲ Οὐσίᾳ ἐπίκειται ἡ θέσις τῶν Ὀνομάτων, ἐξ ὧν ἡ ἰδιότης τοῦ Ῥήματος, τὴν ἐνέργειαν λέγω καὶ τὸ πάθος. κατεκράτησε δὲ ἡ τοῦ Ὀνόματος θέσις ἀπ' αὐτοῦ καὶ ἐπὶ τῶν ἄλλων, τὸ πᾶντα τὰ τοῦ Λόγου μέρη καλεῖσθαι κοινότερον ὀνόματα, ὡς ἂν προϋφεστῶτος τῶν ἄλλων ἁπάντων. ἐντεῦθεν καὶ οἱ παλαιοὶ πᾶσαν Φωνὴν σημαντικὴν κατὰ συνθήκην ὁτοῦν τῶν ὄντων, τῆς τοῦ Ὀνόματος ἁπλῶς ἠξίωσαν προσηγορίας, εἰς Ὄνομα διαιρουμένην καὶ Ῥῆμα. καθ' ὃ σημαινόμενον λέγοιτ' ἂν καὶ τὰ Ῥήματα καθ' ἑαυτὰ λεγόμενα καὶ σημαίνοντά τι, Ὀνόματα. ὅθεν εἰκότως καὶ κατὰ Πλούταρχ: μόνα ταῦτα μέρη τοῦ Λόγου τίθενται. καθ' ὃ καὶ οἱ εὐδοκιμοῦντες ἐν λόγῳ, οὐκ ἐν ἄλλοις, ἐν δὲ μόνοις Ὀνόμασι καὶ Ῥήμασι δοκιμάζονται. κἂν δέ τις ἐκ τοῦ ἐναντίου ἐκεῖνο ἀποφαίνοιτο, ὡς οὐχὶ ἐξ αὐτοῦ τὰ λοιπὰ, ἐκ δὲ τῆς κοινῆς ὀνομασίας τῶν λέξεων αὐτὸ ἀπηνέγκατο τὴν ὀνομασίαν ἁπάντων ὡς προκαθήμενον, καὶ κατὰ τοῦτο πάλιν τὴν πρώτην εἰληφὼς θέσιν δείκνυται. καὶ γὰρ καὶ τῶν Στοιχείων ἕκαστον παρὰ τὸ Ἀλφεῖν, ὅ ἐστιν εὑρίσκειν, ἠδύνατο Ἄλφα καλεῖσθαι ἕνεκα τῆς τούτων εὑρέσεως. ἀπηνέγκατο ὅμως τὴν τοιαύτην ὀνομασίαν μόνον τὸ ἄλφα, διὰ τὴν ἐν αὐτῷ γενομένην πρώτην θέσιν. συνδραμόντος καὶ τοῦ ἀπ' αὐτοῦ φθόγγου. συντέχει γὰρ ἡ τοῦ Ἀλφεῖν ἀρχὴ τῇ ἐκφωνήσει τοῦ Ἄλφα Στοιχείου, τῶν ἐφ' ἑξῆς ἰδίας ἐπεκτάσεις κατὰ φωνὴν εἰληφότων. μάλιστα δὲ προτέτακται τοῦ Ῥήματος τὸ Ὄνομα, ᾗ δὴ τὸ μὲν, ὕπαρξιν πραγμάτων σημαίνει, τὸ δὲ Ῥῆμα τὰς αὐτῶν κινήσεις καὶ πάθη. ἡγοῦνται δὲ τῶν ἐνεργειῶν καὶ παθῶν αἱ ὑπάρξεις, ὡς καὶ τῶν Συμβεβηκότων ἡ οὐσία. Εἰσὶ δὲ οἱ προτακτέαν εἶναί φασι τὴν Ἀντωνυμίαν, ὡς ἂν προϋπάρχουσαν, οὑτωσὶ δεικνύντες. συμφέρονται τοῖς Ῥήμασι καθὰ δὴ τὰ Ὀνόματα, οὕτω καὶ αἱ Ἀντωνυμίαι, τὰ μὲν, κατὰ τὸ γ', αἱ δὲ, καθ' ἃ ἐκεῖνα ἐλλείπει, α', φημὶ καὶ β'. πρότερον δὲ πάντως τὸ α', καὶ τὸ β', τοῦ γ'. α', γὰρ μὴ ὄντοιν καὶ β', οὐδὲ γ', ἂν εἴη. προτέρα ἄρα καὶ ἡ Ἀντωνυμία τοῦ Ὀνόματος. τὰ γὰρ τῶν ὑποκειμένων προσώπων διακριτικὰ Ῥήματα, οὐχὶ κατὰ τὴν τῶν Ἑβραίων διάλεκτον ἀπὸ τοῦ γ', ἐπὶ τὸ β', καὶ α', ἀναποδίζοντα μεταχηματίζεται, ἐπεσκέψατο, ἐπεσκέψω, ἐπεσκεψάμην. ἀλλὰ πᾶν τ' οὐναντίον, ἀπὸ τοῦ α', ἐπὶ τὸ β', καὶ γ'. εἰ οὖν τὰ Ὀνόματα γ', τοῦ δὲ γ', πρότερον τὸ α', καὶ β', ὧν εἰς διάκρισιν ἡ Ἀντωνυμία ἐπινενόηται, προτέρα ἄρα καὶ αὐτὴ τοῦ Ὀνόματος.

Ἢ ὅτι

Ἢ ὅτι τὸ πρότερα ἐξαχῶς λεγόμενα, χρόνῳ, ὅτε ἕτερον ἑτέρα πρεσβύτερον εἴη, ἢ παλαιότερον. Φύσει, τὸ κατὰ τὴν τοῦ εἶναι ἀκολούθησιν μὴ ἀντιστρέφον, ὡς τὰ Γενικὰ τῶν οἰκείων Εἰδῶν, καὶ τὰ Εἴδη τῶν Ἀτόμων. Τάξει, ὡς τὸ προοίμιον τῆς διηγήσεως, καὶ ὁ στρατιώτης τοῦ στρατηγοῦ. Ἀξίᾳ καὶ τιμῇ, ὡς ὁ ἄρχων τοῦ ἀρχομένου. ἢ καὶ Ἐπινοίᾳ, ὁ τοῖχος τοῦ Θεμελίου. ἢ Ναῦς τῆς τρόπιδος. (δι' ὃ γὰρ ἕκαστον, ἐκεῖνο μᾶλλον) Γενέσει κατὰ Θεόδωρον ἐν τῷ περὶ Μηνῶν, καὶ τὸν Ἀριστ'λ: β, καὶ περὶ ζῴων γενέσ: καὶ περὶ ὑδ, καὶ περὶ ψυχ: Αἰτίῳ, ὁ πὴρ τοῦ ὑγροῦ. τοῦτο δὲ λέγοιτ' ἂν Φύσει. ὡς δέφασί τινες, καὶ τὸ Γενέσει. εἴγε τὸ ὅλον σωναιρεῖ τὰ μέρη, οὐ σωναιρεῖται τῷ μέρει. τοσαυταχῶς ἓν τὸ Πρότερον λεγόμενον, ἐπὶ τὸ προκειμένου κατὰ Τάξιν μόνον εἴληπται. ἔξον γὰρ ἀντιστρέψαντα τὰ πρόσωπα, ποιῆσαι ἅ, μὲν, τὸ γ', γ', δὲ, τὸ ἀ. ἔπειτα, οὐδ' ἐκεῖνο δίδοται, ἐκ τῆς τῶν προσώπων διασολῆς πειρᾶσθαι δεικνύναι προϋπάρχουσαν τοῦ Ὀνόματος τὴν Ἀντωνυμίαν, εἰ ἦγαρ ἂν, εἴπερ, πολὺ πρότερον καὶ τὸ Ῥῆμα τοῦ Ὀνόματος προϋπάρχον, ἀλλ' εἴπερ, ἐν τοῖς κατ' αὐτὴν ὁρισμοῖς. νυνὶ δὲ ἀντὶ Ὀνόματος ληφθεῖσα, πρόδηλον ὅτι μεταγενεστέρα τούτου φύσει τυγχάνει. εἴγε σωνεισάγουσα, οὐ σωνεισάγεται. καὶ σωναιρουμένη, οὐ σωναιρεῖ,

Ὅρος Ὀνόματος.

Ἔστι δὲ τὸ Οὔνομα μέρος Λόγου πτωτικὸν, σημαντικὸν, ἄνευ Χρόνου.

Παντὸς ἐπὶ τῶν σωνυμένων ὁ Ὁρισμὸς ἡγεῖται τῆς διαιρέσεως, εἰ γ' ἐπὶ πάντων τούτων ὁ λόγος ὁ τῆς κατὰ τὸ ὄνομα οὐσίας ἐστὶν οὗτος. μὴ γὰρ τὸν τοῦ Ὀνόματος ὁρισμὸν εἰς τὰ καθ' αὐτὸ εἴδη τοῦτο διελὼν, ἑκάτερον αὖθις τῶν ὑποδιεῖλεν, ἀκριβέστατα τῶν εἰδικωτάτων ἕκαστον ὁρισάμενος. τὸ γὰρ, μέρος λόγου, κοινὸν καὶ τοῖς λοιποῖς. ἁπλαῖ γάρ ἔσαι φωναὶ καὶ λέξεις τὰ μέρη τοῦ Λόγου, εἰς τὸ σημαίνειν, οἷς ἐτέθησαν, θεωρέμεναι, τῷ μὲν ὑποκειμένῳ εἰσὶ ταὐτὰ, ἢ κἂν ταύτην ἀπ' ἀλλήλων διαζελόμεναι, σχέσει δὲ διαφέρουσιν, ὥσπερ τὸ σπέρμα καὶ ὁ καρπὸς ἐπὶ τοῦ Σίτου. καὶ ἡ ἀνάβασις καὶ κατάβασις ἐπὶ τῆς Κλίμακος, ἢ τοῦ Ὄρους. τὴν γὰρ ἐν αὐταῖς διπλόην ἐπισκιάζομενοι, ὧν αἱμὲν, Ἄρθροις εἰσὶ συμπαζόμεναι, αἱδὲ, οὐ, ἢ αἱμὲν, χρόνον τινὰ προσημαίνουσιν, αἱδὲ, οὐ, διαζέλομεν αὐτὰς ἀπ' ἀλλήλων τῷ εἶναι, τὰ μὲν, Ὀνόματα ἀξιοῦντες καλεῖν, τὰ δὲ, Ῥήματα, τὰς δὲ, μετοχὰς καὶ ἕξεις, τὸ δὲ, πτωτικὸν εἴληπται πρὸς τὰ ἄπτωτα μέρη. τὸ δὲ, σημαντικὸν, οὐχὶ μᾶλλον πρὸς τὰς ἀσήμους Φωνὰς, ἢ δηλα τὰς προθέσεις καὶ τὰ προπαικτικὰ τῶν Ἄρθρων, συσημαντικὰ μᾶλλον, ἢ περ σημαντικὰ ὄντα. ἔτε καὶ πρὸς τὴν Ἀντωνυμίαν, δεικτικήν τε καὶ ἀναφορικὴν μᾶλλον οὖσαν, ἢ περ σημαντικήν. Τὸ δὲ, ἄνευ χρόνου, δηλα τὰς Μετοχὰς, πτωτικὰς μὴ χρόνου οὔσας. (ἕτεροι δὲ προσιθέασι πλατύτερον ἔτω, σημαντικὸν οὐσίας ἰδίας, ἢ κοινῆς τῶν ὑποκειμένων σωμάτων τε καὶ πραγμάτων. καὶ σῶμα μὲν ἐστι, τὸ τριχῇ διαστατὸν, πρᾶγμα δὲ, τὸ ἐν τοῖς σώμασι θεωρούμενον πάθος, ἤγουν αἱ ποιότητες) σημαντικὸν δ' ἁπλῶς εἴρηται τὸ Ὄνομα. τίνος δέ ἐστι σημαντικόν; αὐτῇ κατ' εἶδος αὐτὸ διαιρέσει ἐρεῖ, τὸ μὲν δηλαδὴ, τῆς κατὰ μέρος, ἢ τῆς καθόλου οὐσίας, τὸ δὲ, συμβεβηκότος. ὅθεν οἱ προσδιορίζοντες τὸ Ὄνομα σημαντικὸν οὐσίας ἰδίας, ἢ κοινῆς, ἀφιστῶσι τοῦ ὅρου τῶν ἐπιθέτων τὰ συμβεβηκότων ὄντα σημαντικά. καὶ ἔπος ἐλπὶς ἀποδόσασι τοῦ ὄνομα, πλεονάσαντες ταῖς λέξεσι. τὸ δὲ φῖφος κατ' αὐτοὺς καὶ τὰ τοιαῦτα, οὐκ εἰσὶν

Ὀνό-

Ὀνόματα, ὡς μηδετέρας οὐσίας ὄντα σημαντικά. εἰ μήτις τὸ τῆς οὐσίας ὄνομα ἐπὶ τῆς ἁπλῶς ὑπάρξεως ἐκλαβών, ἀπαλλάξοι ἐκείνης τὸν ἔλεγχον. τὸ δὲ, ἄνευ χρόνου καὶ πρὸς τὸ Ῥῆμα. τοῦτο δὲ σημαίνει, τὸ μηδέποτε μηδαμῶς χρόνον σημαίνειν, ἀλλὰ τὸ μὴ προσημαίνειν χρόνον κατὰ τὰ Ῥήματα, τὰ προηγουμένως μὲν κίνησιν, εἴτ' οὖν ἐνέργειαν, ἢ πάθος σημαίνοντα, ἑπομένως δὲ καὶ τὸν χρόνον, καθ' ὃν ἐνεργεῖν, ἢ πάσχειν συμβέβηκε. τὸ γὰρ χθεσινὸν, σημερινὸν, πρωϊνὸν, ὥρα, χρόνος, καὶ ὅσα τοιαῦτα, χρόνοι μέν εἰσιν αὐτόθεν, οὐ μὴν προσημαντικὰ, σημαντικὰ δὲ μόνον, ἄνευ δηλονότι κινήσεως, εἴτ' οὖν διαθέσεως. τὸ δὲ περιπατῶ, πρῶτον μὲν, τῷ τοιάνδε τοῦ σώματος κίνησιν δηλοῖ, δευτέρως δέγε καὶ τὸν νῦν χρόνον. ὅθεν καὶ προσημαντικὸν χρόνου ῥηθήσεται τὸ ῥῆμα, ὁριζόμενοι, ὡς αὖ πρὸς τῷ ἑτέροντι προηγουμένως σημαίνειν, ἔχον καὶ τῷ τοῦ χρόνου μιμοῦσιν οἷον ἑπομένῳ. εἰ δὲ καὶ ἐνέργειαν, ἢ πάθος δηλοῖ ποτε καὶ τὰ Ὀνόματα, ὡς ῥηθήσεται, ἀλλ' οὐ μετὰ χρόνου.

Εἴδη δὲ τούτου, τὰ μὲν, κατὰ Φωνὴν, τὰ δὲ, κατὰ Σημασίαν.

Ἐπειδὴ ἕκαστον μέρος Λόγου φωνή ἐστι σημαντικὴ κατὰ συνθήκην, (καίτοι τὰ μὲν, σημαντικά εἰσι καθ' αὑτὰ, τὰ δὲ, συσσημαντικὰ μᾶλλον) πρόδηλον ὅτι καὶ τῷ περὶ ἑκάστου τῶν θεωρίων διττῷ συνδέχεται γίγνεσθαι, τῷ μὲν, ἢ δηλονότι τῷ Λέξιν αὐτὴν καθ' ἑαυτὴν ἐπισκεπτόμεθα, τοιῶσδε, ἢ τοιῶσδε χηματιζομένῳ, καὶ ἀφαίρεσιν τοῦ ὧν ἐστι σημαντικὴ πραγμάτων, ὡς μὴ κατὰ χέσιν τε καὶ αὐαφορὰν θεωρουμένην τῷ πρὸς τὰ σημαινόμενα ὑπ' αὐτῆς πράγματα, καὶ εἰ ὑπότι κοινὸν ὑπάγεται εἶδος γραμματικὸν, πρωτότυπον φέρε ἢ παράγωγον. ἀλλὰ καὶ χῆμα ἁπλοῦν, ἢ συνθετον. τῷ δὲ ἑτέραν, κατὰ σημασίαν. ἢ τινι καὶ ἢ κατὰ φωνὴν ὑπηρετεῖ. ἢ πέρεσιν ἅμα φωνὴ σημαντικὴ καθ' ὧν λέγεται πραγμάτων, καθ' ὃ δηλαδὴ χέσιν ἔχει, ὧν τυγχάνει ἔσα σημαντική. καὶ συνελόντι, τὰ μὲν, ὑλικῶς, τὰ δὲ, εἰδικῶς θεωρεῖται, ἐκείνως μὲν, κατὰ τὸ χῆμα μόνον τῆς λέξεως, ἕτερα δὲ, κατὰ τὸ σημαινόμενον ὑπ' αὐτοῦ πρᾶγμα. κατὰ μὲν οὖν τὴν φωνὴν ἐν τοῖς πρὸ τούτου βιβλίοις τὰ τοῦ λόγου μέρη τεθεώρηται, τὸ δὲ δ', τὴν κατὰ σημασίαν περιέχει θεωρίαν, ἥτε Ὀνόματος μόνον, ἀλλὰ καὶ τῶν λοιπῶν καθ' ἕκαστα μερῶν.

Κατὰ μὲν Φωνὴν, Πρωτότυπον καὶ Παράγωγον, κατὰ δὲ Σημασίαν, Κύριον, Προσηγορικὸν, Ἐπίθετον, καὶ ὅσα εἴρηται πρότερον.

Ἐν μὲν τῷ α', Ἀναφορικὸν καὶ Ἀριθμητικὸν, ἐν δὲ τῷ β', Ἐθνικὸν, Ἀόριστον, Περιληπτικὸν, Ἐπιμεριζόμενον, Περικτικὸν, Πεποιημένον, Τακτικὸν, πρός τι, ὡς Πρός τι.

Διήρηται δὲ καὶ τὰ τοῦ Παραγώγου εἰς Πατρωνυμικὸν, Κτητικὸν, Συγκριτικὸν, Ὑπερθετικὸν, Ὑποκοριστικὸν, Παρώνυμον, καὶ Ῥηματικόν.

Ἁπλῶς δὲ, εἰς Παρώνυμον καὶ Ῥηματικόν.

Κύριον.

Ἔστι δὲ Κύριον, τὸ τῆς πρώτης καὶ κατὰ μέρος Οὐσίας σημαντικόν. οἷον, Σωκράτης. Πλάτων.

Ἡγεῖται τὰ κατὰ σημασίαν τῶν κατὰ φωνὴν

φωνὴν. εἴγ' ὕστεραι τῶν πραγμάτων εὕρηνται αἱ θετικαὶ φωναί. τῶν δ' αὖ κατὰ σημασίαν τὰ μὲν, εἰσὶ κοινὰ, ἐπὶ πολὺ διήκοντα τὴν σημασίαν, ὡς ἡ Οὐσία, ἅπασιν ἐπιλεγομένη Ἐμψύχοις τε καὶ Ἀψύχοις. τὰ δὲ, εἰδικώτερα, μερικωτέραν ἔχοντα τὴν δύναμιν, ὡς τὸ Ζῷον, ἐπ' ἔλαττον μὲν τῆς Οὐσίας λεγόμενον, ἐπὶ πλέον δὲ τῶν ὑπ' αὐτὸ θεωρουμένων. Λογικῶν γὰρ αὐτῷ καὶ Ἀλόγων φύσις ἐμπεριέχεται. πάλιν εἰδικώτερον τοῦ Ζῴου ὁ Ἄνθρωπος, καὶ τούτου ὁ Ἀνήρ. καὶ τοῦ ἀνδρὸς ὁ καθ' ἕκαστα. Πέτρος. Παῦλος. Σωκράτης. ὧν τὰ κοινὰ λόγῳ μόνῳ θεωρητὴν ἔχει τὴν κοινότητα. καὶ τὰ μὲν, ἀπολελυμένως καὶ καθ' αὑτὰ προφέρεται, ὅ ἐστιν ἀσχέτως, μόνων τῶν ὑποκειμένων αὐτοῖς ἤτοι κατὰ γένος, ἢ κατ' εἶδος, ἢ καθ' ἕκαστα πραγμάτων ὄντα σημαντικά. οἷον, Ζῷον, Ἄνος, Βοῦς, Ἵππος, Σωκράτης, Πλάτων. τὰ δὲ, καὶ πρὸς ἕτερά εἰσι λεγόμενα, τὴν σχέσιν μόνον ἐμφαίνοντα τῶν πρὸς ἃ λέγεται. Οὐσία δὲ εἴρηται, ὡς καθ' ἑαυτὴν οὖσα, εἴτ' οὖν ὑφεστῶσα, ὅ ἐστιν αὐθύπαρκτος, μηδενὸς δηλαδὴ ἑτέρου δεομένη πρὸς σύστασιν. πρώτη δὲ καὶ κατὰ μέρος ἐστὶν ἡ ἥδε τις, ἡ σύνθετος δηλαδὴ καὶ ἀτομικὴ καὶ δακτυλοδεικτεῖσθαι πεφυκυῖα. πρώτως γὰρ ὑπόκειται πάσαις ταῖς κατ' αὐτῆς λεγομέναις κατηγορίαις. φημὶ δὴ ταῖς τε δευτέραις οὐσίαις καὶ τοῖς συμβεβηκόσιν. Ἀτομικὸν δὲ καὶ μερικὸν, ἑνός τινος ἑκάτερα ὄντα δηλωτικὰ, διαφέρουσιν ἄλλως, ἢ τὸ μὲν μερικὸν, ἀορίστως, οἷον, τὶς ἄνος, ἤτοι Σωκράτης δηλαδὴ, ἢ Πλάτων, ἢ ὁστισοῦν. τὸ δὲ ἀτομικὸν, ὡρισμένως δηλωτικόν ἐστι τοῦ ἑνός. οἷον, οὗτος, ἐκεῖνος, Σωκράτης, αὐτός. κατὰ δὲ Γρηγόριον τὸν ναζιανζ: πρὸς Εὐάγριον μοναχὸν περὶ Θεότητος, Κύριόν ἐστι τὸ ὄψεσιν ἡμετέραις ὑποπίπτον, καὶ ἀνίνοις αἰσθητηρίοις ἁλῶναι δυνάμενον. Ἀλλ' ἀπορήσεις, τῶν περὶ τὴν ἀτομικὴν Οὐσίαν ἰδιοτήτων οὐδεμία ἐστὶν οὐσία κατὰ τὸν μέγαν Βασίλειον ἐν τοῖς κατ' Εὐνομίου. οἱονεὶ δὲ χαρακτῆρές τε καὶ μορφαί εἰσιν, ἐπιθεωρούμεναι τῇ ἀτομικῇ οὐσίᾳ, καὶ τὸν καθ' ἕνα χαρακτηρίζουσαι, τοῦτον ἐκείνου διενηνοχέναι ποιοῦσι, διαιροῦσαι μὲν ἀδιαιρέτως τῷ ἰδιάζοντι λόγῳ τὸ κοινὸν τῆς οὐσίας, τὸ δ' ὁμοφυὲς αὐτῆς μὴ διακόπτουσαι. αἱ δὲ προσηγορίαι, τῶν περὶ τὴν ἀτομικὴν οὐσίαν ἰδιοτήτων εἰσὶ παραστατικαὶ κατὰ τὸν αὐτὸν, οὐκ ἄρα τῆς ἀτομικῆς οὐσίας. Ἢ ὅτι πειρωμένου τοῦ Εὐνομίου δεῖξαι διαφορὰν τῆς οὐσίας τῇ διαφορᾷ τῆς πρὸς καὶ υἱοῦ προσηγορίας, φησὶν ὁ μέγας, ὡς οὐκ ἀνάγκη τὴν οὐσίαν ἤτοι τῇ τῶν προσηγοριῶν ταυτότητι ταυτίζεσθαι, ἢ πάλιν τῇ τούτων ἑτερότητι καὶ παραλλαγῇ παρηλλάχθαι. οὔτε γὰρ τὰ ὁμώνυμα ταυτίζει, οὔτε τὰ ἀτομικὰ μερίζει τὴν οὐσίαν. ταῦτ' ἄρα καὶ τὰς προσηγορίας μὴ τῶν οὐσιῶν εἶναι σημαντικάς φησι, τῶν δὲ περὶ αὐτὰς ἰδιοτήτων. καθ' ὅ, τι οὐ τὰ πράγματα τοῖς ὀνόμασι, τὰ δ' ὀνόματα τοῖς πράγμασιν ἐπακολουθεῖ. διαιρετέον γεμὴν τὰς προσηγορίας εἴς τε οὐσιώδεις καὶ ἐπουσιώδεις, καὶ ταύτας μὲν μὴ τῶν οὐσιῶν, τῶν δὲ περὶ αὐτὰς ἰδιοτήτων ῥητέον εἶναι σημαντικὰς, καθὰ δὴ καὶ τὸ πῆρ καὶ υἱὸς, οὐσιῶν δὲ ἐκείνας, μερικῶν μὲν, τὰς μερικὰς, τῶν καθόλου δὲ, τὰς καθόλου. ἀλλὰ γὰρ οὐδ' αὐτὰ τὰ οὐσιώδη βούλεται οὐσίας εἶναι σημαντικὰ, φημὶ δὴ τὰ κύρια. τὴν γὰρ Πέτρου καὶ Παύλου φωνὴν, μὴ τὴν τοῦ Πέτρου καὶ Παύλου οὐσίαν, αὐτὸ δὴ τὸ ὑλικὸν ὑποκείμενον, τὴν δὲ τούτους χαρακτηρίζουσαν συνδρομὴν τῶν ἰδιωμάτων παριστάνειν. Ἢ ὅτι τὰς τῶν πραγμάτων φύσεις καθαρῶς μὲν καὶ σαφῶς καὶ διακεκριμένως οἱ ὅροι εἴτ' οὖν οἱ Ὁρισμοὶ δηλοῦσιν, ἐξηπλωμένα ὄντες ὀνόματα, διαφοραῖς τε οὐσιώδεσιν, εἴτ' οὖν καὶ ἐπουσιώδεσι χρώμενοι, τὰ δὲ, Ὀνόματα δηλοῦσι μὲν καὶ αὐτὰ φύσεις πραγμάτων, συντόμως ὅμως καὶ ἀσαφῶς καὶ ἀδι-

τὰ διακρίτως δηλοῦν πεφύκασι. δι' ὃ καί τινες συνεσταλμένους ὅρους ταῦτα κεκλήκασιν. εἰ δὲ τὰ καθόλου τῶν ὀνομάτων τοιαῦτα, περὶ τῶν μερικῶν τί χρὴ καὶ λέγειν; τὸ γοῦν οὕτω δηλοῦν, μὴ δηλοῦν εἴρηται τῷ μεγάλῳ. ἄλλως τε πρὸς τὸν Εὐνόμιον, ὡς εἴρηται, ἀποτεινόμενος, παραλλαγὴν οὐσίας εἰσάγοντα τῇ πατρὸς καὶ Υἱοῦ παραλλαγῇ, καὶ τῇ τοῦ Ἀγεννήτου καὶ γεννητοῦ, εἴρηκε μὴ σημαίνειν οὐσίας ἐναγωνίως τὰ ὀνόματα. προκείμενον δ' ἦν αὐτῷ καθ' αὑτὸ, οὐ τοῦτο, δεῖξαι δὲ μὴ ἀναγκαίως οὐσίας ἢ ταυτότητα, ἢ ἑτερότητα σημαίνειν τὴν τῶν ὀνομάτων ταυτότητα, ἢ ἑτερότητα. ὅτι δὲ τὰ Κύρια, μερικῆς οὐσίας σημαντικὰ, δείκνυται. καὶ γὰρ ἡ συνδρομὴ τῶν ἰδιοτήτων, εἴτ' οὖν συμβεβηκότων, χαρακτηρίζει κατ' αὐτὸν τὴν ὑποκειμένην αὐταῖς οὐσίαν, ταύτην δὴ τὴν μερικὴν λεγομένην, τῶν δ' ὀνομάτων τὰ Κύρια τῆς συνδρομῆς τῶν ἰδιωμάτων εἰσὶ κατ' αὐτὸν παραστατικὰ, καὶ τῆς ὑποκειμένης ἄρα οὐσίας χαρακτηριστικά. τὸ δὲ χαρακτηριστικὸν οὐ πάνυ τοι ἀνόμοιον τῷ σημαντικῷ. Ἐφ' οἷς ἰστέον ὡς πάντα τὰ ὑπὸ Σελήνην ὄντα, ὅσα δηλαδὴ ὑποπίπτει αἰσθήσει, Ἀτομικὰ τυγχάνει γ' ὄντα, καὶ τῆς α', καὶ κατὰ μέρος οὐσίας, ὀνομάτων μέντοι γ' Ἀτομικῶν, τοῦτ' ἔστι Κυρίων χηρεύουσιν αὐτῶν τὰ πλεῖστα, ὅτι μὴ τὰ τοῦ ἀνίνου εἴδους Ἄτομα. ἐκείνων δὲ τὰ εἰδικὰ συνάρθρως εἰς ἄτομα μεταλαμβάνομεν δι' ἔνδειαν ὀνομάτων. ἡ δὲ Σελήνη καὶ τὰ ὑπὲρ αὐτὴν οὐκ ἀτομικὰ, ὡς οὔτε γενικὰ, ἢ εἰδικὰ, μοναδικὰ δὲ μόνον κατὰ Νικηφόρον τὸν βλεμμύδην. εἴ γε τὸ ἐπὶ Ὑποστάσεως λαμβανόμενον Ἄτομον, προσυπακούεσθαι δίδωσι Γένος καὶ Εἶδος. ἐν δὲ τοῖς ὑπὲρ Σελήνην οὐδέτερον τούτων ἐστὶν εὑρεῖν οὐσιῳδῶς αὐτῶν κατηγορούμενον. οἱ δὲ λέγοντες τὸ μήτε γενικὸν μήτε εἰδικὸν μήτε ἀτομικὸν ὄν, μηδὲ εἶναι ὅλως, τί φήσουσι περὶ τοῦ ὄντως ὄντος Θείου, ἐφ' οὗ οὐθὲν τῶν τριῶν κυριωνυμεῖται; Μοναδικὸν γὰρ, οὐκ Ἀτομικὸν, καὶ τοιοῦτο Μοναδικὸν, ὡς οὐκ ἐκ πολλῶν ἐν, ἢ ὡς ἐξ Ὕλης καὶ Εἴδους, ἢ ὡς ἐκ Γένους καὶ Διαφορῶν, ἀλλ' ἁπλῶς ἐν. Ἡγεῖται δὲ τὸ Κύριον τοῦ προσηγορικοῦ, καθ' ὅ, τι καὶ τῶν Οὐσιῶν ἡ α', τῆς β'. μὴ γὰρ οὔσης τῆς α', καὶ μερικῆς, ἀδύνατον εἶναί τι τῶν ἄλλων. τὰ γὰρ τῆς β', Οὐσίας τὰ κατὰ μὲν Πλάτωνα πρὸ τῶν πολλῶν, κατὰ δὲ ἄλλους ἐν τοῖς πολλοῖς θεωρούμενα, ὑστερογενῆτέ εἰσι καὶ μετὰ τὰ πολλὰ, κἀν τῇ ἡμετέρᾳ διανοίᾳ τυγχάνοντα, οὐμὴν αὐθύπαρκτα, ἡ δὲ α', ἐστὶν αὐθύπαρκτος.

Προσηγορικόν.

Προσηγορικὸν δὲ, τὸ τῆς β', καὶ καθόλου Οὐσίας. οἷον, ἄνθρωπος. ἵππος.

Τῆς ἁπλῶς Καθόλου, οὐ μόνον δηλαδὴ τῆς κατ' εἶδος. οἷον, ἄν'ος, ἵππος, ἀλλὰ δὴ καὶ τῆς μάλιστα Καθόλου. φημὶ δὴ τῆς κατὰ Γένος. οἷον, Ζῷον. Ἔμψυχον. Σῶμα. Οὐσία. δευτέρα δὲ καὶ Καθόλου εἴρηται πρὸς ἀντιδιαστολὴν τῆς α', τε καὶ κατὰ μέρος. πρῶτα γὰρ τὰ μερικὰ. ὧν οὐκ ἄν' ευ. ἀπὸ τούτων δ' ἔπειτα κατ' ἐπαγωγὴν συνάγεται τὰ Καθόλου. ὥσπερ ἂν εἰ, κηρίων πολλῶν μεταλαβόντων ἑνὸς ἐκτυπώματος, ἑωρακώς τις τὰ ἐν οἷς τὸ ἐκτύπωμα, καὶ ἐπιστήσας ὅτι πάντα τῆς αὐτῆς μετέσχε σφραγῖδος, τὰ δοκοῦντα πολλὰ εἰς ἐν τῷ λόγῳ καὶ τῇ ἐπινοίᾳ συνήθροισε, καὶ ἔχει τοῦτο κατὰ διανοίαν, οὕτω τις κἀν τοῖς καθ' ἕκαστα πρότερον ἐπιστήσας τοῖς τοῦ ἀνθυτυχὸν ἀτόμοις, ὡς ἅπαντα τοῦ αὐτοῦ μετέσχε λόγου, Ζῷα λογικὰ θνητὰ νοῦ καὶ ἐπιστήμης δεκτικὰ τυγχάνοντα, συνήγαγεν ἔπειτα ἐξ ἁπάντων τὸν καθόλου Ἄνθρωπον. κἀν τοῖς καθ' ἕκαστα αὖθις εἴδεσι τοῦ Ζῷου ἐπιβαλὼν, ὡς ἅπαντα οὐσία εἰσὶν ἔμψυχος αἰσθη-

αἰσθητικὴ μεταβατικὴ, συνήγαγεν ἐξ αὐτῶν τὸ καθόλου ζῷον. ὁμοίως κἀπὶ τῶν Ἐμψύχων τε καὶ Ἐνσωμάτων. Παρασημειοῦνται δέ τινες τῶν ἔσω λόγου, ὡς τὰ Καθόλου, ἄπιστα, ὅτι γε Καθόλου, ὡς μὴ ἐνὸν ὅλως ἁπάντων τῶν κατὰ μέρος ἐπαγωγὴν γενέσθαι, εἴτ' οὖν ἐπαφήν τε καὶ αἴσθησιν ἀνάλογον, τῶν μὲν, ὅρασιν λέγω, τῶν δὲ, ἀκοὴν, διὰ τὸ τῶν Ἀτόμων φύσει τε καὶ γνώσει ἀπερίληπτον. εἰ γάρ τοι τῷ ἐπιστήμονι καὶ αὐτῶν τῶν κατ' αὐτὸν δυσχερές τε καὶ ταλαίπωρον ἁπάντων αἰσθέσθαι, πάντως τὸ πλεονάζον τῆς ἀναισθησίας τῶν πρὸ αὐτοῦ τε καὶ μετ' αὐτὸν καθ' ἕκαστα, οὐδ' ἀριθμῷ περιλαβεῖν ἐστιν. ἐπεὶ δὲ καὶ τὰ Καθόλου εἰσὶν Ἀρχαὶ τῆς ἀποδείξεως, πῶς ἄν φασιν, ἀπόδειξις γένοιτο, ἀμετάπειστος οὖσα ὑπόληψις, ἐκ τῶν τοιούτων ἀρχῶν. ὧν, δέον κρεῖττον ἢ κατὰ ἀπόδειξιν ἐπιστήμην ἔχειν, ἡμεῖς δὲ οὐδὲ βεβαίαν δόξαν ἔχομεν; εἰσὶ δὲ οἱ πρὸς τοῦτο ἁπαντῶντες, φασὶν, ὡς ἐπὶ μὲν Ὕλης ἐνδεχομένης, ἀπὸ τῶν κατὰ μέρος κατ' ἐπαγωγὴν συνάγονται τὰ Καθόλου, ἐπὶ δὲ ἀναγκαίας, ἀδυνάτως ἐχούσης τῆς τῶν καθ' ἕκαστα ἀπαριθμήσεως, κατὰ ἀφαίρεσιν τὸ καθόλου ἀναπλάττεται. καὶ δὴ οὕτω μὲν ἐκεῖνοι, Προσηγορικὸν δ' ἐτυμολογικῶς, τὸ κατὰ πολλῶν ἀγορευόμενον, καὶ οἱονεὶ Κατηγορικὸν κατὰ μετάληψιν τῆς προθέσεως. Ἰστέον δὲ ὅτι τὸ τῆς β', καὶ καθόλου Οὐσίας σημαντικὸν, οὐ κατὰ τὴν οἰκείαν φύσιν ὁρίζεται ὧδε. οὕτω γὰρ ὁριζόμενον τὸ ζῷον φέρε, οὐσία ἐστὶν Ἔμψυχος αἰσθητικὴ μεταβατική. καὶ ὁ Ἄνος ὁμοίως Ζῷον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. ἀλλὰ κατὰ τὴν ταυτότητα τῆς σχέσεως, καθ' ἣν ἀδιαφόρως κατηγορεῖται τῶν, οἷς ἐνυπάρχει διαφόροις τῷ εἴδει, ἢ τῷ ἀριθμῷ. Ζητητέον δὲ πῶς παρὰ μὲν τῷ Θεοδώρῳ, πρὸς δὲ καὶ τῷ Φίφῳ τὰ μὲν κατὰ Μέρος, πρῶτα, δεύτερα δὲ, τὰ Καθόλου εἴρηται, ἐν δὲ τοῖς περὶ Προτέρου καὶ Ὑστέρου τοὐναντίον, πρότερα μὲν, τὰ Καθόλου, τὰ δὲ κατὰ Μέρος, ὕστερα; οὐ δὲ γὰρ τὸ συνεισάγειν, ἢ τὸ συναναιρεῖν ἱκανὰ πρὸς ἀπολογίαν τοῦ μὴ εἶναι καὶ πρότερον καὶ ὕστερον τὸ αὐτό. τὰ γὰρ συναναιροῦντα καὶ συνεισαγόμενα, εἰσὶ πρότερα τῶν συναναιρουμένων καὶ συνεισαγόντων. τοιαῦτα δὲ τὰ καθόλου, πρότερα ἄρα. εἰσὶ δὲ τὰ αὐτὰ καὶ δεύτερα. πάλιν τὰ συναναιρούμενα καὶ συνεισάγοντά εἰσιν ὕστερα τῶν συναναιρούντων καὶ συνεισαγομένων, τοιαῦτα δὲ τὰ κατὰ μέρος, ὕστερα ἄρα. εἰσὶ δὲ τὰ αὐτὰ καὶ πρῶτα. Ἢ ὅτι τὰ Καθόλου τῶν κατὰ Μέρος, εἴτ' οὖν τῶν συνθέτων τὰ ἁπλᾶ, πρότερα μὲν εἰσὶ τῇ φύσει, τῇ δὲ κατ' αἴσθησιν γνώσει, ὅ ἐστιν ἡμῖν, ὕστερα. ἡ μὲν γὰρ φύσις ἀπὸ τῶν Καθόλου ἐπὶ τὰ κατὰ Μέρος πρόεισιν, ἡ δὲ κατ' αἴσθησιν γνῶσις τὰ νάπαλιν, ἀπὸ τῶν συνθέτων ἐπὶ τὰ ἁπλᾶ.

Ἐπίθετον.

Ἐπίθετον δὲ, τὸ κατὰ Κυρίων, ἢ Προσηγορικῶν λεγόμενον. οἷον, ἀνδρεῖος, ταχύς.

Κατὰ τὴν εἰς οὐσίαν καὶ συμβεβηκὸς τῆς τοῦ Ὄντος φωνῆς διαίρεσιν διῄρηται καὶ τὰ Ὀνόματα εἰς οὐσιαστικὰ καὶ ἐπίθετα. κἀπεὶ πάλιν τῆς οὐσίας ἡ μὲν τίς ἐστι α', ἡ δὲ, β', οὕτωτοι καὶ τῶν οὐσιαστικῶν τὰ μὲν, εἰσὶ Κύρια, τὰ δὲ, προσηγορικά. εὐλόγως δὲ μετὰ τὸ Κύριον καὶ Προσηγορικὸν τέτακται τὸ Ἐπίθετον. καθ' ὅ, τι ἐκεῖνα μὲν, οὐσιῶν, τὸ δὲ, καὶ συμβεβηκότων ἐστί. τὸ δὲ συμβεβηκὸς προϋποτίθησιν, ὡς εἴρηται, τὴν οὐσίαν. ὅθεν ἡ τοῦ Ὀνόματος διαίρεσις, ὡς τὰ Ἀφ' ἑνός ἐστιν, ἢ πρὸς ἕν, οὔκουν ἀπὸ Γένους εἰς Εἴδη. τὰ γὰρ κατὰ κοινὸν Γένος ἀντιδιαιρούμενα, ἅμα εἰσὶν, οὐ τὸ μὲν, πρότερον, τὸ δὲ,

ὕστε-

ὕστερον. ἐν οἷς δὲ τὸ πρότερον καὶ τὸ ὕστερον, τούτων τὸ κοινῶς κατηγορούμενον, οὐκέστι Γένος. φύσει δὲ πρότερα τὰ κατὰ Σημασίαν τῶν κατὰ Φωνὴν, καὶ τὰ Οὐσιαστικὰ τῶν Ἐπιθέτων. συναναιρεῖ γὰρ καὶ συνεισάγεται. τὸ ἄρα τούτων κοινῶς κατηγορούμενον Ὄνομα, οὐκέστι κυρίως Γένος. καὶ γὰρ ὥσπερ ἡ α', Οὐσία εἰς ὕπαρξιν ὑφέστηκε τῶν συμβεβηκότων, οὕτω καὶ τὰ Οὐσιαστικὰ ὑφίσταται τοῖς ὁπωσοῦν Ἐπιθέτοις. πλὴν τὸ μὲν συμβεβηκὸς ἐν ὑποκειμένῳ λεγόμενον, ἀδύνατον χωρὶς τοῦ ἐν ᾧ ἐστι, καθ' ἑαυτὸ ὑφεστάναι, τῶν γε μὴν Ἐπιθέτων ἔστιν ἃ λέγεται καὶ καθ' ἑαυτὰ ἀτελῶς, ὡς συνεισάγοντα τὰ ὑποκείμενα, καθ' ὧν λέγεται. οἷον, τὸ μέροψ ἄνθρωπος, ἐντελῶς πέφρασται. καθὰ καὶ τὸ βροτοὶ ἄνδρες. ὁ δὲ ἄλλως τοὺς ἀνοὺς φράσας κατὰ μόνας βροτοὺς, ἢ μέροπας, ἐλλείπει. οὕτω καὶ τὸ πολιαὶ καθ' ἑαυτὸ ἐπὶ τριχῶν ἰδιάζον, ἐπὶ ἄλλων τινῶν, οἷον, θαλάσσης καὶ γραιῶν τινων πολιῶν ἐκ γενετῆς, καὶ ἄλλων κατὰ συνθήκην κεῖται. ὥσπερ δὲ καὶ ἄλλα πολλὰ Ἐπίθετα ἀντ' αὐτῶν ἐκείνων λαμβάνεται τῶν Προσηγορικῶν, οἷς ἐπιτίθεται, ὡς εἴρηται, οὕτω καὶ τὸ κεστὸς, ὑπακουομένου τοῦ ἱμᾶς. καὶ τὸ ξυστὸν κατὰ μόνας, αὐτὸ τὸ ξεστὸν δόρυ. οὗ ὡς ξεομένου ἐπίθετόν ἐστι τὸ ξυστόν. καὶ ἡμέρα ἰδίως αὐτὴ καθ' ἑαυτὴν ἡ ἡμέρα Ἠὼς, ἤγουν ἡ πρᾳεῖα καὶ ἀντίθετος τῇ ἀπὸ τοῦ δεδιέναι γινομένῃ δείδιᾳ, ὡς ἀπὸ ἀρσενικοῦ τοῦ ἥμερος. καὶ διπλόη, αὐτὴ ἡ διπλῆ χλαῖνα. καὶ βροτὸς, αὐτὸς ὁ ἄνος. οὗ ὡς ῥευστοῦ ἐπίθετον τὸ βροτὸς κατὰ τὸ βροτοὶ ἄνδρες. καὶ ἀήτης, αὐτὸς ὁ ἄνεμος, ὁ ἄλλως κυρίως τῷ ἀνέμῳ συνιδιαζόμενος ἐπιθετικῶς. καὶ τέτρωρον αὐτὸ τὸ τέθριππον. οὗ ἐντελὲς τὸ τέθριππον Ἅρμα. καὶ δάκος δὲ καὶ δάκετον τὸ Θηρίον. οὗ τὸ πλῆρες, δάκετον Θηρίον. καὶ ἤπειρος αὐτὴ ἡ γῆ. ἧς ἡ ἐντέλεια τὸ ἐπ' ἀπείρου γᾶς ἔβη, τοῦτ' ἔστιν ὡρμίσθη. κατὰ οὖν ταῦτα οὕτω καὶ ἑανὸς ἰδικῶς, ὁ κατὰ συνδυασμὸν ἑανὸς πέπλος. νεκταρέου ἑανοῦ. Ἰλ: γ. κἀντῷ ἑανὸν ἀργῆτα φαεινόν. ὅθεν μάλιστα δῆλον τὸ ἑανὸς, εἰ καὶ ἐπίθετόν ἐστιν, ἀλλ' ὡς αὐτόχρημα πέπλος λαμβάνεται προσηγορικῶς. οὐδέποτε γὰρ ὁμοῦ δύω Ἐπίθετα, πολλῷ δὲ πλέον οὐδὲ τρία ἀλλεπάλληλα κεῖται χωρὶς Κυρίου, ἢ Προσηγορικοῦ ὑποκειμένου, φημὶ δὲ ἐπὶ τῶν θνητῶν. οὐδεὶς γὰρ ἄν ποτε φαίη, σοφὸς, δίκαιος, ἄν ἐν κυρίου τοῦ Ἀριστείδης τυχὸν, ἢ τοιούτου τινός. οὐδ' ἂν εἴποι, ταχὺς, θρασὺς, δίχα προσηγορικοῦ, Ἵππος τυχὸν, ἢ Πήγασος. ἐπὶ δὲ Δαιμόνων γίνεται πολλάκις στοιβὴ Ἐπιθέτων δίχα Κυρίου. οἷον, ἐνυαλίῳ ἀνδρειφόντη, καὶ, χρυσηλάκατος κελαδινὴ, καὶ, ὦ πόπποι ἐνοσίγαιε εὐρυσθενές. αἴτιον δὲ, τὸ μονάζειν τὰ Θεῖα ἐπίθετα, καὶ ἐφ' ἑνός τινος ὡρισμένου κεῖσθαι προσώπου, καὶ διὰ τοῦτο ἀντὶ Κυρίων αὐτὰ Διωνύμων λογίζεσθαι. τὰ μέντοι λοιπὰ Ἐπίθετα, κοινὰ ὄντα πολλῶν καὶ ἀοριστάινοντα, οὐδύναται ἀλλήλοις ἐπιστειβασθῆναι δίχα τοῦ καθ' οὗ λέγεται, τοῦ ὁρίζοντος αὐτά. τινὰ δὲ τῶν ἐπιθέτων οὐ καθ' ὅλου τοῦ ὑποκειμένου λέγεται, ἀλλὰ κατάτι ὡς διαφοραί. οἷον, πλατὺς ἐλλήσποντος. αὐχὴν ἁπαλός.

Ἐφ' οἷς ἰστέον ὡς κατὰ τὸν τοῦ ἐπιθέτου ὁρισμὸν εἴη ἂν καὶ τὰ Προσηγορικὰ Ἐπίθετα. εἰ καίτινες ἔστιν ἃ ἔξωθεν συμφορήσαντες, ἐριστικῶς εἰς τοῦτο ἐνίστανται. εἰ γὰρ ὁμολόγως τὸ κατὰ Κυρίων ἢ Προσηγορικῶν, καὶ ἁπλῶς καθ' ἑτέρων λεγόμενόν ἐστιν Ἐπίθετον, τὰ δὲ προσηγορικὰ, καὶ ἁπλῶς ἡ Καθόλου οὐσία κατάτε Κυρίων καὶ προσηγορικῶν, καὶ ἁπλῶς καθ' ἑτέρων ὑποκειμένων ὁμολόγως λέγεται, προδηλότατα ὡς τὰ Προσηγορικὰ Ἐπίθετα ἂν εἴη. εἰ δὲ ὅλως ἐφεῖται πρὸς τὸ δοκοῦν προσδιορίζειν τὸν ἀπροσδιορίστωστε καὶ ἁπλῶς προενεχθέντα τῶν Ἐπιθέτων

ὁρι-

ὁρισμὸν, οὐ μᾶλλον ἐκεῖνοι τὸ ἐπουσιῷδες, ἢ τὸ οὐσιῷδες ἡμεῖς παρεισάξομεν, λέγοντες, ὡς οὐχ ἥκιστα τὸ ἐπουσιῳδῶς, ἢ τὸ οὐσιῳδῶς καθ' ἑτέρων λεγόμενόν ἐστιν Ἐπίθετον. καὶ γὰρ καὶ συνεκδοχικῶς ἔτι κατὰ τὰ ἐπουσιῴδη, ὀνομάτων ἑτέρων αἰτιατικῇ καὶ τὰ οὐσιῴδη συντάσσεσθαι δύναται. ὁ γὰρ Σωκράτης, ἄνος μέν ἐστι τὸ εἶδος, ζῷον δὲ τὸ γένος. καὶ μεταβατικὸν μὲν τοὺς πόδας, αἰσθητικὸν δὲ τὴν σάρκα, καὶ ἁπλῶς σῶμα καὶ οὐσία τὴν φύσιν. καὶ τὴν πρὸς τὰ ὑποκείμενα δὲ συνεξακολούθησιν τὴν αὐτὴν τοῖς ἐπουσιῴδεσιν ἕξει καὶ τὰ οὐσιῴδη. ὁμοιοπτώτως τε γὰρ καὶ ὁμοιαρίθμως, ἔνθα δ' ἂν ἐγχωρῇ καὶ ὁμοιογενῶς. καὶ τὸ τριγενὲς δὲ τῶν ἐν τῷ ἐπιθέτῳ εἰς παράδειγμα προχειριζομένων, οὐθὲν οὐδ' αὐτὸ ξυνηγοροῦν αὐτοῖς ἔσται. εἴγε καὶ τῶν οὐσιῳδῶν οὐκ ὀλίγα τριγενῆ. οἷον τὸ ἔμψυχον, τὸ αἰσθητικὸν, τὸ μεταβατικὸν, τὸ λογικόν. εἰ δὲ καὶ ἀντιδιῄρηται ἀλλήλοις τό, τε Προσηγορικὸν καὶ τὸ Ἐπίθετον, ἀλλὰ τῷ σημαινομένῳ, τῷ καθ' ὑποκειμένου φημὶ καὶ ἐν ὑποκειμένῳ, καὶ συνελόντα, τῷ καθ' οὗ, καὶ ἐν ᾧ, ὅ ἐστι τῷ οὐσιῳδῶς καὶ τῷ ἐπουσιῳδῶς, οὐ μὴν δὲ καὶ τῷ καθ' ἑτέρων λέγεσθαι. ὅπερ ἐστὶν οὐσιῷδες γνώρισμα τῆς καθόλου οὐσίας. ὑπόκειταί τε οὐ μᾶλλον τὰ προσηγορικὰ τοῖς Ἐπιθέτοις, ἢ τὰ Ἐπίθετα τοῖς Προσηγορικοῖς, ἀλλήλων ἑκάτερα κατηγορούμενα. ὡς γὰρ τὶ λευκὸν κατὰ τῆς χιόνος, οὕτω καὶ ἡ χιὼν κατά τινος λευκοῦ. οὕτω μὲν οὖν τὸ Προσηγορικὸν, εἴη ἂν Ἐπίθετον, κἂν ἀπαρέσκῃ τισὶν, οὐ μὴν δὲ καὶ τὸ Ἐπίθετον εἴη ἂν Προσηγορικόν. εἴγε οὐπᾶν ἁπλῶς τὸ καθ' ἑτέρων λεγόμενον, τῆς β', καὶ Καθόλου οὐσίας τυγχάνει σημαντικόν. Ἰστέον δὲ ὡς τῶν καθ' ὑποκειμένου λεγομένων τὰ μὲν ἐπουσιῴδη, πρὸς ἀντιδιαστολὴν αἰεὶ ἑτέρων λέγεται, τὸ γὰρ φιλόσοφος κατὰ τοῦ Ἀριστοτέλους λεγόμενον, ἀντιδιαστέλλει τοῦτον τοῦ μὴ σοφοῦ Ἀριστοτέλους. τὰ δὲ οὐσιῴδη, οὐχὶ πρὸς ἀντιδιαστολὴν, ἀλλ' ἀπολύτως λέγεται, ὡς φύσει προσόντα. τὸ γὰρ κατὰ τοῦ Ἀνθρώπου, ἢ τοῦ Σωκράτους λεγόμενον λογικὸν, ἢ ἔμψυχον, ἢ αἰσθητικὸν, οὐ πρὸς ἀντιδιαστολὴν ἑτέρου τινὸς Ἀνοῦ, ἢ Σωκράτους μὴ τοιούτου, ἀλλ' ἀπολύτως λέγεται. ὡς οὐδ' ὁ Ἥλιος πρὸς ἕτερόν τινα Ἥλιον μὴ λαμπρὸν μηδὲ μέγαν, μέγας καὶ λαμπρὸς λέγεται, ἀλλ' ἀπολύτως. εἰ γὰρ πρός τι, κατὰ σύγκρισιν, καὶ οὐ φύσει μέγας. ἔνθεν τοι κἀπὶ τοῦ Θεοῦ τὸ Σοφὸς, Ἀγαθὸς, Μέγας, καὶ τὰ τοιαῦτα, οὐχ ὡς ἐπιγεγονότα Ἐπίθετα, ἢ ὡς ἀντιδιασταλτικὰ ἑτέρου τινὸς μὴ τοιούτου Θεοῦ, ἀλλ' ἀπολύτως καὶ οὐσιῳδῶς λέγεται. Ἰστέον ἔτι ὅτι τὸ Ἐπίθετον οὐ κατὰ τὸ Κύριόν τε καὶ προσηγορικὸν ἀπὸ τοῦ σημαινομένου, ἀπὸ δὲ τῆς συντάξεως ὥρισται. καθ' ὅ, τι πολυσχιδὲς καὶ οὐχ ἁπλοῦν οὐδὲ μονοειδὲς κατὰ τὸ ἐκείνων καὶ τὸ τούτου σημαινόμενον. εἴγε τὸ μὲν αὐτῶν ἐστιν ἐρωτηματικὸν, τὸ δὲ, ἀόριστον, τὸ δὲ, ἀναφορικὸν, καὶ ἄλλο ἄλλο. ὡς γοῦν ἀδυνατοῦντα ἀπὸ τοῦ δηλουμένου ὁρισθῆναι, ἀπὸ τοῦ κοινῇ παρακολουθοῦντος ὥρισται, κοινὸν ἔχοντα τὸ καθ' ὁ, τιοῦν αὐτῶν εἶδος καθ' ὑποκειμένου λέγεσθαι.

Συύταξις Ἐπιθέτου.

Τοιοῦτο δ' ὂν τὸ Ἐπίθετον, οὐ μόνον ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως τοῖς Κυρίοις καὶ Προσηγορικοῖς πρόσκειται,

Τὰ γὰρ κατὰ τὴν τοῦ αὐτοῦ προσώπου παρέμπτωσιν, τὴν αὐτὴν ἀπαιτεῖ Θέσιν, ὡς εἴρηται. τοῦτό γε μὴν παρ' ἐνίοις τῶν Λογίων παρανομούμενον φαίνεται. τῶν γὰρ ὑποκειμένων κατὰ γένους, ἢ καὶ ἀριθμοῦ διαφωνίαν κατηγοροῦσιν ἀττικῶς τὰ ἐπιθετικῶς ἐπαγόμενα, ποιοῦντες τὴν κατὰ ταῦτα ἀπόδοσιν οὐ πρὸς τὸ προηγούμενον, ἀλλὰ πρὸς τὸ ἐπαγόμενον. κατὰ μὲν οὖν γένους ἐναλλαγὴν, ὡς Ἀριστ: ἐν τοῖς προβλ: διὰ τί οἱ ῥυθ-

οἱ ῥυθμοὶ καὶ τὰ μέλη φωνὴ οὖσα, ἤθεσιν ἔοικεν; ὡς κἀντῷ οἱ Ἀθηναῖοι τοὺς μὲν ἀδωρολήπτους πρέσβεις, ἀσφάλειαν ὑπάρχουσαν πόλεως, ἀξιώμασιν ἐτίμων, τοὺς δὲ δωρολήπτας, λοιμὸν ὄντα πόλεως, ἀειφυγίᾳ καθυπέβαλλον. καὶ τοῦ Κικέρωνος, ὦ παραφροσύνης ἀπίστου. οὐ γὰρ πᾶν πλημμέλημα ἀφροσύνη λεκτέα. καὶ Μαξίμου τοῦ τυρίου τὸ, βασιλέα τὸν μέγαν ἀτρεμοῦντα, (ἐννόει) ὥσπερ νόμον παρέχοντα τοῖς πειθομένοις, σρέαν ὑπάρχουσαν αὐτῷ. λόγῳ α', περὶ τοῦ τίς ὁ Θεὸς κατὰ Πλάτωνα. κατὰ δὲ πτώσεως, ὡς τοῦ ἱεροῦ Μαξίμου τὸ, ἀγάπης τῆς ὄντος θεοποιοῦ ἀρετῆς, θαρρῶ δὲ λέγειν, καὶ Θεὸς ὑπαρχούσης. καὶ Γρηγορ: τοῦ Νύσσ: τὸ τοῖς εἰς τὴν σὴν παγῖδα κατολισθήσασι, καὶ θήραμα τῆς σῆς γενομένοις ὠμότητος, τὸ ἔξω βρόχων γενέσθαι δωρούμενος. καὶ τὸ, ταῖς δὲ στιγμαῖς πέρατα οὔσαις τοῦ ὅλου οὐ πρόσεστι πέρας. καὶ τὸ, ἐν ὕλον εἶδος ἐν τῇ ὕλῃ ἐκτείνεται, ὑποκείμενον οὔσῃ, καὶ τὸ, ξυμβαίνει τῷ σώματι διαιρετὸν ὄντι. καὶ τὸ, τῆς κινήσεως πάθος οὔσης. καὶ τὸ, οὐδὲ ἐκ τοῦ ἐνεργείᾳ τόδέ τι ὑπάρχοντος, παρὰ τοῖς Φίφοις. τοῦ γὰρ ὑπαρκτικοῦ, ἔτι δὲ καὶ τοῦ γίγνομαι ὁμοιόπτωτον τὸ ἑπόμενον πτωτικὸν τῷ ἡγουμένῳ, ὅ ἐστι τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ ἀπαιτούντων, διὰ τὴν ἀμφοῖν πρὸς τὸ αὐτὸ πρώσωπον παρέμπτωσιν, οἱ δὲ, ὀρθῶς τοῦτο, ἀλλ' οὐ κατὰ συνεξακολούθησιν τοῦ Ἐπιθέτου πρὸς τὸ Οὐσιαστικὸν κατηγοροῦσι. κατὰ δὲ ἀριθμοῦ διαφωνίαν, ὡς ἐν τοῖς Ῥήμασι (καὶ γὰρ καὶ τὸ Ῥῆμα Ἐπίθετόν τί ἐστιν) ὡς Ἀριστ'λ: ῥητορ: α'. αἱ γὰρ πίστεις ἔντεχνόν ἐστι. καὶ Παυσανίας, τῇ πόλει ἐστὶν ὅμορος κολωνίδες. Θουκυδ': καὶ ὅτι μὲν μυκῆναι μικρὸν ἦν. Διονύσιος ὁ ἁλικαρ: οὗτος ὁ χῶρος μούκιοι λειμῶνες καλοῦνται. Ἐφ' οἷς ἰστέον ὡς ἐν τῇ συνόδῳ Οὐσιαστικῶν μὲν καὶ Ἐπιθέτων, οὐ χαλεπὸν διαγνῶναι, ὁποῖον μὲν τὸ ὑποκείμενον, ὁποῖον δὲ τὸ κατηγορούμενον, ἐν δὲ δυοῖν Προσηγορικοῖς, ἢ Ἐπιθέτοις, τὸ συνάρθρον ἐστὶν ὑποκείμενον. οἷον, ὁ ἄνος οὐκ ἔστι θηρίον. ὁ Φίφός ἐστι μακάριος.

Ἀλλὰ καὶ πλαγίως συντάσσεται ὀνομάτων ἑτέρων αἰτιατικῇ.

Ὅτε οὐ πρὸς τὸ ὅλον, πρὸς δέ τι μέρος τοῦ, οὗ κατηγορεῖται, ἀναφέρεται. ὥσπερ γὰρ μὴ κατὰ παντὸς ὑποκειμένου λεγόμενον, διοριστικόν ἐστι τοῦ ἰδίου ὑποκειμένου, οὕτω καὶ μὴ καθ' ὅλου τοῦ ἰδίου ὑποκειμένου λέγεσθαι πεφυκὸς, χρῄζει καὶ αὐτὸ προσδιορισμοῦ. ἔνθεν τοι καὶ τοῦ θεανθρώπου Λόγου μὴ καθ' ὅλου μηδ' ἁπλῶς ἀλλ' ἐν μέρει κατηγορούμενον τό, τε παθητὸν καὶ τὸ ἀπαθὲς, ἑκάτερον μετὰ προσδιορισμοῦ λέγεται. τὸ μὲν γὰρ, τῇ Σαρκὶ, τὸ δὲ, τῇ Θεότητι. Χριστὸς μὲν οὖν στρεῦσθαι καὶ ὅλως πάσχειν σαρκὶ λέγεται, Θεὸς δὲ Λόγος, οὐδαμῶς, ὅτι μὴ, προσκειμένου τοῦ, ἐνήσας. μὴ γὰρ ἐγκειμένης τῷ Θεῷ τῆς πάσχειν πεφυκύας σαρκὸς, οὐχ ὅπως σαρκὶ, ἀλλ' οὐδὲ πάσχειν ὅλως ἂν λέγοιτο Θεός. κἀντεῦθεν βλασφημεῖ, ὁ εἰπὼν, Ἅγιος ἀθάνατος, ὁ στρῶθεὶς, δι' ἡμᾶς. μὴ γὰρ ἔχων εἰπεῖν, ὁ Σαρκὶ στρῶθεὶς, μὴ ὡς ἐπὶ τοῦ Χῦ συνεπινοουμένης κἀν τῷ Ἀθανάτῳ τῆς Σαρκὸς, προφανῶς τῇ Θεότητι προσάπτει τὸ πάθος.

Ἡ γὰρ τῆς δοτικῆς χρῆσις, οὐ πάνυτι ἀκριβής. ὑγιὴς οὖν τὸ σῶμα, καὶ λευκὸς τὴν τρίχα, καὶ πυῤῥὸς τοὺς ὀφθαλμούς.

Ἡ γὰρ τὸ κατά τι σημαίνουσα πτῶσις, προθετόπτωτός ἐστι, πρόθεσις δὲ τὸ κατά τι συσσημαίνουσα, οὐκ ἄλλη τίς ἐστιν, ὅτι μὴ ἡ κατὰ, αἰτιατικῇ συντασσομένη. κἀπὶ Ῥημάτων δὲ ἡ τὸ μέρος ὑπαγορεύουσα πτῶσις, αἰτιατικῆς, οὐδοτικῆς τυγχάνει. οἷον, πλήττομαι

τομαι τὸν πόδα. ἀλγῶ τὴν κεφαλήν. καὶ τὸ κρεμῶμαι δὲ τοῦ ποδὸς, οὐδὲν ἧττον ἔχει συνεννοουμένην τὴν αἰτιατικήν. κρεμῶμαι γὰρ τοῦ ποδὸς, οὐ μὴν ὅλος. οὐδὲ γὰρ καὶ τὴν ψυχὴν, τὸ σῶμα δὲ μόνον. τῶν δὲ ὀνομάτων ἑτέρων αἰτιατικῇ, καὶ ἁπλῶς τῶν συνεκδοχικῶς συντασσομένων Ἐπιθέτων ὑπεξαιρετέον τὰ ἀπὸ Κυρίων καὶ Προσηγορικῶν παρηγμένα, οἷα τά τε μετουσιαστικὰ καὶ τὰ κτητικά. τούτων γὰρ οὐθὲν συνεκδοχικῶς συντάσσεται, ὡς ἁπλῶς καὶ καθ' ὅλου τοῦ ὑποκειμένου κατηγορούμενον. ξύλινος πίναξ. πλατωνικὴ δόξα. ἀνεῖος πούς. διαφέρει δὲ καὶ ἄλλως ἥ τε τῆς δοτικῆς χρῆσις καὶ ἡ τῆς συνεκδοχικῆς αἰτιατικῆς. εἴγε τὸ σῶμα φέρε φύσει μὲν λέγεται ὑγιεινόν τε ὁμοίως καὶ νοσῷδες, κατὰ φύσιν δὲ, οὐκέτι ἑκάτερα, ἀλλὰ μόνον ὑγιεινὸν, νοσῷδες δὲ, παρὰ φύσιν. φύσει μὲν γὰρ λέγεται πᾶν τὸ παρακολουθοῦν καὶ συμβαῖνον τῇ φυσικῇ οὐσίᾳ, ᾗ τοιαύτη. οἷον, τῷ ὡς εἴρηται σώματι τό, τε ὑγιαίνειν καὶ τὸ νοσεῖν. τὸ δὲ ἀποβαῖνον κατὰ μὲν τὸ τῆς φύσεως βούλημα, οἷον τὸ ὑγιαίνειν, κατὰ φύσιν, παρὰ φύσιν δὲ, τὸ νοσεῖν. οὐδὲ γὰρ βούλεται ἡ φύσις τὴν τελειωτικὴν αὐτῆς ἐνέργειαν τῇ ἀποτυχίᾳ παραβλάπτεσθαι. ὅτι οὐδὲ εἰς τοιοῦτό τι τέλος ὁρᾷ. καὶ τῷ πυρὶ δὲ ἡ φορὰ ἁπλῶς φύσει. ἀλλ' ἡ μὲν ἐπὶ τὰ ἄνω, καὶ κατὰ φύσιν, ἡ δὲ διὰ ἀνθολκῆς βαρείας ἐπὶ τὰ κάτω, παρὰ φύσιν. ὡς εἶναι τὸ φύσει, ἐπιπλέον τοῦ κατὰ φύσιν. εἴτι μὲν γὰρ κατὰ φύσιν, καὶ φύσει τὸ αὐτὸ, οὐ μὴν δὲ καὶ εἴτι φύσει, καὶ κατὰ φύσιν. ἔστι γάρτι καὶ παρὰ φύσιν. ὅθεν σημειῷδες Χρυσοστόμου (ὁμλ': νδ', τοῦ κατὰ ματθ':) τὸ, ποτὲ μὲν, λύπη, ποτὲ δὲ, ἡδονή. ποτὲ μὲν, νόσος, ποτὲ δὲ, ὑγίεια. κατὰ φύσιν γὰρ πᾶντα γίνεται καὶ ἀκολουθίαν.

Καὶ τὰ μὲν, Ἐνάρθρως, τὰ δὲ, Ἀνάρθρως.

Τὸ, προφέρεται, ἀπὸ κοινοῦ, ἀπὸ τοῦ δευτέρου ἐπὶ τὸ πρῶτον.

Ἐνάρθρως.

Ἐνάρθρως μὲν, ἔνθα ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ

Καθ' ἥντινα οὖν πτῶσιν, ὅτι μὴ, ἐπὶ τῆς κλητικῆς. ἐπὶ ταύτης γὰρ ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ χώραν οὐκ ἔχει, εὐθεῖαν οὐκλητικὴν ἀπαιτοῦσα ἐκ γ'.

Ἀποῦσα,

Καθ' ὅ, τι παρούσης, ἀνένδεκτον συνάρθρως προενεχθῆναι τὸ Ἐπίθετον, ἐκ γ', πτωτικὸν ἤδη τοῦ τῇ μετοχῇ συστοιχοῦντος ὑπαρκτικοῦ γεγενημένον. Σωκράτης ὢν ἀγαθός. τὰ δὲ ἐκ γ', τοῦ ὑπαρκτικοῦ πτωτικὰ, ἀσυνάρθρως προφέρεται, Ῥήματος, ὡς εἰρήσεται, ἐπέχοντα λόγον. τὸ δὲ Ῥῆμα ἀνεπίδεκτον Ἄρθρου.

Ὅμως ἐπινοεῖται.

Εἰς συνάφειαν τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον.

Οἷον, ὁ ἀγαθὸς Σωκράτης φιλοσοφεῖ. τὸ γὰρ ἐντελὲς ἦν, ὁ Σωκράτης ὁ ὢν ἀγαθός. ὥστε εἰ καὶ τὸ Κύριόν γε προτάττοιτο, οὐδ' οὕτως ἄνευ Ἄρθρου τὸ Ἐπίθετον λέγοιτ' ἄν. ὁ Σωκράτης γάρτοι ὁ ἀγαθός φαμεν, ἑκατέρῳ τῶν ὀνομάτων Ἄρθρον συνάπτοντες. οὕτω γὰρ συμβαίνειν ἀνάγκη,

Οὐχ ὥστε ἑκατέρῳ τῶν ὀνομάτων ἄρθρον συνάπτειν. ἀλλ' ὥστε μὴ ἄνευ ἄρθρου τὸ ἐπίθετον λέγεσθαι.

Προη-

Προηγουμένου τοῦ Κυρίου, ἢ Προσηγορικοῦ.

Ἀνάρθρως

Ἀνάρθρως δέτοι προφέρεται, ἔνθα τὸ ὑπαρκτικὸν αὐτὸ Ῥῆμα μόνον ἢ λεγόμενον, ἢ νοούμενον. Σωκράτης ἀνὴρ ἀγαθός. Ἀριστοτέλης σοφός.

Οὐ μόνον τὸ ὑπαρκτικὸν, ἀλλὰ καὶ ἡ τούτου, ὡς εἴρηται, μετοχὴ προσκειμένη, ἐμποδίζει τῇ συνάρθρῳ τοῦ Ἐπιθέτου ἐκφορᾷ. πῶς οὖν εἶπεν, αὐτὸ μόνον; ἢ ὅτι νοούμενον μὲν, αὐτὸ μόνον. τῆς γὰρ τούτου μετοχῆς νοουμένης, ὡς εἴρηται, ἐνάρθως προφέρεται τὸ Ἐπίθετον. λεγόμενον δὲ, οὐκ αὐτὸ μόνον. κατὰ μὲν γὰρ αὐτοῦ ἑκάτερον ἐπηνέχθη, κατὰ δὲ τῆς αὐτοῦ μετοχῆς θάτερον, τὸ νοουμένη δηλαδή. οἷόν τε δὲ ἐπὶ δυοῖν Ἐπιθέτων, καὶ τοῦ ὑπαρκτικοῦ λεγομένου, θάτερον τούτων Ἐνάρθρως προενεχθῆναι. Σωκράτης ὁ φιλόσοφός ἐστιν ἀγαθός. οὐδέν γε μὴν ἧττον κἀπὶ τούτου τὴν τοῦ ὑπαρκτικοῦ μετοχὴν ἔχει συνεννοουμένην τὸ σύναρθρον τῶν Ἐπιθέτων. καὶ συνελόντι, πλὴν τῆς Κλητικῆς πᾶσα πτῶσις ἐπιθετικοῦ ὀνόματος, τῶν οὐσιῳδῶν ἀσυνάρθρων πτωτικῶν ἤτοι τοῖς ἐκ ά, συμφερομένη πρὸς πᾶν ὁ, τιοῦν Ῥῆμα, ἢ τοῖς ἐκ γ', ὁπωσοῦν συνδιατιθεμένη (λέγω δὲ συνδιατιθεμένη, διὰ τὰ ἐκ γ', τοῦ ὑπαρκτικοῦ πτωτικὰ μὴ συνδιατιθέμενα. ὁ Σωκράτης ἐστὶν ἀγαθός.) πάντως συνέχει τὸ ἄρθρον. καθ' ἑκάτερα γὰρ συνεννοεῖται ἡ τοῦ ὑπαρκτικοῦ μετοχή. Συνέσιος ὁ φιλόσοφός ἐστιν ἀνὸς φαλακρός. Διονύσ: ὁ τύραννος τρύφωνι τῷ γραμματικῷ χαίρειν. ἀσύνετον γὰρ τὸ δίχα τοῦ Ἄρθρου λεγόμενον. ἡ δ' ἀπολογία, τοιαύτη. ἐν τοῖς Κυρίοις ὀνόμασι παρεμπίπτει ὁμωνυμία. ἧς τὸ ἀμφίβολον οὐκ ἀπολύεται δίχα τῆς ἐπιτρεχούσης τὰ ὀνόματα ἐπιθετικῆς προθέσεως. ἀποκλείεται γὰρ ὑπ' αὐτῆς τὰ Κύρια τῆς εἰς πλείονα πρόσωπα συντεινούσης ἐννοίας. κἀπεὶ πάλιν καὶ τὰ Ἐπίθετα τῶν ὀνομάτων διὰ πλείονος ὕλης καὶ σημασίας χωρεῖ, ἵνα καὶ τὸ τούτων ἀμφίβολον ἀποστῇ, ἀναγκαίως προστίθεται τὸ Ἄρθρον τοῖς Ἐπιθέτοις, σημαῖνον ἐσθ' ὅτε καὶ μοναδικὴν Ἀναφορὰν, ἢ καὶ ἰδιότητα τοῦ ὀνόματος παριστῶν. ὅθεν καὶ προστιθέμενον, συνιδιάζει καὶ οἷον συνοικειοῖ τὸ Ἐπίθετον τῷ Κυρίῳ ὀνόματι. Τί δ' ὅ, τι προηγουμένων μὲν οὐσιαστικῶν, ἑκατέροις οἷόν τε τῶν Ὀνομάτων Ἄρθρον συνάπτειν, οὐκ ἔτι δὲ καὶ τῶν Ἐπιθέτων προηγουμένων; οὐ γὰρ, ὥσπερ φαμεν, ὁ Σωκράτης ὁ ἀγαθὸς φιλοσοφεῖ, οὕτως οἷόν τε φάναι καὶ ὁ ἀγαθὸς ὁ Σωκράτης φιλοσοφεῖ. τῶν γὰρ Ἐπιθέτων τὰ σύναρθρα κατάρχοντα λόγου, τῇ τοῦ ἑτέρου Ἄρθρου ἐμποδίζει παρεισδύσει. Ἢ ὅτι τὰ Ἐπίθετα φέρεται κατὰ τῶν Οὐσιαστικῶν, οὐ μὴν ἐναλλὰξ, καὶ τὰ Οὐσιαστικὰ κατὰ τῶν Ἐπιθέτων. εἴγε τὸ μὲν Οὐσιαστικὸν οὐκ ἐπιζητεῖ τὸ Ἐπίθετον, τὸ δ' Ἐπίθετον χρῄζει πάντως τοῦ Οὐσιαστικοῦ, καὶ ἡ ἐκ τοῦ Ἄρθρου ἄρα συνοῦσα ἀναφορὰ τῷ Ἐπιθέτῳ, συμφέρεται κατὰ τοῦ Οὐσιαστικοῦ. καὶ ὡς οὐκ ἔστι μετὰ τὸ Ἐπίθετον τὸ αὐτὸ προσθεῖναι Ἐπίθετον, οὕτως οὐδὲ μετὰ τὸ Ἄρθρον δεύτερον Ἄρθρον προσθεῖναι. προσενήνεκται γὰρ ἡ ἀναφορὰ τῷ ὑποκειμένῳ διὰ τοῦ συνόντος συνάρθρου Ἐπιθέτου. ὅθεν δῆλον, ὡς ἔνθα τῶν Ὀνομάτων τῷ τε ὑποτιθεμένῳ καὶ τῷ ἐπιτιθεμένῳ Ἄρθρον συνάπτεται, δυοῖν θάτερον, ἤτοι τὸ τοῦ ὑποκειμένου Ἄρθρον, ἢ τὸ σύναρθρον Ἐπίθετον παρέλκει. ὁ Σωκράτης ὁ ἀγαθὸς φιλοσοφεῖ. ὁ ἵππος ὁλευκὸς τρέχει. τὸ γὰρ ὑποκείμενον ἤτοι διὰ τοῦ συνόντος Ἄρθρου, ἢ διὰ τοῦ συνάρθρου Ἐπιθέτου ἀναποληθήσεται.

τὸ δὲ

τὸ δὲ δι' ἀμφοῖν, περιττόν. καταλληλότερα γὰρ καὶ κατ' Ἀπολλώνιον τῶν κατὰ τοῦ αὐτοῦ δυοῖν πτωτικῶν τὰ Ἐπίθετα ἢ τὰ οὐσιώδη συνάρθρως κατάρχοντα. ὁ ἀγαθὸς Σωκράτης φιλοσοφεῖ. ὁ λευκὸς Ἵππος τρέχει. Τῶν δὲ τοῖς ὑπαρκτικοῖς τε καὶ κλητικοῖς τῶν Ῥημάτων συμφερομένων Πτωτικῶν τὰ ἐκ γ', ἀσυνάρθρως προφέρεται. αἴτιον δὲ, ὅτι τὰ μὲν παρὰ ταῦτα τῶν Ῥημάτων, τὴν ἰδίαν οὐσιώδη ποιότητα κατηγορεῖ τοῦ ὑποκειμένου, οὐ τὸ τῷ ὑποκειμένῳ συνυποτιθέμενον ἐκ α', ἐπίθετον. σωκράτης ὁ ἀγαθὸς ὑβρίζεται. τὴν ὕβριν φημὶ, οὐ τὴν συνυβριζομένην τῷ σωκράτῃ ἀγαθότητα. τὰ δὲ ὑπαρκτικά τε καὶ κλητικὰ ἀμοιροῦντα κατηγορικῆς οὐσιώδους ποιότητος, εἴτ' οὖν σημασίας, (ἡ μὲν γὰρ ὕπαρξις, τῶν ὑποκειμένων, τὸ δὲ τοῦ χρόνου προσσημαντικὸν, καί τοι κατηγορικὸν, ὅμως ἐπουσιῶδες) τὸ ἐκ γ', Ἐπίθετον τοῦ ὑποκειμένου κατηγορεῖ. τῶν δὲ Πτωτικῶν τὰ κατηγορούμενα, οὐκ ἐπιδέχεται Ἄρθρον. ἔνθεντοι καὶ δυοῖν Ἐπιθέτων καθ' ἑαυτὰ συμφερομένων Ῥήμασι, κλητικοῖς μὲν καὶ ὑπαρκτικοῖς, θάτερον τούτων συνάρθρως προφέρεται, τὸ ὑποκειμένου χὸν χώραν. ὁ σεμνὸς σοφός ἐστιν, ἢ καλεῖται. τοῖς δὲ παρὰ ταῦτα, ἑκάτερα. ὁ σεμνὸς, ὁ καλὸς ὑβρίζεται. ὑποστελλομένου γὰρ ἐπὶ τῶν τοιούτων θατέρου τῶν Ἄρθρων, ἀκατάλληλα τὰ τοῦ Λόγου γενήσεται, ὡς μὴ ἐγχωροῦντος ἀναπολεῖν δύω ὁμοειδῆ πτωτικὰ ἑνὸς Ἄρθρου. Τῶν δὲ παρὰ τὰ Ἐπίθετα Πτωτικῶν τὰ ἐκ α', τε καὶ ἐκ γ', ὁποτέρας ἂν ᾖ οὐσίας, κατὰ τὸ δέον τοῦ λόγου ὁτὲ μὲν, προσλήψεται Ἄρθρον, ὁτὲ δ' οὔ. κατὰ μὲν γὰρ πρώτην προφορὰν, οὔ, κατὰ δὲ β', προσλήψεται, ὑποστελλομένων κἀντούτοις τῶν τε κλητικοῖς τε καὶ ὑπαρκτικοῖς τῶν Ῥημάτων ἐκ γ', συντασσομένων Πτωτικῶν. ἅττ' ἀείποτε πρώτην ἔχει τὴν προφορὰν. καὶ τῶν ὅσα κατὰ ἀρχαϊσμὸν

ἐν πολλοῖς ὑπεροπτικὰ τῆς ἀκολουθίας τυγχάνοντα, κατὰ τὸν Ἁλικαρνσ: διονύσ: τά τε ἄλλα καὶ Ἀνάρθρως προφέρεται ὡς ἐπιτοπολύ. ὁ δ' Ἀπολλώνιος ἡμαρτημένως ἐν τούτοις διαιρῶν, τῶν εἰρημένων, φησὶ, Πτωτικῶν τὰ κατὰ μίαν ἁπλῆν καὶ πρώτην προφορὰν προφερόμενα, προσλαμβάνει Ἄρθρον, εἰ δευτέρας εἴη γνώσεως. τὰ γὰρ ἐν β', γνώσει παραλαμβανόμενα τῶν Ὀνομάτων, οὐτότε πρῶτον προφέρονται. οὔτε μὴν τὰ πρώτως προφερόμενα, β', ἐστίποτε γνώσεως. εἰμή τί γε φθάνοι ὁπωσοῦν ἄλλως προληφθέντα, ταὐτὸν εἰπεῖν προλαληθέντα. Αἱ δὲ κτηματολογίαι, ἑκάτερα τῶν Πτωτικῶν, τό, τε τοῦ κτήτορος καὶ τὸ τοῦ κτήματος ἔχειν ὀφείλουσι, δυοῖν θάτερον, ἤτοι σύναρθρα, ἢ ἀσύναρθρα. ὁ τοῦ ἀνοῦ οἰκέτης ἔδραμεν. οὐ γάρ φησιν, ἔνδεκτον, Ἀπολλώνιος, ἀναφέρεσθαι κτῆμα, μὴ οὐχὶ καὶ τοῦ κτήτορος συναναφερομένου, καὶ ἐναλλάξ. ἔνθεντοι καὶ τὸ, ὁ ἄνεῖος ποὺς ἐπλήγη, καὶ τὰ τοιαῦτα, σύναρθρον ἔχει τὴν ἐγκειμένην τοῦ κτήτορος γενικήν. τά γε μὴν Κύρια τῶν Ὀνομάτων ἐπίτε τῆς τοιαύτης συντάξεως καὶ ἀλλαχοῦ ἀσυνάρθρως λέγεταί φησιν Ἀπολλώνιος, διὰ τῆς ἰδίας θέσεως ἀναπολούμενα. ὁ Ἀριστάρχου γνώριμος. Πτολεμαῖος δειπνήσας, ἐκοιμήθη. ἐπιλελησμένος, ὡς ἔοικεν, ἔνθα ἐτίθη τὴν τῆς ὁμωνυμίας πρὸς τὰ Κύρια τῶν Ὀνομάτων παρέμπτωσιν. ἧς μεταξὺ καὶ τῆς ἀναπολήσεως πολλὰ Οὔρεά τε σκιόεντα Θάλασσά τε ἠχήεσσα. ὅτι γὰρ οὐδετέρας εἰσὶ γνώσεως καθ' ἑαυτὰ τῶν ὀνομάτων τὰ ὑποκείμενα, δειχθήσεται ἐν τοῖς ἑξῆς, συνεπιλαμβανομένου ἡμῖν ἐπὶ τούτῳ καὶ τοῦ Ἀπολλ: αὐτοῦ. ἤδη δὲ καὶ τῶν ὑπαρκτικῶν Ῥημάτων τὰ ἐκ α', Πτωτικὰ συνάρθρως φησὶ, προφέρεται, ὁποίας ἂν ᾖ ποιότητος. οὐ καθόλου δὲ τὸ τοιοῦτο. πᾶν γὰρ ὁριστὸν ἐκ α', μέν ἐστι τοῦ ὑπαρκτικοῦ, οὐδαμοῦ γε μὴν Ἄρθρον ἐπιδέχεται.

οὕτως ἐστὶν οὗ χωλαίνει τὰ τοῦ Ἀπολλωνίου. οὐ μὴν δὲ ἀλλὰ καὶ τὰ τοῦ αὐτὸν οἱονεὶ μεταφράσαντος. φησὶ γὰρ, ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ τὴν τῶν Ἄρθρων χρείαν ἀναπληροῖ, ἀντεπενεχθεῖσα, διὰ τὴν ἐνοῦσαν ποιότητα. ταυτὸν γάρ ἐστι φησί, φάναι, Διονύσιος ὁ γραμματικὸς ἀναγινώσκει. καὶ, Διονύσιος ὢν γραμματικὸς, ἀναγινώσκει. καὶ μὴν τὸ μὲν ὑπαρκτικὸν τὴν α', τὸ δὲ Ἄρθρον τὴν β', ὑπαγορεύει ποιότητα, ὅ ἐστι γνῶσιν. οὐκ ἄρα ταὐτὸν τὸ κατ' αὐτὸν ταυτόν. Ἐπὶ τούτοις ζητητέον ἐν γένει, τί ὅτι τῶν πτωτικῶν τὰ μὲν ὑποκείμενα ἐπιδέχεται Ἄρθρον, τὰ δὲ κατηγορούμενα οὔ; πρὸς ὃ τῶν διαλεκτικῶν τις τὸ μὲν ὑποκείμενόν φησι, διδόμενόν ἐστι καὶ ὁμολογούμενον, ὅτι ἐστὶ, τὸ δὲ κατηγορούμενον, ζητούμενον καὶ ἀμφιβαλλόμενον, εἰ ὑπάρχει τῷ ὑποκειμένῳ. ἐνθέντοι καὶ τὸ μὲν, τὸ δ', οὐ προσδέχεται Ἄρθρον. Ἀλλὰ γὰρ οὐ πᾶν ἁπλῶς κατηγορούμενον ἐπιζητεῖται, εἰ ὑπάρχει τῷ ὑποκειμένῳ. εἴγ' ἕκαστος τῶν ὁρισμῶν, εἰ μὴ ψεύδοιτο τ' οὔνομα, καίτοι κατηγορούμενον ὢν, οὐδ' ἐπιζητεῖται ὅλως, ἀλλ' ὅτι τέ ἐστι δέδοται, καὶ ὅτι ὑπάρχει τῷ ὑποκειμένῳ ὁριστῷ. ἐνθέντοι οὐ δὲ πᾶν τὸ διδόμενον, δεκτικόν ἐστιν Ἄρθρου, ὡς οὐδ' ὁ Ὁρισμός. ἄλλως τε ἐπεὶ τὸ Ἄρθρον τοῖς ἐν γνώσει παραλαμβανομένοις προστίθεται, ὁ δὲ ὁρισμὸς κατηγορούμενον ὢν, τοῦ ὁριστοῦ ἐστι γνωριμώτερος κατὰ τὸ ἐστίν. εἴγε δηλωτικός ἐστιν εἴτ' οὖν δεικτικὸς τῆς αὐτοῦ φύσεως, δεῖξις δὲ πᾶσα ἀσαφῶν ἐστι πάντως ἐκ τῶν σαφῶν, τὸ δὲ ὁριστὸν ὑποκείμενον ὂν, ἧττον, ἵνα μὴ λέγω οὐδ' ὅλως ἐστὶ γνώριμον κατὰ τὸ τί ἐστι, τὸ ἄρα Ἄρθρον κατ' αὐτὸν τῷ κατηγορουμένῳ προσχωρεῖν ἔδει. εἴγε τὸ ὁμολογούμενον ἐδείχθη κατηγορούμενον. νῦν δὲ, τὸ μὲν κατηγορούμενον, καίτοι ἐν γνώσει παραλαμβανόμενον, οὔ, τὸ δ' ἀγνοούμενον ὑποκείμενον, προσλαμβάνει Ἄρθρον ἔσθ' ὅτε. οἱ δὲ λέγοντες ὅτι τὸ μὲν κατηγορούμενον, καὶ ἁπλῶς εἰπεῖν ὁ ὁρισμὸς, τῇ φύσει, τὸ δὲ ὑποκείμενον εἴτ' οὖν τὸ ὁριστὸν, ἡμῖν ἐστι γνώριμον, καὶ δέον τὸ Ἄρθρον τῷ ἡμῖν, οὐ τῷ τῇ φύσει γνωρίμῳ προσχωρεῖν, λανθάνουσιν ἐκ τῶν ἡμῖν ἀγνώστων τὰ ἡμῖν γνώριμα γνωρίζοντες ἡμῖν, καὶ ὅλως ἐκ τῶν ἀσαφῶν τὰ σαφῆ. εἰ γὰρ ἡμῖν σαφὲς αὐτόθεν τὸ ὁριστὸν κατ' αὐτοὺς, τίς ἡ χρεία τοῦ ἡμῖν ἀσαφοῦς ὁρισμοῦ; Ῥητέον οὖν, ὡς παντὸς κατηγορουμένου προϋφέστηκεν εἰς τὴν τούτου πρὸς τὸ ὑποκείμενον συνάφειαν τὸ ὑπαρτικὸν, ἤτοι ἐν ἐργείᾳ, ὡς ἐπὶ τῶν Πτωτικῶν, ὁ ἄνος ἐστὶ ζῷον. ἢ δυνάμει, ὡς ἐπὶ τῶν ἀπτώτων, τὸ Ζῷον ἀναπνεῖ. (εἴγε πᾶν Ῥῆμα εἰς τὸ ὑπαρκτικὸν, ὡς ῥηθήσεται, ἀναλύεται καὶ τὴν συστοιχοῦσαν αὐτῷ μετοχήν.) τοῦτο δὲ κατὰ Ἀπολλώνιον α', ὑπαγορεύει γνῶσιν τοῦ κατηγορουμένου. τὸ ἄρα Ἄρθρον β', ὂν, οὐ πρώτης γνώσεως, οὐ τῷ κατηγορουμένῳ, τῶν δὲ ὑποκειμένων τοῖς ἀναπολουμένοις προσχωρεῖ. οὐδὲ γὰρ ἁπλῶς τοῖς ἐν γνώσει παραλαμβανομένοις προστίθεται. ἤδη δέποτε καὶ τὸ κατηγορούμενον αὐτὸ ἀναπολήθεν, προσλαμβάνει Ἄρθρον, ὅτε φαμὲν, οὗτός ἐστιν ὁ Ῥήτωρ, ἢ ὁ Γραμματικός. ὅτε καὶ πρὸς ἀναφορὰν ἐπισημότητος τὸ Ἄρθρον λαμβάνεται, τὸν ὑπερέχοντα τῶν ὁμοστοίχων ἐμφαῖνον. τοῦ δὴ κατηγορουμένου μὴ προσλαμβάνοντος Ἄρθρον, καὶ τῶν Ἐπιθέτων ἄρα τὰ σύναρθρα οὐ δόλως αὐτὰ τὸ ἄρθρον ἐπιδέχεται, ἐκ γ', πτωτικὰ τοῦ τῇ ἐννοουμένῃ μετοχῇ συστοιχοῦντος ὑπαρκτικοῦ τυγχάνοντα, καὶ κατηγορουμένου χώραν πληροῦντα. καὶ γὰρ καὶ ἡ τοῦ ὑπαρκτικοῦ Μετοχὴ, λεγομένη τε καὶ νοουμένη, κατὰ τὸ σύστοιχον αὐτῆς Ῥῆμα ἀσύναρθρον ἕξει τὸ ἐκ γ', πτωτικὸν, αὐτῇ μᾶλλον προσχωροῦντος τοῦ Ἄρθρου, ἢ τῷ καθ' ὑποκειμένου λεγομένῳ Ἐπιθέτῳ. τοῦ γάρ τοι, Σωκράτης ὁ ἀγαθὸς, τὸ ἐντελές ἐστι

φησὶν,

φησίν, ὁ ὢν ἀγαθός. ἀλλ' ἀπορήσεις, τοῦ Ἄρθρου τῷ ὑποκειμένῳ, ὡς εἴρηται, οὐ τῷ κατηγορουμένῳ προσχωροῦντος, ἐν τῷ, Σωκράτης ὁ ὢν ἀγαθὸς, τοὐναντίον ἔσχεν ἡ τοῦ Ἄρθρου σύνταξις, τῇ Μετοχῇ προσχωρήσαντος. ἥ τις καὶ αὐτὴ Ἐπίθετόν ἐστι, καθ' ὑποκειμένου τοῦ Σωκράτους λεγομένη. Ἢ ὅτι ἡ ὢν, τοῦ ὑπαρκτικοῦ οὖσα, οὐκοῦν κατηγορούμενον, σύνδεσμος δὲ μᾶλλόν ἐστι κατηγορουμένου πρὸς ὑποκείμενον, τῇ μὲν ὑπαρκτικῇ σημασίᾳ τὸ ὑποκείμενον, τῇ δὲ χρονικῇ τὸ κατηγορούμενον ἀλλήλοις συνάπτουσα, τὸ τοίνυν Ἄρθρον οὐ τῷ χρονικῷ, τῷ δὲ ὑπαρκτικῷ αὐτῆς προσεγένετο. ἡ δὲ ὕπαρξις, τῶν Ὀνομάτων. τί δαὶ ἐπὶ τοῦ Σωκράτης ὁ δικαιοπραγῶν, φιλοσοφεῖ, τῆς Μετοχῆς μὴ οὔσης τοῦ ὑπαρκτικοῦ; Ἢ ὅτι τῆς μετοχῆς ἁπλῶς τοῦ Ὀνόματος καὶ τοῦ Ῥήματος μετεχούσης, τὸ ταύτῃ συνηρτημένον Ἄρθρον, οὐ τῷ ῥηματικῷ, ὅπερ ἐστὶ κατηγορούμενον, τῷ δὲ ὀνοματικῷ μέρει τῆς Μετοχῆς προσανατείνεται. καὶ οὕτως ἄρα τῷ ὑποκειμένῳ συνήρτηται, οὐ τῷ κατηγορουμένῳ. Καὶ τί ὅτι μὴ πρὸ τοῦ ὑποκειμένου, μετὰ δὲ τοῦτο τέθειται; Ἢ ὅτι πρὸ μὲν τοῦ ὑποκειμένου τεθὲν, αὐτοῦ μόνου ἐποίει τὴν ἀναπόλησιν, οὐ μὴν καὶ τῆς ἐπιτρεχούσης αὐτὸ ποιότητος, μετὰ δὲ τὸ ὑποκείμενον, συναναφέρει τούτῳ καὶ τὴν αὐτοῦ ἀγαθότητα. Ἔτι ἀπορ: οὐσίας τὰ ὑποκείμενα, καὶ τῶν εἰδικῶν ἄρ' Ἐπιθέτων τὰ σύναρθρα, ἢ ὑποκείμενα, οὐσίας δὴ καὶ αὐτὰ, ὡς ἐν τῷ, ὁ σοφὸς ἐπαινεῖται. Ἢ ὅτι οὐ πᾶν ὑποκείμενον, οὐσιαστικὸν ἐνεργείᾳ, ὅτι μὴ δυνάμει. τῶν γὰρ Ἐπιθέτων τοῖς καθ' ἑαυτὰ λεγομένοις συνεισάγεται τὰ Οὐσιαστικὰ, ὡς εἴρηται.

Ταῦτά γε μὴν

Τὰ ἀνάρθρως προφερόμενα,

Καὶ εἰς Ἔναρθρον γενικὴν πληθυντικοῦ μεταβάλλειν οὐθὲν ἂν κωλύοι. Σωκράτης τῶν ἀγαθῶν ἦν. Ἀριστοτέλης τῶν σοφῶν.

Εἰς γενικὴν μὲν, κτητικῶς, εἰς ἔναρθρον δὲ καὶ πληθυντικοῦ, καθ' ὅ, τι τὰ ἐπιμεριζόμενα ἐκ προϋφεστῶτός ἐστι πλήθους, ἐν γνώσει παραλαμβανομένου. οὐ δὲ γὰρ, ὡς οἴονταί τινες, διὰ τὴν τῆς μετοχῆς ἀπουσίαν Ἐνάρθρως ἡ γενικὴ ᾧδε προφέρεται. εἴγε τὰ μὲν διὰ τὴν τῆς μετοχῆς ἀπουσίαν Ἐνάρθρως προφερόμενα, συνεννουμένην ἔχει τὴν μετοχὴν, ᾧδε δὲ, οὐ συνεννοεῖται. δοκεῖ δὲ κατά τινας ἐν τῷ, Σωκράτης τῶν ἀγαθῶν, συνυπακούεσθαι τό, τε εἷς, καὶ τὸ, ὁ δὲ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων. καὶ ἡ ἀπὸ, ἵνα λέγῃ Σωκράτης ἐστὶν εἷς ἀπὸ τῶν ἀγαθῶν. ἀλλὰ γὰρ τὸ μὲν Σωκράτης, ἐστὶ μέρος, τὸ δὲ τῶν ἀγαθῶν, ὅλον. εἰ δὲ μέρος, δῆλον ὅτι καὶ κτῆμα. εἴγε τὸ μέρος ὅλου ἐστὶ μέρος. τὸ δὲ κτῆμα τῶν καθ' ὑποταγὴν ἐστι Πρός τι. εἴγε τὸ κτῆμα κτήτορός ἐστι κτῆμα. τὰ δὲ καθ' ὑποταγὴν Πρός τι, πρὸς γενικὴν φέρεται δίχα προθέσεως. δοῦλος γὰρ δεσπότου. καὶ τὸ Σωκράτης ἄρα τῶν ἀγαθῶν, δίχα προθέσεως ἀποδεδομένον ἂν εἴη. τῷ δ' αὖ ὑπαρκτικῷ ἐκ α', μὲν προσκειμένου, τοῦ σωκράτης, ἐκ γ', δὲ συνυπακουομένου τοῦ μέρος, ἢ κτῆμα, ὡς εἴρηται, οἷον, ὁ σωκράτης ἐστὶ μέρος, ἢ κτῆμα τῶν σοφῶν, τὸ συμπαρυφιστάμενον τῷ ὑποκειμένῳ εἷς, (ὁ γὰρ σωκράτης μέρος τῶν σοφῶν ὢν, ὁμολόγως εἷς τούτων ἐστί.) παραληφθὲν πάλιν, οὐδαμοῦ ἕξει χώραν, οὔτε ἐκ α', οὔτε ἐκ γ'.

Τὰ μὲν οὖν Κύριά τε καὶ Προσηγορικὰ ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως σφίσι τὰ Ἐπίθετα σχηματίζει.

Ἐπα-

Ἐπαναλαμβάνει τὴν τῶν ὑποτιθεμένων πρὸς τὰ Ἐπίθετα σύνταξιν διὰ τὰ ἐφεξῆς εἴδη.

Συμπαρειλήφθω δὲ τούτοις

Τίσι δὴ τούτοις; τισὶ μὲν ἔδοξε τοῖς ὁμοιογενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως σφίσι τὰ Ἐπίθετα σχηματίζουσι, φημὶ δὴ μόνοις τοῖς Κυρίοις καὶ Προσηγορικοῖς, οὐχ ὥστε Κύρια εἶναι καὶ αὐτὰ, ἢ Προσηγορικὰ, καίτοι τούτων ἔστιν ἃ Προσηγορικὰ ὄντα, ἀλλ' ᾗ καὶ αὐτὰ κατὰ τὰ Κύριά τε καὶ Προσηγορικὰ σφίσι τὰ Ἐπίθετα σχηματίζει. Τῷ δὲ Συγγέλῳ, παρ' οὗ καὶ ταύτα παρέξεσαι, καὶ τοῖς ἐπιθέτοις αὐτοῖς. φησὶ γὰρ, Ἐπανιτέον τοίνυν καὶ ἐπὶ τὰ λοιπὰ τῆς σημασίας εἴδη, ὅσα μὴ συμπαρείληπται τοῖς Κυρίοις τε καὶ Προσηγορικοῖς καὶ Ἐπιθέτοις. περὶ ὧν ἤδη φθάσαντες εἴπομεν. συμπαρειλημμένων οὖν τούτοις τῶν Ὁμωνύμων τε καὶ Συνωνύμων κτ': εἴπωμεν περὶ τῶν λοιπῶν ἑκάστων, ὧν τινα σύνταξιν ἰδικὴν ἔχει.

Ἐν οἷς φαίνεται τὴν δεῖξιν τοῦ ἀντωνυμικοῦ ποιούμενος πρὸς τὰ τοῦ Ὀνόματος τρία εἴδη, ἅπερ ἔφθη εἰπὼν, καὶ ἁπλῶς πρὸς τὰ κατὰ Σημασίαν εἴδη, τῶν κατὰ Φωνὴν ἀντιδιαστέλλων τὰ συμπαραλαμβανόμενα, καὶ τοῖς κατὰ Σημασίαν ἐντάττων, ὡς εἶναι τούτων τὰ μὲν, ὑποθετικῶς, τὰ δὲ, ἐπιθετικῶς, καὶ ὡς ἕκαστον πέφυκε, συντασσόμενα. καὶ γὰρ κἂν τοῖς ἑξῆς λέγων, περὶ δὲ τῶν λοιπῶν κατὰ Σημασίαν εἰδῶν, κτ': δῆλός ἐστι τὰ προειλημμένα, τοῖς κατὰ Σημασίαν συμπεριειληφώς.

Καὶ τὰ Ὁμώνυμα.

Τὸ μὲν ἀντωνυμικὸν οὐ πραγμάτων, τῶν δὲ τούτων σημαντικῶν ὀνομάτων ἐστὶ δεικτικὸν, φημὶ δὴ τῶν κατὰ Σημασίαν, τὰ δὲ τούτοις προσεχῶς συμπαραλαμβανόμενα Ὁμώνυμά τε καὶ Συνώνυμα, τἀνάπαλιν, οὐκ ὀνομάτων, πραγμάτων δέ εἰσιν ἐμφαντικά. ἐπιφέρει γὰρ, ὧν τὸ ὄνομα. τῷ δὲ Γραμματικῷ οὐκ αὐτὰ τὰ Ὄντα, τὰ δὲ τῶν Ὄντων σημαντικὰ Ὀνόματα εἰς θεωρίαν πρόκειται. ὥστε ληπτέον τὸ, τὰ Ὁμώνυμα καὶ Συνώνυμα, ἀντὶ τοῦ, τὰ τῶν Ὁμωνύμων καὶ Συνωνύμων πραγμάτων σημαντικὰ Ὀνόματα, ὡς κἀν τοῖς ἑξῆς ἐρεῖ, οὐκ αὐτὰ τὰ Γένη καὶ Εἴδη, τὰ δὲ τοῦ Γένους, ἢ Εἴδους σημαντικά. οὕτω γὰρ κἂν τοῖς Κυρίοις καὶ Προσηγορικοῖς οὐκ αὐτὴν τὴν Οὐσίαν, τὰ δὲ τῆς Οὐσίας σημαντικὰ Ὀνόματα ἔφθη παρειληφώς.

Ὧν ὄνομα μὲν, κοινὸν, ὁ δὲ κατὰ τ' οὔνομα λόγος τῆς οὐσίας, διάφορος.

Λόγον μὲν λέγει τὸν Ὁρισμὸν, ἢ καὶ τὴν Ὑπογραφὴν, τὸ δὲ τῆς Οὐσίας ὄνομα ἐπί τε τῶν Ὁμωνύμων καὶ Συνωνύμων κείμενον, ἁπλῶς καὶ κοινότερον, ἀλλ' οὐ πῇ ληπτέον, ἐπὶ τῆς ἁπλῶς δηλαδὴ ὑπάρξεως. εἴ γε οὐ μόνα τὰ κατ' οὐσίαν, ἀλλὰ καὶ τὰ καθ' ἕκαστον τῶν ἐννέα κατὰ συμβεβηκὸς Γενῶν εἴδη, Συνώνυμά εἰσιν, Ὁμώνυμα δὲ πάλιν καὶ τῶν κατ' οὐσίαν Ἀτόμων τὰ πλεῖστα, ἵνα μὴ λέγω τὰ πάντα. ἁπλῶς δὲ ληπτέον τὴν Οὐσίαν. εἴ γε σημαίνει τήν τε κατὰ πάντων ἁπλῶς τῶν Ὄντων φερομένην ὕπαρξιν, καὶ τὴν ἀντιδιαιρουμένην τοῖς συμβεβηκόσι κατηγορίαν. καὶ γὰρ καὶ τὰ συμβεβηκότα οὐσιῴδηπως ἔχει τὸν τὴν τούτων φύσιν, εἴ τ' οὖν ὕπαρξιν ὑποδηλοῦντα Λόγον. Τὸ δὲ κατὰ τ' οὔνομα, πρόσκειται ἐπ' ἀμφοῖν, καθ' ὅ, τι κατ' ἄλλο τὰ Ὁμώνυμα Συνώνυμα εὑρεθήσεται, καὶ τὰ Συνώνυμα Ὁμώνυμα. οἱ γὰρ δύω Αἴαντες, ᾗ μὲν Αἴαντες, Ὁμώνυμοι, ᾗ δὲ Ἄνοι, ἢ ζῷα, Συνώνυμοι. ὅθεν καὶ κατὰ μὲν τὸ οὐσιῷδες ὄνομα, φημὶ δὴ τὸ Ἄνος, τὸν αὐτὸν ἐπιδέχονται Λόγον, ὁριζόμενος ἑκάτερος ζῷον εἶναι λογικὸν θνητὸν νοῦ

τὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. κατὰ δὲ τὸ ἀτομικὸν, λέγω τὸ Αἴας, οὐχ ὡσαύτως ἑκατέρων ὁ Λόγος ἀποδίδοται. καθ' ὅ, τι οὐδὲ τὰ αὐτὰ ἀμφοῖν ἐπισυμβέβηκε χαρακτηριστικὰ ἰδιώματα. ὁ μὲν γάρ ἐστι τοῦ Τελαμῶνος, ἐκ τῆς Σαλαμῖνος, μονομαχήσας τῷ Ἕκτορι, ὁ δὲ, τοῦ Ὀϊλέως, Λοκρὸς, ποδώκης, καὶ εἴτι ἕτερον ἔχει. ἡ γοῦν τῶν δύοιν οὐσία ἡ κατὰ τ' οὔνομα τὸ ἀνοῖ μὲν, οὐσίαν, τὸ Αἴαντες δὲ, συμβεβηκὸς δηλοῦσα, ὀρθῶς εἴληπται ἐπὶ τῆς ἁπλῶς ὑπάρξεως κατὰ Νικηφόρον τὸν βλεμμύδην. Χρὴ δέ φασιν ἐπὶ τῶν Ὁμωνύμων σῴζεσθαι κατὰ πάντα τὸ τούτων ὄνομα ἀπαράλλακτον, κατά τε λῆξιν, καὶ Πνεῦμα, καὶ Τόνον, καὶ Πτῶσιν, καὶ Γραφὴν, καὶ Ἀριθμὸν, καὶ Γένος, καὶ τὸ τοῦ Λόγου μέρος, καὶ τὴν Συνήθειαν. εἰ γάρτοι ἐφ' ἕν τι τούτων διαφωνοίη, κεχωρίσθαι τῶν Ὁμωνύμων. προτέτακται δὲ τῶν Συνωνύμων τὰ Ὁμώνυμα, ὡς καθολικώτερα τούτων τε καὶ αὐτῶν δὴ τῶν γενῶν. εἴγε τὰ μὲν, ἐπὶ μόνων τῶν ὁμοειδῶν καὶ ὁμογενῶν, τὰ δὲ Ὁμώνυμα κἀπὶ τῶν ἑτεροειδῶν τε καὶ ἑτερογενῶν. κατὰ γὰρ Γραμματικοὺς καὶ τῶν κατ' οὐσίαν ἀτόμων τὰ πλεῖστα τῶν Ὁμωνύμων εἰσί. Τῶν Ὁμωνύμων τὸ μὲν, κυρίως ἐστὶ τοῦθ', ὅπερ καὶ λέγεται, τὸ δὲ, οὐ Κυρίως. καὶ τὸ μὲν, μᾶλλον, τὸ δὲ, ἧττον. ὡς ὅ, τε γραπτὸς καὶ ὁ ζῶν Ἄνος. Ἔστι γεμὴν ἐν τοῖς Ὁμωνύμοις καίτι εἶδος τῇ φύσει διεστηκὸς, τῆς δὲ Ὁμωνυμίας ἐπίσης μετέχον καὶ κυρίως καθ' ἑκάτερα. ὡς Κύων ὅ, τε χερσαῖος καὶ ὀθαλάττιος. δύω γὰρ διάφοροι μὲν, ὁμότιμοι δὲ φύσεις ὑπὸ τὴν αὐτὴν προσηγορίαν, οὐκ ἀμείνων ἡ ἑτέρα τῆς ἑτέρας, οὔθ' ἡ μὲν, πρότερον, ἡ δ', ὕστερον, οὐδ' ἡ μὲν, μᾶλλον, ἡ δὲ, ἧττον, τοῦθ', ὅπερ λέγεται. (Γρηγόρ: λόγ: α', περὶ Υἱοῦ.) Τῶν δὲ Ὁμωνύμων τὰ μὲν, ἀπὸ Τύχης λαμβάνεται, εἰ τύχοι ἐν Ῥώμῃ κἂν ταῦθ' ἁτινὰς τῷ αὐτῷ ὀνόματι κληθῆναι. ὡς Αἴας ὅ, τε Λοκρὸς

καὶ ὁ Σαλαμίνιος. τὰ δὲ, ἀπὸ Διανοίας. ὧν αὖθις τὰ μὲν, διὰ Μνήμην τινὸς τῶν ἀποιχομένων, τὰ δὲ, δι' Ἐλπίδα. ὅ τε ἀξιωματικῷ τινι ὀνόματι τοὺς παῖδας προσαγορεύσαντες, ἐλπίζομεν τοιούτους γενέσθαι. τὰ δὲ, κατὰ Ἀναλογίαν καὶ Μεταφορὰν, ὡς Λέων ὁ παῖς, ἐοικὼς Λέοντι. ἢ ὡς Σωκράτης, ὅ, τε ὢν καὶ ὁ ἐν εἰκόνι. ὡς πόδες ἐπί τε Ὄρους καὶ Κλίνης καὶ ζῴου, διὰ τὸ κατωτέρῳ εἶναι. ἔστι δὲ Ἀναλογία παρὰ τοῖς Μαθηματικοῖς γεωμετρικὴ, ὁμοιότης καὶ συναγωγὴ δύοιν λόγων, μεταξὺ θεωρουμένη ὅρων τριῶν μὲν, ἡ καὶ συνεχὴς, τοῦ μέσου δὶς παραλαμβανομένου, τεττάρων δὲ, ἡ καὶ διωρισμένη. Λόγος δέ ἐστι δυοῖν τινων Ὅρων, εἴ τ' οὖν Ποσῶν ὁμογενῶν ἀλλήλοις, ποιὰ σχέσις κατ' ἰσότητα δηλαδὴ, ἢ ἀνισότητα. καὶ συνεχὴς μὲν, οἷον, ὃν ἔχει Λόγον τὰ δύω πρὸς τὰ τέτταρα, τὸν αὐτὸν καὶ τὰ τέτταρα πρὸς τὰ ὀκτώ. διωρισμένη δὲ, οἷον, ὡς ὁ δύω πρὸς τὸν τέτταρα, οὕτως ὁ τρία πρὸ τὸν ἕξ. Λόγον γὰρ ἔχουσιν ἀπὸ μὲν τοῦ ἐλάσσονος πρὸς τὸν μείζονα, ὑποδιπλασίονα, ἀπὸ δὲ τοῦ μείζονος πρὸς τὸν ἐλάσσονα, διπλασίονα. κατὰ τὰ αὐτὰ δὴ καὶ τῶν ἀπὸ Διανοίας Ὁμωνύμων τὰ Ἀνάλογα λέγεται. πόδες γὰρ ἐπί τε Κλίνης καὶ ζῴου λεγόμενοι, τὸν αὐτὸν ἔχουσι πρὸς ἑκάτερα Λόγον, ἐπίσης τὸ ὑπερκείμενον αὐτῶν ὑποστηρίζοντες σῶμα. τὰ δὲ τοιαῦτα Ἀνάλογα μεταξύπως εἰσὶ τῶν Ὁμωνύμων καὶ Συνωνύμων. πρὸς γὰρ τῷ κοινῷ ὀνόματι καὶ τὸν κατὰ τ' οὔνομα λόγον τῆς οὐσίας τῇ μὲν, τὸν αὐτὸν ἔχουσι, τῇ δὲ, ἕτερον. Τῶν ἀπὸ διανοίας ἔτι εἰσὶ καὶ τὰ παρωνύμως Ὁμώνυμα. ὧν τὰ μὲν, ἐκ τοῦ Ἀφοῦ, ἀφ' ἑνὸς δηλαδὴ, τοῦ ποιητικοῦ αἰτίου, ὡς ἀπὸ τῆς Ἰατρικῆς ἕξεως καὶ τῶν ὁμοίων τὰ ἀπ' αὐτῶν παρωνομασμένα, πρὸς ἄλληλα μὲν ὁμωνύμως, παρωνύμως δὲ πρὸς τὴν πρώτην ἀρχὴν τὴν παρωνυμοῦσαν. τὰ δὲ, ἐκ τοῦ

πρὸς ὃ, ἀπὸ τοῦ τέλους δηλαδὴ, πρὸς αὐτὸ ἀφορῶντα, ὡς τὰ ὑγιεινὰ πάντα, ἀπὸ τῆς ὑγείας παρονομασθέτα καὶ πρὸς αὐτὴν βλέποντα. Ἰστέον δὲ ὡς τῶν καθ' ὁμωνυμίαν τὴν αὐτὴν κλῆσιν τροπολογικῶς, ὅ ἐστι κατὰ μεταφορὰν ἐφελκομένων, τὰ ὑπερέχοντα λαμβάνει μὲν κατ' ἐξαίρετον τὰ κοινῇ προσόντα πᾶσιν, οὐκ ἀφαιρεῖται δὲ τῶν ἄλλων αὐτὰ παντελῶς, ἀλλὰ τὴν ἑαυτῶν πρὸς τὰ λοιπὰ ὑπεροχὴν διὰ τούτου ἐνδείκνυται. παράδειγμα δὲ τὸ, ἐγώ εἰμι ἡ Ἀλήθεια καὶ ἡ Ζωή. καὶ, τὸν ἀληθινὸν Ἄρτον ὁ Πήρμου δίδωσι. καὶ ἄλλα μυρία. Ὧν δὲ ὁ κατὰ τ' οὔνομα λόγος τῆς οὐσίας οὐμόνον ἕτερος, ἀλλὰ καὶ ἐναντίος, Ἀντικειμένας ἀλλήλαις ἐχόντων τὰς δυνάμεις καὶ ἐνεργείας, τούτων τὸ κοινὸν ὄνομα ἐξῄρηται τῆς ὁμωνυμίας. ὡς λέων, ὅ, τε Σὴρ ἡμῶν καὶ ὁ καθ' ἡμῶν ὠρυόμενος ἐχθρός. Σκώληξ τε πάλιν αὐτός τε καὶ τὸ τῆς ἐν τῷ μέλλοντι βαρυτάτης τιμωρίας εἶδος. ἀλλὰ καὶ Σκύμνος, αὐτός τε καὶ ὁ ὠρυόμενος καὶ ζητῶν τροφὴν παρὰ Θεοῦ. καὶ Ἑῳσφόρος, ὁμὲν, πρωῒ ἀνατέλλων, καὶ τὰς τῶν πιστῶν καρδίας ἔτι μᾶλλον τῷ φωτὶ τῆς Θεογνωσίας ἐναυγάζων, ὁ δὲ, τῷ σκότῳ προσαρμοζόμενος. ὃν τὸ τῆς μοχθηρίας ἑκούσιον τῆς νοερᾶς καὶ μακαρίας λαμπρότητος ἀπεγύμνωσεν. Ὄφις τε ὅ, τε τὴν Εὔαν ἐξαπατήσας, καὶ οὗ μιμητὰς ἡμᾶς ὁ Σὴρ γενέσθαι προτρέπεται. Βασιλεύς τε, ὅ, τε τῶν Ὅλων δημιουργὸς καὶ ὁ Θάνατος. Ἀστραπὴ δὲ πάλιν ὅ, τε διὰ τὴν ἔπαρσιν ἐξ Οὐνοῦ κατὰ πεσὼν, καὶ δι' ἧς ἡ δευτέρα τοῦ κριτοῦ παρουσία ἀπεικάζεται. καὶ Σκότος τό, τε παρασκήνιον τῆς τοῦ Θείου ἀποκρυβῆς, καὶ ἄλλο, τοῦτο μὲν, τὸ ἐξώτερον, τοῦτο δὲ, δι' ὃν κἀκεῖνο παρεσκευάσθη. Ταῦτα μὲν οὖν καὶ τὰ τοιαῦτα ὑπεξεῖλε τῶν ὁμωνύμων Φώτιος, (πρὸς ἀμφιλόχ: κφ: λδ'.) τίνι δὲ τῶν τοῖς Ἐπιθέτοις συμπαραλαμβανομένων εἰδῶν ὑπάγεται, οὐ προσέθηκε.

Καὶ τὰ Συνώνυμα, ὧν τό, τε ὄνομα καὶ ὁ λόγος κοινόν.

Ἀπὸ κοινοῦ τὸ, ὁ τῆς κατὰ τ' οὔνομα οὐσίας. καὶ οὗτος μὲν ὁ τῶν Ὁμωνύμων καὶ Συνωνύμων πραγμάτων λόγος. τῆς δὲ Φωνῆς, τῆς μὲν τῶν Ὁμωνύμων, ὅτι ἐστὶν ἡ πλείονα καὶ διαφέροντα πράγματα κατὰ διαφόρους σημαίνουσα ἐννοίας, τῆς δὲ τῶν Συνωνύμων, ὅτι ἐστὶν ἡ πλείονα καὶ διαφέροντα πράγματα κατὰ μίαν καὶ τὴν αὐτὴν ἔννοιαν δηλοῦσα. παρασημειοῦνται δὲ οἱ παλαιοὶ, ὡς τὴν τῶν τοιούτων φωνὴν, εἴτ' οὖν τὸ Ὄνομα, οὐχὶ Ὁμώνυμον ἢ Συνώνυμον ῥητέον τοὺς νοῦν ἔχοντας. (οὐδὲ γὰρ τοῦ ὀνόματος ὄνομα τὸ αὐτὸ πάλιν ἐστὶ, τὰ δὲ ὑποκείμενα τοῖς ὀνόμασι πράγματά ἐστι τὰ Ὁμώνυμα, ἢ Συνώνυμα.) ἀλλὰ φωνὴν τῶν Ὁμωνύμων καὶ Συνωνύμων, ἢ φωνὴν πολύσημόν τε καὶ ταυτόσημον. ἐν πληθυντικῷ δὲ ἀριθμῷ ὥρισται τά τε Ὁμώνυμα καὶ Συνώνυμα. καθ' ὅ, τι οὐδὲν ἐν καὶ ταὐτὸ, ᾗ πέρ ἐστιν ἐν, αὐτὸ ἑαυτῷ οὔθ' Ὁμώνυμον λέγοιτ' ἂν, οὔτε Συνώνυμον, οὔτ' ἄλλοτι, ἀλλὰ πρὸς ἕτερον, ᾧ κοινωνεῖ τοῦ ὀνόματος.

Καὶ τὰ Ἔθνους δηλωτικά.

Τὰ ἐθνικὰ τετραχῶς· ἢ γὰρ ἐκπόλεως, ἢ ἐξ ἔθνους· ἢ ἐκχώρας, ἢ ἐκβασιλείας. καὶ χωρικὸν μέν ἐστιν ἐθνικὸν, ὁ Αἰτωλὸς, ὡς ἀπὸ χώρας τῆς τῶν Αἰτωλῶν. ἐθνικὸν δὲ, καθ' ὅ, τι ἔθνος τι καὶ οἱ Αἰτωλοί. ἀπὸ βασιλείας δὲ, διὰ τὸν προϋπάρξαντα Αἰτωλόν· οὕτω καὶ ὁ Ἀργεῖος ἀπὸ βασιλείας τὸ τοιοῦτον ἔχει ἐθνικὸν, ὁμοίως καὶ ὁ Ἕλλην, καὶ ὁ Δαναὸς, καὶ ὁ Ἀχαιὸς, ὃς καὶ Ἀχαὸς λέγεται ἐκδρομῇ τοῦ ι, ὁμοίως τῷ παλαιὸς, παλαιός. διὸ καὶ οἱ λέγοντες Ἀχαιϊκὸν Ἄργος, ἢ ἄλλοτι τοιοῦτο διὰ τῆς αἰ, διφθόγγου, καὶ αὖ

πάλιν

πάλιν Ἀχαϊκὸν διὰ μονοφθόγγου τοῦ ᾶ, ὀρθῶς ἑκάτεροι φράζουσιν, ἐκεῖνο μὲν, διὰ τὸν Ἀχαιὸν, τοῦτο δὲ, διὰ τὸν Ἀχαόν.

Καὶ τὰ περιεκτικὰ, οἷον, τὰ ἅμα δηλοῦντα τὸ περιέχον καὶ τὸ περιεχόμενον, οἷον, Δαφνών. Κοιτών.

Περιεκτικῶν τύποι οὐ μόνον τὸ ὦν, ἀλλὰ καὶ τὸ ὃς, ἀσφοδελός. ἀχυρός. καὶ ὃν, σκόροδον, αὐτότε τὸ φυτὸν καὶ ὁ τόπος, ἐν ᾧ τὸ φυτόν. ἐπεὶ πολλάκις ὁμότονα τοῖς περιέχουσι τὰ περιεχόμενα κατὰ τρύφωνα. καὶ ὁ ἐρινεὸς περιεκτικοῦ τύπου ἐστὶ, καὶ ὁ κρόκος, καὶ τὸ ἄστρον κατά γε τὸ περιεκτικὸν εἶναι ἀστέρων, εἰ καὶ μὴ ἐσχημάτισται μηδ' αὐτὸ κατὰ τὰ περιεκτικά. ὧν εἰς ὢν ὀξύτονος ἡ κατάληξις. ἐν οἷς καθ' Ἡρῳδιανὸν καὶ ὁ πλαταμὼν, πρὸς δὲ καὶ ὁ ἑορτὼν, μὴν ἀττικός. δῆλον δ' ὅτι καὶ ἡ πτερὺξ κατὰ τὴν Ἀριστάρχειον ἔκδοσιν περιεκτικῆς ἐννοίας ἐστί. κοινοῦ δὲ πάντως τύπου περιεκτικοῦ καὶ τὸ ᾠδεῖον, καὶ ὅσα εἰς εἷον. καὶ ὁ νομὸς δὲ περιεκτικόν τί ἐστι. τόπον γὰρ δηλοῖ, ἐν ᾧ ἡ νομή. καὶ ἡ ἀχυρμιὰ, καὶ ἡ μυρμηκιὰ, μιᾶς λέξεως προφορᾷ τόπον τε δηλοῦσι καὶ τὸ ἐν αὐτῷ περιεχόμενον, ὡς Περιεκτικὰ δέ εἰσι, τὰ τύπον μὲν ἔχοντα τῶν Περιεκτικῶν, σημασίαν δ' οὔ. ὡς ἀπατεών, κυκεών.

Καὶ τὰ μιμητικῶς πρὸς τὰς τῶν ἤχων ποιότητας πεποιημένα.

Ἤτοι τὰ κατὰ μίμησιν τῶν ποιῶν ἤχων ὀνοματοπεποιημένα. Ὀνοματοποιΐα γάρ ἐστι κατὰ τοὺς παλαιοὺς μίμησις λεκτικὴ ποιότητος ἤχου. καλεῖται δ' οὕτω, διὰ τὸ ποιεῖσθαι δι' αὐτῆς ὄνομα, ἤτοι λέξιν. ἥτις ὀνοματοπεποιημένη λέγεται. συνηρίθμηται δὲ τοῖς ποιητικοῖς τρόποις, καὶ πλεονάζει μάλιστα παρὰ τῇ Ποιήσει, ἐπινοηθεῖσα ἐξ αἰτίας τοιαύτης. Οἱ παλαίτατοι ἐν σοφοῖς Ὀνοματοθέται μήπω φθάσαντες ἅπασι σώμασί τε καὶ πράγμασι θέσθαι ὀνόματα, ὅτι μηδὲ ἦν εἰς γνῶσιν αὐτοῖς ἀθρόα ἐλθεῖν ἅπαντα, ἤλλαξαν τὸ χρεὼν, ἀφέντες τὰ πλείω ἀνώνυμα. οἱ δὲ μετ' ἐκείνους, ἀνεπλήρουν ὡς ἐκ διαδοχῆς, ἅπερ ἐλέλειπτο. καὶ οἱ μέν τινες, ἐτύγχανον, οὗπερ ἤθελον, καὶ ἐτίθεντο προσφυῶς ταῖς οὐσίαις ἑκάστου τὰ σφίσι δοκοῦντα ὀνόματα, νομοθετοῦντες καὶ ἑτέροις οὕτω ποιεῖν, εἴποτε πρᾶγμά τι σκεπτόμενοι, μὴ ἔχοιεν ὄνομα εἰς αὐτό. καὶ γέμουσι τοιούτων καινοφανῶν λέξεων αἵτε τῶν Σοφιστῶν αἱρέσεις καὶ αἱ Φίφοι διατριβαί. οἱ δέ τινες ὄνομα παλαιὸν ἔχοντες, εἶτά που ὅμοιόν τι εὑρηκότες ἀνώνυμον πρᾶγμα, ὑπῆγον καὶ αὐτὸ τῇ παλαιᾷ κλήσει διὰ τὴν ἐμφαινομένην ὁμοιότητα. Βοῦς γὰρ ὁ ἐργατικὸς τὸ πρῶτον ἐκλήθη, καὶ Κύων δὲ ὁ χερσαῖος. ὁ δὲ δυσσώνυμος θαλάττιος Βοῦς, καὶ ὁ ἔνυδρος Κύων ὕστερον ἐξ ὁμοιότητός τινος τὰς τοιαύτας ἔλαχον κλήσεις. τὸ δ' αὐτὸ καὶ ἐπὶ ἑτέρων μυρίων ὁμωνύμως γέγονε. καὶ τοῦτό ἐστιν, ὁ τὴν ἐν ὁμωνυμίᾳ σύνοδον, ἢ σύγχυσιν ἤθροισεν. ὡς γάρ τις ξενίζων μὲν πλείστους, οἰκίας δὲ μὴ τοσαύτας ἔχων, ὑφ' ἑνὶ σταθμῷ πλείους καταλύειν ἀφίησιν, οὕτω καὶ περὶ τὴν Ὀνοματοθεσίαν ἠσχολημένος τις, πολλάκις ὀνόματι ἑνὶ πρωτοθέτῳ πολλὰ ὑπήγαγεν ἕτερα, λαλοῦντα καθ' ὁμωνυμίαν εἰς ἕν. Ἡ τοιαύτη τῶν ὀνομάτων ἐνδεια καὶ τὰς πλείους τῶν Ἀντωνυμιῶν ἐξεῦρε. πολλαχοῦ γὰρ τοῖς πάντῃ ἀγνώστοις αὐτὰς ἐπιλέγομεν, ἀντὶ Ὀνομάτων ἐγνωσμένων Ἀντονομασίαις ἀρκούμενοι. ἡ αὐτὴ στενοχωρία καὶ παραγωγὰς Ὀνομάτων εἵλκυσε. καὶ ἁπλότητας Λέξεων εἰς συνθέσεις ἐκίνησεν. Ἐντεῦθεν καὶ τὰ Τροπικὰ περιείργασται, μεταφέροντα ἐξ ἑτέρων εἰς ἕτερα, καὶ τὴν πρώτην θέσιν τῶν Ὀνομάτων καινοτομοῦντα πολυχιδῶς. ὁδ' αὐτὸς λόγος καὶ τὸ τῆς Ὀνοματοποιΐ-

ποιᾶς μιμηλὸν ἐτεχνάσατο. σὺν θαῤῥεῖν δὲ χὴ ὠσιῶσθαι κλῆσιν δύρέσθαι, ἢ φθάσασαν τεθῆναι, ἢ ῥᾴον δυναμένην ἄλλως γενέσθαι; Ὀνοματοποιΐα σὺν τούτοις ἐπαῤῥησιάζετο, ἐκ τοῦ κατά τινα κίνησιν ποιεῖν χὴ δηλοῦσα τὸ ὑποκείμενον, χὴ τὰς ἀνάῤῥους φωνὰς ταῖς ἐγγραμμάτοις ἐκτυπώσασα, ἐκ τοῦ συμβεβηκότος αὐτὸ προσηγόρευε. καὶ πλείη μὲν πᾶσα Γαῖα παύτης, πλείη δὲ Θάλασσα, χὴ ὐδ' Ἀὴρ αὐτῆς ἀπήλακται. καὶ δηλοῦσιν αἱ Βρονταὶ, αἱ Βροχαὶ, αἱ Βοαὶ, οἱ Βόμβοι, οἱ Φλοῖσβοι, οἱ Ἦχοι, οἱ Βρόμοι, τὸ Μυκᾶσθαι, Πείζειν, Φυσαᾶν, χὴ τὰ λοιπὰ, ὅσα κατ' Ἄμμον ὐδ' αὐτὰ ποσεῖται. τοιοῦτοι δρόμοι καὶ παρ' Ὁμήρῳ τὸ ἔκλαγξαν οἱ οἷσοί. Γλῶτ, Ὀνοματοποιΐα γάρ ἐστι χὴ αὐτὸ καὶ ποιότης ἦχος, ὃν σὺν σωστόμῳ κινήσει ἀποτελοῦσιν ἔσω τῆς Φαρέτρας οἱ οἷσοί. μεγάλη τῶν ἀρχὴ χὴ διδάσκαλος ἡ Φύσις, ἡ ποιοῦσα μιμητικοὺς ἡμᾶς, καὶ θετικοὺς τῆς Ὀνομάτων, οἷς δηλοῦται τὰ πράγματα κατά τινας διλόγους καὶ κινητικὰς διανοίας ὁμοιότητας. ὑφ' ὧν ἐδιδάχθημεν Ταύρων τε μυκήματα, ἢ φρυάγματα λέγειν, καὶ χρεμετισμοὺς Ἵππων, πυρός τε βρόμον. καὶ πάταγον Ἀνέμων, χὴ συριγμὸν Κάλων, χὴ ἄλλα τοῖς ὅμοια παμπληθῆ, τὰ μὲν, φωνῆς μιμητικὰ, τὰ δὲ, μορφῆς, τὰ δὲ, ἔργα, τὰ δὲ, πάθους, τὰ δὲ, κινήσεως, τὰ δὲ, ἠρεμίας, τὰ δὲ, ἄλλα χήματος, ὁτιδήποτε. τῆς δὲ, ὡς εἴρηται, Στοιχειακῶν χραμμάτων πολλὰς ἐχόντων διαφορὰς, ὐ μόνον παρὰ τὰ μήκη χὴ τὰς βραχύτητας, ἀλλὰ χὴ παρὰ τὰς ἦχας, πᾶσα ἀνάγκη τὰς ἐκ τούτων συνισαμένας συλλαβὰς, ἢ ἀφ' τούτων πλεκομένας, ἅματοῦτε ἰδίαν ἑκάστου σῴζειν δύναμιν, καὶ τοῦ κοινοῦ ἁπάντων, τοῦ διὰ τῆς κράσεώς τε χὴ τῆς αὐτῆς παραθέσεως. ἐξ ὧν μαλακαί τε Φωναὶ γίγνονται χὴ σκληραὶ, καὶ λεῖαι καὶ ἀχεῖαι, γλυκαίνουσαί τε τοῦ ἀκολοῦ χὴ πικραίνουσαι χὴ σύφουσαι χὴ διαχέουσαι, χὴ πᾶσαν τοῦ ἄλλου καπασκευάζουσαι φυσικοῦ διάθεσιν. αὗται δέ εἰσι μοῖραι τὸ πλῆθος ὅσαι. παῦτα δὴ καπαμάθοντες τῆς Ποιητῶν τε καὶ συγγραφέων οἱ χαριέστατοι, τὰ μὲν, αὐτοί τε καπασκευάζουσιν ὀνόματα, συμπλέκοντες ἀλλήλοις ἐπιτηδείως τὰ χράμματα, χὴ τὰς συλλαβὰς δὲ οἰκείως, οἷς αὖ βάλοιντο παρατῆσαι, ποικίλως φιλοτεχνοῦσι; χρόνου μῆκος, ἢ σώματος μέγεθος, ἢ πάθους ὑπερβολὴν, ἢ στάσεως ἡρεμίαν, ἤ τινα τῆς παραπλησίων δηλοῦντες; παρ' ὃδὸν ἕτερον, ἢ τὰς τῆς συλλαβῶν καπασκευάς. χὴ ἄλλα τοῖς ἐναντίως εἰργασμένα, οἷς βραχύτητα λέγω χὴ τάχος χὴ ἀπηδὴν χὴ τὰ τούτοις ὁμογενῆ, χὴ αὐτοί τε δὴ καπασκευάζουσιν, ὡς εἴρηται, πρὸς χρῆμα δρῶντες, οἰκεῖα χὴ δηλωτικὰ τῆς ὑποκειμένων τὰ ὀνόματα, πολλὰ δὲ χὴ παρὰ τῆς ἔμπροσθεν λαμβάνουσιν, ὡς ἐκεῖνοι καπασκευάσαν, ὅσα μιμητικώτατα τῆς πραγμάτων ἐστίν. ὡς ἔχει ταυτὶ, ῥοχθεῖ δὲ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο. αὐτὸς δὲ κλάγξας, πέτετο πνοιῆς ἀνέμοιο. αἰγιαλῷ μεγάλῳ βρέμεται. σμαραγδεῖ δέ τε πόντος. σκέπτεται ὁ ἰσῶν τε ροιζον χὴ δοῦπον ἀκόντων. τινὲς δὲ τῆς μιμητικῶς πρὸς τὰς τῆς ἠχὼν ποιότητας πεποιημένων λέξεων, Στοιχιακῶν Γραμμάτων εἰσὶν ἀπόγονοι, κατὰ μίμημα τῆς ἐκείνων ἀποιχήσεως γενόμεναι. οἷον τὸ Β, ὁ βόμβος καὶ τὸ βομβεῖν. τὸ Ζ, τὸ ζέειν, χὴ ζεῖν. τὸ Ξ, τὸ ξέειν. τὸ Ρ, ῥοῖζος καὶ ῥοῖβδος αἰολικώτερον, ὅτε ξαχύτερος ὁ ἦχος. τὸ Σ, τὸ σίζειν χὴ ὁ σιγμός. ὁμοίως δὲ χὴ ἄλλα τινὰ καθ' ἕτερα Στοιχεῖα. ἔτι χὴ τὸ μύζειν ἐκ τοῦ Μ, Στοιχεῖα ὠνόματοποιήθη, ἤπερ τὸ μύζειν. ὃ βάλοιθ' δὲ οἱ παλαιοὶ, ὥσπερ τῆς ἄλλων ῥημάτων, ὅτω δὴ χὴ τὰς τῆς Ὀνοματοπεποιημένων χρᾶσθαι κινήσεις ἀεὶ ἀκριβολογεῖν, ἵνα μὴ τὴν ἰδιότητα

ἰδιότητα τοῦ ἤχου τούτῳ τῷ τρόπῳ ἐν πολλοῖς ἐξαφανίζωσιν. εἰ γάρ τις ἀκριβολογεῖται περὶ τὰς τοιαύτας κινήσεις, ἀχρεῖοι τὸ ἐναργὲς τῆς τῶν ὀνομάτων ἐμφάσεως. οὕτω γοῦν οὐδὲ τοῦ ἔκλαγξαν, ἐστὶν εὑρεῖν ἐν ἑστῶτα κλάγγω. οὐδὲ τοῦ λίγξε βιὸς, τὸ λίγγω. οὐδὲ μὴν τὸ κρίζω τοῦ κρίκε ζυγὸς, ἢ κρίγε.

Καὶ πρὸς τούτοις τὰ Γένους, ἢ Εἴδους σημαντικά. οἷον, Φυτὸν. Ἐλαία.

Τὰ Προσηγορικὰ, φημὶ δὴ τὰ εἴδους σημαντικὰ, τοῖς Γένεσι συμπαρείληπται διά τε τὴν πρὸς ἄλληλα τούτων σχέσιν. εἴγε τὸ Γένος Εἰδῶν ἐστι Γένος, καὶ τὸ Εἶδος Γένους ἐστὶν Εἶδος. καὶ καθ' ὅ, τι ἐν μὲν τοῖς προσηγορικοῖς, μόνα τὰ τῶν οὐσιῶν, ᾧδε δὲ, καὶ τὰ τῶν συμβεβηκότων εἴδη συμπαρείληπται. ὡς δὲ τὰ κατὰ τὴν οὐσίαν, οὕτωτοι καὶ τὰ τοῦ Γένους καὶ Εἴδους συγκεχυμένως ληπτέον. ἑκάτερα γὰρ καθ' ἑτέρων κατηγορεῖται ἐν τῷ τί ἐστι, πύσματι, τὰ μὲν Εἴδη, τῶν Κυρίων, τὰ δὲ Γένη, τῶν Εἰδῶν. τῷ γοῦν τὴν γνῶσιν τῶν Κυρίων προειληφότι, οὐχ ὑποδύσκολον καὶ ταῦτα διαγνῶναι. καὶ μήμοι ἐπιφϋέσθω ὁ Διαλεκτικὸς, τὴν τούτων τε καὶ ἔτι τὴν τῶν Ὁμωνύμων καὶ Συνωνύμων θεωρίαν ἑαυτῷ μόνῳ διαφέρειν ἀνατεινόμενος. Γραμματικοῦ γὰρ, ὡς εἴρηται, καὶ ἡ κατὰ σημασίαν τῶν Φωνῶν θεωρία.

Καὶ τὰ Ἀπολελυμένα. οἷον, τὰ καθ' ἑαυτὰ νοούμενα.

Ὅπερ ἐστὶ γνώρισμα τῶν Ἀπολελυμένων. ὥσπερ ἐκ τοῦ ἐναντίου τῶν Πρός τι τὸ πρὸς ἕτερον θεωρεῖσθαι. τῶν μὲν οὖν Ἀπολελυμένων τοῖς ἑξῆς πρός τι ἀντιδιῃρημένων, εἴη ἂν καθ' ἑαυτὰ νοούμενα, τὰ μὴ πρὸς ἕτερον θεωρούμενα. ὡς κἀντοῖς ἑξῆς λέγων ὁ Θεόδωρος, ἴδιον εἶναι τῶν μὴ ἀπολύτως, ἀλλὰ πρὸς ἕτερον λεγομένων τὸ εἰς ἡντιναοῦν πτῶσιν φέρεσθαι, δῆλός ἐστιν Ἀπολελυμένα καλῶν, ὅσα μὴ πρὸς ἕτερον πέφυκε φέρεσθαι, εἰ τοῦν θεωρεῖσθαι. τοιαῦτα δέ εἰσιν, ὡς ἁπλῶς εἰπεῖν, τῶν προκατειλεγμένων εἰδῶν ἕκαστον. οὐθὲν γὰρ τούτων πρὸς ἕτερον ἀναφερόμενον λέγεται. ὡς εἶναι τὸν τῶν Ἀπολελυμένων Τόπον συλληπτικόν πως τῶν προειλημμένων, ὡσαν εἰ ἔλεγε, τί δεῖ τὰ καθ' ἕκαστα λέγειν; καὶ ὅλως τὰ Ἀπολελυμένα συμπαρειλήφθω τούτοις. Τὰ δὲ κατὰ ἀφαίρεσιν τοῦ ἐν ᾧ εἰσιν ὑποκειμένου θεωρούμενα, τῆς τε ποιότητος, οἷον, τά τε Θετικὰ τῶν Ἐναντίων, ὡς λευκότος, μελανότης, ὠχρότης, θερμότης, ψυχρότης, κουφότης, βαρύτης, καὶ τὰ τούτοις ἀδελφὰ, καὶ τὰ καθ' Ἕξιν καὶ Στέρησιν. οἷα παρθενία, ἀσωτία, ἐγκράτεια, ἀκρασία, ὑγεία, νόσος, ζωὴ, θάνατος. καὶ τῆς ποσότητος τά τε διωρισμένα, ὡς πέντε ἓξ, ἑπτὰ, δέκα. καὶ τὰ συνεχῆ, ὡς ἰσότης, μεγαλειότης, σμικρότης, ὀλιγότης, περισσότης, δοκεῖ μὲν Ἀπολελυμένα εἶναι καὶ αὐτὰ, εἴγε καθ' ἑαυτὰ τυγχάνει νοούμενα καὶ αὐτά. ὅς πέρ ἐστιν, ὡς εἴρηται, τῶν Ἀπολελυμένων ὁρισμός. οὐκ εἰσὶ δέ. εἴ γε οὐχ ὡσαύτως ἐννοεῖται καθ' ἑαυτά. τὰ μὲν γὰρ Ἀπολελυμένα οὐσιῴδη ὄντα, τῆς πρὸς ἕτερον ἀναφορᾶς, τὰ δὲ κατὰ ἀφαίρεσιν, τῆς ὕλης καὶ τοῦ ἐν ᾧ εἰσιν ὑποκειμένου ἐννοεῖται κεχωρισμένα, ἐπουσιῴδη ὄντα. τῆς δὲ πρὸς ἕτερον σχετικῆς ἀναφορᾶς ἐστιν ἃ τούτων καὶ ἐν αὐτῇ τῇ ἀφαιρέσει οὐκ ἀπολέλυται. ὡς ἐπιστήμη ἐπιστητοῦ. δεσποτεία δούλου. κλίσις κεκλιμένου. τύψις τετυμμένου, καὶ ὅσα τοιαῦτα. οἷα δὴ καὶ τῶν Πρός τι τὰ πατρότης, υἱότης, ἀδελφότης, οἰκειότης. τῶν γοῦν κατὰ Ἀφαίρεσιν τὰ μὲν τὴν πρὸς ἕτερον ἀναφορὰν διασῴζοντα, ἐν τοῖς Πρός τι τακτέον, ἐν δ' αὖ τοῖς ὡς Πρός τι τῶν Ἐναντίων τὰ καθ' Ἕξιν καὶ Στέρησιν, τὰ δὲ Θετικὰ ἐν τοῖς Εἰδικοῖς. λευκότης γὰρ καὶ μελανότης, εἴδη ποιότητος.

μόνα δὲ τὰ τῆς πρὸς ἕτερον ἀναφορᾶς κεχωρισμένα, ἐν τοῖς Ἀπολελυμένοις τακτέον. τοιαῦτα δέ ἐστιν, ὡς εἴρηται, ἕκαστον τῶν προειρημένων Εἰδῶν. Ἰστέον δὲ ὅτι τὰ κατὰ Ἀφαίρεσιν ἐπὶ μὲν τῆς λογικῆς κτίσεως λεγόμενα, εἰσὶν ἐπουσιῴδη καὶ κατὰ μετοχήν. οἷον, σοφία, δικαιοσύνη, ἀλήθεια, καὶ τὰ τοιαῦτα, ἐπὶ δὲ Θεοῦ, οὐσιῴδη εἰσὶ, καὶ οὐχ, ὡς ἡ ἕξις, ἐπιγινόμενά τε καὶ ἀπογιγνόμενα. ἐπὶ γὰρ Θεοῦ οὐδὲν ὑστερογενές. Ἐφ' οἷς, τῶν Προσηγορικῶν εἴτ' οὖν Ἐπιθέτων τὰ ἀφῃρημένα μὲν, οὔ, τὰ δὲ συνῃρημένα πέφυκε καθ' ἑτέρων λέγεσθαι. εἴγε τὰ μὲν, αὐτὸ καθ' ἑαυτὸ δηλοῖ τὸ εἶδος νοούμενον, τὰ δὲ, τό, τε εἶδος καὶ τὸ ἐνῷ τὸ εἶδος ὑποκείμενον, τὰ συνῃρημένα. ἔνθεντοι ὁ Πέτρος ἀνθρωπότης μὲν, ἢ δικαιοσύνη οὐκ ἂν ῥηθείη, ἄνος δὲ καὶ δίκαιος, καὶ μάλα. εἴγε τὸ μὲν ἀνότης, ἢ δικαιοσύνη, δηλοῖ, ὡς εἴρηται, τὸ εἶδος, καθ' ἑαυτὴν νοουμένη, οὐ τοῦτο δέ ἐστιν ὁ Πέτρος, τὸ δὲ ἄνος σημαίνει ἐν ὑποκειμένῳ τὸ εἶδος, τοῦτ' ἔστιν ὑποκείμενον, ἔχον εἶδος.

Θεός. Λόγος.

Τὸ Θ͂ς ὄνομα κατὰ τὸν θεῖον Χρυσόστμ: κφ': α', τῆς πρὸς ἑβρ': οὐχὶ οὐσίας ὄνομά ἐστιν. οὐδὲ γὰρ ἔστιν ὅλως τῆς οὐσίας ἐκείνης ὄνομα εὑρεῖν. ἀλλ' ἐνεργείας. τάχα δὲ οὐδὲ τὸ Ψυχή. δοκεῖ γὰρ οὐδὲ τοῦτο τὸ ὄνομα παραστατικὸν εἶναι τῆς οὐσίας αὐτῆς, ἀλλὰ τοῦ ψύχειν. οὐμὴν ἀλλ' οὐδὲ ἄφετός ἐστιν ἡ Θ͂ς φωνὴ κατὰ Γρηγόρ: τὸν νύσσ. (λόγ: κατηχητ:) τῶν δὲ Πρός τι λεγομένων, ὥσπερ καὶ ἡ Κύριος. ἐγὼ γὰρ εἰμί φησι, Κύριος ὁ Θ͂ς σου. καὶ, ἐγώ εἰμι ὁ Θ͂ς Ἀβραὰμ, καὶ ὁ Θ͂ς Ἰσαὰκ, καὶ ὁ Θ͂ς Ἰακώβ. καὶ ὁ λόγος δὲ οὔμοι δοκεῖ οὐδ' αὐτὸς προσφυῶς ἐν τοῖς Ἀπολελυμένοις τετάχθαι, ἀλλ' ἐν τοῖς Πρός τί ἐστιν ἀνακτέος. εἴθ' ὁ καθ' ἡμᾶς προφορικός τε καὶ ἐνδιάθετος, εἴ τε καὶ ὁ τοῦ Θυ ἐνυπόστατος λόγος. εἴγε καθ' ἑαυτὸν, ἀλλὰ τοῦ Πρ͂ς Λόγος ὡς νοῦ λέγεται, οὕτως ἔχων πρὸς τὸν Πρ͂α, κατὰ τὸν Θεολόγον Γρηγόρ: ἐν τῷ β', λόγῳ τῶν περὶ τοῦ Υἱοῦ, ὡς πρὸς νοῦν λόγος, οὐμόνον διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως, ἀλλὰ καὶ τὸ συναφὲς καὶ τὸ ἐξαγγελτικὸν, τάχα δ' ἂν εἴποιτις, ὅτι καὶ ὡς ὅρος πρὸς τὸ ὁριζόμενον. ἐπειδὴ καὶ τοῦτο λόγος λέγεται. ὁ γὰρ νενοηκώς φησι, τὸν Υἱὸν, τοῦτο γάρ ἐστι τὸ, ὁ ἑωρακὼς, , νενόηκε τὸν Πρ͂α, καὶ σύντομος ἀπόδειξις καὶ ῥᾳδία τῆς τοῦ Πρ͂ς φύσεως ὁ Υἱός. γέννημα γὰρ ἅπαν, τοῦ γεγεννηκότος σιωπῶν λόγος. καὶ Χρυσ͂στμ: ἐν ψαλ': μδ': ὁ Υἱὸς Λόγος λέγεται, ἀλλ' οὐκ ἀνυπόστατος, ἀλλὰ διὰ τοῦτο, ἵνα τὸ πρὸς τὸν Πρ͂α συγγενὲς μάθωμεν. τρόπον γάρ τινα καὶ κατὰ τὸν νύσσης Γρηγ: (λόγῳ κατηχητκ:) τῶν πρός τι λεγομένων καὶ ὁ λόγος ἐστίν. ἐπειδὴ χρὴ πάντως τῷ Λόγῳ καὶ τὸν Πρ͂α τοῦ Λόγου συνυπακούεσθαι. οὐ γὰρ ἂν εἴη Λόγος, μήτινος ὢν Λόγος. Τὸ δὲ Θ͂ς, καὶ ἁπλῶς τὰ τῶν ἐνεργειῶν ὀνόματα, καὶ ἐπ' αὐτῆς τῆς οὐσίας ἀνάγεται, οὐχ ὡς ἀλλήλοις ταυτοδύναμα λόγῳ πολυωνυμίας. διαφόρων γὰρ ἐνεργειῶν εἰσι σημαντικά. ἀλλ' ὡς ἐν ἕκαστον αὐτῶν εἰς ἕνα τὸν ἐντριάδι Θ͂ν ἀνάγοντα τὴν διάνοιαν. ἡ μὲν φύσις ἁπλῆ τε καὶ ἀπρόσιτος, καθ' ὅ ἐστι, μένουσα ἀσήμαντος, ὡς ἀνώνυμός τε καὶ ὑπερώνυμος, αἱ δὲ ἐνέργειαι ποικίλαι τε καὶ διάφοροι, πρὸς ἡμᾶς καταβαίνουσαι, γνωρίζουσιν ἡμῖν τὸν Θ͂ν ἡμῶν, οὐχ ὅ, τί ποτε τὴν οὐσίαν ἐστὶν, ἀλλ' ὅτι σοφὸς, ἀγαθὸς, δυνατὸς, καὶ ὅσα ἄλλα οὐσιῳδῶς αὐτῷ πρόσεστι. Πολλαχοῦ δὲ τὰ κατὰ ἀφαίρεσιν ἀντὶ τῶν συγκεκραμένων λαμβάνεται. Λιβαν': καὶ θεραπείαν ἐπαγόμενος, (ὁ Ἀλέξανδρος) ἀφῆς εἰκάζετο οὐτῶν τυχόντων εἶναι. ἀντὶ τοῦ θεράποντας. Θουκδ': ς', τῶν μὲν οὖν ξυμμάχων τοῖς πλείστοις, καὶ ὅση ἄλλη παρασκευὴ ξυνείπετο, πρότερον εἴρητο εἰς Κέρκυραν ξυλλέγεσθαι.

κἀντῇ

κἀν τῇ ε', οἱ ὁμῶνοι τὴν βουλὴν οὐκ ἄλλα ψηφιεῖσθαι. κἀν τῇ β', ᾗ καὶ ῥᾷον ἔλαθον ἐπελθόντες, φυλακῆς οὐ προκαθεστηκύας. καὶ Βασίλ: ἐν τοῖς ἀσκητκ: λόγοις, ἵνα ἕκαστον τούτων (τῶν ἱματίων καὶ σκευῶν) τῆς χρείας ᾖ, καὶ μὴ τοῦ κεκτημένου. ἐπάγει γὰρ ἑξῆς, ἡ κλίνη, τὰ στρώματα, τὸ θερμὸν περιβόλαιον τοῦ πάνυ χρῄζοντος, οὐ τοῦ κεκτημένου εἶναι ὀφείλει. τὸ τῆς χρείας εἰς τὸ τοῦ χρῄζοντος μεταλαβών. κἀν τῷ τροπαρίῳ δὲ τῆς ἁγίας Παρασκευῆς, ἡ Πίστις, ἣν εἰς κατοικίαν κεκλήρωται, ἀντὶ τοῦ συγκεκριμένου εἴληπται, ὅ ἐστι τῶν πεπιστευμένων ὑπ' αὐτῆς. ταῦτα δέ εἰσι τὰ τοῖς εὐλογημένοις τοῦ Πατρὸς πρὸ καβολῆς κόσμου ἡτοιμασμένα, τ' αὐτὸν εἰπεῖν παρεσκευαμένα, λόγῳ πολυωνυμίας. λέγεται δὲ τὰ αὐτὰ καὶ παρασκευὴ, ὡς καὶ παρεμβολὴ οἱ παρεμβεβληκότες, καὶ ἀκροβυστία οἱ ἀκρόβυστοι, καὶ περιτομὴ οἱ ἐμπερίτομοι. λέλυται ἄρα πῶς τὴν Πίστην ἡ Ἁγία εἰς κατοικίαν κεκλήρωται, καὶ πῶς ὁμωνυμεῖ αὐτῇ. ὡς γὰρ οἱ Ἅγιοι ἄνοι οἶκος λέγονται τοῦ Θεοῦ. οἰκήσω γάρ φησιν, ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, οὕτω καὶ ὁ Θεὸς οἶκός ἐστι τῶν Ἁγίων ἀνῶν. γενοῦμοι γάρ φησιν ὁ Δὶδ, εἰς οἶκον καταφυγῆς τοῦ σῶσαί με. καὶ αὐτὸς δὲ ὁ Κ'ς εἴρηκεν, ὑμεῖς ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. ὁ μὲν, κατὰ Διονύσιον ἀρεοπγ': ἀπεριγράπτως καὶ ἀσχέτως, οἱ δὲ, ἀμιγῶς αὐτοῦ κατ' οὐσίαν καὶ ἀσυγχύτως. καὶ Βασίλ: ψαλμ: λβ', οἱονεὶ τόπος χωρητικός ἐστι τῶν δικαίων ὁ Κύριος. ἐν ᾧ τὸν γενόμενον πᾶσα ἀνάγκη εὐθυμεῖσθαι καὶ ἐνευφραίνεσθαι. γίνεται δὲ καὶ ὁ δίκαιος τόπος τῷ Κῷ, λαμβάνων αὐτὸν ἐν ἑαυτῷ. μείνατε γάρ φησιν, ἐν ἐμοὶ, κἀγὼ ἐν ὑμῖν. Καὶ ἐκ τοῦ ἐναντίου δὲ συγκεκριμένα ἀντὶ τῶν κατὰ ἀφαίρεσίν ἐστιν εὑρεῖν. Θουκδ': ς', καὶ τῷ μὲν Νικίᾳ προσδεχομένῳ τὰ περὶ τῶν Ἐγεσταίων. ἀντὶ τοῦ προσδοχὴ, ἢ προσδοκία ἦν. κἀν τῇ ζ', εἶπον οὐκ ἂν σφίσι βουλομένοις εἶναι διὰ τῆς γῆς σφῶν τὸν στρατὸν ἰέναι. ἀντὶ τοῦ βούλησιν μὴ ἂν εἶναι· τοιοῦτο καὶ τὸ, ἐμοὶ βουλομένῳ ἦν. καὶ Πλούταρχος ἐν τῷ περὶ τοῦ ἀκούειν. ταῖς δὲ ἀπαιδεύτοις πράξεσιν ἀγενὲς ἔνεστι καὶ μικρὸν ἐν πολλῷ τῷ μετανοοῦντι τὸ ἑκούσιον. ἀντὶ τοῦ ἐν ταῖς τοιαύταις δουλοπρεπέσι πράξεσι μικρὸν μέν ἐστι τὸ ἐλεύθερον, μεγάλη δὲ ἡ μεταμέλεια. κἀν τῷ ἀπὸ ἐπάρχων, καὶ ἀπὸ βασιλέων, τῆς προθέσεως ἀπόθεσιν τῆς ἀξίας ὑπαγορευούσης, δῆλον ὡς τὸ συγκεκριμένον ἀφῃρημένως εἴληπται. Δεῖ δὲ μὴ ἀγνοεῖν ὡς τὸ αὐτὸ ὄνομα λαμβανόμενον διαφόρως, διοίσειτε ἑαυτοῦ τὸ εἶναι, καὶ διαφόρως προσαγορευθήσεται. οἷον, τὸ ζῷον, γενικὸν μὲν, ᾗ δὴ λέγεται κατά τε ἀνοῦ καὶ ἵππου, καὶ τῶν οἰκείων εἰδῶν. εἰδικὸν δὲ πάλιν, ᾗ περ ὑπάλληλον ὄν, ὑφ' ἑτέρου γένους τελεῖ, τοῦ ἐμψύχου σώματος. τῶν συνωνύμων δὲ, ᾗ δὴ λόγου τε καὶ ὀνόματος τοῦ αὐτοῦ μεταδίδωσι τοῖς αὐτοῦ μετέχουσιν εἴδεσιν. ἀλλὰ καὶ τῶν ὁμωνύμων, ᾗ λέγεται κατά τε τοῦ ὄντος καὶ τοῦ γραπτοῦ ζῴου, λόγου μὲν οὔ, τοῦ δ' αὐτοῦ ὀνόματος μεταδιδοῦν αὐτοῖς. ἔτι δὲ καὶ ἀπολελυμένον, ᾗ δὴ καθ' ἑαυτὸ τυγχάνει νοούμενον, δίχα τῆς πρός τι ἕτερον ἀναφορᾶς. τὸ δ' αὐτὸ καὶ προσηγορικὸν, ᾗ δὴ τῆς καθόλου, εἰ καὶ μὴ β', τῆς μᾶλλον δηλ': οὐσίας σημαντικόν. τῆς μάλιστα γάρ. καὶ δὴ καὶ ἐπίθετον, ᾗ δὴ κατὰ Κυρίων, ἢ Προσηγορικῶν τυγχάνει λεγόμενον. ἡ Ἀρετὴ δὲ πάλιν πρὸς τοῖς εἰρημένοις ἐπὶ τοῦ ζῴου ἔτι καὶ τοῖς ὡς πρός τι ὑπάγεται, ὡς τῇ κακίᾳ ἀντικειμένη. καὶ τὰ πρός τι δὲ, ὡς καθ' ἑτέρων λεγόμενα, ἐπίθετά εἰσι καὶ αὐτά. τοῦ δὲ Ἐπιθέτου εἴς τε τὸ ἐν ᾧ καὶ τὸ καθ' οὗ. διαιρουμένου, ἐνσταίης, οὐσίας τὰ καθ' οὗ, καθ' οὗ δὲ καὶ τὰ παρὰ τὴν οὐσίαν Γένη. τῶν γὰρ οἰκείων εἰδῶν ὡς καθ' ὑποκειμένου λέγεται καὶ αὐτά. αὐτίκα καὶ γὰρ ἀνδρίας μὲν, ἡ ἀρετὴ, δειλίας δ', ἡ κακία συνωνύμως καὶ

μως καὶ καθ' ὑποκειμένου κατηγορεῖται ἑκάτερα, ἀμφοῖν δ' ὁμοίως ἡ ἕξις εἴ τ' οὖν διάθεσις, ταύτης δ' ἡποιότης. οὐσίας ἄρα καὶ αὐτά. Ἢ ὅτι, μόνως, οὐ παραδεκτέον τὴν ἐλάττονα. καθ' οὗ γὰρ μόνον, μόνα τὰ τῆς οὐσίας, τὰ δὲ παρὰ τὴν οὐσίαν, καὶ ἐν ᾧ, τοῦτ' ἔστι συναμφοτέρως, καθ' ὑποκειμένου τε καὶ ἐν ὑποκειμένῳ λέγεται. Ἐνσταίης ἔτι, καὶ τὰ Κύρια τῶν Ὀνομάτων καθ' ἑτέρων λέγεται. ὡς ἐν τῷ, τὶς ἄνος καλεῖται Σωκράτης. ἐπίθετα ἄρα καὶ αὐτά. Ἢ ὅτι τῶν Κυρίων ὀνομάτων τὰ χώραν σχόντα κατηγορουμένου, οὐκ ὅτι ἂν καλοῖντο κύρια, ἀλλὰ τῶν ὁμωνύμων, κατὰ πλειόνων ἀορίστως, καὶ οὐ καθ' ἑνὸς ὡρισμένως λεγόμενα. ὥσπερ αὖ πάλιν καὶ τῶν προσηγορικῶν τὰ ὑποτιθέμενα, οὐκ ἔτι ἂν καλοῖντο προσηγορικὰ, ἢ ἐπίθετα, ὡς μὴ καθ' ἑτέρων τοτηνικαῦτα λεγόμενα. Ἀπορήσεις ἔτι, τὰ Προσηγορικὰ διαιρεῖται εἴτ' οὖν ἀπαριθμεῖται εἰς τὰ Κύρια. δέδεικται δὲ εἶδος ὡς γένους τοῦ ἐπιθέτου τὸ προσηγορικόν. τὰ ἄρα Κύριά εἰσιν ἄτομα. τῶν δὲ ἀτόμων τὰ εἴδη καὶ τὰ γένη συνωνύμως κατηγορεῖται, καὶ τῶν κυρίων ἄρα τό, τε προσηγορικὸν καὶ τὸ ἐπίθετον. καὶ ἔσται τὸ κύριον, καὶ προσηγορικὸν τὸ αὐτὸ καὶ ἐπίθετον. Ἢ ὅτι τῶν φωνῶν αἱ μὲν, εἰσὶ τῶν Ὄντων σημαντικαὶ, φύσεις πραγμάτων δηλονότι σημαίνουσαι, καὶ κατ' αὐτῶν φυσικῶς λεγόμεναν, ὡς ζῷον, ἄνος, Σωκράτης. καὶ ἔτι τὰ παρὰ τὴν οὐσίαν γένη. Ποσὸν, Ποιὸν, καὶ ἑξῆς. αἱ δὲ, οὐ φύσεις πραγμάτων σημαίνουσιν, οὐδὲ κατὰ πραγμάτων ὑπάρξεως φέρονται, ἀλλ' ἁπλῶς εἰσι φωναὶ, ὀνόματα δηλαδὴ σημαντικὰ, οὔκουν τοῖς οὖσιν αὐτοῖς, μόνοις δὲ τοῖς κατὰ τῆς τῶν πραγμάτων ὀντότητος λεγομένοις ὀνόμασιν ἐνθεωρούμεναι, καὶ τούτοις ἐπουσιωδῶς. οἷαι, τῶν μὲν κατὰ σημασίαν, αἱ Κύριον, Προσηγορικὸν, Ἐπίθετον, ἐν γένει τε καὶ αἱ τούτων εἰδικώτεραι, τῶν δὲ κατὰ φωνὴν, αἱ Πρωτότυπον, παράγωγον, καὶ αἱ τούτων εἰδικώτεραι, καὶ αἱ Γένος, καὶ Εἶδος, καὶ ὅλως αἱ παρὰ τοῖς διαλεκτικοῖς πέντε καθόλου Φωναί. τῶν τοίνυν καθόλου φωνῶν μόναι αἱ τῶν Ὄντων σημαντικαὶ αἱ καὶ Φῖφοι λεγόμεναι, λέγονται καὶ κατὰ τῶν μερικωτέρων, οὐκ ἔτι δὲ καὶ αἱ ταύταις κατὰ συμβεβηκὸς ἐνθεωρούμεναι, αἱ καὶ λογικαί. οὔκουν, ἐπεὶ τῶν Κυρίων ὀνομάτων κατηγορεῖται τὰ Προσηγορικὰ καὶ Ἐπίθετα, ἤδη παρὰ τοῦτο καὶ τῆς Κύριον φωνῆς, ἡ προσηγορικὸν καὶ Ἐπίθετον κατηγορηθήσεται. οὔτε μὴν, ἐπεὶ ὁ Σωκράτης ἐστὶν ἄνος, τὸ δὲ ἄνος ἐστὶ Προσηγορικὸν, ἤδη καὶ ὁ Σωκράτης ἐστὶ Προσηγορικόν. καθ' ὅ, τι τὰ κατὰ τοῦ κατηγορουμένου μὴ ὡς καθ' οὗ, ἀλλ' ὡς ἐν ᾧ λεγόμενα, οὐκ ἔτι ταῦτα καὶ κατὰ τοῦ ὑποκειμένου ῥηθήσεται. ἐφ' οἷς σημείωσαι, ὡς οἱ τῶν ἁπλῶς φωνῶν ὁρισμοὶ ἐπὶ μὲν αὐτῶν οὔ, ἐπὶ δὲ τῶν Ὄντων σημαντικῶν ἀληθεύουσιν. αὐτίκα καὶ γὰρ τὸ τῆς β', καὶ καθόλου οὐσίας σημαντικὸν, οὐκ ἐπὶ τῆς Προσηγορικὸν φωνῆς, ἐπὶ δὲ τῆς ἄνος ἀληθεύει.

Περὶ δὲ τῶν λοιπῶν κατὰ σημασίαν εἰδῶν, ποίαν τινὰ σύνταξιν ἔχει, λέγωμεν.

Τῶν ἐπιθετικῶς καθ' ἑτέρων λεγομένων κατὰ σημασίαν εἰδῶν τὰ μὲν, ἀπολύτως θεωρεῖται, μηδόλως πρὸς ἕτερον λεγόμενα, μόνον δὲ τῶν ὑποκειμένων κατηγορούμενα. ὡς ἄνος, ζῷον, φυτὸν, λευκόν. τὰ δὲ, καὶ πρὸς ἕτερον φέρεται, πρὸς τῷ τοῖς καθ' ὧν λέγεται, ὑποκειμένοις ἐπιλέγεσθαι, ἔτι καὶ ἑτέραν ἀπαιτοῦντα πτῶσιν τῶν πρὸς ἃ τὴν ἀναφορὰν ἔχει. περὶ ὧν νῦν ὁλόγος. οὗ ἡσυνέχεια ἄνωθεν ἤρτηται. οἷον, τὰ μὲν οὖν Κύριά τε καὶ Προσηγορικὰ οὕτωπως τὰ Ἐπίθετα σχηματίζει, περὶ δὲ τῶν λοιπῶν κατὰ Σημασίαν εἰδῶν ῥητέον, ὁποίαν ἔχει τὴν σύνταξιν.

ταξιν. τὰ γὰρ συμπαραληφθέντα, κατὰ ἐπεμβολὴν ἀναγνωστέον.

Πρός τι.

Τὰ μὲν οὖν πρὸς ἕτερον ἀεὶ θεωρούμενα, καὶ διὰ τὴν τοιαύτην σχέσιν ὀνομαζόμενα Πρός τι, καθ' ὑπεροχὴν μὲν ὄντα, ἢ καθ' ὑποταγὴν, ἀπ' εὐθείας εἰς γενικὴν τῶν πρὸς ἃ ἡ σχέσις, ἀποδίδοται. οἷον, πῆρ υἱοῦ. δοῦλος δεσπότου. διπλάσιον ὑποδιπλασίου.

Οὐχὶ τὸ καθ' ἑαυτὸ, τὸ δὲ πρὸς ἕτερον θεωρούμενον, λέγοιτ' ἂν Πρός τι. οἷον, ὁ Σωκράτης, ᾗ μὲν Σωκράτης, ἢ ἄνος, καθ' ἑαυτὸν λέγεται, μηδόλως πρὸς ἕτερον ἀναφερόμενος, ᾗ δὲ πῆρ, ἢ διδάσκαλος, ἢ δεσπότης, ἢ φίλος, ταύτῃ γε πρὸς ἕτερον ἀναφέρεται. τὰ δὲ Πρός τι παρὰ τῶν ἀρχαίων διαφόρως ὑπογραφόμενα, ὁ Θεόδωρος ᾧδε ἐν γένει αὐτὰ ὑπέγραψεν, ὅτι εἰσὶ τὰ πρὸς ἕτερον ἀεὶ θεωρούμενα. τὸ ἄρα Κεφαλὴ καὶ χεὶρ, καὶ ὅλως τὰ φυσικὰ μέρη τοῦ ζῴου, μηδόλως πρὸς ἕτερον ἀναφερόμενα, οὐκ εἰσὶ πρός τι. ἡ γὰρ κεφαλὴ, κεφαλωτοῦ μέν ἐστι κεφαλὴ, οὐ μὴν καὶ πρὸς τὸ κεφαλωτὸν ἀναφέρεται, οὐσιῶδες οὖσα τοῦ ὅλου μέρος, καὶ καθ' ἑαυτὴν θεωρουμένη, ὄντος τε καὶ μὴ ὄντος τοῦ ἰδίου κεφαλωτοῦ. Τὰ δὲ ἀπὸ τοῦ κατὰ τὸ β', πρόσωπον παθητικοῦ παρακειμ: εἰς ῖς, θηλυκὰ ἐσχηματισμένα. οἷον, λέλυται, λύσις. καὶ ὅλως τὰ τῆς καθ' ἕξιν ἐν γένει ποιότητος, οἷον, αἴσθησις, ἐπιστήμη, εἰ καὶ πρὸς τὸ ἐπιστητὸν καὶ τὸ αἰσθητὸν καὶ λελυμένον εἰσὶ θεωρούμενα, ἀλλ' οὖν οὐχὶ τῶν ὑφεστώτων, τῶν δὲ παρυφεστώτων ὄντα, τὰ μὲν, αὐτῶν ἐν τοῖς εἰδικοῖς, τὰ δὲ, ἐν τοῖς ὡς Πρός τι τακτέα, ὡς εἴρηται. οὐδὲ γὰρ περὶ τῶν κατὰ ἀφαίρεσιν πρός τι, οἷά ἐστιν, ἡ πατρότης, υἱότης, ἰσότης, ἐπιστήμη καὶ τὰ τοιαῦτα, περὶ δὲ τῶν ἐν ὑποκειμένῳ ὁ λόγος: καὶ ἁπλῶς οὐχὶ περὶ τῆς σχετικῆς ἰδιότητος, ἀλλὰ περὶ τῶν σχετικῶν. Τὰ δὲ πτωτικὰ ῥήματα, λέγω δὴ τὰ ὡς Κτητικὰ Ὀνόματα. οἷον, γραφεὺς, κοπεὺς καὶ τὰ τοιαῦτα, τῶν πρὸς ἕτερον μὲν θεωρουμένων εἰσὶ καὶ αὐτὰ καὶ τῶν καθ' ὑπεροχὴν, ἐνέργειαν γε μὴν ὑποδηλοῦντα, οἷα δὴ ῥηματικὰ, ἰδίου τόπου κεκληρονόμηκε. τῶν δὴ Πρός τι πολυειδῶς τοῖς ἀρχαίοις διαιρουμένου, ᾧδε μόνα τὰ καθ' ὑπεροχὴν καὶ ὑποταγὴν καὶ ἰσότητα παρείληπται. ὧν τὸ προλημματισθὲν, ὁπότερον ἔτυχεν, ἀποδίδοται ἀπ' εὐθείας μὲν, εἴπερ εἴη εὐθυλεκτουμένη ἡ συνταξις, εἰδ' οὖν καὶ ἀφ' οἱασοῦν πτώσεως, ἐπὶ μὲν τῶν ἐξ ἴσου, πρὸς δοτικὴν τοῦ, πρὸς ὃ ἡ τοῦ α', σχέσις φερομένη ἀποπερατοῦται, ἐπὶ δὲ τῶν καθ' ὑπεροχὴν καὶ ὑποταγὴν, πρὸς γενικὴν κτητικῶς. Τῶν δὲ Πρός τι τὰ ἀπὸ τῶν οὐσιῳδῶν τοῦ ζῴου ἢ ἑτέρου μερῶν, τῶν τὴν κατὰ φύσιν προσήκουσαν τῷ πράγματι ὁλομέλειαν καὶ ὁλοκληρίαν συμπληρούντων, δι' ἔνδειαν ὀνομάτων παρονομαζόμενα ὅλα, οἷον, τὸ παρὰ τῆς χειρὸς χειρωτὸν, παρὰ τῆς κεφαλῆς κεφαλωτὸν, παρὰ τοῦ κλάδου κλαδωτὸν, παρὰ τοῦ πτεροῦ πτερωτὸν, παρὰ τοῦ πηδαλίου πηδαλιωτὸν, καὶ τὰ τοιαῦτα, πρὸς δὲ καὶ τὰ ἀπὸ τῆς καθ' ἕξιν ἢ στέρησιν ποιότητος, οἷον, ὁ παρὰ τῆς ἐπιστήμης ἐπιστήμων. παρὰ τῆς ἀγνοίας ὁ ἄγνωστος, καθ' ὑπεροχὴν μέν εἰσιν. ὑπερέχει γὰρ τό, τε ὅλον τοῦ μέρους, καὶ τὸ ἔχον τοῦ ἐχομένου, ἀπ' εὐθείας γε μὴν οὐ πρὸς γενικὴν ἀποδίδοται τοῦ πρὸς ὃ ἡ σχέσις, ὡς εἶναι λέγειν, τὸ κεφαλωτὸν, κεφαλῆς ἐστι κεφαλωτὸν, ἢ ὁ ἐπιστήμων ἐπιστήμης ἐστὶν ἐπιστήμων. εἴη γὰρ ἂν οὕτω μέρος μὲν, τὸ ὅλον, ὅλον δὲ, τὸ μέρος, ἢ ἐχόμενον μὲν, τὸ ἔχον, ἔχον δὲ, τὸ ἐχόμενον, ἀλλὰ

ἀλλὰ πρὸς δοτικὴν, οὐ κατὰ τὰ ἐξ ἴσου Πρός τι, συνεκδοχικῶς δὲ, τῆς δοτικῆς ἀντὶ αἰτιατικῆς εἰλημμένης τῆς τὸ κατά τι δηλούσης. οἷον, κεφαλωτὸν κεφαλῇ ἐστι κεφαλωτόν. οὐ ποδὶ δηλαδὴ, ἢ χειρί. ὁμοίως καὶ ὁ ἐπιστήμων ἐπιστήμῃ ἐστὶν ἐπιστήμων. οὐ γὰρ ἀγνοίᾳ. εἴη δ' ἂν οὕτως εἰλημμένον καὶ τὸ, τὸ ἐπιστητὸν ἐπιστήμῃ ἐστὶν ἐπιστητόν. καὶ ἁπλῶς, ὅσα οὐκ ἐξ οἰκείας φύσεως πρὸς θάτερον ἀπονένευκεν, ἀλλὰ παρὰ τὸ σύζυγον ἐξ οἰκείας φύσεως λέγεσθαι πρὸς αὐτὰ, διὰ τοῦτο κἀκεῖνα ἀντιστρόφως ἁπαντᾷ πρὸς αὐτὸ, τὴν ἐκείνου ἀναφορὰν ἀποτερματίζοντα. οἷά ἐστι τὰ ἀπὸ τοῦ κατὰ τὸ γ', παθητικοῦ παρακειμένου εἰς τος, ζειγενῆ. οἷον, μετρητὸν, αἰσθητὸν, νοητὸν, τεχνητὸν, ἐπιστητόν. ἐπιστήμη μὲν γὰρ φύσει πρὸς τὸ ἐπιστητὸν ἀναφέρεται, ὡς καὶ πατὴρ πρὸς τὸν υἱὸν, οὐκ ἔτι δὲ καὶ τὸ ἐπιστητὸν φύσει, ὡς ὁ υἱὸς πρὸς τὸν πατέρα, ἀπονένευκε πρὸς τὴν ἐπιστήμην, ἀλλὰ δι' ὅ, τι ἡ ἐπιστήμη ἀπονένευκε πρὸς αὐτό. Τῆς γε μὴν ἀφῃρημένης ποιότητος συγκεκραμένως προενεχθείσης, εἴη ἂν ἡ δοτικὴ οὐχὶ συνεκδοχικὴ, τὸ δὲ ποιητικὸν αἰτιολογοῦσα. οἷον τὸ ἐπιστητὸν ἐπιστήμονί ἐστιν ἐπιστητὸν, ἤτοι ὑπὸ ἐπιστήμονος. ὡς καὶ Ἀριστ'λ: γ', φυσικ. Ἀκρ. τὸ κινητόν φησιν, ὑπὸ τοῦ κινητικοῦ ἐστι κινητόν. Τὰ δὲ τῶν ὡς κτητικῶν ἀντισχετικὰ, οἷον, τοῦ γραφεὺς, κοπεὺς, τὸ γραφόμενα καὶ κοπτόμενα, καὶ τὰ τοιαῦτα, καθ' ὑποταγὴν μέν εἰσιν. ὑποτέτακται γὰρ τά τε γραφόμενα τῷ γραφεῖ, καὶ τὰ κοπτόμενα τῷ κοπεῖ. μετοχαί γε μὴν ὄντα, οὐ πρὸς γενικὴν, τὴν δὲ κατὰ τὰ σύστοιχα ῥήματα παθητικὴν βούλεται σύνταξιν, δοτικῇ ἀντὶ γενικῆς προθετικῆς αἰτιολογούσης τὸ ποιητικὸν συντασσόμενα. κοπτόμενον οὖν κόπτῃ φαμὲν, καὶ κεκομμένον κοπεῖ, ὅτι καὶ κέκοπται κοπεῖ. καὶ γραφόμενον γραφεῖ, ὅτι καὶ γράφεται γραφεῖ. παρὰ δὲ τῷ Ἀριστ'λ: ἀντιδιῄρηται τὰ ὡς Κτητικὰ τοῖς καθ' ὑπεροχὴν καὶ ὑποταγὴν Πρός τι. τοῦ πρός τι γάρ φησι, τὸ μὲν, καθ' ὑπεροχὴν καὶ ἔλλειψιν λέγεται, τὸ δὲ, κατὰ τὸ ποιητικὸν καὶ παθητικὸν, καὶ ὅλως κινητικόν τε καὶ κινητόν. τὸ γὰρ κινητικὸν, κινητικὸν τοῦ κινητοῦ. καὶ τὸ κινητὸν, κινητὸν ὑπὸ τοῦ κινητικοῦ. γ', φυσικ: ἀκροάσ: ὡς γοῦν τῶν ὡς Κτητικῶν ἐνέργειαν δηλούντων, τὸ τούτων ἀντισχετικὸν ὡς πάθος δηλοῦν, ἀπ' εὐθείας οὐ πρὸς γενικὴν κατὰ τὰ καθ' ὑποταγὴν Πρός τι, ἀλλὰ πρὸς δοτικὴν αἰτιολογοῦσαν τὸ ποιητικὸν φέρεται, τὸ γὰρ, τὸ κινητὸν κινητικῷ ἐστι κινητὸν, ταὐτὸν ἐστι τῷ, τὸ κινητὸν ὑπὸ τοῦ κινητικοῦ ἐστι κινητόν. εἴη δ' ἂν οὕτως εἰλημμένον καὶ τὸ δουλωτὸς πάθεσιν, οἱονεὶ δεσπόταις. κατὰ γὰρ τὸ δεδούλωται πάθεσι συστοιχοῦν ῥῆμα παθητικῶς συνετάγη. τὸ δὲ ἀκολουθητικὸς τοῖς πάθεσιν ὁ νέος, ἑτεροῖόν τί ἐστι. κατὰ γὰρ τὸ ἀκολουθεῖ τοῖς πάθεσι, συστοιχοῦν ῥῆμα περιποιητικῶς συνετάγη. τό γε μὴν ἀκόλουθος τοῦ βασιλέως, κατὰ τὰ καθ' ὑποταγὴν Πρός τι ἠνέχθη πρὸς γενικήν. ὁ γὰρ ἀκόλουθος, ἡγουμένου ἐστὶν ἀκόλουθος. τοῦ δὲ ἡγουμένου καθ' ὑπεροχὴν ὄντος, δῆλον ὡς ὁ ἀκόλουθος τῶν καθ' ὑποταγήν ἐστι. καὶ τὸ γένος δὲ καὶ τὸ εἶδος, ὡς δι' ἀλλήλων ὑπογραφόμενα, τῶν Πρός τί φασιν εἶναι, οὔ γε μὴν δοκεῖ, εἴ γε τῇ φύσει τὰ μὲν Πρός τί εἰσιν ἅμα, τὰ δὲ, οὐχ ἅμα, ἀλλὰ τὸ μὲν αὐτῶν ἐστι πρότερον, τὸ δ' ὕστερον, τὸ εἶδος. οὐδ' ἀεὶ πρὸς ἄλληλα ἀναφέρεται. εἴ γε θάτερον τούτων, ἦν ὅτε, ὄντος τοῦ ἑτέρου, οὐκ ἦν. τοιοῦτο γὰρ τὸ ὕστερον. οὐδὲ συναναιροῦσι καὶ συνεισάγουσιν ἄλληλα κατὰ τὰ πρός τι, ἀλλὰ τῷ μὲν εἴδει συνεισάγεται μὲν, οὐ μὴν καὶ συναναιρεῖται τὸ γένος, τῷ δ' αὖ γένει συναναιρεῖται μόνον, οὐ μὴν καὶ συνεισάγεται τὸ εἶδος. Ἢ ὅτι, ὡς καὶ προείρηται, τῶν ὀνομάτων τὰ μὲν, εἰσὶ τῶν Ὄντων σημαντικὰ, τὰ δὲ, οὐχὶ τῶν ὄν-

των, ἁπλῶς δὲ τοῖς τῶν ὄντων σημαντικοῖς μόνον ἐνθεωρούμενα. τὰ δὴ τῶν Ὄντων σημαντικὰ τῶν σφίσι προσόντων οὐδ' ὁπωστιοῦν ἐπικοινωνεῖ τοῖς ἁπλῶς ὀνόμασιν. οὔκουν τὸ πρότερον καὶ τὸ ὕστερον, ὡς ἐν τῷ ζῴῳ τε καὶ τῷ Ἀνῷ, οὕτω κἀντῷ γένει καὶ εἴδει θεωρηθήσεται, λέγω δὴ ταῖς καθόλου φωναῖς. οὔτε μὴν, ἐπεὶ τὸ Ζῷον συνεισαγόμενον, οὐ συνεισάγει τὸν ἄνον, ἤδη ταὐτὸ τοῦτο καὶ τὸ γένος πρὸς τὸ εἶδος ὑποστήσεται. Τῶν δὴ πρός τι τὰ Τύχῃ, Φύσει, Τέχνῃ, καὶ Προαιρέσει ἐν τῇ τριττῇ διαιρέσει ὁ Θεόδωρος συμπεριείληφε, τὰ μὲν κατὰ Προαίρεσιν, ἐν τοῖς ἐξ ἴσου, τὰ δὲ λοιπὰ, ἐν τοῖς καθ' ὑπεροχὴν τε καὶ ὑποταγὴν. αἱ δὲ καθ' ὑπεροχὴν καὶ ὑποταγὴν λέξεις ἐλήφθησαν ἀπὸ τοῦ α', κφ': τοῦ γ', βιβλί: τῆς φυσικῆς τοῦ Φιλοσόφου ἀκροάσεως, ἔνθα ἀντὶ τοῦ καθ' ὑποταγὴν κατ' ἔλλειψιν κεῖται. Τῶν δὲ πρὸς ἕτερον λεγομένων εἰσὶ καὶ ἄλλα ἅττα παρὰ τὰ προκείμενα, ὧν εἰσι διαφοραὶ τέσσαρες. τὰ μὲν, κοινωνοῦντα ἀλλήλοις κατά τε τοὔνομα καὶ τὸν τῆς οὐσίας λόγον. οἷα τὰ συνώνυμα. τὰ δὲ, ἀνάπαλιν κατ' ἄμφω διαφέροντα, ἔχοντα μὲν ἐν ὑποκείμενον, οἷα τὰ Ἑτερώνυμα, ὡς ἀνάβασις καὶ κατάβασις ἐπὶ τῆς κλίμακος, ἢ τοῦ ὄρους, ἢ ὡς καρπὸς καὶ σπόρος ἐπὶ τοῦ σίτου. διάφορα δὲ ἔχοντα τὰ ὑποκείμενα, οἷα τὰ ἕτερα, ὡς ζῷον καὶ ἐπιστήμη. τὰ δὲ, κατὰ μὲν τοὔνομα κοινωνοῦντα, τὸν δὲ κατὰ τοὔνομα λόγον τῆς οὐσίας διαφέροντα, οἷα τὰ Ὁμώνυμα, τὰ δὲ τἀνάπαλιν κατὰ μὲν τὸν τῆς οὐσίας λόγον κοινωνοῦντα, διαφέροντα δὲ κατὰ τοὔνομα, ὡς τὰ Πολυώνυμα. τὰ δὲ, ἀπότινος παρωνομασμένα, εἴτ' οὖν τὰ Παρώνυμα. ἅττα μεταξύ εἰσι τῶν Συνωνύμων τε καὶ Ὁμωνύμων, κοινωνοῦντα καὶ διαφέροντα τῷ τε ὀνόματι καὶ τῷ κατὰ τοὔνομα λόγῳ. πλησιάζει δὲ μᾶλλον τοῖς Συνωνύμοις, ὡς πλείονα τὴν κοινωνίαν, ἢ τὴν διαφορὰν ἔχοντα. εἰσὶ μὲν οὖν καὶ ταῦτα τῶν πρὸς ἕτερον λεγομένων κατάτινας, οὔγε μὴν καὶ ἀεὶ πρὸς ἕτερον θεωρεῖται, δυναμένου ἑνὸς ἑκάστου τούτων καὶ καθ' ἑαυτὸ θεωρεῖσθαι. οὐ γὰρ ἀεὶ ὁ χερσαῖος Κύων, ἢ κύων πρὸς τὸν θαλάττιον ἀναφέρεται. ἢ ὁ Πέτρος πρὸς τὸν Παῦλον, ἢ ἄνος, ἑνὸν καὶ μὴ ὄντος θαλαττίου Κυνὸς, οὐδὲν ἧττον εἶναι χερσαῖον. ἀλλ' οὐδὲ τὰ παραθετικὰ τῶν ὀνομάτων ἀεὶ πρὸς ἕτερον, ἀλλὰ καὶ καθ' ἑαυτὰ λέγεται, ὡς ῥηθήσεται. πρὸς ἃ δὲ ἡ σχέσις, φησὶν, ἀποδίδοται τὰ πρός τι, οὐ μὴν πρὸς ἄσχετόν τι, καὶ κατὰ τὸν Φίφον ἕκαστον οἰκείως πρὸς ὃ λέγεται, καὶ ἁπλῶς πρὸς τὰ ἀντιστρέφοντα, ἵνα καὶ ἀντιστρέφειν ἔχῃ πρὸς ἄλληλα. ὁ υἱὸς πατρὸς υἱὸς, καὶ ὁ πατὴρ υἱοῦ πατήρ. ὁ δεσπότης δούλου δεσπότης, καὶ ὁ δοῦλος δεσπότου δοῦλος. ἔνθεντοι τὸ πρὸς ἀντιστρέφοντα τὰ Πρός τι λέγεσθαι, ἐν παραθέσει τῆς προθέσεως γράφεται. Τὰ δὲ μὴ πρὸς ἃ ἡ σχέσις, ἀλλὰ διημαρτημένως ἀποδιδόμενα, ἀτελῶς τε λέγεται, ἐπιζητοῦντα τὴν ἀναπλήρωσιν, καὶ οὐδὲ ἀντιστρέφει. οἷον, ὁπαῖς Σωκράτους. οὐκέτι δὲ καὶ, Σωκράτης παιδὸς, διὰ τὸ μὴ οἰκείως τὸ α', ἀποδεδόσθαι. οὐδὲ γὰρ, ἢ Σωκράτης, ταύτῃ ὁπαῖς αὐτοῦ λέγεται, ἀλλ' ἢ πήρ. ἐπεὶ πολλῶν καὶ ἄλλων παῖδές εἰσιν, οἳ οὐκεῖσι Σωκράται. πολλοί τε Σωκράται, ὧν οὐκεῖσι παῖδες. Σχέσις δέ ἐστί τινος πρὸς ἕτερον ἀναφορὰ κατὰ τὸν Κορέσσ: Γεώργιον, ἢ μᾶλλον, δύοιν τινῶν πρὸς ἄλληλα. (τὸ δὲ τῆς ἐκφάνσεως, ὁ Θεολόγος φησὶν, ἢ τῆς πρὸς ἄλληλα σχέσεως διάφορον. ἐν τῷ περὶ τοῦ ἁγίου Πνεύματος λόγῳ. κἀντῷ β', εἰρηνικῷ, οὐχ ἧττον ἐπαινετὰ τῆς πρὸς ἄλληλα σχέσεως.) καὶ ὡς εἰπεῖν, ἀλληλουχία τις τῶν μὲν ἐξ ἴσου, κατὰ ταυτωνυμίαν, τῶν δὲ καθ' ὑπεροχὴν τε καὶ ὑποταγὴν, καθ' ἑτερωνυμίαν, ἑκατέρων διὰ

τῆς πρὸς

τῆς πρὸς ἄλληλα ἀναφορικῆς οἱονεὶ κινήσεως καὶ ἀπονεύσεως ἀλληλουχουμένων. καὶ γάρ τοι τῶν Σχέσεων οὐ μόνον αἱ τῷ ἑνὶ, οἷαι αἱ τῶν ταὐτῶν καὶ ὁμοίων καὶ ἴσων, ἀλλὰ καὶ αἱ τῷ ἀριθμῷ βεβηκυῖαι, οἷαι αἱ τῶν ἀνομοίων καὶ ἀνίσων, ᾗ θάτερον ἔσχεν ἀναφορὰν πρὸς τὸ ἕτερον, ταύτῃ γ' οὐκ ἀπεικότως λέγοιντ' ἂν ἀλληλουχίαι. ἔνθεντοι καὶ ἐπιλαμβάνονταί τινες τοῦ Θεοδώρου, τὰ πρός τι εἰπόντος πρὸς ἕτερον θεωρεῖσθαι, δέον εἰπεῖν πρὸς ἄλληλα. ἀλλὰ γὰρ τῶν σχετικῶν οὐχὶ ἑκάτερον λέγεται Πρός τι, ἀλλὰ μόνον τὸ προλημματισθὲν ἐν τῇ τοῦ λόγου συντάξει, τὸ δὲ ἕτερον, Πρὸς ὃ ἀκούει, οὐ Πρός τι. φησὶ γὰρ, τὰ πρὸς ἕτερον θεωρούμενα, ὀνομάζεται Πρός τι, ἀποδίδοται δὲ πρὸς ἃ ἡ σχέσις. τῶν ἄρα σχετικῶν τοῦ μὲν, Πρός τι ἀκούοντος, τοῦ δὲ, πρὸς ὃ, οὐχὶ ἑκάτερα, θάτερον δὲ μόνον, τὸ ὡς εἴρηται προλημματιζόμενον ὑπέγραψεν. οὐδὲ γὰρ, ὥσπερ φύσει τε καὶ χρόνῳ, ἑπομένως δὲ καὶ γνώσει, οὕτω δὴ ἅμα ἐστὶν ἡ ὁμόστοιχος συζυγία τῶν σχετικῶν καὶ τῇ διεξοδικῇ ἐκφορᾷ εἴτ' οὖν ἀπαγγελίᾳ. ταύτῃ γὰρ θάτερον, ὁπότερον ἔτυχε, πρότερόν ἐστι τοῦ ἑτέρου. τοῦτο δὲ οὐ πρὸς ἄλληλα λέγεται φέρεσθαι, εἴγε τὸ ἀλλήλων, ἐπὶ πολλῶν, οὐκ ἐφ' ἑνὸς, πρὸς δὲ θάτερον τῶν ὁμοστοίχων. ταύτῃ γοῦν, οἶμαι, καὶ Πρός τι τὰ σχετικὰ ἤκουσε, δέον ἄλλως πρὸς ἄλληλα, ἀλλὰ μὴ Πρός τι λέγεσθαι. ἅμα γὰρ ληφθέντα, οὐ πρός τι ἄλλο παρ' ἑαυτὰ, πρὸς δὲ ἄλληλα ἀναφέρεται.

Ὡσαύτως δὲ καὶ τὰ κατὰ διαφορὰν λεγόμενα οἷον, ἄλλο, ἕτερον, διάφορον. καλείσθω δὲ Διαφορικά.

Ἀπὸ κοινοῦ τὸ, ἀπ' εὐθείας πρὸς γενικὴν τῶν πρὸς ἃ ἡ διαφορὰ, ἀποδίδοται. Τῶν δὲ διαφορικῶν τὰ μὲν οὐδετέρως προφερόμενα, ἐπὶ τῆς κατ' οὐσίαν διαφορᾶς λαμβάνεται. φαμὲν γὰρ ἄλλο ὁ ἵππος τοῦ ἀνοῦ. καὶ ἕτερον τὸ Ζῷον τῆς Ἀρετῆς. κατὰ δὲ τὰ λοιπὰ γένη ἐπὶ τῆς καθ' ὑπόστασιν. οἷον, ἄλλος ὁ Πέτρος τοῦ Παύλου. ἕτερος ὁ Σωκράτης τοῦ Πλάτωνος. ἐπεὶ γὰρ τὰ τῆς ἀρρενοθηλείας οὐ τῇ οὐσίᾳ, ταῖς δὲ ὑποστάσεσι πρόσεστι, διὰ τοῦτο τὸ μὲν ἀποφατικὸν τῶν γενῶν, τῇ οὐσίᾳ τὸ, δὲ καταφατικὸν ταῖς ὑποστάσεσι προσεκυρώθη. κατὰ δὲ τὸ ἄλλο καὶ ἄλλος, λέγεται καὶ τὸ ὅλον καὶ ὅλος. Τὸ γοῦν Ἄλλος γενικῇ μὲν συνταττόμενον, διαφορὰν μόνον, ὡς εἴρηται, δηλοῖ ὑποστάσεως. ἄλλος ὁ Πέτρος τοῦ Παύλου, δηλοῦν δέποτε πρὸς τῇ ὑποστατικῇ διαφορᾷ καὶ ἀκριβῆ τινα ὁμοιότητα τῆς πρὸς ἣν διαφέρεται ὑποστάσεως, οὔκουν τοτηνικαῦτα γενικῇ, ὁμοιοπτώτως δὲ συντάσσεται. ἄλλος οὗτος Ἡρακλῆς. ἐπὶ Θησεῖ τοπρῶτον ῥηθέν. καὶ κατὰ Πυθαγόραν, φίλος ἐστὶν ἄλλος ἐγὼ, τῆς κατὰ τὰ ἤθη σχετικῆς κοινωνίας τῶν φίλων ἐν τοῦθεν δηλουμένης. τὸ δὲ Ἀλλοῖος λαμβάνεται ἐπὶ διαφορᾶς τῶν κατὰ τὴν αὐτὴν ὑπόστασιν συμβεβηκότων. ὡς δηλοῖ καὶ τὸ περὶ τοῦ Ὀδυσσ'. πρὸς τῆς Ἀθηνᾶς εἰρημένον. ἀλλοῖός μοι ξεῖν' ἐφάνης νέον ἠὲ πάροιθεν.

Τὰ κατὰ διαφορὰν ἐν τοῖς Πρός τι τάττουσί τινες, ὡς καὶ αὐτὰ μὴ ἀπολύτως, ἀλλὰ πρὸς ἕτερον λεγόμενα κατὰ τὸν Θεόδωρον, καὶ τῶν πρός τι τοῖς εἴδεσιν ἀντιδιαιρεῖσθαι δοκοῦντα. τὰ δὲ ἀλλήλοις ἀντιδιαιρούμενα εἴδη, τοῦ αὐτοῦ γένους τυγχάνει τμήματα. Τοῖς μὲν γὰρ καθ' ὑπεροχὴν καὶ ὑποταγὴν τῶν Πρότι ἀνίσοις οὖσι καὶ ἀνομοίοις, (τῷ λόγῳ λέγω τῆς ὑπεροχῆς καὶ ὑφέσεως) τὰ κατὰ Διαφορὰν συστοιχοῦντα φαίνεται. (εἴγε καὶ ἔστιν ἡ διαφορὰ κατ' οὐσίαν μὲν, ἑτερότης, κατὰ ποσὸν δὲ, ἀνισότης, κατὰ ποιὸν δὲ, ἀνομοιότης. ἡ δὲ ὑπεροχὴ καὶ ὕφεσις διαφοράτις ἐστὶ καὶ αὐτὴ, εἰ καὶ μὴ ἑτερότητος, ὅτι οὐ κατ' οὐσίαν, ἀλλ' οὖν ἀνομοιότητος, πρὸς δὲ καὶ ἀνισότητος, πλεονεξία τις οὖσα καὶ μειονεξία.) τοῖς δὲ ἐξ ἴσου ἀντιδιαιρεῖ-

αιρεῖσθαι δοκεῖ. (εἴγ' ἀντιστοιχεῖ τῷ ταυτῷ μὲν τὸ ἕτερον, τῷ ὁμοίῳ δὲ τὸ ἀνόμοιον, τῷ δὲ ἴσῳ τὸ ἄνισον, καὶ πᾶσιν ἁπλῶς τὸ διάφορον.) Ἀλλὰ γὰρ ἐν τῇ συνοπτικῇ τοῦ ὀνόματος συντάξει τῶν πρὸς ἕτερον λεγομένων ἕκαστον, ἀντιδιῄρηνται ἀλλήλοις κατὰ κοινὸν γένος τὸ πρὸς ἕτερον λέγεσθαι. εἴγε τὰ μὲν αὐτῶν ἐστι παραθετικὰ, τὰ δὲ, Διαφορικὰ, τὰ δὲ, πρός τι, τὰ δὲ καὶ ἑξῆς. τὰ δὲ κατά τι κοινὸν γένος ἀλλήλοις ἀντιδιαιρούμενα, οὐκ ἂν ἀλλήλοις συνενεχθείη, οὐδὲ τῶν πρὸς ἕτερον ἄρα λεγομένων τοῖς Πρός τι τὰ παρὰ ταῦτα. εἰ δὲ τοῦτο, οὐδὲ πᾶν ἄρα ἁπλῶς τὸ πρὸς ἕτερον λεγόμενον, ἐστὶ πρός τι, ὡς οὐδὲ πᾶν ἁπλῶς ζῷον, ἀλλὰ τὸ τὶ, ἐστὶν ἀνός. ἐκ δὲ μείζονος μερικῆς οὐδὲν συνάγεται. Τηρητέον δὲ, ὡς τὸ ἄνισον καὶ ἀνόμοιον, δέον κατὰ τὰ ὁμοειδῆ, τὸ ἕτερόν φημι καὶ διάφορον, γενικῇ συμφέρεσθαι, τὰ δὲ, δοτικῇ κατὰ τὰ σφῶν αὐτῶν ἑτεροειδῆ θετικὰ, καὶ ἁπλῶς τὰ ἐξ ἴσου τῶν Πρός τι συντάσσεται, τῆς ἐπιγενομένης στερήσεως μὴ πάντως καὶ τὸν ἅπαξ τεθέντα τόπον τῇ ἕξει συναναιρούσης. οὐχ ἧττον καὶ γὰρ τὸ ἀπορῶ, ἢ τὸ εὐπορῶ Κτητικά. οὐδὲ μᾶλλον τὸ ἴσον ἢ τὸ ἄνισον, τῶν ἐξ ἴσου Πρός τι. ἐπίσης τε τὸ ἀμνημονῶ καὶ τὸ μνημονεύω Φροντιστικά. πρόσκειται δὲ τὸ μὴ πάντως, διὰ τὸ ἔοικε καὶ ἀπέοικε. τὸ μὲν, τῶν Περιποιητικῶν, τὸ δὲ, τῶν κατ' εἰσπομπὴν Ἀποστατικῶν ὂν, καὶ διὰ τὸ εὔπορος καὶ ἄπορος. ὧν οὐχ ὁμοειδῆ ἑκάτερα, ἀλλὰ τὸ μὲν, ἐστὶ στερητικὸν, τὸ δὲ, πληρωτικόν. ἔνθεν τοι ζητητέον, τί ὅτι τὰ ἀπ' αὐτῶν παρωνυμούμενα ῥήματα, φημὶ δὴ τὸ ἀπορῶ καὶ εὐπορῶ, μὴ ἑτεροειδῆ καὶ αὐτὰ, ὡς εἶναι τὸ μὲν αὐτῶν κτητικὸν, ἢ πληρωτικὸν, ἢ τοιοῦτό τι, τὸ δὲ, στερητικὸν; ἀλλ' ὁμοειδῆ, μᾶλλον δ' ὁμώνυμα τυγχάνει; κτητικὰ γὰρ ἀκούει ἑκάτερα.

Ἐξ ἴσου δὲ ὄντα, ἀπ' εὐθείας πρὸς δοτικὴν. ὡς τὸ, φίλος τῷ δεῖνι, καὶ ἴσος, καὶ γείτων, καὶ ὅμοιος, καὶ ὁ αὐτὸς, καὶ ὁ ἐναντίος.

Τοῖς ἐξ ἴσου καὶ τὰ ἐξ ὁμοίου συνείληπται, καὶ τὰ ἐκ ταὐτοῦ. εἴγε φιλία μὲν, ἐναντιότης, ὁμοιότης καὶ τὰ τοιαῦτα ποιότητός εἰσιν, οὐ ποσότητος. ἧς ἐστι τὸ ἴσον, οὐσιῶν δὲ ἡ ταυτότης. πρὸς δοτικὴν δὲ ἀποδίδοται τὰ τοιαῦτα, οὐ διὰ τὸ ὑπαρκτικὸν ῥῆμα περιποιητικῶς, ὡς οἴεται Θωμᾶς ἐν τῷ γείτων, διὰ δὲ τὴν ἐξ ἴσου σχέσιν, μαχομένην τῇ περιποιήσει. ἡ γὰρ περιποίησις οὐ σῴζει τὸ ἴσον, τῆς μὲν δοτικῆς ὑπεροχὴν, τῆς δὲ εὐθείας ὑποταγὴν κατηγοροῦσα, ἢ τὸ ἐναλλάξ. σκόπει δὲ, ὡς τὸ μὲν διάφορον καὶ τὸ ἐναντίον, τινί φησιν Ἀριστ'λ: δ', τῶν τοπικῶν. τὸ δὲ ἕτερον, γένος ὂν τούτων, οὐ τινὶ ἀλλὰ τινός. ἕτερον γὰρ, τινὸς λέγεται. καὶ τὸ μὲν ἕτερον, τινὸς λέγεται ἀπολύτως, οὐκ ἀνάγκη γὰρ (φησὶν Ἀριστοτέλης ἐν Γ, μεταφυσ: κφ': γ',) εἶναι καὶ τινὶ ἕτερον, τὸ δὲ διάφορον, οὐ μόνον τινὸς, ἀλλὰ καὶ τινί. μετὰ προσδιορισμοῦ δηλονότι τοῦ καθ' ὃ ἐστί τινος διάφορον. ὅθεν ἐπὶ τοῦ ἕτερα τῷ γένει, ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ, τὸ μετὰ προσδιορισμοῦ λεγόμενον ἕτερον, ἀντὶ τοῦ διάφορον. κατὰ ταυτὰ δὲ τῷ διάφορόν φησι καὶ περὶ τοῦ μείζονος καὶ ὑπερέχοντος, Τοπικῶν: βιβλ': δ', κφ': δ', τὸ δ' ὑπερέχον καὶ τὸ μεῖζον, τινὸς καὶ τινί. πᾶν γὰρ, φησὶ, τὸ ὑπερέχον καὶ τὸ μεῖζον, τινὶ ὑπερέχει, καὶ τινὸς ὑπερέχει, (τῆς δοτικῆς κἀνταῦθα συνεκδοχικῶς εἰλημμένης.) Ὅμοια δὲ λέγεται, ὅσα ἑτερογενῶς μὲν ἔχει πρὸς ἄλληλα, καὶ οὐ τὰ αὐτὰ κατὰ φύσιν (ἢ ἑτεροαρίθμως, καὶ οὐ τὰ αὐτὰ τῷ ἀριθμῷ.) διὰ δέ τινος τῶν παρεπομένων τοῖς ὑποκειμένος, σχήματος λέγω χρώματος καὶ ἤχου, καὶ τῶν ὅσα διά τινος τῶν αἰσθήσεων τὸν παραλογισμὸν ἐμποιεῖ, ὁμοιοῦσθαι ἀλλήλοις νομί-

νομίζεται. (Γρηγόρ: νύσσ: α', κατ' Εὐνομίου.

Καὶ ὅσα ἐκ τοῦ ὁμοῦ, ἢ τῆς σὺν, τυγχάνει συγκείμενα. οἷον, ὁμοούσιος, ὁμοφυής, σύμψηφος, σύνεδρος.

Κατ' ἐπικράτειαν τῶν συγκειμένων αὐτοῖς μορίων. δι' ἣν δὴ καὶ τὸ ὑπεύθυνος, προσεκτικὸς, ὑπόχρεως, ἔννοχος, σύμμαχος, πρὸς δοτικὴν. φημὶ δὴ τὰ συγκεκριμένα. οἷον, ὁμότιμος τῷ δεῖνι. τὰ γὰρ ἀφῃρημένα ἀεὶ γενικῇ κτητικῶς. οἷον, τὴν τοῦ πρὸς ὁμοτιμίαν ἢ ἰσοτιμίαν. πρὸς δοτικὴν ἔτι καὶ τὰ, ὡς εἴρηται, κατὰ τὰ σύστοιχα αὐτῶν ῥήματα, ἤτοι περιποιητικῶς συντασσόμενα, οἷον τὸ ἀκολουθητικὸς, καὶ εἴ τι τοιοῦτο. ἢ ὀργανικῶς, οἷον τὸ γραπτὸν γραφεῖ, καὶ δουλωτὸς πάθεσι.

Τὸ δὲ πρὸς γενικὴν ταῦτα συντάσσειν, Κτητικοῦ ἂν εἴη, οὐ τοῦ περὶ τὰ Πρός τι ἐτύμου.

Μυριαχοῦ γὰρ εὕρηται γενικῇ συντασσόμενα, κτητικῶς γε μὴν, οὐ μὴν καθ' ἣν ἀπαιτεῖ ἀκρίβειαν τε καὶ ἀλήθειαν τὰ ἐξ ἴσου τῶν Πρός τι. ἔτυμον γὰρ τὸ ἀληθὲς, ἐκ τοῦ ἔτος, συντεθέν. ὅπερ ἐκ τοῦ εἰμι. ἀφ' οὗ καὶ ἡ ἐτυμολογία, λόγος οὖσα ἐπαλιθιζομένην δεικνὺς τὴν λέξιν τῇ φύσει τοῦ πράγματος. κτητικοῦ δὲ εἶναι εἰπὼν, οὐ μὴν τοῦ περὶ τὰ Πρός τι ἐτύμου, δοκεῖ μὲν ἐν τούτοις ἀντιδιαιρεῖν τοῖς Πρός τι τὴν κτητικὴν σύνταξιν, ἔν γε μὴν τοῖς ἑξῆς δειχθήσεται καὶ τὸ κτητικὸν τῶν πρός τι ὄν. γράφεται δὲ καὶ τοῦ περὶ τὸ πρός τι ἐτύμου, ἑνικῶς. εἴ γε τῶν συστοίχων σχετικῶν οὐχὶ ἑκάτερον, ὡς εἴρηται, μόνον δὲ τὸ προλημματισθὲν λέγεται πρός τι, τὸ δὲ κατὰ γενικὴν, ἢ δοτικὴν, οὐχὶ πρός τι, πρὸς ὃ δὲ ἀκούει. μήποτε δὲ γραπτέον ᾖ, οὐ τοῦ περὶ τὰ πρός τι ἰσοτίμου, ὡς τῆς κτηματολογούσης ἁπλῶς γενικῆς τὸ ἀνισότιμον ἐχούσης, τοιαῦτα γὰρ τὰ καθ' ὑπεροχὴν καὶ ὑποταγήν.

Ὡσαύτως δὲ καὶ τὰ ἀπὸ τοῦ Ὁμοίου, καὶ Ἴσου, καὶ τῶν τοιούτων. οἷον, ὁμοιοσχήμων, ἰσοπαλής.

Τὸ ἴσον κατὰ τὰ πρός τι ἀπαιτεῖ καὶ αὐτὸ τὴν ἑαυτοῦ σχέσιν. δι' ὃ ἐλλιπῶς ἔχει, ἐὰν ᾖ μόνον. οἷον αἱ χεῖρες ἴσαι τῇ προθυμίᾳ. ἀποδιδομένης δὲ αὐταῖς τῆς σχέσεως, ἐντελὴς ὁ λόγος γράφεται, ἔχων οὕτως. αἱ χεῖρες ἴσαι τῇ προθυμίᾳ, ἴσῃ ταῖς χερσίν. ἐξ ἀνάγκης γὰρ ἡ ἑκατέρων ἰσότης περὶ ἑκάτερα αὐτὰ ταῦτα χωρήσει, μὴ κειμένου ἑτέρου, ἐφ' ὃ ἂν αὐτῆς ἡ ἀπόδοσις γένοιτο. τὰ δὲ ἐξ ὁμοίου πρός τι οὐ πανταχοῦ ἂν εἴη πρὸς ἀντιστρέφοντα, Διονύσ: ἀρεοπγ': κφ': θ', περὶ θείων ὀνομ'. τὰ μὲν γὰρ παραγόμενα αἰτιατὰ, ἐπιστρεφόμενα ἐπὶ τὸν τῶν ἁπάντων αἴτιον Θεὸν τῇ κατὰ δύναμιν μιμήσει, ῥηθείη ἂν ὅμοια Θεῷ καὶ κατὰ θείαν εἰκόνα καὶ ὁμοίωσιν, οὐ μὴν δὲ καὶ τὸν Θεὸν αὐτοῖς ῥητέον ὅμοιον. ὅτι μηδὲ ἄνος τῇ ἰδίᾳ εἰκόνι ὅμοιος. ἐπὶ μὲν γὰρ τῶν ὁμοταγῶν καὶ ὁμοουσίων δυνατὸν καὶ ὅμοια αὐτὰ ἀλλήλοις εἶναι, καὶ ἀντιστρέφειν ἐφ' ἑκάτερα τὴν ὁμοιότητα, καὶ εἶναι ἄμφω ἀλλήλοις ὅμοια κατὰ προηγούμενον εἴτ' οὖν προεπινούμενον ὁμοίως εἶδος. ἐπὶ δὲ τοῦ αἰτίου καὶ τῶν αἰτιατῶν οὐκ ἀντιστρέφει. Τῶν δὲ πρός τι πρὸς ἕτερον ἀεὶ θεωρουμένων, ὡς εἴρηται, οἱ ἀριθμητικοὶ τὸ ποσὸν πρὸς ἑαυτὸ ἀναφέροντες, τὸ αὐτό φασιν ἑαυτῷ ἐστιν ἴσον, τὴν ἀναφορὰν δηλονότι πρὸς ἄλλα τῶν περὶ αὐτὸ θεωρουμένων, ὥς φασι, ποιούμενοι, πρὸς χρόνον τυχὸν, ἢ σχῆμα, καὶ ὅλως πρὸς ἄλλας αὐτοῦ καταστάσεις. εἴγ' ἡ ταυτότης ἑνότης ἐστὶν οὐχὶ ἑνὸς, ἀλλὰ κατὰ τὸν Ἀριστ'λ: ἢ πλειόνων τοῦ ἑνὸς, ἢ ὅταν χρῆται ὡς πλείοσι. (τῷ ἑνὶ δηλαδή) ἑξῆς γεμὴν

γε μὴν ὑποτιθεμένοι, τὸ ὅλον ἴσον ἐστὶ πᾶσι τοῖς αὐτοῦ μέρεσιν ἅμα ληφθεῖσι, τοῦ ἑνός, πρὸς αὐτὸ τοῦτο δοκοῦσιν, οὐ μὴν πρὸς τὰ περὶ αὐτὸ ποιεῖσθαι τὴν ἀναφοράν. εἴ γ' οὐκ ἄλλο τὸ ὅλον, καὶ ἕτερα τὰ αὐτοῦ μέρη ἅμα. πῶς γάρ; ὅπου γε μὴ δ' αὐτῇ ἐπινοίᾳ διαιρεθῆναι οἷόν τε ἢ τὰ μέρη ξύμπαντα τοῦ ὅλου, ἢ ἐναλλάξ; καὶ γὰρ καὶ κατὰ τὸν Ἀριστ'λ: (δ', περὶ ἀρχῶν) οὐ γάρ ἐστι παρὰ τὰ μέρη τὸ ὅλον.

Ὡς πρός τι.

Τὰ δὲ ὡς Πρός τι, οἷον, τὰ ἀμέσως ἀντικείμενα, διεζευγμένως ἀλλήλοις συντάσσεται. ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ. ἢ φῶς, ἢ σκότος. ἢ ζωὴ, ἢ θάνατος. ἢ νόσος, ἢ ὑγίεια.

Τῶν ἀντικειμένων, τὰ μὲν, κατὰ ἀντίφασιν, ὡς λευκὸν καὶ μὴ λευκόν. ὂν καὶ μὴ ὄν. ἀντίφασις δέ ἐστι μάχη καταφάσεως καὶ ἀποφάσεως, τοὺς αὐτοὺς ἐχουσῶν ὅρους ὑποκείμενον καὶ κατηγορούμενον ἑκατέρων. τὰ δὲ, κατὰ θέσιν, ἤτοι ἄμεσον, ὡς περιττὸν καὶ ἄρτιον. ἢ ἔμμεσον, καὶ ταύτην ἤτοι ἐν ὡρισμένον ἔχουσαν τὸ μέσον, ὡς θερμὸν καὶ ψυχρόν. ὧν μεταξὺ τὸ χλιαρὸν μόνον. ἢ πολλά τε καὶ ἀόριστα. ὡς λευκὸν καὶ μέλαν. ὧν μεταξὺ τὸ φαιὸν, τὸ κιρρὸν, καὶ ἄλλα, ὅσα κατὰ κράσιν τὴν ἐκ τῶν ἄκρων. Θετικὰ δὴ εἴρηται, οἷα δὴ ὑπαρκτικὰ, πρὸς ἀντιδιαστολὴν τῶν μὴ ὑπαρχόντων στερητικῶν. ὕπαρξιν γὰρ τὴν θέσιν ἐπὶ τῶν τοιούτων ἐν τοῖς κατ' Εὐνομίου ὁ μέγας ἐξέδωκε Βασίλειος. Τὰ δὲ, καθ' ἕξιν καὶ στέρησιν, ὡς ἀρετὴ καὶ κακία. ἕξις μὲν γὰρ ἡ ἀρετὴ, στέρησις δ' ἕξεως ἡ κακία. εἰσὶ δὲ καὶ τῶν Πρός τι τούτων ἑκάτερα, ἢ θεωρεῖται οὐχὶ πρὸς ἄλληλα, (πῶς γὰρ; τὰ μήτε συνεισάγοντα ἄλληλα, μήτε μὴν συναναιροῦντα;) πρὸς δὲ τὰ ἀπ' αὐτῶν παρωνυμούμενα ποιά. οἷον, ἡ ἀρετὴ πρὸς τὸν σπουδαῖον, καὶ ἡ κακία πρὸς τὸν κακόν. ἔνθεν εἴρηται καὶ τῷ Φίφῳ, τισὶ τῶν Πρός τι παρέπεσθαι ἐναντίωσιν. οὐ δὲ γὰρ καὶ τοῖς ἐν τῇ οὐσίᾳ, μόνοις δὲ τοῖς ἐν τῇ ποιότητι παρυφισταμένοις. εἴ γε τῶν Φύσει, Τύχῃ, Τέχνῃ καὶ Προαιρέσει τὰ πρός τι οὐκ ἀντίκειται ἀλλήλοις, ἀλλ' οὐ δὲ τὰ πρὸς ἅ, (ἐνὸν συγκυρῆσαι κατὰ τοῦ αὐτοῦ, ὥστε πατέρα τε εἶναι τὸν αὐτὸν, καὶ διδάσκαλον, καὶ δεσπότην, καὶ φίλον, δῆλον δ' ὅτι ἑτέρων. ἢ παῖδά τε τὸν αὐτὸν καὶ μαθητὴν καὶ δοῦλον, μήτε τῶν καθ' ὑποταγὴν μαχομένων ἀλλήλοις, μήτε τῶν καθ' ὑπεροχήν. οὐ μὴν δὲ καὶ τὰ καθ' ἕξιν ἢ στέρησιν Πρός τι. οὐ δὲ γὰρ οἷόν τε τῶν ποιοτήτων τὰς ἀντικειμένας, ἕξιν λέγω καὶ στέρησιν τοῦ αὐτοῦ πράγματος, συνελθεῖν ἅμα κατὰ τοῦ αὐτοῦ ὑποκειμένου, ὥστε τὸν αὐτὸν ἐπιστήμονά τε εἶναι ἅμα τοῦ αὐτοῦ καὶ ἀγνῶτα. τῶν δὴ ἀντικειμένων πρός τι ἐν τοῖς καθ' ἕξιν καὶ στέρησιν συνεπινοουμένων, τριχῶς μόνον θεωρεῖται τὰ Ἀντίθετα. (οὐδὲ γὰρ ἀντιδιαιρεῖται τοῖς καθ' ἕξιν καὶ στέρησιν τὰ ἀντικείμενα τῶν πρός τι, αὐτὰ ταῦτα ὄντα καὶ Πρός τι καὶ καθ' ἕξιν καὶ στέρησιν Ἀντικείμενα.) συμπάντων δὲ, τὰ μὲν, ἀμέσως ἀντίκειται, τὰ δὲ, ἐμμέσως. ἄμεσα μὲν γὰρ, τά τε ἀντιφατικὰ καὶ καθ' ἕξιν καὶ στέρησιν. τῶν δὲ θετικῶν τὰ μὲν, εἰσίν, ὡς εἴρηται, ἄμεσα, τὰ δὲ, ἔμμεσα. διεζευγμένως τοίνυν συντάσσεται τῶν ἀντικειμένων τά τε ἄμεσα. ἐξ ὧν συνίσταται τῶν προβλημάτων τὰ διλήμματα λεγόμενα, ὡς ἄφυκτον ἔχοντα τὴν διαζευκτικὴν συζυγίαν. δυοῖν γάρ τοι θάτερον ἔσται ἐξ ἀνάγκης. καὶ τῶν ἐμμέσων τὰ ἐν ὡρισμένον ἔχοντα τὸ μέσον, συνδιαζευγνύμενον δὴ καὶ αὐτό. οἷον, ἤτοι θερμὸν, ἢ ψυχρὸν. ἢ χλιαρόν. ἢ καὶ πλείω τοῦ ἑνός, ἀλλ' ὡρισμένα. ἐξ ὧν συνίσταται τὸ πολύλημμα καλούμενον. ὧν δὲ τὰ μέσα ἀόριστα, μὴ ἐνὸν διαζευ-

διαζευκτικῶς διὰ τὸ τῶν μέσων δυσπερίληπτον, δι' ἀποφατικῆς συμπλοκῆς ἀλλήλοις συντάσσεται. οἷον, οὐχὶ καὶ λευκὸν καὶ ἐρυθρὸν καὶ φαιὸν καὶ τὸ, καὶ τὸ, καὶ μέλαν ἐστίν. ὧν τῇ τοῦ ἑνὸς θέσει τὰ λοιπὰ ἀναιρεῖται. οἷον, ἀλλὰ μὴν λευκόν ἐστιν, οὐκ ἄρα τὰ λοιπά. τῶν δὲ μέσων τὸ ὡρισμένον, διχῶς. ἢ γάρ τοι μετέχει τῶν ἄκρων. ὡς τὸ κεκραμένον τῶν ἀκράτων μέσον, ὡς θερμοῦ καὶ ψυχροῦ τὸ χλιαρόν. καὶ τὸ περιέχον καὶ περιεχόμενον, τοῦ περιεχομένου καὶ περιέχοντος, ὡς τῶν δώδεκα καὶ τεσσάρων τὰ ὀκτώ. ἢ μηδετέρου τῶν ἄκρων μετέχει. τοῦτο δὲ ἤτοι ἀκατονόμαστόν ἐστιν, ὡς τὸ ἀγαθοῦ καὶ κακοῦ ἀμέτοχον, καὶ τὸ τῆς ἀρετῆς καὶ κακίας, τὸ καὶ ἀδιάφορον κατά τινας, ἢ κατωνόμασται, ὡς τὸ κύκλου κέντρον, μέσον ὂν τῆς περιφερείας μὴ ἐκ μίξεως αὐτῆς, ὡς αἱ δ', γενικαὶ ἀρεταὶ, καὶ τὸ ὅλον εἰπεῖν, ἡ εἰς αὐτὰς διαιρουμένη κατὰ τὸν Πλούταρχ: φρόνησις, εἴτ' οὖν ἡ ἠθικὴ ἀρετή. μεσότης γὰρ τῶν ἄκρων δοκοῦσα, οὔτε μίγμα τῶν κακιῶν ἐστιν, οὔτ' ἐμπεριέχουσα τοὔλαττον, ἐμπεριέχεται τῷ πλεονάζοντι τοῦ προσήκοντος. οὔτε μὴν ἀπήλλακται παντάπασι τῶν παθητικῶν ὁρμῶν. ἐν αἷς τὸ μᾶλλον καὶ τὸ ἧττόν ἐστι. γίνεται δὲ μεσότης καὶ λέγεται μάλιστα τῇ περὶ φθόγγους καὶ ἁρμονίας ὁμοίως. ἐκείνη τε γὰρ ἐμμελὴς οὖσα φωνὴ, ὥσπερ ἡ Νήτη καὶ ἡ Υπάτη, τῆς μὲν, τὴν ὀξύτητα, τῆς δὲ, τὴν ἄγαν βαρύτητα διαπέφευγε, καὶ αὕτη κίνησις οὖσα καὶ δύναμις περὶ τὸ ἄλογον, θυμὸν λέγω καὶ ἐπιθυμίαν, τὰς ἐκλύσεις καὶ ἐπιτάσεις, καὶ ὅλως τὸ μᾶλλον καὶ ἧττον ἐξαιρεῖ τῆς ὁρμῆς, εἰς τὸ μέτριον καὶ ἀναμάρτητον καθιστάσα τῶν παθῶν ἕκαστον. ἥγε μὴν σοφία αὐτοτελής τίς ἐστιν ἀκρότης τοῦ λόγου καὶ δύναμις, ταύτῃ διαφέρουσα τῆς φρονήσεως, ᾗ θεωρητικὸν πρακτικοῦ. τοῦ γὰρ θεωρητικοῦ πρὸς τὸ πρακτικόν τε καὶ παθητικὸν ἐπιστροφῆς τινος καὶ χέσεως γενομένης τῇ τοῦ σώματος ἀνάγκῃ, ὑφίσταται κατὰ λόγον ἡ φρόνησις, ἀκρότης μὲν οὖσα καὶ αὐτὴ τῇ δυνάμει καὶ τῇ ποιότητι καὶ κατὰ τὸ ἄριστον καὶ εὖ, μεσότης δὲ τῷ ποσῷ γινομένη, τὸ ὑπερβάλλον, ὡς εἴρηται, ἐξαιροῦσα καὶ τὸ ἐλλεῖπον τοῦ ταῖς κρίσεσιν εἴτ' οὖν τῷ βουλευτικῷ συμπαρόντος καὶ συνεφελκομένου ἀλόγου. Τὸ δὲ μέσον τὸ μὲν ἐστι τοῦ πράγματος, τὸ δὲ, πρὸς ἡμᾶς. λέγω δὲ τοῦ μὲν πράγματος, τὸ ἴσον ἀπέχον ἀφ' ἑκατέρου τῶν ἄκρων. ὅπερ ἐστὶν ἓν καὶ ταὐτὸν πᾶσι. πρὸς ἡμᾶς δὲ, ὃ μήτε πλεονάζει, μήτε ἐλλείπει τοῦ δέοντος. τοῦτο δὲ οὐχ ἓν οὐδὲ τὸ αὐτὸ πᾶσιν. οἷον, εἰ τὰ δέκα πολλὰ, τὰ δὲ δύω ὀλίγα, τὰ ἓξ μέσα λαμβάνεται κατὰ τὸ πρᾶγμα. ἴσως γὰρ καὶ ὑπερέχει καὶ ὑπερέχεται. τοῦτο δὲ μέσον ἐστὶ κατὰ τὴν ἀριθμητικὴν ἀναλογίαν. (τῷ γὰρ αὐτῷ λόγῳ ὑπερέχει τάτε δέκα τῶν ἕξ, καὶ τὰ ἓξ τῶν δύω. τέσσαρσι γὰρ καὶ ὑπερέχει καὶ ὑπερέχεται τὰ ἕξ.) τὸ δὲ πρὸς ἡμᾶς οὐχ οὕτω ληπτέον. οὐ γὰρ εἴτῳ δέκα μνᾶς φαγεῖν πολὺ, δύω δὲ ὀλίγον, ὁ ἀλείπτης ἓξ μνᾶς προστάξειεν. ἔστι γὰρ ἴσως καὶ τοῦτο πολὺ τῷ ληψομένῳ, ἢ ὀλίγον. ἔργον οὖν καὶ ἄκρως χαλεπὸν λαβεῖν, ἢ ὁρίσαι τὸ μέσον τῶν ἄκρων καὶ οὐ τοῦ παντὸς, ὥσπερ οὐδὲ τὸ τοῦ κύκλου κέντρον, ὅτι μὴ τοῦ εἰδότος. τὸ μὲν γὰρ τοῦ πράγματος, ἐπιστημονικῆς θεωρίας, τὸ δὲ πρὸς ἡμᾶς, φρονήσεως. τὸ μὲν, ἀπὸ τῶν κατὰ τὰ ἄκρα περάτων λαμβανόμενον, ἐξ ἴσου τοῦτο ἑκατέρων ἀπωθουμένων, τὸ δὲ πρὸς ἡμᾶς, ἀπὸ τῆς ἐπὶ τὰ ἄκρα ἐκτροπῆς. τὸ μὲν γὰρ χλιαρὸν, φέρε ἀπὸ τῆς κατά τε τὸ ἐν τῷ πυρὶ θερμὸν καὶ τὸ ἐν τῷ κατεψυγμένῳ κρυστάλλῳ ψυχρὸν ὡρισμένης ἀκρότητος λαμβάνεται, ὥσπερ καὶ τὸ φαιὸν ἐκ τῆς κατὰ τὸ ἐν τῇ πίσσῃ μέλαν καὶ τὸ ἐν τῇ χιόνι λευκόν. τὸ δὲ θάρσος οὐκ ἀπὸ τοῦ θράσους καὶ τῆς δειλίας,

λίας, ὡς μὴ ὄντων ὡρισμένων μέχρι πόσου, ἀλλ' ἀπὸ τοῦ μὴ παρεκτρέπεσθαι ἐπὶ τῶν ἄκρων ἑκάτερα, τὸ μᾶλλον καὶ ἧττον ἀπωθούμενον. καὶ ταῦτα μὲν τοιαῦτα, Δεῖ μέντοι μὴ τὰ τυχόντα λαμβάνειν ἐξ ἑκατέρας τῆς συστοιχίας τῶν Ἀντικειμένων, τὰ δ' ἀναλόγως ἀλλήλοις ἔχοντα. τῷ γὰρ φωτὶ οὐχ ἡνὺξ τυχὸν, ἢ ἡ κακία, τὸ δὲ σκότος ἀνάλογόν τε καὶ σύστοιχον. τέτακται δὲ ἐχόμενα τῶν Πρός τι τὰ ὡς Πρός τι, ἤδη πρὸς τὰ ἀπ' αὐτῶν παρωνυμούμενα ποιὰ καὶ τούτων ἑκάτερον, ὡς εἴρηται, ἀναφέρεται. ἅττα ὡς Πρός τι, πρὸς μὲν ἄλληλα οὔκουν εἰσὶ Πρός τι, ἀλλ' ἐναντία, πρὸς δὲ τὰ ἀπ' αὐτῶν παρωνυμούμενα ποιὰ, πρός τι, ἀλλ' οὐκ ἐναντία. εἴρηται δὲ ὡς πρός τι καταχρηστικῶς. εἴγε οὐ κατὰ τὰ πρός τι πρὸς ἄλληλα, πρὸς δὲ ἄλλα ἀναφέρεται, οὐδὲ γὰρ, ὥσπερ ὁ διδάσκαλος πρὸς τὸν μαθητὴν καὶ ἐναλλὰξ, οὕτω δὴ καὶ ἡ ἀρετὴ πρὸς τὴν κακίαν φέρεται, ἀλλ', ὡς εἴρηται, πρὸς τὰ ἀπ' αὐτῶν παρωνυμούμενα ποιά. τὸ δὲ κακὸν ἐναντίον οὐμόνον τῷ ἀγαθῷ, ἀλλὰ καὶ αὐτὸ ἑαυτῷ. τὰ γὰρ τῆς ἕξεως ἐκ διαμέτρου ἄκρα καὶ ἀλλήλλοις καὶ τῇ μεσότητι ἀντίκειται. ὡς δειλία καὶ θράσος, καὶ ἀλλήλοις ἀντίκειται καὶ τῇ ἀνδρίᾳ.

Πευστικά.

Τὰ δὲ Πευστικὰ, οἷον τὰ ἀπόκρισιν ὡρισμένως ζητοῦντα,

Ἀλλὰ μὴ συμβολικῶς, οἷα τὰ ἐρωτηματικά. Ἐρωτήσεως καὶ Πεύσεως τὴν παρὰ πολλοῖς διαφορὰν καθιστῶντες εἴς τι ὡρισμένον οἱ παλαιοί, πολλὰ μὲν καὶ ἄλλα φασὶν, ἐν δ' ἐκείνοις καὶ ταῦτα, ἐρωτᾶν ἐστι τὸ ἐθέλειν κεφαλαιῴδη λαβεῖν καὶ σύντομον ἀπόφασιν περὶ ὑποκειμένου. οἷον, ἀράγε οὕτως ἔχει; ἡμέρα ἐστί; πρὸς ὃ ἐπαχθὲν τὸ ναὶ, ἢ τὸ οὐ, ἤτοι καθ' ἑαυτὰ, ἢ μετὰ θατέρου τῶν ἐν τῇ ἐρωτήσει ὅρων, ἢ θάτερον τῶν ἐν τῇ ἐρωτήσει καθ' ἑαυτὸ, ἢ μόνη κατάνευσις, ἢ ἀνάνευσις, συμβολικὴν ἀπόφασιν ἐποίησε. Πεῦσις δέ ἐστι φράσις, πρὸς ἣν οὐκ ἔστι συμβολικῶς ἀποκρίνασθαι, διεξοδικῶς δὲ καὶ διὰ μακρολογίας θεραπεῦσαι τὸν πυθόμενον. διδαχθῆναι γάρ τι διεξοδικῶς περίτινος βουλομένων ἐστὶν ἡ πυσματικὴ ἐρώτησις. οἷον, ποῦ οἰκεῖ ὁδεῖνα; ἐρεῖ γὰρ ὁ ἐρωτηθεὶς, ὅτι ἐν τῷδε τῷ τόπῳ. καὶ, ποῖ ἔβη ἀνδρομάχη; ἐπὶ πύργον μέγαν Ἰλίου. (ὅτι μὴ, ἐγγύς που καὶ ὑπ' ὄψιν κειμένης τῆς οἰκήσεως, ἢ καὶ τοῦ πύργου, δεικτικῶς τις ἀπαντήσας, συμβολικὴν ποιήσει τὴν ἀπόκρισιν. ὡς καὶ ὁ πρὸς τὸν πυθόμενον, ὅσος ἐστὶν ὁβίος ἀνῷ, ἐκκύψας τῆς θυρίδος, καὶ αὐτίκα εἰσκύψας, ἐδήλωσεν ἐν τούτοις, ὅτι βραχύς. καὶ ὁ πρὸς τὸν προτείναντα, εἴ ἐστιν ἐν τῷ παντὶ κίνησις; ἀναστὰς καὶ κινηθεὶς, ἐσήμανεν ὅτι ἐστί.) πόθεν δῆλον, ὅτι ἀθάνατος ἡ ψυχή; διὰ τί ἡμαγνῆτις λίθος ἕλκει τὸν σίδηρον; ἐν οἷς τε καὶ τοῖς ὁμοίοις οὐκ ἔστιν εἰπεῖν, ναὶ, ἢ οὔ. εἴγε τὸ πύσμα λόγον πλείονα ἀπαιτεῖ τὸν ἐρωτώμενον πρὸς τὴν ἀπόκρισιν.

Ἥκιστα Ἄρθροις συντάσσεται ἐπ' ἐρωτήσει ἀρκτικῇ λόγου.

Καθ'

Ὅτι τὸ μὲν Πύσμα ἀγνοοῦντος, τὸ δὲ Ἄρθρον ἀναφέροντος.

Τὰ μὲν γὰρ Ἄρθρα πρόσωπον προδεδηλωμένον ἐμφανίζει, τὰ δὲ Πύσματα ἐν ἀγνοίᾳ προσώπου καθεστῶτα, ἀπομάχεται τῇ τῶν Ἄρθρων ἐννοίᾳ. τῶν γε μὴν πτωτικῶν τά τε προσηγορικὰ καὶ αἱ μετοχαὶ, τοῖς πευστικοῖς τῶν ὀνομάτων συμφερόμενα, πρὸς μὲν τὰ κλητικά τε καὶ ὑπαρκτικὰ τῶν ῥημάτων, ἔναρθρον ποιεῖται τὴν σύνταξιν. τίς, ἢ ποῖος ὁ ἀνὸς καλεῖται; πάνυ εὐλόγως. τὸ μὲν γὰρ κοινὸν τῆς οὐσίας προεῖδεν, ἀγνοῶν δὲ ἐπιζητεῖ τὸ ἴδιον τοῦ ὀνόματος, τὸ ὑποστατικὸν δηλαδὴ, ἢ καὶ τὰ τούτῳ ἐπισυμβαίνοντα.

τίς ὁ παλαίσας, λέγεται; τίς ὁ δραμὼν, καλεῖται; τίς ὁ νικήσας, ὀνομάζεται; τὴν μὲν γὰρ νίκην εἰδὼς, οὐ περὶ αὐτῆς ἐρωτᾷ, ἀγνοεῖ δὲ τὸν νικήσαντα. πρὸς δέ τι τῶν παρὰ τὰ εἰρημένα ῥήματα, ἀνέφικτον ἔχει τὴν τοῦ ἄρθρου παράθεσιν. τίς δραμὼν, ἐστεφανώθη; τίς παλαίσας, ἐδοξάσθη; τίς ἀναγνοὺς, ὠφελήθη; καὶ πρόδηλος πάλιν ἡ αἰτία. εἴγε τὰ μὲν μετὰ ἄρθρων εἰρημένα, γνῶσιν τοῦ διὰ τῆς μετοχῆς ζητουμένου ἐπαγγέλλεται, καθ' ὃ μόνον ἐνήργησεν, οὐ μὴν τὴν ἰδίᾳ παρακολουθοῦσαν θέσιν τοῦ ὀνόματος. ἣν ἐπιζητεῖ τὸ τίς, τὴν τοῦ ἀτόμου λέγω προσηγορίαν, ἡ δὲ δίχα τοῦ ἄρθρου λεγομένη μετοχικὴ σύνταξις, ζητεῖ τὸ τῆς μετοχῆς πρόσωπον διὰ τοῦ τίς. οἷον, ἐγὼ, ἢ ὅδε. (ἐντεῦθεν οὖν συνάγεται, ὡς τὸ ἐρωμένη, ὀνοματικὴν ἔχει τὴν σύνταξιν. ἀνάρθρως γὰρ πρὸς τὸ ὑπαρκτικὸν φέρεται. τίς ἐρωμένη ἐστὶ θέωνος; ὡς εἰ καὶ φαίη τις, τίς δούλη ἐστὶ θέωνος; ὅπερ οὐ παρακολουθήσει, ὡς προείρηται, ἐν μετοχῇ. οὐδεὶς γὰρ ἂν φαίη, τίς νικωμένη ἐστὶ θέωνος; μετὰ μέντοι ἄρθρου καὶ τῆς ὑπὸ προθέσ: κατὰ γενικὴν τὴν συνοῦσαν διὰ τὸ πάθος. οἷον, τίς ἡνικωμένη ἐστὶν ὑπὸ θέωνος; ὅπερ οὐ παρείπετο ἐπὶ τῆς συντάξεως τοῦ τίς ἐρωμένη ἐστὶ θέωνος. ἅπαξ γὰρ ἡ τῆς μετοχῆς μετὰ τοῦ ὑπαρκτικοῦ σύνταξις μὴ παραδεξαμένη τὸ ἄρθρον, οὐδὲ τὴν ὑπόλοιπον σύνταξιν τῆς μετοχῆς ἀπεδίδου, τὴν προθετόπτωτον δηλ:) καὶ αἱ γενικαὶ δὲ τῶν πληθυντικῶν τοῖς πεύστικοῖς πρὸς ὁ, τιοῦν συμφερόμεναι ῥῆμα, πάντως σὺν ἄρθρῳ λέγονται, ὅτι μὴ αἱ ἀντωνυμικαὶ, μὴ παραδεχόμεναι ἄρθρα. τίς τῶν ἑταίρων παραγίνεται; τίς τῶν Τρῴων ὑπερμαχεῖ; πότερος τῶν Αἰάντων ἰσχυρότερος; ἐπὶ δὲ τῶν Ἀντωνυμιῶν, πότερος ὑμῶν; πῶς οὖν οὐγελοῖοι, οἱ καὶ τὸ ἄλλος ἀντωνυμίαν εἶναι παραδεξάμενοι; ἰδοὺ γὰρ σὺν ἄρθρῳ φαμὲν, τίς τῶν ἄλλων ἀνῶν;

Τῶν δὲ προειρημένων συντάξεων αἱ μὴ δυνάμεναι τὰ ἄρθρα προσλαβεῖν, ὅσαι δηλαδὴ πρός τι τῶν παρὰ τὰ ὑπαρκτικά τε καὶ κλητικὰ ῥημάτων συνεφέροντο, ἀμείψασαι τὸ πτωτικὸν Πύσμα εἰς ἐπιρρηματικὸν, δεκτικαὶ γίνονται ἄρθρου. ποῖος ἀνὸς ἐνίκησε; πῶς ὁ ἀνὸς ἐνίκησε; τίς δραμὼν, ἐνίκησε; πῶς ὁ δραμὼν, ἐνίκησε; πόσος ὄχλος παραγίνεται; πότε, ἢ πόθεν ὁ ὄχλος παραγίνεται; ποῖαι τῶν Τρῴων φυλακαί; πῶς αἱ τῶν Τρῴων φυλακαὶ φυλάσσονται; αἰτία δέ ἐστι τοῦ τὰ Πευστικὰ ἐπιρρήματα εὐπαράδεκτον ποιεῖσθαι τὴν τῶν ἄρθρων παράθεσιν, καθ' ὃ ἡ ἐκ τῶν Πυσμάτων ἄγνοια ἐπιρρηματικὴ μὲν οὖσα, οὐκ ἐπὶ τὰ συνόντα πτωτικὰ, ἅπερ οὐ πάντως ἐν ἀγνοίᾳ ἐστὶν, ἐπὶ δὲ τὰ ῥήματα φέρεται, καθ' ὧν καὶ τὰ ἐπιρρήματα, ὀνοματικὴ δὲ, δῆλον ὡς ἐπὶ τὰ ὀνόματα. εἴγε ὁ μὲν οὕτω λέγων, ποῖος ἀνὸς ἐνίκησε; τὸν μὲν ἀνὸν ἀγνοεῖ, ὀνοματικῶς καὶ ἀνάρθρως πυνθανόμενος, τὸ δὲ πρᾶγμα κατέλαβε τὸ, ὅτι ἐνίκησεν. οὐ γὰρ τὸ κοινὸν εἶδος τοῦ ἀνθρώπου, τὸ δὲ νικῆσαν πρόσωπον μαθεῖν ἐπιζητεῖ. ὁ δὲ οὕτω λέγων, πῶς ὁ ἀνὸς ἐνίκησεν; ὁμολογεῖ μὲν εἰδέναι τὸν ἀνὸν διὰ τοῦ ἄρθρου, τὴν δὲ γενομένην πρᾶξιν εἰς τὸ νικῆσαι ἀγνοεῖ διὰ τοῦ ἐπιρρήματος. ὡς ἐν τῷ, πῶς δ' αἱ τῶν Τρῴων φυλακαὶ φυλάσσονται; ἐν ᾧ οὐ μόνον μετὰ τὸ πύσμα τὸ ἄρθρον ὀφείλει παραλαμβάνεσθαι, ἀλλὰ καὶ καθ' ὃ αἱ γενικαὶ μετὰ ἄρθρου λεγόμεναι κατὰ σύνταξιν τὴν τῶν κτημάτων, ἔχουσι καὶ τὰ κτήματα σὺν ἄρθροις λεγόμενα, ὡς εἴρηται. Ἔτι τε παρακείμενα τὰ ἄρθρα, δυνάμει τὸ καθόλου προσδιορίζει. αἱ τῶν Ἑλλήνων πόλεις ἐπανέστησαν τοῖς βαρβάροις. ἀσύνετον γὰρ τὸ δίχα τοῦ ἄρθρου, δέον ἀμφότερα συναναφέρεσθαι, τό, τε κτῆμα καὶ τὸν κτήτορα. ἐπεί

ρα. ἐπεί τοι, εἰ λείψει τὸ ἄρθρον τοῦ πόλεις, ἔσται ὁ λόγος περιλαμβάνων τὸ τινὲς, οὐ τὸ πᾶσαι, μερικωτέρας γενομένης τῆς ἐπαναστάσεως. τῶν Ἑλλήνων τινὲς πόλεις ἐπανέστησαν. καὶ κατὰ τὸ τοιοῦτον ἄρα συνάξει τὸ ἄρθρον παρ' Ὁμήρῳ τὸ, πῶς δαὶ τῶν ἄλλων Τρῴων; ὃς συνήθως μὲν ἐλλείπει τοῖς ἄρθροις, συνάπτει δὲ μετὰ τὰ πύσματα τὸν δαὶ, σύνδεσμον, διφθογγοχραφούμενον, ἡνίκα μὴ προηγούμενον ἔχει τὸν μέν.

Τίς, ποῖος, πότερος, πόστος, πόσος, πηλίκος, ποδαπός, ποσταῖος.

Τὰ Πευστικὰ τῶν μορίων κατὰ Ἀπολλ': εἰς δύω μέρη λόγου ἐχώρησε, τὸ ὀνοματικὸν καὶ τὸ ἐπιρρηματικόν. καθ' ὅ, τι καὶ τὰ ἐμψυχότατα καὶ κυριώτατα τοῦ λόγου μέρη δύω εἰσὶ τό, τε ὄνομα καὶ τὸ ῥῆμα. ἅπερ μὴ ἐν γνώσει ὄντα, τὴν κατ' αὐτῶν πεῦσιν ἔχει συνεχῶς παραλαμβανομένην, καταλλήλους τὰς ἀνθυπαγωγὰς ἀπαιτοῦντα. ἐγνωσμένων γὰρ τῶν διαθέσεων, τῶν δὲ ὑποκειμένων προσώπων ἀγνοουμένων, τηνικαῦτα δι' ὀνόματος πανθανόμεθα, δι' ὀνόματος πάλιν τὰς ἀνθυπαγωγὰς ἀπαιτοῦντες, ἤτοι κυρίου, ἢ προσηγορικοῦ, ἢ διὰ τῆς ἀντὶ ὀνόματος παραλαμβανομένης Ἀντωνυμίας. ὑποκειμένων γὰρ γνῶσιν ζητοῦμεν. οἷον, τίς κινεῖται; προδήλου μὲν οὔσης τῆς κινήσεως, τοῦ δὲ κινουμένου προσώπου ἀγνοουμένου. ἤτοι ἄνος, ἢ Τρύφων τυχὸν, ἢ ἐγὼ, σὺ, οὗτος, ἐκεῖνος. ἐγνωσμένων δὲ τῶν ὑποκειμένων, τῶν δὲ περὶ ἐκεῖνα παθῶν ἀγνοουμένων κατὰ τὰς παρεπομένας διαφορὰς, τηνικαῦτα δι' ἐπιρρημάτων πυνθανόμεθα, ἢ περὶ τῶν ἀμφὶ τὰ ὑποκείμενα παθῶν. ἆρα γράφεις; ἢ περὶ τῶν παρεδρευόντων τοῖς πάθεσιν, ὁμοιομερεῖς πάλιν καὶ τὰς ἀνθυπαγωγὰς ζητοῦντες. οἷον, πῶς περιπατεῖ; ὀρθῶς. καὶ ἀπέχρησαν ἂν αἱ κατ' ἀμφότερα ἐρωτήσεις τε καὶ ἀνθυπαγωγαὶ εἶναι ἁπλαῖ καὶ μὴ πεπλεοναχυῖαι. εἴγε καὶ τὰ ὑποκείμενα καὶ τὰ περὶ αὐτὰ πάθη ἦν ἂν ἁπλᾶ. ἐπεὶ δὲ πολλὰ τὰ ἐπισυμβαίνοντα τοῖς ὑποκειμένοις κατὰ τὰς τῶν Ὄντων διαφορὰς, ἤτοι κατ' οὐσίαν, ἢ κατὰ συμβεβηκὸς, οὐ συνεμφαίνεται δὲ ταῦτα τοῖς προκειμένοις ὀνόμασι, τὸ γὰρ τίς, καὶ τί, οὐσίαν μόνον ἐπιζητεῖ, τὸ μὲν, καθόλου, τὸ δὲ τίς, μερικὴν, εἴτ' οὖν ὑποστατικήν. τῇ δὲ οὐσίᾳ ἐπιτρέχει τό, τε ποσὸν καὶ τὸ ποιὸν, καὶ τὸ πηλίκον καὶ τὰ τοιαῦτα, ὥσπερ δὴ καὶ ταῖς περὶ αὐτὴν διαθέσεσι τὸ πῶς, τὸ πότε, τὸ ποῦ. ὁ τρόπος λέγω, ὁ χρόνος, ὁ τόπος. διὰ τοῦτο προσεπινενόηται τοῖς προκειμένοις καὶ ἡ κατὰ τούτων πεῦσις ἀγνοουμένων, τὴν ἑκάστου γνῶσιν, καθ' ἣν ἀγνοεῖται διαφορὰν, ἀπαιτοῦσα. πρὸς ἣν πεῦσιν καταλλήλως καὶ ἡ ἀνθυπαγωγὴ προσυπαντᾷ. μαθεῖν γάρ τις καὶ ταῦτα βουλόμενος, ἐπιθετικώτερον προσερωτᾷ, κατὰ μὲν ποιότητα, ποῖος. κατὰ δὲ ποσότητα, τὴν μὲν διωρισμένην, πόσος, τὴν δὲ συνεχῆ, τοῦτ' ἔστιν ἐπὶ μεγέθους, πηλίκος. κατὰ δὲ ἔθνος, ποδαπός. ὥστε καὶ ἀνθυπάγεται καταλλήλως τῇ πεύσει κατ' ἐπιθετικὴν ἔννοιαν τὰ δυνάμενα ἐπισυμβαίνειν τοῖς πρὸς τὸ τί, καὶ τίς, ἀνθυπαγομένοις ὀνόμασι. φέρε πρὸς μὲν τὴν ποῖος πεῦσιν, λελημματισμένην μετὰ τὸ τίς, καὶ ποιότητα ἐπιζητοῦσαν, πολλάκις μὲν ἐπουσιώδη, ἀνθυπάγομεν, ὁ γραμματικὸς, εἰ τύχοι, Τρύφων, ἢ ὁ μουσικὸς, ἢ ὁ δρομεὺς, ἔχοντος τοῦ λόγου τῇ δε, τίς ἀναγινώσκει; Τρύφων. πότερος; ἢ ποῖος; ὁ γραμματικὸς, ἢ ὁ ῥήτωρ. ἔστι δ' ὅτε καὶ οὐσιώδη. ἐν μὲν γὰρ τῇ τί ἐστιν ἐρωτήσει κατηγορεῖται τῶν ὑποκειμένων τὰ γένη τε καὶ τὰ εἴδη, ἐν δὲ τῇ ὁποῖόν τί ἐστιν, οὐ μόνον τὰ τῆς ποιότητος, ἀλλὰ δὴ καὶ αὐταὶ αἱ οὐσιώδεις συστατικαί τε καὶ εἰδοποιοὶ διαφοραὶ, πρὸς δὲ καὶ εἴ τι ἴδιον οὐσιῳδῶν, οἷον, τί ἐστιν ἄνθρωπος; ζῷον. ὁποῖόν τι ζῷον; λο-

ον; λογικὸν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. πρὸς δὲ τὴν δι' ἑνικοῦ χαρακτῆρος πλῆθος ἀγνοουμένων πραγμάτων ἐμφαίνουσαν, οἷον, πόσα τὰ τοῦ λόγου μέρη; ὀκτώ. πρὸς δὲ τὴν καθ' ἕκαστον ἀριθμητὸν ἀριθμὸν ἐπὶ πλήθους τάξιν ἐπιζητοῦσαν, ὡς ἐν τῷ πόστος. οἷον, πόστον τὸ ἄρθρον, τέταρτον. καὶ κατὰ παραγωγὴν, ποσταῖος; τριταῖος, τεταρταῖος. πρὸς δὲ τὴν ἐπὶ μεγέθους πράγματος, οἷον, πηλίκος; μέγας, μικρὸς, δίπηχυς. πρὸς δὲ τὴν θάτερον τῶν δυοῖν ἐπιζητοῦσαν, τὸ ἕτερον μὲν τῶν δυοῖν, οὐχ ὡρισμένως δέ. οὐ μόνον γὰρ κατ' οὐσίαν, ἀλλὰ καὶ καθ' ὁ, τιοῦν τῶν ἐπισυμβαινόντων τῇ οὐσίᾳ τὰ τῆς ἀνθυπαγωγῆς πρὸς τὸ πότερον γίνεται. πρὸς δὲ τὴν ἐπὶ ἐθνικῆς ἐννοίας, οἷον, ποδαπός ἐστι τρύφων; ὑγιῶς μὲν καὶ ἀνενδοιάστως τὰ ἐθνικὰ ἀνθυπάγεται, ὅτι ἀλεξανδρεύς, ἢ ἀθηναῖος, ἢ ἡμεδαπὸς, ἢ ἀλλοδαπὸς, κατὰ ἀναίρεσιν τῶν προσώπων. διὰ δὲ τὴν εἰς τὸ πρωτότυπον ποῖος παρέμπτωσιν τῆς πεύσεως, (παρὰ γὰρ τὸ ποῖος τὸ ποδαπός.) ἐστ' ὅτε καὶ τὰ ἐν τῇ ποιότητι, εἰτύχοι, ἀνταποδίδοται. ποδαπός ἐστι τρύφων; μέλας, ἢ λευκὸς, ἤτι τοιοῦτο, ἀνάρθως. εἴγ' ἀγνοοῦντος τὸ Πύσμα, ὡς εἴρηται. διαφέρει δὲ, ᾗ τὰ μὲν πρὸς τὴν ἐκ τοῦ ποῖος πεῦσιν, Ἐνάρθρως ἀνθυπάγεται, δι' ἣν αἰτίαν ἑξῆς ἐροῦμεν, καθὰ δὴ καὶ τὰ πρὸς τὴν ἐκ τοῦ πότερος. τίς ἐστι; τρύφων. ὁ ποῖος τρύφων; ὁ μέλας, εἰτύχοι, ἢ ἀλλοδαπός. τὰ δὲ πρὸς τὴν ἐκ τοῦ ποδαπὸς, Ἀνάρθρως, δι' ἣν ἔφθημεν εἰρηκότες αἰτίαν. ποδαπός ἐστι τρύφων; ἀλεξανδρεύς. ἐστ' ὅτε δὲ τοὐναντίον συμβαίνει, τῶν περὶ τὴν οὐσίαν ἐγνωσμένων, τὰ περὶ τῆς ἰδιότητος τοῦ ὀνόματος ἀγνοεῖσθαι. ἐν οἷς καὶ ὑπ' ὄψιν ἤδη πιπτούσης τῆς οὐσίας καὶ τῆς ποιότητος, πρὸς δὲ καὶ τῶν συμπαρεπομένων, ἔτι προσγίνεται πεῦσις ἡ κατὰ τῆς ἰδιότητος τοῦ ὀνόματος. αὐτίκα καὶ γὰρ ὁ πρίαμος ἀφορᾷ μὲν πάντα τὰ προειρημένα, τὴν μὲν οὐσίαν ἐν τῷ ὅδε, τὸ δὲ ἔθνος ἐν τῷ ἀχαιὸς ἀνὴρ, τὴν ποιότητα ἐν τῷ ηὔς. τὴν πηλικότητα ἐν τῷ μέγας. οὐ μὴν δὲ καὶ τὴν ἰδιότητα τοῦ ὀνόματος. δι' ὃ καὶ πυνθάνεται, τίς τ' ἄρ' ὅ δ' ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε; ὅθεν καὶ ἀναπληροῦται ἡ γνῶσις τοῦ ὀνόματος ἀνθυπαγομένου παρὰ τῆς Ἑλένης. οὗτος δ' Αἴας ἐστὶ πελώριος, ἀναγκαίως συνενεχθείσης τῷ ὀνόματι τῆς δεικτικῆς ἀντωνυμίας, ἵν' ἀφορίσῃ τὸ τοῦ Αἴαντος πρόσωπον πολλῶν συνόντων. ὁ δὲ αὐτὸς λόγος κἀπὶ θατέρου μορίου τῶν ἐρωτηματικῶν. καὶ γὰρ καὶ τὰ ἐπιρρήματα φέρεται πρὸς τὰς ἀγνοουμένας διαθέσεις, ἤτοι κατὰ ποιότητα τῆς πράξεως, ὅτε φαμὲν, πῶς ἀνέγνω; ἀνθυπάγοντες τὸ δυνάμει ἐπιθετικὸν τοῦ ῥήματος ἐπίρρημα, καλῶς, εἰτύχοι, ῥητορικῶς, ἢ φίφως, ἢ οὐτοῦτο ἐπιζητοῦντες, χρόνον δὲ, καθ' ὃν τὰ τῆς διαθέσεως ἐγένετο, πότε; πηνίκα; πυνθανόμεθα. οἷς ἀνθυπάγεται, πρῴην, χθὲς, πάλαι. ἢ τόπον, ἐν ᾧ τὰ τῆς πράξεως γίγνεται, ποῦ, ἢ πῇ νῦν λίπες Ἕκτορα; καὶ διαφορᾷ τῇ ἐκ τόπου, ἢ εἰς τόπον. ποῖ ἔβη Ἀνδρομάχη; πόθεν παρεγένου; ᾗ μὲν οὖν τὰ προκείμενα πευστικὰ μόρια καὶ ἐπιρρηματικά ἐστι καὶ ὀνοματικὰ, δέδεικται. δῆλον δὲ, ὡς αἱ ἀνθυπαγωγαὶ οὐ μόνον ὁμοιόπτωτοί τε καὶ ὁμοιομερεῖς καὶ ὁμοειδεῖς γίνονται πρὸς τὰς ἐρωτήσεις, ὡς τὸ αὐτὸ ῥῆμα ἀπὸ κοινοῦ λαμβάνουσαι, ἀλλ' ἔτι καὶ κατ' οὐσίαν κατάλληλοι, ἢ ποσὸν, ἢ ποιὸν, ἢ ποῦ, ἢ πότε.

Ἐπ' ἀντερωτήσει δέ τοι τοῦ εἰρημένου, καὶ ἐνάρθρως ἔσθ' ὅτε. οἷον, τὰ ποῖα λέγεις; τὸν τίνα; καὶ ὁ τίς ἐρωτᾷς;

Οἱονεὶ τὴν πρὸς τὴν πρώτην πεῦσιν ἀπάντησιν ἀναπολοῦντος τοῦ ἄρθρου. ἀττικὰ δὲ τὰ

δὲ τὰ τοιαῦτα. Γρηγόριος κατὰ Ἰουλιάν: σὺ καὶ τῆς μεγάλης τοῦ χριστοῦ κληρονομίας; ὁ τίς; καὶ πόθεν; καὶ πόσος;

Συνάπτεται δὲ τὰ ἐρωτηματικὰ ταῦτα καὶ μάλιστα τὸ τίς, τῶν ῥημάτων τοῖς ὑπαρκτικοῖς τε καὶ κλητικοῖς, ἐπαγομένου τε ὀνόματος, καὶ εἰ ἀντωνυμία ἐκ γ', πρόσκειται. τίς ἐστιν οὗτος; ἢ τίς ὅδε καλεῖται; ὅτι Σωκράτης.

Τῶν τε γὰρ κλητικῶν καὶ τῶν ὑπαρκτικῶν ῥημάτων ἡ θέσις, ὡς ἰδίαν τινὰ ποιότητα κατηγορεῖν τοῦ ὑποκειμένου μὴ πεφυκότων, ἀπαιτεῖ ἐπιφορὰν ταυτοπροσωπικοῦ πτωτικοῦ ἤτοι ὀνοματικοῦ, ἢ ἀντωνυμικοῦ. τό γε μὴν μετὰ τὰ κλητικὰ τῶν ῥημάτων ἐπιφερόμενον πτωτικὸν, ἐκ δ', ἐστὶν, οὐκ ἐκ γ', ὡς ἐν τῇ τῶν παθητικῶν ῥημάτων συντάξει δῆλον ἔσται. τοιγάρτοι τὸ τίς, συντασσόμενον κυρίοις μὲν ὀνόμασι μετὰ τῶν ὑπαρκτικῶν τε καὶ κλητικῶν ῥημάτων, ἤτου τῶν τούτοις συνωνυμούντων, ἀνθυποφορὰν ἔχει τὴν ἐκ τοῦ πύσματος ἀντωνυμικήν. τίς τρύφων ὀνομάζεται; ἢ λέγεται; ἢ ἐστι; πρὸς ὅ φαμεν, ἐγὼ, ἢ οὗτος, ἐκεῖνος, ἤ τι τῶν συζύγων. ἀντωνυμίαις δὲ, ἀντεστραμμένως τὴν ἀνθυποφορὰν ἔχει ὀνοματικήν. τίς ἐστιν οὗτος; ἀτρείδης. καὶ σαφὲς ἐντεῦθεν, ὡς διὰ μὲν τῆς ὀνοματικῆς πεύσεως, τῆς μὲν ἐπιτρεχούσης τῇ οὐσίᾳ ἰδιότητος κατά γε τὴν τοῦ ὀνόματος θέσιν ἐπιλαμβανόμενοι, μόνην τὴν οὐσίαν ἐπιζητοῦμεν τοῦ ὑποκειμένου. ἣν καὶ μόναι αἱ ἀντωνυμίαι ἐμφαίνουσαι, ἀνθυπάγονται, τῆς δι' αὐτῶν δείξεως συνεξηγουμένης καὶ τὰ τῷ ὑποκειμένῳ παρεπόμενα. ἐνθὲν ἐπὶ πᾶν ὑποκείμενον συντείνουσιν αἱ ἀντωνυμικαὶ ἀνθυπαγωγαὶ, συνάμα τῇ οὐσίᾳ καὶ τὰ ταύτῃ παριστῶσαι πεφυκότα ὁρᾶσθαι παρεπόμενα. διὰ μέν τοι τῆς ἀντωνυμικῆς πεύσεως, τῆς μὲν οὐσίας τοῦ ὑποκειμένου ἐπιλαμβανόμεθα, ἣν καὶ αἱ ὀνοματικαὶ ἀνθυπαγωγαὶ παριστῶσιν, οὐκ ἔτι δὲ καὶ τῆς ἐπιτρεχούσης τῇ οὐσίᾳ ἰδιότητος κατά γε τὴν τοῦ ὀνόματος θέσιν. καὶ δῆλον ὡς οὐ τῶν τυχόντων, ἀντὶ δὲ τῶν Κυρίων ὀνομάτων εἰσὶν αἱ Ἀντωνυμίαι. εἴ γε πρὸς μὲν τὴν δι' αὐτῶν πεῦσιν τὰ Κύρια, τίς ἐστιν οὗτος; Τρύφων. πρὸς δὲ τὴν διὰ τῶν Κυρίων, πάλιν τὰ ἀντωνυμικὰ ἀνθυπάγεται. τίς ἐστι τρύφων; οὗτος. κατὰ γὰρ τὰ Κύρια καὶ αἱ Ἀντωνυμίαι οὐσιῶν εἰσι παραστατικαί. ταύτῃ τοι καὶ πρὸς τὰς ὀνοματικὰς ἀνθυπάγονται πεύσεις. Ἰστέον δὲ, ὅτι τὰ ἐκ γ', πτωτικὰ τῶν μὲν κλητικῶν εἰσιν ἀείποτε ὀνοματικά. τίς καλεῖται Τρύφων; τῶν δὲ ὑπαρκτικῶν καὶ ἀντωνυμικά. τίς ἐστι Τρύφων; τίς ἐστιν οὗτος; τίς εἰμι ἐγώ; ὥστε ἐπιφερομένων ἐκ γ', ἀντωνυμιῶν μὲν, αὐτὸ μόνον τὸ ὑπαρκτικόν ἐστιν, ἢ ἔγκλιμα τούτου παραλαμβάνεται, ὀνομάτων δὲ, καὶ τὸ κλητικόν. εἴγε ταῖς μὲν Ἀντωνυμίαις τὸ οὐσιῷδες ἐνυπάρχει μόνον, οὐ μὴν καὶ ἡ ἰδία τῶν ἀντονομαζομένων ποιότης, τοῖς δὲ ὀνομαζομένοις τοῦτό, τε καὶ ἡ ἰδία διάθεσις τοῦ ὀνόματος, φημὶ τὸ ὀνομάζεσθαι. ἔνθεντοι καὶ εἴτις ὀδυσσεὺς, πάντως καὶ οὗτος. οὐ μὴν, εἰ οὗτος, πάντως καὶ ὀδυσσεύς. Ἐν τούτοις δ' ὁ Ἀπολλώνιός φησι, τοῖς ὀνομαζομένοις, ὡς ἐνυπάρχοντος αὐτοῖς τοῦ οὐσιῴδους, μηδεμίαν εἶναι τοῦ ὑπαρκτικοῦ χρείαν, ἀλλὰ τοῦ κλητικοῦ δηλαδὴ ῥήματος. ἐλέγχουσι δὲ τοῦτον ἐν τούτῳ οἱ ὁρισμοί. ὧν ἑκάστου οἱ πολλοὶ ἀνθ' ἑνὸς συμπαραλαμβανόμενοι ὅροι, ὀνοματικοὶ οὐκ ἀντωνυμικοὶ ὄντες, ἐν τῷ ὑπαρκτικῷ οὐκ ἐν τῷ κλητικῷ, ῥήματι τοῦ ὁριστοῦ κατηγοροῦνται.

Καὶ ἐλλειπτικῶς τοῦ ὑπαρκτικοῦ. τίς οὗτος;

Οὐ μὴν καὶ τοῦ κλητικοῦ.

Εἴγε μὴν τὸ τίς τάττηται μόνον, παντὶ ῥήματι συνάπτεσθαι δυνατὸν ἂν εἴη. τίς βαδίζει; τίς διαλέγεται; καὶ εἰ μὲν ἀντωνυμία ἀποδοθείη, ἥκιστ' ἂν ἐπερωτήσεως δέοι, οἷον, τίς γράφει; ἐγώ. εἰδ' ὄνομα, ἔτι δεῖ ἐρωτήσεως ἑτέρας διὰ τὸ τοῦ ὀνόματος ὁμώνυμον, καὶ ἄλλως πολύσημον. τίς γράφει; ἡσαΐας. τίς ἡσαΐας; ὁ τοῦ νικολάου.

Μόνον δὲ παραλαμβανόμενον τὸ τίς, πτωτικοῦ δηλονότι ἐκ γ', μήτε ἐπιφερομένου μήτε προσκειμένου ὀνοματικοῦ ἢ ἀντωνυμικοῦ, οἷόν τέ ἐστι καὶ τοῖς ὑπολοίποις τῶν ῥημάτων συντάσσεσθαι. τίς περιπατεῖ; τίς ἀναγινώσκει; ἐφ' ὧν ἡ γινομένη ἀνθυπαγωγὴ, ἀντωνυμικὴ μὲν οὖσα, οὐκ ἔτι δέεται ἑτέρας πεύσεως, εἰ φαίημεν, ἐγὼ, ἢ οὗτος. ὡρισμένα γὰρ πρόσωπα ἐμφαίνει. ἅμα γὰρ τῇ οὐσίᾳ καὶ τὰ ταύτῃ ἐπιτρέχοντα ἰδιώματα, διὰ τῆς δείξεως συμπαρίστησιν. ὀνοματικὴ δὲ, οὐκ ἐν τῷ αὐτῷ τῇ ἀντωνυμικῇ ὁρισμῷ ἀνθυπάγεται, διὰ τὴν παρεπομένην τοῖς ὀνόμασιν ὁμωνυμίαν, εἰ φαίημεν, αἴας. δι' ὃ χρεία πάλιν ἑτέρας πεύσεως τῆς, ὁπότερος; ᾧ πάλιν ἀνθυπαχθήσεται τὸ ἰδίᾳ παρακολουθῆσαν θατέρῳ τοῖν αἰάντοιν συνάρθρως. ὁ μέγας, ὁ τελαμώνιος, ἢ ὁ λοκρός. πάνυ εὐλόγως. ἐπεὶ τὰ ἐπιθετικὰ τοῖς ὑποκειμένοις συνεκφερόμενα, σὺν ἄρθρῳ παραλαμβάνεται, εἰς διαστολὴν, ὡς εἴρηται, τῆς πολυσήμου ὁμωνυμίας. τοιοῦτο γάρ ἐστι τὸ ὅλον, αἴας ὁ τελαμώνιος αἴας ὁ σαλαμίνιος. ἤγε μὴν τὰ διασταλτικὰ τῆς ὁμωνυμίας, ἐν τῇ ἀνθυποφορᾷ ὦσιν ἐγκείμενα, οὐκ ἔτι χρεία ἐπερωτήσεως, γνωσθέντος ἤδη τοῦ ὑποκειμένου. ὅθεν καὶ Νέστωρ εἰδὼς μὲν Ἀγαμέμνονα καὶ κατὰ τοῦ νόμα, μακρόθεν δ' ἔμπης ὁρῶν, καὶ μόνον διὰ κατάστημα ἀγνοῶν. νὺξ γὰρ ἦν, πυνθάνεται, τίς δ' οὗτος κατὰ νῆας κατὰ στρατὸν ἔρχεται οἷος; εἶτα ἀκούσας, γνώσεται ἀτρείδην Ἀγαμέμνονα, οὐκ ἔτι ἐπερωτᾷ. ὁμοίως καὶ Πρίαμος ὁρῶν τὸν Ἀγαμέμνονα, καὶ πεῦσιν ποιούμενος καὶ αὐτὸς τὴν κατὰ τοῦ κυρίου ὀνόματος, ἐν ἰλ: γ'. ὅστις ὅδ' ἐστὶν ἀχαιὸς ἀνὴρ ἠΰς τε μέγας τε; οὐκ ἔτι οὐδ' αὐτὸς ἐπερωτᾷ, ἀκούσας παρὰ τῆς Ἑλένης, οὗτος γ' ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων. ἀναγκαίως συνενεχθείσεις τῷ ὀνόματι καὶ τῆς δεικτικῆς ἀντωνυμίας, εἰς διαστολὴν τοῦ κατὰ τὸν Ἀγαμέμνονα προσώπου ἐκ τῶν συνόντων. εἰπὼν δὲ ὁ Θεόδωρος διὰ τὸ τοῦ ὀνόματος ὁμώνυμον, εἶτα ξυνιδὼν, ὡς πραγμάτων ἐστὶν, ὡς εἴρηται, ἡ ὁμωνυμία τε καὶ συνωνυμία οὐκ ὀνομάτων. τούτων γὰρ τὸ ταυτόσημον, ἢ πολύσημον. ἐπήγαγεν, οἱονεὶ ἑαυτὸν ἐπιδιορθούμενος, τὸ, καὶ ἄλλως πολύσημον. δῆλον δὲ ὡς τὰ λεγόμενα Κύρια τῶν ὀνομάτων τύχη καὶ προαίρεσις τίθεται μᾶλλον, ἢ ἡ τῆς οὐσίας οἰκειότης ἐξευρίσκει, ὡς μηθὲν ἢ αὐτῆς, ἢ τῆς κατ' αὐτὴν ἐνεργείας καθ' ἑαυτὰ παριστῶντα.

Διαπορητικῶς δὲ ἐρωτῶν, πρὸς ὑποτακτικὸν συντετάξεται. πότερον σιωπῶ, ἢ λέγω;

Ἐν τούτοις συνεξακούεται τό, τε βούλει ῥῆμα καὶ τῶν συνδέσμων ὁ ἵνα. ἐν οἷς δὲ τὸ βούλει οὐ χωρεῖ, ἐν τούτοις οὐδ' ὁ ἵνα.

Ὅλως τε ἡ ἐρώτησις ὑποτακτικὸν τοῦ ῥήματος ἀπαιτεῖ. βούλει εἴπω;

Οὐχ ἁπλῶς, ἀλλ' ἡ διαπορητικὴ, ὡς εἴρηται.

ρηται. τῆς γὰρ ἐρωτήσεως ἡ μὲν τίς ἐστιν ἁπλῆ, ἡδ', σύνθετος. καὶ ἁπλῆ μὲν, ὅτε καθ' ἑαυτόν τις ἀγνοῶν, συζητεῖ, μὴ διαπυνθανόμενος ἕτερον, μηδὲ ἀπόκρισιν παρ' ἑτέρου ζητῶν, ἡ καὶ διαπορητική. σύνθετος δὲ, ὅτε τις ἕτερον διαπυνθάνεται, πρὸς ἕτερον ἀποτεινόμενος, καὶ ἀπόκρισιν ὡρισμένως εἴτ' οὖν ἀοριστως ζητῶν. Ἡ μὲν οὖν ἁπλῆ ὑποτακτικὸν ἀπαιτεῖ κατὰ πᾶν πρόσωπον. οἷον, οὐκ οἶδα ὅ, τι φῶ. οὐκ ἔχω τίνι συνεργῷ πρὸς τὰ κάλλιστα χρήσωμαι. Γρηγόριος ἐν τῷ περὶ φιλοπτωχ': οὐκ ἔχεις ὅ, τι εἴπῃς, οὐκ ἔχοντες πότερα μᾶλλον θρηνήσωσι. Θουκδ': β', οὐκ ἔχοντες ὅ, τι γένωνται. κἀντῇδ', ὅπως ἀπορία ᾖ τοῖς πολεμίοις, μὴ ἔχουσι πρὸς ὅ, τι ἀντιτάξωνται. σπανίως δὲ καὶ πρὸς εὐκτικόν. Λουκιαν': ἐν τῷ Σκύθῃ οὐκ ἔχων ὅ, τι χρήσαιτο ἑαυτῷ. τὸ δὲ ἐν τῷ Φιλόπατρ: τοῦ αὐτοῦ, οὐ γὰρ ἔχεις τι λέγειν περὶ αὐτῆς, οὐ διαπορητικὸν, ἀλλὰ καθ' ὑπερβατόν. οἷον, οὐκ ἔχεις λέγειν τι. τὸ δὲ Θουκυδ': ἐν α', ἔδοξε δὲ αὐτοῖς σκέψασθαι, ὅτῳ τρόπῳ ἀσφαλέστατα διαπορεύσονται. διὰ τὸ τροπικὸν πρὸς ὁριστικὸν συνετάγη. τὸ δὲ Συνεσίου ἐν τῷ περὶ Βασιλ': καὶ οὐκ ἔχουσαν ὅ, τι χρήσεται, ἤτοι κατὰ γραφὴν ἡμάρτηται, ἢ σημειωτέον. Ἡ δὲ σύνθετος ἐρώτησις, ὁριστικὸν ἀπαιτεῖ οὐχ ὑποτακτικόν. καθ' ὅ, τι ἐρωτᾷ τις οὐ μόνον περὶ τῶν μελλόντων, ἀλλὰ καὶ περὶ τῶν ἐνισταμένων, καὶ ἔτι τῶν παρῳχημένων. οἷον, τί ἐποίησας; ἆρ' ἀνέγνως; ἡ δ' ὑποτακτικὴ μέλλοντός ἐστι μόνον. καὶ γὰρ κἀντῷ, τί βούλει; ἀποκρίνωμαι αὐτῷ; Λουκιαν': ἐν τῷ περὶ Αἱρέσ: κἀντῷ Προμηθ': καὶ Διὸς, λύσωσε φῄς; πρὸς ὁριστικὸν ἠνέχθη ἡ ἐρώτησις. τοιοῦτο γὰρ τὸ βούλει καὶ τὸ φῄς. ὧν ἔστιν οὗ, μὴ προσκειμένων, δοκεῖ μὲν ἡ ἐρώτησις πρὸς ὑποτακτικὴν φέρεσθαι, ἔχει γε μὴν οὐδὲν ἧττον προσυπακουόμενον τὸ βούλει, ὃ κατὰ μὲν τὸ α', πρόσωπον ὑποτακτικὴν, κατὰ δὲ τὸ β', καὶ γ', ἀπαρέμφατον ἀπαιτεῖ. καθ' ὅ, τι τὰ προαιρετικὰ διφορεῖται, τῇ μὲν, ὑποτακτικῇ, τῇ δὲ, ἀπαρεμφάτῳ συντασσόμενα. Ὅλως δὲ τὰ ἐρωτηματικὰ τῶν μορίων ἤτοι ἐρωτῶντα, ἢ ἄλλως ὀρθοτονούμενα, εἰδικὸν ἀπαιτεῖ ῥῆμα, οὐκ ἀπαρέμφατον. ἔνθεν τοι πάνυ μοι γελοῖοι δοκοῦσιν οἱ λέγοντες, οὐκ ἔχω τί φάναι, ἢ οὐκ οἶδα πῦ κλῖναι τὴν κεφαλὴν, ἢ τί διαπράξασθαι. εἴγε κατὰ Ἀπολλών: ἡ ἐρώτησις εἴς τε τὸ ὄνομα καὶ τὸ ἐπίῤῥημα προσεχώρησεν. ἑκάτερα δὲ τούτων πρὸς εἰδικὸν ῥῆμα προηγουμένως φέρεται. Οὐ μὴν ἀλλ' οὐδὲ πρὸς τὸ προηγούμενον, πρὸς δὲ ἴδιον ῥῆμα φέρεσθαι πέφυκε τὰ ἐρωτηματικὰ, εἴτ' οὖν ἀπορηματικὰ κατὰ τὰ ἀναφορικά. ὅθεν σημειῷδες τοῦ ἐν τῷ εἰς τὸν μέγαν Βασίλ: Γρηγορ': τὸ ἡμιθνὴς δὲ Γρηγόριος, οὐκ οἶδα εἰς ὃ τελευτήσων. ἀντὶ τοῦ τελευτήσω. Ἐπὶ τούτοις, ἡ ἐρώτησις καταφατικῶς μὲν, ἀπόφασιν ἀντεισάγει πολλαχοῦ κατὰ τὸ σιωπώμενον. ὡς τὸ, ἢ μόνοι φιλέουσ' ἀλόχους μερόπων ἀνῶν ἀτρεῖδαι; οὐ μόνοι δηλαδή. ὡσαύτως καὶ τὸ τίς. τὸ οὐδείς. τὸ πόθεν, τὸ οὐδαμόθεν. τὸ ποῦ, τὸ οὐδαμοῦ. τὸ πῶς, τὸ οὐδαμῶς. ἀποφατικῶς δὲ, κατάφασιν. οἷον, τί δαὶ λαὸν ἐνθάδε ἤγαγεν Ἀτρείδης; ἢ οὐχ Ἑλένης ἕνεκα; καὶ τὸ, οὐκ εἰμὶ ἀπόστολος; ἡ γὰρ ἐρώτησις καὶ διά τι πάθος ψυχῆς πολλάκις γίγνεται, καὶ οὔκουν διὰ μάθησιν, οὐδὲ διὰ μόνην παραμυθίαν τοῦ ἐρωτωμένου. ἐρωτᾷ γάρ τις ἐσθ' ὅτε καὶ περὶ οὗ ἀκριβῶς οἶδε, καὶ διὰ ἔλεγχον, καὶ διὰ θυμὸν, καὶ διὰ πειρασμόν.

Ἀόριστα.

Καὶ τὰ μὴ δηλοῦντα δὲ ὡρισμένος μηθὲν, καὶ διὰ τοῦτο Ἀόριστα προσαγορευόμενα, οὐ συντάσσεται Ἄρθροις.

Εἰγ'.

Εἰ γ' Ἄρθρα μὲν ἴδιον ἦτα τῷ προεγνωσμένων ἀναπόλησις, τὰ δὲ, ἀθρόως ὡρισμένως δηλοῖ.

Ὅστις, ὁποῖος, ὁπότερος, τὶς ἐγκλινόμενον.

Καθ' ὅ, τι ἐρθοτονούμενον, ἐκ ἀορίστου ἐστὶ, ὡρισμένον δέ τι ἐπιζητεῖ· τὰ δ' ἀόριστα καὶ μάλιστα τὸ τὶς, πληθωτικὴν δύναμιν ἔχει διὰ τὴν ἀοριστίαν, καὶ ὁμῶς πλῆθος ἤτοι πολλὰς ὑπαγορεύει, καὶ πολλάς τινας καθ' ἕκα ἐπιμερίζει, καὶ αὖτι τὸ πᾶς τις τίθεται, διεξοδικῶς νοούμενον, αὖτι τοῦ, ἕτος, ἐκεῖνος, καὶ ἄλλος, καὶ ὅλως εἰπεῖν εἷς ἕκασος, τῇ κατ' αὐτὸ ἀορισίᾳ. εἴγε τὸ ἀόριστον τῶ παντός ἐστι περιληπτικόν. ὡσαύτως δὲ καὶ τὸ τὶς, καὶ τὸ ὅστις, εἰ καὶ ἑνικόν, εἰς καθολικὴν ὅμως σημασίαν πληθύνει δυνάμει, διὰ τὸ ἀορίσταινειν. ὅθεν καὶ πρὸς πληθωτικὸν ἀποδίδοται. τοιοῦτος νοῦν τοῦ τὶς καὶ παρὰ τῷ Σοφοκλεῖ ἐν τῷ; ὅστις δὲ φρονεῖν μόνος δοκεῖ, ἢ γλῶσσαν ἔχειν ὁμοίως ἢ ψυχὴν, ἔτοι διαπτυχθέντες, ὤφθησαν κενοί. τὸ δὲ ὅστις, ταὐτόν ἐστι τῷ ὅσοι, ἵνα λέγῃ, ὅτι ὅσοι φρονεῖν μόνοι δοκοῦσι. τοιοῦτο καὶ παρ' Ὁμήρῳ τὸ, ὅτε πίνειτις. οὐδὲ ἴ. διὰ δὲ τὴν φύσιν τοῦ τὶς, ἦγον τῇ ἀορισίᾳ πλῆθος δηλοῖ καὶ αὐτὸ, ταὐτὸν ὂν τῷ, ὅτε ἕτος, ἢ ἐκεῖνος ἢ ἄλλος πίνει. διὸ καὶ ταὐτόν πως εἶναι δοκεῖ τὸ, ὅτε πίνειτις, καὶ τὸ, ὅτε πίνουσί τινες. καὶτῷ γ', τῆς Ἰλ: ἐκ λελάθοιτο τις γάμε. ὅ ἐστιν ἕκασος τῶν μνηστήρων. καὶ παρὰ τῷ Σοφοκλ: πάλιν, λέγουσιν ὁ χορὸς οἱ Σαλαμίνιοι, ὡς νῦν καιρός τινι ποδοῖν κλοπαῖν ἀρέσθαι. ἦγον ἄρτι καιρὸς ἡμῖν φυγεῖν λάθρα.

Τὸ δ' ἐν τούτοις ἀρκτικὸν ὂν, ἐκ ἄρθρον, ἀλλὰ λέξεως μέρος.

Οἰήσεται γάρ τις τυχὸν ἐν τῷ, ὁποῖος, ἄρθρον εἶναι τὸ ὁ, ἐκτὸς τῆς φωνῆς, καθ' ὃ δασυνόμενον, μὴ δυναμένου τοῦ, πρὸ τοῦ π, δασυνθῆναι, (πλὴν ἐπὶ τῆς ἀναφορικῶν, καὶ ὧν ἕπεται τὸ λ.) καθ' ὃ ἐπί τι ἀναφέρεται πρόσωπον ἡ συντάξις αὐτοῦ. ὡς ἐν τῷ ὁποῖός ἐστι Θέων, τοιοῦτος καὶ ὁ Τρύφων. ἀλλ' ἔστιγε πρὸς τὸ τοιοῦτο φάναι. ὅτι τὸ ὁ, τῷ ποῖος ἐ προσῆλθεν, ἐδ' ἀρθρικὴν σημαίνει ἀναφοράν, ἀλλ' ἔστιν ἁπλῶς ἐν μέρος λόγου τὸ ὁποῖον. εἰ γε τὸ μὲν ἄρθρον τῆς κατ' οὐσίαν ὡρισμένων, εἴτ' ἐν ἐγνωσμένων ἐστὶν, ὡς εἴρηται, ἀναπολητικὸν μόνον, τὸ δὲ ὁποῖος καὶ ὁ πόσος ληφθέντα ἀποσηματικῶς μὲν, ἐθὲν ὡρισμένως δηλοῖ, ἀναφορικῶς δὲ, πρὸς τὴν κατὰ ποιὸν, ἢ ποσὸν ἀναπόλησίν ἐστι καὶ ἀνταπόδοσιν ἑτέρου ζητεῖ, τὸ μὲν, ὁμοιωματικῶς, τὸ δὲ, παρεκτατικῶς. καὶ τῶν παρεπομένων δὲ ἐμφανῶς δείκνυται, μὴ ὂν ἄρθρον τὸ τοιοῦτον ὁ. εἰ γε τὰ μὲν ἄρθρα συνδιατίθεται, οἷς συνέστι πτωτικοῖς, καὶ πτώσιν καὶ ἀριθμὸν καὶ γένος συναμείβοντα τῶν ἑκάστου τῆς τῆς πτωτικῶν κατ' αὐτὰ μεταβολήν, τὸ δὲ τοιοῦτον ὁ, ἐθὲν τούτων συναμείβει. ἐδὲ γὰ, ὡς ἐν τοῖς ὀνόμασιν ἐδ' ὅτε, ἔτω καὶ τοῖς ἄρθροις τὸ γένος ἐπικοινωνεῖ. φαμὲν γὰ, ὁ καὶ ἡ αὐτὸς καὶ τὰς αὐτός. συναμείβοντες καὶ τὰ παρεπόμενα τὸ ἄρθρον. ἀλλ' ἐδ' ἂν συνθέσει τις ὑπολάβοι τὸ ἄρθρον συγκεῖσθαι τούτοις, καὶ διὰ τοῦτο μὴ συναλλοιοῦσθαι καὶ τὰ παρεπόμενα. εἰ γε τὰ ἄρθρα ἐ συντίθεται. ἀλλ' εἰ καὶ δοκεῖ συντίθεσθαι ἐπὶ τῆς τοιούτων, ὅδε, ὅς γε, ὅστις, καὶ τῆς ὁμοίων, ἀλλὰ μὴ τῆς πυσμάτων ἀδυνατεῖ, ὡς μαχομένων τὴν τῆς ἄρθρων συνοίκα. ἔστι καὶ τῆς φωνῆς παρασῆσαι, ὅτι ἐκ ἂν συνθέσει παράκειται τοῖς τοιούτοις τὸ ὁ. τῆς δυσυλλάβων τὰ παροξυνόμενα πυρριχιακὰ, ἢ προπερισπώμενα χοριακὰ, συνθέσιν ἀναδεχόμενα, προπαροξύνεται. δῆλος, συνδε-

συνδυλος. πόνος, ἄπονος. τὸ δὲ ὁποῖος, καὶ ὁ πόσος οὐ προπαροξύνεται. ἀλλὰ κἀκτοῦ γένους δῆλον ταὐτό. τὰ γὰρ σύνθετα προδήλως κοινολεκτεῖται τῷ γένει. οἷον, ὁ καὶ ἡ φίφος. οὐ μὴν τὸ ὁποῖος, καὶ ὁ πόσος. καὶ γὰρ καὶ ἐπιρρημάτων προτίθεταί τε καὶ ἀποπίπτει τὸ ὅ. ποῦ, ὅπου. πῇ, ὅπη. πῶς, ὅπως. εὐηθές γε μὴν, ὡς ἐκεῖ, οὕτω κἀπὶ τῶν προκειμένων ἄρθρον τὸ ὅ, παραδέξασθαι. τέτακται δὲ μετὰ τὰ Πευστικὰ προσεχῶς τὰ Ἀόριστα, ἢ δὴ εἰς ἀπάντησιν ἐκείνων πολλάκις παραλαμβάνεται. οἷον, πότερος τούτων; οὐκ οἶδ' ὁπότερος. Ἀλλ' ἀπορήσεις καὶ τὰ λεγόμενα Κύρια, ὡς τῶν Ὁμωνύμων ὄντα, ἐν οὐδὲ ἐν οὐδ' αὐτὰ ὡρισμένως δηλοῖ. εἴγ' ἐν τῇ ἐρωτήσει ὀνόματος ἀποδοθέντος, ἔτι δεῖ ἐπερωτήσεως διὰ τὸ τοῦ ὀνόματός φησιν, ἀόριστον. τίς οὖν ἡ ἐκείνων πρὸς τὰ προκείμενα διαφορὰ τῆς ἀοριστίας; ἢ ὅτι τῷ καθόλου καὶ μερικῷ. ἐν μὲν γὰρ τῷ ὅς τις, πᾶν ὁ, τιοῦν συνεξακούεται ἄτομον, καὶ σωκράτης καὶ πλάτων καὶ πᾶς ὁς τισοῦν, ἐν δὲ τῶν κυρίων τῷ σωκράτης τυχὸν, οὐπᾶν ἁπλῶς, μόνα δὲ τὰ τοῦ αὐτοῦ μετειληφότα ὀνόματος. αὐτὰ ταῦτα ῥητέον κἀπὶ τῶν ἐπίτε ποσοῦ καὶ ποιοῦ τοῦ, ὁποῖός φημι καὶ ὁπόσος.

Ἀναφορικά.

Τὰ δὲ ἀναφορικὰ καὶ αὐτὰ, ὡς τὰ Πευστικὰ καὶ Ἀόριστα,

Ἔνθεντοι καὶ ἐχόμενα ἐκείνων ἀμέσως καὶ ταῦτα ἐπενήνεκται.

Ἐπίτε ποσοῦ καὶ ποιοῦ λέγεται,

Παρωνύμως τὰ μὲν, ἐκ τῆς ποσότητος, τὰ δὲ, ἐκ τῆς ποιότητος. οὐμὴν δὲ καὶ ἐπὶ οὐσίας κατ' ἐκεῖνα. αὕτη γὰρ δείκνυται μὲν ταῖς ἀντωνυμίαις, ἀναφέρεται δὲ αὐταῖς τε καὶ τοῖς συνάρθροις τῶν ὀνομάτων.

Λβ.

Τοῖς τε Κυρίοις καὶ Προσηγορικοῖς συντάσσεται ὁμοιογενῶς καὶ ὁμοιοπτώτως.

Πρόσθες καὶ ὁμοιαρίθμως. ἐπίθετα γάρ.

Καὶ ὁμοιώσεως, ἢ δείξεως ἕνεκα.

Ὁ καὶ, οὐ παρέλκει, ὑπονοεῖν δὲ δίδωσιν, ὡς καὶ ἀναφορᾶς ἕνεκα λέγεται.

Ἔστι δ' ὅτε καὶ θαυμαστικῶς προφερόμενα.

Κατὰ λόγον θάμβους. ὡς τὸ, οἷα μενοινᾷς ἔρδειν ἐν μεγάροισιν. ὅμοιον τῷ, οἷα μ' ἔοργας. ὅτε καὶ ἀπολύτως ἐκφερόμενα, χωρὶς λέγω τῶν ἀνταποδοτικῶν, ἐπίτασιν ὑπαγορεύει ποιότητός τινος, ἢ ποσότητος. ὡς ἐν τῷ, οἵου ἀνδρὸς ἔχεις παράκοιτιν.

Καλεῖται δ' οὕτως,

Ἀναφορικὰ δηλαδὴ,

Διὰ τὸ τὴν διάνοιαν ἐπίτι ἀναφέρεσθαι τῶν προεγνωσμένων.

Οὐκ ἄρα οὐδ' αὐτὰ ἄρθροις συντάσσεται, ὡς τὴν τούτων χρείαν οἴκοθεν ἀναπληροῦντα.

Συμβαίνει γὰρ τὸ τοιοῦτο,

Ἡ ἐπίτι τῶν προεγνωσμένων τῆς διανοίας ἀναφορὰ,

Ὅταν τις λέγῃ, τοιοῦτος ἦν Ἀχιλλεὺς, οἷος ἦν Αἴας. ταῦτα μὲν οὖν ἂν εἴη ἀναπολητικά τοῦ τῶν προεγνωσμένων, καὶ ὁμοιωματικά.

Οὐ γὰρ μόνον ἀναφέρει κατὰ τὰ ἄρθρα καὶ αὐτὰ, ἀλλὰ καὶ ἀνταπόδοσιν ἑτέρου ζητεῖ, ὡς εἴρηται, ὃ οὐσύνεστι τοῖς ἄρθροις, ὁμοιωματικὴν, ἢ παρισωτικήν.

Ἐξέστω

Ἐξέστω δέ τοι ταὐτὰ

Τῶν συζύγων οὐχὶ θάτερον, ἀλλ' ἑκάτερα.

Καὶ δεικτικὰ καὶ ἀνταποδοτικὰ ὀνομάζειν.

Τὸ μὲν,

Ὅτι πολλάκις χρώμενοι τοῖς τοιούτοις δεικνύομεν, ὁρῶντές τι ὅμοιον,

Ἑτέρῳ τινὶ, τὸ δὲ,

Καὶ ὅτι πρὸς ἄλληλα ἀνταποδίδοται, ἡγούμενα καὶ ἑπόμενα.

Ἀλλ' ἀπορήσεις. ἐν τῷ, τοιοῦτος ἦν ὁ Σωκράτης, οἷος ὁ Πλάτων. οὐδέτερος αὐτῶν οὔθ' ὁρᾶται, οὔτε μὴν δείκνυται, ἀναφέρεται δὲ μᾶλλον. Πῶς οὖν φησι δεικνύομεν δι' αὐτῶν, ὁρῶντές τι ὅμοιον; ἢ ὅτι πολλάκις, φησὶν, οὐχὶ πάντοτε. παρὸν μὲν γὰρ ὑπ' ὄψιν ὁρῶντες αὐτὸ, δεικνύομεν. οἷον, τοιοῦτος οὗτος, οἷος ἐκεῖνος, ἀντονομάζοντες. ἀπὸν δὲ ἀναπολοῦμεν ἐν συνάρθροις ὀνόμασι. τὴν δὲ τῶν δύοιν μορίων ἤτοι δεικτικῶν ἢ ἀναφορικῶν, ἢ δεικτικοῦ τε καὶ ἀναφορικοῦ συνέλεσιν διασταλτέον, ὡς ἡ δεῖξίς τε καὶ ἀναφορὰ ἡ μὲν ἀντωνυμική τε καὶ ἀρθρικὴ, ἐπὶ τῆς οὐσίας, ἡ δὲ ὀνοματικὴ, ἐπὶ τοῦ ἐν τῇ οὐσίᾳ ποσοῦ τε καὶ ποιοῦ, ὡς εἴρηται, φέρεται.

Κυρίως δ' ἀνταποδοτικὰ, τὰ ἔχοντα τὸ τ̃, ἀρκτικόν. τοιοῦτος, τηλίκος, τόσος.

Εἴη δ' ἂν καὶ κυρίως ἑπόμενα ταῦτα, ἡγούμενα δὲ, ὧν κατάρχει τὸ φωνῆεν.

Ἃ δὴ καὶ τῷ δε ἐπεκτείνεται. τοιός δε.

Παρὰ δὲ πεζοῖς τῷ οὗτος, ἀντὶ τοῦ δε, ἐπεκτείνεται. τοιοῦτος, τοσοῦτος.

Καὶ ἄρθροις συντάσσεται.

Οὐχὶ κατὰ ἀναπόλησιν, θαυμαστικῶς δὲ καὶ καθ' ὑπεροχήν.

Τά γε μὴν ἀπὸ φωνήεντος ἀρχόμενα, οὐ συντάσσεται ἄρθροις.

δι' ἣν ἔφθημεν εἰρικότες αἰτίαν.

Οὐ γὰρ ὁ οἷος λέγομεν, οὐδὲ, ὁ ὅσος.

Ἀλλ' οὐδὲ τὰ ἀπὸ συμφώνου, δεικτικὰ ὄντα, τῆς δείξεως τῇ ἀναφορᾷ μαχομένης, ὅτι μὴ, θαυμαστικῶς εἰλημμένα ὡς εἴρηται.

Ἡγεῖται μὲν δὴ ἀλλήλων ἐν τῇ συντάξει καὶ ἐπιφέρεται, ὡς εἴρηται.

Οὐδέτερον ἄρ' οὐδετέρου ὡρισμένως προτακτικὸν, ἢ ἀκολουθητικόν.

Οἷον, αἴθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην (Ἰλ: π̃.) καὶ, ἀλλ' οὐδ' οἱ τόσοι ἦσαν, ὅσοι ἑλίκωπες ἀχαιοῖ. (Ἰλ: γ̃.) καὶ χωρὶς δὲ ἀναφορικοῦ λαμβάνεται τὰ ἀνταποδοτικὰ ἀπολύτως, ἤτοι ἀποστηματικῶς, ἢ θαυμαστικῶς. τοίην κεφαλὴν ποθέω.

Ἀποστηματικὰ κατ' αὐτὸν ῥήματα λέγεται, τὰ χωρισμὸν καὶ διάστασιν σημαίνοντα. καὶ τὰ ἀνταποδοτικὰ τοίνυν καθ' αὑτὰ ληφθέντα, χωρὶς τῶν ἀναφορικῶν, ἀποστηματικῶς εἰρεῖσθαι λέγεται, ὡς ἀπολελυμένα τῆς πρὸς τὸ ἕτερον τῶν συζύγων ἀναφορᾶς. εἰ λήφθω δὲ τὸ μὲν ἀπολύτως, οἱονεὶ γένος, τὸ δὲ ἀποστηματικῶς, ἢ θαυμαστικῶς, οἱονεὶ εἴδη ἀλλήλοις ἀντιδιαιρούμενα. ὡς εἶναι λέγειν, εἴ τι θαυμαστικὸν, ἢ καὶ ἀποστηματικὸν, τοῦτο καὶ ἀπόλυτον, ὡς τὸ,

τοίην

τοίην κεφαλὴν ποθέω. οὐ μὴν εἴτι ἀποστηματικὸν εἴτ' οὖν ἀπόλυτον, τοῦτο ἤδη καὶ θαυμαστικόν. τὸ γὰρ πολέμους διήνυσεν, ὅσους καὶ οἵους οὐδεὶς, ἀπόλυτον, ἀποστηματικὸν μέν ἐστιν, οὐ μὴν καὶ θαυμαστικόν. Τὰ δὲ θαυμαστικῶς εἰλημμένα, δύοιν θατέρου πάντως εἰσὶν ἐμφαντικὰ, ἤτοι μυστηριώδους ἐπαίνου, ἢ τοὐναντίον ψόγου. πολλαχοῦ γὰρ διὰ γοργότητα σεμνῶς τοιούτοις χρῶνται.

Πολλῷ δὲ μᾶλλον τὰ ἀναφορικὰ δίχα τῶν ἀνταποδοτικῶν.

Ἀπολύτως δηλαδὴ καὶ αὐτὰ, καὶ ἤτοι θαυμαστικῶς, ὡς ἐν τῷ, οἷά μ' ἔοργας, ἢ ἀποστηματικῶς, ὡς ἐν τούτοις.

Συμφορῶν γὰρ πεπείραται, οἵων οὐδεὶς, φαμέν. καὶ, σοφοῖς ἐνέτυχεν, οἵοις οὐδείς. καὶ, πολέμους διήνυσεν, ὅσους οὐδείς.

Τοῖς μὲν γὰρ ἀποστηματικοῖς δυνάμει τὰ ἐλλείποντα ἀνταποδοτικὰ παράκειται, ἐμφανιζόμενα διὰ τοῦ ἐπιζητοῦντος αὐτὰ λόγου, ἐπὶ δὲ τῶν θαυμαστικῶν τὸ τοῦ λόγου κατάλληλον οὐκ ἐπιζητεῖ τὰ ἀνταποδοτικά. εἴγε τῶν ἀξυμβλήτων τὸ θαῦμα, οὐ τῶν πρός τι παραβαλλομένων. τὰ δὴ προκείμενα ἀναφορικὰ εἴτ' οὖν ἀνταποδοτικὰ κατὰ τὰς ἀνταποδόσεις οὐ τὸ αὐτὸ, διάφορον δὲ ἀπαιτεῖ πνεῦμα. οἷον, δασυνόμενον μὲν φωνῆεν τὰ ἀπὸ ψιλοῦ συμφώνου ἀντιστοίχου ἀρχόμενα τοῦ τ, ἢ τοῦ π, ψιλὸν δ' αὖ σύμφωνον, τὰ ἀπὸ δασυνομένου φωνήεντος. οἷος, τοῖος, ἢ ποῖος. ὅσος, τόσος, ἢ πόσος. ἔνθεντοι ἡ ἰωνικὴ μετάθεσις ἐξηλλάγη ἐπὶ τούτων τῶν μορίων. τὰ γὰρ ψιλὰ εἰς δασέα μετατιθέντες Ἴωνες, καὶ ἐναλλὰξ τὰ δασέα εἰς ψιλὰ, ὡς ἐν τῷ τάφος, παρὰ τὸ θάπτω. τεθηπότες, ἐν ταῦθα. κἀπὶ τῶν συναλιφῶν, κατορᾷς πόλιν. ἐπί γε μὴν τῶν ἀνταποδοτικῶν τοῦτο ποιεῖν οὐ δύνανται. ἀλλ' εἰς ψιλὰ πάλιν τὰ ψιλά. τὸ γὰρ ψιλὸν π, ἐν τῷ ποῖος, οὐκ εἰς τὸ ἀντιστοιχοῦν δασῦ φ, ἐπεὶ τὸ ἀνταποδιδόμενον φωνῆεν, δασύ ἐστι καὶ αὐτὸ, ἡ δὲ ἀνταπόδοσις, ὡς εἴρηται, οὐ τὸ αὐτὸ, διάφορον δὲ ἀπαιτεῖ πνεῦμα, οὔκουν εἰς τὸ φ, ἀλλ' ἐπεὶ τὸ τ, κατετέτακτο ἐν τῷ τοῖος, καὶ τόσος, εἰς τὸ ὑπόλοιπον ἀπολελυμένον ψιλὸν τὸ κ, μετέλαβον τὸ π. εἴγε κοῖος, φασὶ τὸ ποῖος, καὶ τὸ ὅπως, ὅκως, καὶ κόσος, τὸ πόσος. Ἐπὶ τούτοις ἀπορήσεις, τί διαφέρει τὰ Ἀναφορικὰ ταῦτα τῶν ὑποτακτικῶν Ἄρθρων; πτωτικά τε γὰρ ἑκάτερα καὶ ἀναφορᾶς ὁμοίως σημαντικά. Ἢ ὅτι ὁμοίως μὲν, οὐ μὴν δὲ καὶ ὁμοίας, ἀλλὰ τὰ μὲν, τῆς κατ' οὐσίαν, τὰ δὲ προκείμενα, τῆς κατὰ ποιότητα, ἢ ποσότητα. αὐτὰ ταῦτα ῥητέον καὶ πρὸς τὰς ἀναφορικὰς τῶν ἀντωνυμιῶν. καὶ ὅτι τὰ μὲν προκείμενα, ὡς καθ' ὑποκειμένου λεγόμενα, οὐκ ἄνευ, συσσημαντικὰ μᾶλλον διὰ τοῦτο, ἤπερ σημαντικά εἰσιν ἀναφορᾶς, τὰ δὲ τῶν Ἄρθρων ὑποτακτικὰ καὶ αἱ ἀναφορικαὶ τῶν Ἀντωνυμιῶν, τοὐναντίον. Τηρητέον δὲ, ὡς τὰ ἀναφορικὰ τῶν ὀνομάτων, εἴτ' οὖν δεικτικά τε καὶ ἀνταποδοκτικὰ, οὐ πρὸς τὸ ἡγουμένον, πρὸς δὲ ἴδιον ῥῆμα, καθὰ δὴ καὶ τῶν Ἄρθρων τὰ ὑποτατικὰ, φέρεσθαι πέφυκε, τὴν τούτῳ συνοδεύουσαν πτῶσιν ὑποδυόμενα, εὐθεῖαν μὲν, ὑπαρκτικῷ ὄντι, Θουκδ': α', τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος ἐστὶ, πρὶν ἐν αὐτῷ γενέσθαι, προδιάγνωτε. Λουκιαν': ἐν τοῖς νεκρ: τί οὐκ ἀπίωμεν, ὀψόμενοι τοὺς κατιόντας, οἷοί τινές εἰσι; πλαγίαν δὲ, μεταβατικῷ, ὁτὲ μὲν, τῷ αὐτῷ τῷ προηγουμένῳ, πολέμους διήνυσεν, ὅσους οὐδείς. διήνυσε δηλ': ὁτὲ δὲ, ἑτέρῳ. τοσοῦτοι μόνον ἦλθον τῶν ἀνδρῶν, ὅσους ἠχρεία ἐκάλει. ὅθεν ἡμάρτηται Λουκιανοῦ ἐν τῷ περὶ Ὀρχήσ:

Ὀρχήσ: τὸ, καὶ ἥκιστα ἐλευθέρῳ ἀνδρὶ, καὶ οἵῳ σοὶ πρέποντα. κἀν τῇ Ἀπολογίᾳ. ἐπάξεις δὲ ἴσως καὶ πρὸς αὐτὸν ἐμὲ συμβουλήν τινα τοιαύτην οὐκ ἄκαιρον, ἀλλὰ φιλικὴν, καὶ οἵῳ σοι χρηστῷ καὶ φίφῳ ἀνδρὶ πρέπουσαν. ἀντὶ τοῦ, οἷος σύ. (εἰ μή τί γε τὸ οἷον ἀντὶ τοῦ ὅμοιον, ἢ τοῦ μόνον, ληφθὲν, θεραπεύσοι τὸ ἄλλως ἀκατάλληλον. καὶ Γρηγόριος ναζιανζ: ἐπιταφ: Βασιλείου, εἰ μὲν οὖν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον, ἤ τινι τῶν μικρῶν ὅλως, καὶ ὅσων οἱ χαμαὶ βαίνοντες, ἀντὶ τοῦ καὶ ὅσοις φιλοτιμοῦνται, οἱ χαμ: τοιοῦτο καὶ Ἀριστοτλ: ἐν τῷ περὶ Ζῴων ἱστορ: εἶναι δὲ μέγεθος (τὸ θηρίον φησὶ Κτησίας) ἡλίκον Λέοντα. ἀντὶ τοῦ ἡλίκος Λέων, ὁμοίως ἡμάρτηται καὶ τὰ ἐν τῇ μεταλήψει. οἶδα ὅτι παραστήσεις τὰς ἁμαρτίας μου ἔμπροσθέν μου τοιαύτας, οἵας καὶ παρ' ἐμοῦ γεγόνασι. καὶ, ἴδε μου τὸν κόπον, ὅσον. δέον ἔνθα μὲν, οἷαι, ἔνθα δὲ, ὅσος. Ἀλλ' ἀπορήσεις, τὰ ἀναφορικὰ ὀνόματα πρὸς ἄλληλα θεωρούμενα, συνεισαγόμενά τε καὶ συναναιρούμενα, τί μὴ κατὰ τὰ Πρός τι καὶ αὐτὰ ἀπ' εὐθείας πρὸς γενικὴν φέρεται; Ἢ καθ' ὅ, τι οὔτε καθ' ὑπεροχὴν ἢ ὑποταγήν εἰσι. τί δαὶ μὴ πρὸς δοτικὴν, τὰ μὲν αὐτῶν ἐξ ἴσου, τὰ δὲ, ἐξ ὁμοίου ὄντα; Ἢ καθ' ὅ, τι οὐθατέρῳ κατὰ τὰ Πρός τι, ἑκατέροις δὲ συνέστι ῥῆμα ἐκ β', τὸ δὲ ῥῆμα οὐδὲ μίαν ἀλλ' ἢ εὐθεῖαν πτῶσιν προϋποτίθησιν. ἄλλως τε οὐδ' ἀεὶ πρὸς ἄλληλα φέρεται, ὡς τὰ θαυμαστικὰ παρίστησι.

Περιληπτικά.

Τὰ δὲ περιληπτικὰ, οἷον τὰ δι' ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαίνοντα, ἑνικοῖς

Διὰ τὸ ἑνικὸν τῆς φωνῆς,

Καὶ πληθυντικοῖς συντάσσονται ῥήμασι.

Διὰ τὴν φυσικὴν πληθυντικὴν σημασίαν.

Ὁ δῆμος εἶπε. καὶ, ὁ δῆμος εἶπον.

Τὰ γὰρ ἀθροιστικὰ ὀνόματα ἑνικῶς μὲν λέγεται, πληθυντικῶς δὲ νοεῖται. Ἀττικῶν δὲ τὸ σχῆμα.

Καί τοι τ' ἄλλα πάντα τῶν ὀνομάτων ἑνικῶς μὲν προφερόμενα, ἑνικοῖς συντάσσεται ῥήμασι, δυικῶς δὲ, δυικοῖς, πληθυντικῶς δὲ, πληθυντικοῖς.

Καὶ μὴν καὶ τῶν Ἐπιμεριζομένων τὰ κτητικὰ, δι' ἑνικοῦ ἀριθμοῦ πλῆθος ὑπαγορεύοντα, ἑνικοῖς καὶ πληθυντικοῖς συντάσσεται ῥήμασι κατὰ τὰ Περιληπτικά. οὐκ ἄρα καθόλου τὰ τοῦ λόγου. Ἢ ὅτι καὶ αὐτὰ τοῖς περιληπτικοῖς συμπαραλαμβάνεται, τοῦτο μόνον τῶν συλληπτικῶν διαφέροντα, καθ' ὅ, τι ἐπιμεριστικά ἐστι πλήθους, καὶ διαιρετικὰ τοῦ καθόλου εἰς τὰ κατὰ μέρος. Πίνδαρος δὲ εἴδει ια', τῶν ὀλυμπίων, ἑνικῷ ῥήματι ἀντὶ πληθυντικοῦ χρῆται. οἷον, εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι ὑστέρων ἀρχαὶ λόγων τέλλεται. οὐδεὶς γὰρ οὔτε τῶν προγενεστέρων οὔτε τῶν ἔπειτα ἐν τοῖς ἀρσενικοῖς καὶ θηλυκοῖς ὀνόμασι τῷ ἑνικῷ ἀντὶ πληθυντικοῦ ἐχρήσατο, ὥσπερ οὗτος, προδήλως παρανομῶν.

Πλὴν τῶν ἀττικῶς συντασσομένων ἑνικοῖς οὐδετέρων πληθυντικῶν. Ἀττικοὶ γὰρ τὰς πληθυντικὰς τῶν οὐδετέρων ὀνομάτων εὐθείας ἑνικοῖς συντάσσουσι ῥήμασι. παίζει τὰ παιδία.

Τίὅτι

Τί ὅτι τῷ ἀρσενικῶν τε καὶ θηλυκῶν πτωτικῶν καὶ ἀκολούθησιν, εἴτ' ἔν ὁμοιαρρήμως συμφερομένων τοῖς ῥήμασι, μόνα τὰ δέτερα ἐν πληθωτικῷ ἀριθμῷ συνοῖς συντάσσεται ῥήμασι, πτωτικὰ ἔχ ἥττον καὶ αὐτὰ ὄντα; ὡς δὲ ἐδείξαμεν ἐν τοῖς προκειμένοις, τὰ μέρη τοῦ Λόγου ἐν ᾧ μὲν διακρίνεται ἰδιώματι, ἐθὲν ἁμαρτάνεται, ἀδιάφορον ἦν περὶ τὴν τάπου σύνταξιν, ἐν ᾧ γε μὴν παρεπομένῳ διακρίνεται, περὶ τὴν τάσεως ἀλλαγὴν τὸ ἀκατάλληλον συνελέγχει. καὶ δὴ καὶ τὰ ῥήματα ἔχ, ὥσπερ τῷ μὴ προσόντι γένει, ἕτω τοι καὶ τῷ προσόντι ἀριθμῷ, ἢ τῷ προσώπῳ ἀδιαφορήσει ἐπιπλεκόμενα, ἀλλὰ συμπληθωθήσεται τοῖς συνδέσμοις πληθωτικοῖς πτωτικοῖς. καὶ δῆλον ὅτι τὸ, ἁπάρτα λέλυνται, ἐξ ἀμφοῖν ὂν πληθωτικῶν, ἀναλογώτερον τοῦ, δέρασι δέρηται, ἐξ ἑνικοῦ καὶ πληθωτικοῦ συνεστῶτος, παρὸν καὶ τῷ κατὰ τὸ α', καὶ β', πρόσωπον συντάξεων διελέγξαι τὸ ἀκατάλληλον τοῦ προκειμένου χήματος. εἰ γὰρ ὑγιὲς τὸ φάναι, φιλοπονοῦμεν, παιδία ὄντα, ἐχί, φιλοπονῶ παιδία ὄντα. καὶ ἔτι ἐπὶ β', προσώπου ταὐτό. οἷον, φιλοπονεῖτε, ἐχὶ φιλοπονεῖς, παιδία ὄντα, πῶς οὐ δοθήσεται ἄλογον καθίστασθαι τὸ, φιλοπονεῖ, παιδία ὄντα; καὶ αὖτη μὲν ἀπόδειξις τοῦ ὑγιοῦς λόγου, αἰτίαν μὲν τοι ὑπολαμβάνω τοῦ παραδέξασθαι τὰ πληθυντικὰ ἐν τοῖς δετέροις πτωτικὰ τῷ ἑνικῷ σύνταξιν τῆς ῥημάτων, ἐχ ἅλλοτι, ἢ τῷ ἐν τούτοις ὁμοφωνίαν τῆς δυθείας πρὸς τὸν αἰτιατικὸν, ὅπερ ἐ παρέπεται τοῖς τε ἀρσενικοῖς καὶ θηλυκοῖς. δι' ὃ καὶ ἐν τῇ τάτων δυθείᾳ προφανὴς ἡ κῆ ἀριθμὸν ἀκατάλληλότης γίνεται, ἐν τῷ, οἱ ἄνδρες, ἢ αἱ γυναῖκες χαίρει. ἐ μὴν δὲ καὶ ἐν αἰτιατικῇ τῆς αὐτῆς τάτο συμβαίνει. ἐν μεταβάσει γὰρ τὸ πρόσωπον νοεῖται τοῦ χαίρει. οἷον εἰπεῖν, ὁ ἔπαρχος ἄνδρας χαίρει, ἐ γυναῖκας ἐν τῷ καὶ λόγῳ. εἰς δὲ ὢν, πολλοὺς ἄλλους χαίρει. καὶ ἀνάπαλιν, χαίρουσιν ἄνδρα, οἱ πολλοὶ δηλονότι ὄντα. ἐπὶ μὲν ἔν τῷ ἄλλων γενῶν, ἀρσενικὸν φημὶ καὶ θηλυκὸν, ἐν ἰδίοις μεταχηματισμοῖς ἀναμενεῖ τῆς πτώσεων ἥτε δυθεῖα καὶ αἰτιατικὴ, εἴτ' ἔν ἐν ἰδίαις φωναῖς, διακρίνουσι τό, τε κατάλληλον καὶ μὴ, ὡς ἐπὶ τοῦ, ἄνδρες, ἐ γυναῖκες χαίρει, ἐπὶ ταυτοπροσωπίας, καὶ ἐπὶ τοῦ, ἄνδρας, ἐ γυναῖκας χαίρει, κατὰ πρόσωπον διάβασιν. τὸ δὲ τοιοῦτο μὴ παρεπόμενον καὶ κατ' ἐδέτερον χῆμα, ἀλλὰ τῷ ὁμοφωνίαν εἴτ' ἔν συνέμπτωσιν τῆς δυθείας πρὸς τὸν αἰτιατικὸν, συμβαίνει τὸ μὲν ἕτερον φυσικῶς πως ἔχειν, λέγω τὸ κατ' αἰτιατικὸν. φέρ' εἰπεῖν, χαίρει τὰ παιδία, ὥσπερ καὶ χαίρει τὰς παῖδας ὁ ἔπαρχος, τὸ δὲ κατὰ τὸν δυθεῖαν, ἐπειδὴ τῇ πρὸς τὸν αἰτιατικὸν ὁμοφωνίᾳ συνέχον ἔχει τὸ χῆμα, συνυποδύεται καὶ τὸ αὐτὸ ῥῆμα κατά τε τὸ χῆμα καὶ τὸν ἀριθμὸν, καὶ λανθάνον ποιεῖ τὸ ἀκατάλληλον, παρὰ τὴν ταυτότητα δύσληπτον ὄν. τὸ γὰρ χαίρει τὰ παιδία, καθ' ἑαυτὸ λανθάνει, πότερον μεταβατικὸν, ἢ ἀμετάβατον, διὰ τὴν ὡς εἴρηται τῆς πτώσεων ὁμοφωνίαν. πρὸς δὲ ἐ παύω ἀλόγως τὰ γένος ἐδέτερα πληθωτικὰ, ῥήμασιν ἑνικοῖς συμφέρειν. ὡς δὲ ἐκπεπτώκοτα τῆς κυρίως γενῶν, διὰ τοῦτο καὶ τὰ πληθωτικὰ συνεφίσταται ἀριθμῷ, ὡσανεὶ καὶ πολλὰ ὄντα, μόλις ἐκπληρεῖν τὸν χρείαν ἑνὸς τῆς ἀρσενικῶν, ἢ τῆς θηλυκῶν, καὶ ποιοῦντα καὶ πάσχοντα. τοῦτο δ' ἂν εἴη καὶ τῆς ὁμοφωνίας, οἶμαι, τὸ αἴτιον. μὴ γὰρ ὄντα ἱκανὰ τὰ ἐδέτερα ἔτε ποιεῖν καὶ τὰ ἀρσενικὰ, ἔτε πάσχειν καὶ τὰ θηλυκὰ, συνδιαφθύγγεται ἔπου τινὰ καὶ τὰς κυρίως δρασικὰς πτώσεις, οἷαι αἱ δυθεῖαι, καὶ τὰς κυρίως παθητικὰς, οἷαι αἱ αἰτιατικαὶ διὰ τῆς πρὸς ἀλλήλας ὁμοφωνίας.

Κἂν ᾖ δὲ ἄττα τῷ μὲν σχηματισμῷ πληθυντικά, τῇ δὲ σημασίᾳ ἑνικά,

Ὡς τὸ Ἀθῆναι, Θῆβαι, καὶ ὅλως τὰ τῶν Πόλεων ὀνόματα,

Ἢ δυϊκά,

Ὡς τὸ ἀμφότεροι,

Ταῦτα τῷ μὲν σημαινομένῳ ῥήμασιν ἑνικοῖς, ἢ δυϊκοῖς οὐ χρὴ συντάττειν, τῷ δὲ σχηματισμῷ πληθυντικοῖς. Ἀθῆναι φιφίᾳ διέπρεπον, οὐ, διέπρεπε. καὶ, ἀμφότεροι γράφουσιν, οὐ, γράφετον.

Καθ' ὅ, τι τὸ κατηγορούμενον ἤτοι ἐπιπλέον ὀφείλει εἶναι τοῦ ὑποκειμένου, ὡς ἐπὶ τοῦ, δύω, ἢ ἄμφω γράφουσιν, ἢ ἐπίσης, ὡς ἐπὶ τοῦ, δύω γράφετον. ἐπέλαττον δὲ οὐδέποτε. οὐκοῦν συντετάξεται τὸ, Ἀθῆναι διέπρεπεν. οὐ δὲ γὰρ ἐμπεριέχεται τοῖς ἑνικοῖς, ἢ δυϊκοῖς τὰ πληθυντικά. Ἀλλ' ἀπορήσεις, τῶν περιληπτικῶν δι' ἑνικοῦ ἀριθμοῦ πλῆθος σημαινόντων, τὰ ἄρα διὰ σχηματισμοῦ πληθυντικοῦ ἔν τι σημαίνοντα, οὐκ εἰσὶ περιληπτικά. οἷα τὸ Ἀθῆναι, καὶ ὅλως τὰ τῶν Πόλεων ὀνόματα. πῶς οὖν τοῖς περιληπτικοῖς συμπαρείληπται; Ἢ ὅτι καὶ τούτων τὸ ἐν σχηματισμῷ πληθυντικῷ τῆς σημασίας ἑνικὸν, πληθύος ἐστὶ σημαντικὸν, περιεκτικὸν ὄν. καὶ δοκεῖ μὲν συγκεχεῖσθαι τὰ περιληπτικὰ τοῖς περιεκτικοῖς, διαφέρει δὲ, ᾗ τὰ περιληπτικὰ, οὐχ ἅμα καὶ τὰ περιεκτικὰ καὶ τὸ ἐνιαῖον εἶδος τοῦ περιέχοντος, ἀλλὰ τὰ καθ' ἕκαστα περιεχόμενα μόνον δηλοῖ.

Τὸ δ' ἄμφω καὶ δύω, δυϊκῶς ὡς τῇ σημασίᾳ, οὕτω καὶ τῇ φωνῇ δυϊκοῖς τε καὶ πληθυντικοῖς συντάσσεται ῥήμασι.

Οὐ μὴν ἀλλὰ καὶ πτωτικοῖς διὰ τὸν αὐτὸν λόγον. οἷόν ἐστι τὸ, δύοιν ἀετῶν ὁ μὲν, ὁ δέ.

Τὸ μὲν, διὰ τὴν φυσικὴν σημασίαν, τὸ δὲ, διὰ τὸ ἐμπεριέχεσθαι τῷ πληθυντικῷ ἀριθμῷ τὸ ἓν καὶ τὰ δύω. ἄμφω οὖν τρέχετον λέγομεν, καὶ, ἄμφω τρέχουσιν.

Ἀλλ' ἀπορήσεις, ὡς καὶ τὸ ἓν ἄρα διὰ τὸ ἐμπεριέχεσθαι τῷ πληθυντικῷ ἀριθμῷ, πληθυντικοῖς καὶ τὸ ἄμφω συντετάξεται ῥήμασι. καὶ εἴποι ἂν ὁ εἷς, ἐγὼ γράφομεν. ὁμοίως κἀπὶ β', καὶ τρίτου. Ἢ ὅτι τὸ μὲν ἄμφω καὶ τὸ δύω, μὴ ὄντα ἐπιδεκτικὰ πληθυντικοῦ ἀριθμοῦ, ὡς ἑτερόκλιτα, οὐ πέφυκε συμπληθύνεσθαι, ἡ δὲ ἀντωνυμία ἐπιδεκτικὴ οὖσα, συμπληθυνθήσεται τῷ ῥήματι. Τί δαὶ κἀπὶ τοῦ εἷς γράφομεν; Ἢ ὅτι τοῦ ἀριθμοῦ εἴδη τὸ περιττόν ἐστι καὶ τὸ ἄρτιον. τὰ γοῦν δύω εἰ καὶ μὴ τέλειον, ἡ γὰρ δυὰς ἐστι μὲν ὡς, ἔστι δὲ ὡς, οὐκ ἔστιν ἀριθμὸς κατὰ τὸν Ἀριστ. λ. δ', περὶ ἀρχῶν. ἐμφαίνει δ' οὖν ἀριθμὸν τὸν ἄρτιον. τίς γάρ ἐστί φησιν, ἀριθμός. ὁ δ' ἀριθμὸς πλῆθος ὑπαγορεύει, συνεστὼς, ὡς εἴρηται, ἐξ ἀρτίου καὶ περιττοῦ, τὰ ἄρα δύω ὡς ἀριθμὸν ὑποδηλοῦντα, πληθυντικοῖς συντάσσεται ῥήμασι. τὸ δὲ ἓν εἴτ' οὖν ἡ μονὰς, οὐκ ἀριθμὸν, ἀρχὴν δὲ τούτου δηλοῦσα οὐκ ἔστιν ἐπιδεκτικὴ ἀριθμοῦ. πᾶς γὰρ ἀριθμὸς ἐφ' ἑαυτὸν πολλαπλασιαζόμενος, μείζονα ἀριθμὸν ἀποτελεῖ, ἤπερ συντιθέμενος ἑαυτῷ. τρὶς μὲν γὰρ τρία, ἐννέα. τρία δὲ καὶ τρία, ἕξ. ἡ δὲ μονὰς τοὐναντίον συντιθεμένη, ἤπερ πολλαπλασιαζομένη, μείζονα ἀριθμὸν ἀποτελεῖ. ἅπαξ γὰρ ἓν, ἓν. ἓν δὲ καὶ ἓν, δύω. οὐκ ἄρα ἀριθμός. διὰ δὲ τὸν αὐτὸν λόγον οὐδὲ τὴν δυάδα κυρίως ἀριθμὸν εἶναί φασι. καὶ γὰρ καὶ συντι-

καὶ συντιθεμένη καὶ πολυπλασιαζομένη, τὸν αὐτὸν ἀριθμὸν ἀποτελεῖ. δίς τε γὰρ δύω, τέσσαρα, καὶ αὖ δύω καὶ δύω τέτταρα. πᾶς ἄρτιος ἀριθμὸς ἤτοι ἀποβαλὼν, ἢ προσλαβὼν μονάδα, περιττὸν ποιεῖ. ὁ δὲ δύω, προσλαβὼν μὲν, ναὶ, ἀποβαλὼν δὲ, οὐκ ἔτι. ἡ γὰρ μονὰς οὐκ ἀριθμός. πᾶς ἀριθμὸς, τῶν ἑκατέρωθεν τούτου συντιθεμένων ἀλλήλοις, τὸ ἥμισυ τούτων ποιεῖ. οἷος ὁ δ', μεταξὺ ὢν τοῦ τε γ', καὶ τοῦ ε', συντεθέντων, τὸ ἥμισυ τούτων, εἴτ' οὖν τῶν ὀκτὼ ἀποτελεῖ. εἰ δὲ καὶ ὁ δύω τῶν ἀντιπαρακειμένων αὐτῷ ἑκατέρωθεν, τῆς τε μονάδος καὶ τοῦ τρία, τὸ ἥμισυ τούτων συντεθέντων ἀποτελεῖ, εἴτ' οὖν τῶν δ', ἀλλ' ἡ μονὰς οὐκ ἔστιν ἀριθμός. ἔτι ἀριθμός ἐστι σωρεία εἴτ' οὖν πλῆθος μονάδων, τὰ δὲ δύω οὐκ ἔχει σωρείαν μονάδων. ἀπὸ γὰρ τριῶν, οὐκ ἀπὸ δύω τὸ πλῆθος. ἀλλὰ γὰρ μονάδων, εἰ καὶ μὴ σωρείαν, σύνθεσίν γε μὴν ἔχει. κατὰ δὲ Νικόμαχ: τὸν γερασηνὸν ἀπὸ δυάδος τὸ πλῆθος. δι' ὃ καὶ τὸ διπλάσιον πολλαπλάσιον. ἐπειδὴ πλεονάκις φησὶν, ἢ ἅπαξ, τὸ δὲ πλεονάκις ἢ ἅπαξ ἀπὸ τοῦ δὶς ἄρχεται, καὶ ἐπ' ἄπειρον πρόεισι. τοῦτο δὲ εἶπε, (φησὶ πρόκλος) εἰδὼς τὴν τῶν Ἀττικῶν συνήθειαν, τὴν ἀρχὴν τοῦ πλήθους ἀπὸ τοῦ τρία ποιουμένων. δι' ὃ καὶ δυϊκοὺς ἐπενόησε χαρακτῆρας, (ἡ δυὰς,) διακρίνουσα τοῦ πλήθους τὴν δυάδα, καὶ ὥσπερ ἀπὸ τῆς μονάδος, οὕτω καὶ ἀπὸ τοῦ πλήθους χωρίζουσα. ἵνα οὖν μή τις ὑπολάβῃ κἀνταῦθα τὸ πλεονάκις ἀπὸ τοῦ τρία ἄρχεσθαι, ἀπὸ τῆς δυάδος εἴρηκεν ἄρχεσθαι τὸ πλεονάκις, καθὰ δοκεῖ τοῖς μαθηματικοῖς. οἱ καὶ τὸ διπλάσιον πολλαπλάσιόν φασιν. οὐδ' ὁ Ἀριστ'λ: μεταφ: ι, ὑπεξαιρεῖ τὴν δυάδα τοῦ πλήθους, λέγων καὶ αὐτὸς, ὅτι τὰ δύω πολλά. εἴπερ τὸ διπλάσιον πολλαπλάσιον. τὰ γὰρ πολλὰ τῇ μὲν, ἁπλῶς φησι λαμβάνεται, ᾗ σημαίνει ἀριθμὸν, καὶ οὕτως ἐστὶ πολλὰ καὶ τὰ δύω, τῇ δὲ, πρός τι, καὶ σημαίνει πλῆθος ἔχον ὑπεροχὴν, ὥσπερ τὰ ὀλίγα πλῆθος ἔχον ἔλλειψιν. καὶ οὕτως ὀλίγα ἁπλῶς (ἴσ: πρός τι) τὰ δύω. πλῆθος γὰρ ἔλλειψιν ἔχον πρῶτον. Τὸ δὲ ἄμφω καὶ τὸ ἐξ αὐτοῦ ἀμφότεροι, ἀνέφικτον ὂν εἰς ἄρθρου παράθεσιν, τῆς τε χρήσεως τοῦτο ἀπαγορευούσης καὶ τοῦ συμπαρεπομένου λόγου, οὐ ταυτὸν ὂν δείκνυται τῷ δύω. ᾗ δὴ τοῦτο μὲν καὶ οἱ ἑξῆς ἅπαντες ἀριθμοὶ, α', γνῶσιν τὴν κατὰ τῶν ἀνῶν ὑπαγορεύουσι. (ταύτῃ τοι οὐδ' ἔστι προσθεῖναι μετὰ τὴν τοῦ δύω σύνταξιν πρὸ τοῦ ἀνοῖ τὸ ἄρθρον. οἷον, δύω οἱ ἀνοῖ τρέχουσι. πρώτη γὰρ ἦν ἀφήγησις. ἡ δὲ τοῦ ἄρθρου παράθεσις ἀναπολοῦσα ἐδείχθη τὰ προδεδηλωμένα. ἀναποληθεῖσα γοῦν ἡ τοῦ δύω σύνταξις, δεκτικὴ γίνεται τοῦ ἄρθρου. οἷον, οἱ δύω ἀνοῖ τρέχουσι.) τὸ δὲ ἀμφότεροι ἐπὶ δυάδος πάλαι ἐγνωσμένης παραλαμβάνεται, οἴκοθεν σχὸν τὴν τοῦ ἄρθρου ἀναφοράν. ὅθεν καὶ μετὰ τὴν τούτου σύνταξιν εὐέφικτος ἡ τοῦ ἄρθρου παράθεσις. ἀμφότεροι οἱ ἀνοῖ τρέχουσιν. ἡ γὰρ τοῦ ἀμφότεροι σύνταξις, τὴν τοῦ ἄρθρου εὐχρηστίαν αὐτόθεν ὑπαγορεύουσα, ὡς περιοσὴν τὴν τούτου σύνταξιν ἀπεώσατο. ἥ γε μὴν ὑπαρκτικὴ ἢ καὶ κλητικὴ τῶν ῥημάτων σύνταξις, τὰ μετὰ τὸ ἀμφότεροι συνόντα πτωτικὰ χωρὶς ἄρθρου παραδέχεται. ἀμφότεροί εἰσι φίλοι, ἢ ἄνθρωποι. ἀμφότεροι γραμματικοὶ ὀνομάζονται. καθ' ὅ, τι τὸ ἐπιγεγενημένον τῇ διὰ τοῦ ἀμφότεροι προϋποκειμένῃ δυάδι ἡ ὑπαρκτικὴ σύνταξις πρώτως ἀφηγεῖται. Τῶν δὲ πτωτικῶν τοῖς μὲν δυϊκῶς ἐσχηματισμένοις τὸ ἀριθμητικὸν δύω ἐκ περιουσίας πρόσκειται. οἷον, ἀτρείδα δύω, τοῖς δὲ πληθυντικῶς, δεόντως πρὸς περιορισμὸν τοῦ πλήθους. ὡς ἐν τῷ, δοιοὺς αἴαντας. τὸ δὲ δύω ἡ πλείων γραφὴ ἐκτείνει, φησὶν ὁ Εὐστάθειος

κατὰ

κατὰ ἀναλογίαν τῶν εἰς ῶ, λεγόντων δυϊκῶν. οὐδὲν γὰρ αὐτῶν εἰς ὄ, λήγει. τὸ δὲ δύω, δυϊκὸν, οὐδ' αὐτὸ ἄρα. εἰδέτις μέμφεται τοῦτο; μεμφέσθω καὶ τὸ δυοῖν καθ' ὁμοίαν ἀναλογίαν ἐκφωνηθὲν, καὶ τὸ τρεῖς, καὶ τὸ τριῶν, καὶ τὸ τρισίν. ὧν κλίσις μὲν δι' ὅλου οὐκ ἔστιν, αὐτὰ δ' ὅμως πρὸς ὁμοιότητα πτώσεων ὀνομάτων ἐκπεφώνηται. μαρτυρεῖ δὲ τῇ τοῦ δύω διὰ τοῦ ὦ μεγάλου γραφῇ καὶ τὸ κοινῶς γραφόμενον δυώδεκα, ἐξ οὗ τὸ δώδεκα. ὁ δ' αὐτός φησιν ἀλλαχοῦ, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ δύω ῥήματος τὸ ἀριθμητικὸν δύω συστέλλει τὴν παραλήγουσαν. ἐν δὲ τῷ δύω ἀπορία ὕπεστιν οὐκ ἀνεύλογος, καθὰ καὶ ἐπὶ τοῦ ἄμφω. δι' ὅ, τι μὴ ἀναλόγως βαρύνονται αἱ ἐξ αὐτῶν γενικαὶ, ἵν' ἦσαν δύοιν καὶ ἄμφοιν, ὡς ἀπὸ παροξυτόνων εὐθειῶν τῶν δύω καὶ ἄμφω, ἀλλὰ περισπῶνται; δυοῖν γάρ φαμεν καὶ ἀμφοῖν. ἔτι δὲ καὶ διὰ τί τὸ δυοῖν οὐ παραλήγεται τῇ οἵ, διφθόγγῳ ὡς ἀπὸ τοῦ δοιώ. οἷον, δοιὼ δ' οὐ δύναμαι ἰδέειν; τοῦ δὲ δυοῖν τὴν οἵ, δίφθογγον εἰς τὴν εἶ, τρέπειν, τῆς ἀρχαίας ἐστὶν Ἀτθίδος φησὶν Ἡρακλείδης. ἧς καὶ τὸ οἴκει, ἀντὶ τοῦ οἴκοι. καὶ πεῖος ἀντὶ τοῦ ποῖος. ἡ δὲ ὑστέρα Ἀτθὶς ἑτεροίαν δέδωκε κατάληξιν. ἐν δὲ ῥητορικῷ λεξικῷ εὕρηται, ὅτι νεωτέρων τὸ γράφειν δυοῖν. οὐδὲν γὰρ δυϊκὸν εἰς εἶν, λήγειν φασὶν οἱ ἀναλογικοί. τὸ δὲ δυσὶ κατὰ πληθυντικὴν δοτικὴν, βάρβαρόν ἐστι καὶ κατὰ χρῆσιν ἀττικὴν, καὶ κατὰ λόγον γραμματικόν. ἑτερόκλιτον γὰρ, δυϊκῶς μόνως κλινόμενον. τὸ δὲ τρισκαιδέκατοι, διφορεῖται κατὰ τὴν ἄρχουσαν. καὶ ἡ μὲν διὰ τοῦ ῑ, γραφὴ κοινοτέρα μὲν, οὐκ εὐαπολόγητος δὲ διὰ τὴν ἐξ ἐπιῤῥήματος καὶ ὀνόματος σύνθεσιν, ἀσυνήθη οὖσαν καὶ ἔξω ἀναλογίας. ὡς γὰρ ἐκ τοῦ τέσσαρες καὶ τοῦ δέκα ὁ τεσσαρεσκαιδέκατος, οὕτω καὶ ἐκ τοῦ τρεῖς καὶ τοῦ δέκα ὁ τρεισκαίδεκα. ὅθεν ὁ τρεισκαιδέκατος. εἰ δὲ διὰ τοῦ ῑ, γράφεται ὁ τρισκαίδεκα καὶ ὁ τρισκαιδέκατος ὡς ἐκ τοῦ τρὶς ἐπιῤῥήματος, ὥρα λοιπὸν καὶ τετρακισκαιδέκατον λέγειν τὸν τεσσαρεσκαιδέκατον, καὶ τὰ ἐφεξῆς δὲ οὕτω κατὰ τὴν ὁμοίαν ἔφοδον. κἀντῷ ὦ, δὲ τῆς ὀδυσσείας, ὄχνας τρεισκαίδεκα, διὰ διφθόγγου γράφουσι τὰ τῶν ἀντιγράφων ἀκριβέστερα, πάνυ ἀναλόγως. ἐπεὶ πῶς ἄν τις διὰ διχρόνου γράψοι τὸ ὄχνας τρεισκαίδεκα. ὃ διαλυθὲν, οὕτως ἂν φράζοιτο, ὄχνας τρεῖς καὶ δέκα; τὸ δὲ τοιοῦτο τρεῖς οὐκ ἂν ἀμφιβάλοι τις διὰ διφθόγγου γράφεσθαι. Ὁ δὲ τρία ἀριθμὸς πλήθους κατάρχει. ἐπεὶ δὲ τὰ τρία καὶ πολλά εἰσιν, εἰ καὶ μὴ ἀντιστρέφει ὁ λόγος, διὰ τοῦτο τὸ τρὶς ἐνσυνθέσει προτασσόμενον, ποτὲ μὲν ὡρισμένως αὐτόχρημα τριάδα τινὰ ὑπαγορεύει, ποτὲ δὲ ἀντὶ ἀορίστου ἀριθμοῦ τοῦ πολλὰ λαμβάνεται. οὕτως οὖν καὶ τὴν τριγλώχινα τοῦ ποσειδῶνος τρίαιναν, πολυγλώχινά τις λέγει Ποιητής. καὶ τρισάθλιος δὲ τῷ αὐτῷ λόγῳ ὁ πολὺ ἄθλιος. καὶ τρισμάκαρες δὲ δαναοὶ, οἰλίαν μακάριοι. τοιαῦτα δὲ καὶ ἕτερα οὐκ ὀλίγα, ἐν οἷς καὶ ὁ παρὰ τῷ Κωμικῷ τρισκακοδαίμων. καὶ ὁ ἀνάπαλιν τρισόλβιος. τοιαῦτα δὲ καὶ ἅπερ τῶν τις παλαιῶν ἔθετο παραδείγματα βλασφημιῶν τῶν ἀπὸ ἀριθμοῦ. οἷον, τρισεξώλης, ὁ πάνυ ἐξώλης. καὶ τριπέδων, ὁ πολλάκις πεδηθεὶς κακοῦργος δοῦλος, καὶ τρίπρατος παρὰ τῷ Κωμικῷ, ὁ παλίμβολος, καὶ πολλάκις ἀπεμπολημένος. Ἰστέον δὲ ὡς δυοῖν ἀριθμητικῶν παράλληλα κειμένων ὁ ἐλάττων προηγεῖσθαι πέφυκεν ὡς ἐπὶ τοπολύ. οἷον, ἕνδεκα, δώδεκα. καὶ ἐν παραθέσει, δύω καὶ πεντήκοντα. Θουκ. δ. ζ', αἱ δὲ πέντε καὶ εἴκοσι νῆες τῶν κορινθίων.

Καὶ μὲν δὴ καὶ περὶ ἅπασαν λέξιν ἐπιδεκτικὴν ἀριθμοῦ, χρώμεθα τῷ πληθυντικῷ πολλάκις. ὁ γὰρ εἷς λέγοι ἂν, ἡμεῖς γράφομεν.

Τῷ πλη-

Τῷ πληθυντικῷ φησιν ἀριθμῷ χρώμεθα οὐ μόνον περὶ τὰς ἑτεροκλίτους τῶν λέξεων, τὰς μὴ ἐπιδεκτικὰς πληθυντικοῦ ἀριθμοῦ, τὸ ἄμφω, λέγω καὶ δύω, δύω γράφομεν, λέγοντες, ἀλλὰ καὶ περὶ πᾶσαν ἁπλῶς λέξιν ἐπιδεκτικὴν ἀριθμοῦ, τοὔνομα φημι καὶ τὴν ἀντωνυμίαν, τὴν μὲν, κατὰ τὸ α, καὶ β, τὸ δὲ, κατὰ τὸ γ, πρόσωπον. καθ' ὅ, τι οὐκ ἀεὶ οὐδ' ὡρισμένως πλήθους συμαντικὸν τὸ πληθυντικόν. Γρηγόρ: ἐν τῷ εἰς τὰ ἅγια Φῶτα. οὐδὲ Κόρητις ἡ μῖν ἁρπάζεται, καὶ Δημήτηρ πλανᾶται, καὶ Κελεούς τινας ἐπεισάγει καὶ Τριπτολέμους καὶ Δράκοντας. κἀντῷ ἐπιταφ: τοῦ μεγάλου βασιλ: σὺ δέ μοι λέγε τὰς Ἐλαφηβόλους σου, καὶ τοὺς Ὠρίωνας καὶ τοὺς Ἀκταίωνας. κἀντῷ εἰς Καισάριον, οὐ καλλωποιεῖται τοῖς Πλάτωνος καὶ Ἀριστοτ'λ: καὶ Πύῤῥωνος καὶ Δημοκρίτοις δή τισι καὶ Ἡρακλείτοις καὶ ἀναξαγόραις. κἀντῷ β', περὶ Θεολογίας λόγ: ποῖοι φειδίαι καὶ Ζεύξιδες καὶ Πολύγνωτοι, παῤῥάσιοί τέ τινες καὶ Ἀγλαοφῶντες, κάλλη μεθ' ὑπερβολῆς γράφειν καὶ πλάττειν εἰδότες, καὶ Συνέσ: ἐπιστλ: 50 ὀδύρομαι τὸ κλεινὸν ἔδαφος τῆς Κυρήνης. ὃ πάλαι μὲν εἶχον Καρνεάδαιτε καὶ Ἀρίστιπποι, νῦν δὲ ἰωάνναι καὶ Ἰούλιοι. Λουκιαν: καὶ μιμούμενον ἐρωτικὰ, τῶν πάλαι τὰς μαχλωτάτας, Φαίδρας καὶ Παρθενώπας καὶ ῥοδόπας τινάς. περὶ ἐπιδεκτικὴν δὲ ἀριθμοῦ λέξιν εἴρηται, καθ' ὅ, τι τῶν τοῦ λόγου μερῶν, ἃ μὲν, εἰς ἀριθμοὺς καὶ πτώσεις μεταχηματίζεται, ἃ δὲ, μηθὲν τοιοῦτον, ὡς εἴρηται, ἐπιδέχεται. κομπῳδέστερον δέ φασι καὶ ὑψηλοφανέστατον τά, τε ἑνικὰ πληθύνειν, καὶ ἐκ τοῦ ἐναντίου τὰ πλείονα εἰς ἕν τι εὔηχον συγκορυφοῦν. οἷον, ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστήκει. καὶ, Φρυνίχῳ δράμα Μιλήτου ἄλλωσιν διδάξαντι, εἰς δάκρυα ἔπεσον οἱ θεώμενοι. Ἄν ὅς μὲν οὖν ἀξιώματι τῶν ἄλλων διαπρέπων, πληθυντικῷ ἀντὶ ἑνικοῦ χρῆται, δεικνὺς τὴν τῆς ἰσχύος, ἢ μεγαλειότητος ὑπεροχὴν, τῷ δὲ ἀπειροδυνάμῳ θῷ ἑνὶ καὶ μόνῳ ὄντι, οὐ συνείρει τὸ πληθυντικόν. τὸ δὲ ποιήσωμεν ἀν' ὃν, κτ': καὶ τὸ, δεῦτε καταβάντες, συγχέωμεν αὐτῶν τὰς γλῶσσας, ταῖς τρισὶν ὑποστάσεσι τῆς μιᾶς θεότητος συνεπληθύνθη.

Ἀνάπαλίν γε μὴν ἑνικοῖς χρῆσθαι, ἢ δυϊκοῖς ἀντὶ πληθυντικῶν, φαῦλον.

Οὐ γὰρ, ὥσπερ ὁ εἷς λέγει, ἡμεῖς γράφομεν, εἴ ποιεν ἂν ἐκ τοῦ ἐναντίου καὶ οἱ πολλοὶ, ἐγὼ γράφω, ἢ, νὼ γράφετον, διὰ τὸ ὡρισμένως εἶναι σημαντικὸν τὸ μὲν ἕν, μονάδος, τὰ δὲ δύω, δυάδος.

Τὸ δ' Ὁμήρου, μήπως ὡς ἁψίσι λίνου ἁλόντε πανάγρου, ἀνδράσι δυσμενέεσσιν ἕλωρ καὶ κύρμα γένησθε, σχῆμα ποιητικόν ἐστι, καὶ τῷ πεζῷ λόγῳ ἄχρηστον.

Οὐκ ἔστι τὸ ἁλόντε γένησθε, κατὰ τὸ, δύω περιπατεῖτε. οὐ γὰρ κατὰ δυοῖν ὑποκειμένων ὁλόγος, ἀλλὰ κατὰ πλήθους ἀνδρῶντε καὶ γυναικῶν πανωλεθρίας. ὥστε καὶ τὸ δυϊκὸν δυάδος ὂν ἀεὶ σημαντικὸν, ἀντὶ πολλῶν ὑποκειμένων φαύλως ἐλήφθη. ἰλ: ε. τῷ γεμὴν ποιητῇ σύνηθες συζευγνύναι τὰ πληθυντικὰ καὶ τὰ δυϊκὰ, ὡς ἰσοδύναμα παρ' αὐτῷ.

Οὐ μὴν ἀλλ' οὐδὲ δυϊκῷ πρὸς ἑνικὸν χρώμεθα. δυάδος γάρ τοι σημαντικὸν αἰεὶ τὸ δυϊκόν.

Τῷ δυϊκῷ πτωτικῷ, οὐχ ὥσπερ μετὰ πληθυντικοῦ, ὡς ἐν τῷ ἄμφω, ἢ, νὼ τρέχομεν, οὕτω καὶ μετὰ ἑνικοῦ χρησόμεθα ῥήματος. ὡς εἶναι λέγειν. ἄμφω, ἢ, νὼ τρέχω. εἴγε τὸ

κατηγορούμενον ἐπέλαττόν ἐστι τοῦ ὑποκειμένου, δέον ἐπίσης γοῦν εἶναι. οὐδὲ γὰρ, ὡς ὁ πληθυντικὸς, οὕτωτοι καὶ ὁ δυϊκὸς ἀριθμὸς ἀοριστίαν ἀριθμοῦ σημαίνει, ἵν' ὥσπερ τὸ πληθυντικὸν, οὕτωτοι καὶ τὸ δυϊκὸν ἐφ' ἑνὸς ληφθῇ, ἀλλ' ἀεὶ δυάδος ὡρισμένως τὸ δυϊκὸν, ὥσπερ καὶ μονάδος τὸ ἑνικόν. τὸ δὲ πληθυντικὸν οὐ πάντως πληθύος. ἔνθεντοι καὶ οὐ μόνον κατὰ δυϊκοῦ κατηγορεῖται, ἀλλὰ καὶ ἀντὶ ἑνικοῦ λαμβάνεται.

Τὰ μὲν δὴ περιληπτικὰ ταῦτα προσηγορικὰ ὄντα,

Ὡς εἰ καὶ μὴ ἁπλῶς καθόλου, καθόλου δέ πως ὄντα οὐσίας σημαντικά. πλῆθος γὰρ ἀτομικῶν οὐσιῶν ὑπαγορεύει. διαφέρει δὲ τῶν προσηγορικῶν. εἴ γ' οὐχ, ὡς κατὰ τὰ προσηγορικὰ, τὸ ἑνιαῖον καὶ αὐτὰ τῆς καθόλου σημαίνει φύσεως, τὸ πάντων σηλληπτικὸν τῶν καθ' ἕκαστα. ἀθροισμὸν δέ τινα μόνον ἀόριστον τῶν καθ' ἕκαστα. ἔνθεντοι οὐδὲ μεταδιδόασι κατὰ τὰ προσηγορικὰ καὶ αὐτὰ τοῦ ὀνόματος, ἢ τοῦ κατὰ τοὔνομα λόγου τοῖς καθ' ἕκαστα. δι' ὃν δὴ λόγον ταῦτα μὲν καὶ πληθυντικῷ, τὰ δὲ Προσηγορικὰ ἑνικῷ μόνῳ συντάσσεται ῥήματι, τὸ ὡς εἴρηται ἑνιαῖον τῆς φύσεως σημαίνοντα.

Ὁμοιογενῶς καὶ ὁμοιοπτώτως σφίσι τὰ Ἐπίθετα σχηματίζει.

Πρόσθες, καὶ ὁμοιαρίθμως, ὡς μὴ συνεμφαινόμενον. οὐδὲ γὰρ πάντως τὰ ὁμοιόπτωτά εἰσι καὶ ὁμοιάριθμα. ἴδε δὲ, σωκράτης οἱ ἀγαθοὶ φιλοσοφεῖ.

Ὁ εὐτυχὴς δῆμος, ἡ εὐδαίμων πληθύς.

Ἐπιμεριζόμενα.

Τῶν δὲ ἐπιμεριζομένων τετραχῶς σχηματιζομένων, εἷς ἐκ δύω, ὡς ἕτερος. δύω καθ' ἕνα, ὡς ἑκάτερος. εἷς ἐκ πολλῶν, ὡς ἄλλος. πολλοὶ καθ' ἕνα, ὡς ἕκαστος.

Παρ' ἄλλοις τῶν ἀντιγράφων παραλιμπάνεται μὲν, ὁ τετραπλοῦς τῶν ἐπιμεριζομένων σχηματισμὸς, ὡς ἐν τοῖς πρότερον εἰρημένος βιβλίοις, ἐπαναληπτέος γ' ἔμπης κἀνταῦθα, διὰ τὸ εἰπεῖν τετραχῶς αὐτὰ σχηματίζεσθαι. τετραχῶς οὖν. ἢ γάρ τοι ἐν ἐκ δυοῖν ἐπιμερίζεται, ἢ δύω καθ' ἕν. καὶ ἤ τοι ἐν ἐκ πολλῶν, ἢ τὰ πολλὰ καθ' ἕν. ἐπιμεριζόμενον οὖν τὸ ἕν, ἐκ μὲν δυοῖν, ἕτερον ἀκούει, ἐκ δὲ πολλῶν, ἄλλο. καθ' ἕν δ' αὖ ἐπιμεριζόμενα, τὰ μὲν δύω, ἑκάτερον, τὰ δὲ πολλὰ, ἕκαστον. τὸ δὲ ὡς, ἐν ταῦθα ὁμοιωματικόν ἐστιν. εἴ γ' ἐν τῷ β', εἰς τὸ ἀναφορικὸν οἷον μετείληπται. ὡς εἶναι λέγειν, τὸ εἷς ἐπιμεριζόμενον ἐκ δυοῖν, τοιοῦτόν ἐστιν, οἷόν ἐστι τὸ ἕτερος. κἀπὶ τῶν λοιπῶν ὁμοίως, τοῦ παραβολικοῦ ἐπιρρήματος εἰς τὸ ἀντιστοιχοῦν πτωτικὸν μεταλαμβανομένου. Τὴν δὲ ἐπιμεριζόμενα λέξιν εἰσὶν οἱ ἐνεργητικῶς ἀξιοῦσιν ἐκλαμβάνεσθαι, ὡς εἶναι τὸ ἕτερος καὶ ἄλλος, καὶ τὴν ἑτέραν συστοιχίαν τῶν μερῶν, ἐπιμεριστικὴν τοῦ πλήθους, ἤπερ τὸ πλῆθος ἐπιμεριστικὸν τῶν μερῶν. ὅγε μὴν Θεόδωρος, τὸ μὲν εἷς λέγων ἐκ δυοῖν ἐπιμερίζεσθαι, τὸ δὲ ἄλλος, ἐκ πολλῶν, δῆλός ἐστι παθητικῶς τὴν φωνὴν εἰληφὼς, διδοὺς ἐννοεῖν ὡς τὸ ὅλον τῶν μερῶν μᾶλλον, ἢ τὰ μέρη τοῦ ὅλου εἰσὶν ἐπιμεριστικά. ἔνθεντοι καὶ ἡ τῶν τοιούτων γενικὴ, διαιρετικὴ ἂν οἰκείως προσαγορεύοιτο, ἤπερ, ὥς φασι, τῶν διαιρετικῶν. εἴγε ἐδείχθη τὰ μέρη διαιρούμενα μᾶλλον ἀπὸ τοῦ ὅλου, ἤπερ αὐτὰ διαιροῦντα τὸ ὅλον.

Τὸ μὲν ἕτερον καὶ ἄλλο ἐπιδέχεται ἄρ-

ται ἄρθρον, τὸ δ' ἑκάτερον ἢ ἕκαστον, ἢ.

Τί δήποτε; καὶ γὰρ τὸ διαιρέσει προϋφεστῶς πλῆθος καὶ τὰ τούτου μέρη συγνώσει παραλαμβάνεται. εἴγε τὸ ὅλον τῆς πρός τι καθέσεως, πρὸς τὰ μέρη ἔχει τινὰ ἀπόστασιν. τοῖς δ' ἐν β', γνώσει παραλαμβανομένοις ἀνάγκη προσγίνεσθαι τὸ ἄρθρον καὶ Ἀπολλώνιον, ἵνα τινὰ προϋφεστῶσαν γνῶσιν δηλώσῃ. τί δὲ καὶ τοῖς κτητικοῖς τῆς ἐπιμεριζομένων; Ἢ ὅτι τὸ μὲν, πολλὰς, τὸ δὲ, δύο, ἑκατέραπ καθ' αὑτὰς ἐπιμερίζοντα, μερισμὸν καὶ διαίρεσιν τῶν ὑποκειμένων ὑπαγορεύσι. δύο δέ τινα, ἢ καὶ πλείω καθ' αὑ ἐπιμεριζόμενα, οὐδὲ ἄρθρα παράθεσιν ἂν καὶ ἐπιδέξαιτο, μὴ σὺν δύοιν, ἢ καὶ πλείοσι καθ' αὑ μεμερισμένοις αὑ ὄν, ἅμα παρατίθεσθαι. τὰ δὲ διαφορικὰ τῆς ἐπιμεριζομένων, ὡς αὑ ἐπιμερίζοντα, ἐπιδέχεται ἄρθρον, αὑ σὺν παρατιθέμενον. τὸ γε μὴν ἄλλο ὑ πάντοτε προσλαμβάνει τὸ ἄρθρον, ἀλλ' ὅτε ἐμπεριληπτικόν ἐσι πλήθους, καὶ τῷ διαίρεσιν μερικὴν ποιεῖται, ὡς εἰρήσεται. ἐπιμεριζόμενον δὲ ὂν, οὐκέτι. οἷον, τῆς ἀνθρώπων ἄλλοι μὲν, λευκοὶ, ἄλλοι δὲ, μέλανες. ἀόριστον γὰρ τὸ πινακοῦπα. ἡ δὲ ἀορισία μάχεται τῇ αὐαφορᾷ. τὸ δὲ ἄλλο ἐπὶ τῆς κατ' οὐσίαν, ὡς εἴρηται, διαφορᾶς οὐδετέρως λαμβανόμενον, ὁ μέγας Βασίλ: ὁμιλ: α', τῆς ἑξαημ: ἐπὶ τῆς κατὰ συμβεβηκὸς αὐτὸ μετέλαβε, τὸ σῶμα λέγων, αὐξέται, μειοῦται, γηρᾷ, ἀλλοιοῦται. ἄλλο ἐσὶν ἐν νεότητι, ἄλλο, ὅταν ὀλεκτῇ, καὶ ἄλλο, ὅταν ἐν πάθεσιν ᾖ. ἄλλο, φοβούμενον, καὶ ἄλλο, θ' φραινόμενον.

Παῦτα δέτοι πρὸς γενικὴν,

Φέρεται, ἢ σωπᾶσεται,

Ἢ κτητικῶς,

Τὰ ἄρθρα ἀνεπίδεκτα. ἐντεῦθεν δὲ δῆλον, ὡς καὶ τὰς πολλὰς διαιρετικὴ γενικὴ, κτητικῆς σωτάξεως ἔχεται. οἷον, τῶν ἀνέμων οἱ μὲν, Ἕλληνες οἱ δὲ, βάρβαροι. διαμαρτάνουσι δὲ καὶ οἱ φάσκοντες ἐπὶ τῆς κατ' ἐπιμερισμὸν σωπάξεως λαμβάνεσθαι ἐξωθεν τὴν ἀπὸ, πρόθεσιν. εἴγε τῆς ἐπιμεριζομένων ἐχὶ τὰ μὲν, τὰ δ' ὅ, παῦπα δέτοι πρὸς γενικήν. ἐν γὰρ τῷ, δύο καὶ πολλοὶ καθ' αὑτὰ, ὁ δόλως ἔχει χώραν ἡ ἐκ, ὡς ἐν τῷ, εἷς ἐκ δύο καὶ πολλῶν. ἡ μὲν ὖν σωπήθεια τῆς ἐπιμεριζομένων τὰ κτητικὰ γενικὴ σωπάττει, Ὅμηρος δὲ, ὁμοιοπτώτως τῷ αὐτῆς πλήθει. ὁδ: α'. ἀνδράσιν ἀλφισῆσιν, ὅπως ἐθέλησιν ἑκάστῳ. καὶ Θουκυδ: α', ὡς ἀστερτὰς τῆς λακεδαιμονίων βασιλείας μὴ μιᾷ ψήφῳ προσίεσθαι ἑκάτερον, ἀλλὰ δύοιν. καινῶς μέν, ἀττικῶς δ' ὖν, ὡς κἂν τῷ, οἱ ἄλλοι ἕκαστος. αἴτιον δὲ φασι, τῆς τοιαύτης καινότητος τὸ τῆς σημασίας ταυτόν. ταὐτὸν γὰρ ἡ ὅμοιον, τὸ, οἱ ἄλλοι, καὶ τὸ, ἕκαστος. Τὸ δὲ ἕκαστος, ὀνόμα ὑπερθετικὸν τύπου, πυθμενικῶς μὲν ἀπὸ τῆς ἑνιάδος ἀρχεται, καὶ λέγεται ἐπὶ τῆς ἐφεξῆς εἰς ἄπειρον πλῆθος. ἐσὶ γὰρ εἰπεῖν, ὡς ἡ μὲν μονὰς αὐτὴ ἐφ' ἑαυτῆς μένουσα, καὶ οἷον στρογγυλωμένη, σωέστραπται. ἡ δὲ δυὰς τολμήσασα, ἑκὰς, ἤτοι πόρρω αὐτῆς γέγονε τῷ μερισμῷ. διὸ καὶ τόλμα λέγεται τὸ τοιοῦτο παρὰ τοῖς Σοφοῖς. καὶ ἀφ' ἑνὸς τοιούτου ἑκὰς τὸ δυαδικὸν παρῆκται τὸ ἑκάτερος ἐπὶ δυοῖν τινων. ὅπερ, ὡς οἷα τολμήσαν διάστασιν ἐκδυάσμὸν, ἕκαθεν τῆς μονάδος ἐσίν. ἐξέσπη γὰρ, καὶ οἷον ἀποκεχώρηκε τὸ μοναδικὸν τὸ δυαδικόν. καὶ ὅ μὲν τὸ ἑκάτερος, ἑκὰς ἐσί πως τῆς μονάδος, δυάδα δηλοῦν κατά τινα τύπον συγκριτικὸν, τῆς δὲ τελειάδος καὶ τῆς ἐφεξῆς ἀριθμῶν ἐπιπλέον ἑκὰς τῆς μονάδος ἀποσαίνων, τὸ μὲν ἑκάτερος, ἐκ ἔτι χώραν ἐν τούτοις ἔχει, ἐπενοήθη δ' ὀνο-

δῆναι-

μασθῆναι τὸ ἕκαστος, ἀρξάμενον μὲν ἀπὸ τριῶν, ἢ τεθὲν μὲν, ὡς εἴρηται, ἐπὶ τριάδος πυθμενικῶς, συνδιῆκον δὲ τῷ ἀπείρῳ τῶν ἀριθμῶν χύματι. συλληπτικὴν δὲ ἅμα καὶ ἐπιμεριστικὴν ἔννοιαν ἔχον, ἐπιμεριστικόν ἐστι πλήθους, καὶ διαιρετικὸν τοῦ καθόλου εἰς τὰ κατὰ μέρος. οἷον, ἀνδράσιν ἀλφηστῆσιν, ὅπως ἐθέλησιν ἑκάστῳ. ὀδ: ᾱ. εἰπὼν γὰρ, ἀνδράσι πληθυντικῶς, ἐπήγαγεν, ἑκάστῳ. ἔνθεντοι καὶ ἑνικῶς ἐσχητισμένον, δύναται καὶ αὐτὸ κατὰ τὰ συλληπτικὰ, οἷον τὸ, χορὸς λαὸς, πλῆθος καὶ τὰ ὅμοια, πληθυντικοῖς ὑποκεῖσθαι ῥήμασιν. οἷον, ἕκαστος δώσουσιν. ἐπεὶ τὸ ἕκαστος, ὡς εἴρηται, πολλούς τινας δηλοῖ κατὰ διαιρετικὴν ἔννοιαν, ἤγουν τοῦτον, κἀκεῖνον, καὶ αὐτὸν, καὶ ἕτερον, καὶ ἄλλον. καὶ ἔστι ταὐτὸν ἕκαστον καὶ πάντας εἰπεῖν. ταὐτὸ δὲ πάντως εἰπεῖν, σημαίνουσιν ἕκαστος, καὶ, σημαίνουσιν ἕκαστοι. καὶ, σημαίνει ἕκαστος. τὸ γὰρ ἕκαστος καθ' ὅ, τι μὲν συνδιήκει παντὶ τῷ πλήθει τῇ κατὰ μερισμὸν ἐννοίᾳ, ἤγουν πάσαις ταῖς τοῦ πλήθους ἀτομικαῖς μονάσι, πληθύνεται τῇ σημασίᾳ. δι' ὃ καὶ ὀρθῶς εἴρηται τὸ, σημαίνουσιν ἕκαστος. ὃ ταὐτόν ἐστι τῷ ἕκαστοι. καθ' ὅ, τι δ' αὖ πάλιν ἀτόμῳ τούτῳ κἀκείνῳ καὶ ἄλλῳ δεικτικῶς οἷον ἐπιμερίζεται, δύναται σύνταξιν καὶ ἑνικοῦ ῥήματος ἔχειν, δι' ὃ ἀσφαλῶς ἂν ῥηθείη καὶ τὸ, σημαίνει ἕκαστος. οὕτω καὶ τὸ πᾶς συλληπτικὸν ὄνομα, καὶ ἐν φωνῇ ἑνικῇ προφερόμενον, ἰσοδυναμεῖ ποτε τῷ ἰδίῳ πληθυντικῷ, καθὰ καὶ τὸ ἕκαστος. καὶ ἔστι ταὐτὸν εἰπεῖν ἀττικῶς πρὸς τὸ νοούμενον ἐν τῷ, οἱ δὲ, ἄλκιμον ἦτορ ἔχοντες, πρόσω πᾶς πέτετο. ἰλ: π. καὶ, οἱ δὲ, πρόσω πᾶντες πέτονται, κοινῶς.

Ἢ διαφορικῶς.

Τὰ ἄρθρου ἐπιδεκτικά. περὶ ὧν εἴρηται κἀν τοῖς πρός τι.

Οἷον, ἕκαστον τῶν ζῴων. ἕτερον τοῦ λίθου ἐστίν.

Ἐφ' οἷς ἰστέον, ὡς τὸ τοῖς προκειμένοις πτωτικοῖς ἐπιφερόμενον ῥῆμα καθ' ἡντιναοῦν ἔγκλισιν, ἑνικῶς μὲν, τοῖς ἐπιμεριζομένοις συνακολουθεῖ κατὰ πρόσωπον. οἷον, ἕκαστος ἡμῶν, ἢ ὑμῶν γράφει, οὐ μὴν, γράφω, ἢ γράφεις, πληθυντικῶς δὲ, τῷ ἀθροίσματι. οἷον, ἕκαστος ἡμῶν γράφομεν. ἕκαστος ὑμῶν γράφετε. ὥσπερ καὶ ἕκαστος αὐτῶν γράφουσι. Τὸ δὲ ἀμφότεροι δύω μέν τινα καὶ αὐτὸ δηλοῖ, οὐ μὴν κατὰ τὸ ἑκάτεροι καὶ κατὰ διαιρετικὴν ἔννοιαν, κατὰ δὲ μόνην συλληπτικήν. οἷόν τι λέγω, ἐν μὲν τῷ, ἑκάτεροι τρέπουσι τοὺς πολεμίους, τὸ κοινῶς ἀμφοῖν κατηγορούμενον, καὶ ἰδίᾳ ἑκατέρου ὁλοσχερῶς κατηγορεῖται, ὡς καὶ μόνου τοῦ ἑτέρου, δίχα τοῦ ἑτέρου ἀρκοῦντος ἂν τοὺς πολεμίους τρέψαι. ἐν δὲ τῷ, ἀμφότεροι τρέπουσι, τὸ κοινῶς κατὰ τῶν δυοῖν λεγόμενον, οὐκ ἂν καὶ ἰδίᾳ ἑκατέρου εἴτ' οὖν θατέρου αὐτῶν ὁλικῶς κατηγορηθείη. διαιρεθέντων γὰρ, οὐκ ἂν ἤρκεσεν οὐδέτερος τούτων ἰδίᾳ τε καὶ παρὰ μέρος εἰς τὴν τῶν πολεμίων τροπὴν, ὅτι μὴ, ἄμφω ἅμα τε καὶ ὁμοῦ. ἔνθεντοι οὐδὲ κατὰ τὸ ἑκάτερος σχηματισθείη ἂν ἑνικῶς καὶ τὸ ἀμφότερος. ἔστι γε μὴν οὗ τὸ ἀμφότεροι ἀντὶ τοῦ ἑκάτεροι εἴληπται, τῆς συλληπτικῆς ἐννοίας διαιρετικόν ὂν καὶ αὐτό. ὡς ἐν τῷ, ἀμφότεροι μέμασαν πολεμίζειν. κοινῇ τε γὰρ, ἀλλὰ καὶ ἰδίᾳ ἑκάτερος ὅ, τε Ἕκτωρ καὶ ὁ Ἀλέξανδρος. κἀν τῷ, ἄμφω ὁμῶς φιλέουσά τε κηδομένη τε. καὶ Θουκυδ: γ', ἐν τῷ, διώξεις τε καὶ ὑπαγωγαὶ, ἐν οἷς ἀμφοτέροις. τὸ ἀμφοτέροις ἀντὶ τοῦ ἑκατέροις κεῖται. ἔν τε γὰρ ταῖς διώξεσι κἀν ταῖς ὑποχωρήσεσιν ἥττους ἦσαν οἱ Ἀθηναῖοι ὑπὸ τῶν Αἰτωλῶν τρεπόμενοι. Τὸ δὲ ἕτερον κατὰ πᾶν γένος καὶ πτῶσιν καὶ ἀριθμὸν μετὰ τοῦ θ, προφέρεται κατὰ τροπὴν τοῦ ε, εἰς α, δωρικῶς

δωρικῶς καὶ τοῦ τ̃, εἰς θ̃, καὶ συναλιφήν. οἷον, θάτερον, θατέρου, κτ: πλὴν τῶν εἰς σύμφωνον καταληγόντων ἄρθρων, κωλύον τὴν συναλιφήν. οἷον, τοῖν ἑτέροιν καὶ τοῖς ἑτέροις. τὴν ἑτέραν καὶ τῆς ἑτέρας. οὐ προσίσταται δὲ τὸ ταυτότης. οὐδὲ γὰρ τὸ τῆς, ἄρθρον συνείληπται τῷ αὐτότητος. εἴγ' οὐδὲ ῥητὸν ὅλως τὸ αὐτότητος, ἀλλὰ παρὰ τὸ ταὐτὸν τὸ ταὐτότης ταὐτότητος. Χρύσιππος δὲ τὸν θάτερον τῶν διοσκούρων εἰπὼν, ἐσχάτως βαρβαρίζει κατὰ Παυσανίαν. ὅθεν καὶ ὁπλουσιόν τινα θάτερον τῶν πενήτων ἀπεκτονέναι εἰπὼν, καὶ γέλωτα τοῖς παροῦσιν ἐπὶ τούτῳ ὀφλήσας, εἶτα τὸ διημαρτημένον ἐπανορθούμενος, οὐ μένουν ἔφη, ἀλλ' ἄτερον αὐτῶν ἀπέκτεινεν. οἱ δὲ ἀμφὶ τὸν Βουδαῖόν τε καὶ τὸν Ἐτυμολόγον καταιτιώμενοι τοῦ, θάτερος καὶ θατέρα τὸ κατάρχον θ̃, ὡς τοῦ ἀντιστοίχου τ̃, μὴ προσκειμένου τῷ, ὁ ἕτερος καὶ ἡ ἑτέρα, μανθανέτωσαν, φησὶν Εὐστάθειος, ὡς καὶ τὰς εὐθείας τῶν προτακτικῶν ἄρθρων οἱ Δωριεῖς μετὰ τοῦ τ̃, κλίνουσιν. ὡς δηλοῖ τὸ, τοὶ διχθὰ δεδαίαται. ὀδ: ᾱ. καὶ ταὶ γυναῖκες. ἔστιν οὖν κατ' αὐτοὺς, τὸ ἕτερος, ἤγουν ὁ εἷς τῶν δύοιν, εἶτα συναλιφῇ καὶ ἅμα τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ, θάτερος. λόγῳ δὲ τοιούτῳ καὶ θηλυκὴ εὐθεῖα τὴ ἑτέρα. ἤγουν ἡμία. καὶ κατὰ συναλιφὴν καὶ ὁμοίαν τροπὴν, θατέρα, ἡ ἑτέρα δωρικῶς. Εἰ δὲ τὰ τοιαῦτα δωρικὰ καὶ ἡλοιπὴ τούτων ἀνάλογος κίνησις, ἀττικοῖς γέγονε φίλα, καινὸν οὐδὲν, εἴτις ἐνθυμοῖτο καὶ τὸ, ὦ δάματερ, τὸ θαυμαστὸν, δωρικὸν μὲν ὂν, φιληθὲν δὲ εἰς κοινὴν χρῆσιν τοῖς ἀττικοῖς. μὴ δεῖν δέ φασι λέγειν ὁ θάτερος, ἢ τὸ θάτερον, ἵνα μή τις λέγῃ τρόπον τινὰ τὸ τὸ ἕτερον, διπλασιάζων τὸ ἄρθρον, καὶ οὕτω βαρβαρικῶς ἀδολεσχῶν. ὥσπερ φασιν, οὐδὲ τὸ θειλόπεδον. (ὅπερ σύγκειται παρὰ τὸ τὸ, ἄρθρον, καὶ τὴν εἴλην, καὶ τὸ πέδον.) εἴποιτις ἂν, ἵνα μὴ ἀδολεσχοίη. κἀκεῖ γὰρ δωρικὸν ἄρθρον ἀρσενικὸν τὸ τὸ, σύγκειται μετὰ τοῦ ἄτερος, ἐξ ὧν θάτερος, καθ' ὁμοιότητα τοῦ οὐδετέρου καὶ τοῦ θηλυκοῦ. ἤγουν τοῦ, τὸ ἄτερον θάτερον, καὶ τὴ ἀτέρα θατέρα. καὶ λέγουσι μὲν οἱ τοιοῦτοι πιθανῶς. τί γὰρ ἂν καὶ βούλοιτο τὸ θ̃, στοιχεῖον προκατάρχον ἐν τῷ, θειλόπεδον, ἢ ἐν τῷ θάτερος, εἰ μὴ ἐξ ἄρθρου ἦν; ἀντιλέγονται δὲ οἱ αὐτοὶ διὰ τὸ θειλοπεδεύω. οὐ γὰρ δήπου κἀν τῷ τοιούτῳ ῥήματι τὸ τὸ, ἄρθρον σύγκειται. εἴποιεν δ' ἂν ἴσως πρὸς τούτους ἐκεῖνοι, μηθὲν μηδὲ τοῦτο αὐτοῖς προσίστασθαι. καθάπερ γὰρ τὸ τὸ, ἄρθρον καθ' ἕξιν τινὰ συντεθὲν ἐν τῷ θειλόπεδον καὶ κραθὲν, ἔμεινεν ἀχώριστον τῆς λέξεως, οὕτω κἀν τῷ ῥήματι. ὁποῖόν τι γέγονε κἀν τῷ ταὐτόν. κἀν ταῦθα γὰρ τὸ τὸ, ἄρθρον ἑκτικῶς τῇ αὐτὸς ἀντωνυμίᾳ συντακὲν κατὰ συνθέσιν, διέβη καὶ εἰς τὸ ταυτίζω ῥῆμα, καὶ εἰς τὸ θηλυκὸν τὴν ταυτότητα.

Ἐπιθετικῶς μέντοι καὶ ταῦτα, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συντάσσεται τοῖς Κυρίοις καὶ Προσηγορικοῖς.

Καὶ ᾧδε δὲ ἐνδεῖ τοῦ, καὶ ὁμοιαρίθμως. μᾶλλον δὲ παρέλκει καὶ τὸ ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως. εἴγε τὰ ἐπίθετα κατὰ ταυτότητα τῶν παρεπομένων, τῶν ὑποκειμένων κατηγορεῖσθαι προδιωμολόγηται.

Τακτικά.

Καὶ τὰ τακτικὰ δὲ, οἷον τὰ σημαντικὰ τάξεως, ὁμοιογενῶς τε καὶ ὁμοιοπτώτως τοῖς κυρίοις καὶ προσηγορικοῖς συντάσσεται.

Ἐπιθετικῶς δηλ: καὶ αὐτά. οἷον,

Ὁ πρῶτος Θ̃ς. ἡ πρώτη οὐσία. τὸ πρῶτον εἶδος.

Πρὸς ἃ δὲ τὴν τάξιν ὑπεμφαίνει, γενικὴν ἀπαιτεῖ, ὅσα παραθετικὸν ἔχει σχῆμά τε καὶ σημαινόμενον, τῷ λόγῳ τῶν παραθετικῶν. οἷον, πρῶτος τῶν ἄλλων, δεύτερος τούτου. ἀπὸ γὰρ τῆς πρὸ, προθέσεως συγκριτικὸν μὲν, γίνεται πρότερον, ὑπερθετικὸν δὲ, πρῶτον. λέγεται δὲ τὸ μὲν πρότερον, κατὰ τὰ συγκριτικὰ, ἤτοι πρὸς ἓν, ἢ πρὸς πλείω ἐπαγόμενα. οἷον, πρότερος ὅδε τοῦδε, ἢ ἡμῶν, τῷ χρόνῳ, ἢ τῇ τάξει, ἢ καθ' ὅ, τι οὖν τῶν προειρημένων, τὸ δὲ πρῶτον, κατὰ τὰ ὑπερθετικὰ πρὸς πολλὰ ἀεὶ ἐφεξῆς ἐπαγόμενα. ἀκολουθεῖ δὲ πρὸς μὲν τὸ πρότερον, τὸ δεύτερον μόνον, ἢ πληθυντικῶς τὰ δεύτερα κατὰ τὸν εἰρημένον λόγον, πρὸς δὲ τὸ πρῶτον, τὸ δεύτερον, τρίτον, τέταρτον, καὶ ἑξῆς. ἀπὸ δὲ τῆς ὑπὸ, προθέσεως γίνεται συγκριτικὸν μὲν, ὕστερον, ὑπερθετικὸν δὲ, ὕστατον. ὧν τὸ μὲν ὕστερον, ἀπαντᾷ πρὸς τὸ πρότερον, τὸ δὲ ὕστατον, πρὸς τὸ πρῶτον, ἐπὶ χρόνου ταῦτα λαμβανόμενα. ἐπὶ γὰρ τάξεως τὸ ἔσχατον ἀπαντᾷ, (ἔσχατον δὲ πάντων φησὶν, ὤφθη κἀμοί. τῇ γὰρ τάξει ὕστερος τῶν ἄλλων εἶδε τὸν Ἰησοῦν. συνεμφαίνει δὲ τῇ τάξει καὶ χρόνος) καὶ τὸ κἀπὶ χρόνου λαμβανόμενον δεύτερον. ἔστι δὲ τέσσαρα ὑπερθετικὰ, δύω μὲν, χρονικὰ τὸ πρῶτον καὶ τὸ ὕστατον. τὸ μὲν, ἐπὶ τῆς ἀρχῆς, τὸ δὲ, ἐπὶ τοῦ τέλους. καὶ δύω ὁμοίως τάξεως, τὸ πρῶτον καὶ τὸ ἔσχατον. τῶν δὲ μέσων τούτων μόνον τὸ δεύτερον συγκριτικῶς προφέρεται. ἐπὶ δὲ τῶν ἄλλων ἁπάντων οὐδεμίαν ἔχει χώραν τὸ παραθετικόν.

Μετουσιαστικά.

Τὰ δὲ μετέχοντα οὐσίας τινός, καὶ ταύτῃ καλούμενα μετουσιαστικὰ, πρὸς τὰ κύρια καὶ προσηγορικὰ τὴν σύνταξιν καὶ αὐτὰ ἔχει, ὡς τὰ ἐπίθετα. ξύλινος πίναξ. ὀστράκινον σκεῦος. ὁμοιογενῆ τέ ἐστι καὶ ὁμοιόπτωτα τοῖς ὑποκειμένοις.

Τούτοις συμπαραληπτέον καὶ τὰ ἐκ μετάλλων, μετουσιαστικὰ καὶ αὐτὰ ὄντα. οὐσίας δὲ μετέχειν εἴρηται τὰ μετουσιαστικὰ, πρὸς ἀντιδιαστολὴν τῶν συμβεβηκότος μετεχόντων ἐπιθέτων, τοῦ σοφὸς, λευκὸς, καὶ τῶν τοιούτων. τὸ δὲ μετέχειν κἀπὶ τοῦ μεταδιδόναι τίθεται. ὁ γὰρ μέγας Βασίλειος ἐν τῷ προλόγῳ τῶν ἀσκητικῶν αὐτοῦ λόγων τοὺς παρὰ τῶν πρῶν προσαγομένους παῖδας ἐπὶ ταῖς αἰωνίοις ἐλπίσι, μεθέξειν αὐτοῖς φησι τούτων, τοῖς πατράσι δηλονότι τῶν ἐλπίδων μεταδώσειν. Τὰ δὲ φερώνυμα ἐπώνυμά τε καὶ διώνυμα τοῖς προσηγορικοῖς συγκαταλέγουσί τινες, οὐκ ὀρθῶς. ἑνὸς γὰρ ἀτόμου, ἀλλ' οὐ πολλῶν ὄντα σημαντικὰ, κύρια εἰσιν, οὐ προσηγορικὰ, ληφθέντα κατὰ ἐτυμολογίαν εἴτ' οὖν ἑρμηνείαν τοῦ ὀνόματος, καὶ οὐ κατὰ φυσικὴν αὐτοῦ σημασίαν. ἔστι δὲ ἐπώνυμον παρὰ τοῖς ἀρχαίοις, τὸ παρὰ τοῖς ὕστερον φερώνυμον. οὔπω γὰρ ἦν ἐπὶ Ὁμήρου λεκτὸν τὸ φερώνυμον, ἀλλ' ἀντ' αὐτοῦ τὸ ἐπώνυμον προεφέρετο. ἤγουν ἔνθα τὸ ὄνομα ἐμφερὲς τοῖς πράγμασι. διττῶς δὲ ὡς ἐπιπολὺ τὸ ῥηθὲν ἐπώνυμον, ἤτοι τὸ αὐτομάτως τεθὲν τὴν ἀρχὴν, ὕστερον δὲ ἐπαληθεῦσαν, ὡς εἴπερ ἐκ προνοίας ἐτέθη. οἷον, ὁ ῥήτωρ δημοσθένης ἐπωνύμως ἐκλήθη. ἐπεὶ σθένος τοῦ τῶν Ἀθηναίων δήμου γέγονεν ὕστερον. καὶ τῷ Αἴαντι δὲ τὸ ὄνομα ἐπώνυμον ἐξηνέχθη τοῖς αὐτοῦ κακοῖς κατὰ τὴν τραγῳδίαν, διὰ τὸ αἶ, ὡς ἄξια αἰαγμάτων παθόντος αὐτοῦ. ἢ γοῦν οὕτως ἐπώνυμον, τὸ ἀπὸ γενέσεως ἁπλῶς οὕτω τεθὲν, ἢ τὸ ἐκ μελέτης εἴτ' οὖν προνοίας, ὡς τὸ, ὀδυσσεὺς. περὶ οὗ ὁ πάππος φησὶ τῷ δ' Ὀδυσσεὺς ἔστω ὄνομα, οὕνεκά μοι πολλοὶ ὠδύσσαντο. τοιοῦτον ἐπώνυμον καὶ τὸ Ἀρήτη, καὶ τὸ Δημάρατος ὁ καὶ Δημάρητος, καὶ ἡ Δημα-

Δημαρέτη δήπου. ἀφ' ἧς τὸ δημαρέτειον νόμισμα. Δϊώνυμα δὲ τὰ δύοιν ὀνόμασι καλούμενα. ὧν δύοιν ὀνομάτων τὸ μὲν ἐστιν οἰκιακὸν, τὸ δὲ, παρὰ τοῖς ἐκτός. Ἡρόδ: β', τὰς, (βαθμίδας) μετεξέτεροι κλώσσας, οἱ δὲ, βωμίδας ὀνομάζουσιν. οὕτω καὶ τὸ ἐκτόπως ἡδὺ ὄρνεον τὴν ὠτίδα. ἰδὼν ἂν ἄγροικος, ἐπείποι ταών. Συνέσ: ἐπιστλ: δ'. τοῦτο δὲ κατὰ ἀπάτην ἂν εἴη μᾶλλον, ἢ κατὰ δϊωνυμίαν. ὥσπερ ἂν, εἰ καὶ λύκον τις θεασάμενος, κύνα ἑωρακέναι εἴποι. κατὰ δὲ τὸν Ποιητὴν τὸ μὲν, τῆς τῶν ἀνθρώπων, τὸ δὲ, τῆς τῶν θεῶν ἐστι διαλέκτου. ὡς τὸ, ὃν Βριάρεων καλέουσι θεοὶ, ἄνδρες δὲ πάντες αἰγέων. ἰλ: α'. οὕτω καὶ ξάνθον μέν τινα ποταμὸν καλοῦσι θεοὶ, ἄνδρες δὲ ξάμανδρον. καὶ ὄρνιν τινὰ θεοὶ μὲν, χαλκίδα κικλήσκουσιν, ἄνδρες δὲ, Κύμινδιν.

Καὶ οὕτω μὲν τὰ κατὰ σημασίαν εἴδη,

Πατρωνυμικά.

Τῶν δὲ κατὰ φωνὴν,

Τὰ εἴδη τῶν κατὰ φωνὴν, κατὰ φωνὴν μὲν, ἐν τῷ α', τε καὶ β', τεθεώρηται, ᾧδε δὲ καὶ τούτων ἡ θεωρία κατὰ σημασίαν ἐστί. τὸ γὰρ λέγειν τὰ μὲν αὐτῶν, πατρωνυμικὰ, τὰ δὲ, κτητικὰ, τὰ δὲ, παραθετικὰ καὶ ἑξῆς, καὶ αὖ τὰ μὲν αὐτῶν, Κύρια, τὰ δὲ, Προσηγορικὰ, τὰ δὲ, καὶ ἐπίθετα, ἀπὸ τοῦ σημαινομένου εἴληπται, τὸ μὲν, τοῦ προσεχοῦς καὶ ἰδίᾳ, τὸ δὲ, τοῦ πόρρω τε καὶ κοινῇ. τῆς δὲ φωνῆς τὸ πρωτότυπον ἢ παράγωγον, καὶ τοῦ παραγώγου αὖθις τὸ παρώνυμόν τε καὶ ῥηματικόν. καὶ τούτων αὖ ἑκάστου οἱ σχηματιστικοὶ, εἴτ' οὖν ληκτικοὶ τύποι, καὶ οὐδὲν πλέον. ἐπεκράτησε δὲ τῶν κατὰ φωνὴν λέγεσθαι, ὡς παράγωγα εἴτ' οὖν ἀφ' ἑτέρων ἐσχηματισμένα. Τί δ' ὅτι τῶν κατὰ φωνὴν εἰς πρωτότυπον καὶ παράγωγον διῃρημένων, τοῦ πρωτοτύπου οὐ μέμνηται; Ἢ ὅτι οὐχ, ὡς τὰ παράγωγα, οὕτω τοι καὶ τὰ πρωτότυπα εἰδικήν τινα καὶ ἐξαίρετον ἔχει σημασίαν. δυσπερίληπτα γάρ. δι' ὃ οὐδὲ κοινῷ τύπῳ ἐνὶ περιληφθῆναι. πόθεν οὖν τις αὐτὰ διαγνοίη, ὅτι πρωτότυπα, μὴ κοινῷ τινι τύπῳ ἐμπεριληφθέντα; Ἢ ὅτι ἐκ τοῦ μὴ εἶναι παράγωγα. ὃ γὰρ μηδενὶ τῶν τοῦ παραγώγου εἰδῶν ὑπάγεται, τοῦτο πάντως πρωτότυπον. ταῦτ' ἄρα καὶ θεόδωρος τὰ τῶν παραγώγων εἴδη ἐκθέμενος, τὰ μὴ παράγωγα ἀφῆκεν ἐννοεῖσθαι πρωτότυπα. ὥσθ', ὃ μὴ παράγωγον, τοῦτο πρωτότυπον. ἢ πρωτότυπόν ἐστι, τὸ κατὰ πρώτην θέσιν λεχθὲν, καὶ μὴ ἔχον προκάταρξίν τινα, ἢ αἰτίαν ποιητικὴν τῆς αὐτοῦ γενέσεως. οἷον, πηλός. ἔστι δὲ τῶν τοῦ πρωτοτύπου λόγων ὁ δεύτερος βελτίων. τοῦ μὲν γὰρ α', ῥηθέντος, ἀναγκαῖον, εἰ μέλλοι τις συνοίσειν, προειδέναι, τίποτ' ἐστὶ παρώνυμον κοινότερον καὶ ῥηματικὸν, ὁ δὲ β', αὐτοτελής ἐστι πρὸς τὸ γνωρίζειν, τί ἐστι τὸ πρωτότυπον καθ' αὑτό. παράγωγον δὲ, τὸ ἀπό τινος παραχθὲν, διαφέρον μὲν τῇ πτώσει, ὅ ἐστι τῇ λήξει τῆς λέξεως, τὴν δὲ κατὰ τοὔνομα προσηγορίαν τοῦ πρωτοτύπου κοινὴν ἔχον. οἷον, πηλείδης.

Τὰ μὲν ἀπὸ πρὸς καὶ προγόνων ἐσχηματισμένα, καὶ πρωνυμικὰ διὰ τοῦτο καλούμενα,

Πρωνυμίαν μὴ σχηματίζειν ἀπὸ τοῦ πάππου τὸν Ὅμηρον οἱ παλαιοί φασιν, εἰ μὴ ὁ πάππος ἐκεῖνος εὐθὺς εἴη διὸς υἱὸς, ἤ τοι γνωριμώτατος. καὶ ὁ λόγος εὔλογος. ἀπὸ γὰρ προσεχοῦς καὶ ἐγγυτάτῳ αἰτίου χρὴ γενεαλογεῖν, ὁποῖόν τι ὁ πατήρ. ὁ δὲ πάππος πόρρω αἴτιον. εἰ μέν τοι πάνυ ἔνδοξος ὁ πάππος, ὡς οἱ ἐκ τοῦ διός, τότε δὴ χαρακτηριστέον καὶ ἐξ αὐτοῦ τὸν ἀπόγονον, οὐχ ὡς προσε-

προσεχοῦς αἰτίου, ἀλλ' ὡς ἐπιφανεστάτου. ὅθεν αἰακίδης ὁ Ἀχιλλεὺς ἀπὸ τοῦ πάππου Αἰακοῦ.

Κύρια τε δυνάμει ἐστίν.

Κύρια μὲν, ὡς τῆς α', καὶ αὐτὰ καὶ κατὰ μέρος οὐσίας, ἀλλ' οὐ τῆς β', καὶ καθόλου ὄντα σημαντικὰ, οὔτε μὴν καθ' ἑτέρων λεγόμενα, δυνάμει δὲ, ὡς οὐ τῶν πρωνυμούντων, τῶν δὲ δυνάμει τούτοις ἐμπεριεχομένων κυρίων ὄντα σημαντικά.

Ὅθεν δὴ καὶ σύνταξιν τὴν αὐτὴν τοῖς κυρίοις ἔχει πρὸς τὰ ἐπίθετα. οἷον, πηλείδης γενναῖος. καὶ συντάσσειν δὲ τοῖς πατρωνυμικοῖς ἔξεστι τὰ κύρια τῶν παίδων αὐτῶν ὀνόματα,

Οὐ κατὰ πᾶσαν ἀνάγκην, ἀλλὰ

Τοῦ σαφοῦς χάριν.

Οὔτε μὴν πᾶσιν ἁπλῶς, ἀλλ'

Ἔνθα κοινὸν πλείοσιν ἡ πρωνυμία. οἷον, ἀτρείδης Μενέλαος. ὁ πριαμίδης Ἕκτωρ.

Μὴ προσκειμένου γὰρ ἐν τούτοις τοῦ κυρίου τῶν παίδων αὐτῶν ὀνόματος, ἄδηλον τίνα λέγομεν τῶν παίδων.

Κτητικά.

Οὐ μὴν δὲ καὶ τὰ ὑποπεπτωκότα τῇ κτήσει ὡσαύτως. οὐκ ἐμπεριείληπται γὰρ τοῖς τοιούτοις τὸ κεκτημένον. ἀλλ' ἀνάγκη προσυπακούεσθαί τι. εἰ γάρ τις λέγων ἀνῖνον, μὴ ἐπιφέροι σῶμα, ἢ τοιοῦτό τοι, ἀτελὲς ἄν τι φράζοι. δεῖ τοίνυν προστιθέναι τι τῶν κυρίων, ἢ προσηγορικῶν.

Κεκτημένον ἐννοεῖ ὁ Θεόδωρος ἐν γένει ἀρσενικῷ μὲν, τὸν κτήτορα, ὡς ἔν τε ταῖς παραγώγοις καὶ ταῖς συνθέτοις τῶν ἀντωνυμιῶν, οὐδετέρῳ δὲ, τὸ κτῆμα, ὡς ἐνταῦθα. βούλεται οὖν λέγειν, ὅτι τὸ κτῆμα οὐχὶ κατὰ τὸν κτήτορα τοῖς τε πατρωνυμικοῖς καὶ τοῖς κτητικοῖς ἐμπεριείληπται, ἀλλὰ τοῖς μὲν, τοῖς δ' οὔ. δι' ὃ τοῖς μὲν πατρωνυμικοῖς ἐμπεριειλημμένον, ὅ ἐστιν ὁ υἱὸς, οὐ κατὰ πᾶσαν ἀνάγκην, ἀλλὰ τοῦ σαφοῦς χάριν, ἔνθα κοινὸν πλείοσι παισὶν ἡ πατρωνυμία, συνεπιφέρεται, τοῖς γε μὴν κτηκικοῖς ὡς μὴ ἐμπεριειλημμένον, ἀνάγκη συνεπιφέρεσθαι. ταῦτ' ἄρα οὐχὶ καὶ τὰ Κτητικὰ κατὰ τὰ Πατρωνυμικὰ δυνάμει εἰσὶ Κύρια, ὥστε κατ' ἐκεῖνα καὶ αὐτὰ Κυρίων σύνταξιν ἔχειν πρὸς τὰ Ἐπίθετα, ἀλλὰ μᾶλλον τἀνάπαλιν, Ἐπιθέτων πρὸς Κύρια, ἢ προσηγορικὰ, καὶ ὡς εἰπεῖν οὐχ ὑποκειμένου πρὸς κατηγορούμενον πτωτικὸν, ἀλλὰ κατηγορουμένου πρὸς ὑποκείμενον. ὅθεν ὀρθῶς ἔχει ἐν τῷ ὕφει τὸ, οὐκ ἐμπεριείληπται γὰρ, κτ': φασὶ δὲ καὶ οἱ παλαιοὶ, ὅτι τοῖς μὲν κτητικοῖς ἐξ ἀνάγκης προστίθεται καθ' ἑρμηνείαν πρὸς ἐντέλειαν λόγου τὸ ὑπὸ κτῆσιν ἐρχόμενον, ἤγουν τὰ τῶν ὑποκειμένων τῇ κτήσει πραγμάτων ὀνόματα. οἷον, αἰάντειος τὸ κτητικόν. ᾧ δεῖ προσθεῖναι τὸ οἶκος, ἢ υἱὸς, ἤ τι τοιοῦτο, ἐν δὲ πατρωνυμικοῖς περισσὸν τὸ προστιθέναι τι, ὡς ἐγκειμένου αὐτοῖς τοῦ εἰς ὃ ἀναλύεται. ἐμπεριέχεται γὰρ τὸ γέννημα τῇ τοῦ πατρὸς φωνῇ. ὥστε ὁ λέγων πριαμίδην, πριάμου φησὶν υἱόν. δι' ὅπερ ὁ ἐπαγαγὼν καὶ εἰπὼν πριαμίδην νόθον υἱὸν, δὶς τρόπον τινὰ λέγει τὸ αὐτὸ, καὶ ἀδολεσχεῖ, ὡς οἷα εἰπὼν πριάμου υἱὸν υἱόν. τοιοῦτο δεδήλωται ὂν καὶ τὸ, ἀτρείδα δὲ μάλιστα δύω κοσμήτορε λαῶν. Ἰλ: α'. ὅμοιον δέ τί ἐστι νοῆσαι κἀν τῷ, μεγαλήτορα θυμόν. καὶ ἄλλα δὲ τοιαῦτα παρατετήρηται. ἀντὶ δὲ τοῦ ἀνῖνον

ἀνῖνον, γράφεται ἀνθρώπειον. Θουκδ': α', οὐδ' ἄπο τοῦ ἀνείου τρόπου, καὶ, τῇ ἀνείᾳ φύσει. εἰς ἰνῶν γὰρ τύπος τῶν κτητικῶν οὐκ ἔστιν, ὅτι μὴ, τῶν μετουσιαστικῶν. ἐπεὶ δὲ καὶ τὰ μετουσιαστικὰ τῶν κτητικῶν ἐστιν εἴδη, εὐοδωθείη ἂν οὕτω καὶ τὸ ἀνῖνον. Ἐφ' οἷς ἀπορ': ὑποπεπτωκέναι κτήσει φησὶ τὰ Κτητικά. τοῖς δὲ Κτητικοῖς ὁ κεκτημένος εἴτ' οὖν ὁ κτήτωρ, ὡς εἴρηται, ἐμπεριείληπται. ὁ κτήτωρ ἄρα κτήσει ὑποπέπτωκε. τοῦτο δὲ κτήματός ἐστιν οὐχὶ κτήτορος. ἢ ὅτι ἑκάτεροι ὑποπεπτώκασι κτήσει, ἀλλ' ὁ μὲν κτήτωρ, κτητορολογούσῃ, τὸ δὲ κτῆμα, κτηματολογούσῃ. εἰ γὰρ κατὰ Ἀπλλ': δι' ἄλλης πτώσεως οὐκ ἐμφανίζεται κτῆσις, εἰ μὴ διὰ μόνης τῆς γενικῆς, τὰ δὲ κτητικὰ ὀνόματα ἐμπεριέχει τὴν τοῦ κτήτορος γενικὴν, καὶ ὁ κτήτωρ ἄρα ὑποπέπτωκε κτήσει.

Συντάσσεται δὲ καὶ ταῦτα, ὡς τὰ Ἐπίθετα ὁμοιοπτώτως καὶ ὁμοιογενῶς τοῖς Κυρίοις καὶ Προσηγορικοῖς. τήν τε σύνταξιν τοῦ ἄρθρου ὁμοίως ἕξει τοῖς Ἐπιθέτοις.

Τῆς μὲν τοῦ ὑπαρκτικοῦ μετοχῆς ἀπούσης, ὅμως ἐπινουμένης, ἐνάρθρως ὡς εἴρηται, οἷον,

Ἡ ἰωνικὴ στολή.

Οὗ τὸ ἐντελὲς, ἡ στολὴ ἡ οὖσα ἰωνική. τοῦ δὲ ὑπαρκτικοῦ ἤτοι λεγομένου, ἢ νουμένου, ἀνάρθρως. οἷον,

Ἡ στολὴ ἰωνική. καὶ μεταλαμβάνοντι, τὸ ἰωνικὸν τῆς στολῆς.

Ἔστι γε μὴν, ὅ τῳ βουλομένῳ ἐστὶ, μεταλαμβάνοντι, εἴτ' οὖν ἐναλλάσσοντι τὰ πτωτικὰ, λέγειν οὕτω, τὸ ἰωνικὸν τῆς στολῆς. κἀντῇ μεταλήψει δὲ οὐδὲν ἧττον τὸ μὲν κτητικὸν τὸ ἔχον, ἡ δὲ γενικὴ τὸ ἐχόμενον ὑποδηλοῖ. ὡς εἶναι τὸ ἰωνικὸν τῆς στολῆς, τὸ βαρβαρικὸν τῆς γλώττης, καὶ τὰ τοιαῦτα καθ' ὑπέρβασιν οὑτωσὶ, τὸ τῆς στολῆς (κατ' ἀττικοὺς φάναι) ἰωνικόν ἐστι, τὸ τῆς γλώττης ἐστὶ βαρβαρικόν. ἡ δὲ τοιαύτη μετάληψις οὐχ ἁπλῶς ἐπὶ πάσης κτητικῆς συντάξεως ἔρρωται, ἀλλ' ἐφ' ἧς τὸ τοῦ κτήματος ὄνομα μὴ ᾖ οὐσία, ἀλλὰ τῶν κατὰ ἀφαίρεσιν νουμένων. ὡς ἥ τε στολὴ, εἴτ' οὖν ὁ στολισμὸς, καὶ ἡ γλῶττα, εἴτ' οὖν διάλεκτος. οὐ μὴν δὲ κἀπὶ τοῦ τελαμώνιος υἱὸς, ἢ πλατωνικὸν βιβλίον. οὐ γὰρ ἂν εἴποις, τὸ πλατωνικὸν τοῦ βιβλίου, ἢ τὸ τελαμώνιον τοῦ υἱοῦ. εἴγε τὸ υἱὸς καὶ τὸ βιβλίον οὐ τῶν κατὰ ἀφαίρεσίν εἰσιν. ἕτερον δέ ἐστιν ἡ σὰρξ, καὶ ἄλλο τὸ τῆς σαρκός, κατὰ τὸν Ἀριστοτέλην γ', περὶ ψυχ: τὸ μὲν γάρ ἐστιν εἶδος μετὰ τῆς ὕλης, τὸ δὲ, ἁπλῶς εἶδος δηλοῖ. γίνεται δὲ τοιαύτη μετάληψις κἀπὶ τῶν θετικῶν ἐπιθέτων. οἷόν ἐστι τὸ περιὸν τῆς τιμῆς, ἢ τοῦ μεγέθους, ἢ τοῦ πλούτου, καὶ τὰ τοιαῦτα.

Ἀνάλυσίς τε εἰς τὴν τοῦ πρωτοτύπου γενικήν. τελαμώνιος υἱὸς, τελαμῶνος υἱός. τὸν ἐμὸν φίλον, τὸν φίλον μου. πλατωνικὴ δόξα, πλάτωνος δόξα.

Ἡ ἀνάλυσις, κοινὴ οὐ μόνον τῶν κτητικῶν, ἀλλὰ καὶ τῶν πρωνυμικῶν τε καὶ παραθετικῶν. καθόλου γὰρ κατὰ Ἀπολλ': πᾶν τὸ παρηγμένον ἀπότινος, ἀνάλυσιν ἔχει τὴν πρὸς τὸ πρωτότυπον μετὰ λέξεως τὸ αὐτὸ σημαινούσης τῇ παραγωγῇ. παρὰ τὴν τοῦ ἕκτορος γενικὴν ἀποτελεῖται τὸ ἑκτορείδης. ᾧ προστιθεμένου τοῦ υἱὸς, ἀναλύεται εἰς τὸ ἕκτορος υἱός. παρὰ τὸ γοργὸς ἀποτελεῖται τὸ γοργότερος, προσγινομένου τοῦ μᾶλλον. ὃ δὴ πάλιν ἀνάλυσιν ἔχει εἰς τὸ γοργὸς μᾶλλον. παρὰ τὸ τοὺς ἵππους ἐμπεριεκτικόν τι ἀποτελεῖται τὸ ἱππών. ὃ δὴ πάλιν ἀναλύεται εἰς τὸ τοὺς ἵππους συνέχον. ὅθεν καὶ πᾶντα τὰ κτητικὰ πτωτικὰ ἁπλῶς, ὀνοματικά τε καὶ ἀντω-

καὶ ἀντωνυμικὰ, εἰς τὴν ἐμπεριεχομένην γενικὴν πάντως ἀναλύεται. εἴ γε χωρὶς γενικῆς κτῆμα οὐκ ἔστιν ἐπινοῆσαι. ὥστε, εἰ χρὴ ἐν τῷ λόγῳ ἑτέραν ἐπιφέρειν πτῶσιν ταυτοπροσωποῦσαν τῷ κτήτορι, ὁμοιόπτωτον δέον ταύτην εἶναι καὶ ὁμοιάριθμον τῇ δυνάμει ἐγειμένῃ τῷ κτητικῷ γενικῇ. ὡς ἔχει τὰ ὁμηρικὰ ταῦτα. νεστορέῃ παρὰ νηὶ πυληγενέος βασιλῆος. ἤγουν παρὰ τῇ νηὶ τοῦ νέστορος τοῦ πυλίου βασιλέως. ὅμοιον τούτῳ καὶ τὸ, γοργείη κεφαλὴ δεινοῦ πελώρου. ὡς γὰρ ἐκεῖνο τῇ τοῦ κτητικοῦ ἀναλύσει εὐοδοῦται εἰς σύνταξιν, οὕτω καὶ τοῦτο. τὸ γὰρ νεστορέη ἀναλυθὲν εἰς τὸ τοῦ νέστορος, εὖ ἔχει πρὸς τὸ εἰπεῖν παρὰ τῇ νέστορος βασιλῆος νηΐ. οὕτω δὴ καὶ τὸ, γοργείη κεφαλὴ δεινοῦ πελώρου, λέγει κατὰ ἀνάλυσιν, ὅτι ἡ κεφαλὴ τῆς γοργοῦς τοῦ δεινοῦ πελώρου. ὁμοίως καὶ τὸ, θηβαίας ἐπισκοποῦντ' ἀγυιάς. τὰν ἐκ πασᾶν τιμᾶς, μεταποιηθὲν ἀναλυτικῶς, εὐοδοῦται εἰς τὸ, τὰς θήβης ἀγυιάς. ἣν ἐπέκεινα πασῶν πόλεων τιμᾶς. ὅμοιον δὲ τῷ, γοργείη κεφαλὴ δεινοῖο πελώρου, καὶ ἐκ τῶν τοῦ Σοφοκλέους τὸ, λαβδακείῳ παιδὶ πολυδώρου τε καὶ κάδμου καὶ ἀγείνορος. κἀκεῖ γὰρ εὔδοος ἡ σύνταξις δι' ἀναλύσεως τοῦ, λαβδακείῳ παιδὶ, ἵν' ᾖ τῷ παιδὶ τοῦ λαβδάκου καὶ τῶν ἑξῆς. ὅμοιον καὶ τὸ, τοῖς τευταρείοις βουκόλου πτερώμασιν, ἤγουν τοῖς τοῦ τευτάρου σκύθου οἰστοῖς. καὶ τὸ, ἀπαρκτίαις πριστῆρος αἴθωνος πνοαῖς. ἤγουν ταῖς πνοαῖς τοῦ ἀπὸ τῶν ἄρκτων βορρᾶ. εἴη δ' ἂν τοιοῦτο καὶ τὸ, οἶκος βασιλικὸς τοῦ πάντα δυναμένου, ἤγουν, οἶκος βασιλέως παντοδυνάμου. καὶ τὸ, σὸν ἄρα ἐστὶν, ὦ σώκρατες, καὶ τοῦτο εἰδέναι, τοῦ πάντα τὰ δίκαια ἐν ἡμῖν εἰδότος. καὶ Ἀριστοφ'. τὸ, καὶ τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου βίον. ὡς γὰρ εἴρηται, καὶ αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν, ἀντὶ γενικῶν τῶν συστοίχων πρωτοτύπων λαμβανόμεναι, ὁμοίως ἐκείναις τὰ ἐπιβάλλοντα ἀναδέχονται ἐπίθετα. ὡς κἀντῷ, δαὴρ αὖτ' ἐμὸς ἔσκε κυνώπιδος. ἤγουν ἐμοῦ τῆς ἀναιδοῦς. ὅσα μὲν οὖν εἰς τὴν τοῦ πρωτοτύπου γενικὴν ἀναλύεται, ταῦτα καὶ τύπῳ καὶ σημαινομένῳ εἰσὶ κτητικὰ, τὰ δὲ μετουσιαστικὰ, οἰκειωματικά τε καὶ συνεκφαντικὰ, εἰ καὶ εἴδη τοῦ κτητικοῦ ἐν τῷ β', εἴρηται, τύπῳ γε μὴν εἰσὶ κτητικὰ μόνῳ, οὐ μὴν καὶ τῷ σημαινομένῳ, ὡς τὴν εἰς τὴν τοῦ πρωτοτύπου γενικὴν ἀνάλυσιν μὴ καθ' ἑαυτὰ, μετὰ δὲ προθέσεως ποιούμενα. οἷον, ξύλινος πίναξ, ὁ ἐκ ξύλου. οἰκειωματικὸν μὲν οὖν ἐστι, τὸ παρωνύμως ἀπὸ τόπου λεγόμενον, καὶ οἰκείωσιν ἔχον πρὸς αὐτόν. οἷον, οὐνίος πάτμιος. συνεκφαντικὸν δὲ, τὸ συνεκφαῖνόν τι μεθ' ἑαυτοῦ. οἷον, γραμματικός. συνεκφαίνει γὰρ τὴν γραμματικήν. καὶ ἀστρονομικὸς ὁμοίως, περὶ δὲ τοῦ μετουσιαστικοῦ εἴρηται, ὅτι μετέχει οὐσίας τινός. Ἀλλ' ἀπορ'. ἡ ἀνάλυσις, τῶν συνθέτων ἐστί. τὸ δὲ τελαμώνιος, καὶ ὅλως τὰ κτητικὰ, παραθετικά τε καὶ πρωνυμικὰ, σύνθετα μὲν οὐκ εἰσὶ, παράγωγα δὲ, ᾗ τοιαῦτα. ἢ ὅτι παράγωγα μὲν, τῇ φωνῇ, σύνθετα δὲ, τῷ σημαινομένῳ. τὰ γὰρ παραθετικὰ σύγκειται ἔκ τε τοῦ μᾶλλον ἐπιρρήματος καὶ τοῦ συστοίχου θετικοῦ. τὰ δὲ πρωνυμικά τε καὶ κτητικὰ ἔκ τε τοῦ κτήτορος καὶ τοῦ συνεννοουμένου, εἶτ' οὖν συνεπιφερομένου κτήματος. παρασημειοῦνται δὲ, ὡς οὐδέποτε λέξις μέρους σώματος, εἰς κὸν, ἔχει τὸ κτητικὸν, ἀλλὰ διὰ καθαροῦ τοῦ ὄν, οὐ γὰρ λέγομεν, χοιρικὸν κρέας, χοίρειον δέ. οὐδὲ, ἀνθρωπικὸς πούς, ἀνείος δέ. ὅθεν ἡμάρτηται παρ' Ἀξιονίκῳ τὸ, υἱκὸν δέρμα. καὶ οὕτω μέν τινες, ἤγε μὴν συνήθεια οἶδε λέγειν καὶ ὠλένας μρικάς, καὶ νηδὺν παρθενικὴν, καὶ σπλάγχνα πρικὰ, καὶ καρδίαν ἀδελφικήν. πῦ γὰρ τὸ ἀδέλφειον ἐν χρήσει; καὶ κεφαλὴν, καὶ δεξιάν. καὶ ὤμους ἀνδρικοὺς, καὶ ἄλλα. Παρατετήρηται καὶ τοῦτο, ὅτι ἡ τῶν κτητικῶν

χέσις ἐν μὲν ἀντωνυμίαις καὶ πρὸς μείζονα λαμβάνεται, καὶ πρὸς ἴσον, καὶ πρὸς ἥττονα. ὁ ἐμὸς γάρφαμεν δεσπότης, ἢ ἀδελφὸς, ἢ δοῦλος. ἐν δὲ ὀνόμασι πρὸς οὐδὲν τῶν δυοῖν, πρὸς δὲ μόνον τὸν ἥττονα. οὐδεὶς γὰρ λέγει, ἀριστάρχειος πὴρ, ἢ φίλος. ἀγρὸς δὲ, ἢ υἱὸς, καὶ μάλα. Πρὸς τούτοις παρασημειοῦνται, ὡς τῶν κτητικῶν τὰ μὲν ὀνόματα, κτηματολογοῦσι μόνον. οὐ γὰρ ἂν εἴποις φασὶ, πλατωνικὸς υἱὸς, καί τοι τοῦ θεοδώρου καὶ τελαμώνιος υἱὸς λέγοντος. αἱ δὲ ἀντωνυμίαι καὶ γενεαλογοῦσιν. οἷον, ἐμὸς, οὐ μόνον ἀγρὸς, ἀλλὰ καὶ πὴρ, ἢ υἱός.

Συγκριτικὰ καὶ Ὑπερθετικά.

Τὰ δὲ Συγκριτικά τε καὶ Ὑπερθετικὰ, κοινῇ μὲν,

Ἀντὶ τοῦ ὁμοίως ἑκάτερα,

Πρὸς τὰ ὑποκείμενα προσηγορικά τε καὶ κύρια, ὧν κατηγορεῖται, συντάσσεται, ὡς τὰ ἐπίθετα, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως,

Σημείωσαι τὸ, ὁμοιογενῶς. τὰ γὰρ παραθετικὰ, ὑπεξαιρουμένων τῶν εἰς ὧν ληγόντων συγκριτικῶν, καθ' ὁ ποιανοῦν αὐτῶν κατάληξιν οὐκοινολεκτεῖται τῷ γένει. ὅθεν σολοικισμὸς τὸ, ἡ ὑπέρτατος ἀρχὴ, καὶ ἡ ταχύτατος φορά. οἷον δὴ καὶ τὸ, αἱ δὲ ὑπέρτατοι τῶν οὐνῶν δυνάμεις. τὰ γάρ τοι σύνθετα, οὐ τὰ παράγωγα κοινολεκτεῖται τῷ γένει, καὶ τῶν συνθέτων αὖθις τὰ ἐν τῇ συνθέσει ἀλλοιοῦντα τὸ σημαινόμενον. ὅθεν τὸ ἐναντίος, ὡς μηδέντι τοῦ ἁπλοῦ ἀντίος διαφέρον, οὐκοινολεκτεῖται τῷ γένει.

Πρὸς ἃ δὲ ἔχει τὴν σύγκρισιν, γενικὴν Ἀπαιτεῖ. Ἀχιλλεὺς ἰσχυρότερος Αἴαντος, καὶ ἰσχυρότατος ἑλλήνων.

Εἰσὶ γὰρ οὐ τῶν καθ' ὑποκειμένου μόνον λεγομένων, ἀλλὰ καὶ τῶν πρὸς ἕτερον θεωρουμένων. Ἰστέον δὲ, ὡς ἡ μὲν παράθεσις κοινῶς κατηγορεῖται τοῦ τε συγκριτικοῦ καὶ τοῦ ὑπερθετικοῦ. ἑκάτερα γὰρ παραθετικά. σύγκρισις δὲ καὶ συγκρίνειν ἐπὶ παραθέσεως ἡμαρτῆσθαί φασιν, ὡς ἀδόκιμα οἱ παλαιοὶ, ἀντ' αὐτῶν δὲ τὸ ἀντεξετάζειν καὶ παραβάλλειν, ἢ ἀντιβάλλειν.

Διαφέρει δὲ, ᾗ τὰ μὲν,

Συγκριτικά. δυοῖν γάρτινων κατὰ σύλληψιν προαχθέντων, ἐν τῷ κατ' αὐτὰ μερισμῷ θάτερον τούτων τοῦ συντόμου χάριν παραλιμπάνεται. ἐκ δὲ θατέρου τεθέντος διαγινώσκεται. οἷον, σωκράτους καὶ πλάτωνος εἰκὸς ἀκοῦσαι τὸν σταγειρήτην, τοῦ μὲν, πρόσηβον ὄντα, τοῦ δὲ πλάτωνος, καθεστηκότα. κομψότερον δὲ τὸ β', ἢ τὸ α', ὁρίζεσθαι τῶν μερῶν.

Οὐ μόνον ἑνικοῦ, ἀλλὰ καὶ πληθυντικοῦ εἴληχε γενικὴν, τὰ δὲ ὑπερθετικὰ, πληθυντικοῦ μόνου.

Ὡς καὶ οἱ ἑξῆς αὐτῶν βούλονται λόγοι.

Συγκριτικὸν μὲν γὰρ, τὸ κατ' ἐπίτασιν ἢ πρὸς ἓν λαμβανόμενον, ἢ πρὸς πλείω.

Τὸ συγκριτικὸν ἀντὶ θετικοῦ ληπτέον. οἷον, πρὸς πολλά. οὐ γὰρ πολλὰ τὸ ἕν, ἵνα οἱ ἐφεξῆς ἀριθμοὶ πλείους τοῦ ἑνὸς ῥηθῶσι. τοῦ γοῦν συγκριτικοῦ θετικῶς εἰλημμένου ἀντὶ τοῦ πολλὰ, δίδωσιν ἐννοεῖν ὅτι τὰ παρὰ τὸ ἓν ἁπλῶς, ὧν ἐστι καὶ τὰ δύω, πολλά ἐστι κατὰ τοὺς μαθηματικούς.

Σωκράτης μελίσσου σοφώτερος καὶ ἑτέρων ἐνδόξων. Ὑπερθετικὸν δὲ,

τὸ κα-

τὸ κατ' ἐπίτασιν πρὸς πλείω ἀεί.

Ἀντὶ τοῦ πρὸς ἅπαντα. ἡ γὰρ μεγίστη καὶ τελεωτάτη τῶν ὑπερθετικῶν ἐπίτασις οὐκ ἐπὶ πολλῶν, ἢ πλειόνων. εἴη γὰρ ἂν, εἴπερ, οὐ τελεωτάτη, ἐπὶ δὲ ἁπάντων ἐπιτείνεται τῶν ὁμογενῶν. οἷον,

Σωκράτης ἑλλήνων σοφώτατος. τὸ δ' ἄριστα ἑαυτοῦ διαλεχθῆναί τινα, λέγεται μὲν, οὐ πρὸς τὸ πρόσωπον δὲ, οὗ ἡ γενικὴ, ἡ παράθεσις, ἀλλὰ πρὸς τὰς ἄλλας αὐτοῦ διαλέξεις.

Ἐπεὶ τὸ ἄριστα πρὸς ἓν εἰρῆσθαι δοκεῖ, δέον πρὸς πολλὰ, ἢ καὶ πλείω, οἷα ὑπερθετικὸν, διὰ τοῦτο πρὸς τὰ περὶ τὸ πρόσωπόν φησιν, ἔχει τὰ τῆς παραθέσεως, πολλὰ ὄντα, οὐ πρὸς αὐτὸ τὸ πρόσωπον, εἰ καὶ ἡ γενικὴ, πρὸς ἣν ἡ παράθεσις, τοῦ προσώπου ἐστὶν, οὐ τῶν περὶ τὸ πρόσωπον. καθόλου γὰρ ἡ παράθεσις ἐπὶ δυοῖν τοὐλάχιστον θεωρεῖται. ὥστε καὶ τοῦ τὸν τέττιγα ἑαυτοῦ εἶναι ὠδικώτερον, ἢ τὸν ἥλιον ἑαυτοῦ φλογῳδέστερον, καὶ τῶν τοιούτων τὰς παραθέσεις, οὐ τῶν ὑποκειμένων αὐτῶν πρὸς ἑαυτὰ οἰητέον εἶναι, τῶν δὲ περὶ αὐτὰ ἐνεργειῶν πρὸς τὰς ἄλλας τῶν αὐτῶν ἐνεργείας. Θουκδ: γ', δυνατώτεροι αὐτοὶ ἑαυτῶν ἐγένοντο. (κατὰ τὸ κρατεῖν.) ἡρόδ: δ', ἐπ' ἑκατοστὰ γὰρ, ἐπεὰν αὐτὴ ἑωυτῆς ἄριστα ἐνείκῃ, ἐκφέρει. (ἡγῆ.) Λουκιαν: ἐν τῷ περὶ τῶν ἐπὶ μισθῷ, καὶ μάλιστα ὅταν ἡδίων αὐτὸς ἑαυτοῦ εἶναι θέλῃ. Γρηγόρ: λόγ: θεολ: β'. σκέψαι πᾶνθ', ὅσασοι προὔθηκεν ἡφύσις, ἵν' ἐξ ὧν εὐεργετῇ, γνωρίσῃς θν', καὶ τῷ δεῖσθαι γένῃ σεαυτοῦ συνετώτερος.

Ὅλως οὖν ἀλ' ἄττ' ἀεὶ τῶν περὶ τὸ πρόσωπον θεωρητέον. ἐν γὰρ τοῖς τοιούτοις τὸ ὑπερθετικόν. ὡς ἂν εἰ λέγοι τις, ἄριστα τῶν ἄλλων ἑαυτοῦ διαλέξεων.

Διελέχθη. τὰ συμβεβηκότα δηλαδὴ ἐπιλογιστέον, καὶ τὴν πρὸς τὸ ὑποκείμενον δοκοῦσαν παράθεσιν ἐντούτοις ἀκουστέον, οὐκ ἐν τῇ καθ' ἕκαστα οὐσίᾳ, μοναδικῇ τε οὔσῃ καὶ ἐπίτασιν, ἢ ἄνεσιν μηδόλως δεχομένῃ. ἀλλὰ ταῖς περὶ αὐτὴν ποιότησιν, αἷς τὸ μᾶλλον καὶ τὸ ἧττον παρέπεται.

Καὶ τὰ μὲν;

Συγκριτικὰ,

Οὐ μόνον πρὸς ὁμοφυὲς, ἢ ὁμότεχνον, ἢ συγγενὲς, ἀλλὰ καὶ πρὸς ἑτερογενές.

Ἔχει τὴν σύγκρισιν, ἢ λέγεται. οἷον,

Διονύσιος εὐφυέστερος Δίωνος.

Ὁμοφυεῖς. ἄνοι γὰρ ἑκάτεροι.

Ὅμηρος Ὀρφέως σοφώτερος. Δημοσθένης αἰσχίνου δεινότερος.

Καὶ ὁμότεχνοι, οἱ μὲν, ποιηταὶ, οἱ δὲ, ῥήτορες.

Διομήδης ἥττων Ἀχιλλέως.

Συγγενεῖς, εἴτ' οὖν ὁμογενεῖς.

Αἴας ἰσχυρότερος Τρῴων.

Ἑτερογενεῖς. εἴ γ' ὁ μὲν, ἕλλην, οἱ δὲ, βάρβαροι. καθ' ὃν δὴ ἑτερογενῆ λόγον ἔφη καὶ ὁ θεῖος Χρυσόστομ: ὅτι γίνεται καὶ ἐξ ἀνομοίων σύγκρισις, ὥστε φησὶ, τὸ πρᾶγμα γενέσθαι σαφέστερον. ἄνδρες γάρ φησι, νινευῖται ἀναστήσονται, ἔτι μὴν καὶ βασίλισσα Νότου, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην. βάρβαροι δηλαδὴ ἰουδαίους. Ὁμοφυῆ μὲν οὖν εἰσι

οὖν εἰσι τὰ ὁμοειδῆ καὶ ὁμοούσια. ὧν φημι τό, τε ὄνομα καὶ ὁ κατὰ τοὔνομα λόγος τῆς οὐσίας ὁ αὐτός. ὁμότεχνα δὲ, τὰ τῆς αὐτῆς ἕξεως εἴτ' οὖν ποιότητος μετειληφότα, τὰ μὲν, μᾶλλον, τὰ δὲ, ἧττον. ὅπως γὰρ ἂν αἱ παραθέσεις γίνοιντο, ἀπὸ τῶν περὶ τὸ ὑποκείμενον συμβεβηκότων λαμβάνονται, οὐκ ἐπὶ τῆς οὐσίας. ἦγε πρόσεστιν, ὡς εἴρηται, τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ τὸ ἧττον, κατὰ τὰ ἑαυτῆς δηλαδὴ ἄτομα. εἴγε τὸ μὲν μᾶλλον καὶ τὸ ἧττον ὁδός ἐστιν ἐπὶ τὰ ἐναντία. οἷον ἐπὶ τῆς ἐκ ψυχροῦ μεταβολῆς εἰς θερμὸν, ἧττον ψυχρὸν γίγνεται πρότερον τὸ ψυχρὸν, καὶ τότε θερμὸν ὁπωσοῦν, εἶτα μᾶλλον θερμόν.) τῶν δὲ ὁμοειδῶν τὰ καθ' ἕκαστα οὐκ εἰσὶν ἀλλήλοις ἐναντία τῷ λόγῳ τῆς οὐσίας. οὐ γὰρ μᾶλλον ἄνος λέγεται ὁ Πέτρος τοῦ παύλου, ἢ αὐτός τις ἑαυτοῦ ποτὲ μὲν, μᾶλλον, ποτὲ δὲ, ἧττον ἄνθρωπος. ὅθεν ὁ τολμήσας καὶ ἀπὸ τῶν ἀντωνυμιῶν παραθετικὰ παραγαγεῖν, οἷον τὸ αὐτότατος, τὴν παράθεσιν ἐπ' αὐτῆς τῆς οὐσίας ἔλαθεν ἑαυτὸν εἰληφώς. κατὰ γὰρ τὰ κύρια τῶν ὀνομάτων καὶ αἱ ἀντ' ἐκείνων παραλαμβανόμεναι ἀντωνυμίαι, εἰς παραθετικὸν οὐ σχηματίζονται τύπον, ὡς οὐσιῶν οὖσαι καὶ αὐταὶ παραστατικαί. αἱ γὰρ τῶν κτητικῶν εἰς τέρος σχηματιζόμεναι, ἀσυγκρίτως λέγονται. εἴρηται δὲ τῇ οὐσίᾳ οὐχ ἁπλῶς, κατὰ δὲ τὰ αὐτῆς ἄτομα μὴ προσεῖναι τὸ μᾶλλον καὶ ἧττον. ἐπεί τοι γ' ἁπλῶς ἡ οὐσία ῥηθείη ἂν μᾶλλον καὶ ἧττον. οἷον, ἡ μὲν ἄϋλος οὐσία καὶ ὑπερκόσμιος τῆς ἐγκοσμίου ταύτης καὶ ὑλικῆς ὁμολόγως ἐστὶ μᾶλλον οὐσία. μᾶλλον γὰρ τὸ εἶναι τοῖς ἐν στάσει διὰ τὴν ἀϋλίαν, ἢ τοῖς ἐν ἀστάτῳ τῆς ὕλης ῥοῇ. αὕτη δὲ πάλιν ἡ ὕλη, καθάπερ δὴ καὶ τὸ εἶδος, ἧττον οὐσίαι τῆς ἐξ αὐτῶν συντεθειμένης φαίνονται οὖσαι, διὰ τὸ μήτε τὴν ὕλην καθ' ἑαυτὴν, μήτε τὸ εἶδος καθ' ἑαυτὸ τελείας μετέχειν ὀντότητος, ἀλλὰ σὺν ἀλλήλοις δύνανται θεωρεῖσθαι ὑπαρκτικῶς, καὶ καθ' ὃ μόνον οὐσίας στοιχεῖα, κατὰ τοῦτο τοῦ τῆς οὐσίας μετέχει ὀνόματος, αὐτῆς δὲ πάλιν τῆς συνθέτου οὐσίας ὁ μὲν Ἀριστ'λ: μᾶλλον οὐσίας τὰ ἄτομά φησιν, ὡς πρότερα τῇ κατ' αἴσθησιν γνώσει, διὰ τὸ ἐνεργείᾳ ἔχειν ἐν ἑαυτοῖς τὰ συμβεβηκότα ὑπάρχοντα, καὶ ἧττον οὐσίας τὰ εἴδη, καὶ τούτων ἔτι ἧττον τὰ γένη. οἱ δὲ πλατωνικοὶ τἀνάπαλιν, κυριώτατα καὶ πρώτως καὶ μάλιστα κατ' ἀλήθειαν οὐσίας οὔσας οὐ λεγομένας τὰ εἰδικώτατά φασιν εἴδη. τόγε μὴν ἐπὶ τῆς ἁπλῶς οὐσίας παραλαμβανόμενον μᾶλλον καὶ ἧττον, οὐ συγκριτικῶς, διακριτικῶς δὲ μᾶλλον δοκεῖ λέγεσθαι, ἀντὶ τοῦ κρεῖττον καὶ χεῖρον. Οὔτε μὴν, οὗ τῆς ποιότητος θάτερον οὐ μετέσχε, οὐδὲ τούτου παράθεσιν γενέσθαι ἐφικτόν. ὥσπερ ἂν εἴ τις παραβάλλειν ἐθέλοι ἰατρὸν πρὸς ἀοιδὸν, ἢ τέκτονα πρὸς κιθαρῳδὸν, ἢ φίφον πρὸς ἐποποιόν. ἐνθέντοι αἱ τοιαῦται παραθέσεις, καὶ ἀγγέλων οὐδὲν χεῖρον διάκειναι, (οἱ μοναχοί) χρυσμ: πρὸς πιστὸν πρά. κἀντῷ, μὴ φοβοῦ ὅταν πλουτήσῃ ἄνος. βέλτιον ἡ ἀρετὴ τῆς κακίας, ἀδελφοί. οὐ κατὰ σύγκρισιν, κατὰ δὲ διάκρισιν λέγονται. οὔτε γὰρ οἱ ἄγγελοι κακῶς διάκειναι, οὔτε ἡ κακία καλὸν, ἵνα ὦσι τῶν μὲν ἀγγέλων χείρονες οἱ μοναχοὶ, τῆς δὲ κακίας βελτίων ἡ ἀρετή. οὐ μὴν ἀλλὰ καὶ τῆς γῆς καὶ τοῦ πυρὸς μηδόλως μετεχόντων ἐν τῇ ἰδίᾳ χώρᾳ τῆς μὲν, κουφότητος, τοῦ δὲ, βαρύτητος, λέγεται τῆς μὲν, τὸ ὕδωρ κουφότερον, τοῦ δὲ πυρὸς ὁ ἀὴρ βαρύτερος. μόνα δὲ τὰ ὅμοια τοῦ αὐτοῦ μετέχοντα ἄμφω πράγματος, τὰ μὲν, ὡς εἴρηται, μᾶλλον, τὰ δὲ, ἧττον, ταῦτα παραθετέον ἀλλήλοις. ὡς φίφον πρὸς φίφον, καὶ προφήτην πρὸς προφήτην, καὶ ἁπλῶς ὅμοιον πρὸς ὅμοιον παρεξετάζεσθαι. ὅθεν ἐπιλέλυται ἡμῖν τὸ περιαδόμενον ἐκεῖνο, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν προφήτης μείζων Ἰωάννου τοῦ βαπτιστοῦ. λουκᾶς κφ: ζ'. πρὸς γὰρ πάντας ἁγίους ἁπλῶς

ὁ Παῦλος παρεξετάζεται παρὰ τῷ Χρυσοστόμῳ, λό: ζ', περὶ Ἀκαταλήπτου. τίς ἁπάντων ἀνὼν ἀμείνων; τίς δὲ ἕτερος, ἀλλ' ἢ ὁ σκηνοποιὸς ἐκεῖνος; καὶ ὁ μλ: ξς'. τοῦ κατὰ ματθαῖον, ὅτι δὲ παύλου οὐδεὶς πρῶτος στήσεται, παντί που δῆλόν φησι. κἀν τῷ α', λόγ: εἰς Σταγείρ: οὐδεὶς τοῦ Παύλου μείζων, ἀλλ' οὐδὲ ἴσος ἐστί. τῶν δὲ πάλιν προφητῶν τοσούτῳ μείζων ἦν φησιν, ὅσῳ καὶ μείζονα ἐπεπίστευτο. ὁ μλ: α', πρὸς ἑβρ'. Γένος δὲ λέγεται καὶ ἡ ἑκάστου τῆς γενέσεως ἀρχὴ, εἴτε ἀπὸ τοῦ τεκόντος. ἢ καὶ φυσικὴ καὶ προσεχὴς, εἴτε ἀπὸ τῆς πρίδος. ἢ καὶ τοπικὴ καὶ πόρρω. λέγεται Γένος καὶ αὐτὸ τὸ πλῆθος τῶν ἀπὸ μιᾶς ἀρχῆς ἤτοι φυσικῆς, ἢ τοπικῆς παρονομασθέντων. καθ' ὃ σχέσιν ἔχουσι πρός τε τὴν πρώτην ἀρχὴν καὶ πρὸς ἀλλήλους αὐτούς. ὡς ὅτε λέγομεν τὸ γένος τῶν ἰουδαίων. καὶ γὰρ οἱ ἰουδαῖοι σχέσιν ἔχουσι πρός τε τὸν κατάρξαντα τῆς τε γενέσεως αὐτῶν καὶ παρονομασίας ἰούδαν, καὶ πρὸς ἀλλήλους τὴν τῆς κατὰ τοὔνομα συγγενείας. καὶ ὅλως ἔνθα κοινὸν πλείοσι παισὶν ἡ πρωνυμία κατὰ βαθμὸν ἤτοι πρῶτον, ἢ β', ἢ γ', καὶ ἑξῆς. κατὰ δὲ ὁμοιότητα τῶν εἰρημένων γενῶν Γένος ἔτι λέγεται κατὰ φίφους τὸ κατὰ πλειόνων καὶ διαφερόντων τῷ εἴδει ἐν τῷ τί ἐστι κατηγορούμενον. ἀρχή τε γάρ ἐστι καὶ τὸ τοιοῦτο γένος τῶν ὑπ' αὐτὸ, καὶ περιέχει καὶ πᾶν τὸ πλῆθος τῶν ὑπ' αὐτό. Γένος ἔτι καὶ τὸ παρεπόμενον τοῖς ὀνόμασι κατὰ γραμματικοὺς, ὃ δηλοῖ γόνον, ἀρρενικὸν δηλαδὴ, ἢ θηλυκόν. τεταχῶς οὖν τοῦ γένους λεγομένου, κατὰ τὸ α', μόνον σημαινόμενον ἐνταῦθα τὸ γένος παρείληπται, τὸ τοπικὸν, ὡς ἐκ τῶν παραδειγμάτων δῆλον. παραβαλὼν καὶ γὰρ τὸν Διομήδην πρὸς τὸν Ἀχιλλέα, ὁμογενεῖς ὄντας ἑκατέρους καὶ ὁμοεθνεῖς εἴτ' οὖν ἕλληνας, εἶτα πρὸς τὸ ἑτερογενὲς ἐλθὼν, τὸν Αἴαντα ἕλληνα ὄντα, τοῖς βαρβάροις Τρῳσὶ παραβάλλει. οὐδαμοῦ δὲ κατὰ τὸ γ', τοῦ γένους σημαινόμενον παρεξεταζόμενος φαίνεται. ἅπαξ γὰρ κατὰ τὸν τῆς παραθέσεως κανόνα ἑτεροούσια ἀλλήλοις οὐ πέφυκε παραβάλλεσθαι. ὅτι δὲ γένος ἐν ταῦθα τὸ τοπικὸν βούλεται, δηλοῦται κἀκτῶν ἐφεξῆς. ἐν οἷς τὰ ὑπερθετικὰ πρός τι τῶν ὁμοίων καὶ συγγενῶν λέγων συντάσσεσθαι, τὸν Ἕκτορα τοῖς ὁμοφύλοις παραβάλλει, τῶν Τρώων ἀνδρειότατον αὐτὸν ἀποκαλῶν, τῶν οἰκείων δηλδὴ πρίωτῶν. κατὰ μὲν οὖν τὸ ὁμοφυὲς καὶ ὁμότεχνον ἐπικοινωνοῦντα ἀλλήλοις τά τε συγκριτικὰ καὶ ὑπερθετικὰ, διαφέρει τῷ γένει, φερόμενα τὰ μὲν, πρὸς ὁμογενῆ μόνα, τὰ δὲ, καὶ πρὸς ἑτερογενῆ, τὰ συγκριτικά. κατὰ δὲ τὸ γ', τοῦ γένους σημαινόμενον καὶ ἡ πρὸς ὁμογενῆ μὲν, ἑτεροειδῆ δὲ παράθεσις ἠκυρολόγηται. ὡς ἔχει τὸ, ἀνδριάντος στερρότερος, καὶ χαλκοῦ δυνατώτερος, καὶ σιδήρου γέγονας ἰσχυρότερος. οὐ γάρ τοι καὶ ὁμοφυῆ εἴτ' οὖν ὁμοειδῆ τὰ ἀλλήλοις παρατιθέμενα, ἀλλὰ τὸ μὲν, αἰσθητικὸν, τὸ δὲ, ἀναίσθητον, εἰμή τι γε διακριτικῶς. παραληροίη γὰρ καὶ κατὰ τὸν μέγαν Βασίλ: ὁ φάσκων, οὗτος ὁ Λέων ἐστὶ μέγας, μὴ πρὸς Λέοντα, ἀλλὰ πρὸς Μύρμηκα παραβαλλόμενος. ἡ γὰρ σύγκρισις οὐ πρὸς ὁμοειδῆ. οἷόν τι καὶ Ξενοφῶντ: ἐν συμποσίῳ, πάντων σειληνῶν τῶν ἐν τοῖς σατηρικοῖς αἴσχιστος ἂν εἴην. ὅπερ τινες ἀντὶ συγκριτικοῦ τοῦ αἰσχίων λαμβάνουσι, μὴ ξυνορῶντες τὴν παράθεσιν καὶ οὕτω πρὸς ἑτεροφυῆ εἴτ' οὖν ἑτεροειδῆ ποιούμενοι. τὸ δὲ παρὰ Ἀριστ'λ: δι' ὃ κινητικώτατά ἐστι τὰ ἄρρενα τῶν θηλειῶν, εὖ ἔχει, τῆς παραθέσεως πρὸς ὁμοειδῆ γενομένης. εἰ γάρ τοι καὶ ἑτερογενῆ τὰ παρατιθέμενα, ἀλλὰ κατὰ γένος γραμματικὸν, ἀρρενικὸν λέγω καὶ θηλυκόν, οὐχὶ καθ' ὃ διαστέλλει ἡ παράθεσις. ὅλως δ' εἰπεῖν ξυμβλητὰ ἀλλήλοις εἰσὶ τὰ μόνῳ τῷ ἀριθμῷ διαφέροντα, εἴτ' οὖν τὰ ὁμοειδῆ. ὅπερ ἐδήλωσεν ὁ Θεόδωρος, εἰπὼν, πρὸς ὁμοφυές.

ἔνθεν

ἔνθεντοι καὶ τῆς ἀκολουθίας τοῦ λόγου ἀπαιτούσης ἐπειπεῖν οὑτωσὶν, ἀλλὰ καὶ πρὸς ἑτεροφυὲς, ἢ ἑτερότεχνον, ἢ ἑτερογενὲς, (ὡς γὰρ ἡ ἐν τῇ ἄρσει ὁμοιότης, οὕτω καὶ ἡ ἐν τῇ θέσει ἑτερότης, οὐχὶ μόνου τοῦ γένους, ἀλλὰ καὶ τῶν λοιπῶν, φύσεως λέγω καὶ τέχνης ἐθέλει κατηγορεῖσθαι διὰ τὴν συμπλοκήν.) ὁ δὲ, τ' ἄλλα παραλιπὼν, πρὸς ἑτερογενὲς μόνον εἴρηκεν, ἵνα μὴ δόξῃ κἀπὶ τῶν ἑτεροουσίων, ἢ ἀνομοίων σύγκρισιν παρεισάγειν. τῶν γοῦν τῆς συγκρίσεως πρὸς ὁμοούσια λεγομένων, παραπαίουσιν οἱ ἀρειανίζοντες, ἑτεροουσιότητα τοῦ υἱοῦ συνάγειν πειρώμενοι ἐκ τοῦ, ὁ πήρμου μείζωνμου ἐστί. τὰ γὰρ τῆς παραθέσεως οὐ τῶν ἐναντίων ἐστὶν, οὐδ' εἰς τὴν ἐναντίαν τάξιν μεθίστησι τὰ παρατιθέμενα, ἀλλ' εἰς τὴν αὐτὴν μὲν συντηρεῖ, ὑπεροχὴν δὲ μόνον ἐμφαίνει καὶ ἐλάττωσιν. οἷον, καλὸν ὁ γάμος, ἀλλὰ κάλλιστον ἡ παρθενία. οὐκ ἐπειδὴ κάλλιστον ἡ παρθενία, διὰ τοῦτο κακὸν ὁ γάμος, ἀλλ' ἔλαττον μὲν ἐκείνου, καλὸν δὲ καὶ αὐτό. τὸ γοῦν μείζων ἐνταῦθα εἴτ' οὖν ἡ τοῦ πρὸς πρὸς τὸν υἱὸν ὑπεροχὴ, οὔτε κατὰ τὸν τῆς δυνάμεως πλεονασμὸν εἴληπται, τοῦ Κυρίου λέγοντος, ἐγὼ καὶ ὁ πὴρ ἕν ἐσμεν. οὔτε κατὰ τὴν τοῦ ἀξιώματος ὑπεροχὴν, τῆς ἐκδεξιῶν τοῦ πρὸς ἀφωρισμένης τῷ υἱῷ καθέδρας, τὸ τῆς ἀξίας ὁμότιμον ὑπεμφαινούσης, οὔτε κατὰ τὴν τῶν ὄγκων περιουσίαν. καθ' ὅ, τι τὰ ἀπερίληπτα τῷ μεγέθει, μᾶλλον δ' ἀμεγέθη καὶ παντελῶς ἄποσα οὐδεὶς ἂν ἀλλήλοις παραμετρήσειε. κατὰ δὲ μόνον τὸν τῆς αἰτίας λόγον, καθ' ὧν τοῦτε υἱοῦ καὶ τοῦ πνὸς ὁ πὴρ ἐστιν ἀρχή. καὶ γὰρ καὶ κατὰ τὸν ναζιανζ: Γρηγόρ: ἐν τῷ εἰς τὸ ἅγιον βάπτι: οὐδὲν τῶν ὁμοουσίων τῇ οὐσίᾳ μεῖζον, ἢ ἔλαττον. Ἐπὶ δὲ τῶν ἑτεροουσίων τὸ κρεῖττον λέγεται, κατὰ Ἀθανάσ: λόγ: β', κατὰ ἀρειαν: ἐφ' ὧν δηλονότι τὰ τῆς φύσεως διαλλάττουσιν. ὡς ἐν τῷ, κρείσσων ἡμέρα μία ἐν ταῖς αὐλαῖς σου ὑπὲρ χιλιάδας. καὶ, κρείσσων σοφία λίθων πολυτελῶν. ἑτεροούσια γὰρ καὶ ἄλλα τὴν φύσιν ἥτε σοφία καὶ οἱ ἀπὸ γῆς λίθοι. καὶ οὐδὲ μία συγγένεια ταῖς ἐν οὐνοῖς αὐλαῖς καὶ τοῖς ἐπὶ γῆς οἴκοις. τὸ γοῦν κρεῖττον ἐπὶ τῶν τοιούτων οὐ συγκριτικῶς, ἀλλὰ διακριτικῶς λέγεται, διὰ τὸ διαλλάτον τῆς τῶν διακρινομένων φύσεως. ἔνθεν εἴρηται καὶ τῷ Ἀριστοτλ: ἐν τῷ γ', τῶν τοπ: ἀνὸς ἵππου βελτίων, ταὐτὸν εἰπεῖν κρείττων. Τῷ δ' αὐτῷ λόγῳ καὶ ἡ ὄντως Θκὸς, τιμιωτέρα τῶν χερουβὶμ, καὶ ἐνδοξοτέρα τῶν σεραφὶμ μεγαλύνεται. οὐ συγκριτικῶς δηλδὴ, ἀλλὰ διακριτικῶς. ἡ γὰρ κατὰ σύγκρισιν ὑπεροχὴ οὕτω γίνεται, ὅταν ἐν μὲν τοῖς, κοινωνῇ, ἐν δὲ τοῖς, ὑπερέχῃ. εἰ δὲ μὴ, οὐκ ἔτι κατὰ σύγκρισιν γίνεται. ἔνθεντοι οὐδ' ἐν ὑπερθετικῷ, ἀλλ' ἐν συγκριτικῷ τύπῳ τὰ κατ' αὐτὴν ἐσχημάτισται. εἴγ' ἡμὲν ὑπέρθεσις ἐκ προϋποκειμένης πρὸς ὁμοφυῆ συγκρίσεως ἐπὶ τὴν ἄκραν προάγεται ἐπίτασιν, πρός τι τῶν ὁμοίων καὶ συγγενῶν ἀποτεινομένη, ἡ δὲ διακριτικὴ παράθεσις, οὐ κατὰ σύγκρισιν, ὡς εἴρηται, κατὰ δὲ διάκρισιν πρός τι τῶν ἀνομοίων καὶ ἑτερογενῶν γίνεται, ὡς εἶναι τῶν εἴστερος, τὸν πρός τι σχηματισμὸν συγκριτικὸν μὲν, ἐπὶ τῶν ὁμοουσίων, διακριτικὸν δὲ ἐπὶ τῶν ἑτεροουσίων. Καὶ ἄλλως δὲ, ἵνα τὸ τῆς ὑπερθέσεως ἄκρον μόνῳ τῷ ἐν τριάδι θῷ φυλαχθῇ, διὰ τοῦτο ὑπερτέρα τῶν κτισμάτων, ἡ τούτων ὑπερτάτη ἀκούει. διακριτικῶς εἴρηται καὶ ἡ σοφία τιμιωτέρα μὲν λίθων πολυτελῶν, εὐπρεπεστέρα δὲ ἡλίου. καὶ, ὁμικρότερος ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, μείζων τοῦ Ἰωάννου. οὐ δὲ γὰρ κατὰ σύγκρισιν, τοῦ Ἰωάννου μείζων ἦν ὁ χριστὸς, ἄπαγε, φησὶν ὁ χρυσόστμ: ὁμλ': λή, κατὰ ματθ. οὐ δὲ γὰρ Ἰωάννης ὅταν λέγῃ, Ἰσχυρότερός μου ἐστὶ, συγκρίνων λέγει.

οὐ δὲ

ἐδὲ παῦλος, ὅταν μωσέως μεμνημένος, γράφῃ, πλείονος ᾖ δόξης ἔτος παρὰ μωσῆν ἠξίωται, συγκείνων γράφει. καὶ αὐτὸς δὲ, οὐδὲ πλέον Σολομῶντος ᾧδε, λέγων, ἢ μείζων τὸ ἱερὸν ᾧδε, οὐχὶ συγκείνων φησί. Μὴ λανθανέτω δὲ, ὡς οἱ πρὸς τὸ κατὰ τὸ γ', σημαινόμενον γένος αὐτὶ τὸ εἴδος λαμβάνοντες, ὁμογενῆ τὰ ὁμοειδῆ λέγεσι, καὶ ἑτερογενῆ πάλιν τὰ ἑτεροειδῆτε, καὶ ἑτεροφυῆ, εἶτ' ἔν ἑτεροέσια, ὡς ἀθανάσιος ὁ μέγας καὶ Ἀρειανῶν λόγ: β', λέγων, ἐν μὲν τοῖς ὁμογενέσιν ὁμολογεμένως φιλεῖ τὰ τῆς συγκρίσεως γίγνεθαι, καὶ οὐκ ἐν τοῖς ἑτερογενέσιν. οὐδεὶς γὰρ Θν συγκρίνει πρὸς ἄνθρωπον, οὐδὲ πάλιν ἄνθρωπον πρὸς τὰ ἄλογα, οὐδὲ ξύλα πρὸς λίθους, ἀλλὰ τὸ ἀνόμοιον τῆς φύσεως. ἀλλὰ Θς μὲν ἀσύγκριτόν ἐστι πρᾶγμα, ἄνθρωπος δὲ πρὸς ἄνθρωπον συγκρίνεται, καὶ ξύλον πρὸς ξύλον, καὶ λίθος πρὸς λίθον. καὶ οὐκ ἄνθρωπος εἶποι ἐπὶ τῶν τὸ κρεῖττον, ἀλλὰ τὸ μᾶλλον καὶ τὸ πλέον. ὅπως Ἰωσὴφ ὡραῖος ἦν μᾶλλον παρὰ τὰς ἀδελφὰς αὐτοῦ, καὶ Ῥαχὴλ τῆς Λείας. Ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ. ἐπὶ δὲ τῶν ἑτερογενῶν, ὅταν ταὐτά τις παραβάλλῃ πρὸς ἄλληλα, τότε τὸ κρεῖττον πρὸς τὸ διάλλαττον λέγεται, καθάπερ ἐπὶ τῆς σοφίας καὶ τῶν λίθων εἴρηται. Ἐπεὶ δὲ αἱ παραθέσεις, ὡς εἴρηται, ἐπὶ τῶν ἐν τῇ καθ' ἕκασα οὐσίᾳ ἕξεων, ἢ διαθέσεων παραλαμβάνονται καὶ ἁπλῶς ἐπὶ τῆς συνυπαρχούσης τῇ οὐσίᾳ ποιότητος, ἣν τῷ τῆς τέχνης ὀνόματι ἐδήλωσεν ὁ Θεόδωρος, πρὸς ὁμότεχνον, εἰπών, δέον μὴ ἀγνοεῖν, ὡς τῶν Ἕξεων αἱ μὲν, εἰσὶ ψυχικαὶ, αἱ δὲ, σωματικαί. ἑκατέρων δ' αὖ αἱμὲν, εἰσὶ φυσικαὶ, αἱ δὲ καὶ δυνάμεις αὖ οἰκειότερον, ἢ ἕξεις προσαγορεύοιντο (εἰγε ἐπίκτητα, ὁμοίως φυσικά τε τῶν ἕξεων) αἱ δὲ, ἐπείσακτοι. καὶ τῶν ἐπεισάκτων αἱ μὲν, θεόπεμπτοι· αἱ δὲ, ἐθισμῷ καὶ λόγῳ ποιζόμεναι. Ἕξις δέ ἐσι δυσμετάβλητος ποιότης καὶ μονιμωτέρα, αὐτιδιαστελλομένη πρὸς τὴν διάθεσιν, δυκίνητον ἔσαν ποιότητα καὶ ταχὺ ἀπογινομένην.

Τὰ δ' ὑπερθετικὰ πρός τι τῶν ὁμοίων καὶ συγγενῶν ἀεί. Ἕκτωρ ἀνδρειότατος Τρώων.

Τῶ δὲ ἀνδρειοτάτῳ τῶν τρώων Ἕκτορος διωμολόγηται ἀνδρειότερος ὁ Ἀχιλεύς. τῶν ἄρα τρώων ἀνδρειότατος ὁ Ἀχιλεὺς μᾶλλον ἢ ὁ Ἕκτωρ. τὸ ἄρα ὑπερθετικὸν καὶ πρὸς ἑτερογενὲς ἐδείχθη ἀποδιδόμενον, καὶ δυτέραν ἐπιρρηματικὴν προσλαμβάνον ἐπίτασιν. συλλογιζομένοις μὲν ἔν τισι τοχασμῷ φασιν, εἶναι ἀυπεραίρεθαι τῶν ἑτερογενῶν ἀπάντων τὸ ἑτερογενὲς, ἐν δὲ ἁπλῇ παραθέσει, ἥκιστα. εἰγε τὸ μὲν ἀπαντῶν ὑπερτιθέμενον, ἐν εἴτ' ἔν ὁμογενὲς εἶναι πάντως ὑποτίθησιν ὁλόγος καὶ αὐτὸ, ὑπερέχει ὁλικῶ ἀθροίσματος, τὸ δὲ ἑνὸς, ἢ πλειόνων, ἁπάντως· δοκεῖ γέ μὴν μηδὲ διὰ συλλογισμῶ πρὸς τὰ ἑτερογενῆ ἡ ὑπέρθεσις διαβαίνειν. εἰ γὰρ ὁ ἐν τῷ προκειμένῳ τύπῳ συλλογισμῷ μέσος ὅρος ἐχώσαυτως εἴληπται ἐπ' ἀμφοῖν τῶν προτάσεων. Ἕκτωρ μὲν γὰρ ἀνδρειότατος τρώων, Ἕκτορος δὲ Ἀχιλεὺς ἦν ἀνδρειότατος, πῶς γὰρ, τῶ ἑνός; ἀνδρειότερος δέ. ἀνδρειότερον δὲ ὄντα τῶ ἀνδρειοτάτῳ τῶν τρώων τὸν Ἀχιλέα, ἁ παρατῶτο συμβαίνει ἀνδρειότατον εἶναι καὶ αὐτὸν τῶν τρώων. ὅθεν τὸ περὶ τῶ μωϋσέως εἰρημένον, ὅτι δηλαδὴ ἦν πρᾳότατος πάντων ἀνθρώπων τῶν ἐπὶ τῆς γῆς, ζητητέον. εἰ μή τίγε ὁ καθόλῳ προσδιορισμὸς κἀνταῦθα οὐχ ἁπλῶς, ἀλλὰ πῆ, καὶ ἐπὶ μόνῳ τῶ ἰουδαϊκῶ γένους εἴτουν ἔθνους εἴληπται. τὸ δὲ πρός τι τῶν ὁμοίων λέγεσθαι τὰ ὑπερθετικὰ δοκεῖ μὲν μὴ

μὲν μὴ ἀκριβῶς εἰρῆσθαι. εἴγε οὐ πρὸς ἔντι, πρὸς δὲ πλείω, ὡς εἴρηται, ἐθέλει λέγεσθαι τὰ ὑπερθετικά. θεραπευθείη δ' ἂν τῷ λόγῳ τῆς κατὰ τὸ τι ἀοριστίας. εἴγε τὸ ἀόριστον τοῦ παντός ἐστι περιληπτικόν. τὰ δὲ ὑπερθετικὰ διὰ τοῦτο πρὸς μόνα τὰ ὁμογενῆ φέρεται, οὐχὶ δὲ καὶ πρὸς τὰ ἑτερογενῆ, ἐπειδὴ τὸ πρός τι τέλειον, πρὸς ἕτερόν ἐστιν ἀτελές. ὡς βουνὸς πρὸς ὄρος, καὶ κόκκος σινάπιος πρὸς κύαμον, ἤ τι ἄλλο τῶν μειζόνων σπερμάτων, κἂν πρὸς τὰ ὁμογενῆ μεῖζον λέγηται.

Τὸ δ' Ὁμήρου πρώτιστος καὶ τρίτατος, σχῆμα μόνον ὑπερθετικοῦ ἔχει.

Σχηματισμὸν δηλδ': καὶ τύπον φωνῆς, οὐ μὴν δὲ καὶ σημαινόμενον. καθὰ δὴ καὶ τὸ σφέτερος, ἡμέτερος, ἕτερος. παρὰ γὰρ τὸ πρῶτος τὸ πρώτιστος. τὸ δὲ πρῶτος ὑπερθετικὸν ὄν, ἑτέρας ὑπερθέσεώς ἐστιν ἀνεπίδεκτον.

Καὶ τὰ μὲν συγκριτικὰ, καὶ τοῦ ἢ, μεσοσυλλαβοῦντος, καὶ μετ' αὐτὸ πτώσεως, ἧς καὶ τὸ συγκριτικὸν ἦν, ἐπαγομένης, συντάσσεται. οἷον, ἀρείοσιν ἠέπερ ὑμῖν ἀνδράσιν ὡμίλησα.

Τὸ ἢ, διαζευκτικὸν μόριον, τῶν συγκριτικῶν ἢ τῶν διαφορικῶν μεταξὺ παρεμπεσὸν καὶ τῶν πρὸς ἃ ἡ σύγκρισις ἢ ἡ διαφορὰ, ὁμοιόπτωτα ἀλλήλοις ἀπαιτεῖ τῶν πτωτικῶν ἑκάτερα, ὡς πρὸς τὸ αὐτὸ ῥῆμα ἀναφερόμενα. Ἡρόδ: ζ', ἐπ' ἄνδρας μέλλεις στρατεύεσθαι πολλὸν ἀμείνονας, ἢ σκύθας. ὁ δὲ Δημοσθ': γ', τῶν Φιλιπ. ἐν τῷ, καὶ πολλοὺς ἄν τις οἰκέτας ἴδοι μετὰ πλείονος ἐξουσίας, ὅ, τι βούλονται, λέγοντας, ἢ πολίτας. οὐχ ὁμοιοπτώτως τῷ συγκριτικῷ τὴν ἑξῆς ἐπήγαγε πτῶσιν, ὡς μὴ πρὸς αὐτὴν οὔσης τῆς παραθέσεως, πρὸς δὲ τὴν ἐν αὐτῇ ποιότητα, ὡς ἂν εἰ ἔλεγε, μετὰ πλείονος ἐξουσίας, ἢ μεθ' ὅσης οἱ πολῖται. Θουκυδ': α', πολλῷ γὰρ ὕστερος καὶ τῶν

τρωικῶν γενόμενος, (ὅμηρος) οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν, (ἕλληνας) οὐδ' ἄλλους, ἢ τοὺς μετ' Ἀχιλλέως ἐκ τῆς φθιώτιδος ἐλθόντας. μὴ λανθανέτω δὲ, ὡς καὶ ὁ ἀλλὰ, σύνδεσμος κατ' ἔκθλιψιν προτασσόμενος τοῦ ἢ, εἰς διαφορικὸν πτωτικὸν μεταλαμβάνεται. Συνέσ: ἐπιστλ: 136, οὐδὲν ἔχουσιν αἰνεῖν Ἀθῆναι σεμνὸν, ἀλλ' ἢ τὰ κλεινὰ τῶν χωρίων ὀνόματα. ἀντὶ τοῦ, σεμνὸν οὐδὲν ἄλλο, ἢ τὰ κτ'. Ἰσοκρ': ἐν τῷ πλαταϊκῷ. ὁ γὰρ τούτων λόγος οὐδὲν ἀλλ' ἢ τοῦτο φανήσεται δυνάμενος. ἀντὶ τοῦ, οὐδὲν ἄλλο, ἢ τοῦτο. τὸ δὲ τοιοῦτο ἀλλ' ἢ, ἰσοδυναμεῖ τῷ ὅτι μὴ, ἐξαιρετικῷ ἐπιρρήματι. τὰ δὲ ἀνομοιοπτώτως τοῖς ἡγουμένοις ἐπαγόμενα, τοῖς μὲν διαφορικοῖς, δοκεῖ θεραπεύεσθαι, Ἡρόδ: α', αἰγύπτιοι ἅμα τῷ οὐνῷ τῷ κατὰ σφέας ἐόντι ἑτεροίῳ, καὶ τῷ ποταμῷ φύσιν ἀλλοίην παρεχομένῳ, ἢ οἱ ἄλλοι ποταμοὶ, τὰ πολλὰ ἔμπαλι τοῖσι ἄλλοισι ἀνοίσι ἐστήσαντο ἤθεα. ἀντὶ τοῦ, ἢ τοιαύτην, οἵαν οἱ ἄλλοι παρέχονται ποταμοί. τοῖς δὲ συγκριτικοῖς, οὐκ ἔτι. οἷον, ξενοφῶντος ἐν τῷ περὶ κυροπαιδ': τὸ, ἑνὸς ἀνδρὸς πολὺ δυνατωτέρου ἢ ἐγὼ, τὸν υἱὸν ἐξέτεμε. καὶ Εὐσταθείου ἐν ταῖς τοῦ Ὁμήρου παρεκβολαῖς, ἰλ: β', φύλλ: 211, κρείττονος (ὄντος τοῦ Ἀχιλλ':) ἤπερ ὁ Ἀγαμέμνων. καὶ 215, μέγα ἀμείνονος φωτὸς, ἤπερ ὁ βασιλεύς. τὸ γὰρ ὀρθὸν τούτων, ὦ Ἱππία, ἐγώ τοι οὐκ ἀμφισβητῶ μὴ οὐχὶ σὲ εἶναι σοφώτερον, ἢ ἐμέ. (Πλάτων ἐν τῷ ἐλάττονι ἱππίᾳ.) τὸ δὲ ἀρείοσιν ἐγὼ ἤπερ ὑμεῖς ὡμίλησα, ἔρρωται, τῶν μὲν ἀντωνυμικῶν πτωτικῶν πρὸς ἄλληλα ἀντιδιαστελλομένων, τοῦ δὲ συγκριτικοῦ ἁπλῶς ληφθέντος εἴτ' οὖν ἀπολύτως. ὁμοίου παρατηρήματος ἔχεται καὶ τὸ, εἴπέρ τις ἄλλος. καὶ γὰρ κατὰ τὸ ἢ, οὐδὲν ἧττον καὶ τὸ, εἴπερ, ἢ, εἰ καὶ, μεσοσυλλαβοῦντα, τὰ ἑπόμενα πτωτικὰ ὁμοιόπτωτα τοῖς ἡγουμένοις ἐθέλει. Θουκδ': α', καὶ ἅμα εἴπέρ τινες καὶ ἄλλοι νομίζομεν ἄξιοι εἶναι τοῖς πέλας ψόγον ἐπενεγκεῖν.

κατὰ δὲ γενικὴν, ἀκούσου φιφοῦντος, εἰκαί τινος ἄλλου. κατὰ δὲ δοτικὴν, διακονοῦμαί σοι φιλοῦντί με, εἴπέρ τινι ἄλλῳ. κατὰ δὲ αἰτιατικὴν, ὁρῶσε εὐσχημονοῦντα, εἴπέρ τινα ἄλλον.

Καὶ ἔτι μετὰ τὸ ἢ, τῆς κατὰ, σὺν αἰτιατικῇ προσκειμένης.

Ἵν' ἔχῃ συσσημαίνειν τὸ παραβαλλόμενόν τε καὶ ὅμοιον, πρὸς ὃ ἡ σύγκρισις.

Πλέον ἢ κατὰ ἄνον. καὶ μετὰ τοῦ ὡς ἐσθ' ὅτε. οἷον, ὡς κατὰ ἄνον.

Τοῦτε ἢ, μεταξὺ καὶ τῆς κατὰ, παρεμπίπτοντος. οἷον πλέον ἢ ὡς κατὰ ἄνον. ἔστι δὲ θάτερον τῶν συγκατηγορημάτων ἐν παρολκῇ, ἑκατέρων παραβολικῶν ὄντων.

Καὶ μὴν καὶ πρὸς ἀπαρέμφατον λέγεται, μεσοσυλλαβοῦντος ὁτὲ μὲν, τοῦ ἢ καὶ ἅμα τοῦ ὥστε ἀποστατικοῦ, ὁτὲ δὲ, τοῦ ἢ μόνου.

Συνεξακουομένου πάντως καὶ τοῦ ὥστε.

Οἷον, τὸ νόσημα μεῖζον ἢ φέρειν.

Σοφοκλέους.

Καὶ, ἢ ὥστε δύνασθαι φέρειν. τὸ δὲ ὑπερθετικὸν οὐδὲν τούτων πρόσλαμβάνειν ἐθέλει. Ἔτι τὰ μὲν ὑπερθετικὰ μεγίστην ἐπίτασιν ἔχοντα, οὐδὲν τῶν ἐπιτατικῶν δέχεται ἐπιῤῥημάτων. οἷον, λίαν, ἢ μάλιστα, ἢ τοιοῦτό τι,

Καθ' ὅ, τι ὡρισμένην καὶ ἄκραν ἔχει τὴν ἐπίτασιν. ἀτελῶν δὲ τὸ μᾶλλον καὶ ἧττον καὶ τῆς ἀορίστου ὕλης, ἀλλ' οὐτελείων καὶ ἀκροτήτων. δι' ὃ καὶ αἱ ἐπὶ μέρους ἕξεις, εἴτ' οὖν αἱ ἐν ὑποκειμένῳ, τούτων εἰσὶ δεκτικαὶ, οὐ μὴν ἤδη καὶ αἱ γενικαὶ, εἴτ' οὖν αἱ καθ' ἑαυτὰς καὶ ἀφῃρημένως νοούμεναι, ἀκρότητες οὖσαι καὶ τελειότητες. τῇ μὲν γὰρ ἔν τινι ἀνῷ ἐπιστήμῃ, ἢ ἀγνοίᾳ, καὶ τῇ παράτινος ἐνεργουμένῃ κακίᾳ, ἢ ἀρετῇ λέγοιτ' ἂν τὸ μᾶλλον καὶ ἧττον, τῇ δὲ καθόλου ἀρετῇ καὶ τῇ καθόλου κακίᾳ τὸ μᾶλλον καὶ ἧττον οὐκ ἔνεστιν. οὐδὲ γὰρ τῆς καθόλου ἐπιστήμης μᾶλλον γένοιτ' ἂν ἐπιστήμη, ἢ τῆς καθόλου λευκότητος ἢ θερμότητος μᾶλλον θερμότης ἢ λευκότης. ἐν οἷς δ' ἂν τύχῃ προσειληφότα, ἔστι μὲν οὗ, κατὰ παρολκὴν, ἔστι δ' οὗ, εἰς ἐν δεῖξίν φασι κεῖται ὑπερβολῆς. ὡς ἰλ: β. ἔχθιστος δ' Ἀχιλῆϊ μάλιστ' ἦν. ὅπερ ἐστὶν ἐπίτασις ἐπιτάσεως.

Τὰ δὲ συγκριτικὰ, ἅτε μὴ τὴν τελεωτάτην ἐπίτασιν ἔχοντα, ἔσθ' ὅτε δευτέραν ἐπιῤῥηματικὴν προσλαμβάνει ἐπίτασιν. ὅον τὸ ὁμήρου, πολὺ παυρότεροι καὶ ῥηΐτεροι δὴ μᾶλλον ἔσεσθε. (ἰλ: γ.

Τὰ εἰς ὁτερος λήγοντα συγκριτικὰ ἀπὸ ληγόντων εἰς ὢν συγκρικῶν ταυτοδυνάμων ποιητικῶς κατὰ διπλῆν σύγκρισιν κινηθέντα, οὐδὲν πλέοντι σημαίνουσι τῶν ἀφ' ὧν κεκίνηνται. χείρων, χειρότερος. πλείων, πλειότερος. λῷον, λωΐτερον. καὶ τὸ κωμικὸν προτεραίτερος, ὅ ἐστι πρότερος. τοιαῦτα καὶ τὸ ῥηΐτερος, καὶ πλειοτέρῃ σὺν χειρὶ, καὶ τὰ ὅμοια, οὐ πρὸς ζῆλον τὸν ἐν πεζῷ λόγῳ, ἀλλὰ χάριν εἰδήσεως. τὸ μὲν γὰρ χείρων, ἀττικὴ σύγκρισις, τὸ δὲ χειρότερος, ποιητικὴ λέξις. τοιοῦτο καὶ τὸ κλέπτιστος, κλεπτίστατος. λάλιστος, λαλίστατος, κύδιστος, κυδίστατος, κατ' ἐπίτασιν ὑπερθέσεως. οἷς συντακτέον καὶ τὸ κορυφαιότατος, μονώτατος, κεφαλαιῳδέστατος, ἐσχατώτατος, καὶ τὰ τοιαῦτα. ἅπερ οὐζηλωτὰ τοῖς πεζὰ ῥητορεύουσι. παρὰ δὲ Ποιηταῖς οὐμόνον διπλῆ σύγκρισις

κρισις καὶ παραγωγὴν, ἀλλὰ καὶ ἐξ ὑπερθέσεως καταβιβασμὸς εἰς σύγκρισιν. ὡς δῆλον ἐκ τοῦ λαλίστερος. ὃ παρειλκύσθαι δοκεῖ ἐκ τοῦ λάλιστος. ὥσπερ δὲ διπλοῦται ὁ σχηματισμὸς ἐν τοῖς εἰρημένοις, οὕτω ποτὲ πάσχει καὶ ἐν κτητικοῖς. δημήτριος γοῦν φαμὲν καὶ δημητριακὸς, καὶ σάμιος καὶ σαμιακὸς, καὶ ῥόδιος καὶ ῥοδιακὸς, κύπριος κυπριακὸς, καὶ ἕτερα ὅμοια.

Ἔτι τὸ ὑπερθετικὸν ἔστιν ὅτε καὶ πρὸς οὐδεμίαν ἀποδίδοται γενικήν. οἷον, ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ. (ἰλ: χ.

Πρὸς γὰρ ἅπαντα τὰ ὁμογενῆ ἀεὶ, ὡς εἴρηται, τὴν παράθεσιν ἔχοντα τὰ ὑπερθετικὰ, καὶ ὡς εἰπεῖν πρὸς ὡρισμένα, καὶ χωρὶς ἐκείνων πολλάκις λέγεται, συνεξακουομένων ὡς ὁμογενῶν. ὡς καὶ τὸ πινδαρικὸν ἐκεῖνο, ἄριστον μὲν Ὕδωρ, τῶν λοιπῶν δηλαδὴ συστοίχων τριῶν στοιχείων. τὰ δὲ συγκριτικὰ χωρὶς τῶν πρὸς ἃ τὴν σύγκρισιν ἔχει, οὐκ ἐθέλει λέγεσθαι, (ὅτι μὴ, τὰ ἀπολύτως εἴτ' οὖν ἀσυγκρίτως λεγόμενα. ὧν ἐστι καὶ τὸ κρεῖττον ἐπὶ Θεοῦ.) ἄδηλον γὰρ πρὸς πότερα, πρὸς ὁμογενῆ, ἢ ἑτερογενῆ; καὶ πότερον, πρὸς ἕν, ἢ πρὸς πλείω;

Τὸ γοῦν ἀστὴρ, ἀντὶ τοῦ ἀστέρων, κατὰ μετάληψιν.

Ὅ ἐστι κατ' ἐναλλαγὴν πτώσεως.

Ἔστι δὲ ἃ καὶ ἀπολύτως λεγόμενα;

Ἐν σχηματισμῷ τῆς φωνῆς θετικῷ,

Ὑπερθετικῆς τυγχάνει συντάξεως, δι' ὑπεροχὴν ἐνυπάρχουσαν σφίσιν. οἷον τὸ δῖα, καὶ ἔξοχος, καὶ κορυφαῖος, καὶ μόνος. δῖα γὰρ θεάων, καὶ μόνος ἁπάντων, καὶ κορυφαῖος, καὶ ἔξοχος πάντων.

Ὑπερθέσεις ἐνυπάρχουσαι θετικοῖς τισιν ὀνόμασιν, ὑπερθετικῶς αὐτὰ συντάσσεσθαι ποιοῦσι, διὰ τὴν ἐν τῇ λέξει ὑπάρχουσαν ὑπεροχήν. οἷον, ἔξοχος πάντων. ὑπέρθεσιν γὰρ δηλοῖ τὸ ἔξοχος, ὡς καὶ τὸ ἀριδείκετος ἀνδρῶν, καὶ δῖος ἀχαιῶν, καὶ δῖα γυναικῶν. τοιοῦτο δὲ καὶ τὸ, κορυφαῖος χοροῦ. ὑπέρθεσις γὰρ καὶ τούτοις ἐμφαίνεται διά τε τὸν δία ὑπερφέροντα τῶν λοιπῶν θεῶν, διά τε τὴν κορυφὴν, ὑπερκειμένην τοῦ σώματος, καὶ διὰ τὴν τοῦ ἀρὶ, ἐπιτατικοῦ μορίου ἐπίτασιν. αἱ δὲ ὑπερθέσεις φιλοῦσι τὴν γενικὴν σύνταξιν. ἀπὸ δὲ τῶν τοιούτων θετικῶν οὐκ ἔστιν ὑπερθετικὰ παραγαγεῖν. αὐτόθεν γὰρ τὴν τελεωτάτην ἐπίτασιν ὑπεμφαίνοντα, ἑτέρας οὐ χρῄζει, μᾶλλον δ' οὐκ εἰσὶν ἐπιδεκτικά.

Ἀνάπαλιν δ' ἐνίοτε τοῖς συγκριτικοῖς ἀντὶ ἁπλῶν θετικῶν ἐστι χρήσασθαι, καί τι καὶ τοῦ θετικοῦ μετριώτερον βούλεσθαι ὁ λέγων δοκεῖ.

Ὥσπερ τῶν θετικῶν τίν' ἄττα ὑπερθετικῆς ἐτύγχανε συντάξεως, οὕτως ἐκ τοῦ ἐναντίου καὶ τῶν συγκριτικῶν ἔστιν ἃ ἀντὶ ἁπλῶν θετικῶν ἐστιν εὑρεῖν. ἃ δὴ καὶ γενικῇ πληθυντικῇ συντεταγμένα, εἰς τὰ σύστοιχα θετικὰ ἀναλύεται. τῶν τοιούτων ἐστὶ τὸ, ἔχθιστος δέ μοι ἐσσὶ διοτροφέων βασιλείων. ἰλ: ᾶ, ἀντὶ τοῦ, ἐχθρὸς ἐν βασιλεῦσιν. ἢ μόνος τῶν ἄλλων βασιλέων. οὐ γὰρ πάντες ἐχθροὶ ἦσαν τῷ Ἀγαμέμνονι. καὶ τὸ, Θεῶν ὀλοώτατος. ἀντὶ τοῦ, ὀλοὸς ἐν θεοῖς. καὶ τὸ, σαώτερος ὥς κε νέηαι. ἤγουν σῷος ὅπως ἀπέλθῃς. καὶ θηλύτερον ἀντὶ τοῦ θῆλυ, καὶ δεξίτερον ἀντὶ τοῦ δεξιὸν, καὶ νεώτερος καὶ πρεσβύτερος, ἀντὶ τοῦ νέος καὶ πρέσβυς.

σβυς. ὡς μὲν οὖν πολλὰ συγκριτικά τε καὶ ὑπερθετικὰ εἰς ἁπλότητα μεταλαμβάνεται, μυριαχοῦ φαίνεται, Μεῖον δὲ οὐχ ὅπως τοῦ συγκριτικοῦ, ἀλλὰ καὶ αὐτοῦ τοῦ θετικοῦ οὐκ ἂν ἄλλως δηλώσοι ἐν συγκριτικῷ ὁ βουλόμενος, ὅτι μὴ, παρελκύων, εἴτ' οὖν μεταχηματίζων εἰς σύγκρισιν τὸ δῖος, καὶ τὸ ἔξοχος, καὶ ὅλως, ὅσα ἐν ἀπολύτῳ σχήματι ὑπερθετικὴν ὑπεροχὴν ὑπεμφαίνει, οὐμὴν ἀλλὰ καὶ τῶν ποιῶν εἴτι ἐντελῶς τε καὶ ἄκρως εἴτ' οὖν ἀκράτως, ἀλλὰ μὴ συμμίκτως μετέχει τῆς ποιότητος. ἥτις αὐτῷ οὐσιώδης καὶ εἰδοποιὸς συγχάνει διαφορὰ, καὶ κατ' αὐτὴν τὴν ἐπίνοιαν αὐτοῦ οὖσα ἀχώριστος. ὡς τὸ ἐν τῇ χιόνι λευκὸν, τὸ ἐν τῷ κάρβωνι μέλαν, τὸ ἐν τῷ πυρὶ θερμὸν, τὸ ἐν τῷ κρυστάλλῳ ψυχρόν. καὶ τούτων γὰρ οὐδὲν ἧττον τὰ συγκριτικὰ, ἧττον δηλοῦν βούλεται καὶ αὐτῶν τῶν θετικῶν. εἴγε τοῖς μὲν τούτων θετικοῖς ἡ τῆς ὑπεροχῆς ἐνυπάρχει ἀκρότης, τὸ δὲ, ὡς εἴρηται, μᾶλλον καὶ ἧττον ἀτελῶν ἐστι καὶ ὑφειμένων τῆς ἀκρότητος. οἷόν τι λέγω, τὸ πῦρ θερμὸν μὲν ἁπλῶς εἴτ' οὖν ἀπολύτως λεγόμενον, κατὰ παντὸς τοῦ ἡστινοσοῦν μετέχοντος θερμότητος τὴν ὑπεροχὴν ἀποφέρεται, τῆς δὲ ἡλιακῆς τυχὸν ἀκτῖνος θερμότερον ῥηθὲν, πλεῖστον ὅσον ὑπανῆκε τῆς συνούσης θερμότητος, ὡς πρὸς μόνην τὴν ἡλιακὴν ἀκτῖνα τὴν παράθεσιν σχόν. καὶ ἔστιν ἡ κατὰ τὸ συγκριτικὸν παράθεσις, ἅτε μὴ τὴν τελεωτάτην, καὶ οἷον εἰπεῖν κατὰ παντὸς θερμοῦ ἐπίτασιν ἔχουσα, μετριωτέρα τε καὶ ἀτελεστέρα, εἴτ' οὖν καταδεεστέρα τῆς κατὰ τὸ σύστοιχον θετικὸν, τῆς ἐν τῇ τούτου ἁπλότητι τὴν μεγίστην τε καὶ κατὰ παντὸς θερμοῦ ἐχούσης ἐπίτασιν. καὶ ὁμὲν τοῦ καγχλάζοντος μολύβδου θερμότερον τὸ πῦρ εἰπὼν, εἰ καὶ τῆς ἐν τῷ πυρὶ συνούσης θερμότητος οὐ τὸ τυχὸν μέρος, ὡς εἴρηται, ὑπέτεμε, τῆς γεμὴν ἐν τῷ καγχλάζοντι μολύβδῳ αὐτὴν μᾶλλον ἐπέτεινεν, ὁ δὲ τὴν κυπάρισσον τῆς ὀρθῆς ἐλάτης ὀρθοτέραν εἰπὼν, τοὐναντίον, οὗπερ ἐβούλετο, λαθὼν ἀναπέφηνε, καὶ αὐτοῦ δὴ τοῦ θετικοῦ, πρὸς ὃ ἡ παράθεσις, τὸ συγκριτικὸν μετριώτερον προενεγκάμενος, τὸ μὲν τῆς ἐλάτης ὀρθὸν ἐπιτείνας, τὸ δὲ τῆς κυπαρίσσου ὑπανιείς. εἴγε τοῦ ὀρθοῦ, ὅ, τί ποτ' ἂν ᾖ, τὴν ἄκραν ὑπέρθεσιν ἀποφερομένου, ἡ κατὰ τὸ ὀρθότερον σύγκρισις οὐκατ' ἐπίτασιν τὴν πρὸς τὸ ὀρθὸν, κατὰ δὲ τὴν πρὸς αὐτὸ ὕφεσιν ῥηθήσεται. κατὰ γὰρ ἐπίτασιν τὴν πρὸς τὸ θετικὸν εἰλημμένου τοῦ συγκριτικοῦ, τὸ τούτου σύστοιχον θετικὸν, φημὶ δὴ τὸ ὀρθὸν, ὑφήσει τῆς ἐνυπαρχούσης οἱ ἄκρας ὑπεροχῆς. ἀλλὰ μὴν οὐδαμοῦ ὑφῆκεν αὐτῆς. τὸ ἄρα τούτου συγκριτικὸν μετριώτερον βούλεται καὶ αὐτοῦ τοῦ συστοίχου θετικοῦ, πρὸς ὃ τὰ τῆς παραθέσεως. Συγκριτικὰ ἔτι ἀντὶ ἁπλῶν θετικῶν λαμβάνεται, ἔνθα οὐ πρὸς ὅμοια, πρὸς δὲ τἀναντία ἡ σύγκρισις γίνεται. ὡς ἐν τῷ περὶ παρθενίας τοῦ μεγάλου Βασιλείου. ὁ ἐννοήσας τὰ ἄτοπα, εἰ ἀμελήσειε τῶν ἐννοιῶν, καὶ ἐφ' ἑτέρας καλλίονας τὸν νοῦν ἀσχολήσειε. καὶ Γρηγόρ: ἐν τῷ, Χριστὸς γεννᾶται, ἐκ τῶν χειρόνων ἐπανελθεῖν τὰ χρηστότερα. καὶ Χρυσόστμ: βέλτιον ἡ ἀρετὴ τῆς κακίας. οὐκ ἄρα τῶν συγκριτικῶν πᾶν τὸ ἀντὶ ἁπλοῦ θετικοῦ εἰλημμένον, ἤδη τὸ αὐτὸ καὶ τοῦ θετικοῦ ἧττόν ἐστιν, ἀλλ' ὡς διώρισται. Εἴη δ' ἂν τὸ συγκριτικὸν καὶ τοῦ θετικοῦ μετριώτερον εἰλημμένον κἀπὶ τῶν μεταξὺ τῶν δ', δύοιν Στοιχείων, ὕδατός φημι καὶ ἀέρος. τῶν γὰρ δ', στοιχείων τὸ μὲν ἁπλῶς βαρὺ, πάντως καὶ βαρύτερον, καὶ τὸ ἁπλῶς κοῦφον, κουφότερον τοῦ προσεχοῦς ἐστι. (λέγω δὲ ἁπλῶς βαρὺ, ὃ ἀεὶ κάτω, κἀπὶ τὸ μέσον. καὶ κοῦφον, ὃ ἀεὶ ἄνω καὶ πρὸς τὸ ἔσχατον πέφυκε φέρεσθαι μὴ κωλυόμενον.) τὸ δὲ βαρύτερον, ἢ κουφότερον, οὐ πάντως καὶ βαρὺ, ἢ κοῦφον ἁπλῶς ἐστιν. οἷον, ἡ μὲν γῆ βαρεῖα ἁπλῶς οὖσα, βαρυτέρα ἐστὶ τοῦ ὕδατος, καὶ τὸ πῦρ

πῦρ κοῦφον ἁπλῶς ὄν, κουφότερόν ἐστι τοῦ ἀέρος. τόγε μὴν τῆς γῆς κουφότερον ὕδωρ, οὐκ ἔστι κοῦφον ἁπλῶς, καὶ ὡς ἐπὶ τὸ μέσον φερόμενον, καὶ ὡς πλὴν τῆς γῆς πᾶσιν ὑφιστάμενον. καὶ ὁ τοῦ πυρὸς ὁμοίως βαρύτερος ἀὴρ, οὐκ ἔστιν ἁπλῶς βαρὺς, ὡς πλὴν τοῦ πυρὸς πᾶσιν ἐπιπολάζων. πῦρ μὲν γὰρ καὶ ἀὴρ πρὸς τὸν ὅρον, γῆ δὲ καὶ ὕδωρ πρὸς τὸ μέσον φέρονται. (Ἀριστοτ'λ: δ', περὶ οὐνοῦ.) οὔτε γοῦν τῆς γῆς μετεχούσης κουφότητος, οὔτε τοῦ πυρὸς βαρύτητος, δῆλον ὅτι οὔτε τὸ τῆς γῆς λεγόμενον κουφότερον ὕδωρ, κοῦφον ἁπλῶς ἐστιν, ὡς βαρύτητος μᾶλλον μετέχον, οὐδ' ὁ τοῦ πυρὸς βαρύτερος λεγόμενος ἀὴρ, βαρὺς ἁπλῶς ἐστιν, ὡς κουφότητος μᾶλλον μετέχων. ὥστε τῶν συγκριτικῶν τό, τε κουφότερον ἐν τῷ ὕδατι, καὶ τὸ βαρύτερον ἐν τῷ ἀέρι, ἔλαττον δηλοῦσι καὶ αὐτῶν τῶν θετικῶν. Ἁπλᾶ δ' εἰπὼν τὰ θετικὰ, σύνθεσιν ἐδήλωσεν ἐν τοῖς παραθετικοῖς τὴν κατὰ τὸ νοούμενον. συντέθειται γὰρ τὰ παραθετικὰ, οὐμόνον ἔκτε τοῦ δυνάμει παραθετικοῦ προσρήματος καὶ τοῦ συστοίχου θετικοῦ, ἀλλὰ καὶ καθ' ὅ, τι σύνθεσιν προσώπων ὑπεμφαίνει, ἐν οἷς ἡ παράθεσις.

Ὡς μὲν οὖν ὅλως εἰπεῖν, ἡ σύγκρισις ἐπὶ δύοιν,

Προσώπων, ἢ πραγμάτων, ὡς εἴρηται. σύγκρισιν δέ μοι νόει οὐμόνον τὴν κατὰ ἀνισότητα καὶ ἀνομοιότητα, ἀλλὰ καὶ τὴν κατὰ ἰσότητα καὶ ὁμοιότητα. ὅθεν ἐλέγχονται κἀντεῦθεν οἱ τὴν κατὰ τὸ ἴσον παράθεσιν ἐφ' ἑνὸς εἰληφότες, ἐν τῷ εἰπεῖν, τὸ αὐτὸ ἑαυτῷ ἐστιν ἴσον. οὐδὲ γὰρ πρὸς τὰ ἐπισυμβαίνοντα, ὡς ἂν αὐτοὶ εἴποιεν, πρὸς δὲ ξύμπαντα ἅμα τὰ μέρη ἡ τοῦ ὅλου παράθεσις ἦν αὐτοῖς γενομένη. ἅττα καίτοι διῃρημένως ἀπ' ἀλλήλων νοούμενα, ξύμπαντά γε μὴν οὐθὲν ἀλλ' ἢ αὐτὸ τοῦτο τὸ ὅλον ἐστὶν, αὐτὸ ἑαυτῷ

παρατιθέμενον.

Ἐμφαίνεταί γε μὴν

Ἐν τῇ συγκρίσει.

Ἤτοι πρόσωπα μόνον, ἢ μετὰ τῶν προσώπων καὶ πρᾶγμα. εἰ μὲν γὰρ λέγοι τις, ὅδέ μοι γνωριμώτερος, ἢ σύ. τρία τὰ πρόσωπα. Εἰ δὲ, ὅδε ἐμοῦ ἰσχυρότερος. δύω μὲν τὰ πρόσωπα, ἐν δὲ τὸ πρᾶγμα, ἡ ἰσχύς. ὥστε καὶ καλείσθω τὸ μὲν τῆς συγκριτικῆς συντάξεως, προσωπικὸν, τὸ δὲ, καὶ πραγματικὸν διὰ ταῦτα.

Ἀπορήσεις, τί ὅτι ἐν τοῖς ἔμπροσθεν εἰπὼν, οὐ πρὸς τὰ πρόσωπα, πρὸς δὲ τὸ περὶ τὰ πρόσωπα πρᾶγμα θεωρεῖσθαι τὰ τῆς παραθέσεως, ᾧδε πρόσωπα μόνον ἐμφαίνεσθαί φησιν ἐν τῇ παραθέσει; πρόσωπα γὰρ καθ' ἑαυτὰ δίχα τοῦ ἐν αὐτοῖς πράγματος ἀμήχανον ἀλλήλοις παρατίθεσθαι, ὡς οὐχὶ συμβεβηκότος παραστατικὰ, ἀλλ' οὐσίας τῆς τὸ μᾶλλον καὶ ἧττον καὶ ὅλως παράθεσιν μὴ παραδεχομένης. πῶς δὲ οὐχὶ καὶ ἡ γνωριμότης πρᾶγμα, ποιότης τις οὖσα καὶ τῶν ὁπωσοῦν ὑφεστώτων; (Γνωστικὴ γάρ τίς ἐστι τῆς ψυχῆς δύναμις, ὡς καὶ ἡ ἰσχὺς τοῦ σώματος.) εἴγε πράγματα οὐμόνον τὰ κατὰ τοὺς νεωτέρους αὐθύπαρκτα, ἀλλὰ καὶ τὰ ἐνυπάρχοντα κατά τε Θεόδωρ: καὶ πλούταρχ: ὅστις μὲν οὖν ἂν ᾖ τοῦ Θεοδώρου ὁ νοῦς, αὐτὸς ἂν εἰδοίη, ῥητέον δὲ καὶ ἡμῖν ἅττα συνεπορίσαμεν ἐξ ὧν αὐτὸς τά τε ἄλλα καὶ τὰ τῶν συγκριτικῶν συνηρανίσατο, ὡς οὐχὶ κατὰ τὴν ἰσχὺν καὶ ἡγνωριμότης

ὡρισμένη τίς ἐστι ποιότης. ἔστι γάρ τις γνώριμος, κατ' ἄλλος ἄλλῳ. ταύτῃ τοι ἡ γνωριμότης πρᾶγμα ἄλλως οὖσα καὶ αὐτὴ, τῷ γε μὲν λόγῳ τῆς ἀοριστίας ὡς πρὸς τὴν ὡρισμένην σωματικὴν ἰσχὺν μὴ εἶναι πρᾶγμα λέγεται. φασὶ καὶ γὰρ οἱ παλαιοὶ, ὡς τῶν συγκριτικῶν τὰ μὲν, ὡρισμένην ἐμφαίνει ποιότητα, καθ' ἣν γίγνεται τὰ τῆς παραθέσεως. οἷον, τὸ λευκότερος τὴν λευκότητα. τὸ σιμώτερος τὴν σιμότητα. τὸ ἰσχυρότερος τὴν ἰσχὺν, καὶ τὰ τοιαῦτα, τὰ δὲ, ἀόριστον, ὡς τὸ καλλίων, βελτίων χερίων, ἀμείνων, καὶ ὅσα τοιουτότροπα. τῆς οὖν συγκριτικῆς συντάξεως ἡ μὲν πρόσωπα μόνον ἐμφαίνουσα, ἄνευ ὡρισμένου πράγματος, προσωπικὴ μόνον καλείσθω, ἡ δὲ μετὰ τῶν προσώπων καὶ ὡρισμένον πρᾶγμα, καὶ πραγματικὴ δὴ, διὰ τὸ καὶ πρᾶγμα δηλοῦν.

Ὑποκοριστικά.

Τὰ δὲ ὑποκοριστικὰ ἀπόλυτον ἔχει τὸ σχῆμα καὶ σημαινόμενον.

Καὶ οὐχ ὡς τὰ παραθετικά. ὧν ὅ, τε σχηματισμὸς τῆς φωνῆς καὶ τὸ ὑπ' αὐτῆς δηλούμενον, πρὸς ἕτερον ἦσαν φερόμενα. ἐκείνων μὲν γὰρ ἡ παράθεσις ἐπί τε ποιοῦ καὶ ποσοῦ οὖσα, τοῦ μᾶλλον καὶ ἧττον ἢν ἐπιδεκτικὴ, καὶ τοῦ μείζονος καὶ ἐλάσσονος, ἡ δὲ τούτων, ἐπ' αὐτῆς τῆς οὐσίας ἐστὶ, μηδέτερον ἐπιδεχομένης τῶν εἰρημένων, ἀπολύτως τε καὶ μὴ πρὸς ἕτερον ἀναφερομένης. διὸ καὶ τὸ τούτων σημαινόμενον ἀπόλυτόν ἐστι.

Μείωσιν ἀσυγκρίτως δηλοῦντα τοῦ πρωτοτύπου.

Ἡ μείωσις πρὸς τὴν ἐπίτασιν ἀντιδιαστέλλεται. τὴν μὲν οὖν τῆς ποιότητος ἐπίτασίν τε καὶ μείωσιν οὐκ ἀσυγκρίτως ἀλλὰ μετὰ τῆς πρὸς ἕτερον συγκρίσεως εἴτ' οὖν παραθέσεως ἐδήλου τὰ παραθετικά, τὴν δὲ τῆς οὐσίας μείωσιν τὰ ὑποκοριστικὰ ἄνευ τῆς πρός τι ἕτερον ἀναφορᾶς σημαίνει. ἁπλοῦν γάρ φησιν, ἔχει καὶ τὸ σχῆμα καὶ τὸ σημαινόμενον. δηλοῖ δὲ, οὐ μὴν ποιεῖ μείωσιν τοῦ πρωτοτύπου, τοῦ κατὰ τὸ σημαινόμενον δηλαδή. ἐπεί τοί γε τοῦ κατὰ τὴν φωνὴν, ἕκτασιν μᾶλλον, ἢ μείωσιν δηλοῖ τε καὶ ποιεῖ. ἄνος, ἀνῖσκος. κοῦρος, κουρίσκος. ἔστι γε μὴν ὅτε μετὰ σεμνολογίας, ἢ καὶ κολακεύοντες σμικρυνόμεν σχήματι μόνῳ φωνῆς τὰ πτωτότυπα.

Σύνταξιν δὲ τὴν αὐτὴν τοῖς κυρίοις καὶ προσηγορικοῖς πρὸς τὰ ἐπίθετα ἔχει. ὁμοιογενῶς γὰρ καὶ ὁμοιοπτώτως.

Συντάσσεται. τὰ μὲν γὰρ αὐτῶν εἰσι κύρια, τὰ δὲ, προσηγορικά.

Παρώνυμα καὶ Ῥηματικά.

Τῶν δὲ παρωνύμων τε καὶ ῥηματικῶν ἰδίᾳ ὀνομασθέντων, ὡς ἀπὸ ὀνόματος, ἢ ῥήματος ἐσχηματισμένων, ὅσα μέν ἐστι κύρια, ἢ προσηγορικὰ, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως σφίσι τὰ ἐπίθετα συντασσόμενα ἔχει, ὡς εἴρηται.

Ἐν τῷ, σύνταξις ἐπιθέτου.

Ὅσα δὲ ἐπίθετα, δῆλον ὡς ταύτῃ.

Ὁμοιογενῶς δηλ': καὶ ὁμοιοπτώτως καὶ αὐτά.

Καὶ τὴν ἐπιθετικὴν λαμβάνοι ἂν σύνταξιν πρὸς τὰ κύρια τε καὶ προσηγορικά.

Παρώνυμά εἰσιν, ὅσα ἀπό τινος πτωτικοῦ, διαφέροντα τῇ πτώσει, τὴν κατὰ τὸ παρωνυμοῦν

νυμοῦν ὄνομα προσηγορίαν ἔχει. πτῶσιν δὲ λέγω τὸ πέρας τῆς λέξεως. κατὰ δὴ τοῦτον τὸν λόγον πάντα μὲν τὰ κατὰ φωνὴν εἴδη, πλὴν τῶν ῥηματικῶν, ὡς τὴν γένεσιν ἀπότου πρωτοτύπου ὀνόματος ἔχοντα, κἀκεῖθεν ὄντα παρηγμένα, παρώνυμα ἂν λέγοιντο γενικώτερον, ἰδίᾳ γε μὴν καὶ καθ' αὑτὸ ὠνομάσθη παρώνυμα τὰ τοῦ προκειμένου εἴδους. εἴ γε τὰ μὲν παρὰ ταῦτα, ὡς ἔχοντα ἰδικὴν καὶ ἐξαίρετον σημασίαν, ἀπὸ τοῦ ἰδίου σημαινομένου τὴν κλῆσιν εἰλήφασι, τὰ δὲ προκείμενα, μὴ ἐνὸν ἐκ τοῦ σημαινομένου ἀπειροπληθοῦς ὄντος, ἀπὸ τῆς ἰδίας ὕλης, τοῦτ' ἔστιν ἀφ' οὗ παρῆκται, παρωνόμασται. τὰ μὲν γὰρ παρὰ τὸ ὄνομα, παρώνυμα, ῥηματικὰ δ' αὖ, τὰ παρὰ τὸ ῥῆμα. καὶ γὰρ καὶ κατὰ Ἀπολλώνιον τὰ μὲν ἄλλα τῶν κατὰ φωνὴν ἰδικῶν, ἑνίτῳ δηλουμένῳ χρώμενα, ἐξ αὐτοῦ καὶ τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέξαντο, οὐχ οὕτω δὲ καὶ τὰ ἰδίως παρώνυμα καὶ τὰ ῥηματικὰ τῶν ὀνομάτων, ἀλλ' ἐκ τῆς προϋφεστώσης ὕλης, εἴτ' οὖν φωνῆς τὴν ὀνομασίαν ἐδέξαντο, ὡς ἀδυνατοῦντα ἐκ τοῦ δηλουμένου, ἕνεκα τοῖς ἐν αὐτοῖς ἐγγινομένης παμπόλλου διαφορᾶς. Τεττάρων δέ τινων χρεία τοῖς παρωνύμοις, κοινωνίας καὶ διαφορᾶς καὶ ὀνόματος καὶ πράγματος. οἷον, ὁ γραμματικὸς ἀπὸ τῆς γραμματικῆς. καὶ γὰρ καὶ τῷ ὀνόματι καὶ κοινωνοῦσι καὶ διαφέρουσι, μὴ τὴν αὐτὴν κατάληξιν ἔχοντα τοῦ ὀνόματος, καὶ τῷ κατὰ τ' οὔνομα λόγῳ κοινωνοῦσι πάλιν καὶ διαφέρουσιν. ἡ μὲν γὰρ γραμματικὴ, ἕξις ἐστὶν, ὁ δὲ γραμματικὸς, οὐσία, ἐν ᾧ ἡ ἕξις. τὰ δὲ μὴ τῷ λόγῳ καὶ τῷ ὀνόματι, θατέρῳ δὲ μόνῳ κοινωνοῦντα καὶ διαφέροντα, οὐκ εἰσὶ παρώνυμα, οὔκουν γυνὴ γραμματικὴ, ἢ μουσικὴ, μὴ διαφέρουσα τῷ ὀνόματι, ἴσως μηδὲ κοινωνοῦσα τῷ πράγματι, ὁμώνυμος δέ. οὐ δὲ τὸ ἔλενος καὶ ἐλένη, μὴ κοινωνοῦντα τῷ πράγματι. ὁ μὲν γὰρ, ἐκ Τροίας ὁ πριαμίδης, ὁ μαντικὸς ἕτερος. ἄλλη δὲ πάλιν ἡλάκαινα, ἡ τῆς λύδης ἐκ τυνδάρεω παῖς, ἡ μυρίων συμφορῶν φρυξὶν αἰτία καὶ ἀχαιοῖς. οὐδ' ὡς ἐξ ἐπιστήμης ὁ ἐπιστήμων, ἐκ τῆς ἐλένης ὁ ἔλενος. ἀλλ' οὐδὲ τὸ παρθενικὴ καὶ παρθένος, μὴ διαφέροντα τῷ πράγματι, ταυτοσήμων οὐσῶν τῶν λέξεων. οὐδὲ τὸ ἀρετὴ καὶ σπουδαῖος, μὴ κοινωνοῦντα τῷ ὀνόματι. οὐδ' ὁ τρύφων, μὴ τρυφῶν, παρωνύμως εἴρηται. ἀλλ' οὐδὲ τὸ δρύϊνος, μὴ διαφέρον τῇ ὕλῃ. καὶ ὅλως ὅσα οὐκ ἐμπεριέχει τὰ ἀφ' ὧν παρῆκται, ἢ παρωνόμασται, οἰκειότητα δέ τινα πρὸς αὐτὰ σῴζει, ὡς τὸ ἐπουνίος, πάτμιος. ἢ ἐμπεριέχει μὲν, οὐ διαφέρει δὲ, οὐκ εἰσὶν, ὅτι μὴ, κατὰ γραμματικοὺς παρώνυμα. οἷά ἐστι καὶ τὰ ἀφ' ἑνός. οὐδὲ γὰρ, ὡς τῷ γραμματικῷ καὶ τῷ ἰατρῷ, οὕτω τοι καὶ τῷ ἰατρικῷ ἐργαλείῳ, ἢ γραμματικῷ βιβλίῳ ἐμπεριέχεται ἡ γραμματικὴ, ἢ ἡ ἰατρικὴ ἕξις. ἐπεὶ τὸ μὲν, ἔγραφεν ἂν καὶ ἀνεγίνωσκε, τὸ δὲ, ἰάτρευεν ἀφ' ἑαυτοῦ. παρὰ μὲν οὖν τοῖς φίφοις παρώνυμα ἀκούει, τὰ ἀφ' ἧς μετέσχε ποιότητος, παρωνομασμένα πράγματα, ὡς παρὰ τῆς γραμματικῆς ὁ γραμματικὸς, παρὰ τῆς λευκότητος ὁ λευκὸς, καὶ τὰ τοιαῦτα, παρὰ δὲ τοῖς γραμματικοῖς, ὀνομάτων παραγωγὴν, οὐ πραγμάτων ποιουμένοις παρονομασίαν, πᾶν ἁπλῶς τὸ ἀπὸ ὀνόματος παρηγμένον ὄνομα. ὡς παρὰ τὸ σῶφρον τὸ σωφροσύνη, παρὰ τὸ δίκαιος τὸ δικαιοσύνη. καὶ ἀπὸ τῶν εἰς ὃς, τὰ εἰς ὅτης. ὡς παρὰ τὸ ὅσιος τὸ ὁσιότης, τοὐναντίον τοῖς φίφοις. καθ' ὅ, τι οἱ γραμματικοὶ τῶν συζύγων λέξεων, τὰς μὲν ἐν ἐλάττονι ὕλῃ καταγινομένας, πρωτοτύπους ἀποκαλεῖν εἰώθασι, παραγώγους δὲ, τὰς ἐν πλείονι κατὰ Ἀπολλώνιον. μέλει δ' οὖν ὅμως αὐτοῖς, ὅπῃ παρῇ, καὶ τῆς τῶν πραγμάτων παρονομασίας. τὸ γὰρ τεχνικὸς, γραμματικὸς, μουσικὸς, καὶ τὰ τοιαῦτα, οὐδὲν ἧττον καὶ παρ' αὐτοῖς παρωνυμεῖται. Καὶ τοσαῦτα

ταῦτα μὲν περὶ τῶν ἰδίᾳ παρωνύμων, τὰ δὲ ῥηματικὰ τῷ μὲν τύπῳ, τοῦτ' ἔστι σχήματί εἰσιν ἀπόλυτα καὶ αὐτὰ κατὰ τὰ ἰδίᾳ παρώνυμα, τῷ δὲ σημαινομένῳ ἔστιν ἃ τούτων πρὸς ἕτερόν εἰσι λεγόμενα, ὅσα συγκεκραμένα. οἷον, κοπεὺς τούτου, γραφεὺς βιβλίου, καὶ τὰ τοιαῦτα. Ἀνῆκται ἡμῖν ἐν τοῖς φθάσασι τὰ κατὰ φωνὴν ἐν τοῖς κατὰ σημασίαν, οὐδὲν δὲ οἷον καὶ τὰ κατὰ σημασίαν θεωρηθέντα, θεωρῆσαι καὶ κατὰ φωνήν. τῶν οὖν Κυρίων τὸ μὲν σωκράτης, πρωτότυπον, τὸ δὲ φίλων καὶ τὸ πριαμίδης, τοῦ παραγώγου, τὸ μὲν, τοῦ ῥηματικοῦ, τὸ δὲ, τοῦ παρωνύμου ἁπλῶς. τὸ γὰρ τοῦ παρωνυμικοῦ λέγειν, οὐ τῆς φωνῆς. τὸ δὲ συγκεῖσθαι τὸ σωκράτης παρὰ τὸ σῷον καὶ τὸ κρατεῖν, οὐδὲν τοῦτο πρὸς τὸ προκείμενον. σχήματος γὰρ τοῦτο, οὐ τοῦ εἴδους. τὸ μὲν γὰρ, ἐτυμολογικῶς πᾶσαν ἀνατέμνει, εἴτ' οὖν ἀναπτύσσει τὴν λέξιν, ἀρχὴν ὁμοῦ καὶ τέλος αὐτῆς καὶ μέσην διερευνῶν, ἡ δέ, τῇ λήξει μόνον τῆς λέξεως ἐπικάθηται, ἡ παραγωγὴ, ἢ καὶ τῷ παραλήγοντι. εἶπε δ' ἄν τις ῥηματικὴν εἶναι τὴν φωνὴν, ὡς παρὰ τὸ κρατεῖν. καὶ τί γὰρ μὴ μᾶλλον παρώνυμον, ὡς παρὰ τὸ σῷον; ἀλλὰ ταῦτα μὲν διὰ τοὺς πολλοὺς συγχέοντας σύνθεσιν καὶ παραγωγὴν, τὸ δὲ σωκράτης, ἢ καὶ τὸ ἰσοκράτης μήτε παρώνυμον ἁπλῶς ὂν, μήτε ῥηματικὸν, οὔτε παράγωγον ἄρα. τῶν δὲ προσηγορικῶν τὸ μὲν ἄνος καὶ ἵππος, πρωτότυπα δὴ καὶ αὐτά. παρὰ γὰρ ταῦτα τὸ ἱππότης καὶ ἀνίσκος. ῥηματικὸν δὲ, τὸ ζῷον. αὐτὰ δὲ ταῦτα ῥητέον καὶ κατὰ τοῦ ἄνος, ὅσα καὶ κατὰ τοῦ σωκράτης εἴρηται. τῶν δὲ ἐπιθέτων θετικὸν μὲν, τὸ λευκὸς, παρώνυμον δὲ ἁπλῶς, τὸ λευκότερος. τὸ γὰρ παραθετικὸν αὐτὸ λέγειν, οὐ τῆς φωνῆς. καὶ τὰ ἑξῆς δὲ κατὰ σημασίαν εἴδη οὕτω πως θεωρητέον κατὰ φωνήν. ἐν οἷς ἰστέον ὡς τοῦ ἐτυμολογικοῦ μὲν, τὸ κατὰ φωνὴν, τοῦ συντακτικοῦ δὲ, τὸ κατὰ σημασίαν θεωρεῖν τὰ τοῦ Λόγου μέρη.

Ἔτι περὶ τῆς τῶν Ὀνομάτων συντάξεως συνοπτικώτερον.

Συνοπτικὴν ἐπανάληψιν ποιεῖται τῆς τῶν κατά τε φωνὴν καὶ σημασίαν Ὀνομάτων μέχρι τοῦδε διειλημμένης συντάξεως.

Εἴη δ' ἂν καὶ εἰς τρία διελόντι τὸ Ὄνομα;

Τὴν κατὰ σημασίαν διαίρεσιν.

Κύριον, Προσηγορικὸν, καὶ Ἐπίθετον, περὶ τῆς κατ' αὐτὸ συντάξεως θεωρεῖν. πάντα γὰρ τ' ἄλλα

Τὰ ἐν ἀρχῇ τοῦ ὀνόματος μετὰ τὸ Κύριον, Προσηγορικὸν καὶ ἐπίθετον τούτοις συμπαρειλημμένα, Ὁμώνυμά φημι, Συνώνυμα, καὶ τὰ καθ' ἑξῆς. οὐ μὴν ἀλλὰ καὶ τὰ κατὰ φωνήν.

Συντάσσοι τ' ἂν ἐπιθετικῶς

Καὶ γὰρ καὶ αὐτὰ τὰ παρωνυμικὰ οὐδὲν ἧττον ἐπιθετικῶς τοῖς ὑποτιθεμένοις κυρίοις συντάσσεται. οἷον, ἀτρείδης μενέλαος. πριαμίδης ἕκτωρ. εἰ δὲ τὰ ὑποκοριστικὰ, καὶ τῶν παρωνύμων ἔστιν ἃ οὐκ ἐπιθετικὴν ἔχει τὴν σύνταξιν, ἀλλὰ τὴν αὐτὴν τοῖς κυρίοις καὶ προσηγορικοῖς πρὸς τὰ ἐπίθετα, δῆλον ὡς οὐδ' ἐνταῦθα καθόλου τὰ τοῦ προσδιορισμοῦ, οὐ κατὰ τὸ καθόλου, κατὰ δὲ τὸ ὡς ἐπὶ τοπολὺ εἰλημμένου, ὡς κἀντοῖς ἄρθροις τε καὶ ταῖς προθέσεσι. πάντά γε μὴν τὰ κατὰ φωνὴν εἰς τὰ κατὰ σημασίαν ἀναγόμενα, τὰ μὲν αὐτῶν, ἐστὶ κύρια, τὰ δὲ, προσηγορικὰ, τὰ δὲ, ἐπίθετα. καὶ οὐθὲν αὐτῶν τὴν τῶν κατὰ σημασίαν διαίρεσιν διαφυγεῖν ἔχει.

Τοῖς ὡς κυρίοις, ἢ προσηγορικοῖς ὑποτιθεμένοις.

Τὸ ὡς

Τὸ ὡς, οὐκ ἀργῶς κεῖται. καθ' ὅ, τι πάντα τὰ ὑποτιθέμενα ἤτοι κύριά εἰσιν, ἢ προσηγορικά. εἴγε καὶ αὐτὰ τὰ ἐπίθετα ἔστιν οὗ, ἢ καὶ πολλαχοῦ ὑποτίθεται μετάτινος προσδιορισμοῦ. οὗτινος καθόλου μὲν ὄντος, προσηγορικῶν χώραν ἔχει τὰ ὑποτιθέμενα ἐπίθετα, οὐχὶ ᾗ δευτέρας καὶ καθόλου οὐσίας σημαντικὰ, ἀλλ' ᾗ πολλῶν μόνον κατηγορεῖται τῇ δυνάμει τοῦ καθόλου προσδιορισμοῦ, τοῦ πᾶς λέγω, οἷς ὁ τοῦ προσηγορικοῦ λόγος προσήκων ἐστίν. οἷον, πᾶς φίφός ἐστι ζῷον λογικόν. μερικοῦ δὲ, κυρίων. οἷον, τὶς φίφός ἐστι σταγειρήτης, ἢ μαθητὴς τοῦ πλάτωνος. οὐχὶ κἂν ταῦθα ᾗ ά, καὶ κατὰ μέρος οὐσίας τυγχάνει σημαντικὸν, ἀλλ' ᾗ τῇ δυνάμει τοῦ μερικοῦ προσδιορισμοῦ ἑνός τινος σημασίαν ἀποκεκλήρωται τῶν ὑπὸ τῷ προσηγορικῷ πολλῶν, καὶ ταύτην ἀόριστον.

Καὶ κοινὸν μὲν ἂν εἴη τὸ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως συμφέρεσθαι τοῖς κυρίοις καὶ προσηγορικοῖς, ἴδιον δὲ τῶν μὴ ἀπολύτως, ἀλλὰ πρὸς ἕτερον λεγομένων τὸ ἢ εἰς γενικὴν, ἢ εἰς δοτικὴν, ἢ εἰς αἰτιατικὴν, ἢ εἰς ἀπαρέμφατον.

Τῶν ἐπιθετικῶς συντασσομένων τὰ μὲν, εἰσὶ καθ' ἑαυτὰ, εἴτ' οὖν οὐσιῴδη καὶ ἀπόλυτα, τὰ δὲ, οὐκαθ' αὑτὰ, ἀλλὰ πρός τι. ὅ ἐστι τὰ μὲν, καθ' ὑποκειμένου μόνον λέγεται, τὰ δὲ, καὶ πρὸς ἕτερον ἀναφέρεται. κοινὸν μὲν οὖν ἑκατέρων τὸ ἐν τῇ τῶν παρεπομένων ταὐτότητι τῶν ὑποκειμένων κατηγορεῖσθαι, τὸ δὲ ἐν διαβάσει τοῦ προσώπου εἰς μίαν τινὰ τῶν δ', πλαγίων φέρεσθαι, ἴδιον τοῦτο τῶν καὶ πρὸς ἕτερον λεγομένων. τὰ γὰρ μὴ καὶ πρὸς ἕτερον λεγόμενα, οὐδὲ πρός τινα φέρεται πτῶσιν, ὅτι μὴ, συνεκδοχικῶς.

Τετραχῶς οὖν. ὧδε δέ.

Τβ.

Ἡ μὲν τριμερὴς τοῦ Ὀνόματος σύνταξις, εἴληπται ἀπὸ τοῦ σημαινομένου, ἡ δὲ τετραμερὴς, ἀπὸ τῆς συντάξεως.

Τὰ μὲν συγκριτικὰ καὶ ὑπερθετικὰ πάντα εἰς γενικὴν, διαφέρει δὲ τῷ ὁμοιογενεῖτε καὶ ἑτερογενεῖ, καὶ τῷ ἀριθμῷ, ὡς εἴρηται, καὶ ᾗ δὴ τὸ μὲν ὑπερθετικὸν, καὶ χωρὶς γενικῆς, τὸ δὲ συγκριτικὸν, οὔ. Ἔτι τε τὰ Διαφορικὰ εἰς γεννικήν. οἷον, τὸ ἕτερον καὶ διάφορον καὶ ἄλλο. Καὶ τῶν Πρός τι τὰ καθ' ὑπεροχὴν καὶ ὑποταγήν. Καὶ τὰ Στερητικά. πένης, ὀρφανὸς, ἐνδεής. καὶ τὰ Πληρωματικά. πλούσιος, εὔπορος, πλήρης. καὶ τὰ Ὡς κτητικὰ θεωρούμενα ὅλως.

Ὡς κτητικὰ, τινὲς μὲν ὑπέλαβον τὰ σύστοιχα τῶν ὡς κτητικῶν ῥημάτων τῶν καὶ ἀρχικῶν. οἷον, τὰ ἀρχηγὸς, στρατηγὸς, ἡγεμὼν, κύριος, δεσπότης, βασιλεὺς, τύρανος, καὶ ὅσα τοιαῦτα, γενικὴν καὶ αὐτὰ ἀπαιτοῦντα κατὰ τὰ σύζυγα ῥήματα. Ἀλλὰ γὰρ ταῦτα τῶν πρός τί εἰσιν, ἀντιδιαιρούμενα τοῖς ὡς κτητικοῖς. ἕτεροι δὲ, τῶν ἐξ ἴσου πρός τι τὰ πρὸς γενικὴν συντασσόμενα. οὐθὲν δὲ καὶ οὗτοι λέγουσιν. ἐπιφέρει γὰρ, τὰ δὲ ἐξ ἴσου πρός τι, πρὸς δοτικήν. ἡ δὲ πρὸς γενικὴν αὐτῶν σύνταξις, οὐ πρὸς αὐτῶν, κτητικοῦ δ' ἂν εἴη, ὡς εἴρηται. ἔστι δὲ ἡ μὲν κτητικὴ σύνταξις ἀπόλυτος, ὡς δειχθήσεται, ὧδε δὲ οὐ περὶ τῶν ἀπολύτων, περὶ δὲ τῶν πρὸς ἕτερον λεγομένων ὁ λόγος. εἶεν δ' ἂν ὡς κτητικὰ, τὰ πτωτικὰ ῥήματα, λέγω δὴ τὰ ἀπὸ ῥήματος παρηγμένα ὀνόματα, εἴτ' οὖν ἐσχηματισμένα, ταῦτα δὴ τὰ ῥηματικὰ λεγόμενα, καὶ τούτων δὲ τὰ ἐν ὑποκειμένῳ, ὡς ἐν τῷ περὶ μετοχὴς εἰρήσεται. οἷον, κόπτω τοῦτον, κοπεὺς τούτου.

ἀνατρέ-

ἀναστρέπω τὴν οἰκίαν, ἀναστροπεὺς, ἢ ἀνατρεπτικὸς τῆς οἰκίας. ἄγω, ἢ ἄξω τοῦτο, ἄξιος τούτου. εἴρηται δὲ κτητικὰ μὲν, ὡς ὑποπεπτωκότα καὶ αὐτὰ κτήσει, φερόμενα ἐπὶ γενικὴν κτηματολογοῦσαν, αὐτὰ κτητορολογοῦντα. δι' ὃν δὴ λόγον καὶ ῥήματα κτητικὰ ῥηθήσεται, τὰ ἐπὶ γενικὴν κτηματολογοῦσαν φερόμενα. ὡς κτητικὰ δὲ, πρὸς ἀντιδιαστολὴν τῶν κτητικῶν ὀνομάτων, ὡς μὴ κατ' ἐκεῖνα ἀπὸ ὀνόματος, ἀλλ' ἀπὸ ῥήματος παρηγμένα, καὶ ὡς τὴν τῆς κτήσεως ἐμφαντικὴν γενικὴν οὐκ ἐγκειμένην κατ' ἐκεῖνα, ἀλλ' ἐκκειμένην ἔχοντα. Ἀλλ' ἀπορ: τοῦ γραφεὺς γραμμάτων, καὶ κοπεὺς τούτου, καὶ ἀναστροπεὺς οἰκίας τὸ πλῆρές ἐστι, γραφεὺς γραφομένων, κοπεὺς κοπτομένων, ἀναστροπεὺς ἀναστρεπομένου. τῶν πρός τι ἄρα εἰσὶ καὶ αὐτὰ, ὡς πρὸς ἕτερον θεωρούμενα. τί οὖν δὴ ἴδιον συνεστήσαντο τόπον, δυνάμενα δὴ συμπαραληφθῆναι καὶ αὐτὰ τῶν πρός τι τοῖς καθ' ὑπεροχὴν καὶ ὑποταγήν; εἴγε τῶν πτωτικῶν τοῦ γραφεὺς γραμμάτων, τὸ μὲν, ἐστὶ καθ' ὑπεροχὴν, τὸ δὲ, καθ' ὑποταγήν. Ἢ ὅτι τῶν μὲν ἄλλων πρός τι πρὸς τὰ πρὸς ἃ ἡ σχέσις ἦν ἀδιάθετος, ἡ δὲ τῶν ὡς κτητικῶν ἐστιν ἐν διαθέσει. κατὰ γὰρ τὰ σύστοιχα αὐτῶν ῥήματα ἐνέργειαν καὶ αὐτὰ σημαίνοντα, προσδιατιθέασι τὰ πρὸς ἃ ἡ σχέσις, φημὶ δὴ τὰ καθ' ὑποταγήν. ἔνθεντοι καὶ τῶν μὲν ἀδιαθέτων τάτε καθ' ὑπεροχὴν καὶ ὑποταγὴν τῷ λόγῳ τῆς σχέσεως ἀλλήλων ὄντα αἴτια, πρὸς γενικὴν ἑκάτερα φέρεται, πῆρ γὰρ υἱοῦ, καὶ υἱὸς πρός. κἀπὶ τῶν τύχῃ καὶ τέχνῃ ὁμοίως. οὐ μὴν δὲ καὶ τὰ ἐν διαθέσει ὡσαύτως, ἀλλὰ τῷ λόγῳ τῆς διαθέσεως τὰ μὲν καθ' ὑπεροχὴν, ὡς ἐνεργοῦντα, αἴτια μόνον εἰσὶ, τὰ δὲ καθ' ὑποταγὴν, ὡς πάσχοντα, μόνον αἴτια τά. ἔνθεντοι καὶ οὐκ ἀπὸ τὰ καθ' ὑπεροχὴν πρὸς γενικὴν, ἀλλὰ πρὸς δοτικὴν τὰ καθ' ὑποταγὴν ἀποδίδοται κατὰ μετάληψιν ἀντὶ γενικῆς προθετικῆς αἰτιολογούσης τὸ ποιητικόν. γραφεὺς γάρ φαμεν γραφομένων. γραφόμενα δὲ, οὐκ ἔτι γραφέως, γραφεῖ δέ. καὶ λυτὴρ μὲν λελυμένου, λελυμένον δὲ, οὐμένου λυτῆρος, ἀλλὰ λυτῆρι. Τί δαὶ; ἆρ' οὐχὶ γραφεὺς γραμμάτων λέγοντες, καὶ γράμματα γραφέως φαμέν. κοπεύς τε ξύλων, καὶ ξύλα κοπέως, ἑκάτερα πρὸς γενικὴν ἀποδιδόντες; Ἢ κτητικοῦ ἂν εἴη τοῦτό γε. δι' ὃ δὴ καὶ οὐμᾶλλον γραφέως, ἢ κναφέως ἂν εἴη τὰ γράμματα. πολλῶν γὰρ καὶ ἄλλων εἰσὶ γράμματα, οἳ οὐκ εἰσὶ γραφεῖς. πολλοί τε γραφεῖς, ὧν οὐκ εἰσὶ γράμματα. καὶ κοπεὺς μὲν ξύλλων φαμὲν, εἰ καὶ μὴ προσφυῶς πρὸς ὃ λέγεται, ἡ τοῦ κοπέως ἀπόδοσις γέγονε, ξύλα δὲ κοπέως οὐκ ἔτι. καθ' ὅ, τι πολλὰ κατίδομεν ἐπὶ τῶν ὀρέων ξύλα, ὧν οὐκ εἰσὶ κοπεῖς.

ἐν δὲ τοῖς τοιούτοις οὐ τὰς γενικὰς, τὰ δὲ ἀπὸ ῥήματος παρηγμένα ὀνόματα ῥητέον ὡς κτητικὰ, τὰς δὲ γενικὰς, συντακτικὰς τῶν ὡς κτητικῶν ὀνομάτων. ὡς κἀπὶ τοῦ ἄρχω σου, τὸ ἐκ τῆς εὐθείας, οὐ τὸ ἐκ τῆς γενικῆς εἴρηται ὡς κτητικόν. τῶν δὲ ῥηματικῶν τὰ ἀφῃρημένως νοούμενα καὶ μὴ ἐν ὑποκειμένῳ, οὐ δ' ἐπὶ γενικὴν φέρεται, ὅτι μὴ κτητικῶς. οἷον, λύσις λελυμένου, τύψις τετυμμένου, καὶ ὅλως τὰ ἀπὸ τοῦ κατὰ τὸ β', πρόσωπον παθητικοῦ παρακειμ: ἐσχηματισμένα.

Τὰ δὲ ἐξ ἴσου τῶν Πρός τι, εἰς δοτικὴν. φίλος, γείτων, ἴσος, ὅμοιος.

Εἰς δοτικὴν ἔτι καὶ τῶν ὡς κτητικῶν τὰ ἀντισχετικὰ, ὡς ἐν τῷ περὶ μετοχῆς εἰρήσεται. οἷον, τὸ γραπτὸν γραφεῖ ἐστι γραπτὸν, καὶ τὰ τοιαῦτα. ὥστε τοποθετέον δὴ καὶ περὶ τούτων. δῆλον γὰρ, ὡς οὐκ εἰσὶ τῶν ἐξ ἴσου πρός τι, ἀλλὰ τῶν καθ' ὑποταγήν.

Εἰς αἰτιατικὴν δὲ καὶ ἀπαρέμφατον τάτε κυρίως Ἐπίθετα,

Οἷα

Οἷα τὰ τριγενῆ πάντα, ὡς ἐν τῷ β', εἴρηται. πρὸς τὰ διγενῆ δὲ ἡ ἀντιδιαστολή. ὅθεν καὶ τὰ παραθετικὰ, πρὸς δὲ καὶ τὰ ἐξ ἴσου τῶν πρός τι πρὸς τῇ ἰδίᾳ πτώσει συντάσσεται ἔτι καὶ αἰτιατικῇ. τὸν γὰρ σοφὸν τὰ μηχανικὰ, καὶ λευκὸν τὴν τρίχα, οἷόν τε γενέσθαι ἑτέρου λευκότερον μὲν τὴν τρίχα, σοφώτερον δὲ, ἢ πάντων σοφώτατον τὰ μηχανικά. καὶ, ὅμοιος ὁ πέτρος τῷ παύλῳ τὴν σοφίαν, ἢ τὴν χροιὰν, ἢ ἴσος τὸ μέγεθος. ἔφθη καὶ γὰρ εἰρηκὼς τὸ ἐπίθετον καὶ πλαγίως συντάσσεσθαι ὀνομάτων ἑτέρων αἰτιατικῇ. ἡ δὴ τοῦ ἐπιθέτου μὲν οὖ, καθ' αὑτὸ, προθετικῆς δὲ συντάξεως ἔχεται, ὡς εἰδοποιοῦσά τε καὶ ὁρίζουσα τὸ ἀόριστον ἤτοι τοῦ μέρους, ἢ τῆς κατηγορουμένης ποιότητος καὶ ποσότητος, καὶ συνυπακουομένην ἔχουσα τὴν κατὰ, καθὰ δὴ καὶ τὸ ἀπαρέμφατον. ὅθεν δὴ καὶ τοῦ προθετικοῦ μορίου εἰσποιουμένου τὴν αἰτιατικὴν, τὰ πρὸς αὐτὴν δοκοῦντα φέρεσθαι ἐπίθετα, καθ' ἑαυτὰ πάλιν μένει καὶ ἀπολελυμένα τῆς αἰτιατικῆς.

Καὶ τὰ Ἀναφορικά. οἷον, καλὸς τὸ εἶδος, καὶ, καλὸς ἰδεῖν, καὶ, οἷος εἰπεῖν καὶ ἀκοῦσαι.

Διαφερέτω δὲ μηθὲν ὄνομα λαβεῖν, ἢ ἀπαρέμφατον. εἴ γε καὶ τὸ ἀπαρέμφατον ὄνομά ἐστι ῥήματος. προθετικὸν δὲ καὶ αὐτὸ ἐνταῦθα κατὰ τὸ ὄνομα. ἰλ: α', οὐ ἔθεν ἐστὶ χερείων οὐδέμας, οὐδὲ φυὴν, οὔτ' ἄρ' φρένας, οὔτέ τι ἔργα. Λουκιαν: ἐν τῷ ἀλέξ. τὸ γὰρ δὴ σῶμα μέγας τε ἦν καὶ καλὸς ἰδεῖν. Ἀλλ' Ἀπορ'. τῶν Ἀναφορικῶν πρὸς τὰ κυρίως Ἐπίθετα ἡ διαφορὰ, ὡς εἴδους ἐστὶ πρὸς γένος. ἐν γοῦν τοῖς κυρίως ἐπιθέτοις τὰ ἀναφορικὰ συνεννοούμενα, παρέλκει προσκείμενα. εἴ γε τὸ κατὰ τοῦ κατηγορουμένου εἴτ' οὖν τοῦ γένους λεγόμενον, καὶ κατὰ τοῦ ὑποκειμένου εἴτ' οὖν τοῦ εἴδους πάντως. Ἢ ὅτι οὐ κατὰ τὰ ἀναφορικὰ, καὶ πᾶν τριγενὲς, πρὸς αἰτιατικὴν φέρεται. τῶν τε γὰρ κατὰ σημασίαν τὰ κτητικῶς ἐπιμεριζόμενα, καὶ τῶν περιληπτικῶν τὸ πᾶς καὶ οὐδεὶς, καὶ τῶν κατὰ φωνὴν τὰ κτητικὰ, ἀπολύτως τῶν ὑποκειμένων κατηγορεῖται. διὰ τοῦτο τοῖς κυρίως ἐπιθέτοις μὴ πᾶσι πρὸς αἰτιατικὴν φερομένοις, καὶ τὰ πάντως πρὸς αἰτιατικὴν πεφυκότα φέρεσθαι ἀναφορικὰ συμπαρείληπται. βούλεται οὖν λέγειν, ὅτι πρὸς αἰτιατικὴν καὶ ἀπαρέμφατον φέρεται τῶν κυρίως ἐπιθέτων ἄλλα τε καὶ μάλιστα τὰ ἀναφορικά. φέρεται δὲ τὰ κυρίως ἐπίθετα πρὸς αἰτιατικὴν τῷ λόγῳ οὐχὶ τῶν πρός τι. (κατὰ γὰρ τὸν Ἀριστ'λ. δ', τῶν τοπικῶν, τὸ ἀγαθὸν καὶ καλὸν, καὶ ἁπλῶς τὰ τριγενῆ τῶν θετικῶν ἐπιθέτων, οὐ τῶν πρός τι, ἀλλὰ ποιά.) Ἀλλὰ τῆς συνεκδοχῆς, τῆς τῷ ὅλῳ καὶ τὸ τὴν τοῦ ὅλου κατηγορουμένην ποιότητα, ἢ ποσότητα οἰκειοποιούμενον μέρος συνεκλαλεῖν πεφυκύας. οὐ δὲ γὰρ, ὥσπερ ἡ τῶν πρός τι γενικὴ, ἢ δοτικὴ, οὕτω τοι καὶ τῶν τριγενῶν ἐπιθέτων ἐστὶν ἡ τούτων δοκοῦσα αἰτιατικὴ, ἀλλὰ δι' ἔλλειψιν, οὗ τῆς συντάξεως ἔχεται προθετικοῦ μορίου, τῷ δοκεῖν ἐκείνων εἶναι λέγεται. καθὰ δὴ καὶ τοῦ τῶν συνθέτων εἰδῶν ῥήματος τὸ ἐκ δ', πτωτικὸν, καὶ τῶν προαιρετικῶν τε καὶ οἰκτικῶν ἡ ἐκ γ', αἰτιατικὴ, καὶ τῶν σχετλιαστικῶν τε καὶ θαυμαστικῶν ἐπιρρημάτων ἡ γενική. ὥσπερ ἄρα καὶ τῶν ὀνομάτων τὰ ἐπίθετα τῷ ὄντι ἀσύναρθρα ὄντα, ὡς κατηγορουμένου εἴτ' οὖν ῥήματος λόγον ἔχοντα, τοῦ ἄρθρον μὴ παραδεχομένου, ἀπουσίᾳ γε μὴν τῆς κατ' ἐπίνοιαν τὸ ἄρθρον εἰσποιουμένης τοῦ ὑπαρκτικοῦ μετοχῆς, τῷ δοκεῖν ἐλέγετο σύναρθα. Ἀπολύτως δὲ τῶν ὑποκειμένων κατηγορεῖται τά τε διγενῆ τῶν θετικῶν ἐπιθέτων, καὶ τῶν τριγενῶν τὰ, ὡς εἴρηται, κτητικὰ καὶ τὰ κτητικῶς ἐπιμεριζόμενα, καὶ τῶν περιληπτικῶν τὸ πᾶς. Δοκεῖ δὲ τὰ ἀσύμβατα ἀλλήλοις συνέρχεσθαι, τοῦτ' ἔ-

τὰ ἔτι τὰ ἀντιδιαιρούμενα εἴδη. τῷ μὲν συνεκδοχικῷ ἐπὶ μὲν τοῦ, σοφώτερος τὰ μηχανικὰ ὅδε τοῦδε, τὸ Συγκριτικὸν σωμηνέχθη, ἐπὶ δὲ τοῦ, ὅμοιος ὅδε τῷδε τῶν χροιῶν, τὸ Πρός τι, ἐπὶ δὲ πάλιν τοῦ, διακριτικωτέρα προσώπων ἡ αὐτωνυμία τοῦ ῥήματος, τῷ Ὡς κτητικῷ τὸ Συγκριτικόν. Ἢ ὅτι ἐκ ταὐτὰ σωμηνέχθη τὰ ἑτεροειδῆ. ἔστι μὲν κατὰ τὸν αὐτὸν τῆς φωνῆς χηματισμὸν σωμῆλθε τό, τε συνεκδοχικὸν καὶ τὸ συγκριτικὸν ἐπὶ τοῦ, σοφώτερος ὅδε τοῦδε τὰ μηχανικὰ, ἀλλὰ τὸ μὲν, κατὰ τὸν θετικὸν, τὸ δὲ, κατὰ τὸν παραθετικὸν τύπον, ἔστε κατὰ τὸν αὐτὸν, ἀλλὰ κατ' ἄλλο καὶ ἄλλο πτῶσιν.

Καὶ ὀνοματοθετοῦντες ἐνλέγομέν ἢ παραθετικῶς,

Σωπάσεται τῶν ὀνομάτων τὰ πρὸς ἕτερον λεγόμενα. δῆλον δ' ὅτι τὸ ὀνοματοθετοῦντες, τοῦ Θεοδώρα εἶναι σημαίνει τὴν θέσιν τῶν τοιούτων ὀνομάτων ἐνταῦθα.

Ἢ διαφορικῶς. Ἢ καθ' ὑπεροχὴν καὶ ὑποταγὴν καὶ ἰσότητα τῶν Πρός τι, Ἢ συνεκδοχικῶς.

Καὶ ὡς αὖ εἰποιτις, τὰ πρὸς ἕτερον λεγόμενα, ἤτοι Παραθετικά εἰσιν, ἢ Διαφορικά, ἢ Πρός τι, ἢ Συνεκδοχικά. καὶ τὰ Συγριτικὰ δὲ καὶ πληρωτικά, πρὸς δὲ καὶ τὰ ὡς κτητικὰ τοῖς πρός τι συνεξακοῦται. καθ' ὅ, τι τῶν ἑαυτῶν θέσιν, εἴτ' ἔν σημασίαν ἓν ἀπόλυτον ἔχει. συνεκδοχικῶς δὲ εἴρηται συμπάσεσθαι τῶν πτωτικῶν τὰ τὸ κατά τι σημαίνοντα, ἐχ ὅτι κατ' ἔλλειψιν κεῖται προθέσεως, ἐπεὶ καὶ ἄλλ' ἄττα ἔλλειψιν ἔχει προθέσεως, ἃ μὴν παρὰ τοῦτο καὶ συνεκδοχικῶς λέγεται συμπάσεσθαι, ἀλλ' ὅτι συνεκδέχεται εἴτ' ἔν συμπαραλαμβάνεται καὶ συνεκλαλεῖται καὶ τὸ ὅλον τῷ μέρει. σύνεκδοχικῶς δὲ λέγεται, ἀπὸ μέρους τὸ παντὸς δηλοῦσθαι.

Συνταξις μὲν τοίνυν τῆς Ὀνομάτων τοιαύτη πρὸς ἄλληλα.

Ἡ μὲν, ὅσα ταυτοπροσωπικὴ μόνον, ἡ δὲ, καὶ ἑτεροπροσωπική. ἐπεὶ δὲ ἡ τῶν ὀνομάτων συνταξις καὶ ἐν πτώσεσι θεωρεῖται ταῖς παρεπομέναις, ἀκόλουθον ἂν εἴη καὶ περὶ τούτων θεωρῆσαί τε καὶ ὁρίσασθαι.

Περὶ Πτώσεως.

Πτῶσις δὲ, μεταβολὴ μέν ἐστιν αὖ τις ὀνόματος, ἢ ὀνοματικοῦ τε καὶ τοῦ τέλους.

Κἀντεῦθεν δῆλον, ὡς μετάχηματισμός ἐστιν, ὅσον ἀλλ' ἢ μεταβολὴ φωνῆς καὶ τοῦ τέλους μὲν, τῶν πτωτικῶν, τῶν δὲ ῥημάτων, καὶ τοῦ ἀρχοῦ. ὀνοματικὰ δέ εἰσι τὰ παρὰ τὸ ὄνομα ἁπλῶς πτωτικά, ὡς καὶ τὸ ὄνομα εἰς πτώσεις καὶ αὐτὰ κλινόμενα. οἷα τὰ Ἄρθρα, αἱ Μετοχαὶ, καὶ τῷ Ἀντωνυμιῶν αἱ παράγωγοι. ἅπερ μεταβάλλοντα καὶ τὸ τέλος ἐν τῷ κλίνεσθαι, πτῶσιν πάσχειν λέγεται ἀπὸ τῆς θεάσεως μεταφορικῶς.

Πέντε δ' ἀριθμουμένων Πτώσεων, ἡ πρώτη καὶ ὀρθὴ κατάχρησικωτέρων λέγεται πτῶσις.

Ὁμωνύμως δηλαδὴ, ἀλλ' ἐ κυρίως. τὸ γὰρ κυρίως πρὸς τὸ καταχρησικῶς ἀντιδιαστέλλεται. λέγεται δὲ τὸ μὲν κυρίως, ἐπὶ τῶν κατ' ἀλήθειαν ὄντων, ἃ λέγεται. οἷς καὶ ἐπαληθεύουσιν αἱ προσηγορίαι. τὸ δὲ καταχρησικῶς, ἐπὶ τῶν κατ' ἔλλειψιν μὴ ὄντων, ἃ λέγεται. ταῦτ' ἄρα καὶ τοῖς καταχρησικῶς ἐπονομαζομένοις καὶ ἐπαληθεύουσι τὰ ὀνόματα, ψευδῶς ἀλλ' ἐ κυρίως αὐτοῖς ἐπιφημιζόμενα.

- Τὸ Ὄνομα
  - Κατὰ μὲν Φωνήν
    - Τὸ μὲν, Πρωτότυπον.
    - Τὸ δὲ, Παράγωγον.
      - Τὸ μὲν Παρώνυμον.
        - Πατρωνυμικόν.
        - Κτητικόν.
        - Παραθετικόν.
          - Συγκριτικόν.
          - Ὑπερθετικόν.
        - Ὑποκοριστικόν.
        - Παρώνυμον ἰδίως.
      - Τὸ δὲ, Ῥηματικόν.
  - Κατὰ δὲ Σημασίαν.
    - Τὸ μὲν, Κύριον
    - Τὸ δὲ, Προσηγορικόν.
    - Τὸ δὲ, Ἐπίθετον, ὃ.
      - Τὰ μὲν ἐστι καθ' ἑαυτὰ, εἴτ' οὖν ἀπόλυτα.
      - Τὰ δὲ, πρός τι, εἴτ' οὖν πρὸς ἕτερον θεωρούμενα. ὧν
        - Τὰ μὲν εἰς Γενικὴν,
          - Τὰ Παραθετικά
            - συγκριτικα.
            - ὑπερθετικά.
          - Τὰ Διαφορικά
          - Τῶν πρός τι
            - τὰ καθ' ὑπεροχήν.
            - καὶ ὑποταγήν.
          - Τὰ Στερητικά.
          - Τὰ Πληρωτικά.
          - καὶ τὰ Ὡς κτητικά.
        - Τὰ δὲ, εἰς δοτικὴν, τὰ ἐξ ἴσου ἢ ὁμοίου ἢ τ' αὐτοῦ τῶν πρός τι. καὶ ὅσα ἐκ τοῦ ὁμοῦ, ἢ τῆς σὺν, ἢ τοῦ ἴσου τε καὶ ὁμοίου καὶ τ' αὐτοῦ σύγκειται.
        - Τὰ δὲ, εἰς Αἰτιατικὴν, τὰ κυρίως ἐπίθετα.
          - συνεκδοχικῶς.
        - Τὰ δὲ, εἰς Ἀπαρέμφατον.



ζόμενα. ἐξ ὧν δῆλον τὴν τῶν ὁμωνύμων φωνὴν διχῶς λαμβάνεσθαι, ἐπὶ μὲν τῶν, κυρίως, ἐπὶ δὲ τῶν, καταχρηστικῶς. Τῷ δὲ καθ' ὑπεροχὴν ἀλλ' οὐ κατ' ἔλλειψιν μὴ ὄντι, ἃ λέγεται, Θεῷ ἐπαληθεύουσι πᾶσαι αἱ προσηγορίαι, κατὰ Δυονύσ: τὸν ἀρεοπαγ': κφ': α', περὶ τοῦ τίς ὁ Θεῖος γνόφος. τῇ γὰρ πάντων ὑπερκειμένῃ φησὶν, οὐσίᾳ δέον καὶ πάσας τὰς τῶν ὄντων τιθέναι καὶ καταφάσκειν θέσεις, ὡς πάντων αἰτίᾳ, καὶ πάσας αὐτὰς κυριώτερον ἀποφάσκειν, ὡς ὑπὲρ πάντα ὑπερούσῃ. ὑπερούσιος γὰρ ὢν καὶ ὑπέρθεος καὶ ὑπέρζωος, ὑπεράρχιος, ὑπέρφωτος, ὑπέρκαλλος, Φῶς καὶ Ζωὴ καὶ Κάλλος καὶ Ἀρχὴ καὶ Θεὸς λέγεται, καὶ ὅσα ἄλλα ἐστὶ τῆς νοητῆς Θεωνυμίας, ὑμνεῖται, καὶ ἁπλῶς ἐκ τῶν αἰτιατῶν ὁ αἴτιος ὀνομάζεται, ὡς ἑκάστου τούτων αἴτιος. κραιπαλᾶν δὲ καὶ μεθύειν λεγόμενος, θυμοῦσθαί τε καὶ λυπεῖσθαι καὶ μηνίειν, ἐπαληθεύουσας ἔχει ἑαυτῷ καὶ τὰς τοιαύτας ἐπωνυμίας, οὐ μὴν ὡς καὶ τούτων παραίτιος, ἀλλὰ συμβολικῶς,

Ταὐτὸ γάρ τοι ὀρθὸν εἶναι καὶ πεπτωκὸς ἅμα οὐχ οἷόν τε.

Διαφωνία τις ἦν περὶ τῆς εὐθείας τοῖς παλαιοῖς. οἱ μὲν γὰρ, ἔλεγον τὰς μὲν δ', πλαγίας εἰκότως λέγεσθαι πτώσεις. πεπτώκασι γὰρ ἀπὸ τῆς εὐθείας, ὡς ἀπ' ἐκείνης μεταχηματιζόμεναι, τὴν δὲ εὐθεῖαν κατ' οὐδένα λόγον πτῶσιν ὀνομάζεσθαι. ἀπὸ τίνος γὰρ καὶ πέπτωκε; τὴν γὰρ πτῶσιν ἀπό τινος ἀνωτέρῳ τεταγμένου γίγνεσθαι ἀνάγκη. οἱ δὲ, πεπτωκέναι καὶ ταύτην φασὶν, εἰ καὶ μὴ ἀπὸ τῆς εὐθείας, ἀλλ' ἀπὸ τοῦ ἐν τῇ ψυχῇ νοήματος. ἔχοντες γὰρ ἐν αὐτοῖς τι νόημα, τὸ τοῦ σωκράτους τυχὸν, εἶτα τοῦτο δηλῶσαι βουλόμενοι, τὸ σωκράτης ὄνομα προφέρομεν. ὥσπερ οὖν τὸ ἄνωθεν ἀφεθὲν γραφεῖον, καὶ πρὸς ὀρθὰς παγὲν, πεπτωκέναι τε λέγεται, καὶ τὴν πτῶσιν ὀρθὴν ἐσχηκέναι, οὕτω τοι καὶ τὴν εὐθεῖαν πεπτωκέναι μὲν ἀξιοῦσιν ἀπὸ τῆς ἐννοίας, ὀρθὴν δὲ εἶναι διὰ τὸ ἀρχέτυπον τῆς κατὰ τὴν ἐκφώνησιν προφορᾶς. ἀκόλουθον δ' ἂν εἴη κατ' αὐτοὺς καὶ τὰ Ῥήματα πτώσεις ἔχειν, καὶ τὰ Ἐπιῤῥήματα, τὰ μηδὲ κλίνεσθαι πεφυκότα. ὅπερ ἐναργῶς ἄτοπον. ὅγε μὴν Θεόδωρος τὴν τοιαύτην ἀτοπίαν διὰ τοῦ κοινοῦ τῆς ἀντιφάσεως ἀξιώματος ἀποπεμπόμενος, τὸ αὐτό φησιν ὀρθὸν εἶναι καὶ πεπτωκὸς ἅμα οὐχ οἷόν τε. συναληθεύουσι γὰρ ἂν, εἴπερ, τὸ κατὰ τοῦ αὐτοῦ τὸ αὐτὸ φάναι καὶ ἀποφάναι. ὅπερ ἀδύνατον. καὶ ἀπὸ τοῦ κατὰ τὰς πτώσεις δὲ ὁρισμοῦ δείκνυται μὴ οὖσα πτῶσις ἡ εὐθεῖα, ὡς μὴ μεταβάλλουσα κατὰ τὸ τέλος.

Ὀνομάζεται δὲ ἡ αὐτὴ καὶ εὐθεῖα καὶ ὀνομαστική.

Εὐθεῖα μὲν, πρὸς τὰς πλαγίας, ὀνομαστικὴ δὲ, ὅτι δι' αὐτῆς πρώτως ὀνομάζεται τὰ πράγματα. ὀρθὴ δὲ, πρὸς τὰς πεπτωκυίας, μεταφορικῶς ἑκάτερα. τὸ δὲ ὀρθὸν καὶ εὐθὲς, ὥσπερ ἐκ τοῦ ἐναντίου τὸ πεπτωκὸς καὶ πλάγιον, ταὐτοδύναμα κατὰ πολυωνυμίαν εἰλήφθω, ἄλλως μὴ ὄντα ταυτοδύναμα. οὐ γὰρ, εἴτι ὀρθὸν, τοῦτο ἤδη καὶ εὐθές. δύναται γὰρ καὶ καμπύλον εἶναι. ὡς ἡ πρὸς ὀρθὰς ἐφεστῶσα καμπυλόγραμμος. ὥσπερ οὐδὲ, εἴτι εὐθὲς, τοῦτο ἤδη καὶ ὀρθὸν, ἤτοι κατὰ κάθετον. δύναται γὰρ καὶ πλάγιον, ἢ πεπτωκὸς εἶναι, ὡς αἱ τῶν ἀμβλυγωνίων καὶ ὀξυγωνίων εὐθεῖαι γραμμαί.

Ἁρμόζει τε τῷ ὀρθῷ καὶ ἀποφαντικῷ Λόγῳ.

Ἀποφαντικὸς λόγος ἐστὶν, ἀπόφανσίς τινος πράγματος, ἤτοι κατά τινος ἢ ἀπό τινος ὑποκει-

ὑποκειμένου. μέρη δὲ αὐτοῦ ὄνομα καὶ ῥῆμα, εἴτ' οὖν ὑποκείμενον καὶ κατηγορούμενον. ἐξ ὧν ἡ πρότασις, λόγος οὖσα ἀποφαντικὸς, ὡς εἴρηται, τινὸς ἤτοι κατά τινος, ἢ ἀπό τινος. εἴς γε μὴν ἐντελῆ κατανόησιν τοῦ ἀποφαντικοῦ λόγου, παραθετέον ἐνταῦθα τῶν ψυχικῶν δυνάμεων τὴν διαίρεσιν, κἀν τοῖς ἑξῆς τὰ μέγιστα συνοίσουσαν. Τῶν τοίνυν ψυχικῶν δυνάμεων αἱ μέν εἰσι γνωστικαὶ, καθ' ἃς (ἤτοι δι' ὧν) ἕκαστον τῶν ὄντων γινώσκομεν. αἱ δὲ, ζωτικαὶ καὶ ὀρεκτικαὶ, καθ' ἃς ἤτοι τῶν ὄντων ἀγαθῶν, ἢ τῶν δοκούντων ἐφιέμεθα. αὗται δὲ ὡς δι' ἑρμηνέως τοῦ λόγου ἐξαγγέλλονται. ὁ τοίνυν λόγος προέρχεται ἤτοι ἐκ τῶν ὀρεκτικῶν δυνάμεων τῆς ψυχῆς, οὐκ αὐτῆς καθ' ἑαυτὴν ἐνεργούσης, πρὸς δὲ ἕτερον ἀποτεινομένης τὸν συμβάλλεσθαι οἷ δοκοῦντα πρὸς τὸ τυχεῖν τῆς ἐφέσεως. καὶ ἤτοι λόγον παρ' αὐτοῦ ζητούσης, καὶ ποιεῖ τὸν πυσματικόν. ἢ πρᾶγμα, καὶ ἢ αὐτοῦ ἐκείνου ἐφιεμένης τυχεῖν, πρὸς ὃν ὁ λόγος, καὶ ποιεῖ τὸν κλητικὸν, ἤτινος παρ' αὐτοῦ πράξεως, καὶ ταύτης, ἤτοι ὡς παρὰ κρείττονος, καὶ ποιεῖ τὸν εὐκτικὸν, ἢ ὡς παρὰ χείρονος, καὶ ποιεῖ τὴν κυρίως πρόσταξιν. ἢ προέρχεται ὁ λόγος ἀπὸ τῶν γνωστικῶν δυνάμεων, αὐτῆς καθ' ἑαυτὴν ἐνεργούσης τῆς ψυχῆς. καὶ τότε ποιεῖ τὸν ἀποφαντικὸν, ἐξαγγελτικὸν ὄντα τῆς ἀληθῶς, ἢ φαινομένως γενομένης τῶν πραγμάτων γνώσεως ἐν ἡμῖν. δι' ὃ καὶ μόνον τῶν ἄλλων τοῦ λόγου εἰδῶν ἀληθείας, ἢ ψεύδους ἐστὶ δεκτικόν. ὃ δὴ καὶ ἑρμηνεία τῷ φίφῳ κέκληται, ὡς ἑρμηνεῦον εἴτ' οὖν ἐξαγγέλλον τὴν τῆς ψυχῆς γνῶσιν. κἀντεῦθεν ἀνακύπτουσι πέντε τὰ τοῦ Λόγου εἴδη. α', μὲν, τὸ Κλητικὸν, ὡς τὸ, ἄνδρες ἀδελφοὶ καὶ συμπένητες. τὸ δὲ ἄνδρες μόνον, οὐ λόγος κλητικὸς, ἀλλὰ κλῆσις, ὡς μὴ ἐκ πολλῶν, τυχὸν, ἐκ δὲ μιᾶς λέξεως συνεστηκυῖα. τὸ τοῦ λόγου δὲ κλητικὸν οἱ Στωϊκοὶ καλοῦσι προσαγορευτικόν. β', δὲ, τὸ προστακτικὸν, ὡς τὸ, ἔκκλινον ἀπὸ κακοῦ, καὶ ποίησον ἀγαθόν. γ', τὸ Πυσματικὸν, εἴτ' οὖν τὸ ἐρωτηματικὸν, ὡς τὸ, τίς ἡ πρίσσου; τίσου τὸ ἐπιτήδευμα; ἆρα γράφεις; (τί δὲ διαφέρει ἐρώτημα πύσματος, εἴρηται.) δ', τὸ Εὐκτικόν. ὅπερ οἱ ἀπὸ τῆς Στοᾶς ἀρατικὸν λέγουσιν, ὡς τῆς ἀρᾶς καὶ τὴν εὐχὴν δηλούσης παρὰ τὸ αἴρειν τὰς χεῖρας. ὡς τὸ, γένοιτο Κε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς. ε', τὸ Ἀποφαντικὸν, τὸ παρὰ τοῖς Στωϊκοῖς ἀξίωμα. ὅπερ ἐκ τοῦ ἀποφαίνεσθαι λέγεται. κατ' αὐτὸ γὰρ περὶ οὑτινοσοῦν τῶν πραγμάτων ἀποφαινόμεθα. οἷον, ὁ Θεός ἐστιν ἀγαθός. ὁ ἀν' ὃς οὐκ ἔστιν ἀθάνατος. ἰδίως μὲν οὖν ἀποφαντικὸς λόγος, ὁ τῶν γνωστικῶν δυνάμεων τῆς Ψυχῆς, ὡς εἴρηται, ἐξαγγελτικὸς, ὁ καὶ ὁριστικὸς, ἐνταῦθα δὲ κοινῇ κἀπὶ τῶν λοιπῶν τοῦ λόγου εἰδῶν τὸ ἀποφαίνεσθαι εἴληπται. εἴ γε πᾶσι καὶ αὐτῷ δὴ τῷ κλητικῷ ἁρμόζει ἡ ὀρθή. ἀφ' ἧς καὶ οὗτοι παρωνομάσθησαν ὀρθοὶ, εἰς διαστολὴν τοῦτε πλαγίου λόγου καὶ τῶν ἀπαρεμφάτων καὶ τῶν ἀπροσώπων ῥημάτων. ὧν οὔτε ὀρθὸς οὔτε ἀποφαντικός ἐστιν ὁ λόγος.

Γενική.

Τῶν δὲ τεσσάρων πλαγίων ἡ μὲν Γενικὴ γενεαλογίαις καὶ κτηματολογίαις συντέτακται. παῖδα γὰρ σωκράτους εἶναί φαμεν, καὶ, οἶκον ἀριστοτέλους. ὅθεν εἴ τις καὶ κτητικὴν ταύτην καλεῖ, οὐκ ἂν ἁμαρτάνοι.

Κτητικὴν μὲν ἁπλῶς, ὡς κτηματολογοῦσαν ἐν γένει, εἰ δικῶς δὲ καὶ πῇ, γενεαλογοῦσαν μὲν, γενικὴν, καὶ ταύτην ἤτοι πρικὴν, ἢ μητρικὴν, εἰ τῶν καθ' ὑπεροχὴν ἐστιν, υἱικὴν δ' αὖ ἢ θυγατρικὴν, εἰ τῶν καθ' ὑποταγὴν τυγχάνει. τεχνολογοῦσαν δὲ, (ἀκόλουθον

λυθον καὶ γὰρ, ὥσπερ παρὰ τὸ κτηματολογεῖν κτητικὴ, καὶ παρὰ τὸ γενεαλογεῖν, γενικὴ, οὕτω καὶ παρὰ τὸ τεχνολογεῖν ἀναλόγως παρονομασθῆναι) τεχνικήν. ὥσπερ αὖ πάλιν καὶ τυχικὴν, τυχολογοῦσαν. οὐδὲ γὰρ μόνη ἡ γενεαλογοῦσα γενικὴ, κτηματολογεῖ κατὰ τὸν Θεόδωρον, ἀλλὰ καὶ τῶν τύχῃ καὶ τέχνῃ καὶ ἁπλῶς τῶν καθ' ὑπεροχὴν καὶ ὑποταγὴν Πρός τι τὰ πρὸς ἅ. ταῦτ' ἄρα καὶ γενεαλογοῦσα μὲν, ἢ τεχνολογοῦσα, ἢ τυχολογοῦσα, καὶ κτηματολογεῖ πάντως, κτηματολογοῦσα δὲ, οὐ πάντως καὶ γενεαλογεῖ. καὶ τὸ κτητικὸν δὲ, τοῦ περὶ τὸ πρός τι ἐτύμου ἂν εἴη. τὰ τῆς κτητικῆς λέγω συντάξεως, οὐκ ἄλλως ὅτι μὴ τῷ λόγῳ τῶν πρός τι πρὸς γενικὴν φέρεται. τὰ γὰρ πρός τι ἕτερον φερόμενα, ἐπουσιῴδη ἐστί. τὸ δὲ ἐν τῇ, οἶκος ἀριστοτέλους, κτητικῇ συντάξει εὐθυλογούμενον πτωτικὸν οὐσιῷδες ὂν, ἀπόλυτον ὁμολόγως ἐστίν. οὐκ οὖν οὐδ' ἂν ἐνεχθείη πρός τι ἕτερον, ὅτι μὴ τῷ λόγῳ τῆς κατὰ τύχην σχέσεως. ὡς εἶναι τὸ ἐντελὲς τοιοῦτο. οἶκος δοῦλος ἀριστοτέλους. κατὰ τὸ, τὰ σύμπαντα δοῦλα σά, τῆς δουλείας συνεφελκομένης καὶ τὴν δεσποτείαν. οἷον. οἶκος δοῦλος δεσπότου ἀριστοτέλους. ἡ γὰρ προσυπακουομένη κτῆσις, οἷον, οἶκος (κτῆμα κτήτορος) ἀριστοτέλους, οὐδεμιᾶς, ἀλλ' ἢ τῆς κατὰ τύχην τυγχάνει σχέσεως. Εἰς γενικὴν δὲ μόνην ὥρισται ἡ κτηματολογοῦσα πτῶσις. εἴγε χωρὶς γενικῆς κατὰ Ἀπολλῶν: οὐδέποτε κτῆσις ἐπινοεῖται. ὅθεν καὶ πάντα τὰ κτητικὰ ἔντε ὀνόμασι καὶ ἀντωνυμίαις καθ' ὁποιανοῦν πτῶσιν συνέχει δυνάμει τὴν τοῦ κτήτορος γενικήν. Ἐφ' οἷς ἀπορήσεις, τί ὅτι ἡ κτητικὴ τῶν πρὸς ἅ, τῶν μὲν καθ' ὑποταγὴν κτηματολογοῦσα, πῆρ υἱοῦ, δεσπότης δοῦλου, διδάσκαλος μαθητοῦ, τῶν δὲ καθ' ὑπεροχὴν κτητορολογοῦσα, υἱὸς πρὸς, δοῦλος δεσπότου, μαθητὴς διδασκάλου, κτηματολογίαις ἁπλῶς ἀνήκειν εἴρηται, ἡ οὐδὲν ἧττον καὶ κτητορολογίαις ἀνήκουσα; Ἢ ὅτι ὥσπερ γενεαλογοῦσα, τό, τε προλογεῖν καὶ τὸ παιδολογεῖν εἴτ' οὖν υἱολογεῖν γενικῶς συμπεριείληφεν, εἰδικῶς μὲν, γεννήτορα, ἢ γέννημα, ἁπλῶς δὲ, γέννησιν δηλοῦσα, ἔνθα μὲν, οἷον δρῶσαν, ὡς ἡ τοῦ γεννήτορος, ἔνθα δὲ, οἷον πάσχουσαν, ὡς ἡ τοῦ γεννήματος, οὕτω καὶ κτηματολογοῦσα, τό, τε κτῆμα καὶ τὸν κτήτορα ἐν γένει συνείληφεν, εἰδικῶς μὲν, θάτερον τούτων, γενικῶς δὲ, κτῆσιν ὑπεμφαίνουσα. ᾗτινι ὅ, τε κτήτωρ ὑποπεπτωκέναι ἐλέγοντο καὶ τὸ κτῆμα. ὡς εἶναι ἐπ' αὐτῆς τὸ κτοματολογεῖν ἀντὶ τοῦ κτησιολογεῖν εἰλημμένον. γενικῶς τοίνυν κτησιολογοῦσα, εἰδικῶς ἔνθα μὲν, κτήτορος, ἔνθα δὲ, κτήματος λόγον ἔχει. οὐπᾶσα δὲ γενικὴ γενεαλογοῦσα εἴτ' οὖν κτηματολογοῦσα τυγχάνει. (οὐδὲ γὰρ οὐδ' ἡ τοῖς παραθετικοῖς τῶν μορίων, ἢ τοῖς κατ' αἴσθησιν ἀναληπτικοῖς τῶν ῥημάτων, ἢ ταῖς προθέσεσι συντασσομένη.) ἀλλ' ἡ πρὸς ἣν σχέσις τις τῶν καθ' ὑπεροχὴν, ἢ ὑποταγὴν πρός τι φερομένη, ἀποπερατοῦται, καὶ ὅλως ἡ πρὸς ἣν σύστοιχόν τι τῶν πρός τι ἀποδίδοται. ἀποδίδοται δὲ τὰ πρός τι καθ' αὑτὸ μὲν, ὡς εἴρηται, πρὸς ἣν ἡ σχέσις, ἐπουσιῴδη ἤτοι προσκειμένην ἢ ἐπινοουμένην γενικὴν, δι' αὐτῆς δὲ καὶ πρὸς τὴν ὑποκειμένην οὐσιῴδη. εἴγε τὰ ἐπίθετα κατὰ τῶν ὑποκειμένων τυγχάνει λεγόμενα. καθ' ὃν δὴ λόγον τῶν κτηματολογουσῶν γενικῶν καὶ αὐτὴ ἡ οὐσιῴδης τοῦ πρὸς τὴν ἐπουσιῴδη ἀποδιδομένου πρός τι συντακτικὴ ἂν εἴη. ἐξ ὧν δῆλον, ὅτι ὥσπερ ἐν τῷ, σωκράτης ὁσωφρονίσκου, προσεπινοεῖται ἡ ἀνάλογος συστοιχία τῶν πρός τι, λέγω δὴ ἡ φυσικὴ, οἷον, σωκράτης υἱὸς πρὸς σωφρονίσκου. οὕτω κἀν τῷ, οἶκος ὁ τοῦ ἀριστοτέλους, πλάτωνος δόξα, καὶ τοῖς τοιούτοις προσυπακούεται κτητικὴ τις συστοιχία τῶν πρός τι, ἧς οὐκ ἄνευ. οἷον, κτῆμα κτήτορος. καὶ γὰρ τῶν πρός τι

καὶ ταῦτα

καὶ ταῦτα, τοῦ μὲν κτήτορος καθ' ὑπεροχὴν ὄντος, τοῦ δὲ κτήματος καθ' ὑποταγήν. πυνθανομένου γοῦν τινος, τί βούλεται ἐν τῷ, οἶκος ἀριστοτέλους, πλάτωνος δόξα, ἡ γενική; κτηματολογεῖν, ἐρῶμεν. ὁποίαν τινὰ κτηματολογίαν; τὴν κατὰ τύχην. ὁποίαν δὲ ἐν τῷ, παῖς σωκράτους; τὴν κατὰ φύσιν. ἐν δὲ τῷ, διδάσκαλος πλάτωνος, ὁποίαν; τὴν κατὰ τέχνην. τίνος δέ ἐστι συντακτικὴ, ἡ ἀριστοτέλους λέγω καὶ πλάτωνος; τοῦ ἐπινοουμένου καθ' ὑποταγὴν πρός τι. τοῦ τίνος; τοῦ κτῆμα. κτηματολογεῖ δὲ πολλαχοῦ καὶ ἡ δοτικὴ κατὰ συμπάθειαν τὴν πρὸς τὴν γενικὴν, ὡς τὸ βιβλίον μοι. τῶν δὲ γενικῶν αἱ ὑποτασσόμεναι εὐθείαις, ἢ αἰτιατικαῖς ποσότητα σημαινόντων ὀνομάτων, ἀντὶ τῶν συστοίχων εὐθειῶν, ἢ αἰτιατικῶν παραλαμβάνονται ἀττικῶς. οἷον, ἐς μέγα δόξης. ἀντὶ τοῦ εἰς μεγάλην δόξαν. καὶ, πένθεος ὅσον ὄρωρεν. ἀντὶ τοῦ εἰς ὅσον πένθος· τοιοῦτο δ' ἂν εἴη καὶ τὸ κατὰ μετάληψιν ἐν τοῖς κτητικοῖς εἰρημένον. τὸ ἰωνικὸν τῆς στολῆς, ἀντὶ τοῦ τὸ τῆς στολῆς ἰωνικὸν, ταὐτὸν εἰπεῖν, ἡ στολὴ ἰωνική ἐστι.

Δοτική.

Ἡ δὲ δοτικὴ τὴν τοῦ διδόναι καὶ χαρίζεσθαι καὶ ἐπιστέλλειν, (καὶ ὑπουργεῖν.) καὶ καθόλου τὴν τοῦ περιποιεῖσθαι εἴληχε τάξιν. γλαῦκος διομήδει ὅπλα ἐδεδώκει χρυσᾶ. ἰλ: ζ. φέρεκλος ἀλεξάνδρῳ ἐναυπήγει. (ἰλ: ε.

Οὐχὶ ἁπανταχοῦ ἡ δοτικὴ τὴν ἑκάστου τῶν κατειλεγμένων εἴληχε τάξιν, ἀλλ' ἁπλῶς μὲν καὶ γενικῶς, τὴν τοῦ περιποιεῖσθαι, πῇ δὲ καὶ μερικῶς, τὴν τῶν καθ' ἕκαστα, κατηγοροῦσα τούτων ἕκαστον οὐχὶ ἑαυτῆς, ἀλλὰ τῆς εὐθείας, ἔστι μὲν οὗ χάριν, καθ' ὑποταγὴν οὖσα ἔστι δ' οὗ ὑπουργίαν, καθ' ὑπεροχὴν τελοῦσα, ἔστι δ' οὗ δόσιν, ἀδιάφορος οὖσα, ἀποῦσάτε ἐπιστολὴν, πανταχοῦ δὲ, ὡς εἴρηται, περιποίησιν. ὡς εἶναι τὴν περιποίησιν ποιάν τινα οἰκείωσιν. αἰτιολογεῖ δὲ τὸ οὗ ἕνεκα κατὰ τὸν βαθὺν εὐστάθειον. τὸ γὰρ μάχομαί σοι, ἢ ζῶσοι, ἢ τύπτω σοι τὸν παῖδα, ταὐτόν ἐστί φησι, τῷ διὰ σὲ, ὅ ἐστιν ἕνεκά σου. δηλοῖ δὲ τοῦτο καὶ ὁ θεῖος χρυσόστμ: εἰπὼν γὰρ, ὁμλ': γ', πρὸς ἑβρ': ἡ μῖν κάμνουσιν, (οἱ ἄγγελοι) ἑξῆς ἐπήνεγκε, δι' ἡμᾶς τρέχουσι. τὸ ἡμῖν εἰς τὸ δι' ἡμᾶς μεταλαβών. εἴγε καὶ διττὸν τὸ τέλος τὸ μὲν, οὗ, τὸ δὲ, ᾧ. οἷον, ἐν τῷ, διδάσκωσοι τὸν παῖδα διαλέγεσθαι εὖ, τῆς διδασκαλίας τέλος οὗ μὲν, τὸ διαλέγεσθαι, ᾧ δὲ, τὸ σοί. ἐξ ὧν δῆλον, ὡς ἀπόλυτός ἐστι καὶ αὐτὴ τῆς τοῦ ῥήματος σχέσεως, ὡς κατ' οὐδετέρας αὐτοῦ τὰς διαθέσεις ὁμολογοῦσα τὸ προσδιατίθεσθαι. ὑπεξαιρείσθω ἡ τῶν ἀντιπιπτικῶν, καὶ δρῶσα καὶ πάσχουσα ἡ αὐτὴ ἅμα, καὶ ἡ ὀργανικὴ λεγομένη, ἔνθα μὲν, τὸ, ὑφ' οὗ, ἔνθα δὲ, τὸ δι' οὗ αἰτιολογοῦσα, καὶ δρῶσα καθ' ἑκάτερα. τὸ γὰρ, ἐδήχθην τοῖς παρὰ σοῦ λόγοις ὡς ὑπὸ κυνὸς λυσσῶντος. Λουκιαν: ἐν τῷ φιλόπατρ: ταὐτόν ἐστι τῷ ὑπὸ τῶν σῶν λόγων, κατὰ ταὐτὰ τῷ ὑπὸ κυνός. Θουκυδ: γ', νόσῳ τε γὰρ ἐφθάραται ἀθηναῖοι, καὶ χρημάτων δαπάνῃ, κἀν τῇ δ', τοῖς ἐσπλέουσι λάθρα διετρέφοντο.

Αἰτιατική.

Ἡ δ' Αἰτιατικὴ αἰτιαλογοῦσι μάλιστα ἥκει εἰς χρῆσιν. οἷον, σωκράτης ἀξιοῖ ἐπαινεῖσθαι δι' ἀρετήν.

Τοῖς αἰτιολογοῦσιν ὁ τὲ μὲν, τὸ τελικὸν, ὁ τὲ δὲ, τὸ ποιητικόν. ὧν ἑκάτερα ἐμφαίνεται ἐν τῷ, διὰ τὰ χρήματα πάντα γίγνεται. ἐν δὲ τῷ, σωκράτης ἐπαινεῖται δι' ἀρετὴν, τὸ ποιητικὸν μᾶλλον, ὥσπερεὶ τῆς ἀρετῆς ἐμποιούσης αὐτῷ τὸν ἔπαινον. οὐ γὰρ, ἵνα κτήσῃ-

πτήσηται τὴν ἀρετὴν, διὸ, τι δέ ἐστι σπουδαῖος, ἀλλὰ τοῦτο ἐπαινεῖται. ὥστε ποιητικὸν τὸ ἐπαίνου, εἰ καὶ μὴ προσεχὲς ἡ ἀρετή. αἰτιολογεῖ δέ τι ἡ αἰτιατικὴ καὶ τοῖς ἐπιβατικῶς, ἢ διαβατικῶς συνταττομένοις ῥήμασιν, ἀλλὰ τὸ εἰδικόν. οἷον, διδάσκω γραμματικά. δέομαί σου τὰ δίκαια.

Κλητική.

Ἡ δὲ Κλητικὴ ἐπὶ τὸ καλεῖν τινα καὶ ἐπιστρέφειν, ἀμεταβάτως τοῖς δευτέροις τῶν ῥημάτων προσώποις συνταττομένη. δοῦρ' ἄγ' ἰὼν, πολύαιν' ὀδυσσεῦ, μέγα κῦδος ἀχαιῶν. (ὀδ: μ̃,

Ἀπὸ κοινοῦ λεπτέον τὸ, ἥκει, εἰς ἀπόδοσιν τῆς μετοχῆς. ἵνα ᾖ, ἡ κλητικὴ ἥκει ἐπὶ τὸ καλεῖν τινα, κτ. εἰπὼν δὲ ὁ Θεόδωρος σὺν τῇ γενικῇ, τῷ δὲ δ', πλαγίων, δῆλον ὅτι καὶ τὴν κλητικὴν πλαγίαν εἶναι παρεδήλωσεν. ὅτινες μὴ παραδεχόμενοι, ὅπωσι συλλογίζονται). αἱ συνοῦσαι τοῖς τῶν ῥημάτων προσώποις ἀμεταβάτως πτώσεις, εἰσὶν εὐθεῖαι καὶ τοῦ Θεόδωρου, ἥδε κλητικὴ ἀμεταβάτως σύνεστι τούτοις καὶ τὸν αὐτόν. εὐθεῖα ἄρα. ἢ καὶ ὅπως, αἱ πλάγιαι ἐκδέχονται τὰ ῥήματα μεταβατικῶς ἐφ' ἑαυτὴν καὶ τὸν Θεόδωρον, ἡ δὲ κλητικὴ ἐκδέχεται τὰ ῥήματα μεταβατικῶς ἐφ' ἑαυτήν. εἰ γὰρ ἀμεταβάτως τούτοις σύνεσιν. οὐκ ἄρα πλαγία. εὐθεῖα ἄρα. ἀπαντητέον δὲ, ἑκατέρων τῶν συλλογισμῶν ἀποπεμπομένους ὡς μὴ καθόλου τὰς μείζους. ἐγὼ, διὸ, τι ἡ εὐθεῖα σύνεσι τοῖς ῥήμασιν ἀμεταβάτως, ἥδη καὶ πᾶσα ἡ συνοῦσα τοῖς ῥήμασιν ἀμεταβάτως πτῶσις, εὐθεῖα αὖ εἴη. καὶ γὰρ καὶ γραμματικοὶ κανόνες ἁπλῶς ἐ παντα χοῦ αὐτὸ στρέφουσι, καὶ τὴν ἁπλῶς λέγω ἁπλῆν αὐτὸ στροφήν. εἶτε τὰ ἑκατ', πτωτικὰ ἐπ' αὐτοπαθείας, ἀμεταβάτως μὲν σύνεσι τοῖς ῥήμασιν, ἐ μὴν δ' εὐθεῖαί εἰσιν. οἷον, σῴζω ἐμαυτόν. ἔστε μὴν πᾶσα πλαγία τὰ ῥήματα μεταβατικῶς ἐφ' ἑαυτὴν ἐκδέχεται. εἰ γ' αἱ ἐπ' αὐτοπαθείας πλάγιαι ἀμεταβάτως ἐκδέχονται τὰ ῥήματα. φιλῶ ἐμαυτόν. ὥστε συλλογιστέον ὡδί. ἡ δ' εὐθεῖα σύνεσι τοῖς ῥήμασι καὶ παν πρόσωπον, ὡς ἐν τοῖς ἑξῆς ἐρεῖ. ἡ δὲ κλητικὴ ἐ χὶ καὶ παν. οὐκ ἄρα δ' εὐθεῖα. ἢ καὶ ὅπω, τῷ ὀρθῷ καὶ ἀποφαντικῷ λόγῳ, ἡ μὲν δ' εὐθεῖα ἁρμόζει, ἡ δὲ κλητικὴ οὐχ ἁρμόζει. οὐκ ἄρα δ' εὐθεῖα. καὶ ἄλλως, τῷ πτώσεων αἱ ἀποπεπτωκυῖαι τῆς δ' εὐθείας, ὡς ἀπ' ἐκείνης πρώτης μεταχηματισθεῖσαι, οὐκ εἰσὶν δ' εὐθεῖαι, ὡς δείκται, πλάγιαι δέ. ἡ δὲ κλητικὴ ἀποπέπτωκε τῆς εὐθείας, ἀπ' ἐκείνης γὰρ μετεχημάτισται, ἐλάττωσα. οὐκ ἄρα εὐθεῖα. φησὶ δὲ καὶ ὁ Ἀπολλ: ἐν τῷ δ', κφ: τῶν γ', βιβλ: ἡ κλητικὴ παρόντος β', προσώπου πτώσις ἐστὶ, τοσαύτην ἔχοντος ἀπόστασιν ἀπὸ τοῦ α', ἐφ' ὅσην αὖ ἡ φωνὴ τοῦ α', σωτείνοις. ἔστι δὲ καὶ περὶ τῆς κλητικῆς εἰπεῖν, ὡς ταὐτὸ πεπτωκὸς ἅμα καὶ ὀρθὸν εἶναι οἷόν τε. εἴγε τὰ θετικὰ ἐναντία συνακολουθεῖν οὐκ ἐθέλει, ἐξωθετικὰ ἀλλήλων τυγχάνοντα. ὥστε καὶ καλείσθω ἡ μὲν ὀρθὴ, εὐθεῖα, αἱ δὲ παρὰ ταύτην, πτώσεις εὐθείας, ὡς ἀπ' ἐκείνης καταπεσοῦσαι. ἐνθυμητοὶ καὶ οἱ παλαιοὶ τὴν μὲν κατ' εὐθείαν τῶν ὀνομάτων γινομένην προφορὰν ὄνομα καλοῦσιν, ὡς κατ' αὐτὴν ἑκάστου τῶν πραγμάτων ὀνομαζομένου, τὴν δὲ καὶ τὰς ἄλλας, τὰς πλαγίας λέγω, οὐκ ὄνομα, ἀλλὰ πτώσεις ὀνόματος. πτῶσις δὲ ἅπασα ἡ κλητικὴ, τὸ κλητικὸν ἔστιν ἐπιφθέγματος, εἴτ' οὖν ἐπιῤῥήματος σωπαντικὴ. ὦ φίλε. τὸ δὲ ἀμεταβάτως, πρόσκειται). καθὸ, τι προϊὼν, εἰπεῖν ἔχει τὰς μὲν εὐθείας συνεῖναι τοῖς ῥήμασιν ἀμεταβάτως, τὰς δὲ πλαγίας ἐκδέχεσθαι τὰ ῥήματα μεταβατικῶς. ὡς αὖ ἐν μὴ ὑπολιφθῇ καὶ ἡ κλητικὴ πλαγία.

γία οὖσα, μεταβατικῶς συντάσσεσθαι τοῖς ῥήμασιν, ἐντεῦθεν προασφαλίζεται τὴν ὑπόνοιαν, ὡς καίτοι οὖσα πλαγία, ἀμεταβάτως ὅμως συντάσσεται, οἷς ἂν καὶ συντάσσηται, καὶ οὐ μεταβατικῶς κατὰ τὰς λοιπὰς τῶν πλαγίων. καθ' ὅ, τι οὐ τὴν τοῦ ῥήματος διάθεσιν κατ' ἐκείνας, τὴν δὲ τῆς εὐθείας μόνον τε καὶ ἀμέσως προσφώνησιν ἐπιδέχεται, ἐν δυοῖν καταγινομένη προσώποις κατὰ Ἀπολλ.: τῷ τε προσκαλοῦντι καὶ τῷ προσκαλουμένῳ. κατὰ δὴ τὴν εὐθεῖαν καὶ ἡ κλητικὴ ἀμεταβάτως σύνεστι τοῖς ῥήμασι. καὶ ἡ μὲν εὐθεῖα τὸν περίτινος λόγον ἔχει κατὰ τοὺς παλαιούς, ἡ δὲ κλητικὴ τὸν πρός τινα. (πρὸς γὰρ β', ἀεὶ πρόσωπον ἀποτείνεται.) πάντως ὁμοιόπτωτον ἀπαιτοῦσα σχῆμα καὶ αὐτὴ κατὰ τὴν εὐθεῖαν, εἴτ' οὖν ταυτοπροσωπικὸν ῥῆμα. εἴ γε β', οὖσα προσώπου, τοῖς β', τῶν ῥημάτων προσώποις συντάσσεται, οὐχ ἁπλῶς δὲ, ἀλλὰ μόνοις τοῖς τῶν προστακτικῶν. (εἴ γ' ἔχει φησὶν, ἅπαντα τὰ ῥήματα πτῶσιν παρυφισταμένην ἐκ πρώτου ὀρθήν. ἣ καὶ συμφέρεται ἐπὶ πάσης κλίσεως καὶ προσώπου καὶ ἀριθμοῦ.) ἐπὶ μὲν τὸ πολὺ, προσκείμενα, ἔστι δ' οὗ, συνυπακουόμενα ἔχουσα ταῦτα. δι' ὃν δὴ λόγον καὶ ἀνέφικτος εἰς ἄρθρου παράθεσιν. εἴ γ' ἡ τοῦ ἄρθρου παράθεσις ἐν ἰδίωμα ἔχει τὴν τῶν γ', προσώπων ἀναπόλησιν. ἐναντιώτατα δ' ἔχει τῇ ἀναφορᾷ τὸ ὑπ' ὄψιν παραλαμβανόμενον πρόσωπον. ὅπου γε καὶ τὸ, ἐμός ἐστι, προσλαμβάνον τὸ ἄρθρον κατὰ τὸ γ', πρόσωπον, οἷον, ἐμός ἐστιν ὁ πόνος, οὐκ ἔτι προσλαμβάνει κἀν τῷ, ἐμὸς εἶ, διὰ τὴν πρὸς τὸ β', πρόσωπον σύνταξιν. ζητούσης δὲ τῆς κλητικῆς β', πρόσωπον, περιττὸν ζητεῖν, εἰ τὸ ὦ, ἄρθρον ἐστίν. εἴ γε τὰ ἄρθρα γ', ἐστὶ προσώπου, οὐχὶ β'. πῶς οὖν κατελέχθη πρὸς πάντων ἐν τοῖς ἄρθροις; ἢ ὅτι συνεκδρομῇ τῶν ἄλλων πτώσεων, αἷς τὰ συνιδιάσαντα, ἄρθρα ἐκαλεῖτο. ᾧ λόγῳ συλλαβαὶ καὶ αἱ μονογράμματοι. ἔστι δὲ ἴδιον κλητικοῖς τὸ ὦ. Ἰστέον δὲ, ὡς αἱ πτώσεις οὐ σῴζουσιν ἁπανταχοῦ τὴν πρὸς τὸ σημαινόμενον παρονομασίαν, οὐ μὴν παρὰ τοῦτο ἀπέστησαν τῆς ἰδίας αὐτῶν ὀνομασίας. ῥητέον δὲ καὶ περὶ τοῦ ἀριθμοῦ τῶν πτώσεων, ὡς τοῦ κατὰ σύνταξιν λόγου ἐξ ὀνόματος συνεστῶτος καὶ ῥήματος, τὸ ῥῆμα ἐκ μὲν α', προϋποτίθησιν ἀποφαντικῶς μὲν, τὴν ὀνομαστικὴν, ἐπιστρεπτικῶς δὲ, τὴν κλητικὴν, ἐκ δὲ γ', συνίστησι τὴν γενικὴν μὲν, κατ' εἰσπομπὴν ὄν, τὴν δοτικὴν δὲ, κατὰ περιποίησιν, τὴν αἰτιατικὴν δὲ, κατ' ἐκπομπήν. Καὶ περὶ τῆς τάξεως δέ τι ῥητέον, εἰ καὶ Ζωπυρίονές τινες εἰσαχθέντες, καταγελάσονται. πρώτην μὲν οὖν ἔσχεν ἡ εὐθεῖα τάξιν, ὅτι τέ ἐστιν ὀρθὴ, τοῦτε γὰρ πεπτωκότος φύσει πρότερον τὸ ὀρθὸν, καὶ τὸ εὐθὲς τοῦ πλαγίου. καὶ ὅτι ἐκ α', τοῖς ῥήμασι παρυφισταμένη, ἐνέργειαν συσσημαίνει, τάξει προτέραν οὖσαν τοῦ πάθους. τῶν δ' αὖ πλαγίων ἐπεὶ ἡ μὲν γενικὴ ἐν τοῖς κατ' εἰσπομπὴν ἑκατέρας συνέχει τὰς διαθέσεις, ἐνεργοῦσά τε ἅμα καὶ πάσχουσα, καὶ κτηματολογοῦσα δὲ, οὐδὲν ἧττον, ἐν τοῖς ὡς κτητικοῖς λέγω ῥήμασι, διάθεσις δὲ πᾶσα, εἴτ' οὖν κίνησις ἕνεκάτου γίγνεται. τὸ δὲ ἕνεκάτου, πρότερον χρόνῳ καὶ τάξει τοῦ οὗ ἕνεκα, διὰ τοῦτο προτέτακται καὶ αὐτὴ τῆς ἐν τοῖς κατὰ περιποίησιν τὸ οὗ ἕνεκα αἰτιολογούσης δοτικῆς. διὰ δὲ τὸν αὐτὸν λόγον προτέτακται καὶ ἡ δοτικὴ τῆς αἰτιατικῆς, ἡ ἐν τοῖς ἀντιπιπτικοῖς ἑκατέρας συνέχουσα τὰς διαθέσεις, τῆς τὸ δι' ὃ αἰτιολογούσης. ἔσχε δὲ καὶ ἄλλως ἡ αἰτιατικὴ τὴν ἐσχάτην ἐν ταῖς ἐκδεχομέναις τὰ ῥήματα μεταβατικῶς πλαγίαις χώραν, ὡς ἐν τοῖς κατ' ἐκπομπὴν πάσχουσα μόνον, τὰ δὲ πάθη τῇ τάξει δεύτερα τῶν ἐνεργειῶν κατὰ Ἀπολλ.: ἄλλως τε, ἡ εὐθεῖα ἐνεργοῦσα, καὶ ἡ αἰτιατικὴ πάσχουσα, λόγον ἔχουσιν ἄκρων, μέσων

μέσων δὲ ἡ γενικὴ καὶ δοτικὴ, ἑκατέρων ἑκατέρα, τῶν ἄκρων, ὡς εἴρηται μετέχουσα. τακτέον ἄρα ἐν ἄκροις μὲν τὰ ἄκρα, ἐν μέσῳ δὲ τὰ μέσα. ἡ δὲ κλητικὴ τῆς φύσει παντὶ προσωπικῷ ῥήματι ἐκ α', συμφερομένης εὐθείας, καὶ αὐτὰ τὰ β', τῶν ῥημάτων πρόσωπα, οἷς ἐκείνη λέγεται συντάσσεσθαι, προκατειληφύας, καθ' ἑαυτὴν οὐδετέραν ὑποδηλοῦσα διάθεσιν, μετὰ τὰς ἑκατέρων ἐμφαντικὰς πτώσεις τέτακται. καθὰ δὴ καὶ τὸ οὐδέτερον μετὰ τὸ ἀρσενικόν τε καὶ θηλυκόν. ἐντεῦθεν δὲ, οἶμαι, διὰ τὴν τῆς ἐνεργείας φημὶ πρὸς τὸ πάθος σχέσιν φάναι τινὰς συγγένειαν τινὰ ἔχειν τῶν πτώσεων τὴν μὲν εὐθεῖαν πρὸς τὴν αἰτιατικὴν, τὴν δὲ γενικὴν πρὸς τὴν δοτικήν.

Ἀνθυπαλλαγή.

Ἀναμερισθέντων δὴ τῶν ὀνομάτων εἰς πέντε πτώσεις, τὰς ἀνθυπαλλαγὰς τῶν πτώσεων ἢ παραδεχόμεθα, ὡς σχήματ' ἄττα διαλέκτου τινὸς, συνηθέστερον τὸ τοιοῦτο ἐνδειξαμένης, ἢ ἀπαραδέκτους ποιούμεθα, ὡς ἀκαταλλήλους. Ἀττικῶν μὲν γὰρ τὸ τὴν εὐθεῖαν λαμβάνειν ἀντὶ κλητικῆς, μακεδονικὸν δὲ, ἢ θεσσαλικὸν τὸ ἀνάπαλιν. αὐτὰρ ὃ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι, πολλῇσι νήσοισι καὶ ἄργεϊ παντὶ ἀνάσσειν.

Ὀβαθὺς εὐστάθειος τὴν ἀνθυπαλλαγὴν καὶ τὸν μεταπλασμὸν ταὐτὸν εἶναι βούλεται ἐν ταῖς τοῦ Ὁμήρου παρεκβολαῖς. ἔστι δὲ μεταπλασμὸς κατ' αὐτὸν μετάθεσις καὶ μετασχηματισμὸς λήξεως λέξεως εἰς ἕτερον συγγενὲς τελικόν. τοῦτ' ἔστιν ὅταν τέλος τινὸς ὀνόματος, ἢ ῥήματος ἐφ' ἕτερον τέλος τραπῇ, οἰκεῖον τῷ τρεπομένῳ. οἰκεῖον δέ ἐστιν, ᾧ δηλδ': ἡ αὐτὴ πτῶσις τοῦ ὀνόματος, ἢ ὁ αὐτὸς χρόνος τοῦ ῥήματος ἐπ' ἄλλοις χρήσαιτ' ἄν. ὡς τοῦ κλῦθι ἀορίστου τὸ ε, (κλῦε γὰρ ἦν) ἐτράπη εἰς θι. ᾧ τέλει χρήσαιτ' ἂν ὁ ἀόριστος προστακτικὸς ἐν ἑτέροις. οἷον, ἀνάστηθι. ὁμοίῳ τρόπῳ καὶ τὸ ἄνωγε ἄνωχθι γέγονε. καὶ τὸ περιπατοῖμι ἐκ τοῦ περιπατοίην μετεπλάσθη. ἀπὸ τελικοῦ δηλδ': εἰς τελικόν. ὡς καὶ ἀπὸ τοῦ γνοῖμι τὸ γνοίην, καὶ ἀπὸ τοῦ δοῖμι τὸ δοίην, καὶ ἀπὸ τοῦ εἴδοιμι τὸ εἰδοίην. καὶ τὸ καινότερον ἐκ τοῦ ἐκπεφεύγοιμι τὸ ἐκπεφευγοίην, παρὰ Σοφοκλεῖ. (οὐ γὰρ τῷ αὐτῷ χρόνῳ ἐχρήσατο. εἴγε τὰ εἰσοίην, εὐκτικὰ ἐνεστῶτός ἐστι. παρακειμένου δὲ τὸ ἐκπεφεύγοιμι.) τελικὸν γὰρ ἐν εὐκτικοῖς καὶ τὸ μι. οἷον, τύποιμι. καὶ τὸ ἦν. οἷον, τυφθείην. εὕρηται δὲ πάθος ὅμοιον καὶ ἐν ἐπιρρήμασιν. ὡς ὅτε τὸ διχῇ δίχα φαμὲν, καὶ τριχῇ τρίχα, καὶ σαφῇ σάφα, καὶ τὰ ὅμοια. κἀν τούτοις γὰρ τελικῶν γέγονεν ἐναλλαγή. τελικὰ γὰρ ἐπιρρημάτων, ὥσπερ τὸ η, οὕτω καὶ τὸ α. οἷον, ἅμα, κάρτα, μάλα, εἶτα, σφόδρα, ὑπόδρα, ἄντα, καὶ τὰ τοιαῦτα. καὶ τοιαῦτα μὲν τὰ τοῦ Εὐσταθείου, ἐν ταῦτα δ' ὁ Θεόδωρος οὐ τοιαύτην εἶναι βούλεται τὴν ἀνθυπαλλαγὴν τῆς πτώσεως, ἀλλὰ μετάληψιν πτώσεως ἀνθ' ἑτέρας, ὑπαλλαττομένων κατ' ἔθος διαλέκτων. ἦν πότερον παραδεκτέον, ἢ μὴ, οὐκ ἐδήλωσεν ὁ Θεόδωρος, ἀορίστως προενεγκὼν τὰ τοῦ λόγου. κατὰ δὲ Ἀπολλ': κατὰ μὲν τὸν τῶν σχημάτων λόγον, τὸ τῶν διαλέκτων λέγω ἰδίωμα, παραδεχόμεθα, ἐθιμώτερον διαλέκτου τινὸς τὸ τοιοῦτο ἐνδειξαμένης, κατὰ δὲ τὸν τοῦ ἀκαταλλήλου λόγον ἀπαραδέκτους ὅλως ποιούμεθα, ὑποδείγμασιν, ὡς εἴρηται, ταύταις χρώμενοι τοῦ ἐν τῷ πεζῷ λόγῳ σολοικισμοῦ, ὡς μὴ ὑποπιπτούσαις ἀρχαϊκῇ χρήσει. εὐθεῖα μὲν οὖν

μὲν οὖν ἀντὶ κλητικῆς παρείληπται, ὡς ἐν τῷ γ̄, τῆς ἰλ: ἠέλιός θ', ὃς πᾶν τ' ἐφορᾷς. διὸς φίλος, ὦ φίλτατ' αἴας. ὁποῖον σὺν ἄλλοις καὶ τὸ, Τράγος, γένειον ἄρα πενθήσεις σύγε. ἀντὶ τοῦ ὦ Τράγε, πάνυ στερήσῃ γενείου, εἰ τὴν φλόγα φιλήσεις. ἄπειρα τὰ τούτοις ὅμοια τὸ ἀττικὸν παρίστησι σχῆμα. καθ' ὅ, τι ἡ κλητικὴ ἕτερον ἀπαιτεῖ σχῆμα κατὰ τὸ τέλος. ἀντεστραμμένως δὲ κλητικὴ ἀντὶ εὐθειῶν παραλαμβάνεται κατὰ μακεδονικὸν ἔθος, ἢ θεσσαλικὸν, ὡς οἱ παλαιοὶ τὸ τοιοῦτο ἐπιστώσαντο. ἐν οἷς τὸ τοῦ Ἀγαμέμνονος σκῆπτρον ἐκθειάζων Ὅμηρος, ὡς ἄνωθεν ἀπὸ Διὸς κατὰ γενεὰν ἀλληλοδιαδόχως εἰς αὐτὸν κατελθὸν, φησὶν ἐν τῷ β̄, τῆς ἰλ: ἀνὰ δὲ κρείων Ἀγαμέμνων ἔστη, σκῆπτρον ἔχων, τὸ μὲν, Ἥφαιστος κάμε τεύχων. Ἥφαιστος μὲν δῶκε Διὶ κρονίωνι ἄνακτι, αὐτὰρ ἄρα Ζεὺς δῶκε διακτόρῳ ἀργειφόντι, Ἑρμείας δὲ ἄναξ δῶκε Πέλοπι πληξίππῳ, αὐτὰρ ὃ αὖτε Πέλωψ δῶκ' Ἀτρέϊ ποιμένι λαῶν. Ἀτρεὺς δὲ θνήσκων, ἔλιπε πολύαρνι Θυέστῃ, αὐτὰρ ὃ αὖτε Θυέστ' Ἀγαμέμνονι λεῖπε φορῆναι, κτ': τὸ γοῦν θυέστα κλητικῆς ὂν, ἀντὶ εὐθείας εἴληπται, ἐλεγχόμενον ὑπὸ τοῦ ἐπαγομένου ῥήματος τοῦ ἔλιπε. καθ' ὅ, τι τοῖς γ', τῶν ῥημάτων προσώποις εὐθεῖα, ἀλλ' οὐ κλητικὴ συμφέρεται, συνελέγχοντος ἐν αὐτῷ καὶ τοῦ ἄρθρου τὴν παραλλαγὴν τῆς πτώσεως. κλητικῆς μὲν γάρ ἐστι τὸ θυέστα, προσλαβὸν δὲ τὸ ἄρθρον, τοτηνικαῦτα συντάξεως τῆς κατ' εὐθεῖαν τυγχάνει.

Ἔνθα γε μὴν ἡ κλητικὴ καὶ ἡ εὐθεῖα συνεμπίπτει, οὐδετέραν εἰς ἔλεγχον τοῦ σχήματος ἔσται λαμβάνειν.

Ἐπιδείκνυται κἀν ταῦθα ὅτι. ὥσπερ τὰ κατὰ γένος, οὕτω καὶ τὰ κατὰ πτῶσιν συμπεσόντα, τῇ συνεμπτώσει βοηθεῖται τοῦ μὴ εἶναι ἀκατάλληλα. τὰς γὰρ ἀνθυπαλλαγὰς τῶν πτώσεων, τῶν πτωτικῶν τὰ εἰς πάσας τὰς πτώσεις εἴτ' οὖν καὶ τὰς πέντε ἀναμερισθέντα ἐμφανίζει, οὐ τὰ εἴς τινας. ὁπηνίκα γὰρ ἡ κλητικὴ καὶ ἡ εὐθεῖα ἀλλήλαις συνεμπίπτωσιν, ὡς ἐν τῷ, θεὰ, καὶ μοῦσα, κἀν τῷ, μενέλαως, κἀν τοῖς δυϊκοῖς τῶν ὀνομάτων. ἐν οἷς συνεμπίπτει εὐθεῖα μὲν, τῇ αἰτιατικῇ, γενικὴ δὲ, τῇ δοτικῇ, κἀν τοῖς οὐδετέροις ἡ εὐθεῖα τῇτε αἰτιατικῇ καὶ τῇ κλητικῇ, εὐθέως καὶ τὰ προκείμενα, τῶν κατ' ἐναλλαγὴν σχημάτων ἀφίστανται, ὡς μὴ καὶ εἰς τὰς πέντε πτώσεις ἀναμεριζόμενα. οὐ δετέρα γὰρ τῶν πτώσεων εἰς ἔλεγχον τῆς τοῦ σχήματος ἐναλλαγῆς δύναται παραλαμβάνεσθαι, οὐ δὲ ἡ κλητικὴ εἰς τὸν τῆς εὐθείας, οὐ δὲ ἡ εὐθεῖα εἰς τὸν τῆς κλητικῆς. καὶ δῆλον ὅτι διὰ τὴν τοιαύτην συνέμπτωσιν ὁ Τρύφων ἐν τῷ περὶ προσώπων αἴτιος ἐγένετο τοῖς ἐθέλουσι πρὸς αὐτὸν ἀντιλέγειν, μὴ παραδεξάμενος τὴν συνέμπτωσιν τῆς εὐθείας καὶ τῆς κλητικῆς ἐπὶ τῆς σὺ ἀντωνυμίας. φησὶ γὰρ μόνης εἶναι κλητικῆς διὰ τὴν πρὸς τὸ β', πρόσωπον τῶν ῥημάτων αὐτῆς σύνταξιν. ὡς γάρ φαμεν, ἀρίσταρχε, γράφε. καὶ ἔτι ἐπὶ ὁριστικῆς προφορᾶς, ἀρίσταρχε, ἀναγινώσκεις; κατ' ἐπερώτησιν, τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ, σὺ γράφε, ἢ σὺ γράφεις; τὴν κλητικὴν ὁμολογεῖ. κἀκεῖνο δὲ παρατίθεται, ὡς ἡ μὲν εὐθεῖα ἐν γ', προσώπῳ νοεῖται, ἥ γε μὴν κλητικὴ ἐν β'. οὗ ἐστι καὶ ἡ σύ. κλητικὴ ἄρα. Πρὸς δὲ τοὺς ζητήσαντας, πῶς ἂν συσταίη κλητικὴ ἐπὶ τῆς σὺ, εὐθείας μὴ οὔσης; ἀπαντᾷ, τὸν λόγον τῆς κλητικῆς πιστούμενος, τῷ καὶ εὐθείας γεμὴν οὔσης, μὴ ὑπάρχειν κλητικὴν, ὡς ἐπὶ τῶν ἀντωνυμιῶν τῆς ἐκεῖνος, καὶ τῆς αὐτὸς, καὶ τῶν μὴ δυναμένων κλητικὴν ἐπιδέξασθαι, ά, φημὶ καὶ τρί-

του. κα-

τω. καθ' ὅ, τι οὐθ' ἑαυτὸν, οὔτε τὸν ἀπόντα καλεῖ τις. ἡμεῖς δὲ τὴν πρὸς αὐτὸν ἀντίρρησιν ἐπιτομωτάτην ἐκθησόμεθα, ἐκεῖνο εἰπόντες, ὡς μᾶλλον παρακινδυνεύεται ἡ σὺ ἀντωνυμία κατὰ τὴν τῆς κλητικῆς σύνταξιν, ὡς οὐ δεόντως παρειλημμένη, ἤπερ κατὰ τὴν τῆς εὐθείας. ἔχει δὲ τὰ τοῦ λόγου οὕτω. τοπρῶτον, ὅτι μάτην ἡ ἐν τοῖς ὀνόμασιν εὐθεῖα παραβάλλεται τῇ τῶν ἀντωνυμιῶν. τοῦτο γὰρ ἐξαίρετον ἔσχεν ἡ ἀντωνυμία τὸ καὶ ἐν α', καὶ β', προσώπῳ ἐν εὐθείᾳ παραλαμβάνεσθαι, τῶν ὀνομάτων μὴ δυναμένων τὸ τοιοῦτον ἀναδέξασθαι. οὐκοῦν δὴ δι' ὅ, τι ἐκείνη τρίτου, αὕτη, ἐπεὶ οὐ τρίτου, ἡ σὺ, οὐδὲ εὐθεῖα ἄρα, οὐ μὲν οὖν, μάλιστα δὲ τοὐναντίον ἐστὶ λέγειν. τῆς γὰρ τῶν ὀνομάτων εὐθείας μὴ δυναμένης κατὰ τὸ α', καὶ β', παραληφθῆναι, ἀντεισῆκται ἡ ἀντωνυμικὴ εὐθεῖα. εὐθεῖα ἄρα ἡ σὺ, καθὰ δὴ καὶ ἡ ἐγώ. ἔπειτα, καθ' ὃ β', προσώπου, διὰ τοῦτο κλητική; οὐδὲν ἄρα κωλύει καὶ τὰς ὑπολοίπους τῶν πλαγίων, τὰς σοὶ, σοῦ, σὲ, κατὰ β', πρόσωπον, κλητικὰς εἶναι. ὅπερ ἄτοπον. καθάπερ οὖν ἐκεῖναι ἀντ' ὀνομάτων ἐν πλαγίᾳ πτώσει κεκλιμένων παρεληφθήσαν, οὕτω καὶ ἡ σὺ ἀντ' εὐθείας. ἔτι καὶ ἀπὸ τῆς τῶν πτώσεων συμφωνίας, εἰ τὸ, σοὶ ὄντι ἀγαθῷ, καὶ, σὲ ὄντα ἀγαθὸν, τῶν αὐτῶν πτώσεων, δῆλον ὅτι καὶ τὸ, σὺ ὢν ἀγαθὸς, τῆς αὐτῆς ἂν εἴη. εὐθείας δὲ τὸ, ἀγαθὸς, καὶ τὸ, σὺ ἄρα. εἴγε τὰ κατὰ τὸ αὐτὸ πρόσωπον παρεμπίπτοντα, εἰσὶν ὁμοιόπτωτα. τρίτον, καὶ ἀπὸ τῆς τῶν ῥημάτων συντάξεως, εἰ τὰ ῥήματα τῆς αὐτῆς συντάξεως ἔχεται κατὰ πᾶν πρόσωπον, ἔστι δὲ τὸ, ἐγώ εἰμι, ὀρθῆς, καὶ τὸ, ἐκεῖνός ἐστιν, ὀρθῆς, δῆλον ὅτι καὶ τὸ, σὺ εἶ, τῆς αὐτῆς ἂν εἴη πτώσεως. εἴγε ἡ προϋφισταμένη τῶν ῥημάτων ἁπάντων κατὰ πᾶσαν ἔγκλισιν πτῶσις, εὐθεῖά ἐστι κατὰ πᾶν πρόσωπον. δ', καὶ (ὅπερ αὐτὸς ἐποίει) ἀπὸ τῆς τῶν ὀνομάτων πρὸς τὰ ῥήματα συναρτήσεως. τὰ γὰρ ὑπαρκτικὰ τῶν ῥημάτων καὶ πρὸ ἑαυτῶν καὶ μεθ' ἑαυτὰ οὐ κλητικὴν, εὐθεῖαν δὲ ἀπαιτεῖ. καὶ οὐδεὶς ἂν φαίη, νοῦν ἔχων, ἀρίσταρχε εἶ, γραμματικὲ εἶ, ἀλλ', ἀρίσταρχος εἶ, γραμματικὸς εἶ. πῶς οὖν οὐ δοθήσεται, ὅτι καὶ τὸ, σὺ εἶ, ἐν εὐθείᾳ συντάξει ἐστίν; οὐδὲ γὰρ, ὅ φησιν, ἀληθές ἐστιν, ὡς ἅπασαι αἱ εὐθεῖαι τῶν ὀνομάτων ἐν γ', καταγίνονται. ἔστι γὰρ οὗ καὶ ἐν α', τε καὶ β', προσώπῳ. τὰ γὰρ ὕπαρξιν, ἢ ἰδίας ποιότητος θέσιν σημαίνοντα τῶν ῥημάτων, τὰ κλητικά φημι, συνεπισπᾶται τὰς ὀνοματικὰς εὐθείας κατὰ τὸ α', καὶ β'. εἰμὶ ὀδυσσεύς. ὀνομάζομαι τρύφων, καὶ τὰ τοιαῦτα. πρὸς δὲ καὶ τὰ αὐθυπότακτα τὰ καὶ ὑποθετικὰ τῶν ῥημάτων τὰς κατὰ τὸ γ', εὐθείας συγκλείει εἰς τὸ α', καὶ β', πρόσωπον. εἴγε τὰ α', πρόσωπα πληθυντικὰ ὄντα, σύλληψιν ἀναδέχεται β', καὶ τρίτου τῶν κατὰ τὴν αὐτὴν πτῶσιν, ἡνίκα φαμὲν κατὰ μὲν μερισμὸν, ἐμοὶ καὶ σοὶ καὶ διονυσίῳ ἐλάλησε τρύφων, κατὰ δὲ σύλληψιν, ἡμῖν ἐλάλησε τρύφων, καὶ ἐπὶ τῶν λοιπῶν πτώσεων, πῶς οὐκ ἂν δοθείη τὸ, ἐγὼ καὶ σὺ καὶ τρύφων ἐν ταῖς αὐταῖς πτώσεσι καταγίνεσθαι, συνόντος πάλιν τοῦ κατὰ σύλληψιν πληθυντικοῦ ἐν εὐθείᾳ, ἡμεῖς παρεγενόμεθα; ἔστι κἀκ τῆς συντάξεως τῶν συνδέσμων τὸ τοιοῦτο παραστῆσαι. συνδεόμενα τὰ πτωτικὰ κατὰ τὴν αὐτὴν κοινότητα τῶν ῥημάτων, πάντως καὶ τῆς αὐτῆς πτώσεως ἔχεται. ἢ ἐμοὶ χαρίζεται τρύφων, ἢ σοὶ, ἢ διονυσίῳ. ἢ ἐμοῦ ἀκούει τρύφων, ἢ σοῦ, ἢ θέωνος. ἢ ἐμὲ φιλεῖ, ἢ σὲ, ἢ δίωνα, τῶν ῥημάτων κατὰ κοινοῦ λαμβανομένων. καὶ σαφὲς ὅτι τὸ παρεμπίπτον ἀλλότριον τῆς πτώσεως, ἤτοι σολοικισμὸν ποιήσει, ἢ παρέμπτωσιν ἑτέρου ῥήματος ἀπαιτήσει.

οἷόν τε γὰρ φάναι, ἢ ἐμοῦ ἀκούει τρύφων, ἢ σοὶ

ἢ σοὶ ὁμιλεῖ. ὁμολόγως οὖν ἑνὸς καὶ τοῦ αὐτοῦ ὄντος τοῦ ῥήματος, καὶ τοῦ λόγου καταλλήλου ὄντος, δίδοται ἀναγκαίως καὶ τὰς αὐτὰς πτώσεις εἶναι τὰς συναπτομένας. ἢ ἐγὼ οὖν ἀπέρχομαι, ἢ σὺ, ἢ διονύσιος. καὶ εἰ μὲν ἀκατάλληλος ὁ λόγος, εἴη ἂν καὶ τὸ σὺ ἑτέρας πτώσεως, εἰ δὲ κατάλληλος, δίδοται καὶ τὸ σὺ εὐθείας εἶναι. ἀλλ' οὐδ' ἐκεῖνο δίδοται, ὡς καὶ τὸ σὺ, γράφεις; ἐστὶν ἐν κλητικῇ συντάξει. ἐν εὐθείᾳ γὰρ μᾶλλον ἤπερ ἐν κλητικῇ. ἑνούμενον μὲν γὰρ, εὐθείας ἐστὶν, ὅμοιον τῷ, ἐγὼ γράφω, κἀκεῖνος γράφει. ἐπεχόμενον δὲ κατὰ τὴν σὺ, καὶ ἐπιστρέφον τὸ προσφωνούμενον πρὸς τὸ προσφωνοῦν, κλητικὴν μὲν ὁμολογήσει, οὐδεόντως δὲ παρειλημμένην κατὰ τὸ ἀντωνυμικὸν ἔθος. δειχθήσεται γὰρ ὅτι μὴ δυναμένων τῶν ὀνομάτων παραλαμβάνεσθαι κατὰ τὸ α', καὶ β', πρόσωπον, ἐπενοήθη τὸ ἀντωνυμικὸν μόριον. ἡ δὲ κλητικὴ τῶν ὀνομάτων φθάνει κατὰ τὸ β'. σαφὲς ἄρα ὅτι ἐν κλητικῇ περισσή ἐστιν ἡ πρωτότυπος ἀντωνυμία. οὐ δὲ γὰρ ἔχει ἀπολογίαν, ἥνπερ ἔσχον αἱ κατὰ τὸ γ', πρόσωπον ἀντωνυμίαι. (ὅτι δυναμένων τῶν ὀνομάτων παραλαμβάνεσθαι ἐπὶ τρίτου, περισσαὶ αὗται ἐγένοντο. ἐφ' ὧν ἦν ἀπόλογος, ὡς ἕνεκα τῆς δείξεως, ἢ ἀναφορᾶς παρειλημμέναι εἰσί. καθ' ὃ ἀδυνατεῖ πάλιν τὸ ὄνομα τὸ τοιοῦτο ἐμφανίσαι.) παραλαμβανομένη γὰρ ἡ σὺ κατὰ κλητικὴν, οὔτε ἀναφορὰν ἠδύνατο παραστῆσαι. β', γὰρ προσώπου, ἡ δὲ ἐναφορὰ γ'. οὔτε δεῖξιν. καθ' ὃ οἱ προσφωνούμενοι ἐπιστρέφονται καὶ οὐ δείκνυνται. ὅπου γε καὶ τοὺς μὴ ὑπ' ὄψιν πίπτοντας φθάνει ἡ κλητική. (τῆς δείξεως ἐπὶ μόνον τῶν ὑπ' ὄψιν πιπτόντων ἐκτεινομένης.) οἱ γοῦν (ἀπὸ τῆς κοινῆς ὑπολήψεως) προσφωνούμενοι διὰ τῆς σὺ ἀντωνυμίας, εἴτ' οὖν ἐγνωσμένων τῶν ὀνομάτων, εἴτε μὴ, δυσαναχέτως ἔχουσιν, ἐπιζητοῦντες δηλονότι τὸ ἴδιον ὄνομα. καίπερ ἐπὶ τῶν συζύγων τῇ σὺ ἀντωνυμιῶν, τοῦ αὐτοῦ δηλαδὴ β', προσώπου, τοῦ τοιούτου παρεπομένου, λέγω τοῦ δι' ἀντωνυμιῶν, ἀλλὰ μὴ δι' ὀνομάτων ἀπαγγέλλειν τὰ β', τῶν προσώπων, οὐ γὰρ ἐνεχώρει ἡ ὀνοματικὴ θέσις, γ', μόνου οὖσα. οὐδεὶς γὰρ ἂν φαίη, ἐπὶ δευτέρου, φροντίζω τρύφωνος, ἀλλὰ, σοῦ, δηλαδή. ὁμοίως καὶ λέγω σοι, καὶ ὁρῶσε. πῶς οὖν ἡ οὐδεόντως παραλαμβανομένη κατὰ κλητικὴν ἀντωνυμία σὺ, παρώσεται μὲν, τὴν ἀναγκαίως παρειλημμένην κατὰ β', πρόσωπον ἐν εὐθείᾳ πτώσει ἀντωνυμίαν τὴν σὺ, αὕτη δ' ἀποίσεται τὸ μόνης εἶναι κλητικῆς; περισσὸν ἐπεισάγειν ἄλλας συντάξεις, τοῦ λόγου ἀνενδοιάστως ἀποδειχθέντος.

Ὡς εἴρηται.

Ἔνθα ἐλέγετο, ὅτι τὰ συμπίπτοντα κατὰ γένος ἢ καθ' ὁ, τιοῦν, ἀφίσταται τοῦ ἀκαταλλήλου.



Περὶ Ῥή-

Περὶ Ῥήματος.

Τὸ δὲ Ῥῆμα ἔστι μὲν λόγου μέρος

Ἐπιστήσειεν ἄντις, τί ὅτι μὴ μετὰ τὴν τοῦ Ὀνόματος θέσιν τὸ ἀντὶ τούτου παραλαμβανόμενον μόριον ὑπετάγη, λέγω δὴ ἡ Ἀντωνυμία; εἴγε κατὰ ἀμοιβὴν τοῦ ὀνόματος πάλιν σὺν τῷ Ῥήματι συνέχει τὸν λόγον. ἀλλὰ τὸ Ῥῆμα; Ἢ ὅτι ἕνεκα τῆς τῶν Ῥημάτων συνόδου ἐπενοήθησαν αἱ Ἀντωνυμίαι. (ἐπεὶ γὰρ τὰ ὀνόματα γ', προσώπου εἰσὶν ἀποφαντικὰ, (καθ' ὅ, τι αἱ ἀπ' αὐτῶν γινόμεναι θέσεις, οὔτε τοῦ ἀποφαινομένου προσώπου εἰσίν. ὅπερ ἐστὶν ἴδιον α', προσώπου. οὐ γὰρ δή γ' ἑαυτοῖς τίθενται οἱ παῖδες τὰ ὀνόματα. οὔτε πρὸς αὐτοὺς πάλιν ἀποφαινόμενοι τοὺς παῖδας, τὰς ὀνομασίας ποιούμεθα. ὅπερ ἐστὶν ἴδιον β', προσώπου.) τὰ δὲ ῥήματα οὐκ ἐν τρίτοις κατὰ τὰ ὀνόματα, ἐνδὲ τρισὶ προσώποις καταγίνεται, διὰ τοῦτο προσεπινενόηται ἡ Ἀντωνυμία, ἐν προσώποις καταγινομένη ἀνταναπληροῦσα καὶ τὴν θέσιν τοῦ ὀνόματος καὶ τὴν τάξιν τοῦ Ῥήματος. ὡς ἐν τοῖς τοιούτοις, ἐγὼ γράφω, σὺ μανθάνεις. κατὰ γὰρ τὸ γ', οὐκ ἐμποδίζεται ἡ θέσις τῶν ὀνομάτων, ὥστε λέγειν, ἀρίσταρχος ἀναγινώσκει, ὡς ἂν δὴ τρίτων προσώπων τοῖς ὀνόμασι συνόντων. οὐ τοῦτο δὲ παρίστημι, ὡς αἱ κατὰ τὸ γ', ἀντωνυμίαι περιτταί εἰσι, δυναμένων τῶν ὀνομάτων ἐπὶ γ', παραλαμβάνεσθαι. ὅτι γὰρ καὶ ἐν τρίτοις προσώποις καταγίνονται αἱ ἀντωνυμίαι, ἐν τοῖς κατὰ μέρος ἔσται δῆλον.) εἰ δὲ τοῦτο ἀληθὲς, οὐ μόνον προτιμηθήσεται, ἀλλὰ καὶ προϋποστήσεται ἡ τῶν ῥημάτων τάξις τῶν δι' αὐτὰ οὐχ ὡς μέσων, ἀλλ' ὡς ἀναπληρωτικῶν ἐπινοηθεισῶν ἀντωνυμιῶν. εἴγε τὸ Ῥῆμα τῇ Ἀντωνυμίᾳ συνεισαγόμενον, οὐ πάντως συνεισάγει τὴν ἀντωνυμίαν. οἷα τά τε κατὰ τὸ γ', ἁπλῶς καὶ τὰ κατὰ τὸ β', προστακτικά. ὁμόλογον δὲ, ὡς τὰ συνεισαγόμενα καὶ μὴ συνεισάγοντα, φύσει πρότερα. τὸ δὲ μεῖζον, τὰ μὲν ῥήματα προσώπων τῶν κατ' εὐθεῖαν καὶ ἀπολύτως νοουμένων ἐστὶ παραστατικά. ὁ γὰρ ἀποφαινόμενος περιπατῶ, ἢ γράφω, οὐ πρὸς ἑτέρου προσώπου ἔνδειξιν εἴτ' οὖν διαστολὴν ὁρίζεται, ἀλλ' ἀπόλυτον ἀφήγησιν τοῦ α', κατ' εὐθεῖαν νοουμένου παρεμφαίνει προσώπου. οὕτω καὶ ὁ εἰπὼν, γράφεις. αἱ δὲ ἀντωνυμίαι εἰς διάκρισιν προσώπων ἐπινοηθεῖσαι, ἐν μὲν ταῖς πλαγίαις πτώσεσι καὶ ἐγκλίνονται, ἀπολύτων προσώπων οὖσαι παραστατικαὶ, καὶ ὀρθοτονοῦνται, πρόσωπα διαστέλλουσαι, ἐνδὲ ὀρθῇ πτώσει εἰς παρέμπτωσιν ἀεὶ διαστελλομένου προσώπου παραλαμβάνονται κατ' ὀρθὴν τάσιν. ὡς ἔχει τὸ, παῖδα δ' ἐμοὶ λύσατε. πρὸς τὸ, ὑμῖν μὲν θεοὶ δοῖεν. ἰλ: α. καὶ τὸ, ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα, πρὸς τὸ, φίλων ἀπάνευθεν ἑταίρων. Πῶς οὖν καὶ αἱ εὐθυλεκτούμεναι ἀντωνυμίαι τὸ ἐγκλιτικὸν πρόσωπον οὐ παραδέχονται, μὴ ἐγκλινόμεναι δηλ: καὶ αὐταὶ κατὰ τὰς πλαγίας; ἢ ὅτι τῶν προϋφεστώτων ῥημάτων ἀναπληρούντων τὸ τῆς ἐγκειμένης εὐθείας ἀπόλυτον πρόσωπον, εἰς οὐδὲν ἂν χρειώδεις ἐπενοοῦντο αἱ τῆς εὐθείας ἐγκλιτικαὶ ἀντωνυμίαι, τάχα παρελκόμεναι πλέον τῶν παραπληρωματικῶν συνδέσμων. οἳ ἀποδειχθήσονται καὶ ἀναγκαίως παραλαμβανόμενοι. καὶ φαίνεται ὅτι ἐνέμειναν αἱ τῆς εὐθείας ἀντωνυμίαι οὐδι' ἄλλοτι, ἢ καθ' ὃ τὰ ῥήματα μὴ δυνάμενα τὴν ἀντιδιαστολὴν τῶν προσώπων παραστῆσαι, συμπαραλαμβάνει τὴν ἀντωνυμίαν ἕνεκα τοῦ ἐξαιρέτου αὐτῆς ἰδιώματος, λέγω τῆς ἀντιδιαστολῆς. Ἐπὶ τούτοις, μετὰ τὸ ὄνομα προσεχῶς τὸ ῥῆμα τέτακται τῷ λόγῳ τῆς σχέσεως τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον.

Προσώ-

Προσώπων τε διακριτικὸν,

Τῆς ἀντωνυμίας διακριτικωτάτης οὔσης προσώπων, ὡς εἰρήσεται, τί ὅτι μὴ ἐπ' αὐτῆς, ἐπὶ δὲ τοῦ ῥήματος ἡ τῶν προσώπων διάκρισις τέθειται; ἢ ὅτι αἱ ἀντωνυμίαι εἰς ἀναπλήρωσιν τοῦ κατὰ τὸ ὄνομα ἐλλειποῦς ὕστερον ἀνθυπήχθησαν. ἐλλείπει δὲ τὰ ὀνόματα οὐ τρισὶ προσώποις, δύοιν δὲ, α', φημὶ καὶ δευτέρῳ κατὰ τὴν εὐθεῖαν. εὔδηλον ἄρα, ὡς ἡ ἀντωνυμία οὐκ ἀναγκαίως ἐν τρισὶ προσώποις καταγίνεται, ὄντων ἐπὶ γ', τῶν ὀνομάτων, ὅτι μὴ κατὰ δεῖξιν, ἢ ἀναφοράν. ἐπεὶ δὲ τὸ λεῖπον τῶν ἀντωνυμιῶν τρίτον, καὶ τὰ λείποντα τῶν ὀνομάτων α', καὶ δεύτερα, εἰς ἕνωσιν ἄγει ἑκάτερα τὰ μόρια, εἰς μίαν ῥηματικὴν σύνταξιν συμφερόμενα, διὰ τοῦτο καὶ ἡ τῶν προσώπων διάκρισις ἐπὶ τοῦ ἀμφοῖν συλληπτικοῦ ῥήματος διώρισται.

Καὶ χρόνων διαφόρων προσημαντικὸν,

Πρὸς ἀντιδιαστολὴν τῆς ἀντωνυμίας, διακριτικῆς μὲν οὔσης προσώπων, οὐ μὴν καὶ χρόνον προσημαινούσης. οὐ τοῦτο δέ φησιν, ὡς τὸ ῥῆμα πρὸς τῷ προσώπων εἶναι διακριτικὸν, ἔστι καὶ χρόνων διαφόρων σημαντικὸν, ἀλλὰ πρὸς τῷ διάθεσιν σημαίνειν ὁποιανδήτινα, ἔτι καὶ χρόνους σημαίνει διαφόρους. σημαίνειν μὲν γάρ ἐστι, τὸ προηγουμένως δηλοῦν, τι, προσημαίνειν δὲ, τὸ πρὸς τῷ πρώτως δηλουμένῳ κατὰ β', λόγον καὶ ἑτερόν τι συνεμφαίνειν. τὰ δὴ ῥήματα προηγουμένως μὲν ἐνεργείας τινὰς, ἢ πάθη δηλοῦν βούλεται, οἱ δὲ προσόντες χρόνοι, ταῖς ἐνεργείαις, ἢ τοῖς πάθεσι, καθ' οὓς εἶναι λέγονται, ἢ γεγονέναι, ἢ ἔσεσθαι, μετὰ τοῦτο ὥσπερ συναναφαίνονται. διάθεσις δέ ἐστιν ἀποτέλεσμα κινήσεως, ὡς τὸ ᾠκοδομεῖσθαι τῆς οἰκοδομήσεως, ἢ ποιότης, καθ' ἣν δρᾷ τι περί τι, ἢ ἀλλοιοῦται ὑπότου, καὶ γὰρ καὶ ὁ λίθος αὐτὸς, ἐν ᾧ ἀκινητεῖ, διατίθεται ἀλλοιούμενος. εἴγε βίᾳ τῆς φυσικῆς ἐπὶ τὸ κάτω φορᾶς ἀνακοπτόμενος, (τὸ γὰρ ἀκινητεῖν αὐτὸν, βίαιον) ἀλλοιοῦταί πως, τοῦ πεφυκότος ἐμποδιζόμενος.

Κατὰ διαφόρους μεταχηματισμούς.

Μεταχηματισμοὶ τῶν μὲν πτωτικῶν εἰσιν, οἱ εἰς πτώσεις καὶ γένη, τῶν δὲ ῥημάτων, οἱ εἰς χρόνους, πρόσωπα, ἐγκλίσεις καὶ διαθέσεις. ἀμφοῖν δὲ, οἱ εἰς ἀριθμούς. ἔστι καὶ γὰρ μεταχηματισμὸς μεταβολὴ λέξεως κατὰ τὰ παρεπόμενα. διαφόρων γοῦν χρόνων ἐστὶ προσημαντικὸν, οὐ μὴν μοναδικῶς, ἀλλὰ διαφόρως μεταχηματιζόμενον, πρὸς ἀντιδιαστολὴν τῶν χρονικῶν ἐπιῤῥημάτων. ὧν ἔστιν ἃ διαφόρων χρόνων οὔκουν προσημαντικὰ, σημαντικὰ δὲ μόνον, καὶ οὐ κατὰ διαφόρους, καθ' ἕνα δὲ μόνον χηματισμόν. ὡς τὸ νῦν, τὸ ἤδη, τὸ ὅτε καὶ τότε, τὸ οὐκέτι, τὸ οὐδέποτε, τὸ ἀεὶ, τὸ οὔπω. Ἀλλ' ἀπορήσεις, ἀρετὴ ὁρισμοῦ τὸ ἀντιστρέφειν πρὸς τὸ ὁριστὸν, τοῦτ' ἔστι τὸ μήτε ἐπὶ πλέον εἶναι τούτου, μήτε ἐπέλαττον. ὁ γοῦν ἀποδεδομένος τῷ ῥήματι ὁρισμὸς παρὰ μὲν τῷ Θεοδώρῳ, ἐπέλλαττον, παρὰ δὲ Ἀπολλωνίῳ, ἐπὶ πλέον ἐστὶ τοῦ ὁριστοῦ. ὁρίζονται γὰρ ὁ μὲν, τὸ ἀπαρέμφατον τῇ τῶν προσώπων ἐλλείψει, ὁ δὲ Θεόδωρος τὰς δ', ἐγκλίσεις μόνον, τῇ τῶν προσώπων προσθήκῃ, παρατιθέμενοι ὁ μὲν, πλοῦτον ἐνδεῆ, ὁ δ' ἐνδείαν πλουτοῦσαν. Ἢ ὅτι ὡρίσαντο τὸ ῥῆμα ὁ μὲν, γενικώτερον, συμπαραλαβὼν καὶ τὸ ἀπαρέμφατον, ὁ δὲ Θεόδωρος εἰδικώτερον, τοῦτ' ἔστι τὰς ἐγκλίσεις μόνας, τὸ δ' ἀπαρέμφατον οὐ ῥῆμα, ὄνομα δὲ κοινὸν ῥήματος ἐρεῖ. καθ' ὅ, τι τὰ ὁριζόμενα γνωριμώτερα ἂν εἴη, εἰδικώτερον ἀποδιδόμενα, κατὰ τὸν φιλόσοφον ἢ γενικώτερον. μᾶλλον γὰρ φη-

γάρ φησιν, ἐπίδηλον ἐποίησε τὸν ἐν ἀθήναις, εἰ τύχοι, φίφον ὁ εἰπὼν σωκράτην, ἤπερ ὁ εἰπὼν ἄνον, ἢ ζῷον. ὡσαύτως μᾶλλον ὑπέδειξε τὸν Ἀλεξάνδρου ἵππον, ὁ εἰπὼν βουκέφαλον, ἢ ὁ εἰπὼν ἵππον, ἢ ζῷον.

Τί δέ ἐστιν ὁ Χρόνος, πλέον ἂν εἴη ἢ κατὰ γραμματικὴν θεωρῆσαί τε καὶ ὁρίσασθαι.

Τὸ ἄρα τί ἐστιν Ὄνομα, καὶ τί Ῥῆμα, Γραμματικοῦ ἂν εἴη θεωρῆσαί τε καὶ ὁρίσασθαι. εἴγε κατὰ Θεόδωρον Γραμματικοῦ καὶ ἡ περὶ ταῦτα θεωρία. δοκεῖ δὲ ταυτολογεῖν, εἰπὼν θεωρῆσαί τε καὶ ὁρίσασθαι, ὡς καὶ ὁ Ξενοκράτης, τὴν φρόνησιν ὁριστικὴν καὶ θεωρητικὴν τῶν ὄντων εἰπὼν εἶναι. ἡ γὰρ ὁριστικὴ, φησὶν Ἀριστ: λ: ς', τῶν τοπ: θεωρητική τίς ἐστιν. ἀλλὰ γὰρ οὐχὶ καὶ ἡ θεωρητικὴ ὁριστική ἐστι. πολλοὶ γὰρ οἱ τρόποι τῆς θεωρίας. ὧν εἷς καὶ ὁ δι' ὁρισμοῦ τὸ προκείμενον πολυπραγμονῶν. ταύτῃ τοι καὶ ὁ Θεόδωρος τετηρημένως, εἶπεν οὐχὶ, ὁρίσασθαι καὶ θεωρῆσαι, ἀλλὰ τοὐναντίον, θεωρῆσαί τε καὶ ὁρίσασθαι, τὸ γενικώτερον τῷ εἰδικωτέρῳ διορισάμενος. Φίλων δ' ὁ ἰουδαῖός φησι τὰ τῆς φιλοσοφίας εὑρέματα παρασπάσασθαι τοὺς γραμματικοὺς, παρεργολαβοῦντας. ταύτης γὰρ ἴδιον ἐξετάζειν, τί συνδεσμος, τί ὄνομα, τί ῥῆμα, τί κοινὸν ὄνομα, τί ἴδιον, τί ἐλλειπὲς ἐν λόγῳ, τί πλῆρες, τί ἀπόφαντον, τί ἐρώτημα, τί πύσμα, τί περιεκτικόν, τί εὖ, κακὸν δὲ τί. τὰς γὰρ περὶ αὐτοτελῶν καὶ ἀξιωμάτων καὶ κατηγορημάτων πραγματείας τήνδε εἶναι τὴν συνθεῖσαν. ἡμίφωνον δὲ, ἢ φωνῆεν, ἢ παντελῶς ἄφωνον στοιχεῖον ἰδεῖν, μακρόν τε καὶ βραχὺ, καὶ πῶς ἕκαστον τούτων εἴωθε λέγεσθαι, καὶ πᾶσαν τὴν περὶ φωνῆς καὶ στοιχείων καὶ τῶν τοῦ λόγου μερῶν ἰδέαν τῇ φιφίᾳ πεπονῆσθαι καὶ διηνύσθαι. τοὺς δὲ Γραμματικοὺς βραχείας ὥσπερ ἀπὸ χειμάρρου σπάσαντας λιβάδας, καὶ ταῖς ἑαυτῶν ψυχαῖς ἐναποθλίψαντας, τὸ κλαπὲν εἶτα προφέρειν τοὺς φῶρας ὡς ἴδιον. καὶ ἔοικέ πως εἰκότα λέγειν. πᾶν γὰρ Γραμματικοῦ τὸ ὁρίζειν, μὴ εἰδότος τί μὲν γένος καὶ διαφορὰ, τί δὲ ὕλη καὶ εἶδος, τί δὲ τέλος καὶ ὑποκείμενον, ἐξ ὧν λαμβάνονται οἱ ὁρισμοί;

Λαβεῖν οὖν καὶ τὸν χρόνον, ὡς καὶ ἄλλα πολλὰ, συγκεχυμένως χρῆναί φαμεν.

Οἷα τὰ γένη καὶ τὰ εἴδη, ἡ α', καὶ ἡ β', οὐσία, τὸ γένος, τὸ πρόσωπον, ὁ ἀριθμὸς, ἡ διάθεσις καὶ τὰ τοιαῦτα. τὰ γὰρ ὁμώνυμα καὶ συνώνυμα, καὶ ὅλως, ὧν ὁ λόγος ἀπεδόθη, οὐκ ἀμυδρῶς, εὐκρινῶς δὲ μᾶλλον εἴληπται, τοῦ κατ' αὐτὰ λόγου τὴν τούτων φύσιν διατρανοῦντος. τί δέ ἐστι συγκεχυμένως λαβεῖν, ἐν ἰδίῳ τόπῳ ἐροῦμεν.

Ἀλλὰ μὴ περιεργάζεσθαι τὸν τῆς κινήσεως ἀριθμὸν κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. πλέον γάρ τοι οὐδὲν εἰς τὸ παρὸν ἡ τοῦ διωρισμένου γνῶσις ἡμῖν συμβαλεῖται.

Σκόπει τὴν τοῦ Θεοδώρου περιέργειαν. περιέργον γὰρ εἶναι εἰπὼν καὶ οὐ πρὸς Γραμματικοῦ θεωρῆσαί τε καὶ ὁρίσασθαι τί ποτέ ἐστι χρόνος, εἶθ' ὑποκαταβὰς, περιέργως ἅμα καὶ παρὰ προσδοκίαν τὸ τί ἦν εἶναι τοῦ χρόνου ἀπέδοτο ἐν τῷ εἰπεῖν, μὴ περιεργάζεσθαι τὸν τῆς κινήσεως ἀριθμὸν, καὶ ἑξῆς. καὶ γὰρ χρόνος ἐστὶ κατὰ τὸν Ἀριστοτέλην, βιβλ: δ', φυσκ: ἀριθμὸς κινήσεως κατὰ τὸ πρότερόν τε καὶ ὕστερον. πρότερον μὲν οὖν καὶ ὕστερον ᾧδε ληπτέον, οὐχὶ τὰ ἀλλήλοις ἀντιδιαιρούμενα τοῦ χρόνου μόρια, τὸ παρεληλυθός φημι καὶ τὸ μέλλον, ἀλλὰ

ἀλλὰ τὰ τῇ καθ' ὁ, τιοῦν τῶν ἀντιδιαιρουμένων τοῦ χρόνου μορίων κινήσει ἀντιπαρακείμενα δύω ἀτομικὰ νῦν, διορίζοντα τὴν ἐν τῷ μεταξὺ τούτων κίνησιν. ἅπερ εἰσὶν ὅροι τινὲς οἱονεὶ τῆς κινήσεως τὸ μὲν, ἐξοῦ, εἴ τ' οὖν πρότερον, τὸ δὲ, εἰς ὃ, εἴ τ' οὖν ὕστερον. ἐφ' οἱ ἀσοῦν γὰρ κινήσεως θεωρεῖται πρότερον καὶ ὕστερον, ἀρκτικὸν λέγω καὶ ληκτικὸν κίνημα. τὸ γὰρ ἔτυψα καὶ τὸ τύψω ἀρχὴν ἔχει καὶ τελευτὴν ἑκάτερα τῆς κατὰ τὴν τύψιν κινήσεως. ἀριθμὸς δὲ εἴρηται ὁ χρόνος, οὐχ ὅτι ἁπλῶς ἐστιν ἀριθμὸς, σωρεία τις λέγω μονάδων. συνεχὴς γὰρ καὶ αὐτὸς κατά τε τὴν τοῦ παντὸς κίνησιν καὶ τὸ μέγεθος, ἀλλ' ὡς τῷ ἀναλογισμῷ εἴ τ' οὖν διορισμῷ τῶν ἑκάστῃ, ὡς εἴρηται, συνεχείᾳ ἀντιπαρακειμένων δυοῖν νῦν, τοῦ προτέρου λέγω καὶ ὑστέρου, γνωριζόμενος ὑπὸ τῶν αἰσθέσθαι χρόνου δυναμένων. εἴ γε ἀριθμοῦ ἄρτιον εἶδος τὰ δύω. ὅταν γὰρ, φησὶν Ἀριστ'λ: ἕτερα τὰ ἄκρα τοῦ μέσου νοήσωμεν, καὶ δύω εἴπῃ ἡ ψυχὴ τὰ νῦν, τὸ μὲν, πρότερον, τὸ δὲ, ὕστερον, τότε τοῦτό φαμεν εἶναι χρόνον. λέγει δὲ ἄκρα μὲν, τὰ ὡς εἴρηται ἡντιναοῦν κίνησιν ἀντιπαρακειμένως διορίζοντα ἀτομικὰ δύω νῦν, τὸ μὲν, ὡς ἑξῆς φησι, πρότερον, τὸ δὲ, ὕστερον, μέσον δὲ, τὴν μεταξὺ τούτων παρατεταμένην κίνησιν. ἕτερα δὲ πάλιν τὰ ἄκρα τοῦ μέσου φησὶ νοητέον, καθ' ὅ, τι ὅταν αὐτοί φησι μηθὲν μεταβάλωμεν τὴν διάνοιαν, ἀλλ' ἐν ἑνὶ καὶ ἀδιαιρέτῳ φαίνηται ἡ ψυχὴ μένουσα, ἢ λαίθωμεν μεταβαλόντες, οὐ δοκεῖ ἡμῖν γεγονέναι ὁ χρόνος. καθάπερ οὐδὲ τοῖς ἐν σαρδοῖ μυθολογουμένοις καθεύδειν παρὰ τοῖς ἥρωσιν, ὅταν ἐγερθῶσι. συνάπτουσι γὰρ τῷ προτέρῳ νῦν τὸ ὕστερον νῦν, καὶ ἓν ποιοῦσιν, ἐξαιροῦντες διὰ τὴν ἀναισθησίαν τὸ μεταξύ. ὥσπερ οὖν φησιν, εἰ μὴ ἦν ἕτερον τὸ νῦν, ἀλλὰ ταὐτὸ καὶ ἓν, οὐκ ἂν ἦν χρόνος, οὕτω καὶ ἐπὶ τοὺς ἐξεγερθέντας τοῦ ὕπνου λανθάνει ἕτερον ὂν, παρ' ὃ ὕπνωσαν, οὐ δοκεῖ εἶναι τὸ μεταξὺ χρόνος. Τὸν μὲν οὖν κατὰ χρόνον ἀριθμὸν οὕτω πως ληπτέον, ᾗ δηλονότι τῶν ἀντιπαρακειμένων ἀλλήλοις νῦν τῷ προτέρῳ τε καὶ ὑστέρῳ, ἡ μεταξὺ τούτων συνεχὴς κίνησις διορίζεται. ἔστι δὲ καὶ ὁ χρόνος, ὥσπερ καὶ ὁ ἀριθμὸς καὶ τὸ μέγεθος καὶ ὁ τόπος, μέτρον οὐ μὴν μετροῦν, μετρητὸν δέ. Κίνησις δὲ ὁποία τίς ἐστι, πλέον μὲν ἂν εἴη ἢ κατὰ γραμματικὴν θεωρῆσαι καὶ περὶ αὐτῆς, ὡς δ' ἐν τύπῳ καὶ εἰσαγωγῇ εἰπεῖν, ἔστιν ἡ μέν τις ἐνέργεια ἀμετάβλητος, ἀεὶ ὡσαύτως ἔχουσα, καὶ τῶν τελείων οὖσα, ᾗ τελεία. καθ' ἣν νοεραὶ λέγομεν κίνησιν τῆς τε ψυχῆς, βουλευομένης καὶ διανοουμένης καὶ θεωρούσης καὶ κρινούσης, καὶ τῶν αὔλων ἁπλῶς οὐσιῶν. ὧν οὐκ ἐν χρόνῳ ἡ κίνησις, ἡ δὲ ἐν ταῦθα παραδιδομένη, μεταβολή τίς ἐστιν, ἀεὶ ῥέουσα, καὶ τῶν ἀτελῶν, ᾗ ἀτελῆ, ἔγχρονος καὶ ὡς εἰπεῖν ἀτελὴς ἐνέργεια, καί τις ὁδὸς ἀπὸ τοῦ δυνάμει ἐπὶ τὸ ἐνεργείᾳ διαβιβάζουσα. οἷα ἡ ἀπὸ λευκοῦ φέρε εἰς μέλαν ἀλλοίωσίς τινος, ᾗ ἀλλοιοῦται. ᾗ μὲν γὰρ λευκὸν, κινεῖσθαι οὐκ ἂν λέγοιτο, ἀλλ' οὐδὲ ᾗ μέλαν. καθ' ἑκάτερα γὰρ ἕστηκε, μᾶλλον δὲ ἠρεμεῖ, ἀλλ' ᾗ μελαίνεται. ὡς εἶναι κίνησιν τὴν μέλανσιν, περισῳζομένου ἔτι τοῦ δυνάμει. τούτου γὰρ φθαρέντος, εὐθὺς ἡ κίνησις ἐντελὴς γέγονεν ἐνέργεια. κοινότης δέ τίς ἐστιν ἡ ἔγχρονος κίνησις, ὁμωνύμως κατηγορουμένη τῶν διαφόρων κινήσεων. ὡς γὰρ τὰ δ', Γένη, ἐν οἷς ἡ κίνησις, γενικώτατα ὄντα, οὐκ ἔχει ἄλλο ὑπεραναβεβηκὸς, οὕτω δὴ καὶ αἱ ἐν αὐτοῖς κινήσεις οὐκ ἔχουσι γένος κοινὸν περιλαμβάνον αὐτάς. πρώτη δὲ τούτων ἐστὶ καὶ κυριωτάτη, ὡς τῶν ἄλλων ἐναργεστέρα ἡ φορά. δι' ὃ καὶ ἁπλῶς κινεῖσθαί φασι τὸ κατὰ τόπον κινούμενον. ὃ δὲ κατὰ τόπον ἠρεμοῦν, κατ' ἄλλην τινὰ κινεῖται κίνησιν, κατ' οὐσίαν τυχὸν, γιγνόμενον, ἢ φθειρόμενον, ἢ κατὰ ποσὸν αὖξον ἢ μει-

ἢ μειούμενον, ἢ κατὰ ποιὸν ἀλλοιούμενον, πῇ λέγουσιν αὐτὸ κινεῖσθαι. ἔστι δ' ὁ χρόνος καὶ τῆς ἠρεμίας μέτρον κατὰ συμβεβηκός. ἥτις καὶ αὐτὴ ἐν παρατάσει χρονικῇ θεωρουμένη, ἀκινησία ἐστὶ τοῦ πεφυκότος κινεῖσθαι, ὅτε πέφυκεν, (ἐπεὶ τὸ ἀρτιγενὲς σκυλάκιον ἠρεμεῖν κατὰ τὸ ὁρᾶν οὐκ ἂν λέγοιτο. ἐπεὶ πέφυκε μὲν ὁρᾶν, ἀλλ' οὐκ εὐθὺς τεχθέν.) καὶ οὗ πέφυκεν, (ἐπεὶ οἱ ἰχθύες ἐπὶ τῆς ἐν ἀέρι κινήσεως ἠρεμεῖν οὐκ ἂν λέγοιντο, μὴ πεφυκότες ἐν ἀέριοι εἶναι.) καὶ ὡς πέφυκεν. (ἐπεὶ καὶ οἱ ὄφεις ἑρπιστικοὶ οὐ βαδιστικοὶ πεφυκότες, κατὰ τὴν βαδιστικὴν κίνησιν οὐκ ἂν λέγοιντο ἠρεμεῖν.) καὶ πᾶσα μὲν ἠρεμία, εἴη ἂν καὶ στάσις, οὐ πᾶσα δὲ στάσις, καὶ ἠρεμία ἂν εἴη. εἴγ' ἡ Γῆ ἐν τῷ μέσῳ ἱσταμένη, ἠρεμεῖν οὐκ ἂν λέγοιτο, ὡς μηδὲ πεφυκυῖα κινεῖσθαι. τὸν δὴ χρόνον οὕτω πῶς ἔχοντα συγκεχυμένως χρῆναί φησι λαβεῖν ὁ Θεόδωρος, μὴ περιεργαζομένους ἢ τούτου τὸ τί ἦν εἶναι, ἢ τῆς κατὰ τὰ ῥήματα κινήσεως τὸν κατὰ τὸ αὐτῆς πρότερόν τε καὶ ὕστερον νῦν εἴτ' οὖν κίνημα ἀριθμὸν, τοῦτ' ἔστι διορισμόν. οὐδὲ γὰρ ἀνάγκη κατὰ τοὺς χρόνου γένεσιν φυσιολογοῦντας καὶ τὸν Γραμματικὸν ἕτερα τὰ ἄκρα τοῦ μέσου ἐν νοήσαντα, καὶ τὸ πρότερον καὶ ὕστερον λαβόντα νῦν, ἀριθμεῖν εἴτ' οὖν διορίζειν κατ' αὐτὰ τὴν μεταξὺ κίνησιν τῶν ῥημάτων. τί γὰρ δὴ καὶ ξυμβαλεῖται ἔς γε τὸ παρὸν ὁ κατὰ τὸ πρότερόν τε καὶ ὕστερον διορισμὸς ἢ ἧς ξυνέγραψεν ὁ Θουκυδίδης ξυγγραφῆς, ἢ οὗ ἀθηναῖοί τε καὶ λακεδαιμόνιοι πρὸς ἀλλήλους ἐπολέμησαν πολέμου; ἀξύμφορον δὲ λέγει εἶναι τὴν τοῦ χρόνου γνῶσιν ἐπὶ τοῦ παρόντος οὐχ ἁπλῶς ἀλλὰ τὴν τοῦ διορισμένου, πρὸς ἀντιδιαστολὴν τοῦ ἀδιορίστου καὶ συγκεχυμένως εἰλημμένου. εἴη δ' ἂν διωρισμένως ἐγνωσμένος ὁ χρόνος, καθ' ὃν, ὡς εἴρηται, ἡ κίνησις κατὰ τὸ αὐτῆς πρότερόν τε καὶ ὕστερον ἀριθμεῖται εἴτ' οὖν διορίζεται. ὧν δὴ ἄκρων οὐδέτερον ὁ γραμματικὸς περιεργαζόμενος, συγκεχυμένως δηλονότι λαμβάνει τὸν χρόνον. ὅπως μὲν οὖν τὸν χρόνον κινήσεως ὄντα ἀριθμὸν ἀριθμητέον, ἡρμήνευσεν ὁ Ἀριστοτέλης, εἰπὼν, ὅταν ἕτερα τὰ ἄκρα τοῦ μέσου νοήσωμεν, καὶ δύω εἴπῃ ἡ ψυχὴ τὰ νῦν, τὸ μὲν, πρότερον, τὸ δὲ, ὕστερον. ὧν οὐδέτερόν ἐστι χρόνος, (ἐπεὶ οὔτε προστιθέμενον, αὔξει τὸν χρόνον, οὔτε ἀφαιρούμενον, μειοῖ. ὡς οὐδὲ τὸ ἀμερὲς σημεῖον τὴν γραμμήν.) ἀλλὰ τὸ μεταξὺ τούτων, οὐ νῦν ὂν, ἀλλὰ χρόνος.) ἐπεὶ οὔτε μέγεθος ἐξ ἀμερῶν σύγκειται, οὔτε γραμμὴ ἐκ σημείων, οὔτε κίνησις ἐκ κινημάτων, ἡ ἐν παρατάσει θεωρουμένη, τῶν μηδεμιᾶς μετεχόντων παρατάσεως, ἀλλ' ἀρχὴ καὶ πέρας ὄντων τῆς κινήσεως ἀμερῶν καὶ ἀδιαιρέτων, οὔτε χρόνος ἐκ τῶν νῦν. (οὐ γάρ ἐστι δύω νῦν ἐφεξῆς, ἀλλ' ὁρίζεται ὑπ' αὐτῶν.) ἀλλ' οὐδὲ ἐξ ἀπλατῶν πλάτος, λέγω δὲ ἐκ γραμμῶν ἐπιφάνεια. οὔτε ἐξ ἀβαθῶν βάθος, λέγω δὲ ἐξ ἐπιφανειῶν σῶμα. πέρας μὲν γὰρ γραμμῆς, σημεῖον, σημείου γε μὴν πέρας, οὐθέν. δι' ὅ, τι οὐδὲ μέρος τὸ οἱονοῦν. δι' ὃ καὶ ὅσα περ ἂν συνέλθῃ σημεῖα, μόριον οὐκ ἀποτελέσει γραμμῆς οὐδὲ τελάχιστον. ἐπείπερ οὐδ' ἀλλήλων ἅπτεσθαι δύναται, ἀλλ' ἐφαρμόζει τὰ παῦτα. τὰ γὰρ ἀστόμενα, κατὰ πέρατα ἅπτονται. ὧν δὲ μέρος οὐθέν, δῆλον ὅτι καὶ πέρας οὐθέν. οἷς δὲ οὐκ ἔστι πέρας, οὐδὲ τὸ ἅπτεσθαι. ἅπτεσθαι γὰρ λέγονται, ὧν ἅμα τὰ πέρατα. ὡς οὖν ἔχει τὸ σημεῖον ἐν τῇ γραμμῇ, οὕτως ἐν χρόνῳ τὸ νῦν, καὶ ἐν κινήσει τὸ κίνημα. ὡς γὰρ τῆς γραμμῆς τὸ πέρας καὶ ἡ ἀρχὴ σημεῖά ἐστιν ἀμεγέθη καὶ ἄτομα, οὕτω καὶ τῆς κινήσεως ἀρχὴ πᾶσα καὶ ἅπαν πέρας ἀμερῆ τινα καὶ ἀδιαίρετά εἰσι. καλοῦνται δὲ ταῦτα κινήματα. Ὁ μὲν οὖν σταγειρίτης τῶν δύοιν ἄκρων νῦν, εἴτ' οὖν κινημάτων τῷ προτέρῳ τε καὶ ὑστέρῳ τὴν μεταξὺ διορί-

διορίζει κίνησιν, εἴτ' οὖν τὸν χρόνον, ὁ δὲ ναζ: Γρηγόρ: τῇ τοῦ ἡλίου φορᾷ, χρόνος ἐστὶν, εἰπὼν, μέτρον, κινήσεως δηλ: ἡλίου φορᾷ μετρητόν. (καὶ γὰρ καὶ κατὰ τὸν Ἀριστοτέλην, δ', περὶ ἀρχῶν, οὐ μόνον τὴν κίνησιν τῷ χρόνῳ, ἀλλὰ καὶ τὸν χρόνον τῇ κινήσει μετροῦμεν. ὁμὲν γὰρ χρόνος ὁρίζει τὴν κίνησιν, ἀριθμὸς ὢν αὐτῆς, ἡ δὲ κίνησις τὸν χρόνον, διὰ τὸ ὁρίζεσθαι ὑπ' ἀλλήλων. πολλὴν γάρ φαμεν τὴν ὁδὸν, ἧς ἡ πορεία πολλή. καὶ πολλὴν τὴν πορείαν, ἧς ἡ ὁδὸς πολλή. ὡσαύτως καὶ τὸν χρόνον, ἂν καὶ ἡ κίνησις, καὶ τὴν κίνησιν, ἂν καὶ ὁ χρόνος πολὺς ᾖ.) τοῦ γὰρ ἡλίου δύω κινουμένου κυκλικὰς κινήσεις ἀντιρρόπους ὁμοῦ, μίαν μὲν, οἰκείαν καὶ κατὰ φύσιν, τὴν ἐκ δυσμῶν πρὸς ἀνατολὰς, ἥτις καὶ ἀνεπαίσθητός ἐστι διὰ τὸ ὑπερβάλλον τῆς βραδυτῆτος, ἑτέραν δὲ, τὴν τῆς πρώτης καὶ ἀνάστρου σφαίρας τῆς ἐξωτάτω καὶ μεγίστης. καθ' ἣν βιαίως καὶ ὑπὲρ φύσιν ἐξ ἀνατολῶν ὀξυτάτως τῷ στερεώματι συμπεριάγεται πρὸς δυσμὰς, μετρεῖται ὁ χρόνος, εἴτ' οὖν διορίζεται τῇ τούτου φορᾷ τῇ μὲν ἀπ' ἀνατολῶν εἰς δυσμὰς, ὁ ἡμερονύκτιος, τῇ δὲ ἀντιρρόπῳ, ὁ ἐνιαύσιος. ὁμηνιαῖος δὲ πάλιν, τῇ καθ' ἕκαστον τῶν ζῳδίων αὐτοῦ ἐκβάσει. (τοῦ γὰρ ζῳδιακοῦ λεγομένου κύκλου εἰς δώδεκα μέρη διαιρουμένου τὰ καὶ ζῴδια λεγόμενα, τῶν τμημάτων τούτων ἕκαστον διὰ τριάκοντα ἡμερῶν ἐκβαίνει ὁ ἥλιος.) τῶν δ' αὖ κατὰ τὸ ἡμερονύκτιον ὡρῶν ἑκάστης εἰς ἡμιώρια καὶ τεταρτημόρια καὶ λεπτὰ παρὰ τοῖς ἀστρολόγοις ἑξηκοστὰ α', καὶ β', καὶ τρίτα, διαιρουμένης, καὶ αὐτῶν τῶν γ', ἑξηκοστῶν ἕκαστον οὐδὲν ἔλαττον χρόνος ἐστίν. ἐπεὶ προστιθέμενόν τε αὔξει τὸν χρόνον, καὶ μειοῖ ἀφαιρούμενον. ὁ γοῦν χρόνος ὑπὸ τῆς πρώτης καὶ ἁπλῆς κυκλοφορικῆς κινήσεως ἀριθμούμενος, ἀνταριθμεῖ πάλιν αὐτήν. (κατὰ γὰρ τὴν τῶν δύω μεγάλων φωστήρων ἀπὸ τῶν αὐτῶν εἰς τὰ αὐτὰ περιοδικὴν ἀποκατάστασιν αἱ παρ' ἡμῖν ἡ ἀρεοπαγ': φησὶ Διονύσ: ἡμέραι καὶ νύκτες ὁριζόμεναι, καὶ μῆνες καὶ ἐνιαυτοὶ μετρούμενοι, τὰς τοῦ χρόνου, καὶ τῶν ἐν χρόνῳ κυκλικὰς κινήσεις ἀφορίζουσι καὶ ἀριθμοῦσι.) κατὰ δὲ αὐτὴν καὶ τὰς ἄλλας κινήσεις ἀριθμεῖ. ὡς γὰρ τῆς κατὰ τόπον φορᾶς, οὕτω τοι καὶ τῆς κατά τε οὐσίαν καὶ ποσὸν καὶ ποιὸν κινήσεως τὴν παράτασιν ὥραις καὶ ἡμέραις καὶ μησὶ καὶ ἐνιαυτοῖς, καὶ ὅλως τῇ τοῦ ἡλίου φορᾷ ὁρίζομεν. ὡς εἶναι τὸν χρόνον τῆς μὲν κυκλοφορικῆς κινήσεως ἀριθμὸν, καὶ ὡς ἀριθμούμενον κατὰ τὸ ἐκείνης πρότερόν τε καὶ ὕστερον. (τοῦ πρότερον καὶ ὕστερον λαμβανομένου οὐ κατὰ ποσὸν, ὡς λέγομεν δύω κινήσεις, ἢ τρεῖς, κατὰ δὲ τὴν τοῦ εἶναι παράτασιν, ὅ ἐστι κατὰ τάξιν, ὡς λέγομεν πρότερον κίνημα καὶ ὕστερον.) καὶ ὡς ἀριθμοῦντα. τῶν δὲ λοιπῶν κινήσεων, ὡς ἀριθμοῦντα μόνον, οὐ μὴν δὲ καὶ ὡς ἀριθμούμενον. οὐ γὰρ τῆς ἐμῆς βαδίσεως καὶ τῆς σῆς λευκάνσεως ἀριθμὸς ἔσται ὁ χρόνος ὡς ἀριθμούμενος. πρόσκειται δὲ τὸ, ἡλίου φορᾷ, πρὸς τὰ ἑτέροις μέτροις μετρούμενα εἴτ' οὖν διοριζόμενα μετρητὰ, τὸν τόπον φημὶ καὶ τὸ μέγεθος, καὶ μάλιστα πρὸς τὸ παρ' Ἀριστοτέλει χρονικὸν μέτρον, οὐχὶ ἡλίου φορᾷ, τῷ δὲ προτέρῳ καὶ ὑστέρῳ κινήματι διορίζον τὴν κίνησιν. μέτρον γὰρ καὶ ἀριθμὸν ἐπὶ τῆς κινήσεως τὸν καθ' ὁ, τιοῦν διορισμὸν αὐτῆς ἐκληπτέον, εἴτε κατὰ τὰ κινήματα δηλαδὴ, εἴτε κατὰ τὴν τοῦ ἡλίου φοράν. Ζητητέον δὲ, εἰ κἀπὶ τῆς κατὰ τὸ ἐνιστάμενον ἀτελοῦς παρατάσεως οἷόν τε εἰπεῖν τὴν ψυχὴν δύω τὰ νῦν. πρότερον γὰρ εἰποῦσαν νῦν, ὕστερον οὐκ ἔστιν ὅλως εἰπεῖν, ἐνιστάμενης ἔτι καὶ μήπω περατωθείσης τῆς κινήσεως. ἅμα γὰρ τῷ εἰπεῖν ὕστερον νῦν, τὸ ἐνιστάμενον τῆς κινήσεως καὶ ἀτελὲς, παρακείμενον γέγονε συντελεσθέν. Ἢ ὅτι τῶν ἀντιπαρακειμένων δυοῖν νῦν ἑκάτερα λαμβάνεται ἐπὶ μὲν τῶν παρῳχημένων, ἐνεργείᾳ, ἐπὶ δὲ τοῦ μέλ-

τοῦ μέλλοντος, δυνάμει. ἐπί γε μὴν τοῦ ἐνεστῶτος τὸ μὲν πρότερον, ἐνεργείᾳ, τὸ δὲ ὕστερον, δυνάμει. Ἐφ' οἷς ζητητέον, τῆς κύκλω κινήσεως πῶς ἂν εἴη ἀριθμὸς εἴτ' οὖν διορισμὸς καὶ τὸ αὐτῆς πρότερόν τε καὶ ὕστερον, συνεχοῦς οὔσης δι' ὅλου, καὶ μὴ ἐξ ἀντικειμένων εἰς ἀντικείμενα κατὰ τὰς λοιπὰς γινομένης κινήσεις; τῆς τε γὰρ κατ' οὐσίαν μεταβολῆς ἡ μὲν γένεσις, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ ὄν, ἡ δὲ φθορὰ τἀνάπαλιν ὁδεύουσα, καὶ ἡ κατὰ ποσὸν αὔξησις μὲν, ἀπὸ μικροῦ εἰς μέγα, φθίσις δὲ εἴτ' οὖν μείωσις, τἀνάπαλιν, καὶ ἡ κατὰ ποιὸν ὁμοίως ἀλλοίωσις ἐκ τῶν ἐναντίων παθῶν εἰς τὰ ἐναντία, καὶ ἡ κατὰ τόπον ὡσαύτως παρὰ τὴν κύκλω ἐν μήκει μὲν, ἐκ τῶν ἄνω εἰς τὰ κάτω, ἐν βάθει δὲ, ἐκ τῶν ἔμπροσθεν εἰς τὰ ὄπισθεν, ἐν πλάτει δὲ, ἐκ τῶν δεξιῶν εἰς τὰ ἀριστερὰ, καὶ ἀνάπαλιν, καὶ ἁπλῶς πᾶσα ἡ παρὰ τὴν κύκλω κίνησις ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία ὁδεύουσα, ἀρχὴν ἔχει καὶ τέλος διάφορον, πρὸς πέρας καταντῶσα, καὶ τὴν συνέχειαν τῇ ἠρεμίᾳ διακόπτουσα. κίνησις γὰρ ἐπ' εὐθείας οὐδεμία ἐστὶν ἄπειρος, ὥσπερ οὐδὲ εὐθεῖα γραμμή. εἴ γε μείζων ἁπάσης εὐθείας, ἢ τῆς πρώτης σφαίρας διάμετρος, ἤ τις καὶ αὐτὴ ἐναργῶς πεπεράτωται. τὸ γὰρ ἐπ' εὐθείας κινούμενον, εἴπερ ἀνακάμπτει, δύω κινήσεις ποιεῖ, ἐφεξῆς μὲν, οὐ μὴν συνεχεῖς ἀλλήλαις. ἐφεξῆς δέ εἰσιν, ὧν οὐκ ἔστι τι συγγενὲς μεταξύ. ὡς ἐφεξῆς οἰκίας λέγομεν, ὧν μεταξὺ οὐκ ἔστιν ἑτέρα οἰκία. καὶ κινήσεις οὖν ἐφεξῆς, ὧν οὐκ ἔστι τις ὁμοειδὴς κίνησις μεταξύ. συνεχῆ δὲ ἀλλήλων ἐστὶν, ὧν θατέρου τὸ πέρας ἀρχὴ γίνεται τοῦ λοιποῦ. συνεχεῖς οὖν ἀλλήλαις κινήσεις, ὧν τὰ πέρατα ἓν, αὐτῶν τε οὐσῶν ὁμοειδῶν, καὶ τοῦ κινουμένου τυγχάνοντος τοῦ αὐτοῦ καὶ ἑνός. αἱ μὲν οὖν συνεχεῖς ἀλλήλαις κινήσεις, πάντως καὶ ἐφεξῆς, οὐ μὴν δὲ καὶ αἱ ἐφεξῆς, ἤδη καὶ συνεχεῖς ἀλλήλαις. τὸ γοῦν ἐπ' εὐθείας κινούμενον, εἴπερ ἀνακάμπτει, ποιεῖ μὲν ἐφεξῆς τὰς κινήσεις, οὐ μὴν δὲ καὶ συνεχεῖς. μεταξὺ γὰρ τούτων τῶν κινήσεων ἠρεμία τίς ἐστι, διακόπτουσα τὴν συνέχειαν. περατοῦται γὰρ ἡ πρώτη κίνησις, καὶ ὡς ἀπ' ἄλλης ἀρχῆς ἡ ἑτέρα ἐπιτελεῖται. μέσον δὲ τοῦ πέρατος τῆς πρώτης καὶ τῆς ἀρχῆς τῆς δευτέρας ἠρεμία γινώσκεται. δύω γὰρ πεπερασμέναι κινήσεις ἐπ' εὐθείας, ἀλλήλων οὐχ ἅπτονται καθ' ἓν κίνημα. καθάπερ εὐθεῖαι δύω πεπερασμέναι, δύνανται καθ' ἓν σημεῖον ἀλλήλαις συνάπτεσθαι. δηλοποιοῦσι τὸ λεγόμενον τὰ τῶν σχημάτων εὐθύγραμμα. τῶν μὲν γὰρ διαφόρων εὐθειῶν τὰ πέρατα ἐφαρμόζει διὰ τὸ ὑπομένειν αὐτὰς, τῶν δὲ διαφόρων ἐπ' εὐθείας κινήσεων οὐδ' ὅλως ἐφαρμόζει τὰ πέρατα, εἴτ' οὖν κινήματα, διὰ τὸ ἐν ἀστάτῳ ῥοῇ χρονικῇ γίνεσθαι τὰς κινήσεις, κἀντεῦθεν μὴ δύνασθαι τὸ αὐτὸ καὶ ἓν κίνημα πέρας εἶναι τῆς ἁ, κινήσεως καὶ τῆς δευτέρας ἀρχὴν, λαμβανόμενον δὶς, καθάπερ ἐπὶ τῶν εὐθειῶν ἡ στιγμή. διαῤῥέει γὰρ ὁ χρόνος μεταξὺ, καὶ διϊστᾷ τὰ κινήματα. ἡ δὲ τῶν κινημάτων διάστασις ἠρεμίαν γεννᾷ. τῆς γὰρ ἐπὶ τὸ ἄνω φορᾶς τοῦ λίθου τὸ τέρμα διίσταται τῆς ἀρχῆς τῆς ἐπὶ τὸ κάτω φορᾶς, τῷ ὀξυκινήτῳ τῆς τοῦ χρόνου ῥοῆς. ὅθεν καὶ ἠρεμία τις νοεῖται μεταξὺ τῶν δύω τοῦ λίθου φορῶν. διὰ δὴ ταῦτα οὐκ ἔστιν ἐπ' εὐθείας νοῆσαι κίνησιν ἄπειρον, ὡς ἀριθμουμένην εἴτ' οὖν διοριζομένην τῇ κατ' αὐτὴν προτέρᾳ καὶ ὑστέρᾳ ἠρεμίᾳ. ἐπὶ δὲ τοῦ κύκλου συνδραμόντων ἀλλήλοις τῆς ἀρχῆς καὶ τοῦ πέρατος, καὶ ἡ κύκλῳ κίνησις ἄπειρος εἴτ' οὖν ἀπεράτωτος δύναται γίγνεσθαι, πασῶν τῶν περιφορῶν καθ' ἓν κίνημα συναπτομένων καὶ συνεχιζομένων ἀλλήλαις, καὶ ὡς μιᾶς περιφορᾶς τελουμένων τῶν ὅλων, μέχρις ἂν τὸ τελευταῖον καταλάβοιεν πέρας, τὸ ὡρισμένον αὐταῖς ὑπὸ τοῦ τὴν πρώτην δόντος ἀρχήν. Ἐπὶ γοῦν τῆς κυκλικῆς κινήσεως μηδέτερον ἄκρον ἔχουσα ἡ ψυχὴ, ποῦ ἂν εἴποι δύω τὰ νῦν, τὸ μὲν,

τὸ μὲν, πρότερον, τὸ δὲ, ὕστερον, ὁπότε καὶ τὸ ἐν αὐτὸ, καθ' ὃ τὰ ἄκρα τοῦ κύκλου ἀλλήλοις συνέρχονται, λανθάνει; φησὶ δὲ καὶ ὅταν αὐτοὶ μηθὲν μεταβάλωμεν τὴν διάνοιαν, ἀλλ' ἐν ἑνὶ καὶ ἀδιαιρέτῳ φαίνηται ἡ ψυχὴ μένουσα, οὐ δοκεῖ ἡμῖν γεγονέναι ὁ χρόνος. καὶ μὴν ἐπὶ τῆς κυκλικῆς κινήσεως, οὐκ ἄλλως ὅτι μὴ ἐν ἑνὶ καὶ ἀδιαιρέτῳ μενούσης τῆς ψυχῆς, ὁ χρόνος δοκεῖ γίγνεσθαι. ὡς γὰρ ἐπὶ τοῦ κύκλου, οὕτω κἀπὶ τῆς κυκλικῆς κινήσεως ἐνὸν ἀεί τι λαμβάνειν κατὰ τὴν περιστροφὴν, τὸ ληφθὲν ἄτομον, εἴη ἂν διορισμὸς τῆς κινήσεως κατὰ τὸ αὐτῆς πρότερόν τε καὶ ὕστερον. ἔνθεντοι καὶ λαμβάνουσιν Ἀθηναῖοι μὲν, τὸ πρὸς ἡλίου δυσμὰς, τὴν μέχρι τῶν ἑτέρων δυσμῶν μεταξὺ κίνησιν μίαν τιθέμενοι ἡμέραν, τὸ δὲ πρὸς ἀνίσχοντα ἥλιον, τῶν τε Ῥωμαίων καὶ Ἑλλήνων οἱ νῦν. τὸ δὲ μέσον τοῦ ἡμισφαιρίου τοῦ μὲν ὑπὸ γῆν, οἱ τῶν Ῥωμαίων ἀρχαῖοι, ἀπὸ μέσης νυκτὸς ἡμέρας ἀρχὴν ποιούμενοι, τοῦ δὲ ὑπὲρ γῆν, οἱ ἀπὸ μαθημάτων, ἀπὸ μέσης ἀρχόμενοι τῆς ἡμέρας. Ἢ ὅτι τὸ πρὶν ληφθῆναι διαδιδράσκον τὴν τοῦ νοῦ αἴσθησιν, οὐκ ἂν ἄλλως ληφθείη, μή τινος κατ' αὐτὸ ἠρεμίας ἐπινοουμένης. ἡ δὲ ἠρεμία διΐστησι τὰ κινήματα. τῇ γοῦν ἐπινοουμένῃ ἠρεμίᾳ ἡ περιφορὰ τὸ καθ' ἑαυτὴν συνεχὲς διακόψασα, (διαιρετὸν γὰρ δυνάμει ἐπ' ἄπειρον πᾶν συνεχές.) δύω ἕξει τὰ ἄκρα. (καὶ γὰρ καὶ τῆς εὐθείας γραμμῆς ἡ στιγμὴ καὶ συνέχει πως τὸ μῆκος καὶ ὁρίζει, τοῦ μὲν, οὖσα ἀρχὴ, τοῦ δὲ, τελευτή. ὅταν δέ τις οὕτω λαμβάνῃ, ὡς δυσὶ τῇ μιᾷ χρώμενος, ἀνάγκη ἵστασθαι, εἴτ' οὖν ἠρεμεῖν, οἱ ἔσται ἀρχὴ καὶ τελευτὴ ἡ αὐτὴ στιγμή. Ἀριστλ: δ', περὶ ἀρχῶν.) τῷ μὲν ἀριθμῷ, οὖσα ἐν, τῷ λόγῳ δὲ, δύω (θ', περὶ κινήσ:) καθ' ἡμᾶς δὲ λαμβάνεται ἡ ἀπειρία, καὶ οὐ κατὰ τὴν φύσιν τοῦ πράγματος. καθ' ὅ, τι ὁ διαιρῶν, οὐ δύναται εἰς τὰς ὑστάτας στιγμὰς καταλήγειν, ἀλλ' ἀεὶ ἐπί τι διαιρετὸν ἥκων φαίνεται. Οὐκ ἂν δέ τις οἶμαι περιεργείας ἡμᾶς αἰτιάσαιτο, ἀπιδὼν εἰς ὃν ὁ Θεόδωρος περιέργως προεχειρίσατο τοῦ χρόνου ὁρισμόν. ὃν δῆτα καὶ ἀναπτύσσοντας διαληπτέον α', τί τε καὶ ποσαχῶς ἡ κίνησις, εἶτα, τί τὸ κατ' αὐτὴν πρότερόν τε καὶ ὕστερον, καὶ ἑξῆς τὸν αὐτῆς κατ' ἐκεῖνα ἀριθμὸν εἴτ' οὖν διορισμόν. ὥστε οὖν συνεπτυγμένως εἰπεῖν, κίνησις μέν ἐστι κατ' οὐσίαν μὲν, γένεσις καὶ φθορὰ, κατὰ ποσὸν δὲ, αὔξησις καὶ μείωσις. κατὰ ποιὸν δὲ, ἀλλοίωσις, κατὰ τόπον δὲ, φορὰ, ἢ εὐθεῖα, ἢ κυκλική. χρόνος δὲ, ὁ τῆς οἱασοῦν κινήσεως διορισμὸς κατὰ τὰ αὐτῆς ἑκατέρωθεν ἄκρα, εἴτ' οὖν ἔσχατα νῦν. ἐπεὶ γοῦν τὸ ῥῆμα ἔγχρονον μὲν σημαίνει κίνησιν, εἴγε οὔτε χρόνος ἄνευ κινήσεως, οὔτε κίνησις ἄνευ χρόνου κατὰ τὸν Ἀριστοτέλην, οὐμὴν δὲ καὶ διωρισμένην, ἀλλὰ συγκεχυμένως, (οὐδὲ γὰρ συνεμφαίνει ἐν τῷ ἔτυψα φέρε, ἡ κατὰ τὴν τύψιν κίνησις καὶ τὰ ἑκατέρωθεν ὁριστικὰ αὐτῆς ἄκρα, τὸν ἀρκτικόν φημι καὶ ληκτικὸν αὐτῆς ὅρον, τό, τε πρότερον αὐτῆς λέγω νῦν, ἐν ᾧ ἐκείνη ἤρξατο, καὶ τὸ ὕστερον, ἐν ᾧ ἐπερατώθη.) διὰ τοῦτο οὐδὲ τῷ Γραμμακῷ περιεργαστέον φησὶ, τὸν εἰρημένον τῆς κινήσεως διορισμὸν, οὐμόνον ὡς μὴ συνεμφαινόμενον, ἀλλὰ καὶ ὡς μηθὲν αὐτῷ τέως ξυντελοῦντα. Χρόνος ἐστί φησιν Εὐνόμιος, ποιά τις κίνησις ἀστέρων, ἡλίου δηλονότι καὶ σελήνης καὶ τῶν λοιπῶν, ὅσοις καθ' ἑαυτοὺς κινεῖσθαι δύναμίς ἐστιν. ὁδὲ μέγ: Βασίλ: ἐλέγχων αὐτὸν, τὸ ἀπὸ γενέσεώς φησιν, οὐνοῦ καὶ γῆς μέχρι τῆς ποιήσεως τῶν ἀστέρων διάστημα τίποτε ἄρα εἶναι ὁδεινὸς τὰ μετέωρα οὗτος ἀποφανεῖται; σαφῶς γὰρ ὁ τὴν κοσμογονίαν τῇ δυνάμει τοῦ πνεύματος ἀναγράψας, τῇ δ', ἡμέρᾳ τοὺς μεγάλους φωστῆρας καὶ τοὺς λοιποὺς ἀστέρας γεγενῆσθαί φησι. χρόνος γὰρ οὐκ ἦν, ὡς ἔοικεν, ἐν ταῖς κατόπιν ἡμέραις.

οὐ γὰρ

οὐ γὰρ ἐκινοῦντό πω ἀστέρες. πῶς γάρ; οἵ γε μηδὲ ἐγεγόνεισαν τὴν ἀρχήν; καὶ πάλιν ὅτε ἐπολέμει τοῖς γαβαωνίταις ὁ τοῦ ναυῆ ἰησοῦς, ἐπειδὴ ἀκίνητος ὁ ἥλιος ἔμεινε, τῷ προστάγματι πεδηθεὶς, καὶ ἡ σελήνη κατὰ χώραν εἱστήκει, χρόνος οὐκ ἦν τοτηνικαῦτα. τί οὖν ἐκεῖνο τὸ διάστημα τῆς ἡμέρας εἴπωμεν; τίνα προσηγορίαν ἐπινοήσεις; εἰ γὰρ ἡ τοῦ χρόνου φύσις ἐπιλελοίπει, αἰὼν ἀντεισῆλθε δηλαδή. αἰῶνα δὲ, μικρὸν ἡμέρας μέρος προσαγορεύειν, τίνα τῆς ἀνοίας ὑπερβολὴν ἀπολείπει; ἀλλ' ἔοικεν ἐκ πολλῆς ἀγχινοίας, ἡμέραν μὲν καὶ νύκτα ἐν τῇ ποιᾷ τῶν ἀστέρων κινήσει νομίζειν γίγνεσθαι, ταῦτα δὲ εἶναι τοῦ χρόνου μέρη. ὅθεν τὸν χρόνον ἀστέρων ποιάν τινα κίνησιν ἀπεφήνατο, οὐδὲ αὐτὸ τοῦτο συνεὶς, ὅ, τι λέγει. οὐ γὰρ ποιὰν, ἀλλ' εἴπερ ἄρα, ποσὴν μᾶλλον ἦν εἰπεῖν οἰκειότερον. ἀλλὰ τίς οὕτω παῖς παντελῶς τὴν διάνοιαν, ὥστε ἀγνοεῖν, ὅτι ἡμέραι μὲν, καὶ μῆνες καὶ ὧραι καὶ ἐνιαυτοὶ, μέτρα τοῦ χρόνου, χρόνος δὲ, τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα. ᾧ πᾶσα παραμετρεῖται κίνησις εἴτε ἀστέρων, εἴτε ζῴων, εἴτε οὑτινοσοῦν τῶν κινουμένων. καθ' ὃ λέγομεν ταχύτερον καὶ βραδύτερον ἕτερον ἑτέρου, ταχύτερον μὲν, τὸ ἐν ἐλάττονι χρόνῳ πλεῖον διάστημα διαβαῖνον, βραδύτερον δὲ, τὸ ἔλαττον ἐν πλείωνι χρόνῳ κινούμενον;

Διῃρημένου δ' ἄρα τοῦ χρόνου εἰς ἕξ,

Εἰς τρία μὲν, προσεχῶς, τὸ πρότερον καὶ τὸ ὕστερον καὶ τὸ ἐνιστάμενον, τοῦ δὲ προτέρου, δι' ὅπερ ἔχει πλάτος, ἐν τέσσαρσι διαφοραῖς θεωρουμένου, μιᾷ μὲν, καθ' ἣν τὰ παρελθόντα ἐν μέρει παρῆλθον, καὶ οὔπω ἐπληρώθησαν. δευτέρᾳ δὲ, καθ' ἣν νεωστὶ παρῆλθον, νεωστὶ πληρωθέντα, τρίτῃ δὲ, καθ' ἣν οὐ πάνυ πρῴην παρῆλθον. δ', δὲ, καθ' ἣν ἄδηλόν ἐστι πότε παρῆλθον, συμβαίνει διαιρεῖσθαι τὸν χρόνον εἰς ἕξ, τὸ ὕστερον, τὸ ἐνιστάμενον, καὶ τοῦ προτέρου εἴς τε τὸ παρατεταμένον, καὶ τὸ παρακείμενον, καὶ τὸ συντετελεσμένον εἴτ' οὖν ἀόριστον, καὶ τὸ ὑπὲρ τοῦτο, ὅ ἐστιν ὑπερσυντέλικον. τὸ δὲ μέλλον, ᾗ μὲν ἀόριστον καὶ αὐτὸ, οὐκ ἂν διαιρεθείη, πῶς γάρ; ἀγνούμενον; πλάτος γε μὴν ἔχον καὶ αὐτὸ, ᾗ προγινωσκόμενον, ὡς μετὰ πολὺ, ἢ μετ' ὀλίγον ἐκβήσεται, διῄρηται τοῖς ἀθηναίοις εἴς τε τὰ μετ' ὀλίγον, καὶ εἰς τὰ μετὰ πολὺ ἐσόμενα. ἐκ γὰρ τοῦ τάχα τετεύξεται, ἀντὶ τοῦ ταχὺ γενήσεται, καὶ ἐκ τῶν ὁμοίων λαβόντες οἱ μεθ' Ὅμηρον, ὠνόμασαν τὸν μετ' ὀλίγον μέλλοντα. ταὐτὸν γὰρ μετ' ὀλίγον μέλλειν καὶ ταχὺ τετεύξεσθαι. Δοκεῖ δὲ ἀπορίαν ἔχειν ἡ τοῦ χρόνου διαίρεσις. ὁ μὲν γὰρ Φίφος ἐν τῷ β', τῶν ὑστέρων ἀναλ'. οὐ τὸ παρῳχημένον, τὸ δὲ ἐνιστάμενον τοῦ χρόνου διαιρετὸν εἶναι βούλεται. ὥσπερ γάρ φησιν, ἔχει γραμμὴ πρὸς στιγμὴν, οὕτω τὸ γιγνόμενον πρὸς τὸ γεγονός. τὸ μὲν γὰρ, διαιρετόν. ἐνυπάρχειν γὰρ ἄπειρα γεγονότα ἐν τῷ γιγνομένῳ. τὸ δὲ γεγονὸς, ἀδιαίρετον. οἱ δὲ γραμματικοὶ τοὐναντίον, τὸ παρῳχημένον, οὐ τὸ ἐνιστάμενον διαιροῦντες φαίνονται. Ἢ ὅτι ὁ μὲν ἐνεστὼς, ᾗ μὲν χρονικὴν παράτασιν ὑπομένει, ταύτῃ γε διαιρετὸς, καθάπερ ἡ κίνησις, ᾗ δὲ τὸ σύνολον ἀτελὴς, ταύτῃ ἀδιαίρετος. οἱ δὲ παρῳχήμενοι διαιρετοὶ μὲν, τῇ ἀπὸ τοῦ ἐνισταμένου κατὰ τὸ προσεχὲς, ἢ πόρρω ἀποστάσει, καὶ τῇ κατὰ τὸ μᾶλλον, ἢ ἧττον, ἢ μάλιστα τελειότητι, ὡς δὲ μὴ ἐν χρόνῳ ἀποτελούμενοι, ἀλλ' ἐν πέρατι χρόνου, πέρας κινήσεως ὢν ἕκαστος αὐτῶν καὶ κατάντημα, διὰ τοῦτο τοσύνολον ἀμερεῖς. κατὰ γὰρ τὸν Ἀριστέλ: β', τῶν φυσ: ὁ πρὸς ὃν ὅρος τῆς κινήσεώς ἐστιν ἀδιαίρετος, μὴ ἐν χρόνῳ γιγνόμενος. εἴγ' ὁ διαιρετὸς οὐ δύναται εἶναι τῆς κινήσεως ὕστερος, ἔχων πρότερα μέρη καὶ ὕστερα.

Ὁ μὲν

Ὁ μὲν Ἐνεστὼς, τὸ ἐνιστάμενον σημαίνει καὶ ἀτελὲς,

Οὗτος χρόνον μὲν τὸν μεταξὺ τοῦ τε προτέρου καὶ ὑστέρου δηλοῖ. τοιοῦτο γὰρ τὸ ἐνιστάμενον. τὴν δὲ ἐν αὐτῷ πρᾶξιν, ἀτελῆ τε, (ὡς ἐν κινήσει ὑφισταμένην, καὶ τὸ εἶναι ἐν τῷ γίγνεσθαι ἔχουσαν, καὶ τὸ ἐντελεχείᾳ τῷ δυνάμει συνάπτουσαν,) καὶ ἐν παρατάσει, εἴτ' οὖν πολλάκις γιγνομένην. τὸ γάρ τοι πολλάκις, εἰ καὶ ἀναπτυσσόμενον, ἐπανάληψιν σημαίνει τοῦ αὐτοῦ, εἰς πλῆθος, ὅ ἐστι διωρισμένον ποσὸν, περιϊστάμενον, ἡ δὲ παράτασις, καθ' ἣν γίγνεται ὅ, τι ποτε γίγνεται, καὶ ἣν ἐκφέρει ὁ κατὰ τὸ ἐνεστὼς τοῦ ῥήματος χρόνος, ἐστὶ συνεχὴς, ὅγε μὴν Εὐστάθειος καὶ Ἀπολλ': πρὸς δὲ καὶ αὐτὸς ὁ Θεόδωρος ἐν τῷ τελικῷ ἀπαρεμφάτῳ, ἐπὶ τῆς τοῦ χρόνου παρατάσεως τὸ πολλάκις ἐξελάβετο, ὥσπερ τὸ ἅπαξ ἐπὶ τῆς συντελείας, εἰπὼν, ἢ τὸ ἅπαξ, ἢ τὸ πολλάκις. ὧν ἐν μὲν τῷ ἅπαξ, δηλοῖ τὸ ἐντελὲς, ἐν δὲ τῷ πολλάκις, τὸ παρατεταμένον τοῦ χρόνου. τοῦ τοίνυν ἐνεστῶτος τό, τε ἐνιστάμενον καὶ τὸ ἀτελὲς εἴρηται, πρός τε τὸν παρακείμενον ἐνιστάμενον μὲν, ἐντελῆ δὲ, καὶ πρὸς τὸν παρατατικὸν ἀτελῆ μὲν, παρῳχημένον δέ. Ἰστέον δὲ ὅτι ἡ χρονικὴ παράτασις, εἴτ' οὖν τὸ πολλάκις, οὐ πάντως τοῦ ἀτελοῦς τυγχάνει. ἡ γὰρ ἐκπλειόνων ἢ ἑνὸς τῶν ἅπαξ συγκειμένη, τοῦ ἅπαξ τὸ ἐντελὲς σημαίνοντος, τὸ ἐντελὲς δηλαδὴ σημαίνει καὶ ἡ πλεῖν ἑνὸς τὰ ἅπαξ περιέχουσα παράτασις. ἐν γοῦν τῷ, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, καὶ, ὁσάκις ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυ καταγγέλλετε, καὶ τὸ, τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν, ἡ τοῦ ἐνεστῶτος παράτασις, τὸ πολλάκις δηλοῦσα, τελείαν οὐκ ἀτελῆ ἐμφαίνει τὴν ἐφ' ἑκάστης ἡμέρας ἐνεργουμένην μυστικὴν θυσίαν.

Ὁ δὲ παρατατικὸς, τὸ παρατεταμένον καὶ ἀτελὲς τοῦ παρῳχημένου.

Καὶ οὗτος ἀπέραντον, ὅ ἐστιν ἀτελῆ ἔχων τὴν σημασίαν, ἐπιμονὴν καὶ παράτασιν σχολαιοτέραν πράξεώς τινος ὑπαγορεύει, παρῳχηκυίας μὲν, ἀτελοῦς δὲ, ὡς ἐν μέρει μὲν, ἐν μέρει δὲ μήπω πληρωθείσης. τὸ δὲ ἀτελὲς καὶ τὸ παρατεταμένον τοῦ παρῳχημένου πρόσκειται διὰ τὸν ἀόριστον, ἐντελῆ τε ὄντα καὶ οὐκ ἐν παρατάσει, ταχέως δὲ τῆς πράξεως ἀπαλλαττόμενον. ὅθεν συντελεσθεὶς ὁ παρατατικὸς, ἀόριστος γίγνεται. συντελεσθεὶς δέ φημι, καθ' ὅ, τι ἐπιταχύνας μόνον τὸ σχολαιότερον κίνημα, μὴ μέν τοι καὶ συντελεσθεὶς, παρατατικὸς πάλιν μένει. διήκει δὲ ὁ παρατατικὸς κατὰ τὸ Τριμερὲς τοῦ χρόνου, καὶ οὐ μόνον κατὰ τὸ νῦν τε καὶ πρότερον. ὁ γὰρ ἐνεστὼς ἔν τε τοῖς τελικοῖς τῶν ἀπαρεμφάτων, κἀν ταῖς παρὰ τὴν ὁριστικὴν ἐγκλίσεσι, τὸ τοῦ μέλλοντος παρατεταμένον καὶ ἀτελὲς σημαίνει, ὡς δειχθήσεται.

Ὁ δὲ Μέλλων, τὸ μήπω γεγονός. ὁ δὲ Ἀόριστος, τὸ παρεληλυθὸς μὲν καὶ τέλειον, οὐχ ὡρισμένον δὲ τὰ περὶ τὴν ἐνέργειαν, ἢ τὸ πάθος.

Ὁ ἀόριστος ταχεῖαν, ὡς εἴρηται, ἀπαλλαγὴν καὶ τὸ ἅπαξ ποτὲ γενέσθαι τὴν πρᾶξιν ὑπαγορεύει, αὐτὴν μὲν ἀπηρτισμένην, τὸ δὲ τοῦ παρῳχημένου χρόνου μέρος, καθ' ὃ, εἴτ' οὖν ἐν ᾧ ἡ κίνησις, εἴτ' οὖν ἡ ἐνέργεια, ἢ τὸ πάθος ἐγένετο, ὅ ἐστιν ἐτελέσθη, οὐχ ὡρισμένον, τῶν παρὰ τὸν ἀόριστον ἑκάστου ἐν ὡρισμένῳ τινὶ χρόνῳ τὰ τῆς κινήσεως δηλοῦντος, τοῦ μὲν ἐνεστῶτος, ἐν τῷ νῦν, τοῦ δὲ παρακειμένου, ἐν τῷ ἄρτι, τοῦ δὲ ὑπερσυντελικοῦ, ἐν τῷ πάλαι, ἐν δὲ τῷ αὐτίκα, τοῦ μετ' ἐ-

τοῦ μετ' ὀλίγον μέλλοντος. τουτωνὶ δὲ τῶν προσρημάτων ὅπως ἕκαστον ὥρισται, ἐν τοῖς αὐτῶν τόποις εἰρήσεται. ὁ δὲ παρατατικὸς ζητητέος ἐν τίνι ὥρισται. τὸ γὰρ τέως, ᾗ ἀναφορικὸν, πλὴν τοῦ παρακειμένου, κοινόν ἐστι τῶν χρόνων, καὶ οὐ μόνου τοῦ παρατατικοῦ. ὁ τοίνυν καθ' ἑαυτὸν ἀόριστος, τῶν ὡρισμένων συστοίχων χρόνων τὰ ἰδιάζοντα σφετεριζόμενος, ὅτῳ ἂν συνενεχθῇ τῶν κατὰ τὸ παρῳχήμενον προσρημάτων, τὴν σύνοικον ἀοριστίαν ἀποδυσάμενος, τὸν ὡρισμένον ἐκείνου χρόνον συνυποδύεται. αὐτίκα καὶ γὰρ τὸ ἔγραψα ἰσοδυναμεῖ προσλαβὸν τὸ πάλαι μὲν, τῷ ὑπερσυντελίκῳ, τὸ ἄρτι δὲ, τῷ παρακειμένῳ, τῷ δ' αὐτῷ καὶ τὸ νῦν. τῷ γὰρ ἐνεστῶτι, καίτοι τοῦ νῦν αὐτῷ συνταττομένου, ὥς γε μὴν μήπω παρῳχηκότι, ὁ ἀόριστος ὡς παρῳχήμενος, οὐκ ἂν ἰσοδυναμήσοι, τὸ νῦν προσλαβὼν, ὅτι μὴ τῷ ἔγγιστα τοῦ ἐνεστῶτος, φημὶ δὴ τῷ, ὡς εἴρηται, παρακειμένῳ. κεῖται δὲ καὶ παρολκὴν τὸ τὰ, ἐν τῷ, τὰ περὶ τὴν ἐνέργειαν. ἡ δὲ περὶ, τὸ κύκλῳ δηλοῖ. εἰ γὰρ ἡ ἐνέργεια ἐν χρόνῳ, δῆλον ὡς ὁ χρόνος περὶ τὴν ἐνέργειαν λέγεται. ἔστι δὲ καὶ ὁ μέλλων, ὡς εἴρηται, ἀόριστος, ὡς οὐδ' αὐτὸς ὡρισμένον τὸ περὶ τὴν ἐσομένην διάθεσιν ὑπαγορεύων.

Ὁ δὲ Παρακείμενος, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς τοῦ Ἐνεστῶτος. ὁ δὲ Ὑπερσυντέλικος, τὸ παρεληλυθὸς πάλαι καὶ ἐντελὲς τοῦ παρακειμένου.

Ὁ παρακείμενος καὶ καὶ Ἀπολλώνιον οὐ παρῳχημένου σημαίνει συντέλειαν, τὴν δὲ ἐνεστῶσαν. ἣν δηλοῖ τὸ ἄρτι. ὥστε συντελεθεὶς ὁ μὲν ἐνεστὼς, παρακείμενος γίνεται. ὁ δ' αὖ παρακείμ, ὑπερσυντέλικος. ὡς εἶναι τῶν χρόνων τοὺς τοῦ ἐνεστῶτος μᾶλλον ἀφεστηκότας, ἐντελεστέρους τῶν ἧττον ἀφεστηκότων. σημείωσαι δὲ τὸ μὲν ἄρτι, ἐπὶ τοῦ παρακειμένου, ἐπὶ δὲ τοῦ ὑπερσυντελίκου τὸ πάλαι. εὕρηται δὲ ἐν ἄλλοις κἀπὶ τοῦ ὑπερσυντελίκου τὸ ἄρτι, οἷον, ὁ δὲ ὑπερσυντέλικος, τὸ παρεληλυθὸς ἄρτι, κτ'. Λουκιαν: ἄρτι μὲν ἐπεπαύμην. διὰ τὴν τοῦ ὑπερσυντελίκου πρὸς τὸν παρακείμενον συγγένειαν. παρασημειοῦνται δέ τινες τὸν παρακείμενον, τὸ συντετελεσμένον καὶ ἐν παρατάσει δηλοῦν. ἀλλὰ γὰρ τὰ τῆς συντελείας καὶ τὰ τῆς παρατάσεως ἀλλήλοις ἀντιδιαιρούμενα, οὐκ ἂν συνενεχθεῖεν. εἴγε καὶ δηλοῦσιν ὁ μὲν ἐνεστὼς καὶ ὁ παρατατικὸς, παράτασιν οὐ συντέλειαν πράξεως, οἱ δὲ παρὰ τούτους τοὐναντίον, συντέλειαν οὐ παράτασιν, πλὴν τοῦ μέλλοντος. οὗτος γὰρ οὐδέτερος. καὶ δὴ καὶ ὁ παρακείμενος οὐχὶ ἑκάτερα, δυοῖν δέ τοι θάτερον εἴη δηλῶν. ἀλλὰ μὴν συντέλειαν κατὰ τὸν Θεόδωρον, οὐκ ἄρα παράτασιν. ἐκ δὴ τῶν εἰρημένων συμβαλεῖν ἐστι τῶν χρόνων τάς τε συγγενείας καὶ τὰς πρὸς ἀλλήλους διαφοράς. ἐνεστῶτος μὲν γὰρ πρὸς παρατατικὸν συγγένεια μὲν, τὸ ἀμφοῖν ἀτελές τε καὶ παρατεταμένον τῆς σημασίας, διαφορὰ δὲ, τὸ νῦν τε καὶ πρότερον. παρακειμένου δὲ καὶ ὑπερσυντελίκου συγγένεια μὲν, τὸ ἀμφοῖν ἐντελὲς, διαφορὰ δὲ, τὸ ἄρτι καὶ πάλαι. συντελικοῦ δὲ εἴτ' οὖν ἀορίστου καὶ μέλλοντος συγγένεια μὲν, τὸ ἀμφοῖν ἀόριστον, διαφορὰ δὲ, τὸ πρότερόν τε καὶ ὕστερον. ὅθεν καὶ ἔστιν ἰδεῖν ἐν ταῖς παρὰ τὴν ὁριστικὴν ἐγκλίσεσιν ἀλλήλοις συνεμπίπτοντας τοὺς ἀγχιστεύοντας τῶν χρόνων. Ἐπὶ δὲ τούτοις ζητητέος καὶ ὁ ἐνεστὼς ἐν τίνι παρὰ τοῖς γραμματικοῖς πλατύνεται, πότερον ἐν ἀμφοῖν τοῖς ἀντιπαρακειμένοις τοῦ χρόνου μορίοις, ἢ ἐν θατέρῳ τούτων; ἀμήχανον γὰρ ἐν τῷ ἀπλατεῖ καὶ ὅλως ἀμερεῖ νῦν ἑστῶτα, πλατύνεσθαι. ἀλλ' εἰ μὲν ἐν θατέρῳ τούτων, πῶς οὐκ ἔσται ἐν μὲν τῷ προτέρῳ, ἀτελὴς παρῳχημένος, ὅ ἐστι παρατατικὸς, ἐν δὲ τῷ ὑστέρῳ, μέλλων μετ' ὀλίγον; εἰ δὲ

εἰ δὲ ἐν ἀμφοῖν, πῶς οὐκ ἔσται συμπεριειληφὼς ἐνεργείᾳ τὰ ἀντικείμενα, καὶ ἔσται τὸ γράφω τὸ αὐτὸ ἅμα καὶ γεγονὸς, ᾗ πρότερον, καὶ μὴ γεγονὸς, ᾗ ὕστερον. ὅπερ ἐστὶν ἀντίφασις; ἢ πῶς οὐκ ἔσται κινούμενος καθ' ἑκάτερα τὰ ἀντιπαρακείμενα τοῦ χρόνου μέρη, καὶ ἔσται ἅμα τό, τε πρότερον καὶ τὸ ὕστερον; μᾶλλον δὲ πῶς οὐκ ἔσται κατὰ τοὺς μηδὲν εἶναι ὑποτιθεμένους ἀδύνατον, δυνατὰ ἐπ' αὐτοῦ οὐ μόνα τὰ τῆς ἀντιθέσεως ἀλλὰ καὶ αὐτὰ τὰ τῆς ἀντιφάσεως; Ἢ ὅτι ὥσπερ τόπος λέγεται μὲν καὶ τὸ πέρας τοῦ περιέχοντος τὸ περιεχόμενον, καθ' ὃ πέρας περιέχει τὸ περιεχόμενον, λέγεται δὲ καὶ ἡ οἰκία πᾶσα τόπος τοῦ ἐν αὐτῇ ὄντος, ᾗ περιέχει προσεχῶς ἐν ἑαυτῇ τὸ τοῦ περιέχοντος πέρας, οὕτω καὶ Νῦν λέγεται μὲν, καὶ αὐτὸ τὸ πρώτως καὶ καθ' αὑτὸ, αὐτὸ δὴ τὸ ἀμερὲς, λέγεται Νῦν ἔτι καὶ αὐτὸ τὸ κατὰ τὸν ἐνεστῶτα χρόνον λεγόμενον. (ὅπερ καὶ αὐτὸ κατὰ τὸ πρότερόν τε καὶ ὕστερον χρόνου μέρος ἐστὶν ἀντιδιαιρούμενον κατὰ τὴν πλατωνικὴν διαίρεσιν τῷ προτέρῳ τε καὶ ὑστέρῳ.) ᾗ περ ἔχει ἐν ἑαυτῷ προσεχῶς τὸ πρώτως καὶ καθ' αὑτὸ λεγόμενον. τῷ γοῦν τοιούτῳ Νῦν ἐμπλατυνόμενος ὁ ἐνεστὼς, ὁ διὰ τὴν πρὸς τὸ κυρίως Νῦν γειτνίασιν λεγόμενος καὶ αὐτὸς Νῦν, εἴη ἂν ἐκ παρεληληθότος συνεστὼς, (εἴ γ' ἐνυπάρχει, φησὶν Ἀριστ'λ: ἄπειρα γεγονότα ἐν τῷ γιγνομένῳ, ταὐτὸν εἰπεῖν παρῳχημένα ἐν τῷ ἐνεστῶτι.) καὶ μέλλοντος, (ὡς δῆλον καὶ ἐξ ὧν οἱ κατά τε τὴν προστακτικὴν καὶ τὴν ὑποτακτικὴν καὶ τὰ τελικὰ τῶν ἀπαρεμφάτων ἐνεστῶτες τὸ μέλλον περιέχουσιν.) ἐφ' ἑκάτερα ἀντιπαρακείμενος τῷ κυρίως Νῦν. καὶ οὕτως οὐκ ἂν σχοίη συναληθεύουσαν τὴν ἀντίφασιν, οὐδὲ κατὰ τὸ αὐτὸ ἀληθεύοντα τὰ ἀντικείμενα. εἴ γ' οὐχ ὅλος παρεληλυθώς τε καὶ μέλλων ἐστὶν, ἀλλὰ τῇ μὲν, τοῦτο, τῇ δὲ, ἐκεῖνο. τῆς γὰρ ἐν τῷ γράφω γραφῆς ἡ μέν τις, ἤνυσται, ἡ δὲ, μέλλει. κἂν εἰ δὲ ὑποτεθῇ καὶ ἐν θατέρῳ τῶν ἀντιδιῃρημένων τοῦ χρόνου μορίων, ὁπότερον ἔτυχε, πλατυνέσθαι ὁ ἐνεστὼς, οὐδ' οὕτως ὁ αὐτὸς ἂν εἴη ἢ τῷ παρατατικῷ, ἢ τῷ μέλλοντι. εἴγε ἡ μὲν κατὰ τὸ πρότερον παράτασις εἴη ἂν τοῦ μὲν παρατατικοῦ, πρόγε τοῦ νῦν, ἡ δὲ τοῦ ἐνεστῶτος, ἔσγε τὸ νῦν, ἡ δὲ κατὰ τὸ ὕστερον τοῦ μὲν μετ' ὀλίγον μέλλοντος, μετὰ τὸ νῦν, τοῦ δὲ ἐνεστῶτος, ἀπὸ τοῦ νῦν. προτέτακται δὲ ὁ ἐνεστὼς τῶν λοιπῶν, τῇ μὲν, ᾗ συνεκτικός ἐστι τοῦτε προτέρου καὶ ὑστέρου, αὐτοῖς ὡς εἴρηται ἐμπλατυνόμενος, κατὰ παράτασιν ὑπερπίπτουσαν μὲν τοῦ ἀτόμου καὶ κυρίως νῦν, ἐχομένην δὲ καὶ αὐτοῦ οἱονεὶ κεντρου, τῇ δὲ, ᾗ τῶν ἀντιπαρακειμένων αὐτῷ τοῦ χρόνου μορίων, τὸ μὲν, παρῳχηκὸς καὶ οἷον ἀποσβεσθὲν, τὸ δὲ, μέλλον καὶ μήπω παρὸν, οὐδέτερον τούτων ἐστὶν, εἴτ' οὖν πάρεστι, τὸ δὲ ἐνιστάμενον, πῇ μὲν, πῇ δ' οὐκ ἔστι. προτιμότερον δὲ τὸ πῇ ὂν, τοῦ μηδαμῶς ὄντος. ἔνθεντοι καὶ ἡ αἰωνιότης ἄκρατός τις οὖσα ἐντελέχεια, καὶ τὸ ἐνεργείᾳ μηδόλως ἀνάμικτον ἔχουσα τῷ δυνάμει, πᾶσα ἐν τῷ ἐνεστῶτί ἐστι. διὸ τοῖς μὲν ἰουδαίοις ἔλεγεν ὁ Κ'ς, ἰω: κ'φ: η', πρὶν Ἀβραὰμ γενέσθαι, ἐγώ εἰμι. οὐχὶ, ἐγὼ ἦν. (χρυσόστμ: ὁμλ'. νδ', εἰς τὸ κατὰ ἰωάν.) τῷ δὲ Μωϋσῇ ἐπὶ τῆς βάτου, ἐγώ εἰμι ὁ ὤν. καὶ μὲν δὴ καὶ Ἀριστ'λ: ἐν τῷ περὶ ἑρμηνείας κεφ', γ', τὸ κατὰ τὸν ἐνεστῶτα μόνον, ῥῆμα ἀποκαλῶν, τὰ κατὰ τοὺς πέριξ, οὐ ῥήματα ἀξιοῖ ὀνομάζειν, πτώσεις δὲ ῥήματος. τὸ γὰρ, ὑγιανεῖ φησι, καὶ ὑγίανεν, οὐ ῥήματα, ἀλλὰ πτώσεις ῥήματος. διαφέρει δὲ τοῦ ῥήματος, ὅτι τὸ μὲν, τὸν παρόντα προσσημαίνει χρόνον, τὰ δὲ, τὸν πέριξ. κατὰ δὲ τὸν χρυσόστμ, ὁμλ, β', εἰς τὸ κατὰ ἰωάν: ὥσπερ τὸ ὤν, οὕτω καὶ τὸ ἦν, λεγόμενον περὶ μὲν τῆς ἡμετέρας φύσεως, μέρος δηλοῖ χρόνου, καὶ τούτου πεπερατωμένου, περὶ δὲ Θοῦ, τὸ ἀΐδιον.

Διαί-

Διαίρεσις Ῥήματος.

Διῃρήσθω δὲ τὸ Ῥῆμα καὶ ἐπὶ πλέον ὧδί.

Ἀνωτέρῳ μὲν κατὰ χρόνον διῄρηται, ἤδη δὲ διαληπτέον καὶ περὶ τῆς ἐγγινομένης διαθέσεως καθ' ἑκάστην ἔγκλισιν. ἧς οὐδὲ τὰ ἀπαρέμφατα ἐκτὸς ἐγένετο, διὰ τὸ κατηναγκασμένως συνέπεσθαι ἅπασι χρόνοις ἢ ἐνεργητικῶς, ἢ παθητικῶς, ἢ καὶ ἔτι μέσως.

Τὸ μὲν γάρ τι, προσωπικόν. οἷον, λέγω. τὸ δ' ἀπρόσωπον. οἷον, χρή.

Προσωπικὸν μὲν, τὸ παραστατικὸν εἴτ' οὖν διακριτικὸν προσώπων, ἀπρόσωπον δὲ, τὸ μὴ παριστάνον πρόσωπα.

Προσωπικοῦ δ' αὖ τὸ μὲν, ἐνεργητικὸν, τὸ δὲ, παθητικὸν.

Ἡ ἐνεργητικὴ διάθεσις προτέρα τῆς παθητικῆς. τότε γὰρ πέπονθεν ὁ πεπονθὼς, ὅτε ἀναδέδεκται τὴν ἐνεργητικὴν διάθεσιν. ὡς καὶ τὰ τούτων ἀποφατικὰ ὁμολογεῖ. ὁ γὰρ λέγων, οὐκ ἔδηρα, ἀναιρεῖ τὴν προκατάρξασαν διάθεσιν ἐν τῷ δαρῆναι.

Τὸ δὲ, οὐδέτερον. οἷον, ζῶ.

Δεόντως μετὰ τὸ ἐνεργητικὸν καὶ παθητικὸν τέθειται τὸ οὐδέτερον. δύοιν γάρ τινων προϋφεστώτων γένοιτ' ἂν ἀποφατικὸν τὸ οὐδέτερον. Ἰστέον δὲ ὅτι ἡ τῶν ῥημάτων διάθεσις ὡμοίωται τοῖς τῶν ὀνομάτων γένεσι. τὸ μὲν γὰρ ἐνεργητικὸν τῷ ἀρσενικῷ ἀναλογεῖ, ὄντι δραστικῷ τε καὶ ἀνυστικῷ, τῷ δὲ θηλυκῷ τὸ παθητικὸν, παθητικῷ ὄντι. ἔνθεν καὶ ὕπτια ἤκουσε τὰ παθητικά. τὸ δὲ οὐδέτερον, ἐπ' ἀμφοῖν ὅμοιον. ἀποφάσκει γὰρ, ὥσπερ ἐπὶ τῶν ὀνομάτων τὰ γένη, οὕτω καὶ ἐπὶ τῶν ῥημάτων τὰς διαθέσεις. ἔνθεν οἶμαι καὶ γένη αἱ διαθέσεις ἀκούουσι. τὸ δὲ Οὐδέτερον, διαιρεῖται εἰς Ὑπαρκτικὸν, Αὐτοουδέτερον, Ὁλοενεργητικὸν, καὶ Αὐτοπαθητικόν.

Καὶ τὸ μὲν, Μέσον. οἷον, βιάζομαι, τὸ δὲ, Αὐτοενεργητικόν. μάχομαι.

Εἶδος τοῦ Ἐπιμέσου.

Τὸ δὲ, Αὐτοπαθητικόν. πάσχω.

Εἶδος τοῦ Οὐδετέρου, ὡς εἴρηται.

Καλείσθω δὲ καὶ ἕτερόν τι ὁλοενεργητικὸν ἐν τοῖς Οὐδετέροις. οἷον, τὸ ἀναβαίνω. καὶ τρίτον Αὐτοουδέτερον. οἷον, τὸ πλουτῶ. ὥσπερ αὖ πάλιν καὶ Ὁλοπαθὲς ἕτερόν τι, τῷ Αὐτοενεργητικῷ ἀντιδιαιρούμενον κατὰ γένος τὸ Ἐπίμεσον, ἢ Ἐπίκοινον. καλῶ γὰρ ἐπίμεσον καὶ Ἐπίκοινον, τὸ παθητικὴν μὲν ἀεὶ ἔχον φωνὴν, σημασίαν δὲ τῇ μὲν, ἐνεργητικὴν, οἷον, μάχομαι. τῇ δὲ, παθητικὴν, οἷον, γίγνομαι.

Ἀντιδιαιρούμενα εἴδη λέγεται, τὰ ἐκ τοῦ αὐτοῦ γένους οἷον ἀδιαιρέτως τμηθέντα, καὶ ἀλλήλοις ἀντικείμενα τῷ λόγῳ τῶν ποιοτήτων, εἴτ' οὖν τῶν εἰδοποιῶν διαφορῶν, κἂν ἐκ τοῦ αὐτοῦ εἶεν καὶ ἑνός. οἷον, κείσθω τὸ ζῷον. ὅ φαμεν εἶναι γένος. εἴδη δὲ τούτου τὸ Λογικὸν καὶ Ἄλογον, συνωνύμως αὐτῶν κατηγορουμένου. ἑκάτερον γὰρ τούτοιν, τό, τε ὄνομα καὶ τὸν κατὰ τοὔνομα τοῦ ζῴου λόγον ἐπιδέχονται, οὐ μὴν δὲ καὶ τὸν ἀλλήλων. ὥσπερ οὖν τὸ λογικὸν καὶ ἄλογον εἴδη λέγεται ἀντιδιαιρούμενα, κατὰ κοινὸν γένος τὸ ζῷον, οὕτω καὶ ἐπὶ τοῦ παρόντος, τὸ μὲν ἐπίμεσον, ὃ καὶ ἐπίκοινον ἀκούει,

ἀκούει, (εἴρηται δὲ οὔτω διὰ τὸ μετὰ τὰ μέσα εἴτ' οὖν κοινὰ τετάχθαι, τῆς ἐπὶ, τὸ ὕστερον ὑποδηλούσης.) χώραν γένους ἀναπληροῖ, τὸ δὲ ὁλοπαθὲς καὶ αὐτοενεργητικὸν, εἰδῶν, καὶ εἴδη τοῦ ἐπιμέσου λέγεται. ἃ δὴ ἐκ τοῦ ἐπιμέσου διαιρεθέντα, καὶ αὐτοῦ ἐπίσης μετέχοντα, (ἐπίμεσα γὰρ ἑκάτερα.) ἀντίκειται ἀλλήλοις τῷ λόγῳ τῶν διαθέσεων. εἴγε τὸ μὲν, ἐστὶν ἐνεργητικὸν, τὸ δὲ, τοῦ ἐνεργητικὸν εἶναι πόρρω καθέστηκε. λέγοιντο δ' ἂν ἀντιδιαιρούμενα, καὶ ὡς ὁμοτίμως μετέχοντα τοῦ γένους, ἐξ οὗ διῄρηνται, καὶ ὡς ἂν εἴποι τις, ὄντα ἰσοδιαιρούμενα. καὶ γὰρ ἐν τούτοις οὐκ ἔστι τὸ μᾶλλον καὶ ἧττον μετέχον τοῦ γένους. οὕτω δὴ καὶ τὸ αὐτοπαθητικὸν ἀντιδιαιρούμενόν ἐστιν εἶδος τῷ τε ὁλοενεργητικῷ καὶ τῷ αὐτοουδετέρῳ κατὰ κοινὸν γένος τὸ οὐδέτερον. καλῶ γὰρ οὐδέτερον, τὸ ἐνεργητικὴν μὲν ἀεὶ ἔχον φωνὴν, σημασίαν δὲ, τῇ μὲν, παθητικὴν, οἷον, πάσχω, φθίνω, ἀλγῶ. τῇ δὲ, ἐνεργητικὴν, οἷον, ἀναβαίνω, τρέχω. τῇ δὲ, οὐδετέραν. οἷον, ἀναπνέω, ζῶ, ἔω, ὅθεν τὸ εἰμί.

Ἔτι τῶν Οὐδετέρων τὸ μὲν, ὑπαρκτικὸν, τὸ δὲ, οὔ.

Ὑπαρκτικὰ μέν εἰσι τῶν Αὐτοουδετέρων τὸ εἰμὶ καὶ τὰ τούτῳ σύστοιχα. οἷα τὸ τελῶ, πέλω, τυγχάνω, καὶ εἴ τι τῷ εἰμὶ ταυτοδύναμον, μὴ ὑπαρκτικὰ δὲ, πάντα τὰ παρὰ ταῦτα.

Καὶ τὸ μὲν, Τέλειον, τὸ δὲ, Ἀτελές.

Τέλεια μέν εἰσι, τὰ καθ' ἑαυτὰ αὐτάρκως ἔχοντα εἰς γένεσιν αὐτοτελοῦς λόγου, προσθήκης τινὸς πτώσεως ἐκ τρίτου μὴ ἐπιδεόμενα, τὰ παρὰ τοῖς Στωϊκοῖς Κατηγορήματα, ἢ Συμβάματα λεγόμενα. οἷα πάντα τὰ ἀμετάβατα, τοιαῦτα δέ εἰσι τῶν οὐδετέρων τὰ ἀπολελυμένα, φημὶ τὰ αὐτοουδέτερα. ὡς τὸ, ἀναπνέω, ζῶ, καὶ τὰ τοιαῦτα. ἀτελῆ δὲ, τὰ ἀπαιτοῦντα τὸ εἴς τι, ἢ ἔν τινι, ἢ καὶ τὰ προσθήκης τινὸς δεόμενα πτώσεως ἐκ τρίτου. ἧς οὐκ ἄνευ. τοῦτ' ἔστιν ἐκείνης δίχα οὐκ ἔχουσιν ἐντελῶς. ὡς ἔχει τὸ, λανθάνω, φεύγω, τρέχω, ἀναβαίνω, καὶ ὅλως ἐν μὲν οὐδετέροις, τὰ ὁλοενεργητικά τε καὶ τὰ κατ' εἰσπομπήν τε καὶ περιποίησιν, ἁπλῶς δὲ, πάντα τὰ μεταβατικά. μεταβατικὰ γὰρ ὄντα, λείπεται τοῦ ἐκδεχομένου τὴν τούτων μετάβασιν ἐκ γ', πτωτικοῦ. ἃ καὶ ἐλάττω κατηγορήματα ἤκουσε. κατὰ δὲ Μιχαὴλ τὸν σύγγελον ἀτελῆ μέν εἰσι τῶν ῥημάτων, ὅσα ἐν τῷ ἐνεστῶτι παρατεταμένην καὶ ἀπλήρωτον ἔχει τὴν διάθεσιν. οἷον, τύπτω, γράφω. τέλεια δὲ, ὅσα τὸ τέλειον ἔχει τοῦ πράγματος. καί τοι ἐν τῇ κατὰ τὸν ἐνεστῶτα παρατάσει ὑπάρχοντα. οἷον, τὸ ὑπάρχω, νοῶ, γινώσκω, βλέπω. μὴ λανθανέτω δὲ, ὡς καὶ τῶν ἀτελῶν ἔστιν ἃ κατὰ Ἀπολλ': ἀπαρτίζει καθ' ἑαυτὰ διάνοιαν, μὴ πάντως πλαγίαν ἐπιζητοῦντα. τὰ γὰρ ἐγκείμενα μόνον πάθη μυνύειν ἐθέλοντες, φαμὲν ἐντελῶς ἐθ' ὅτε, ἐρᾷ οὗτος, ἢ φιλεῖ. κἀπὶ ἀναγνώσματος, ἀναγινώσκει οὗτος. κἀπὶ διδασκαλίας, διδάσκει οὗτος. καὶ ἀποφατικῶς, οὐκ οἶδεν ἀναγινώσκειν, αὐτὸ μόνον τὸ πρᾶγμα μυνύοντες. Τὸ δὲ ἐν τοῖς ῥήμασι τέλειόν τε καὶ ἀτελὲς, οὐχ ἁπλοῦν, πολυειδὲς δέ τί ἐστιν. ἔστι γάρ τοι κατὰ χρόνον, καθ' ὃν ἀτελὴς μὲν ὅ, τε ἐνεστὼς καὶ ὁ παρατατικὸς, ἐντελὴς δ' ὁ ἀόριστος καὶ οἱ ὡρισμένοι, εἰ καί τινες λόγοις ἑτέροις ἐντελέστερον τὸν ἐνεστῶτα τῶν λοιπῶν εἶναι βούλονται, ὡς ἐκπέρατος δῆθεν εἰς πέρας ἐπιτρέχοντα τὴν διάθεσιν εἴτ' οὖν κίνησιν, κἀντεῦθεν καὶ τῶν λοιπῶν συστατικόν τε καὶ τῆς κατ' αὐτοὺς συντελείας ὄντα παραί-

παραίτιον. καὶ μὴν οὐκ αὐτὸς εἰς πέρας ἐπιτρέχει τὴν διάθεσιν, ἀπεράτωτον ἀεὶ ἐμφαίνων αὐτήν. ἔστι καὶ κατὰ δύναμιν, εἴτ' οὖν διάθεσιν. καθ' ἣν τέλεια μὲν, τὰ ἀμετάβατα, ἀτελῆ δὲ, τὰ μεταβατικά. ἔστι καὶ κατὰ σύνταξιν. καθ' ἣν ἀτελῆ μὲν, τὰ ἁπλῶς, τέλεια δὲ, τὰ πῇ συντεταγμένα. καὶ τῶν πῇ πάλιν μᾶλλον τέλεια, τὰ μᾶλλον πῇ. ἔστι παρὰ ταῦτα καὶ κατὰ τὸ τί ἦν εἶναι τοῦ ῥήματος. καθ' ὃ τέλεια μὲν, τὰ προσημαντικὰ χρόνου, οἷα τὰ ἀτελῆ κατὰ διάθεσιν, ἀτελῆ δὲ, τὰ σημαντικὰ, οὐ μὴν προσημαντικὰ, οἷα τὰ ἐντελῆ κατὰ διάθεσιν. δύοιν γὰρ κυρίως οὐσῶν τῶν διαθέσεων κατὰ θεόδωρον, δῆλον ὡς τὰ οὐδέτερα μηδετέραν ὑπεμφαίνοντα διάθεσιν, οὔκουν προσημαντικὰ, σημαντικὰ δὲ μόνον ἂν εἴη χρόνου. οἱ δὲ τοῦτι τὸ εἶδος τῶν ῥημάτων ἔξω τοῦ λόγου φέρεσθαι μὴ βουλόμενοι, εἰπάτωσαν ἥ τίς ποτέ ἐστιν ἡ τούτων διάθεσις; Τοσαυταχῶς οὖν τὸ ἐντελές τε καὶ ἀτελὲς θεωρούμενον, τῷ μὲν Θεοδώρῳ ἐξείληπται κατὰ δύναμιν, τῷ δὲ Μιχαὴλ οὐχ ὡσαύτως, ἀλλὰ κατὰ χρόνον μὲν, ἐν τῷ, ὁρῶ, καὶ νοῶ. εἴγε διὰ τὸ ἀχρόνως τε καὶ ἐν τῷ νῦν τήν τε ὅρασιν κινεῖσθαι καὶ τὸν νοῦν, οἷς νοὸς μέτεστιν, ὅ, τις ὁρᾷ, ἢ νοεῖ, τοῦτο μονονοῦ ἑώρακέ τε καὶ νενόηκε. κατὰ δύναμιν δὲ ἐν τῷ, ὑπάρχω καὶ ζῶ καὶ ὅλως τοῖς αὐτοουδετέροις. οὐ δὲ γὰρ ἔστι κατὰ τὸ νοῶ καὶ ὁρῶ ἀκαρεὶ ἀναπνεύσαντα, ζῆσαι. σὺ δέ μοι σημείωσαι, ὡς τὰ παρὰ τοῖς Γραμματικοῖς ἀτελῆ ῥήματα, ἐντελέστατά εἰσι, τὰ δὲ παρ' αὐτοῖς τέλεια, ἀτελῆ εἰσιν, ὡς τὸ τί ἦν εἶναι τοῦ ῥήματος ταῦτα μὲν, μεμειωμένον, ἀμείωτον δ' ἐκεῖνα διασῴζοντα.

Ἔστι δὲ καὶ τῶν ἀπροσώπων, τὸ μὲν, ὡς ἐνεργητικόν. οἷον, προσήκει. τὸ δὲ, ὡς παθητικόν. οἷον, λέγεται.

Ὡς ἐνεργητικὰ μὲν, ὅσα ἐνεργητικὴν ἐχειφωνὴν, ὅσα δὲ παθητικὴν, ὡς παθητικὰ, σημασίαν γεμὴν οὐδετέραν ἑκάτερα.

Συμπάντων δὲ τῶν ῥημάτων.

Ἐπαναληπτικὴ ἐπιδιαίρεσις.

Τὰ μὲν, κατ' εἰσπομπὴν θεωρείσθω,

Ἐνεργοῦντα δηλ; εἶτα ἐφερμηνεύει, τὰ βούλεται τὸ κατ' εἰσπομπήν. οἷον,

Ἔξωθέν τι λαμβάνοντα. τὰ δὲ, κατ' ἐκπομπήν. οἴκοθεν προβάλλοντά τι.

Τὰ μὲν γὰρ κατ' ἐκπομπὴν, κατὰ τρόπον εὐθείας γραμμῆς ἐνεργοῦσι, προβάλλοντα μόνον, τὰ δὲ κατ' εἰσπομπὴν, κατὰ τρόπον κεκλασμένης, οὐ μόνον προβάλλοντά τι οἴκοθεν εἰς τὰ ἔξω κατὰ Ἀπολλ. ἀλλ' ἅμα καὶ ἔξωθέν τι προσλαμβάνοντα. τῶν μὲν γὰρ, ἡ ἐνέργεια, οἷον ἔκτασίς τίς ἐστι καὶ προέλευσις εἰς τὰ ἔξω, τῶν δὲ, εἰς ἑαυτὰ ἀναδρομήτε καὶ ἐπιστροφὴ, ὡσπερεὶ ἀντανακλωμένη, κατὰ τῶν ἡλιακῶν ἀκτίνων τὰς κατὰ κάθετον ἐν ἐπιπέδῳ προσβαλλούσας. εἰ καὶ αἱ μὲν, ἀντανακλώμεναι, ἐπ' αὐτὸν ἐπανελθεῖν τὸν ἥλιον οὐχ οἷαί τε, τῷ μεταξὺ διαστήματι ἐναποσβεννύμεναι, ἡ δὲ τῶν κατ' εἰσπομπὴν ῥημάτων ἀναδρομὴ, ἐπὶ τὸ αὐτὸ τελευτᾷ.

Τὰ δὲ κατὰ περιποίησίν τε καὶ ὑπουργίαν.

Ἡ ὑπουργία δῆλον ὡς δεσποτείας ἐστὶν ὑπουργία. τῶν γὰρ πρός τι καὶ ταῦτα. ἐνγοῦν τῷ, φέρε, Φέρεκλος Ἀλεξάνδρῳ ἐναυπήγει, ἡδοτικὴ οὐ τοῦ ἐξ αὐτῆς νοουμένου προσώπου

κατηγορεῖ τὴν ὑπουργίαν, πῶς γὰρ, δεσπότου ὄντος; τοῦ δὲ κατὰ τὴν εὐθεῖαν, τοῦ Φερέκλου δηλονότι. ὁ γοῦν Φέρεκλος οὐκ ἀπολελυμένως ἐναυπήγει, ἀλλ' ὑπουργικῶς, ὑπουργῶν δηλαδὴ τῷ Ἀλεξάνδρῳ. τοιοῦτο καὶ τὸ, δίδωμί σοι χρυσίον, καὶ ὅσα τοιαῦτα. φησὶ γὰρ καὶ ὁ Θεόδωρος, τὰ δὲ, κατὰ περιποίησίν τε καὶ ὑπουργίαν ἐνεργεῖ. τὸ ἄρα ὑπουργικὸν τῷ ῥηματικῷ προσώπῳ προσκυρωτέον, τῷ δὲ κατὰ τὴν δοτικὴν τὰ τῆς δεσποτείας. καὶ ὡς εἰπεῖν, ἡ δοτικὴ ἐν τούτοις δεσποτείαν ἐμφαίνει, παροῦσα μὲν, ἰδίαν ἑαυτῆς, ἀποῦσα δὲ, τοῦ ἐκ α', ῥηματικοῦ πτωτικοῦ. τῶν γοῦν εἴς τι ἐνεργούντων ῥημάτων, τὰ μὲν ἀπεριποιήτως ἐνεργοῦντα εἰς αὐτὸ, κατ' ἐκπομπὴν λέγεται ἐνεργεῖν, τὰ δὲ ἐν περιποιήσει ἑτέρου τινὸς, παρ' ὃ προσδιατίθησι, κατὰ περιποίησιν λέγεται ἐνεργεῖν. καὶ εἴ τι μὲν καθ' ὑπουργίαν θεωρεῖται, τοῦτο πάντως καὶ κατὰ περιποίησιν, οὐ μὴν ἀντιστρέφει. οὐ γὰρ καὶ εἴ τι κατὰ περιποίησιν, τοῦτο πάντως καὶ καθ' ὑπουργίαν, ἀλλὰ κατὰ χάριν τυχὸν, ἢ δόσιν, ἢ ἀποστολήν. τῆς γὰρ περιποιήσεως ἐν γένει θεωρουμένης, ὁ κατὰ περιποίησιν ἐνεργῶν, τῶν μὲν ὑπερεχόντων ὢν, κατὰ χάριν, οὐ μὴν καθ' ὑπουργίαν ἐνεργεῖ, χαριζόμενος δηλαδὴ, οὐ μὴν ὑπουργῶν, ἢ ὑπηρετῶν, τῶν ὑποβεβηκότων δὲ, τοὐναντίον, καθ' ὑπουργίαν, οὐ μὴν κατὰ χάριν, τῶν τυχόντων δὲ, ὁ κατὰ δόσιν, ὁ δὲ κατὰ ἀποστολὴν, τῶν ἀπόντων. καὶ ἵνα ᾖ τὰ τοῦ λόγου ξυμφανῆ, φέρε τὸ, φέρεκλος ναυπηγεῖ σοι, οὐχ ἁπλῶς ἐξηγητέον, οὐδ', ὡς ἂν εἴ ποι τις, ἀπροσδιορίστως, διὰ σὲ, ἀλλὰ καθ' ὑπεροχὴν μὲν ὄντος τοῦ ναυπηγοῦντος, προσθετέον τὸ, χαριζόμενός σοι, μᾶλλον δὲ τὸ, δι' ἧς εἰς σὲ ἐκτελεῖ χάριτος, οἰκειούμενός σε ἑαυτῷ, καθ' ὑποταγὴν δὲ, ὅ ἐστιν ὑφειμένου ὄντος τοῦ ἐνεργοῦντος, προσθετέον τοὐναντίον εἰς σαφήνειαν τὸ, ὑπουργῶν σοι, μᾶλλον δὲ τὸ, δι' ἧς ἐκτελεῖ εἰς σὲ ὑπουργίας, οἰκειούμενός σε. ὡσαύτως κἀπὶ τοῦ δίδωμί σοι χρήματα, προσθετέον τὸ, οἰκειούμενός σε διὰ τῆς τῶν χρημάτων δόσεως. ὥστε οὐχ ἁπλῶς ἐξηγητέον τῶν εἰδῶν τὰ περιποιητικὰ, ἀλλὰ πῇ τε καὶ κατὰ τὸ διωρισμένον εἶδος τῆς περιποιήσεως. Ἐφ' οἷς σημείωσαι, ὡς τὰ κατ' ἐκπομπήν τε καὶ τούτων τὰ κατὰ περιποίησιν, ὡς συνερχόμενα ἀλλήλοις, οὐκ εἰσὶν εἴδη ἀντιδιαιρούμενα. τὸ γὰρ, δίδωμί σοι, δυνάμει ἐμπεριέχον τὴν αἰτιατικὴν, ὡς εἰρήσεται, καὶ κατ' ἐκπομπὴν ἐστι τὸ αὐτό. ἀλλ' ἀπορήσεις, ξυμπάντων εἰπὼν τῶν ῥημάτων, δῆλον ὅτι καὶ τὰ παθητικὰ συμπεριείληφε. ταῦτα δὲ οὔτε κατ' ἐκπομπὴν εἰσιν, οὐ γὰρ οἴκοθεν προβάλλουσί τι, οὔτε κατὰ περιποίησιν, ἁπλᾶ ὄντα. τὸ γὰρ κρίνομαί σοι, ἤτοι διὰ σὲ, σύνθετον. ὁ δὲ λόγος περὶ τοῦ κρίνομαι ὑπότου. ἀλλὰ μὴν οὔτε κατ' εἰσπομπὴν, ὡς μὴ καὶ οἴκοθεν προβάλλοντά τι, ἔξωθεν δὲ μόνον προσλαμβάνοντά τι. Ἢ ὅτι τῶν κατ' ἐκπομπὴν εἰσιν, ἐκ τῆς προϋπαρχούσης ἐνεργητικῆς διαθέσεως θεωρούμενα. τὴν γὰρ ἐκ τρίτου γενικὴν προθετικὴν ἔχοντα, οὐκ ἂν εἴη τῶν κατ' εἰσπομπήν.

Καὶ τὰ μὲν, ἀμεταβάτως, τὰ δὲ, μεταβατικῶς.

Ἐπιδιαίρεσις α'. τὸ δὲ θεωρείσθω, ἀπὸ κοινοῦ. καὶ μεταβατικὰ μέν εἰσι, τὰ μεταβιβάζοντα τὴν ἐνέργειαν ἀπὸ προσώπου εἰς πρόσωπον, καὶ κατὰ Θεόδωρον εἰπεῖν, τὰ πεφυκότα πρὸς ἕτερον φέρεσθαι, ἀμετάβατα δὲ, τὰ καθ' ἑαυτὰ αὐτάρκως ἔχοντα εἰς αὐτοτελοῦς λόγου γένεσιν.

Καὶ τὰ μὲν, τελείως, τὰ δὲ, ἀτελῶς.

Ἐπιδιαίρεσις β'. τὸ δὲ τέλειον καὶ τὸ ἀτελὲς ἐν μὲν

ὧ μὲν τοῖς φθάσασιν, ἐφ' ὧν μόνον εἶδες, τῷ δ' ἑτέρων δηλαδὴ, εἴρηται, ᾧ δὲ δεῖ, παθόλου. δῆλον δ' ὅτι τέλεια μὲν, τὰ μεταβατικά· ἀτελῆ δὲ, τὰ μεταβατικά. ληφθήσεται δὲ καὶ ἑτεροίως τῶν ἑκάτερα, τὸ τελείως λέγω καὶ ἀτελῶς ἐν τοῖς ἑξῆς.

Συντάξις δὲ τῶν ἐνεργητικῶν, ὥστε τινὶ ἐνέργειαν ἐπί τι διαβιβάζεσθαι ὑποκείμενον. οἷον, τέμνω τὸν λίθον, καὶ ἰατρεύω τὸν νοσοῦντα.

Χρὴ δὲ νοεῖν, ὅτι ἡ ἐνέργεια ἐπὶ ὑποκειμενόν τι διαβιβάζεται. ὡς τὸ τέμνει, τύπτει, καὶ τὰ τούτοις παραπλήσια. τὸ δὲ διαβιβάζειν αὐτὶ τοῦ μεταβιβάζειν εἴωθε εἰλῆφθαι, καίτοι διαφερόντων ἑκατέρων, ὡς εἰρήσεται.

Οἷς δὴ

Ἐνεργητικοῖς ῥήμασι

Καὶ τὸ παθητικὸν

Σχῆμα, εἴτ' ἔν ἡ παθητικὴ διάθεσις.

Ἐκ προϋφισαμένης διαθέσεως ἐνεργητικῆς ἐπιφέρεται. οἷον, ἰατρεύεται ὁ νοσῶν. τέμνεται ὁ λίθος.

Δῆλον καὶ ἐντεῦθεν, ὅτι προϋπάρχει ἡ ἐνεργητικὴ διάθεσις τῆς παθητικῆς. εἰ γὰρ ἐκ προϋπαρχούσης ἐνεργείας ἡ παθητικὴ διάθεσις ἀνάγεται καὶ Ἀπολλώνιος εἰπεῖν, τοῖς ἐνεργητικοῖς, καὶ ἀντιστρόφως τῶν ἄκρων, εἴτ' ἔν τῶν πτωτικῶν.

Οὐδετέρων.

Ἀπὸ κοινοῦ τὸ σύνταξις.

Οὐκέτι δὲ καὶ τὰ οὐδέτερα ὁμοίως τοῖς ἐνεργητικοῖς.

Συμπάσχεται.

Τὸ γὰρ ὑπάρχω, καὶ ζῶ, καὶ φρονῶ, καὶ πλουτῶ, καὶ ὑγιαίνω, καὶ τοιούτων ἡ παθητικὴ διάθεσις κεχωρισμένη ἐστίν. ἐπεὶ δὲ διὰ τῆς δεικτικῆς τούτων ἐγκλίσεως ἐνεργοῦντα ἄττα καὶ προσδιατιθέντα παρίσαται.

Οὐ γὰρ διαβιβάζει καὶ αὐτὰ τὴν ἐνέργειαν ἐπί τι ὑποκείμενον. ἐνεργητικῆς μὲν προϋπαρχούσης διαθέσεως, οὐδὲ τὸ παθητικὸν αὐτοῖς οἷόν τε ἐπιφέρεσθαι. ὡς γὰρ ἐπὶ τῆς τῶν ὀνομάτων καὶ γένους διακρίσεως, τοῖς μὲν τύπτων, παρείπετο τὸ ἐν παραχηματισμοῖς καταγίνεσθαι ἀρσενικῆ τε καὶ θηλυκῆ, τοῖς δὲ, ἑτέρᾳ τύπτων, τοῖς δὲ, οὐδετέρᾳ, ἔπωτοι κατὰ τῆς ῥημάτων. τοῖς μὲν γὰρ αὐτῆς, σύνεστι τὸ διαιρὸν τῆς διαθέσεως, τοῖς δὲ, ἡ ἑτέρα μόνον δηλοῦται τῆς διαθέσεων, οὐ μὴν ἐπιδεχομένοις τινὶ ἑτέραν. τοῖς δ' αὖ πάλιν, αὐτὸ μόνον παρακολουθεῖ, τὸ ἐν ταῖς ἐγκλίσεσι καταγίνεσθαι, ἐν ὁριστικῇ ἀποφάσει, ἢ δυκτικῇ καὶ ἐπὶ τῆς ὑπολοίπων, οὐ μὴν καὶ διάθεσιν ἐνεργητικὴν, ἢ παθητικήν. οὐδὲ γὰρ, εἴτι ῥῆμα ὁριστικὸν, ἢ τινος ἄλλης ἐγκλίσεως, τοῦτο πάντως καὶ ἐν διαθέσει καταγίνεται τῇ ἐνεργητικῇ. οὐδὲ τοῖς ἐνεργητικοῖς ὁμοιάζει τὸ ὑπάρχω, ζῶ, εἰμὶ, πνέω, φρονῶ, καὶ ὅλως τὰ οὐδέτερα. ὅτι οὐδὲ διὰ τῆς ὁριστικῆς αὐτῆς ἐγκλίσεως ἐνεργοῦντα παρίσαται πρόσωπα, (καθάπερ ἐπὶ τῆς ἐνεργητικῶν συμβαίνει) καὶ προσδιατιθέντα τὸ ὑποκείμενον. ὃ πάντως διατεθὲν, τὸ παθεῖν ὁμολογήσει. εἰ γὰρ μὴ τὸ φρονῶ ἐν σωφρονεῖν γένοιτο καταφρονῶ, τινὶ ἐκ τοῦ φρονεῖν διάθεσιν μεταβιβάσαν ἐπί τι ὑποκείμενον, ἐν τῷ καταφρονῶ σε, ἀκώλυτον ἕξει τὴν αὐτιπαρακειμένην παθητικὴν διάθεσιν. καταφρονοῦμαι ὑπὸ σοῦ.

Ὡς εἰ-

Ὡς εἴ τις τὰ τοιαῦτα κλίνει εἰς παθητικὰς προφορὰς, μελέτημα φωνῆς, ἐ φυσικήν τινα ἢ συσατὴν κλίσιν ποιεῖται. οἷον, εἰ ἢ ἀρσενικὸν τὸ γαλεχήσασα, ἢ ἐκτρώσασα λέγοι, ἢ ἑτέρτε, τῷ κῇ φωνῇ μὲν συμπιπτόντων, ἐν παραδοχῇ δὲ λόγε μὴ δυναμένων.

Οἱ γὰρ τὰ τοιαῦτα ῥήματα μεταχηματίζοντες, εἰτ' ἐν κλίνοντες εἰς παθητικὰς ἐνφορὰς, ὁμόλογοί εἰσι μελετήματα φωνῆς παραλαμβάνοντες, καὶ τύπον μόνον ποιῆντες παθητικὸν, ἐ μὴν φυσικὴν κλίσιν ἐδὲ συσατικήν. ὡς καπὶ τῷ ὀνομάτων, εἰ ἢ ἀρσενικόν τις ἀποφαίνοιτο τὸ γαλεχήσασα, ἢ ἔτι τὸ ἐκτρώσασα, ἢ ἑτέρε τινὸς θηλυκὸν ἰδιώματος τῷ κῇ φωνῇ μὲν συμπιπτόντων ἀρσενικοῖς, ἐν λόγῳ δὲ μὴ δυναμένων παραδεχθῆναι.

Τὰ μὲν ἓν οὐδέτερα αὐτὸ μόνε ἐμφαίνει ὁρισμὸν τὸ σωεῖναι τὸ σημαινόμενον. οἷον, τὸ ζῆν, ἢ φρονεῖν, ἢ γηρᾶν, ἢ τινὶ εἰς μαὶ κατάληξιν ἐ προσίεται τὸ παράπαν.

Ἔσι δὲ ἓν πὰ προειρημένα ὁρίζοντα, εἰτ' ἐν ἐμφαίνοντα σωὸν τῷ οἰκείῳ προσώπῳ, καθ' ἓ λέγεται, αὐτὸ μόνον τὸ σημαινόμενον, ἀλλὰ δηλονότι ἐνεργείας, ἢ πάθες. οἷον, τὸ ζῆν, τὸ φρονεῖν, τὸ γηρᾶν. καὶ ἔτι ἐπὶ τῆς σωούσης ὐσίας, τὸ ὑπάρχειν. καὶ ἔτι ἐπὶ τῷ ἔξωθεν προσγινομένων περὶ τινὶ ὐσίαν καὶ κτῆσιν. ὡς τὸ πλυτεῖν, κερδαίνειν. ἐμφαίνει δὲ καὶ τὸ τύπτω, ὅτι σύνεσι τῷ τύπτοντι τὸ τύπτειν, ἀλλ' ἐ μόνον, μὴ δὲ ἐνεργείας. ἐ καθόλε δὲ ὁ κῇ τῷ ἑτέρων λόγος. ἔσι δὲ ἃ πάντων ὁρίζοντα ἐμφαίνει τὸ σημαινόμενον σωὸν ἐ μόνον, ἀλλὰ τὰ μὲν, μὴ ἐνεργείας. οἷα τὰ ὁλοενεργητικὰ, τὰ δὲ, μὴ πάθες. οἷα τὰ αὐτοπαθητικά.

Μέσων καὶ Αὐτοενεργητικῶν.

Σχηματισμὸς, εἴτ' ἐν κατάληξις,

Ἀνάπαλιν δὲ τὰ μέσα καὶ Αὐτοενεργητικά. τέτοις γὰρ ἀπαράδεκτον τὸ λῆγον εἰς ῶ. βιάζομαι, μάχομαι.

Τὰ γὰρ μέσα ἐνεσῶτος ἐν τύπῳ παθητικῷ ἐνέργειαν σημαίνοντα. ἀπαράδεκτον ἔχει τινὶ γὰρ τὸ ῶ, ἐνεργητικὴν κατάληξιν. ἐπεὶ τὸ ταύτης δύνησον διὰ τὸ προειρημένε μέσα ἐνεσῶτος κατείληπτο. ὡς ἔχει τὸ βιάζομαί σε, καὶ ἄλλα πλεῖσα. ἐν οἷς καὶ τῷ ἐπιμίσων τὰ αὐτοενεργητικά. οἷον, μάχομαί σοι.

Δῆλον ἓν, ὅτι παντὸς παθητικὸ εἰς μαὶ, λήγοντος ἐνεργητικόν ἐσι παραδέξασθαι,

Εἰ γὰρ τῆς παθητικῆς διαθέσεως ἡ ἐνεργητικὴ προϋπάρχεσα διωμολόγηται, σαφὲς ὡς καὶ τὸ εἰς μαὶ, λήγοντος παθητικὸ τὸ εἰς ῶ, ἐνεργητικὸν προϋπάρχει. φιλοῦμαι γὰρ, ὅτι φιλεῖς με. καὶ, τύπτομαι, ὅτι τύπτεις με. ἐ μὴν ἐν τῷ καθόλε, ἀλλ'

Ἐὰν μὴ τῆς λήξεως ἢ τὰ τῆς σωτάξεώς τε καὶ διανοίας σῴζηται, οἷον,

Ἔσι παραδέξασθαι ἐνεργητικὸν, τὸ,

Φιλῶσε. ὅτι

Ἔχει παθητικὸν τὸ,

Φιλοῦμαι.

Κατὰ

Κατὰ Ἀπολλώνιον. καθ' ὃν καὶ ἵστημί σε, ὅτι ἵσταμαι ὑπὸ σοῦ. δαίρω σε, ὅτι δαίρομαι ὑπὸ σοῦ. ἕλκω σε, ὅτι ἕλκομαι ὑπὸ σοῦ. οὐ μὴν τὸ πέτημί σε. ὅτι οὐδὲ τὸ πέταμαι ὑπὸ σοῦ. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ ἄγαμαι, δύναμαι, ἔραμαι, καὶ ὅλως τῶν μέσων τε καὶ αὐτοενεργητικῶν. διὰ γὰρ ταῦτα πρόσκειται τὸ, παθητικοῦ, εἰς μαῖ, μὲν λήγοντα, μὴ ὄντα δὲ παθητικά. οὐ γὰρ προϋπαρχούσῃ ἐνεργητικῇ διαθέσει ἐπηνέχθησαν, ὥσπερ τὸ τύπτομαι, ἐπηνέχθη τῷ τύπτω. τὸ δὲ εἰς μαῖ, λήγοντος, διὰ τὰ αὐτοπαθῆ, παθητικὰ μὲν ὄντα, οὐ μὴν εἰς μαῖ, λήγοντα. τὸ δὲ, ἐὰν μετὰ τῆς εἰς ῶ, εἴτ' οὖν ἐνεργητικῆς καταλήξεως καὶ ἑξῆς, διὰ τὰ ὁλοπαθητικὰ, ὧν τῇ εἰς ῶ, ἐνεργητικῇ καταλήξει μήτε τῆς συντάξεως, μήτε τῆς διανοίας τῆς ἐνεργητικῆς συντρεχούσης. οὐ γὰρ συστατὸν τὸ γίγνω σε, οἴχω σε, κοιμῶσε. ὥστε οὐκ ἂν εἴη, ὥς τισιν ἔδοξε, ψυχρά τις καὶ κενὴ ταυτολογία, ὁ ἐπενεχθεὶς τῷ κανόνι προσδιορισμός. εἶναι γάρ φασιν ἀναπτυσσόμενον τὸ συμφραζόμενον, τοιοῦτο. παντὸς παθητικοῦ εἰς μαῖ, λήγοντος ἐνεργητικόν ἐστι παραδέξασθαι, εἴπερ ἐνεργητικόν ἐστι παραδέξασθαι. τούτῳ γὰρ ταυτοδυναμεῖν τὸν ἐπενεχθέντα προσδιορισμὸν, τὸ, ἐὰν μετὰ τῆς λήξεως κτ', οὐχί φημι, ἀλλ' εἴπερ μετὰ τῆς παραδεχθείσης φησὶν, ἐνεργητικῆς λήξεως, ἔστι καὶ σύνταξιν καὶ διάνοιαν ἐνεργητικὴν παραδέξασθαι. κατὰ δὴ τὰ μέσα καὶ τῶν ἐπιμέσων τὰ αὐτοενεργητικὰ οὐ παραδέχεται τὴν εἰς ῶ, ἐνεργητικὴν κατάληξιν. καθ' ὅ, τι αὐτόθεν ὑποδηλοῦσιν ἐνέργειαν. ὥσπερ οὐδὲ τὰ αὐτοπαθητικὰ τῶν οὐδετέρων τὴν εἰς μαῖ, παθητικὴν, ὡς πάθος ἀφ' ἑαυτῶν δηλοῦντα. Κἀκτοῦ ἐναντίου δὲ, παντὸς ἐνεργητικοῦ εἰς ῶ, ἢ, εἰς μῖ, λήγοντος, παθητικόν ἐστι παραδέξασθαι, ἐὰν μετὰ τῆς εἰς μαῖ, λήξεως, καὶ ἑξῆς. ἐν ᾧ τὸ μὲν εἰς ῶ, πρόσκειται διὰ τὰ αὐτοενεργητικὰ, ἐνεργητικὰ μὲν ὄντα, οὐ μὴν εἰς ῶ, λήγοντα, τὸ δὲ ἐνεργητικοῦ, διὰ τὰ οὐδέτερα, εἰς ῶ, μὲν λήγοντα, οὐ μὴν ὄντα ἐνεργητικά. τὸ δὲ, ἐὰν μετὰ τῆς εἰς μαῖ, λήξεως καὶ ἑξῆς, διὰ τὰ τῶν οὐδετέρων ὁλοενεργητικὰ, ἐνεργητικὰ μὲν ὄντα, καὶ εἰς ῶ, λήγοντα, ἐν γε μὴν α', καὶ β', προσώπῳ εἰς παθητικὰ μὴ σχηματιζόμενα, δι' ὃν ἐκεῖσε λόγον ἐροῦμεν. Ἀπορήσοι δ' ἄν τις, τί ὅτι μὴ τὰ ἐπίμεσα ἁπλῶς, ἀλλὰ τὰ αὐτοενεργητικὰ ἔφη μὴ παραδέχεσθαι τὴν εἰς ῶ, κατάληξιν, οὐδὲν ἧττον καὶ τῶν ὁλοπαθητικῶν ταύτην μὴ παραδεχομένων; Ἢ ὅτι οὐ περὶ τῶν εἰς μαῖ ἁπλῶς ληγόντων ὁ λόγος, περὶ δὲ μόνων τῶν ἐνέργειαν μὲν σημαινόντων, τὴν δὲ εἰς ῶ, ἐνεργητικὴν κατάληξιν μὴ παραδεχομένων.

Ἔχει δὲ ἄρα ἅπαντα

Δῆλον δ' ὅτι τὰ προσωπικά.

Πτῶσιν προϋφισταμένην ἐκ πρώτου ὀρθήν.

Ἐν πρώτῃ δηλ, χώρᾳ, αὐτὰ ἐν δευτέρᾳ τελοῦντα. δοκεῖ δὲ παρέλκειν τὸ, ἐκ πρώτου, εἴ γε ταὐτὸν ἐκ πρώτου τε εἰπεῖν καὶ προϋφισταμένην. οὐκ ἔστι δὲ κατὰ παρολκὴν, ἀλλ' οἷον διασαφητικὸν τῇ προϋφισταμένην. παρὰ δὲ Ἀπολλωνίῳ γράφεται παρυφισταμένην. βελτίων ὅμως ἡ παρὰ τῷ Θεοδώρῳ γραφή. τὸ μὲν γὰρ ὑφίστασθαι, τοῦ καθ' αὐτὸ ὑφεστῶτός ἐστιν, εἴτ' οὖν τῆς οὐσίας, τὸ δὲ παρυφίστασθαι, τοῦ ἐν ἑτέρῳ τὸ εἶναι ἔχοντος, εἴτ' οὖν τοῦ συμβεβηκότος. κατὰ δὴ τοῦτον τὸν λόγον τὰ ῥήματα μᾶλλον παρυφίστασθαι λέγοιντ' ἂν τῇ εὐθείᾳ, ἤπερ ἡ εὐθεῖα τοῖς ῥήμασιν. ἡ μὲν γὰρ, ὑφέστηκε, μᾶλλον δὲ προϋφέστηκεν, ὡς τὴν οὐσίαν σημαί-

σημαίνουσα, προϋφεστῶσαν εἴτ' οὖν προϋπάρχουσαν τῶν συμβεβηκότων, τὰ δὲ ῥήματα παρυφέστηκεν, ὡς τῶν περὶ τὴν οὐσίαν, μᾶλλον δ' ἐν τῇ οὐσίᾳ συμβεβηκότων ὄντα σημαντικά. ἔν γε μὴν τοῖς ἑξῆς συνενεχθήσεται καὶ ὁ Θεόδωρος τῷ Ἀπολλωνίῳ, ἔνθα ὁρεῖ, ὡς τὸ μὲν ἐγὼ, μόριόν ἐστι μοναχῶς οὐσίας, τὸ δὲ γράφω, πρὸς τῷ τῆς ἐνεργητικῆς διαθέσεως σημαινομένῳ παρυφιστάμενον ἔχει τὸ ἐγῶ. Ἀλλὰ πῶς ὀρθὴν ἔχει ἅπαντα, τοῖς δευτέροις τῶν ῥημάτων προσώποις, φημὶ δὴ τοῖς τῶν προστακτικῶν κλητικῆς, οὐκ ὀρθῆς, ὡς εἴρηται, συντασσομένης; Ἢ ὅτι ἢ οὐδ' ἐν ταῦθα τὸ καθόλου σημαίνει ὁ πᾶς προσδιορισμὸς, ἢ καὶ τοῖς δευτέροις τῶν προστακτικῶν ἔσθ' ὅτε μετὰ τὴν κλητικὴν καὶ ὀρθὴ συντάσσεται, πλείονος ἐνδείξεως ἕνεκα, ἢ διαστολῆς. προϋφίσταται γοῦν εἴτ' οὖν παρυφίσταται ἡ εὐθεῖα τοῖς ῥήμασι κατὰ μὲν τὸ α', καὶ β', ὁριζομένη, κατὰ δὲ τὸ γ', δεκτὰ τὸ ἄπειρα εἶναι τὰ τρίτα, ἀοριστουμένη, ὅτι μὴ, ἐφ' ὧν ἐξαίρετος ἂν ἐνέργεια γένηται, καθάπερ ἐπὶ τοῦ ἀστράπτει, ἢ ὕει.

Ἢ καὶ συμφέρεται, ἤτοι λεγομένη,

Ὅ ἐστι προσκειμένη, ὅτε ἀντιδιαστολῆς προσώπων χρεία.

Ἢ νοουμένη,

Ἔνθα ἀπολύει τὰ πρόσωπα.

Ἐπὶ πάσης κλίσεως

Κλίσιν ἐνταῦθα τὴν συζυγίαν λέγει, ὡς κἀν τῷ β', περὶ ῥήματος, κλίσεων δὲ πέντε καὶ τοῦδε οὐσῶν. ἃς δὴ καὶ συζυγίας φησὶ, καλοῦμεν. καὶ τῶν προστακτικῶν ἄρα ῥημάτων τὰ β', εὐθεῖαν ἐκ α', ἀντωνυμικὴν μετὰ τὴν ὀνοματικὴν κλητικὴν ἔχει.

Καὶ ἀριθμοῦ καὶ προσώπου καὶ χρόνου, πλὴν τῶν ἀπαρεμφάτων. ταῦτα γὰρ

Ὡς ἀπρόσωπα,

Αἰτιατικὴν περιέχει.

Ἐκ πρώτου. διὰ τί δέ; ἐν τοῖς ἑξῆς ζητητέον.

Συμπλοκὴ Λόγου.

Διδάξας ἁπλῶς περὶ τῶν ἁπλῶν καὶ ἄνευ συμπλοκῆς τοῦ Λόγου μερῶν ἰδίᾳ, ὀνόματος λέγω καὶ ῥήματος, ἤδη πρὸς τὴν κατὰ συμπλοκὴν τούτων διδασκαλίαν χωρεῖ. δεῖ γὰρ ἁπανταχοῦ τὰ ἁπλούστερα προγινώσκεσθαι τῶν ἐξ αὐτῶν συγκειμένων.

Ἢ γοῦν ἐν

Τὸ ἐν ἑπταχῶς, ἢ ὡς συνεχὲς, ἢ ὡς ὑποκείμενον, ἢ ὡς εἷς ὅρος, εἴτ' οὖν τῇ κατηγορίᾳ. ἢ ἀναλογίᾳ, ἢ ὡς γένος, ἢ ὡς εἶδος, ἢ ὡς ἁπλῆ καὶ ἀδιαίρετος οὐσία. καθ' ἣν ὁ θεὸς εἷς λέγεται. ᾧδε δὲ ἕν, ὡς κατηγορούμενον, ῥῆμα δηλαδή. περὶ γὰρ ῥήματος ὁ λόγος ἤδη.

Συνάπτεται ἑνί.

Ὀνόματι. οἷον,

Σωκράτης φιφεῖ. ἢ ἐν δύοιν. Σωκράτης καὶ Πλάτων φιφεῖ.

Τὸ ἐν, ἐν μὲν, ἐνεργείᾳ. δύω δὲ, δυνάμει. ὡσαύτως καὶ τὰ δύω, δύω μὲν, ἀσυνδέτως, ἐν δὲ, συνδέσμῳ,

Τοῦτο δὲ,

Ἡ τοῦ ἑνὸς ῥήματος, μετὰ δύοιν ὀνομάτων συνάφεια,

Ἤτοι φύσει, ἢ σχήματι. φύσει μὲν,

μὲν, ἐὰν τὸ ῥῆμα προτάττηται, ἢ μεσοσυλλαβῇ ἑνικῶς. οἷον, φῑφεῖ σωκράτης καὶ πλάτων. σωκράτης φιλοσοφεῖ καὶ πλάτων.

Τὰ γὰρ ῥήματα ἀναμερισθέντα πρὸς τοῖς ἄλλοις καὶ εἰς ἀριθμὸν, ὁμοιαρίθμως μὲν τοῖς ὑποκειμένοις συναπτόμενα, φύσει λέγεται συμπλέκεσθαι, οὐχ οὕτω δὲ ἔχοντα, εἰς σχῆμα μεθίσταται, καὶ τοῦτο ἤτοι προεπιζευκτικὸν, ἢ ἐπιζευκτικόν, τί δέ ἐστι σχῆμα, προείρηται,

Σχήματι δὲ προεπιζευκτικῷ, ἐὰν πληθυντικῶς.

Ἀπὸ κοινοῦ τὸ, ῥῆμα προτάττηται, ἢ μεσοσυλλαβῇ. οἷον,

Φιλοσοφοῦσι Σωκράτης καὶ Πλάτων. Σωκράτης φῑφοῦσι καὶ Πλάτων.

Προδιεζευγμένον σχῆμα καλεῖται κατὰ τὸν Εὐστάθειον, ὅταν τὸ μὲν μετὰ δύω λέξεις τεθησόμενον, μεσολαβηθῇ, μετὰ μίαν τεθέν. οἷον, ἐγὼ ἤλθομεν καὶ σύ. τὸ γὰρ ἤλθομεν, μεσολαβεῖται δυοῖν λέξεσιν. ὧν ὕστερον τεθεῖναι ὤφειλεν. ὡς κἀν τῷ, πυριφλεγέθων ῥέουσι κωκυτός τε. τὸ ῥέουσι μέσον κεῖται τοῦ πυριφλεγέθοντος καὶ τοῦ κωκυτοῦ, ὀφεῖλον κεῖσθαι μετ' αὐτούς. κἀν τῷ, ἐὰν ἄρης ἄρχωσι μάχης καὶ φοῖβος. τοιοῦτο καὶ τὸ, κάστωρ ὠκέων πώλων ἐλατῆρε καὶ πολυδεύκης. καὶ τὸ, θάρσος μοι ἄρης τ' ἔδοσαν καὶ ἀθήνη. ἐν οἷς ἅπασι προεκπεφώνηται, ἢ προαποδέδοται τὸ ῥῆμα. ὃ ἔδει ἐπάγεσθαι. εἴρηται δὲ καὶ ἀλκμανικὸν τὸ τοιοῦτο σχῆμα, οὐχ ὅτι ὁμελωποιὸς Ἀλκμᾶν εὗρεν αὐτὸ, ἀλλ' ὅτι Ὁμήρου εὑρόντος, ἔχαιρεν ἐκεῖνος, ζακόρως χρώμενος τῷ σχήματι, μεταξὺ δυοῖν ὀνομάτων τιθεὶς τὸ ῥῆμα, τὸ μετ' αὐτὰ κεῖσθαι ὀφεῖλον. ὡς κἀν τῷ, ἧχι ῥοὰς σιμόης συμβάλλετον ἡ δὲ σκάμανδρος. ἰλ: ῆ. τοιοῦτο καὶ τὸ, τὼ δ' ἄρ' ὁμὲν, ἔγχεϊ ὀξυόεντι ἵετο ἀκοντίσαι, ὁ δὲ, τοξεῦσαι. ἰλ: ν. καὶ γὰρ καὶ ὁ ἐπιμερισμὸς σχῆμα προεπιζευξέως ἐστι κατὰ τοὺς παλαιούς. φθάνει γὰρ ἐπιζεύξας τοὺς ποιοῦντας, εἶτα διαιρεῖ αὐτοὺς καθ' ἕνα. καὶ τοῦτο μὲν, ἐνδυϊκῷ ἀριθμῷ, προεπιζευγνύει δὲ καὶ πληθυντικῶς ἐν τῷ, οἱ δὲ, ἀτρείδης μὲν ἄμαρτε, πείσανδρος δ' οὔτασε. τοιούτῳ δὲ κατά τινας ἔοικε σχήματι καὶ τὸ ἐν τῷ σ, τῆς ἰλ: ἀνακύψαν. τεῖχος μὲν ῥ' ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα ῥύατ' ἐφεσταῶτες, μετὰ δ' ἀνέρες. οὓς ἔχε γῆρας. προαποδέδοται γὰρ τὸ ἐφεσταῶτες ἀρρενικὸν πτωτικὸν, πρὶν εἴπῃ τὸ ἀνέρες.

Ἔτι φύσει, ἐὰν ἐπιτάττηται πληθυντικῶς. Σωκράτης καὶ Πλάτων φῑφοῦσι. Σχήματι δὲ ἐπιζευκτικῷ, ἐὰν ἑνικῶς.

Τὸ, ἐπιτάττηται τὸ ῥῆμα, ἀπὸ κοινοῦ.

Σωκράτης καὶ πλάτων φῑφεῖ. ᾧ ἀντίκειταί πως τὸ περιληπτικόν. ὥς φασαν ἡ πληθύς. καὶ, ἐσκίδναντο ἕκαστος.

Τὸ μὲν ἐπιζευκτικὸν σχῆμα πληθυντικοῖς ὀνόμασιν ἑνικὸν ἐπιτάττει ῥῆμα, τὰ δὲ περιληπτικὰ τοὐναντίον, ἑνικῷ ὀνόματι πληθυντικὸν ἀποδίδωσι ῥῆμα. διαφέρει δὲ ἡ σχήματι συμπλοκὴ τῆς φύσει τῷ ἀριθμῷ μόνον, τὸ μὲν προεπιζευκτικὸν, τοῦ φύσει ἑνικοῦ, τὸ δὲ ἐπιζευκτικὸν, τοῦ φύσει πληθυντικοῦ.

Ἐκδέχονται μὲν οὖν αἱ πλάγιαι τὰ ῥήματα μεταβατικῶς.

Πλὴν τῆς, ὡς εἴρηται, κλητικῆς, πλαγίας

γίας μὲν καὶ αὐτῆς οὔσης, ἀμεταβάτως δὲ τοῖς δευτέροις τῶν ῥημάτων προσώποις ἐκ πρώτου συντασσομένης.

Οἷς ἀμεταβάτως ἡ εὐθεῖα συντάσσεται.

Ὡς ἂν εἰ ἔλεγε, τὰ ἐνεργητικὰ τῶν ῥημάτων ταῖς μὲν πλαγίαις συντάσσεται μεταβατικῶς, μεταβιβάζοντα δηλ: τὴν διάθεσιν ἀπὸ προσώπου εἰς πρόσωπον, ταῖς δὲ εὐθείαις σύνεστιν ἀμεταβάτως. τῶν δὲ πλαγίων ἐκδεχομένων τὰ ἐνεργητικὰ ῥήματα, δῆλον ὅτι αἱ εὐθεῖαι ἐκπέμπουσιν αὐτά. ἐν δὲ τοῖς παθητικοῖς τοὐναντίον. ταῦτα γὰρ αἱ εὐθεῖαι ἀμεταβάτως ἐκδέχονται, τῶν προθετικῶν πλαγίων μεταβατικῶς ἐκπεμπουσῶν αὐτά.

Εἴδη τῶν μεταβατικῶν προσωπικῶν.

Τὰ γὰρ ἀμετάβατα τῶν προσωπικῶν μοναδικά εἰσι, μόνα δηλ: τὰ ἐν τοῖς οὐδετέροις ἀπολελυμένα. ἐντεῦθεν δὲ περὶ τῆς καθόλου συντάξεως τῶν ῥημάτων ἀκριβέστατα διειληφὼς ὁ Θεόδωρος φαίνεται, πολυμερεστάτης οὔσης καὶ δεομένης οὐμετρίας ἐπιστάσεως. αἵτε γὰρ παρεπόμεναι ἐγκλίσεις, λόγον ἀπαιτήσουσι τῆς συντάξεως, καὶ οἱ ἐν αὐταῖς ἀναμερισθέντες χρόνοι, καὶ ἡ συμπαρεπομένη διάθεσις, ἐνεργητικὴ οὖσα, ἢ παθητικὴ, καὶ ἡ μεταξὺ τούτων πεπτωκυῖα μέση, καὶ ἡ προχωροῦσα οὐδετέρα, καὶ τὰ ἐγγινόμενα πρόσωπα ἐν τῷ καθόλου, ἢ μερικῶς, ἢ οὐδόλως, ὡς ἐπὶ τῶν ἀπρσώπων. καὶ εἰ ἅπασαι σύμφωνοί εἰσιν αἱ διαθέσεις, ἥτε ἐνεργητικὴ καὶ ἡ παθητική. τίνα τε αὐτῶν πλαγίαις θέλει ἐπαρτᾶσθαι, καὶ τίνα οὔ. καὶ πότερον ἀδιαφόρως πάντα πάσαις, ἢ κατὰ μερισμὸν τὸν δέοντα τῶν πτώσεων. εἰ ἡ ἀπαρέμφατος, ἔγκλισις, ἢ οὔ. καὶ εἰ ὅλως ῥήματα τὰ ἀπαρέμφατα. ἅπερ πάντα κατὰ τὸ ἐπιβάλλον ἑκάστῳ διαιτηθήσεται.

Εἴδη δὲ τῆς καθ' ἕκαστα μεταβάσεως τῶν προσωπικῶν ὑποκείσθωσαν,

Ἀντὶ τοῦ τῶν καθ' ἕκαστα μεταβατικῶν προσωπικῶν ῥημάτων. ἔδει δὲ εἰπεῖν, τῆς καθόλου, οὐ τῆς καθ' ἕκαστα. εἴγε, ὥσπερ τὰ γένη εἰδῶν λέγεται γένη τῷ λόγῳ τῆς σχέσεως, οὕτω δὴ τῷ αὐτῷ λόγῳ καὶ τὰ εἴδη, τῶν καθόλου εἴτ' οὖν τῶν γενῶν λέγεται εἴδη, οὐχὶ τῶν καθ' ἕκαστα, εἴτ' οὖν τῶν ἀτόμων. καὶ γὰρ καὶ (καθ' ὅφασί τινες) κτητικῶς τὰ εἴδη γενῶν μᾶλλον, ἢ ὡς αὐτοίφασιν, ἀτόμων ἂν εἴδη ῥηθείη. εἴγ' οὐ δὲ τὰ τῆς κτήσεως ἀπήλλακται τῆς κατὰ τὰ πρός τι ὡς εἴρηται σχέσεως. σχέσις δὲ εἴδους, οὐ πρός τι ἄτομον, πρὸς δέ τι γένος ἐστίν. οὐδὲ γὰρ τῶν ἀτόμων, τοῦ δὲ γένους κτῆμα τὸ εἶδος. κατὰ δὲ Νικηφόρον τὸν βλεμμύδην τὸ εἶδος λέγεται καὶ τοῦ γένους καὶ τῶν ἀτόμων εἶδος, τοῦ μὲν, ὡς περιεχόμενον ὑπ' αὐτοῦ, τῶν δὲ, ὡς περιέχον αὐτά. τὸ δ' αὐτὸ καὶ γένος ἀδιαίρετον, γένος μὲν, ὡς τῶν ἀτόμων περιεκτικὸν, ἀδιαίρετον δὲ, ὡς μὴ κατὰ τὸ γένος εἰς εἴδη διαιρούμενον. σκόπει δὲ, ὡς τὸ ἐν τοῖς ἔμπροσθεν διαβιβάζειν, μεταβιβάζειν νῦν ἔφη. διαφέρει δὲ ἀλλήλων, ᾗ τῶν μὲν μεταβατικῶν ἡ συνταξίς ἐστιν ἁπλῶς, ἡ δὲ τῶν διαβατικῶν ἐστι πῇ. καὶ εἴ τι μὲν διαβατικὸν, τοῦτο πάντως καὶ μεταβατικὸν, οὐ μὴν, εἴ τι μεταβατικὸν, τοῦτο ἤδη καὶ διαβατικόν. ὡς καὶ εἴ τι μὲν ἄνος, τοῦτο καὶ ζῷον, οὐ μὴν, εἴ τι ζῷον, τοῦτο ἤδη καὶ ἄνος. τὸ γοῦν διδάσκω σε γραμματικὰ, διαβατικὸν ὄν, ἔστι καὶ μεταβατικὸν, τὸ δὲ διδάσκω σε, ἢ ἀκούω σου, μεταβατικὸν ὄν, οὐκ ἔστι καὶ διαβατικόν.

Καθό-

Καθόλου τε καὶ ἁπλᾶ, τρία.

Ἁπλᾶ μὲν, διὰ τὰ ἐξ αὐτῶν ἐφεξῆς σύνθετα. πάντα γὰρ τὰ ἐξ ὧν ἡ σύνθεσις, τῶν ἐξ ἐκείνων συντεθειμένων ἁπλούστερα. τρία δὲ, καθ' ὅ, τι καὶ τῶν πλαγίων αἱ, ὡς εἴρηται, ἐκδεχόμεναι τὰ ῥήματα μεταβατικῶς, τρεῖς εἰσι. καθόλου δὲ, καθ' ὅ, τί τε ἐμπεριεκτικόν ἐστι δυνάμει παντὸς τοῦ κατ' ἐνέργειαν ἰδικοῦ πράγματος, ἢ αἰτίου, ἢ τρόπου, καὶ ἁπλῶς συγκατηγορήματος, καὶ δι' ὅ, τι εἰς αὐτὰ ἀνάγεται ἕκαστος τῶν καθ' ἕκαστα ἁπλῶν τόπων. ἁπλᾶ μὲν οὖν εἴρηται, ὡς ἀπροσδιόριστον ἔχοντα τὴν ἐνέργειαν, (καθὰ δὴ καὶ τὰ γένη, φέρε τὸ ζῷον, δυνάμει μὲν καὶ ἀπροσδιορίστως, πάντα ἐμπεριέχει τὰ εἴδη, ἐνεργείᾳ δὲ καὶ ὡρισμένως, οὐδέν.) οἱονεὶ ἄπλαστα καὶ ἀτύπωτα καὶ ἀμόρφωτα, πρὸς τὰ ἐν πλάσει καὶ τύπῳ μεμορφωμένα σύνθετα ἀντιδιαστελλόμενα. καὶ δι' αὐτὸ δὲ τοῦτο καὶ καθόλου. τὸ γὰρ διδάσκω σε, οὐκ ἔχει προσδιωρισμένην τὴν διδασκαλίαν, τί ποτε δηλονότι διδάσκω σε. γραμματικὰ τυχὸν, ἢ ῥητορικά; ποιητικὰ, ἢ φιλοσοφικά; μηχανικὰ, ἢ ἀλλ' ἄττα; ὧν ἁπάντων δυνάμει μὲν, ἐμπεριεκτικόν ἐστι τὸ διδάσκω, ἐνεργείᾳ δὲ, οὐδενός. ταύτῃ τοι καὶ ἁπλοῦν ἐστιν, ὡς μὴ ἔκ τινος τοῦ κατ' ἐνέργειαν ἰδικοῦ πράγματος, ἢ αἰτίου, ἢ συγκατηγορήματος συγκείμενον. διὰ δὲ τὸν αὐτὸν λόγον καὶ καθόλου, ὡς δυνάμει πάντων ἐμπεριληπτικὸν ὂν τῶν κατ' ἐνέργειαν ἰδικῶν πραγμάτων, ὡς εἴρηται, ἢ τῶν αἰτίων ἢ τῶν τρόπων. προσλαβὸν δὲ ἐνεργείᾳ ἔν τι τῶν δυνάμει ἐμπεριεχομένων, καὶ τούτῳ προσδιορισθὲν, τοτηνικαῦτα σύνθετον καὶ μερικὸν γίγνεται τὸ τῆς συντάξεως εἶδος, συντιθέμενον ἔκ τε τῆς ἐνεργείας, εἴτ' οὖν διαθέσεως, καὶ τοῦ πράγματος, ἤτου αἰτίου, ἢ τρόπου. ὥσπερ καὶ τὸ ζῷον καθόλου ὂν καὶ ἁπλοῦν, οἷα γένος, προστεθείσης αὐτῷ συστατικῆς τινος τῶν δυνάμει ἐμπεριεχομένων εἰδῶν διαφορᾶς, φέρε τοῦ λογικοῦ, σύνθετον γίγνεται καὶ μερικόν. ταῦτ' ἄρα καὶ ἡ μὲν τῶν καθόλου σύνταξις, ἁπλῶς ἀκούει, ἡ δὲ τῶν μερικῶν, πῇ. αὐτὰ ταῦτα ῥητέον κἀπὶ τῶν κατ' εἰσπομπήν τε καὶ περιποίησιν, καὶ ἁπλῶς κἀπὶ τῶν τριῶν ἁπλῶν εἰδῶν. ἀντιστρέφει δὲ πρὸς ἄλληλα τό, τε ἁπλοῦν καὶ τὸ καθόλου, εἶδος λέγω συντακτικόν. εἴτι γὰρ ἁπλοῦν εἶδος, τοῦτο καὶ καθόλου. καὶ εἴτι καθόλου, τοῦτο καὶ ἁπλοῦν. Ἰστέον δὲ ὡς τὴν τῶν προσωπικῶν ῥημάτων διαίρεσιν τριττὴν πεποίηκε, τὴν μὲν, γενικώτερον κατὰ σύνταξιν, κατὰ τὰς τρεῖς δηλδ: πτώσεις, τὴν δὲ, εἰδικώτερον κατὰ σημασίαν, καθ' οὓς ἐκτίθεται τόπους, τὴν δὲ, διαθετικὴν, κατὰ τὰς συμβαινούσας δηλαδὴ διαθέσεις.

Πρῶτον μὲν, εἰς αἰτιατικὴν τῶν κατ' ἐκπομπὴν θεωρουμένων. οἷον, διδάσκω σε.

Τί ὅτι ἐν τῷ περὶ πτώσεων ἡ αἰτιατικὴ ἐσχάτην σχοῦσα χώραν, ὧδε προτέτακται; Ἢ ὅτι τῶν ῥημάτων τὰ κατ' ἐκπομπὴν προτέτακται τῶν κατ' εἰσπομπήν. καθ' ὅ, τι καὶ ἡ, ὡς εἴρηται, ἐνέργεια προτέρα τοῦ πάθους. ταῦτα δὲ αἰτιατικῇ συντάσσεται, ἐκείνων γενικῇ συντασσομένων, καὶ ἡ αἰτιατικὴ ἄρα προτακτέα τῆς γενικῆς.

Καὶ διδάσκω γραμματικά.

Τὸ διδάσκω γραμματικὰ, καὶ ὅλως τὰ ἐπιβατικὰ, σύνθετα ὄντα, ἐν τοῖς συγκειμένοις μᾶλλον, ἤπερ ἐν τοῖς ἁπλοῖς ἐστι τακτέα. προσκειμένου γὰρ αὐτοῖς τοῦ κατ' ἐνέργειαν πράγματος, πῇ συντέτακται, οὐ μὴν ἁπλῶς. οὐδὲ γάρ ἐστι φάναι, ὡς τὰ ἐπιβατικὰ τῷ ἀπροσδιορίστῳ τοῦ πρὸς ὃ ἡ τῆς ἐνεργείας μετάβασις προσώπου, ἁπλᾶ ἐστιν, ἐμπεριέχοντα δυνάμει ἅπαν πρόσωπον. ἐπεὶ καὶ τῶν ἁ

τῶν ἁπλῶν ἕκαστον προσδιώρισται μὲν τῷ πρὸς ὃ ἡ μετάβασις προσώπῳ, οὐ μὴν ἤδη παρὰ τοῦτο καὶ συνθετά ἐστι. τὸ γὰρ ἁπλῶς τε καὶ πῇ τῆς συντάξεως, οὐκ ἐν τοῖς προσώποις, ἐν δὲ τῇ ἐνεργείᾳ καὶ τῷ κατ' αὐτὴν πράγματι, ἤ τινι αἰτίῳ, ἢ συγκατηγορήματι θεωρεῖται. ἔνθεντοι καὶ τῶν κατὰ περιποίησιν τὰ ἁπλᾶ, (οἷον, δίδωμί σοι.) τὴν μὲν αἰτιατικὴν, καί τοι ἐκ γ', οὖσαν, ὡς δειχθήσεται, (ὃ τῶν ἁπλῶν ἐστιν.) ὥς γε μὴν τὸ κατ' ἐνέργειαν πρᾶγμα προσορίζουσαν, (ὃ τῶν συνθέτων ἐστί.) παρῄτηται, τὴν δὲ δοτικὴν, καί τοι ἐκ δ', οὖσαν, ὡς καὶ τοῦτο δειχθήσεται, (ὃ τῶν συνθέτων ἐστίν.) ὥς γε μὴν οὐχὶ τὸ κατ' ἐνέργειαν πρᾶγμα, τὸ δὲ πρόσωπον προσδιορίζουσαν προσελάβετο. ἀλλ' οὐδὲ ἐκ γ', οἰητέον εἶναι τῶν ἐπιβατικῶν τὰ πτωτικά. συνεννοουμένου γὰρ ἀορίστως τοῦ ἐκδεχομένου τὴν τοῦ ῥήματος μετάβασιν ἐκ γ', προσωπικοῦ πτωτικοῦ, ἐκ δ', ἂν εἴη τὰ τὸ κατ' ἐνέργειαν πρᾶγμα ὑπαγορεύοντα πτωτικά. εἴγε κοινά τέ ἐστι καὶ ὁμοιόπτωτα καθ' ἑκατέρας τὰς διαθέσεις. ὅθεν δὴ καὶ κατὰ τοῦτον τὸν λόγον συνθετον μᾶλλον, ἢ ἁπλοῦν ἂν εἴη τὸ, διδάσκω γραμματικά. Σημειοῦνταί τινες, ὡς ἐν τῷ, εἰπέ μοι τὸν πολύδωρον, εἰ ζῇ, δέον ἐπὶ τοῦ πράγματος θεῖναι τὸ εἰπὲ, ἵν' ᾖ ὁ λόγος, εἰπέ μοι, εἰ ζῇ ὁ πολύδωρος, ὁδὲ, ἐπὶ τοῦ ὀνόματος αὐτὸ τέθεικεν, εἶτα ἐπάγει τὸ πρᾶγμα, ὁμοίως τῷ, ἵνα ἰδοῦσα κλεόδημον, εἴπῃς αὐτῷ τὸν υἱὸν, ὅτι ἐστεφάνωσεν οὗτος τὴν νέαν αὐτοῦ χαίτην. τοιοῦτο καὶ τὸ παρ' Ἀριστοφ': οἱ τὸν οὐνὸν λέγοντες, ἀναπείθουσιν, ὡς ἔστι πνιγεύς. καὶ πάλιν, ἀνήρετ' ἄρτι χαιρεφῶντα σωκράτης ψύλλαν, ὁπόσους ἄλλοιτο τοὺς αὑτῆς πόδας, καὶ Λουκιαν': ἐν τῷ Ἀλέξανδ: καὶ δείξειν (ὑπισχνεῖτο) τὴν Γλύκωνος ἀρετὴν, ὅτι καὶ τοὺς πάνυ τραχυνομένους φίλους ἀπεργάζεται. καὶ Ὅμηρος, ἰλ: β. ἤδεε γὰρ κατὰ θυμὸν ἀδελφεὸν, ὡς ἐπονεῖτο. κατ' αἰτιατικὴν δὲ λέγεται ἐν τούτοις τὸ ὄνομα κατὰ τὸ ἀδόκητον καὶ οἷον ἀνεπιτηδεύτως προληφθὲν διὰ τὰ κατ' ἐκπομπὴν προσκείμενα ῥήματα, ἔνθα μὲν, ἁπλῶς, ἔνθα δὲ, διαβατικῶς. ὀρθοῦται δὲ ἐφεξῆς ἀναγκαίως ὁ λόγος διὰ τὰ ἐπαγόμενα μόρια τό, τε βεβαιωτικὸν καὶ τὸ συναπτικὸν καὶ τὸ πυσματικὸν, ὀρθολεκτεῖν πεφυκότα τὴν σύνταξιν.

Δεύτερον δὲ, εἰς γενικὴν τῶν κατ' εἰσπομπὴν. οἷον, δέομαί σου.

Τὸ θεωρουμένων, ἀπὸ κοινοῦ ἐνταῦθά τε κἀπὶ τοῦ ἑξῆς.

Τρίτον δὲ, εἰς δοτικὴν τῶν κατὰ περιποίησιν. οἷον, δίδωμί σοι.

Ἐν τούτοις μὲν οὖν τὸν ἀριθμὸν τῶν ἁπλῶν εἰδῶν τῆς καθόλου ἐξέθετο μεταβάσεως, κατὰ τὰς τρεῖς πτώσεις, τίνα δὲ τῶν καθ' ἕκαστα ῥημάτων τίνι τῶν προκειμένων εἰδῶν ἐστιν ἀνακτέα, ἑξῆς ἐρεῖ, τόπους κοινοὺς ἐκτιθέμενος, κατὰ τὸ κοινῇ τῶν καθ' ἕκαστα σημαινόμενον.

Τέτταρα δὲ, συγκείμενα, ἅττα καὶ τῶν εἰρημένων κοινά.

Ἕκαστον γὰρ τῶν τριῶν ἁπλῶν εἰδῶν καθ' ἑκατέραν διάθεσιν προσλαβὸν καὶ ἑτέραν τινὰ πτῶσιν ἐκ τετάρτου, ἑτεροπροσωπικὴν τῆς ἐκ τρίτου, αἰτιατικὴν μὲν, διαβατικὸν εἶδος ἀκούει, οἷα διαβαίνουσαν ἀπὸ προσώπου εἰς πρόσωπον, γενικὴν δὲ, αἰτιολογικὸν, τὸ δ' αὐτὸ καὶ ἐλλειπτικὸν, τῇ μὲν, ὡς αἰτιολογοῦν, τῇ δὲ, ὡς ἐλλειπῶς ἔχον τοῦ ἕνεκα, ἢ ἑτέρου τοῦ μορίου τῶν ἀναλόγως ἐχόντων κατά τε πτῶσιν καὶ συσσημασίαν τῷ ἐγκειμένῳ πτωτικῷ, δοτικὴν δὲ, ὀργανικὸν, ἀπα-

ἀπαρέμφατον δὲ, τῇ μὲν, τελικὸν, τῇ δὲ, εἰδικόν. Σύνθετα δὲ εἴρηται ταῦτα, ὡς ἔχοντα ὡρισμένον ἰδικῶς τὸ κατ' ἐνέργειαν πρᾶγμα, ἢ τὸ αἴτιον. ἢ τὸ ὅπως ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, τοῦτ' ἔστι τὸν τρόπον. μᾶλλον δὲ κυρίως ἂν λέγοιτο σύνθετα, ὡς ἔκτε ἐνεργείας καὶ τοῦ ἤτοι πράγματος, ἢ αἰτίου, ἤτου τῶν παρεδρευόντων εἴτ' οὖν συγκατηγορημάτων συντεθειμένα, ὡς εἴρηται, τῶν ἁπλῶν καθ' ἑαυτὴν ἐχόντων τὴν ἐνέργειαν, καὶ μὴ ἐξ αἰτίου τινὸς, ἢ πράγματος συντεθειμένην, ἢ τρόπου. τὸ γὰρ διδάσκωσε, καὶ τὸ διδάσκω σε γραμματικὰ, ἐνέργειαν μὲν ὑπεμφαίνει ἑκάτερα, ἀλλὰ τὸ μὲν πρῶτον, ἀπροσδιόριστον καὶ καθόλου, τὸ δὲ δεύτερον, προσδιωρισμένην καὶ μερικήν. καὶ ἁπλᾶ μὲν, τὰ καθόλου, σύνθετα δὲ, τὰ μερικά. κἂν γάρ τοι καὶ ἡ τοῦ διδάσκωσε, ἐνέργεια, ᾗ πρὸς τὸ ἐπαινῶ, καὶ ὑβρίζω, καὶ τἄλλα διέσταλται, ὡρισμένη ἐστὶ, κατά γε μὴν τὰ δυνάμει ἐμπεριεχόμενα τῇ διδασκαλίᾳ εἴδη, ἀπροσδιόριστος οὖσα, ἁπλῆ ἐστι, προσκειμένου δὲ καὶ τοῦ τῆς ἐνεργείας ἰδικοῦ πράγματος, σύνθετον γίνεται τὸ διδάσκω, συντεθὲν, ὡς εἴρηται, ἐξ ἐνεργείας καὶ πράγματος. κἀπὶ τῶν κατ' εἰσπομπὴν δέ τοι ὡσαύτως, φέρε τοῦ δέομαί σου. δικαία τε γάρ ἐστι δέησις, καὶ νόμιμος, πρέπουσά τε καὶ συμφέρουσα, καὶ ἀναγκαία. καὶ αὖ τἀναντία τούτων ἑκάστη. ὧν ὅ, τι ἂν προστεθῇ ἐν τῷ λόγῳ, συστέλλει τὴν τοῦ ῥήματος ἀόριστον ποιότητα. Πάλιν, τοῖς ἐπίτι ὑποκείμενον μεταβιβάζουσι τὴν ἐνέργειαν, εἴπερ οὐχὶ τοῦ κατ' ἐνέργειαν διαβιβαζομένου πράγματος, αἰτίου δέ τοῦ προσδεῖ, τῷ τοῦ αἰτίου ἤτοι δυνάμει, ἢ ἐνεργείᾳ τὸ ἁπλῶς, ἢ πῇ θεωρείσθω. οἷον, ἐν τῷ, διδάσκω σε, ἢ δέομαί σου, δεῖ τῆς τοῦ οὗ ἕνεκα φέρε αἰτίας. ἧς προσκειμένης μὲν, πῇ συντέτακται, ὡς ἐξ αὐτῆς συντεθὲν τὸ εἶδος, ἀπούσης δὲ, ἁπλῶς, ὡς δυνάμει πάντων ὂν ἐμπεριεκτικὸν τῶν τὸ δὲ ὁ αἰτιολογούντων. ὁμοίως ἂν δὲ κἀπὶ τῶν ἄλλων εἰδῶν τοῦ αἰτίου. ἔστι δὲ ἡ προκειμένη σύνθεσις λογικὴ καὶ κατ' ἐπίνοιαν, οὐ μὴν πραγματιῴδης. ἔστι δὲ πραγματιῴδης μὲν, ἄθροισμα φυσικῶν μερῶν, πράγματι διῃρημένων, οἵα ἡ ἐν ἀνῷ ψυχῆς καὶ σώματος, λογικὴ δὲ, τῶν κατ' ἐπίνοιαν διῃρημένων, οἵα ἡ ἐκ γένους καὶ διαφορᾶς τῶν μεταφυσικῶν μερῶν.

Τὸ μὲν, εἰς αἰτιατικήν. οἷον, διδάσκω σε γραμματικά. δέομαί σου τὰ δίκαια. δίδωμί σοι χρυσίον. καλείσθω δὲ διαβατικόν.

Ἀπὸ τῆς προσγινομένης πτώσεως ὅλον τὸ εἶδος παρωνόμασται. οἷον, ὀργανικὸν μὲν, ἀπὸ τῆς τὸ ὀργανικὸν αἰτιολογούσης δοτικῆς, ἐλλειπτικὸν δὲ καὶ αἰτιολογικὸν, ἀπὸ τῆς ἐλλειπούσης τε καὶ αἰτιολογούσης γενικῆς. διαβατικὸν δὲ, ἀπὸ τῆς διαβαινούσης ἀπὸ προσώπου εἰς πρόσωπον αἰτιατικῆς. Σημειωτέον τὸ τοῦ ζημιῶ διαβατικὸν πτωτικὸν, ἐπαμφοτερίζον τῇ πτώσει, ἔνθα μὲν, αἰτιατικῇ. Συμεὼν μεταφρασ': εἰς τὸν βίον τοῦ Χρυσοστ'μ: παράλληλ: κή. τὸν ἀδικήσαντα (τὴν χήραν Καλλιτρόπην Παυλάκιον) διὰ ταχέων μετακαλεῖται, (ἡ βασιλὶς Εὐδοξία) εἶτα τὴν χήραν πρόφασιν κατειποῦσα αὐτοῦ, ἑκατὸν χρυσίου λίτρας αὐτὸν ζημιοῖ. ἔνθα δὲ, δοτικῇ, Γρηγόρ. ναζιανζ. ἐπιστλ. πρὸς Συμπλικίαν, ἄτοπον, ἱερεῖ βούλεσθαι ζημιοῦν ἐκκλησίαν. καὶ Ἔσδρας α', λϛ', ἐζημίωσε τὸ ἔθνος (ὁ βασιλεὺς αἰγύπου) ἀργυρίου ταλάντοις ἑκατὸν, καὶ χρυσίου ταλάντῳ ἑνί. Τὸ δὲ κατὰ περιποίησιν διαβατικὸν, οἷον, τὸ δίδωμίσοι χρήματα, ἔοικέπως συγκεχεῖσθαι. κεῖται καὶ γὰρ ἁπλοῦν μὲν, κατὰ τὴν δοτικὴν, σύνθετον δὲ, κατὰ τὴν αἰτιατικήν.

τικὴν. δοκεῖ δὲ τοὐναντίον. εἴγ' αὐτοῦ ἡ μὲν πρὸς τὴν αἰτιατικὴν σύνταξις, ὡς ὁμολογοῦσαν τὸ προσδιατίθεσθαι, τῶν κατ' ἐκπομπὴν ἁπλῶν ἐστι προδηλότατα, ἡ δὲ πρὸς τὴν δοτικὴν, ὡς αἰτιολογοῦσαν τὸ οὗ ἕνεκα, (τοῦτο γὰρ ὡς ἁπλῶς εἰπεῖν ἡ περιποιητικὴ βούλεται δοτική,) τῶν ἐξ αἰτίας συγκειμένων.

Τὸ δὲ, εἰς γενικήν. οἷον, διδάσκω σε τοῦ καλοῦ. δέομαί σου τῆς χρείας, μεταδίδωμί σοι τῆς ἐνδείας. καλείσθω δὲ αἰτιολογικὸν, ἢ ἐλλειπτικόν.

Τῶν συνθέτων ἐν μὲν τῷ διαβατικῷ, τὸ κατ' ἐνέργειαν ἔγκειται πρᾶμα, ἐν δὲ τῷ προκειμένῳ ἐλλειπτικῷ καὶ ἐν τῷ ἑξῆς ὀργανικῷ, τὸ αἴτιον, ἔνθα μὲν, τὸ οὗ ἕνεκα, ἔνθα δὲ, τὸ ὀργανικόν.

Τὸ δὲ, εἰς δοτικὴν. οἷον, διδάσκω σε τύχῃ ἀγαθῇ. δέομαί σου ὅλῃ ψυχῇ. δίδωμί σοι χειρί. καλείσθω δὲ, ὀργανικόν.

Τηρητέον, ὡς οὐ πᾶν τὸ εἰς δοτικὴν φερόμενον, ἐστὶν ὀργανικόν. τοιοῦτο γὰρ καὶ τὸ κατὰ περιποίησιν ἁπλοῦν. οὐδὲ τὸ εἰς αἰτιατικὴν, διαβατικόν. τοιοῦτο γὰρ καὶ τὸ κατ' ἐκπομπὴν ἁπλοῦν. ὥσπερ οὐδὲ τὸ εἰς γενικὴν, αἰτιολογικὸν, ἢ ἐλλειπτικόν, τοιοῦτο γὰρ καὶ τὸ κατ' εἰσπομπὴν ἁπλοῦν. ἀλλὰ μόνα τὰ ἐξ ἁπλῶν συγκείμενα. ὀργανικὸν δέ ἐστι τὸ σημαῖνον τὸ δι' οὗ. οὗ ἡ δοτικὴ κατὰ μέν τινας προθετόπτωτος τυγχάνει, ἐλλείπουσα δηλαδὴ τῆς σὺν, προθέσεως. τὸ γὰρ ὄργανον τῷ καθ' αὑτὸ εἴτ' οὖν ποιητικῷ αἰτίῳ, ᾗ συναίτιον τούτῳ, συνήνωται. καὶ ἡ τοῦτο ἄρ' αἰτιολογοῦσα δοτικὴ, διὰ τῆς σὺν, προθέσεως τῷ αἰτίῳ ἑνωθήσεται. ἐπεὶ δὲ ἡ μὲν σὺν, σημαίνει ἰσοτιμίαν, τὸ δὲ ὄργανον ὑπουργίαν, μεταληπτέον τὴν δοτικὴν εἰς γενικὴν ἐλλείπουσαν τῆς διὰ, οὐδὲν ἧττον καὶ αὐτῆς ἕνωσιν ὑποδηλούσης. Τῶν μὲν οὖν ἁπλῶν διὰ τί τὸ μὲν, εἰς τήνδε, τὸ δὲ, εἰς τήνδε ἠνέχθη τῶν πτώσεων, ἐν τοῖς ἑξῆς αἰτιολογηθήσεται, τῶν δὲ συνθέτων εἰς αἰτιατικὴν μὲν τὸ διαβατικὸν, ᾗ τὸ κατά τι σημαίνει. τοῦτο δὲ αἰτιατικῆς, ὡς εἴρηται. ὑπεξαιρείσθω ἡ ἐν τῷ, ζημιῶ σε χρήμασι, διαβιβαζομένη πτῶσις, τὸ κατά τι μὲν δηλοῦσα, οὖσα δὲ δοτική. καθ' ὅ, τι καὶ τῆς δοτικῆς ἡ χρῆσις, εἰ καὶ μὴ πάνυ τοι ἀκριβὴς, ἀλλ' οὖν ἔστιν οὗ τὸ κατά τι δηλοῖ, ὡς ἐν τῇ συντάξει τοῦ ἐπιθέτου εἴρηται. εἰς γενικὴν δὲ τὸ αἰτιολογικὸν, ᾗ αἰτιολογεῖ, εἰ καὶ μήπω ἐξωμάλισται ὁποῖον, ἀλλ' οὖν κείσθω τὸ οὗ ἕνεκα. γενικῆς δὲ τὸ ἕνεκα. τῆς δὲ γενικῆς καὶ τὸ δι' οὗ οὐδὲν ἧττον αἰτιολογούσης, τοῦτ' ἔστι τὸ ὄργανον, ὡς ἐν τοῖς ἀνταλλαγματικοῖς ἔσται δῆλον, προκατειλημμένης γε μὴν ταύτης μὲν, ἐν τοῖς τὸ δι' ὃ, τῆς δὲ αἰτιατικῆς ἐν τοῖς τὸ καθ' ὃ αἰτιολογοῦσιν, εἰς τὴν ὑπολειφθεῖσαν τῇ γενικῇ συγγενῆ δοτικὴν ἠνέχθη τὸ ὀργανικόν.

Τὸ δὲ, εἰς ἀπαρέμφατον, διχῶς δὲ, ἢ γάρ τοι ὡς εἰς τέλος, ἢ ὡς εἰς εἶδος.

Αἰτιολογεῖ καὶ τὸ ἀπαρέμφατον ἔστι μὲν οὗ, τὸ τελικὸν αἴτιον, ἔστι δ' οὗ τὸ εἰδικόν.

Ὅθεν δὴ καὶ τῇ μὲν, τελικὸν, τῇ δὲ, εἰδικὸν καλείσθω.

Τὸ εἶδος τῆς συντάξεως, τὸ εἰς ἀπαρέμφατον δηλαδὴ φερόμενον.

Διδάσκω σε διαλέγεσθαι. δέομαί σου βοηθῆσαι. δίδωμί σοι πρίασθαι.

Τελικὰ ταῦτα. τὸ δὲ διδάσκω σε διαλέγεσθαι, διχῶς οἷόν τε ἐκλαβεῖν. ληφθέντος καὶ γὰρ

καὶ γὰρ τοῦ ἀπαρεμφάτου ὀνοματικῶς μὲν, διαβατικὸν ἂν εἴη, ὅμοιον τῷ, διδάσκω σε γραμματικά. ὡς ἄν τις εἴποι, διδάσκω σε τὸ διαλέγεσθαι. ὅτε καὶ εἰδικόν ἐστι τῆς τοῦ διδάσκοντος διδασκαλίας. αἰτιῳδῶς δὲ, τότε τελικὸν ἂν εἴη. οἷον, διδάσκω σε τοῦ διαλέγεσθαι, ἢ διὰ τὸ διαλέγεσθαι. τοιοῦτο δὲ καὶ τὸ, παραινῶ σοι σιωπᾶν. τὸ γὰρ τελικὸν ἀπαρέμφατον καὶ διαβατικῶς καὶ τελικῶς οἷόν τε κεῖσθαι. ἐξ ὧν δῆλον ὡς τό, τε καθ' ὃ καὶ τὸ δι' ὃ συμπίπτουσι.

Λέγω σωκράτην γεγονέναι σοφόν. οἶμαι πάντας ὁμολογήσειν.

Εἰδικὰ ταῦτα. τὴν δὲ τούτων ἑκατέρων διάγνωσιν ἐν τοῖς ἑξῆς θήσει.

Προσκείσθω δὲ καὶ ἕτερόν τι,

Εἶδος συντάξεως σύνθετον.

Εἰς αἰτιατικὴν κοινότερον.

Καθ' ὅ, τι οὐ μόνον τῶν ἁπλῶν, ἀλλὰ καὶ τῶν συνθέτων ἐστὶ κοινόν. πρὸς τὸ πρῶτον δὲ ἐλλειπτικὸν ἡ παράθεσις, τὸ μόνων τῶν ἁπλῶν κοινὸν ὄν.

Διδάσκω σε χρόνον συχνὸν τὰ γραμματικά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Συνθέτων εἰδῶν. οἷον, δέομαί σου χρόνον συχνὸν τὰ δίκαια. δίδωμί σοι χρόνον συχνὸν χρυσίον.

Καλείσθω δὲ ἐλλειπτικὸν δεύτερον.

Πρὸς ἀντιδιαστολὴν τοῦ εἰς γενικὴν πρώτου ἐλλειπτικοῦ,

Καὶ ἔτι ἕτερόν τι

Εγ.

Τὸ προσκείσθω, ἀπὸ κοινοῦ.

Ὁμοίως

Κατὰ τὸ προληφθὲν ὁμοίως καὶ τοῦτο κἀπὶ τῶν τριῶν εἰδῶν θεωρούμενον.

Εἰς ὁ, τιοῦν τῶν προσηκόντων ἐπιῤῥημάτων.

Φερόμενον.

Ἢ δι' ἡστινοσοῦν τῶν προθέσεων. διδάσκω σε νῦν, ἢ ἡδέως, ἢ ὡς ἂν ἄλλως κατηγορεῖν πρὸς τὴν χρείαν δοκέῃ.

Τὰ γάρ τοι τῆς τοῦ λόγου χρείας ἔνθα μὲν, χρονικὸν, ἔνθα δὲ, τοπικὸν, ἔνθα δὲ, ἄλλου τοῦ εἴδους ἐπίῤῥημα κατηγορεῖν τοῦ ῥήματος βούλεται.

Καὶ, ἀσθενὴς ἦν δι' ἀχρηματίαν. καὶ ὅπως ἄλλως χρῆσθαι προθέσει κατὰ λόγον ἂν ᾖ.

Πρὸς τὴν χρείαν δηλονότι τοῦ λόγου.

Καλείσθω δὲ τῇ μὲν, προσρηματικὸν,

Τὸ εἰς ὁ, τιοῦν τῶν ἐπιῤῥημάτων. ἃ καὶ προσρήματα ἤκουσεν, ὡς πρὸς τὸ ῥῆμα φερόμενα.

Τῇ δὲ, ἑτεροτελὲς,

Τὸ δι' ἡστινοσοῦν τῶν προθέσεων. τοῦ ἑτεροτελοῦς πρὸς τὸ αὐτοτελὲς ἀντιδιαστελλομένου, δῆλον ὡς τῶν τοῦ λόγου μορίων αὐτοτελῆ μὲν, τὰ φωνηέντων δίκην καθ' ἑαυτὰ ῥητὰ ὄντα, ὧν εἰσι καὶ τὰ ἐπιῤῥήματα, ἑτεροτελῆ δὲ, τὰ ἄνευ ἑτέρου προενεχθῆναι μὴ δυνάμενα, ὧν ἐστι καὶ ἡ πρόθεσις, δίκην συμφώνου ἀναμένουσα οἷα φωνῆεν τὸ πτωτικόν. Ἔνθεν-

τοι καὶ

τοι καὶ τῶν εἰδῶν τὸ δι' ἡστινοσοῦν τῶν προθέσεων, ἑτεροτελὲς εἴρηται πρὸς ἀντιδιαστολὴν τοῦ εἰς ὁ, τιοῦν τῶν προσηκόντων ἐπιρρημάτων, ὡς οἷον αὐτοτελοῦς. εἴ γε καὶ ἔχουσι τὸ τῆς διανοίας οἱονεὶ τέλειον τὰ μὲν ἐπιρρήματα, ὡς κατ' ἰδίαν ὄντα ῥητὰ, αὐτόθεν. (ἵστησι γὰρ δι' αὐτῶν, κατ' Ἀριστοτέλην εἰπεῖν, ὁ λέγων, τὴν διάνοιαν, καὶ ὁ ἀκούσας, ἠρέμησε. δι' ὃ καὶ ὁ ἀφροδισιάδος Ἀλέξανδρος δι' ἣν φέρει σημασίαν, ὀνόματα καλεῖν ἔγνω τὰ ἐπιρρήματα.) αἱ δὲ προθέσεις, ὡς μὴ κατ' ἰδίαν οὖσαι ῥηταὶ, οὐκ οἴκοθεν, ἑτέρωθεν δὲ, ἐξ ὧν δηλονότι προτίθενται πτωτικῶν. τὰ μὲν γὰρ ἐπιρρήματα ποιοῖ μᾶλλον τὸ καθ' οὗ λέγεται ῥήματος, ἤπερ ποιοῦται παρ' αὐτοῦ, μεταδιδόντα αὐτῷ τῆς σφῶν δυνάμεως, ἤπερ μεταλαμβάνοντα τῆς ἐκείνου, ἡ δὲ πρόθεσις τἀνάπαλιν, μηδεμίαν οἴκοθεν σχοῦσα δύναμιν, τὸ διάφορον τῆς σημασίας ἐξ ὧν προτίθεται, πορίζεται πτωτικῶν. ἡ γὰρ μετὰ, φέρε, μία καὶ ἡ αὐτὴ, ἕτερον μὲν, τῇ γενικῇ, ἄλλο δὲ, τῇ αἰτιακῇ συμφερομένη, δηλοῖ, ἐκ τῶν πτώσεων τὴν τῆς δυνάμεως λαμβάνουσα τελειότητα. εἴληπται δὲ τὸ παράδειγμα ἐκ τοῦ Θουκδ'. ὃς ἐν τῇ α', φησὶ, πολιορκίᾳ δ' ἂν προσκαθεζόμενοι, (οἱ ἕλληνες) ἐν ἐλάσσονί τε χρόνῳ καὶ ἀπονώτερον τὴν τροίαν εἷλον. ἀλλὰ δι' ἀχρηματίαν τά τε πρὸ τούτων (τῶν τρωϊκῶν) ἀσθενῆ ἦν (τὰ τῶν ἑλλήνων) καὶ αὐτά γε δὴ ταῦτα (τὰ τρωϊκὰ) ὀνομαστότατα τῶν πρὶν γενόμενα, δηλοῦται τοῖς ἔργοις ὑποδεέστερα ὄντα τῆς φήμης.

Τὸ σύνολον δέ τοι,

Ὅ ἐστιν ἑκάτερον, καλείσθω,

Συγκατηγορηματικόν.

Τὰ ῥήματα καθ' ὑποκειμένων τῶν ὀνομάτων λεγόμενα, κατηγορήματα ἤκουσε, προθέσεις δὲ μεθ' ὧν προτίθενται πτωτικῶν, καὶ ἐπιρρήματα, καθ' ἑαυτὰ μὲν οὖ, σὺν δὲ τῷ κατηγορήματι, φημὶ δὴ τῷ ῥήματι τῶν ὑποκειμένων κατηγορεῖται. ἔνθεντοι καὶ συγκατηγορήματα ἀκούει, μόνην τὴν τοῦ αὐτοτελοῦς τε καὶ ἑτεροτελοῦς ἐπιδεχόμενα διαφοράν.

Τὸ δὲ ἐλλειπὲς, ἢ πληρέστερον τῆς συντάξεως, πρὸς τὸ δοκοῦν, ἱκανῶς ἂν ἔχον ἔσται ἐκ τῶν εἰρημένων.

Τοῦτ' ἔστιν ἐκ τῶν ᾧδε εἰρημένων εἰδῶν ἁπλῶς τε καὶ πῇ, ἱκανῶς ἂν ἔχοι τις διαγνῶναι τὴν ἐλλειπῆ, ἢ πληρεστέραν σύνταξιν, εἴ γ' ἐλλειπὴς μὲν, ἡ ἁπλῆ, πληρεστέρα δὲ, ἡ σύνθετος. καὶ χρήσασθαι τούτων ὁποτέρᾳ βούλοιτο, κατὰ τὸ αὐτῷ δοκοῦν, ἤτοι τῇ ἐλλειπεῖ, οἷον,

Διδάσκωσε διαλέγεσθαι.

Τὰ γὰρ μᾶλλον ἁπλᾶ, μᾶλλον ἐλλειπῆ. ἢ τῇ πληρεστέρᾳ. οἷον,

Διδάσκωσε τὰ γραμματικὰ διαλέγεσθαι εὖ.

Τὰ γὰρ μᾶλλον σύνθετα, μᾶλλον ἐντελῆ τε καὶ πλήρη. εἴ γε τὸ μὲν, αἰτιολογικὸν ἦν μόνον, τὸ δὲ, ἐκ τριῶν σύγκειται, τοῦτε διαβατικοῦ αἰτιολογικοῦ τε καὶ προσρηματικοῦ. φημὶ δὴ τοῦτε κατ' ἐνέργειαν πράγματος, καὶ τοῦ τελικοῦ αἰτίου, καὶ τοῦ τρόπου. Ἐντεῦθεν δὲ δῆλον, ὡς τὸ τέλειόν τε καὶ ἀτελὲς, διττὸν, τὸ μὲν, τῶν ῥημάτων αὐτῶν, τὸ δὲ, τῆς τούτων συντάξεως. τέλεια μὲν γὰρ, ὡς εἴρηται, τὰ ἀμετάβατα, ἀτελῆ δὲ, τῶν μεταβατικῶν καὶ τῶν ἀπαιτούντων τὸ εἴς τι, ἢ ἔν τινι τὰ καθ' ἑαυτὰ προφερόμενα δίχα τοῦ ἐκ γ', πτωτικοῦ, ἢ συγκατηγορηματικοῦ

τικοῦ, οὗ προστεθέντος, τέλεια καὶ αὐτὰ γίγνεται. τούτων δ' αὖ πάλιν ἑκατέρου, τῶν τε ἐξ ἀτελῶν φημι τελείων γεγενημένων, καὶ τῶν καθ' ἑαυτὰ ἐντελῶν, τὰ μὲν πῇ, τῶν ἁπλῶς συντασσομένων εἰσὶν ἐντελέστερα, τὰ δὲ ἁπλῶς, τῶν πῇ ἀτελέστερα, ὁ μὲν οὖν Ἀπολλ', καὶ ὁ πορφύριος, πρὸς δὲ καὶ Μιχαὴλ ὁ σύγγελος ἀτελές τε καὶ ἐντελὲς, τὸ κατὰ τὰ ῥήματα μόνον εἶδον, τοῦ κατὰ τὸ πῇ τε καὶ ἁπλῶς τῆς συντάξεως μηδὲ εἰς ἔννοιαν ὅλως ἐλθόντες, ὁ δ' αὖ Κωνσταντῖνος ὁ λάσκαρης, δοκεῖ μὲν θεματίζειν τῶν καθ' ἕκαστα εἰδῶν τῆς συντάξεως τὰ ἁπλᾶ τε καὶ σύνθετα, εἰ καὶ μὴ πάντῃ κατὰ τήνδε τὴν ἐκτεθεῖσαν τῷ Θεοδώρῳ ἠκριβωμένην μέθοδον, οὐδένγε μὴν αὐτῶν ἐκ τοῦ παρυφισταμένου παρονομάζει πράγματος, ἀλλ' (ἵνα κἀγὼ τοῖς τοῦ Θεοδώρου χρήσωμαι.) ὅπερ ἂν ὁ τυχὼν εἴπῃ ἁπλῶς, οὕτω καὶ αὐτὸς ἐκ τοῦ συμβεβηκότος καλεῖ τὸ μὲν, α', τὸ δὲ, β', καὶ τ' ἄλλα ὁμοίως, ὡς ἕκαστον ἔχει τάξεως πρὸς τὸ α'. καθάπερ, εἴ τις τοὺς τῆς χειρὸς δακτύλους ὀνομάσαι ἐθέλων, οὐ τὸν μὲν, καλεῖ μέγαν, ἢ ἀντίχειρα, τὸν δὲ, λιχανὸν, τὸν δὲ, μέσον τὸν καὶ σφάκελον, καὶ τοὺς λοιποὺς ὡσαύτως, τὸν μὲν, λέγω παράμεσον τὸν καὶ ἐπιβάτην, τὸν δὲ, μύωπα, τὸν καὶ μικρὸν, ἀλλ' ὑπ' ἀπειρίας τῶν ἑκάστοις κειμένων γε ὀνομάτων, α', καὶ β', καὶ τρίτον προσαγορεύει. τὸ δὲ, ἱκανῶς ἂν ἔχειν ἔσται, ἔχον ἔσται γραπτέον, ἵν' ᾖ τὰ δύω ἀνθ' ἑνὸς εἰλημμένα, ἀντὶ τοῦ ἱκανῶς ἂν ἔχοι.

Ἐπεὶ καὶ εἰς ἓν συλλαμβάνοντι τὰ συγκείμενα, προστιθέναι ἑκάστῳ τῶν ἁπλῶν εἴη ἄν. οἷον, δίδωμί σοι χρυσίον τῆς χρείας, χειρὶ τῇ ἐμαυτοῦ, πρίασθαι, ὧν ἂν δέῃ.

Ἔξεστι γὰρ δύω καὶ τρία, ἢ καὶ ὁσαδηποτοῦν τύχοι τῶν συγκειμένων εἰδῶν, οὐχ ὡς πολλὰ, ἀλλ' ὡς ἓν σύνθετον συλλαβόντα, προστιθέναι τῷ τῶν ἁπλῶν. ὡς ἐν τῷ προκειμένῳ παραδείγματι ἅπαντα, μικροῦ δεῖν, τὰ εἴδη τῆς συντάξεως τὰ σύνθετα, διαβατικὸν λέγω, ὀργανικὸν, αἰτιολογικὸν, καὶ ἐλλειπτικὸν, ὡς ἓν σύνθετον τὰ τέτταρα συμπαραληφθέντα, προστέθειται τῷ κατ' εἰσπομπὴν ἁπλῷ τῷ, ὧν ἂν δέῃ. σὺ δὲ πρόσθες καὶ τῷ κατ' ἐκπομπήν. οἷον, πρίασθαι, ἃ ἂν ἐθέλῃς. ἢ καὶ τῷ κατὰ περιποίησιν. οἷον, πρίασθαι, οἷς ἂν ἀρέσκῃ. τὸ δὲ, κἂν εἰς ἓν, καὶ εἰς ἓν γραπτέον.

Φράζειν μέντοι ἐπὶ τὸ σαφέστερον δεῖ, ἐπεντιθέντας,

Τὰ ἐλλείποντα, οἷον,

Ἢ σύνδεσμον, ἢ πρόθεσιν, ἢ ἐπίῤῥημα, ἢ ὡς ἂν ἄλλως εὖ ἔχῃ ἑλληνισμοῦ. οἷον, δίδωμί σοι χρυσίον τῆς παρούσης ἕνεκα χρείας.

Διττός ἐστιν ὁ ἑλληνισμὸς, ὁ μὲν, πρὸς τὸν σολοικισμόν τε καὶ βαρβαρισμὸν ἀντιδιαστελλόμενος, ὅς ἐστιν ἀναμάρτητος προφορὰ τῶν συντεταγμένων, ἐκ τεχνικῆς ἀκριβείας κατορθουμένη, ὁ δὲ, πρὸς τὴν τῶν χρόνων ἀσυμμετρίαν. ὃς μετὰ τοῦ κατὰ τὴν φράσιν ἀδιαπτώτου ἔτι καὶ τῆς κατ' αὐτὴν εὐρυθμίας στοχάζεται. περὶ ἧς ἐν τοῖς ἑξῆς εἰρήσεται. ὁ μὲν οὖν πρῶτος ἑλληνισμὸς τῇ σαφηνείᾳ διαμαχόμενος φαίνεται. εἴ γε πεφύκασιν ἡ μὲν, ἐπεντιθέναι τι τῇ φράσει μακρολογοῦσα, ὁ δὲ, ὑφαιρεῖν τι καὶ τῆς ἐνθήκης αὐτῆς, βραχυλογῶν, ὡς ἐν τῇ μετοχῇ δείκνυται. ὁ δὲ δεύτερος τὴν τῶν χρόνων συμμετρίαν θηρώμενος, ἐπεντιθέναι τι μᾶλλον, ἢ ὑφαιρεῖν εἰώθει. περὶ οὗ νῦν ὁ λόγος. ὁ γὰρ α', καὶ δίχα τῆς ἐπενθήκης εὖ ἔχων ἐστὶ καθ' ἑαυτὸν.

Τὸ β',

Τὸ β', εἶδος τῶν συνθέτων, προσκειμένου οἷ τοῦ ἕνεκα, οὐκέτι καλεῖται καὶ ἐλλειπτικόν. οὐδενὸς γὰρ ἐλλείπει. αἰτιολογικὸν δὲ μόνον.

Ὅπως πριάμενος, ὧν ἂν δέῃ, ἔχῃς.

Καὶ γὰρ καὶ αἱ μετοχαὶ πολύτοι, ὡς εἰρήσεται, συμβάλλονται εἰς ἑλληνισμόν. συντιθεμένων δὲ, εἴτ' οὖν μεταλαμβανομένων τῶν ἀπαρεμφάτων εἰς τὰς ἰδίας ἐγκλίσεις τοῦ σαφοῦς χάριν, οὐδὲν ἧττον ἡ σύνταξις τοῦ αὐτοῦ εἴδους τυγχάνει. ὥσπερ ἄρα καὶ ἕκαστον εἶδος τῶν συνθέτων καθ' ἑκατέραν θεωρεῖται διάθεσιν. οἷον, διαβατικὸν τό, τε διδάσκω σε γραμματικὰ, καὶ τὸ, διδάσκῃ ὑπ' ἐμοῦ γραμματικὰ, ἢ διδάσκομαι ὑπὸ σοῦ γραμματικά. κἀπὶ τῶν ἄλλων εἰδῶν ὁμοίως.

Ἢ ὥστε πρίασθαι, ὧν ἂν δέῃ.

Ἐπιβατικά.

Εἰλήφθω δὲ καὶ τὸ μάχομαι μάχην, καὶ, ζῶ ζωὴν, καὶ, δουλεύω δουλείαν, καὶ πάντα τὰ τοιαῦτα, ὡς ἐπιβατικά. καλῶ γὰρ ἐπιβατικὸν τὸ τοῦ διαβατικοῦ ἐλλειπτικόν. οἷον, διδάσκω σε γραμματικά.

Ἐπιβατικόν ἐστιν, ᾧ τὸ μὲν κατ' ἐνέργειαν πρᾶγμα πρόσκειται, τὸ δὲ τοῦ κατ' ἐνέργειαν πράγματος δεκτικὸν πρόσωπον ἄπεστι. δι' ὃν δὴ λόγον καὶ διαβατικὸν ἐλλειπτικὸν ἀκούει. οἷον, διδάσκω γραμματικά. ἐνδεῖ γὰρ τοῦ τίνα, εἰς ὃν τὸ κατ' ἐνέργειαν πρᾶγμα, εἴτ' οὖν ἡ τοῦ διδάσκοντος ἰδικὴ ἐνέργεια, φημὶ δὴ τὰ γραμματικὰ διαβιβασθείη. ὅθεν τὸ διδάσκω σε γραμματικὰ, παράδειγμα ἀντὶ τοῦ, διδάσκω γραμματικὰ, γραπτέον, ἵν' ᾖ ἐπιβατικὸν καὶ μὴ διαβατικόν. οὐ μόνον δὲ ἐπὶ τοῦ α', ἀλλὰ κἀπὶ τῶν λοιπῶν εἰδῶν θεωρεῖται τὸ ἐπιβατικόν. Θουκυδ': α', ταῦτα δὲ ἱκέται καθεζόμενοι εἰς τὸ ἠρέον, ἐδέοντο. καὶ, Περικλῆς παρῄνει τοιάδε. τοῦ τοιούτου εἴδους ἐστὶ καὶ Βρούτου τὸ ἐπιστολιμαῖον ἐκεῖνο. ἀκούω ὑμᾶς Δολοβέλλᾳ δεδωκέναι χρήματα. ὅπερ τινὲς ἀγνοήσαντες, ἐπιδιορθῶσαι οὐκ ὤκνησαν, γράψαντες δεδωκότας. καὶ μὴν οὐκ αὐτῶν ἐκείνων τῶν δεδωκότων ἤκουσεν εἰπόντων οἷ δεδωκέναι τῷ Δολοβέλλᾳ χρήματα. εἴησαν γὰρ ἂν, ἤτοι φρενῶν, ἢ μαστίγων δεόμενοι, εἴ γ' αὐτοὶ ἑαυτοὺς οἱ δεδωκότες προὔδωκαν. ἀλλ' ἄλλων ἤκουσε λεγόντων δεδωκέναι αὐτοὺς τῷ Δολοβέλλᾳ χρήματα. ὥστε τὸ μὲν ἀπαρέμφατον εἰδικὸν ὂν, ἐμφαντικόν ἐστι τοῦ κατ' ἐνέργειαν πράγματος, συντεταγμένον οὐχὶ κατ' εἰσπομπὴν, ἐπιβατικῶς δὲ πρὸς τὸ ἀκούω, (τοῦ γὰρ κατ' εἰσπομπὴν ἡ γενικὴ πτῶσις ἐλλέλειπται.) τὸ δὲ ὑμᾶς, αἰτιατική ἐστι τοῦ ἀπαρεμφάτου ἐκ πρώτου. ὡς εἶναι τὸ ὅλον, ἀκούω τὸ δεδωκέναι ὑμᾶς χρήματα Δολοβέλλᾳ, μεταλαμβανόμενον εἰς τὸ, ἀκούω ὅτι ὑμεῖς δεδώκατε, κτ': τὸ δὴ τοιοῦτο προσλαβὸν καὶ τὴν γενικὴν, ὅμοιον ἂν εἴη τῶν διαβατικῶν τῷ Θουκυδ': α', ἐπειδὴ δὲ τῶν ξυμμάχων ἤκουσαν οἱ λακεδαιμόνιοι τὰ ἐγκλήματα τὰ ἐς τοὺς ἀθηναίους. καὶ τῷ Ὁμήρου, ἰλ, γ', κέκλυτέμευ τρῶες μῦθον ἀλεξάνδροιο. ὥσπερ ἄρα καὶ τούτων ἑκάτερα ἀποβαλόντα τὴν γενικὴν, ταὐτὰ ἂν εἴη τῷ εἰρημένῳ ἐπιβατικῷ. τὸ γοῦν τοῦ Βρούτου, πῇ συντέτακται, οὐ μὴν ἁπλῶς. καὶ ᾧδε μὲν ἡ τοῦ ἀκούω γενικὴ ἐλλέλειπται, ὁ δὲ αὐτὸς Βροῦτος παταρεῦσι γράφων, προσέθηκε μὲν καὶ τὴν γενικὴν, οὐδὲν δὲ ἧττον τὸ κατ' εἰσπομπὴν ῥῆμα εἰς ἀπαρέμφατον συνετάξατο. Δαμάσιππον φυγόντα ἐπυθόμην παρ' Ἑρμοδώρου πεφηνέναι ἐν τῷ ὑμετέρῳ λιμένι. τί γοῦν διαφέρει τὸ, ἀκούω ὑμᾶς δεδωκέναι, τοῦ, ἐπυθόμην Δαμάσιππον πεφηνέναι;

οὐ γὰρ ἂν

οὐ γὰρ ἂν εἴποις, ὡς τοῦ Δαμασίππου ἐπύθετο. πῶς γὰρ; τοῦ φυγόντος καὶ μηδὲ εἰς ὄψιν ἐλθεῖν τολμήσαντος; ἀλλ' Ἑρμοδώρου ἐπύθετο τὸ πεφηνέναι τὸν Δαμάσιππον ἐν τῷ λιμένι. οὕτως οὖν κἀκεῖ παρ' ἄλλων ἤκουσε τὸ δεδωκέναι τοὺς περγαμινοὺς χρήματα. καὶ ὥσπερ ἐν τῷ, ἐπυθόμην δαμάσιππον πεφηνέναι, οὕτω κἀν τῷ, ἀκούω ὑμᾶς δεδωκέναι, ἡ αἰτιατικὴ οὐ τοῦ προσωπικοῦ ῥήματος ἐκ γ', τοῦ δὲ ἀπαρεμφάτου ἐστὶν ἐκ α'. ληροῦσιν ἄρα οἱ ἐπιδιορθώσαντες. καὶ Δημοσθένης ἐν τῷ παραπρεσβ', ἂν μὲν τοίνυν ἐλέγξω Αἰσχίνην τουτονὶ, κεκωλυκότα ἐμοῦ τὸν δῆμον ἀκοῦσαι τἀληθῆ. καὶ, ὃ δὲ πλείστην ὕβριν ἔχει κατὰ τῆς πόλεως, τοῦτ' ἀκούσατέ μου. καὶ Σωκράτης ἐν τῇ ἀπολογίᾳ τῇ πρὸς τοὺς δικαστάς. ὑμεῖς δὲ ἐμοῦ ἀκούσεσθε πᾶσαν τὴν ἀλήθειαν. ταῦτα μὲν δὴ διαβατικά ἐστιν, ἐπιβατικὰ δὲ ἔσονται, ὑφαιρεθέντος τοῦ ἐκ γ', προσωπικοῦ πτωτικοῦ. τὸ δὲ Ἀθανασίου τοῦ μεγ'λ, ἐν τῇ περὶ τῆς φυγῆς αὐτοῦ ἀπολογίᾳ, ἀκούω λεόντιον καὶ τοὺς περὶ αὐτὸν πολλὰ περὶ ἐμοῦ θρυλλοῦντας καὶ λοιδοροῦντας. ἀντὶ εἰδικοῦ ἀπαρεμφάτου ἔχει τὰ μετοχικά. οὐ δὲ γὰρ οὐδ' ὁ μέγας τῶν λοιδορούντων αὐτῶν ἤκουε. πῶς γάρ; τῶν ἐν ἀντιοχείᾳ καὶ λαοδικ': ὁ ἐν τῇ ὀρεινῇ καὶ φυγάς; ἀλλὰ τῶν ἀπαγγελλόντων ἤκουε, τίποτε; τὸ λοιδορεῖν αὐτὸν δηλαδὴ τοὺς ἀμφὶ τὸν Λεόντιον ἀρειανούς. ἀπὸ μεταφορᾶς δὲ τῶν πλεόντων εἴληπται τό, τε ἐπιβατικὸν καὶ τὸ διαβατικόν. ὡς γὰρ ἐν τῷ πλεῖν ἐκείνοι, εἰς τὴν γῆν μήπω διαβεβηκότες, ἐπιβάται λέγονται, τῷ πλοίῳ ἐπιβεβηκότες, οὕτωτοι καὶ τὸ προκείμενον εἶδος οἱονεὶ ἐπιβεβηκυῖαν αὐτῷ τὴν ἰδίαν ἐνέργειαν ἔχει, μὴ προσκειμένου τοῦ τῆς ἐνεργείας δεκτικοῦ ἐκ τρίτου προσώπου, εἰς ὃ ἂν ἐκείνη διαβιβασθείη, ὡς εἴρηται. Ἐφ' οἷς ζητητέον, εἰ καὶ τὸ παθητικὸν τοῦ, διδάσκω γραμματικὰ,

ἐπιβατικόν ἐστι; φημὶ δὴ τὸ, διδάσκομαι γραμματικά; δοκεῖ γὰρ μᾶλλον τῶν διαβατικῶν εἶναι, ὡς τοῦ κατ' ἐνέργειαν πράγματος οὐχὶ τῷ ἐνεργοῦντι προσώπῳ ἐπιβεβηκότος, ἀλλ' ἐπὶ τὸ τούτου δεκτικὸν ὑποκείμενον διαβεβηκότος. ὡς ἐπιβατικὰ δὲ, τὰ ὥς φησιν Εὐστάθειος, κατὰ παρονομασίαν λεγόμενα, εἶτ' οὖν τὰ σύζυγα τῷ ῥήματι ὀνόματα. ἔθος γὰρ ἦν ἀττικοῖς συνεκλαλεῖν ποτε παρατιθέντας τῷ ῥήματι περιττῶς χάριτος ἕνεκα καὶ τὸ ἐκεῖθεν παρηγμένον ὄνομα. οἷον, ζῶ ζωὴν, καὶ τὰ ὅμοια. τὰ δὴ τοιαῦτα ταυτολογίαν ἔχει περιττήν. ἀρκεῖ γὰρ μόνον τὸ ζῆν, καὶ λειπούσης τῆς ζωῆς, διὰ τὸ συνυπακούεσθαι τῷ ζῆν τὴν ζωὴν, ὡς εἴρηται ἐν τοῖς οὐδετέροις. Ἐφ' οἷς ἰστέον, ὅτι τὸ ὡς ἐπιβατικὸν οὔτε τοῖς ἁπλοῖς, οὔτε μὴν τοῖς συνθέτοις τῶν μεταβατικῶν ἀνακτέον ἐστὶ, καὶ ἁπλῶς οὐ τοῖς μεταβατικοῖς. ὥστε τὰ Εἴδη τῶν μεταβατικῶν δέκα τυγχάνει συμποσούμενα. ἁπλᾶ μὲν, τρία, ἑπτὰ δὲ, σύνθετα. Διαβατικόν. Ἐλλειπτικὸν πρῶτον. Ὀργανικόν. Τελικόν. Εἰδικόν. Ἐλλειπτικὸν δεύτερον. καὶ Συγκατηγορηματικόν. τὸ γὰρ Ὡς ἐπιβατικὸν ἐν τοῖς ἀμεταβάτοις τακτέον. τὸ δ' Ἐπιβατικὸν μεταξύ ἐστι τῶν μεταβατικῶν τε καὶ ἀμεταβάτων. ᾗ μὲν γὰρ δυνάμει διαβατικὸν, μεταβατικόν ἐστιν, ᾗ δὲ πάλιν ἐπιβατικὸν, ἀμετάβατον. συνιστῶντος δὲ καὶ τούτου καθ' ἑαυτὸ εἶδος, ἔσονται πάντα τὰ τῆς συντάξεως Εἴδη δυωκαίδεκα, δέκα μὲν, τὰ τῶν μεταβατικῶν, τῶν δὲ δυοῖν τὸ μὲν ὡς ἐπιβατικὸν, τῶν ἀμεταβάτων, τὸ δὲ, μεταξὺ τούτων, τὸ ἐπιβατικόν. Ἔτι ἰστέον ὡς τὸ ὡς ἐπιβατικὸν εἰδοποιηθὲν, ἐπιβατικὸν εὐθὺς γίγγνεται. οἷόν τι λέγω, τὸ διδάσκω διδασκαλίαν, ὡς ἐπιβατικόν. τῆς δὲ διδασκαλίας ὁρισθείσης, ἐπιβατικόν ἐστι τοτηνικαῦτα. οἷον, διδάσκω γραμματικά. τὰ

κά. τὰ γὰρ γραμματικὰ εἶδός ἐστι τῆς διδασκαλίας. ὡσαύτως κἀπὶ τῶν ἄλλων, δέομαι δέησιν, καὶ, δέομαι τὰ δίκαια, ἀπὸ τοῦ ὡς ἐπιβατικοῦ εἰς τὸ ἐπιβατικόν. ἡ δὲ τούτου τοῦ εἴδους αἰτιατικὴ τῆς κατ, λειπομένη δειχθήσεται.

Τόποι τοῦ πρώτου.

Εἴδους τῶν ἁπλῶν. ἡ δὲ διαίρεσις ἀπὸ τοῦ σημαινομένου. ὁ Τόπος τῶν πολλαχῶς ἐστι λεγομένων. φυσικῶς μὲν γὰρ τόπος ἐστὶ, τὸ πέρας τοῦ περιέχοντος τὸ περιεχόμενον. ὡς ἡ ἐντὸς, φέρε, τοῦ ἀγγείου κοίλη ἐπιφάνεια, καθ' ἣν τῷ περιεχομένῳ συνάπτεται. ὁ δὲ Θεόδωρος ἀντὶ Κανόνος ἐκλαμβάνει τὸν Τόπον. ἐν οἷς φησι, τόπον δ' ἐπὶ τούτων καὶ οἷον κανόνα οὐδένα ἐστὶ λαβεῖν. συνῳδὰ τῷ φίφῳ. ὃς ἐν κφ: α', τῶν τοπ: τόπους ὠνόμασε τὰς μεθόδους. ἀφ' ὧν δυνήσεταί τις περὶ παντὸς τοῦ προτεθέντος προβλήματος συλλογίζεσθαι. ὅθεν ἄτοπον, τὸ ἀκατάσκευον καὶ μὴ ἔχον ἀπόδειξιν. καὶ κατὰ τὸν Θεόφραστον δὲ τόπος ἐστὶν ἀρχή τις, ἢ στοιχεῖον, (καὶ ὡς εἰπεῖν, κοινὸς καὶ μέσος ὅρος) ἀφ' οὗ τις λαμβάνει τὰς περὶ ἕκαστον ἀρχὰς, τῇ περιγραφῇ μὲν ὡρισμένος, τοῖς δὲ καθ' ἕκαστα ἀόριστος. οἷον, τὸ τὰ ἐπιδεικτικὰ τυχὸν πρὸς αἰτιατικὴν φέρεσθαι, οὗτος ὁ τόπος τῷ μὲν καθόλου ὥρισται, ὅτι περὶ τῶν ἐπιδεικτικῶν καθόλου διαλαμβάνει, οὐκ ἔτι μέντοι καὶ περὶ τοῦδε, ἢ τοῦδε, τοῦ ἐπιδεικτικοῦ ῥήματός ἐστιν ὡρισμένως ἐν αὐτῷ. καὶ τὸν Γραμματικὸν γοῦν ἀφ' ἑκάστου τῶν τόπων ὁρμώμενον, ἔστιν ἐπιστῆσαι τῇ καθ' ἕκαστα τῶν ἐν τοῖς τόποις ῥημάτων συντάξει. εἰ μὲν γὰρ περὶ τοῦ ἐπαινῶ τυχὸν ζητοῖτο, εἰ αἰτιατικῇ συντάσσεται, ληψόμεθα, ἀπὸ τοῦ προκειμένου τόπου ὁρμώμενοι, προσεχῆ κανόνα τῷ προκειμένῳ ῥήματι, τὸν, ὅτι τὰ ἐπιδεικτικὰ αἰτιατικῇ συντάσσεται. τὸ δὲ ἐπαινῶ, τῶν ἐπιδεικτικῶν, ἄρα. ὁμοίως ἂν δὲ κἀπὶ τῶν ἄλλων ῥημάτων. ἐκ γὰρ τῶν προκειμένων τόπων, ὡς ἔκτινος μέσου ὅρου, ἥτε συνταξις ἑκάστου ῥήματος καὶ τὸ κατ' αὐτὴν ὑπάρξει πιστόν. οἱονεὶ γὰρ θέματ' ἄττα καὶ κοιναὶ ἀρχαί εἰσιν οἱ τόποι. πρὸς οὓς ἀπευθύνεται τῶν ῥημάτων τὰ καθ' ἕκαστα, ἐκείνοις ἐρειδόμενα, κἀκεῖθεν ἔχοντα τὸ ἀξιόπιστον. εἰσὶ γὰρ πάσης συντάξεως εἰδικῆς κοινὰ ἀξιώματα. εἴη δ' ἂν Τόπος καὶ ὁ ἀφορισμὸς καὶ κλῆρος εἰς κατοχὴν ἑνὶ ἑκάστῳ τῶν τοῦ ὅλου μερῶν. καθ' ὃ λέγεται τόπος τῆς μὲν τοῦ ζῴου κεφαλῆς, τὸ ἄνω τοῦ σώματος, τῆς δὲ γῆς, τὸ μέσον τοῦ παντὸς, κἄν τις ἐκστήσειε τὴν γῆν τῆς περὶ τὸ μέσον τοῦ παντὸς θέσεως, τὴν ὡς μέρος τοῦ παντὸς οὐχ ἕξει τότε θέσιν. καθ' ὃ δὴ σημαινόμενον εἴη ἂν εἰλημμένος κἀνταῦθα ὁ τόπος. καὶ γὰρ καὶ κατ τὸν Θεόδωρον, (ἐν ἀρχῇ τοῦ β', βιβλίου) τόπος ἐστὶ καθόλου θέσις, εἰς ἣν ἀνάγεται τὰ καθ' ἕκαστα. λαμβάνονται μὲν οὖν οἱ τόποι ἐξ ἐπαγωγῆς τῶν καθ' ἕκαστα, τεθέντες δὲ, ὅ ἐστιν ὁμολογηθέντες, ἀποδεικνύουσι διὰ συλλογισμοῦ τῶν καθ' ἕκαστα τὰ ἐπιζητούμενα, ὡς δοκεῖν εἶναι τὴν κατ τοὺς τόπους ἀρχὴν τὸ πλέον ἢ τὸ ἥμισυ τοῦ παντὸς, ὅ ἐστι τῆς ὅλης θεωρίας εἴτ' οὖν ἀποδείξεως, ὡς τὰ πολλὰ τῶν ζητουμένων δι' αὐτῆς ποιοῦσαν ξυμφανῆ, καὶ τὸ πᾶν τῆς θεωρίας ταῖς ἀπ' αὐτῆς ὡρμημέναις ἀποδείξεσιν εἴτ' οὖν συλλογισμοῖς συμμεριζομένην. ἐν γὰρ τῇ μείζονι προτάσει ἀεὶ ἡ ἀρχὴ παραλαμβάνεται. ἡ δὲ μείζων πρότασις τὸ πᾶν δύναται τῆς ἀποδείξεως. διὸ καὶ μείζων καλεῖται. Ἀριστοτέλης ἠθικῶν βιβλ', α', νικομάχ: κεφ', ιγ'.

Τόποι δὲ τοῦ μὲν πρώτου,

Τῶν εἰς αἰτιατικὴν,

Τὰ ὁπω-

Τὰ ὁπωσδὴν ἐνεργητικά.

Εἶτα ἑρμηνεύων τὸ ὁπωσδήν, φησίν,

Εἴτε καὶ μείζω ἐνέργειαν. οἷον, τιμῶ σωκράτην. εἴτε καὶ ἐλάττω, οἷον, τὸ, λέγω τὰ δέοντα, καὶ φρονῶ τὰ εἰκότα.

Τῶν ἐπίτι ὑποκειμένων διαβιβαζόντων ῥημάτων τὴν ἐνέργειαν, καὶ ἁπλῶς τῶν μεταβατικῶν τὰ μὲν, κατ' ἐκπομπὴν, τὰ δὲ, κατ' εἰσπομπὴν, τὰ δὲ, κατὰ περιποίησιν ἐνεργεῖ. ἔστω δὲ καὶ τῶν ἐπιμέσων τὰ αὐτοενεργητικὰ διήρηται. καὶ μείζω μὲν ἐνέργειαν οἶδεν Ἀπολλώνιος τὴν τῶν κατ' ἐκπομπὴν ἁπλῶν, ὡς ἀναντιπαθῆ, πάθος δηλαδὴ ἀμιγῆ, ἐπὶ τὴν ἐκγ', λέγω αἰτιατικὴν φερομένων. οἷον, διδάσκω σε. τὴν δὲ ἐκ τεττάρτε διδάσκω σε γραμματικά, καὶ ὅλως τὸ τῆς συμπλοκῆς σωμάθετον ἠγνόησεν Ἀπολλώνιος, μηθὲν τι εἰρηκὼς περὶ αὐτῆς. ἐλάττω δὲ, τὴν τῶν κατ' εἰσπομπὴν ἁπλῶν, ὡς μεταπάθους ἐνεργούντων ἐπὶ τὴν ἐκβίτε γενικήν. δέομαι σου. ὅγε μὴν Θεόδωρος μείζονος ἐνεργείας συμφώνως τῷ Ἀπολλωνίῳ λέγων τῶν ἁπλῶν τὰ κατ' ἐκπομπὴν, ἐλάττονος οἶδεν ὡς ἁπλῶς εἰπεῖν τῶν μὲν κατ' ἐκπομπήν, τὰ ἐπιβατικά, διδάσκω γραμματικά. ὠφέλησα τὰ δωματά. τῶν δὲ κατ' εἰσπομπὴν τε καὶ περιποίησιν, καὶ τὰ διαβατικά. ἄρχω, ἢ βασιλεύω τὰ δίκαια, καὶ ἄρχω σου τὰ δίκαια. λέγω τὰ δέοντα, καὶ, λέγω σοι τὰ δέοντα. ὠνάμην, ὁπόσα ἔδειτ' ἀνδρός. ἐχρησάμην πάμπολλα τῷ ἀνδρί. καὶ σωελόντι, ἐλάττονος ἐνεργείας τῶν μὲν κατ' ἐκπομπὴν, τὰ ἐπιβατικά, τῶν δ' ἄλλων, καὶ τὰ διαβατικά, ὡς τὸ κατ' ἐνέργειαν πρᾶγμα τὰ μὲν, μηδόλως ἐπίτι, τὰ δὲ, μὴ ἐπὶ τὴν τῆς μείζονος ἐνεργείας ἐπιδεκτικὴν αἰτιατικήν, ἀλλὰ τὰ μὲν, εἰς γενικήν, τὰ δὲ, εἰς δοτικὴν διαβιβάζοντα. καὶ γὰρ καὶ τῶν περιποιήσιν ἐνεργητικῶν ἡ αἰτιακὴ, ἐκ ξίπου ἄλλως ἔσα, ὡς αὐτὴ ὁμολογοῦσα τὸ προσδιατίθεθαι, εἴτ' ὂν τὸ πάσχειν, ὥς γε μὴν ἐκ τεπάρτε ἀεὶ παττομβύη, τὸ κατ' ἐνέργειαν αὖ εἶναι πρᾶγμα δηλοῦσα, διαβατικῶς μὲν, δίδωμί σοι χρυσίον, λέγω σοι τὰ δέοντα. ἐπιβατικῶς δὲ, δίδωμι χρυσίον, λέγω τὰ δέοντα, φρονῶ τὰ εἰκότα. Ἰσέον δὲ ὡς τῶν κατ' ἐκπομπὴν, οἷς μὲν ἔμφυτος ἡ περιποίησις, οἷα τὰ δοτικὰ, χαρισικὰ, ἀφηγηματικὰ, καὶ ἐπισαλτικὰ, ταῦτά εἰσιν ἐλάττονος ἐνεργείας, ὡς συνυπακουομένην ἔχοντα δυνάμει, εἴτ' ὂν ἀορίστως τῇ προσκειμένῃ αἰτιατικῇ καὶ τὴν δοτικήν. οἷον, δίδωμι, χαρίζομαι, ἐπισέλλω χρυσίον, λέγω τὰ δέοντα. οἷς δὲ ἐπείσακτος, ἢ παίπως. τὸ γὰρ διδάσκω, τέμνω, καὶ τὰ τοιαῦτα, δύναται μὲν σωπαχθῆναι καὶ περιποιητικῶς, οἷον, διδάσκω σοι τὸν παῖδα. τέμνω σοι τὸν λίθον, ἢ τὸ σεσηπὸς μέλος. ἀλλ' οὐ παίπως καὶ τὸ διδάσκω τὸν παῖδα, τέμνω τὸν λίθον, ἐλάττονός ἐσιν ἐνεργείας. ὡς δὲ παίπως καὶ δοτικήν τινα ἔχον συνυπακουομένην καὶ τὸ λέγω καὶ δίδωμι. ὥστε καὶ κατ' εἰσπομπὴν τὰ μὲν ἢ προσκειμένω, ἢ σωυπακουομένω ἔχοντα τὴν δοτικὴν, ταῦτα, οἷα δὴ περιποιητικὰ, ἐλάττονός εἰσιν ἐνεργείας, τὰ δὲ ἀχρήπως, ὡς δὲ περιποιητικὰ, μείζονός εἰσιν. Ἔτι ἰσέον, ὅτι πᾶν μὲν τὸ κατ' ἐκπομπὴν, αἰτιατικῇ σωπάσεται ἁπλῶς τε καὶ διαβατικῶς καὶ ἐπιβατικῶς. ἐμὴν δὲ καὶ πᾶν τὸ αἰτιατικῇ διαβατικῶς καὶ ἐπιβατικῶς σωπασόμενον, τῶν κατ' ἐκπομπήν ἐσιν, ὡς δὲ τῶν κατ' εἰσπομπήν τε καὶ περιποίησιν τὰ διαβατικά τε καὶ ἐπιβατικά. πᾶν γε μὴν τὸ ὁπωσδὴν ἐνεργητικὸν, αἰτιατικῇ συνπάσεται, καὶ πᾶν τὸ αἰτιατικῇ διαβατικῶς ἢ ἐπιβατικῶς σωπασόμενον, ἐνεργητικὸν ὁπωσδήν ἐσιν. (τὸ δὲ πάσχω ταῦτα, καὶ ζῶ ζωὴν, καὶ ἁλγῶ τὴν κεφαλὴν, ἐκ ἐπιβατικὰ, ἀλλ

κὰ, ἀλλὰ τὸ μὲν αὐτῶν, ὡς ἐπιβατικὸν, τὰ δ' ἄλλα ἔλλειψιν ἔχει προθέσεως, τὸ μὲν, τῆς διὰ, τὸ δὲ τῆς κατὰ.) ὡς εἶναι ἐπιπλέον τῶν κατ' ἐκπομπὴν τὰ ἐνεργητικά. εἴγε καὶ τῶν κατ' εἰσπομπὴν τε καὶ περιποίησιν τὰ διαβατικά τε καὶ ἐπιβατικὰ, ἐνεργητικὰ ὁπωσοῦν ἐστιν, εἰ καὶ τῆς ἐλάσσονός ἐστιν ἐνεργείας. Τοῖς οὖν μετὰ πάσης ἀκριβείας ἐπεξιοῦσι τὸ τοῦ λόγου συντακτικὸν, προσγενήσεται ἐπιστῆσαι τίνα μὲν τῶν ῥημάτων γενικὴν ἀπαιτεῖ, καὶ τί τούτου τὸ αἴτιον, τίνα δὲ δοτικὴν, συνόντος πάλιν τοῦ αἰτίου. τὸ δ' αὐτὸ κἀπὶ τῆς αἰτιατικῆς. οὐ δὲ γὰρ διὰ τὸ συνὸν πλῆθος τῶν καθ' ἕκαστα ῥημάτων καὶ τὰ τῆς συντάξεως ἰδιώματα δυσπερίληπτα γενήσεται, κατὰ δὲ τὸ δέον διευκρινηθήσεται. Αἱ μὲν οὖν ἐκ τῆς εὐθείας ἐγγινόμεναι δράσεις, σχεδὸν ἐπ' αἰτιατικὴν ἅπασαι συντείνουσιν, ἄνευ τινὸς δηλαδὴ ἀντιπαθήσεως, παρυφισταμένου ἐξ ἀνάγκης καὶ τοῦ ἐνεργοῦντος καὶ τοῦ τὸ πάθος ἀναδεχομένου προσώπου, ἤτοι γραφομένου, ἢ συνυπακουομένου, ὡς ἐν τῷ, ἐγὼ δαίρω σε, τύπτω σε. ἀφ' ἧς ἐνεργητικῆς συντάξεως καὶ ἡ παθητικὴ γίγνεται, ἀνθυπαγομένων τῶν μὲν κατὰ παθητικὴν σύνταξιν παχόντων προσώπων, εἰς εὐθεῖαν, τῶν δὲ δρώντων, εἰς γενικὴν προθετόπτωτον. σὺ δαίρεις με, ἐγὼ δαίρομαι ὑπὸ σοῦ, τῶν προθέσεων παραλαμβανομένων εἰς δεῖξιν τοῦ μηδεμίαν ἀντίδρασιν ἐννοεῖσθαι κατὰ τὴν πῆσιν. ὡς εἰ καὶ φαίημεν, ἐγὼ τύπτομαι ὑπὸ σοῦ, μηδὲν ἀνθιστάμενος.

Σκοπεῖν οὖν,

Ἐνδεῖ τοῦ δεῖ ἔξωθεν ἀττικῶς.

Εἰ ἐπὶ Σωματικὴν διάθεσιν ἀναφέρεται. οἷον, γυμνάζω, κινῶ, νίπτω, πλήττω, φθείρω, δύω, δεσμῶ, βρέχω, βιάζομαι, τρίβω, κρατῶ, κείρω, θερίζω, καίω.

Ἔτι εἰ ἐπὶ Ψυχὴν τε καὶ Ἦθος. φιλῶ, ἀγαπῶ, στέργω, δικαιῶ, ἀδικῶ, βλάπτω, ὠφελῶ, ὑβρίζω, ἀνιῶ, λοιδορῶ.

Ἄδηλον τὴν ψυχὴν καὶ τὸ σῶμα, ἐφ' ἃ τὰ καθ' ἕκαστα τῶν ῥημάτων ἀνάγεται, ποτέρῳ δεῖ μέρει προσνεῖμαι; τῷ τοῦ διατιθέντος, ἢ τῷ τοῦ διατιθεμένου; τῷ κατὰ τὴν εὐθεῖαν, ἢ τῷ κατὰ τὴν αἰτιατικὴν; καὶ ὡς εἰπεῖν, τῷ ἐνεργοῦντι, ἢ τῷ πάσχοντι; δοκεῖ γοῦν ἐφ' ἑκατέρων ἁρμόζειν. τοῦ γὰρ γυμνάζω τὸν ἀθλητὴν, ἡ διάθεσις οὐ μᾶλλον ἐπὶ τὸ τοῦ γυμνάζοντος ἢ τὸ τοῦ γυμναζομένου σῶμα ἀνάγεται, σῶμα διατιθεῖσα διὰ σώματος. καὶ ἡ τοῦ διδάσκω τὸν μαθητὴν ὡσαύτως ἐπὶ τὴν ἑκατέρων ψυχήν τε καὶ τὸ ἦθος, τοῦτε διατιθέντος καὶ τοῦ διατιθεμένου. ὅθεν κἀντῷ, ἡ ἀρετὴ τὴν τῆς ψυχῆς ἀθανασίαν κατεργάζεται, ἐπὶ ψυχήν τε καὶ ἦθος ἀνάγεται τὰ τῆς διαθέσεως. εἰγ' οὐ ποιότητος καθ' ἑαυτὴν τὸ ἐργάζεσθαι, ἀλλ' ἐμψύχου σώματος, ἐν ᾧ ἡ ποιότης. οὐδὲ γὰρ τὸ τυχὸν εἰς τὸ τυχὸν, ἀλλ' εἰς ὃ πέφυκεν, ἐνεργεῖ, σῶμα μὲν, σωματικῶς εἰς σῶμα, ψυχὴ δὲ, ψυχικῶς εἰς ψυχήν. ὑπεξαιρείσθω ἥ τε σωματικὴ κίνησις, ἣν κινεῖ τὸ σῶμα ἡ νοερά τε καὶ ἄϋλος ψυχὴ, καὶ ἔτι μᾶλλον ἡ καθ' ἣν τὸ πᾶν ὁ θεὸς κινεῖ, σωματικὸν μὲν, ἀσωμάτως, κινούμενον δὲ, ἀκινήτως. ἐπὶ γοῦν σῶμα ἀνάγεται, τὰ διὰ σωματικῶν ὀργάνων ἐνεργοῦντα, χειρῶν λέγω καὶ ποδῶν. ἐπὶ ψυχὴν δὲ πάλιν, τὰ δίχα τούτων. εἰ γάρ τοι καὶ τῷ σώματι συνέζευκται ἡ ψυχὴ, ὥσπερ γε μὴν ὁ κυβερνήτης ἐντελέχεια πρώτη τοῦ πλοίου γνωριζόμενος, ᾗ μὲν κυβερνήτης, πᾶσαν τοῦ πλείου ἐκπληροῖ διεξαγωγὴν, ᾗ δὲ ἀνὸς, ἔχει

ἔχει καὶ αὐτὸς ἰδιαιτάτας ἐνεργείας, οὕτω τοι καὶ ἡ λογικὴ ψυχὴ, πρώτη οὖσα τοῦ σώματος ἐντελέχεια, ᾗ μὲν συνέζευκται τῷ σώματι, πᾶσαν ἐνέργειαν ζῴῳ τελείῳ προσήκουσαν τῷ οἰκείῳ παρέχει σώματι, ᾗ δὲ λογικὴ, ἐξαίρετόν τι ἔχει ἰδίωμα, τὸ ἐνδιαθέτως λογίζεσθαι. καὶ ὥσπερ ὁ ἐν τῷ πλοίῳ, ἐνεργεῖ καὶ καθ' ἑαυτὸν μὲν, ᾗ ἄνος, τῶν τοῦ πλοίου μηδενὸς ἐπιδεόμενος, ἔτι καὶ διὰ τοῦ πλοίου, ᾗ κυβερνήτης, πηδαλίῳ καὶ κώπαις καὶ ἱστίοις χρώμενος, οὕτω καὶ ἡ ψυχὴ, ᾗ μὲν ἐν σώματι, διὰ τῶν σωματικῶν ὀργάνων ἐνεργεῖ, ἤτοι πάσας κατὰ Ἀριστοτέλην, ἢ γοῦν τὰς πλείονας κατὰ Πλάτωνα ἐνεργείας ὡς δι' ὀργάνου τοῦ σώματος περαίνουσα, ᾗ δὲ λογικὴ, καθ' ἑαυτὴν, τῶν σωματικῶν ὀργάνων, καὶ ὅλως τοῦ σώματος μὴ χρῄζουσα, ὅτι μὴ λόγου προφορικοῦ, καὶ τούτου δὲ εἰς τὸ ἐξαγγέλλειν ἔπειτα τὰ ἐνδιάθετα ἑαυτῆς κινήματα. καὶ ταῦτα μὲν τοιαῦτα, διὰ δὲ τοῦ ἤθους τὰς ἕξεις, ἢ διαθέσεις τῆς ψυχῆς δηλοῦν βούλεται. ὁ γὰρ διάτινα ἀρετὴν, ἢ κακίαν ἐπαινῶν τινα, ἢ μεμφόμενος, ἦθος αὐτοῦ προσδιατίθησιν, εἴτ' οὖν ἐπαινεῖ, ἢ ψέγει. Ἰστέον δὲ ὡς τῶν κατὰ τὰ ῥήματα διαθέσεων αἱ μὲν ἐξ ἔθους περιγινόμεναι, ἠθικαὶ ἤκουσαν, αἱ δὲ ἐκδιδασκαλίας τὸ πλεῖστον ἔχουσαι καὶ τὴν γένεσιν καὶ τὴν αὔξησιν, διανοητικαὶ, ἐπὶ ψυχὴν ἀναγόμεναι. καὶ τὰς μὲν ἐξ ἔθους, χρησάμενοι ἔσχομεν, ἐνεργήσαντες δηλονότι πρότερον, ἐκομισάμεθα. ἃ γὰρ δεῖ μαθόντας ποιεῖν, ταῦτα ποιοῦντες μανθάνομεν. οἷον, οἰκοδομοῦντες οἰκοδομεῖν, καὶ κιθαρίζοντες κιθαρίζειν. ὅσαι δὲ φύσει ἡμῖν παραγίνονται, τούτων τὰς δυνάμεις πρότερον κομιζόμενοι, τὰς ἐνεργείας ὕστερον ἀποδιδόαμεν, ὡς ἐπὶ τῶν αἰσθήσεων. οὐδὲ γὰρ παρὰ τὸ πολλάκις εἰδεῖν ἢ ἀκοῦσαι τὰς αἰσθήσεις ἐλάβομεν, τὸ ὁρᾶν λέγω καὶ ἀκούειν, ἀλλ' ἀνάπαλιν, ἔχοντες ἐχρησάμεθα. ὥστε

τὰ κατ' αἴσθησιν, μήτε ἐξ ἔθους, μήτε ἐκ διδασκαλίας ὄντα, οὐδ' αἰτιατικῇ συντάσσεται. Ἡ δὴ προκειμένη σύνταξις, λέγω τῶν ἀπ' εὐθείας εἰς αἰτιατικὴν κατὰ τὸ ἐνεργητικὸν φερομένων ῥημάτων, ὅπως ποτὲ τὰ τῆς ἐνεργείας σημαίνει, κἂν σωματικῶς, κἂν ἔτι ψυχικῶς, κἂν συναμφοτέρως, μιᾶς καὶ τῆς αὐτῆς συντάξεως ἔχεται, ἐνὶ καὶ μόνῳ ἐπερειδομένη, ὡς εἴρηται, λόγῳ, τῷ ἀμιγεῖ καὶ ἀναντιπαθεῖ τῆς ἐνεργείας. εἰ γὰρ καὶ πολλαχῶς ἐννοεῖται τὸ διατίθεσθαι, καὶ πλεῖστοι τόποι παρακολουθοῦσι τῶν ῥημάτων κατὰ τὰς ἰδιότητας τῶν διαφόρων ἐνεργειῶν, πλὴν οὐδὲν διαφεύγει τὴν ἐκτεθεῖσαν τῶν ῥημάτων διανομήν. καθ' ὅ, τι τριμερὴς καὶ ἡ τῶν ὄντων διάκρισις, λέγω τῶν ἀσωμάτων, τῶν ἐνσωμάτων, καὶ τῶν ἐξ ἀμφοῖν. ὧν τὰ μὲν, διὰ τῶν εἰς ψυχικὴν διάθεσιν ἀνηκόντων δηλοῦται, τὰ δὲ, διὰ τῶν εἰς σωματικὴν, καὶ τὰ λοιπὰ διὰ τῶν εἰς τὴν τῶν συναμφοτέρων. καὶ σωματικαὶ μὲν διαθέσεις εἰσὶν, αἱ ῥήσσω, τύπτω, σμῶ, κνήθω, χαλῶ, νύσσω, παίω, λύω, φονεύω, κτείνω, ζημιῶ, βλάπτω, καὶ ὅσα τοιαῦτα. οἷς συντακτέον τάτε ἐπικρατητικὰ, καὶ τὰ συμβολέων σημαντικά. ψυχικαὶ δὲ, φιλῶ, ἀγαπῶ, μισῶ, καὶ τὰ ὅμοια, καὶ ἁπλῶς ὅσα ἐπ' ἐγκωμίων, ἢ ψόγων, τὰ καὶ ἐπιδεικτικὰ καλούμενα. οἷς συντακτέον καὶ τὰ διακρουστικὰ, καὶ σχεδὸν ἅπαντας τοὺς τόπους, ὑπεξαιρουμένων τῶν τε ἐπικρατητικῶν καὶ τῶν ἀνταλλαγματικῶν. αἱ δὲ ἐπὶ τὸ συναμφότερον, οἷα τὰ ὑβριστικά. γίνεται γὰρ καὶ διὰ χειρῶν ὕβρις, ὡς ἡ διὰ γραμμάτων καὶ τῶν παραπλησίων, καὶ διὰ ψυχῆς, ὡς τὸ λοιδορεῖν, κακολογεῖν, λυπεῖν, ὕβρις γὰρ οὐχ ἧττον καὶ ταῦτα.

Ἔτι εἰ Ἐπιδεικτικά. ἐπαινῶ, ἐγκω-

ἐγκωμιάζω, ὑμνῶ, ᾄδω, εὐλέγω.

Τοῖς ἐπαινετικοῖς συντακτέον καὶ τὰ ψεκτικά. εἶδος γὰρ τοῦ ἐπιδεκτικοῦ οὐ μόνον ὁ ἔπαινος, ἀλλὰ καὶ ὁ ψόγος. Ἔνθεν τοι ἐν τῷ, φθονῶ σοι, ἀπορία ὕπεστιν οὐκ ἀνεύλογος, καθὰ καὶ ἐπὶ τοῦ, μέμφομαί σοι. τί δή ποτε μὴ ἀναλόγως τοῖς ἐπὶ ψυχικὴν διάθεσιν ἀναφερομένοις αἰτιατιακῇ συντάσσεται, κατὰ τὸ λοιδορῶ, ἢ μισῶ, ἀλλὰ δοτικῇ; οὐ γὰρ ἂν εἴη τῶν κατὰ ἀντιπίπτησιν. οὐ μὴν ἀλλὰ καὶ τὸ λοιδορῶ Διονύσ: μὲν ὁ ἀρεοπαγ'τ: δοτικῇ συνταξάμενος φαίνεται ἐν τῇ εἰς Πολύκαρπον ἐπιστολῇ, σὺ δὲ φῄς λοιδορεῖσθαί μοι τὸν σοφιστὴν Ἀπολλοφάνη. καὶ ἄλλοι συχνοί, ὁ δὲ Σοῦδας καὶ σχεδὸν ἐκανόνισε, λοιδορῶ εἰπὼν, δοτικῇ. ὁ δὲ Θεόδωρος τοῖς κατ' ἐκπομπὴν ἐντάττει καὶ τοῦτο, ὡς ἐπὶ ψυχὴν ἀναφερόμενον. Βασίλ: ἐν τῷ κατὰ τῶν ὀργιζομέν. ὅταν σε παιδίον νήπιον λοιδορήσῃ. καὶ, ἡ κατὰ τοῦ λοιδορήσαντος ἡμᾶς ὑπεροψία. ἡ ἄρα τοῦ λοιδορῶ πρὸς δοτικὴν συνταξις τῶν ὡς περιποιητικῶν ἂν εἴη.

Ἔτι εἰ Σεπτικά. τιμῶ, σέβω, πρεσβεύω. προσκυνῶ, κολακεύω, αἰδοῦμαι.

Πολλῶν γὰρ ἀποφάνσεις ἐνεργειῶν. ὧν ἁπασῶν ἐμπεριληπτικόν ἐστι τὸ σέβομαι. διάφορα γὰρ καί τοι τὰ ῥήματα ὄντα κατὰ τὴν ἰδιάζουσαν σημασίαν, εἰς κοινήν τινα ὅμως ἀνάγεται ἰδιότητα. ἀφ' ἧς καὶ τὴν τοῦ ὀνόματος λαμβάνουσι θέσιν, ὥστε καλεῖσθαι τὰ μὲν, ἐγκωμιαστικὰ, τὰ δὲ, διακρουστικὰ, καὶ τὰ λοιπὰ ὁμοίως. τὸ δὲ λατρεύω, ὤφειλε μὲν καὶ αὐτὸ αἰτιατικῇ συντάσσεσθαι, τῶν σεπτικῶν ὂν, ἐπεὶ δὲ ὁ λατρεύων κατὰ ὑπουργίαν ἀεὶ ἐκτελεῖ τὰ τῆς λατρείας, διὰ τοῦτο καὶ κατ' ἐπικράτειαν τῆς ὑπουργίας δοτικῇ περιποιητικῶς συντάσσεται, ὡς καὶ τὸ βοηθῶ σοι. καὶ τούτου γὰρ ἡ ἐνέργεια περιποιητικῶς ἀείποτε γίνεται, ἤτοι ὑπουργικῶς, ἢ χαριστικῶς. τὸ δὲ προσκυνῶ, ἐπαμφοτερίζει, τοῖς ἔξω μὲν, κατ' ἐκπομπὴν, ἡμῖν δὲ, καὶ κατὰ περιποίησιν συντασσόμενον. ὡς τὸ, προσκυνεῖτε τῷ ὑποποδίῳ. καὶ, κύριον τὸν θεόν σου προσκυνήσεις. διχῶς δὲ, καθὰ δὴ καὶ τὸ φιλῶ, ἐκλαμβάνεται, τῇ μὲν, μόνῃ τῇ τῶν χειλέων συμβολῇ, τῇ δὲ, τῇ τῆς ψυχῆς διαθέσει. τὰ δὲ σεπτικὰ δοκεῖ μὲν τῶν ἐπιδεικτικῶν τοῖς ἐγκωμιαστικοῖς συνέρχεσθαι, διαφέρει δὲ, ᾗ δὴ ταῦτα μὲν, ἐπὶ μόνων τῶν ὑπερεχόντων λαμβάνεται, τὰ δὲ ἐγκωμιαστικὰ, κἀπὶ τῶν ἴσων τε καὶ τῶν ὑφειμένων.

Ἔτι εἰ ὑπονοητικὰ, καὶ Δοξαστικὰ, ἢ Γνωστικά. νοῶ, κρίνω, οἶδα, οἴομαι, ὑφορῶμαι.

Τὸ μανθάνω τε καὶ γινώσκω παρὰ μὲν τοῖς τὰ περὶ ψυχῆς θεωροῦσιν, οὐχ ὑπὸ τὸ ποιεῖν, ὑπὸ δὲ τὸ πάσχειν ὑπάγεται. οὐ γάρ φασι, μᾶλλον τὸ δρᾶν περί τι, ἢ τὸ ὑφ' ἑτέρου ἀλλοιοῦσθαι ἐμφαίνουσι. τὸ γὰρ νοεῖν, πάσχειν ἐστὶν, ὡς καὶ τὸ αἰσθάνεσθαι. πάσχει δ' ὁ νοῦς κατὰ τελειότητα. προσέοικε δὲ καὶ τῇ ὕλῃ, πολλῶν εἰδῶν οὔσῃ δεκτικῇ καθ' ὑποδοχὴν καὶ μὴ ἐν τῷ ἅμα κατὰ τὸν ἑρμ': 23, ζητήσ: περὶ ψυχῆς. ὅθεν καὶ ὁ Ἀριστ'λ: 2, τῶν τοπ: ἔφασκεν ἡμᾶς εἰδέναι πολλὰ κατὰ τὴν ἕξιν, ἅπερ κατ' ἐνέργειαν οὐχ ἅμα κατανοεῖν ἔχομεν. τῷ δ' ἀπείρῳ, εἴτ' οὖν θείῳ νῷ πανταχοῦ ὄντι οὐκ ἀμήχανον καὶ ἅμα καὶ ἀπαθῶς τὰ πάντα νοεῖν. Τοῖς γεμὴν γραμματικοῖς κατὰ τὰ τῆς ὁράσεως καὶ τὰ γνωστικὰ τοῖς κατ' ἐκπομπὴν συντέτακται. ὡς γὰρ τὸ ὁρᾶν πρὸς τὸ σῶμα, οὕτω καὶ τὸ νοεῖν πρὸς τὴν ψυχὴν, φωτὸς λόγον ἐχόντων ἑκατέρων. τὸ δὲ

ξαυ-

ξυνίημι, πλέον τι τοῦ γινώσκω δηλοῖ. ὅθεν γενικῇ συντάσσει ὁ Ποιητής, καὶ μὲν μὲν βουλέων ξυνίον. ἰλ: α̅, κἀντῷ β̅, νῦν δ' ἐμέθεν ξυνὲς ὦκα. ἐν δὲ τῷ, ὁ δὲ ξυνέηκε θεᾶς ὄπα φωνησάσης, οὐ πάνυ δῆλον εἴ τε γενικῇ συντάσσεται, εἴ τε αἰτιατικῇ τὸ ξυνέοικε. οὐ γὰρ εὐδιάκριτον εἴ τε ξυνέοικε φωνησάσης ὄπα, εἴ τε ξυνέοικε τὴν ὄπα τῆς θεᾶς.

Ἔτι εἰ Προαιρετικά. βούλομαι, προαιροῦμαι, ἐθέλω.

Καὶ τὰ προαιρετικὰ δὲ τῶν ῥημάτων, τὰ τῆς διαθέσεως ἔχει συντείνοντα κατ' αἰτιατικὴν πτῶσιν, συμφερόμενα τοῖς ἀπαρεμφάτοις. ἐπεὶ καὶ πάντα τὰ μεταβατικὰ, ὡς ἐλλειπῆ πρὸς πλαγίαν φέρεται πτῶσιν. τὸ δὲ βούλομαι φιλολογεῖν, προαιροῦμαι ἀναγινώσκειν, ὡς ἐπὶ τοῦ αὐτοῦ προσώπου λεγόμενα, οὐ δέεται τῆς προσδιαστελλούσης ἀντωνυμίας, λέγω τῆς αἰτιατικῆς. ἐπεὶ δυνάμει ἐν αὐτοπαθείᾳ ἔχει τὰ τῆς συντάξεως. ἐπεί τοι πάλιν ὁ λόγος τοιοῦτός ἐστιν, ὡς εἰ καὶ φαίημεν ἐνεργείᾳ, βούλομαι ἐμαυτὸν πλουτεῖν. βούλομαι ἐμαυτὸν περιπατεῖν. ταὐτὸν γὰρ, εἰ φαίημεν, διατίθεμαι ἐμαυτὸν εἰς τὸ περιπατεῖν, εἰς τὸ πλουτεῖν, ἢ εἴς τι τοιοῦτο. καὶ τοῦτο δῆλον ἀπὸ τῶν ἐφ' ἕτερον πρόσωπον διαβιβαζομένων. ἐν οἷς ἀνάγκη τὸ ἀντωνυμικὸν προσκεῖσθαι, ἵνα μὴ πάλιν τὰ τῆς διαθέσεως τοῦ ἀπαρεμφάτου ἐπὶ τοῦ αὐτοῦ διαμείνῃ προσώπου. βούλομαί σε γράφειν. βούλομαι διονύσιον φιλεῖν τρύφωνα. οὗ ἀντωνυμικοῦ καὶ ἀναιρεθέντος, συνδραμεῖται πάλιν τὸ ἀπαρέμφατον τῷ βούλομαι. καὶ οὕτω πάλιν αὐτοπαθὲς ἔσται τὸ σχῆμα, συμπαραλαμβανομένης μὲν τῆς ἀντωνυμίας κατὰ τὸ α', ἐὰν καὶ τὸ ἀπαρέμφατον ῥῆμα ἐπὶ πλαγίαν φέρηται, τῶν μεταβατικῶν ὄν. γυμνάζω σε, βούλομαι γυμνάζειν ἐμαυτόν. δαίρω σε, βούλομαι δαίρειν ἐμαυτόν. μὴ συμπαραλαμβανομένης δὲ, εἰ μὴ τῇδε ἔχει. κἀπεὶ πάλιν τὸ ὑγιαίνω, τὸ πλουτῶ, ἀδιαβίβαστα, διὰ τοῦτο τὰ τοιαῦτα οὐ πάντως ἐπιζητήσει τὴν ἀντωνυμίαν. οἷον, βούλομαι πλουτεῖν. ταὐτὸ κἀπὶ τοῦ βούλομαι περιπατεῖν, καὶ τῶν ὁμοίων. ὥστε συνάγεσθαι τὸ ἐκ μὲν τῆς προτέρας συντάξεως ἐν αὐτοπαθείᾳ οὔσης, πάντως ἐπιζητεῖν τὰ ἀπαρέμφατα μεταβατικὰ ὄντα, καὶ τῶν κατ' ἐκπομπὴν εἰ τύχοι, τὴν ἐμαυτὸν ἀντωνυμίαν. ὡς ἐν τῷ, βούλομαι βλάπτειν. βούλομαι φιλεῖν. οὐ μὴν ἐπὶ τοῦ περιπατεῖν, τρέχειν, καὶ τῶν ὁμοίων ἀμεταβάτων. εἰ δὲ τὸ ῥῆμα τοῦ ἀπαρεμφάτου συναμφοτέρως δύναται λαμβάνεσθαι, τοτηνικαῦτα τὸ ἀντωνυμικὸν οὐ προσλαμβάνεται μὲν κατὰ τὸ ἀμετάβατον, προσλαμβάνεται δὲ κατὰ τὸ μεταβατικὸν εἰς ἐντέλειαν, ἵνα μὴ τὰ τοῦ λόγου ἀδιάκριτα μείνῃ, πότερον πρώτου πρόσωπου τὸ πάσχον, ἢ β', ἢ γ'; οἷον, ἐπὶ τοῦ σωφρονῶ, ἀμεταβάτως, καὶ σωφρονίζω, μεταβατικῶς. ἐπὶ μὲν γὰρ τοῦ, βούλομαι σωφρονεῖν, οὐ χρεία τοῦ ἀντωνυμικοῦ πτωτικοῦ. δι' ὅ, τι συνεπιφέρεται διὰ τὸ ἀμετάβατον. δυνάμει γὰρ, ὡς εἴρηται, ἐν αὐτοπαθείᾳ ἔχει τὰ τῆς συντάξεως. ταὐτὸν ὂν τῷ, βούλομαι ἐμαυτόν. ἐπὶ δὲ τοῦ, βούλομαι σωφρονίζειν, χρεία τοῦ πτωτικοῦ διὰ τὴν τοῦ ῥήματος μετάβασιν. καὶ οἰήσεταί τις ἴσως τὸ βούλομαι, προαιροῦμαι, θέλω, καὶ ὅλως τὰ προαιρετικὰ ἐπ' αἰτιατικὴν πτῶσιν μὴ φέρεσθαι, τά γε μὴν συμφερόμενα τούτοις ἀπαρέμφατα. καθ' ὃ ῥήματα καὶ αὐτὰ ὄντα, πλαγίαν ἀπαιτεῖ τὴν δέουσαν ἐν μεταβάσει. ἔστω γάρ τι, βλάπτω σε, γράφω σε. ἀφ' οὗ ἂν γένοιτο θέλω σε βλάπτειν, θέλω σε γράφειν. (θέλω δηλαδὴ οὐχ ἵνα σὺ βλάπτῃς, ἢ γράφῃς, ἀλλ' ἵνα ἐγὼ βλάπτω, ἢ γράφω σε.) ὥστε τῶν ἀπαρεμφάτων εἶναι τὴν πρὸς αἰτιατικὴν συν-

λὼ σωτάξιν καὶ μὴ τῶ ἐγκειμένων δεισιαῶν. καίτοι ἐξ ἐκείνης πιστώσεται, ὡς τὸ ἀκούειν ἐπὶ γενικῶ φερομένε, οὕτω καὶ τότε σὺ τῷ, θέλω ἀκούειν διονυσίε, γενικῶ πάλιν σωτάξιν αὐτὸ δέξατο. καὶ ὥσπερ σὺ τῷ, θέλω ἀκούειν σε. ἡ γενικὴ αἰτίαν τῶ προαιρετικῶ, τῶ δὲ ἀπαρεμφάτω, ἐπὶ γενικῶ φερομένε, ἤτω καὶ ἐπὶ τῶ, θέλω σε βλάπτειν, ἡ αἰτιατικὴ τῶ θέλω, τῶ δ' ἀπαρεμφάτω τυγχάνει, αἰτιατικῶ ἀπαιτοῦντος. ἐπὶ δὲ τοιούτου λήρω δὲς. ὡς γὰρ προείπομεν, πάντως τὰ προαιρετικὰ ἐπ' αἰτιατικῶ φέρεται, προσλαμβάνοντα μὲν αὐτῇ καὶ ἑτέραν πτῶσιν, τὸ σωτασσόμενον τούτοις ἀπαρεμφάτω μεταβατικῶ καὶ αὐτὸ ὄντος, μὴ τῆδε δ' ἔχοντος, μόνη αἰτιατικὴ παραλαμβάνεται ἡ ἐκ τῶ προαιρετικῶ. τὸ μὲν ἓν προτέρω λόγω, θέλω σε ἀκούειν διονυσίε. παρείληπται γὰρ αἰτιατικὴ μὲν, ἀφ' τὸ θέλω, γενικὴ δὲ, ἀφ' τὸ ἀκούω. καὶ ἐπὶ τῶ, θέλω σε χαρίζεσθαι διονυσίῳ, πάλιν προσγέγονε αἰτιατικὴ μὲν, καθ' ὃν εἰπομεν διαβιβασικὸν τὸ προσώπε λόγον, δοτικὴ δὲ, ἀφ' τὸ χαρίζεσθαι. οὕτω καὶ δύω αἰτιατικαὶ ἀνακύπτουσι, τὸ ἀπαρεμφάτε ἐπ' αἰτιατικῶ φερόμενε. ὡς ἔχει τὸ βλάπτω σε, θέλω σε βλάπτειν διονύσιον. ἢ τὸν διονύσιον βλάπτειν τὸν ἀπολλώνιον. περὶ ὧν καὶ τῆς ἀμφιβολίας διακριθησόμεθα. τὸ δεύτερον τὸ πλεπτῶ, ἀδιαβίβαστον, τὸ πεζεπατῶ, τὸ ζῶ, ἀλλὰ πλεῖστα. τὸ δὴ ἓν, βέλομαί σε ζῆν, πτώσεως ἑτέρας ἀνελλειπῶς ἔχοντος διὰ τὸ τῶ ῥήματος ἀδιαβίβαστον, ἡ ἐγκειμένη αἰτιατικὴ δύοιν θατέρου, ἤτοι τῆς τῶ ἀπαρεμφάτε τυγχάνει σωτάξεως, ἢ τῆς προαιρετικῆς. ἀλλὰ μὴν ἀκόλουθον τῆς τῶ ἀπαρεμφάτε μεταβάτε τυγχάνοντος, τῆς προαιρετικῆς ἄρα. καὶ ὅπως ἀπεδείχθη, ὡς τὰ προαιρετικὰ τῶν ῥημάτων ἐπ' αἰτιατικῶ φέρεται καὶ Ἀπολλώνιος. δειχθήσεται δὲ καθ' αὑτὸν, ὡς μᾶλλον ἐπ' αἰτιατικῶ, ἢ ἐπὶ ἀπαρεμφάτου φέρεται τὰ προαιρετικά.

Ἔτι εἰ ζητητικά. ἀνακείνω, ἐρωτῶ, ἐρεύνω, δείσκω.

Καὶ ὅσα ἐπ' ἀνακρίσεως λαμβάνεται, ἢ ἐπ' ἐρωτήσεως καὶ ζητήσεως. ἐξετάζω σε. ἐγὼ δὲ ἐρήσομαι πάσας. καὶ οὕτω τότε τὸ πρόσωπον τὸ κατὰ μέρος ἔχεται, φερόμενον ἐπ' αἰτιατικῶ κατὰ τὸν ὁμοιωτικὸν χρῆσιν. σὺ δὲ τῷ πυθήσομαί σε, ἐκ κατὰ πρόσωπον παραλαμβάνεται. πρόκειται γὰρ ἡ συζυγία τῆδε τοιούτων ἐπ' αἰτιατικῶ φερομένη. καὶ δὲ τῆς κατὰ τὸν ἀνακτικὸν ἀξιώσεως ἀναλήψεως, ὅ ἐστι τῶ ἀκούειν. ὅθεν σημειώδες Σωσιγ: ἐπιζ λ', 66, τὸ, πόσον τινα πυθέσθαι σε προελόμενος. κατὰ πρόσωπον ληφθέν. ὁ δὲ Σκίδας τιθεὶς πυθήσομαί σε τὸ ἐρωτῶ, καὶ αἰτιατικῆ. δοκεῖ ἐγκλίνειν καὶ τὸν τῆς γενικῆς κατὰ πρόσωπον χρῆσιν. ἀλλὰ γὰρ ἡμῖν λόγε κανονικὸς προκειμένε, λεξικῶν ἐ δεῖ τῆ τῶν ῥημάτων χρήσει ἀλόγως προσχειζομένων. τῶ γὰρ αὐτῶ ῥήματος διαφόροις πτώσεσιν ἅμα κατὰ τὸ πῆτε καὶ ἁπλῶς, πεφυκότος συντάσσεσθαι, οἱ λεξικοὶ ἀγνοοῦντες τὸ ἁπλῶς καὶ σώθετον τῆς συντάξεως, οὕτω μὲν, τῆδε, οὕτω δὲ, τῆδε τῆ πτώσει τιθέασι συντάσσεσθαι τὸ καθ' ἑκατέρας ἅμα, ὡς εἴρηται, συντάσσεσθαι δυνάμενον, οὐ διέφω οἷον ἴσωμεν τὸν νῦν τῶν συντυγχανόντων. οἷόν τι σοὶ ἄλλοις καὶ τὸ ζηλῶ, Σκίδας τῆ μὲν, δοτικῆ φησι συντάσσεσθαι, ὡς τὸ, ζηλῶν ἐζήλωκα Κυρίῳ παντοκράτορι. τῆ δὲ, αἰτιατικῆ, ὡς τὸ, ζηλῶσον τὸν πλέονα. λόγον μηδενὸς ἀποδιδοὺς τῆς καθ' ἑκατέρα τῶ ζηλῶ σωτάξεως. ὁ δὲ γὰρ οὐσαύτως καθ' ἑκατέρα σωτεταξεται, ἀλλὰ δοτικῆ μὲν, πειποιητικῶς, αἰτιατικῆ δὲ, ἐπικρατητικῶς, εἴτ' οὖν κατ' ἐκπομπήν. τὸ δ' δὲ.

τὸ δ' εὑρίσκω, οὐ μᾶλλον τῶν ζητητικῶν ἢ τῶν ἐπικρατητικῶν ἂν εἴη. ὁ γὰρ ζητῶν, οὐχ εὗρε. καὶ ὁ εὑρῶν, οὐ ζητεῖ. ἢ καὶ μεταξὺ τούτων ἂν εἴη.

Ἔτι εἰ Ἐπικρατητικά. ἔχω, φυλάσσω, ἀναγκάζω, εἴργω, ἐλάυνω, νικῶ, οἰκῶ.

Τὸ μὲν ἐρίζω σοι, καὶ, παλαίωσοι, καὶ τὰ τούτοις ὅμοια, δοτικὴν παραδέχεται διὰ τὴν γινομένην ἀντίδρασιν, ὡς εἰρήσεται, τό γε μὴν νικῶ, ἅτε ἐν ἐπικρατείᾳ πάλιν γενόμενον, αἰτιατικῇ συμφέρεται. εἰσὶ δὲ καὶ τῶν κατ' εἰσπομπὴν ἐπικρατητικά. ἀλλ' ἐκείνων μὲν ἡ ἐπικράτεια καθ' ὑπεροχὴν οὖσα καὶ ἀρχικὴ εἴτ' οὖν κτητικὴ, γενικῇ συντάσσεται, ἡ τούτων δὲ οὐχ οὕτως ἔχουσα, αἰτιατικῇ. Ἐπὶ τούτοις καὶ ὅσα Ἀπόστασιν τῶν ὑποκειμένων. χωρίζω, ἀφίστημι, διίστημι.

Ἔτι εἰ Προτρεπτικά. παρακαλῶ, ἐρεθίζω, προτρέπω, παρορμῶ, παροξύνω.

Τοῖς προτρεπτικοῖς συμπαρειλήφθω καὶ τὰ Ἀποτρεπτικά. εἴργω, κωλύω. ὧν ἔστιν ἃ καὶ τῶν ἐπικρατητικῶν εἰσι.

Ἔτι εἰ Κλητικά. φωνῶ, ὀνομάζω, καλῶ,

Ἔτι εἰ Ἐπιστημονικά. οἰκοδομῶ, σκυτοτομῶ. ἰατρεύω.

Τὸ τῆς ἐπιστήμης ὄνομα κοινότερον κἀπὶ τῆς τέχνης λέγεται. ἐπεὶ καὶ τὸ τῆς σοφίας. τὴν γὰρ τοιαύτην ἐπίνοιαν τὴν εἰς τὰ ἀναγκαῖα τοῦ βίου τὸ λυσιτελὲς εὑρίσκουσαν, σοφίαν ἐκάλεσαν, καὶ σοφὸν τὸν ἐπινενοηκότα. Πρόκλ: διάδ: ὑπομν: τῶν ἀριθμ: τοῦ Νικομ: ἐν προοιμ: ὅθεν δὴ καὶ τὸ τοῦ ποιητοῦ. σοφὸς ἄραρε τέκτων, εὖ εἰδὼς σοφίης ὑποθημοσύνῃσιν ἀθήνης.

Θγ.

Ἔτι εἰ Διακρουστικά. πλανῶ, ἐξαπατῶ, φενακίζω, κλέπτω, παραλογίζομαι.

Τὸ κλέπτειν, διττὸν, χειρίτε καὶ νοΐ. ὡς τὸ μηκλέπτε νόῳ. οἷόν ἐστι τὸ παραλογίζομαι.

Ἔτι εἰ Διδασκαλικὰ, ἢ Διαθετικά. παιδεύω, σωφρονίζω, πείθω, διδάσκω, ψύχω, θερμαίνω, διατίθημι.

Ἁπλῶς μὲν πᾶν ῥῆμα μεταβατικὸν, διαθετικὸν ἂν εἴη. διατίθησι γὰρ καὶ τοιόνδε ποιεῖ τὸ δεκτικὸν τῆς διαθέσεως ὑποκείμενον, ἰδίως δέ τοι διαθετικὰ τὸ ψύχω, θερμαίνω, λευκαίνω, χρωννύω, μελαίνω.

Ἔτι εἰ Οἰκτικά. ὀδύρομαι, κλαίω, θρηνῶ, οἰκτίζω, ἐλεῶ.

Καὶ τὰ ἐπ' οἴκτου δὲ παραλαμβανόμενα, ὡς τὸ, μύρεσθαι, γοᾶν, αἰάζειν, οἰμώζειν, αἰτιατικῇ μὲν συντάσσεται, ἥγε μὴν αἰτιατικὴ προθετικῆς μᾶλλον ἢ τῆς τῶν ῥημάτων συντάξεως ἐχομένη δειχθήσεται. εἴγε τούτων τὰ μὲν, αὐτοπάθειαν σημαίνει, τὰ δὲ, ὁλοπάθειαν, ἥκιστα δὲ ἐνέργειαν.

Ἔτι εἰ Ἱκετευτικά. ἀντιβολῶ, ἱκετεύω, ἐκλιπαρῶ, λιτανεύω, ἐρωτῶ, ἐν ἴσῳ τῷ, παρακαλῶ. γονοῦμαι.

Ἔστι γὰρ ἐρωτῶ, καὶ ἐν ἴσῳ τῷ, ζητῶ. τὸ δὲ ἐρωτῶ, ὥσπερ δὴ καὶ τὸ παρακαλῶ, ἀκύρως φασιν εἰλῆφθαι οἱ ἀμφὶ τὸν Ἑρμογένην ἑκάτερα ἀντὶ τοῦ δέομαι. τὸ μὲν γὰρ παρακαλεῖν, ἢ καλεῖν ἐστιν, ἢ προτρέπεσθαι, τὸ δὲ ἐρωτᾶν, πυνθάνεσθαι. δῆλον δὲ ὅτι τὸ δέομαίσου, οὐκ ἐπὶ τῆς τῶν Ἱκετικῶν ἐννοίας παραλαμβάνεται. διὰ τοῦτο οὐδ' αἰτιατικῇ, γε-

κῇ, γενικῇ δὲ συντάσσεται, κατὰ τὰ ἀποστηματικά. τοιοῦτο γάρ τι σημαίνει, τῆς σῆς βοηθείας ἐλλείπομαι. τὸ δὲ πρεσβεύω. τῶν ἱκετευτικῶν ὄν, ἔστιν οὗ δοτικῇ περιποιητικῶς συντάσσεται ἀντὶ αἰτιατικῆς. Ἐπὶ τούτοις συντακτέον καὶ τὰ Φιλικά. φιλῶ, ἀγαπῶ. ὑπεξαιρείσθω τὸ ἐρῶ, οὐ μόνην ἐνέργειαν, ἀλλὰ καὶ πάθος δηλοῦν. δι' ὃ καὶ γενικῇ συντάσσεται κατὰ τὰ κατ' αἴσθησιν ἀναληπτικά.

Ἔτι εἰ συμβολέων σημαντικά. πωλῶ, ἀγοράζω, συμβάλλω, Ἔτι εἰ Φυσικά. οἷον, γεννῶ, καὶ φύω, καὶ αὔξω, Αἰτιατικῇ γὰρ τὰ τοιαῦτα.

Ἐπὶ τούτοις συντακτέον καὶ τὰ Πληρωτικά τε καὶ Κενωτικά. καὶ συνελόντι τὸ πολυμερέστατον τῆς κατ' αἰτιατικὴν συντάξεως, ὅσα κοινῇ συμφωνεῖ τῇ προκειμένῃ συντάξει, λέγω τῷ ἀναδέχεσθαι τὴν ἐξ εὐθείας ἐνεργητικὴν διάθεσιν ἄνευ ἀντιδράσεώς τινος, πάντα ταῦτα ἐπ' αἰτιατικὴν φέρεται. ὁρκίζω σε, κακίζω σε. καὶ ὅλως τὰ ἐπὶ σωματικὴν, ἢ ψυχικὴν διάθεσιν. αὐτάρκης δὲ εἰς ἀφορμὴν τῶν ὑπολοίπων ῥημάτων ἡ προκειμένη σύνταξις καθέστηκεν. Ἐφ' οἷς ἰστέον, ὅτι τῶν καθ' ἕκαστα ῥημάτων ὅσα μὲν κατὰ τὰς σφῶν ἰδικὰς φωνὰς μίαν κοινὴν δύναμιν ἐπαγγελλόμενα, ἐξ αὐτῆς καὶ τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέξατο, ὑφ' ἕνα τινὰ τόπον ἀποκεκλήρωται, τὰ μὲν, τὸν ἀποδεικτικὸν, τὰ δὲ, τὸν ζητητικὸν, καὶ ἄλλα ἄλλον. ὅσα δὲ ἰδίαν τινὰ ἕκαστον, καὶ οὐχὶ κοινὴν δύναμιν ἐπαγγελλόμενα, ἀδυνατεῖ ἐκ τοῦ σημαινομένου κοινήν τινα ὀνομασίαν ἀναδέχεσθαι, ἕνεκα τῆς ἐν αὐτοῖς γινομένης παμπόλλου διαφορᾶς, ὑπὸ μὲν τόπον ὡρισμένως οὐδένα, ἐπὶ δὲ ψυχὴν ἁπλῶς, ἢ σῶμα ἀνακτέα ἐστὶν, ἐκ τοῦ κοινῇ παρακολουθοῦντος. εἴ γε καὶ τοῖς τοπικοῖς αὐτοῖς παρέπεται τὸ ἢ ἐπὶ ψυχὴν, ἢ ἐπὶ σῶμα ἀναφέρεσθαι.

Τόποι τοῦ Δευτέρου.

Τοῦ κατ' εἰσπομπήν.

Τοῦ δὲ Δευτέρου, τὰ κατ' αἴσθησιν ἀναληπτικά. οἷον, αἰσθάνομαι, ἀκούω, ἅπτομαι, γεύομαι, ὀσφραίνομαι, ἐρῶ, ἐπιθυμῶ.

Κατ' αἴσθησιν, δύναμιν μὲν ἁπλῶς οὖσαν τῆς ψυχῆς προχρωμένης σώματι, διαιρουμένην δὲ εἴς τε τὴν ἐξωτερικὴν, φημὶ δὴ τὴν σωματικὴν, ὡς ἐπὶ τῶν δ', σωματικῶν αἰσθήσεων, τοῦ ἅπτομαι, γεύομαι, ἀκούω, ὀσφραίνομαι. (τὸ δὲ ἅπτεσθαι ἐπὶ μὲν τῆς διὰ χειρὸς ἐπαφῆς, γενικῇ, ἐπὶ δὲ φιλοφροσύνης, ἢ ἁπλῶς ὁμιλίας λαμβανόμενον, τότε δὴ καὶ αἰτιατικῇ συντάσσεται) καὶ εἰς τὴν ἐσωτερικὴν, λέγω δὴ τὴν ψυχικὴν, ὡς ἐπὶ τῶν ὀρεκτικῶν δυνάμεων τῆς ψυχῆς. οἷον, τοῦ ἐφίεμαι, ὀρέγομαι, ἐπιθυμῶ, ἐρῶ, ἐπιτεταμένην ἐπιθυμίαν δηλοῦντος. εἴς τε τὴν ἑκατέρων, ὡς ἐπὶ τοῦ αἰσθάνομαι. καὶ τὸ αἰσθάνομαι δὲ διφορεῖται. ἐπὶ μὲν τῆς καθ' ὅρασιν, ἢ διανοίαν ἀναλήψεως, αἰτιατικῇ, γενικῇ δὲ, ἐπὶ τῆς καθ' ἡντιναοῦν τῶν ἄλλων αἰσθήσεων ἁπλῶς. καὶ οὐκ ἐπὶ μόνης τῆς τῶν χυμῶν καὶ τῆς ἐκ τούτων ἀποφορᾶς, εἴτ' οὖν ἀναδόσεως ἀναληπτικῆς, γεύσεως λέγω καὶ ὀσφρήσεως. οὐ γὰρ δὴ μᾶλλόν τις τῶν γευστῶν τε καὶ ὀσφραντῶν, ἢ καὶ τῶν ἁπτῶν τε καὶ ἀκουστῶν αἰσθάνεσθαι λέγεται, αἰσθανόμενος τούτων μὲν, κατὰ α', ταῦτα δὲ, κατὰ β'. οἷόν τι λέγω, τούτων μὲν, ἀκούων, ὀσφραινόμενος, ἁπτόμενος, γευόμενος, ταῦτα δὲ, ὁρῶν, φανταζόμενος, δοξάζων, διανοούμενος, ἐννοῶν. κατ' αἴσθησιν δ' εἰ-

δ' εἴρηται ἀναληπτικά, καθ' ὃ διὰ τῆς αἰσθήσεως ἀναλαμβάνουσι τὰ ἀντικείμενα, πρὸς ἀντιδιαστολὴν τῶν κατὰ νοῦν τε καὶ διάνοιαν, καὶ ἁπλῶς τῶν κατὰ φαντασίαν ἀναληπτικῶν. ἅττα αἰτιατικῇ συντάσσεται. οἷα τὰ ὑπονοητικὰ, γνωστικά τε καὶ δοξαστικά. ἴσως δὲ δοκεῖ μὴ ἐξωμαλίσθαι ἡ ἐκ τῶν αἰσθήσεων ἐνέργεια. ἐπεὶ αὐτὸ γενικῶς τὸ αἰσθάνεσθαι, ἐπὶ γενικὴν φέρεται, καὶ ἔτι τὰ μερικώτερα, τὸ ἀκούειν, τὸ ὀφραίνεσθαι, γεύεσθαι. οὐ μὴν ἔτι τὸ βλέπειν. ἐπὶ γὰρ αἰτιατικὴν φέρεται τοῦτό, τε καὶ τὰ τούτῳ συνωνυμοῦντα. ὁρῶμαί σε, θεῶμαί σε. ὀσσόμενος πατέρα ἐσθλόν. λεύσω, δέρκομαι, ὀπτεύω. καὶ δοκεῖ μοι τὰ τῆς συντάξεως πάνυ δεόντως καθίστασθαι. αἱ μὲν γὰρ ἐκ τῶν λοιπῶν αἰσθήσεων διαθέσεις, πῆσιν ἀναλαμβάνουσαι τὴν ἀπὸ τῶν ἔξωθεν, κατ' εἰσπομπὴν ἀντιλαμβάνονται τῶν ἀντικειμένων, μετὰ πάθους ταὐτὸν εἰπεῖν ἐνεργοῦσαι περὶ ἐκεῖνα. καὶ τοῦτο δῆλον ἀφ' ἑνὸς φέρε τῶν ψόφων. οὗ πολλάκις καὶ ἀκουσίως ἐπεισιοῦσα τῇ ἀκοῇ ἡ φωνὴ, προσδιατίθησι τὸ ὅλον σῶμα. οἵτε γὰρ τῶν πριόνων ἦχοι καὶ αἱ βρονταὶ, οὐχ ὑπεχομένην καὶ οἷον ὑποκειμένην ἰδίᾳ ἔχουσι τὴν ἀκοὴν τῇ φωνῇ, ὅλον ὅμως τὸ σῶμα προσβάλλουσαι, διαταράττουσι. καὶ ἐπειδὴ τοῦ πάθους ἐγγίζει ἡ κατὰ γενικὴν σύνταξις, καθὼς εἴπομεν, διὰ τοῦτο καὶ ταῦτα, ὡς μετὰ πάθους ἀντιληπτικὰ ὄντα, εἰκότως γενικὴν ἀπαιτεῖ, οὐ μέν τοι μετὰ τῆς ὑπὸ, τὰ τῆς συντάξεως γίνεται. καθ' ὃ καὶ ἐνέργεια σύνεστι, γινομένη ἐκ τῆς παθητικῆς διαθέσεως, ὅ ἐστιν ἐκ τοῦ πάσχοντος προσώπου. (ἥ τις οὐκ ἔστιν ἐν τοῖς παθητικοῖς.) ἐνεργοῦντα γὰρ, πάσχει ἐν τῇ ἀντιλήψει, ὡς κἀκ τῶν λοιπῶν αἰσθήσεων δῆλον. τό, τε γὰρ ἅπτεσθαι μετὰ ἐνεργείας ἀντιλαμβάνεται τῶν ἀντικειμένων ἅμα καὶ ἀντιδιατίθεται διὰ τῆς τῶν θερμῶν ἐπαφῆς, ἢ ψυχρῶν, ἢ ὑγρῶν, ἢ σκληρῶν, ἢ λείων, ἢ καὶ ἄλλων τοιούτων. οὕτως ἔχει καὶ τὸ ὀσφραίνεσθαι, τὸ γεύεσθαι. ἐφ' ὧν ἡ τῶν γευστῶν ποιότης, ἀντιδιατίθησι τὴν γεῦσιν, καὶ ἡ τῶν ὀσφραντῶν ὀδμὴ τὴν ὄσφρησιν. ὥσπερ καὶ ὁ τῶν ψόφων καὶ φωνῶν ποιὸς ἦχος τὴν ἀκοὴν, ἑκάστης αἰσθήσεως δι' ἀφῆς ἐπιλαμβανομένης τοῦ ἰδίου ἀντικειμένου κατὰ τὸν μέγαν βασίλειον ἐν τῷ περὶ παρθέν: καὶ περισσὸν ἂν εἴη περὶ τῆς τούτων διαθέσεως διεξιέναι, προδήλου ὄντος τοῦ λόγου.

Τὸ δὲ ὁρῶ, αἰτιατικῇ, διὰ τὸ ἐνεργεστάτην εἶναι τὴν ὄψιν, καὶ ἐπιπλέον διήκειν. καὶ τὰ τούτῳ συνωνυμοῦντα. ὁρῶμαι, θεῶμαι.

Παρὰ τοῖς παλαιοῖς τρίτταὶ ἦσαν δόξαι περὶ τῆς ὁράσεως, τοῖς μὲν, ἐκπομπῇ μόνῃ, τοῖς δὲ, μόνῃ εἰσπομπῇ, τοῖς δὲ, συναμφοτέρως, λόγοις ἑκάστου πιθανοῖς τὸ οἰκεῖον κρατύνοντος. παρὰ δὲ τοῖς νεωτέροις τὸ κατ' εἰσπομπὴν ἐξενίκησε, λόγοις φυσικοῖς τε καὶ ἀνατομικοῖς καὶ γεωμετρικοῖς μάλιστα ἀποδεδειγμένον, ὥς φασι, γενναιότατα. καί τοι τοῦ μεγάλου Βασιλείου ἀλλαχοῦ μὲν, τοῖς παλαιοῖς καὶ αὐτοῦ συμφερομένου, ἐν δὲ τοῖς κατ' Εὐνομίου ἀκατάληπτα διορίζοντος τὰ τῆς ὁράσεως, συνῳδὰ Γρηγορίῳ τῷ θεολόγῳ λέγοντι λόγ: β', περὶ θεολογίας. πολλὰ (φιλοσοφήσαις) περὶ ὄψεως ἀρρήτως κοινωνούσης τοῖς ὁρατοῖς, καὶ μόνῳ τῷ βούλεσθαι καὶ ὁμοῦ κινουμένης, καὶ ταὐτὸ τῷ νοῒ πασχούσης. μετὰ γὰρ τοῦ ἴσου τάχους ἐκεῖνός τε μίγνυται τοῖς νοουμένοις, καὶ αὕτη τοῖς ὁρωμένοις. Καὶ ὁ θεῖος δὲ Χρυσόστμ: ὁμλ': δ', α', πρὸς κορινθ': κεφ: α', οὐδυνάμεθά φησιν, εἰπεῖν πῶς βλέπομεν. (ἂν γάρ φησιν εἴπῃς, ὅτι ἀρκεῖ τοὺς ὀφθαλμοὺς ἀνοίξαντα, βλέπειν, οὐ τὸν τρόπον εἴρηκας, ἀλλὰ τὸ γιγνόμε-

γνόμενον.) ἀλλὰ κἂν ἐπιχειρήσωμεν παραστῆσαι, καταγελώμεθα, οὐ παρὰ τὴν τοῦ πράγματος ἀσθένειαν, ἀλλὰ παρὰ τὴν τῶν ἀνῶν ἄνοιαν. τὰ γὰρ μεγάλα λόγος οὐδεὶς παραστῆσαι δύναται. καὶ κατὰ τὸν θεολόγον δὲ Γρηγόριον, λόγῳ β', περὶ θεολογίας. ἡ τῶν ἔξω διὰ τῶν αἰσθήσεων παραδοχὴ, λόγῳ ἐστὶν ἀθεώρητος. ὅγε μὴν Θεόδωρος, τὰ τοῦ Ἀπολλωνίου παρατιθέμενος, παρῆκε μὲν τὸν ὀπτικὸν λόγον, ὡς τοῖς τοῦ Ἀπολλωνίου καὶ τῇ τῶν γραμματικῶν ἁπλῶς δόξῃ διαμαχόμενον, ἐν δὲ τοῦτο τῆς πρὸς αἰτιατικὴν τοῦ ὁρῶ συντάξεως αἴτιον εὐλογώτατον προεχειρίσατο, τὸ ἐνεργὸν τῆς ὄψεως καὶ δραστήριον, καὶ τὸ ἐπιπλέον διήκειν, ἢ καθ' ὅσον αἱ ἄλλαι. κατὰ δὴ τὸν Ἀπολλώνιον ἡ ἐκ τοῦ ὁρᾶν διάθεσις, ἐνεργεστάτη ἐστὶν ὡς πρὸς τὰς λοιπὰς αἰσθήσεις, ἐπιπλέον τῶν λοιπῶν αἰθήσεων πρὸς τὰ ὁρατὰ διαβιβαζομένη, καὶ ὡς εἰπεῖν κατ' ἐκπομπὴν μόνως ἐνεργοῦσα, μὴ μέντοι καὶ πάσχουσα ὑπὸ τῶν ὁρατῶν, παραιτεῖται μὲν τὴν πρὸς γενικὴν σύνταξιν, ὡς οἰκείαν τοῖς ἀντιπάσχουσιν, αἰτιατικῇ δὲ περιπλέκεται μόνῃ, ὡς πάθους παντὸς καθαρεύουσα. ὡς κἀκεῖνο μαρτυρεῖ τὸ ὁμηρικὸν, οὔτέ τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε. Ἰλ. ψ. ἐν ᾧ τὴν ἐκ, φιλοσόφως φασὶν ἔχειν οἱ παλαιοί. δι' ὅ, τι οὐ κατὰ εἰσδοχὴν, ἀλλὰ κατ' ἔκπεμψιν φωτοειδῶν ἀκτίνων τὰ τῆς ὁράσεως γίγνεταί φησιν Εὐστάθειος. προθείη δ' ἄν τις συλλογιζόμενος, ὡς τῶν αἰσθήσεων αἱ κατ' εἰσπομπὴν ἐνεργοῦσαι, διατίθενται ὑπὸ τῶν ἰδίᾳ ἑκάστῃ ἀντικειμένων, πάσχουσαι ἀναλόγως ὑπὸ τῶν ἐν τοῖς αἰσθητοῖς παθητικῶν ποιοτήτων. πάσχει γὰρ ἥ τε ἀφὴ ὑπὸ τῶν θερμῶν τε καὶ ψυχρῶν, ὑπὸ μὲν τῶν, θερμαινομένη, ὑπὸ δὲ τῶν, ψυχομένη, λείων τε καὶ τραχέων. καὶ ἡ γεῦσις ὑπὸ τῶν χυμῶν, ἡδυνομένη τε καὶ στυφομένη. καὶ ἡ ὄσφρησις ὑπὸ τῶν ὀδμῶν. καὶ ἡ ἀκοὴ ὑπὸ τῶν ἐπιτεταμένων τε καὶ ἀνειμένων καὶ μέσων ἤχων. καὶ ὅλως ὑπὸ τῆς ποιᾶς τῶν ἤχων τάσεως τραχυνομένη καὶ λεαινομένη εἴτ' οὖν διαχεομένη. καὶ ἁπλῶς ἄποιοι οὖσαι καθ' ἑαυτὰς, πρὸς τὰς τῶν ἀντικειμένων, εἰ καὶ μὴ ὡσαύτως, ἀλλ' οὖν ποιοῦνταί πως ποιότητας. ἡ δὲ ὅρασις οὐ διατίθεται ὑπὸ τῶν χρωμάτων. οὐδὲ γὰρ συγχρωματίζεται, λευκοῖς καὶ μέλασι τούτων προσβάλλουσα. οὐκ ἄρα κατ' εἰσπομπὴν ἐνεργεῖ. καὶ ταῦτα μὲν τοιαῦτα, φαίνεται δ' ὅτι καὶ τὸ φιλεῖν τοῦ ἐρᾶν διαφέρει. καθ' ὅ, τι ἡ μὲν ἐκ τοῦ φιλεῖν ἐγγινομένη διάθεσις, ἐνεργείας μόνης ὄνομα σημαίνει. εἴγ' οἱ φιλοῦντες, παιδεύουσι, μηδὲν ἀντιπάσχοντες δηλαδὴ, πάλιν τῆς τούτου ἐνεργητικῆς διαθέσεως κοινῆς τοῖς προκειμένοις ἐπ' αἰτιατικὴν συντείνουσι. φιλῶ τὸν ἐμὸν φίλον. οὕτως ἔχει καὶ τὸ διδάσκειν καὶ τὸ πείθειν. ἐνεργητικὰ γὰρ ὄντα, πρὸς αἰτιατικὴν ἀφορᾷ, πρὸς τὸ πάσχειν ἐπιτηδειοτέραν οὖσαν τῶν ἄλλων πλαγίων. τό γε μὴν ἐρᾶν ὁμολογεῖ τὸ προσδιατίθεσθαι καὶ πάσχειν ὑπὸ τοῦ ἐρωμένου. ἔνθεν καὶ πρὸς γενικὴν ἀφορᾷ, δίχα γε μὴν προθέσεως, ὡς ἐλέγετο. δι' ὃ καὶ δεόντως ἡ Σαπφὼ ἐπιτεταμένῳ μᾶλλον ὀνόματι ἐχρήσατο. ἐγὼ δὲ καὶ ἡ Νοττῶ τις ἐρᾶται. καὶ σαφὲς ὡς συνετοῦ μέν ἐστι καὶ ἀγαθοῦ τὸ φιλεῖν, καθάπερ καὶ πρὲς παῖδας φιλοῦσιν. οὐ μὴν συνετοῦ τὸ ἐρᾶν, ἀλλ' ἤδη παρεφθορότος τὸ λογιστικόν. ὑπεξαιρείσθω τὰ τοῦ θείου καὶ ἀπαθοῦς ἔρωτος, ἐν καθεστηκότι λογισμῷ γιγνομένου, ἐνοειδοῦς ὄντος οὐ μὴν μεριστοῦ τε καὶ σωματοπρεποῦς καὶ διῃρημένου. πρὸς ὃν ἐξωλίσθησε τὰ πλήθη. ὃς οὐκ ἔστιν ἀληθὴς ἔρως, ἀλλ' εἴδωλον, ἢ μᾶλλον ἔκπτωσις τοῦ ὄντος ἔρωτος κατὰ Διονύσιον τὸν ἀρεοπαγίτην, κφ': δ', περὶ θείων ὀνομάτων. οὐ χρὴ ἄρα ἀπορεῖν, τί ὅτι τὸ μὲν φιλῶ,

φιλῶ ἐπ' αἰτιατικὴν φέρεται, τὸ δὲ ἐρῶ ἐπὶ γενικήν; εἴ γε τὸ μὲν, τῶν κατ' ἐκπομπὴν ὂν τυγχάνει, τὸ δὲ, τῶν κατ' εἰσπομπήν. Ἐπαπορητέον δὲ περὶ τοῦ ὁρῶμαι, θεῶμαι, καὶ ἔτι τοῦ βλέπω, εἴδω, καὶ τῶν ὁμοίων, πῶς εἰσι τῶν συνωνύμων, μὴ καὶ τοῦ ὀνόματος κοινωνοῦντα ἀλλήλοις; Ἢ ὅτι συνώνυμα ἀκούει παρὰ τοῖς γραμματικοῖς ἔτι καὶ τὰ πολυώνυμα, ἢ τὰ ταυτοδύναμα, ὅ ἐστι τὰ σύστοιχα καὶ ταυτόσημα.

Καὶ τὰ Φροντιστικὰ, καὶ Κτητικά. φροντίζω, ἐπιμέλομαι, φείδομαι, ἀπολαύω, κοινωνῶ, μετέχω, μέμνημαι.

Καὶ τὰ φροντιστικὰ δὲ, οἷον, τὸ κήδεσθαι, καὶ προνοεῖσθαι, καὶ φροντίζειν, μετ' ἐνεργείας τῆς τοῦ φροντίζειν ἐγκείμενον ἔχοντα καὶ αὐτὰ καὶ τὸ πάσχειν ὑπέρ τινων, ὡσανεὶ καὶ ὑπ' αὐτῶν τούτων, ὧν φροντίζουσιν, ἐν μέρει πάσχοντα, ὡς εἴ τις τῶν δαιμονώντων κηδόμενος, ἀντιπάσχοι ἂν ὑπ' αὐτῶν, εὐλογώτερον ἐπὶ γενικὴν φέρεται. τὸ δὲ ἐνθυμοῦμαι τῶν φροντιστικῶν ὂν καὶ αὐτὸ κατὰ τὸ μέμνημαι, ὤφειλε γενικῇ συντάσσεσθαι, ὡς παρὰ Θουκδ': α', ὧν ἐνθυμηθέντας. οἱ πλείους γεμὴν αἰτιατικῇ συντάσσουσι κατὰ τὰ γνωστικά. οὐκ εἴ τι δὲ φροντιστικὸν, ἤδη καὶ κατ' αἴσθησίν ἐστι. τὸ γὰρ μέμνημαι, καθὰ δὴ καὶ τὸ ἐνθυμοῦμαι, καὶ αὐτὸ δὲ τὸ φροντίζω, τῶν κατὰ φαντασίαν ἐστί. διαφέρει δὲ φαντασία αἰσθήσεως τῇ παρουσίᾳ καὶ ἀπουσίᾳ τοῦ πράγματος. εἴ γε γνώσεις μέν εἰσιν ἑκάτεραι μερικοῦ τινος, ἀλλ' ἡ μὲν, παρόντος, ἡ δὲ, ἀπόντος, ἡ φαντασία. δοκεῖ δὲ συνέρχεσθαι τὰ φροντιστικὰ τοῖς κτητικοῖς. τῶν γὰρ ἰδίων φροντίζει τίς. εἰ δέ ποτε καὶ τῶν ἀλλοτρίων. ἀλλ' ὡς ἰδίων καὶ τούτων κατὰ τὸν Χρυστμ: ψαλμ': ρλη'. εἴ γε ὁ κτώμενος, καὶ κήδεται καὶ προνοεῖ. τῶν κτητικῶν δὲ καὶ τὸ κληρονομῶ. ἔνθεντοι γενικῇ καὶ αὐτό. ἐπικρατείας δὲ ὂν σημαντικόν, αἰτιατικῇ τότε. τὸ δὲ ἀπολαύω, ἁπλῶς μὲν, γενικῇ μόνῃ, διαβατικῶς δὲ. καὶ αἰτιατικῇ, ὡς Συνεσίου τὸ, πλείω καλὰ τῆς Σιμωνίδου φιλίας Γέρων ἀπήλαυσε. μόνῃ δὲ αἰτιατικῇ ἐπιβατικῶς οὐ μεταβατικῶς. σημείωσαι δὲ ὅτι καὶ τὰ κατὰ στέρησιν φροντίδος, ἢ κτήσεως λεγόμενα, γενικῇ καὶ αὐτά. οἷον, ἀμελῶ, ὀλιγωρῶ, ἀπορῶ, ἀμοιρῶ. καὶ ἀποφατικῶς γὰρ οὐδὲν ἧττον, ἢ θετικῶς τῆς αὐτῆς ἔχεται συντάξεως. τὸ δὲ μέμνημαι κατ' εἰσπομπὴν μόνον ὂν, δῆλον ὡς γενικῇ μόνῃ, γιγνόμενον δὲ καὶ τῶν κατ' ἐκπομπὴν, καὶ αἰτιατικῇ δὴ συντάσσεται. ἀνέμνησά σε τοῦ δέ τινος. δοκεῖ δὲ καθ' ἑκατέρας ἅμα τὰς πτώσεις τῶν ἁπλῶν εἶναι, τῶν κατ' ἐκπομπὴν μὲν, κατὰ τὴν αἰτιατικὴν, τῶν κατ' εἰσπομπὴν δὲ, κατὰ τὴν γενικήν. καὶ γὰρ ὑπ' οὐδενὶ τῶν συγκειμένων εἰδῶν ὡρισμένως ὑπάγεται. ὡς μὴ ἔκτου ἢ κατ' ἐνέργειαν πράγματος, ἢ αἰτίου συγκείμενον. ὅ γε μὴν Χρυστμ. δυοῖν αἰτιατικαῖς αὐτὸ συντεταχὼς, διαβατικῶς αὐτὸ συνέθετο. τὰ οἰκεῖα ἑαυτὸν ἀναμιμνήσκων κακά. καὶ Διονύσ. Ἀρεοπαγ'. ἐν τῇ Πρὸς Πολύκαρπ: ἐπιστλ. ἐγὼ δὲ ἄλλο σε ἀναμνήσω.

Καὶ τὰ Ἀρχικά. βασιλεύω, δεσπόζω, κυριεύω, τυραννῶ, ἄρχω, κρατῶ.

Καὶ ὅσα ἐπικράτειάν τινων σημαίνει, τὴν τῶν ὑπερεχόντων ἢ κυριευόντων φέρε διάθεσιν. κατὰ λόγον. προφανὲς γάρ ἐστιν, ὡς χωρὶς γενικῆς κτῆμα οὐκ ἔστιν ἐπινοῆσαι. διὰ τοῦτο καὶ τὰ κτητικὰ εἰς γενικὴν ἀναλύεται, καὶ πάλιν ἀπὸ γενικῶν παράγεται ἔν τε ὀνόμασιν, ἔν τε

ἐν τε ἀντωνυμίαις, ἀπὸ πάντων τῶν δυναμένων κτῆσιν ἀναδέξασθαι. ἀπὸ γὰρ τῆς μουσικῆς γενικῆς ὁ μουσικὸς, καὶ ἀπὸ τῆς γραμματικῆς ὁ γραμματικὸς, καὶ ἀπὸ τῆς λογικῆς ὁ λογικὸς, καὶ ἀπὸ τῆς ἐμοῦ ὁ ἐμός. κἀπὶ τῶν λοιπῶν ὁμοίως ἀπὸ παντὸς ἀριθμοῦ. καὶ εἰς αὐτὰ πάλιν ἀναλύεται. μουσικὸς γάρ ἐστιν, ὁ κτῆσιν ἔχων μουσικῆς. οὕτω καὶ τὸ, ὁ ἐμὸς οἶκος, εἰς τὸ ὁ οἰκός μου ἀναλύεται, ὡς εἴρηται. διὰ τοῦτο τὸ μὲν νέα πόλις καὶ τὰ ὅμοια, δύω ὀνόματα καθεστῶτα, ἐν ἰδίοις τόνοις δὶς κλίνεται, νέας πόλεως, ἐν διαστάσει, καὶ νεαπόλεως, ἐν συνθέσει, ὁμοίως καὶ τὰ λοιπά. καθ' ὅ, τι οὐδέτερον οὐδετέρου κτῆσιν ἐπιδέχεται τῶν ὀνομάτων. οὐ μὴν δὲ καὶ τὸ κόρακος πέτρα, ἢ ὕος κύαμος. ὄνου γνάθος. ἀχαιῶν λιμήν. καὶ τὰ ὅμοια συγκλιθήσεται. ὡς εἶναι λέγειν, κόραξ πέτρα, κόρακος πέτρας, καὶ τὰ λοιπά. οὐ γὰρ ἔτι κτητικὴ ἔσται τὸ κόραξ πρὸς τὸ πέτρα. μεταλαμβανομένης γὰρ τῆς γενικῆς, καὶ ἡ κτῆσις συμμεταπίπτει συνοιχομένη. κατὰ ταὐτὰ δὴ κἀπὶ τῶν ῥημάτων διοριστέον. ἔστι γοῦν ἡ προκειμένη συζυγία τῶν ῥημάτων τοιαύτη. κτῆμα τῶν βασιλέων οἱ ὑπόντες τυγχάνουσι. διὰ τοῦτο καὶ τὰ αὐτὸ τοῦτο κτῆσίν φημι σημαίνοντα ῥήματα, γενικῇ συντάσσεται. οἷον, βασιλεύω τούτων, ἡγεμονεύω, στρατηγῶ, τυραννῶ. διὰ τοῦτο ἀπαράδεκτος ἡ δοτικὴ ἐν τῷ, μυρμιδόνεσσιν ἄνασσεν. ἡ γὰρ τοῦ ἀνάσσειν σύνταξις τὴν γενικὴν ἀπαιτεῖ, οὐ τὴν δοτικήν. οὕτως ἔχει τὸ κυριεύω, δεσπόζω, κρατῶ, καὶ ὅσα ἄλλα τῆς ἴσης ἐννοίας τυγχάνει ἐχόμενα, φημὶ τῆς ἐπικρατείας. τὸ δὲ βασιλεύω σε καὶ τὰ τοιαῦτα, οὐκ ἐπικράτειαν, διάθεσιν δὲ δηλοῦντα εἰς τὸ ἐπικρατεῖν, αἰτιατικῇ συντάσσεται κατὰ τὰ διαθετικὰ τῶν κατ' ἐκπομπήν. Εἰκός ἐστι διασαφῆσαι, ὡς τὰ τοῦ λόγου ἀντέστραπται. εἶχε γὰρ ἄν τις εἰπεῖν, ὡς ἐν μὲν τοῖς ὀνόμασιν ὁ μὲν ἐπικρατῶν, ἐν γενικῇ νοεῖται πτώσει, ὁ δ' ἐπικρατούμενος, ἐν εὐθείᾳ. ἀριστάρχου δοῦλος. βασιλέως οἰκέτης. ἐν γεμὴν τῇ προκειμένῃ τῶν ῥημάτων συντάξει τἀνάπαλιν, ὁ μὲν ἐπικρατῶν, νοεῖται ἐν εὐθείᾳ, ὁ δ' ἐπικρατούμενος, ἐν γενικῇ. δεσπόζω γὰρ τούτων, καὶ κυριεύω, καὶ τὰ λοιπά. πρὸς δὴ τὸν οὕτως ἀποροῦντα φήσαιμεν ἂν τοπρῶτον, ὡς οὐτὸ αὐτὸ μέρος λόγου ὄνομα καὶ ῥῆμα. καὶ εἰ τοῦτο, οὐπάντως ἄρα καὶ τὰ τῆς συντάξεως εἰς ταὐτὸ συνελεύσεται, διαφόρων ὄντων τοῦτε ὀνόματος καὶ τοῦ ῥήματος. ἢ καθ' ὃ ἐν μόνον αἰτήσει, τὴν γενικήν. ἧς χωρὶς οὐδέποτε κτῆσις ἐπινοεῖται, ὡς εἴρηται. δεύτερον, πάνυ ἀναγκαίως τὰ τοῦ λόγου ἀνεστράφη. ῥημάτων γὰρ σύνταξιν ποιούμεθα πρὸς πτωτικά. τὰ δὲ ῥήματα πτῶσιν ἔχει ὀρθὴν παρυφιμένην. ἣ καὶ συμφέρεται, ὡς εἴρηται, φύσει παντὶ ῥήματι προσεπινουμένη. ἐκ δ' αὖ τῶν ῥημάτων ἤρτηται ἡ διάθεσις τῆς ἐπικρατείας, ἥτις οὐκ ἂν νοοῖτο ἐκ γενικῆς, ἐκ δὲ τῆς συνούσης εὐθείας πτώσεως, ὡς προείρηται. ἀνάγκη οὖν πᾶσα τὸ παρυφιστάμενον πρόσωπον τῶν ῥημάτων ἐν ὀρθῇ πτώσει καταγίνεσθαι. τὸ δὲ τούτου ἀνθυπαγόμενον πρόσωπον, πρὸς ὃ συντείνει τὸ ῥῆμα, μὴ ἐν ἄλλῃ πτώσει καταγίνεσθαι, ἢ μόνῃ τῇ γενικῇ. ἧς ἄνευ οὐσυνίσταται κτητικὴ σύνταξις, ὡς προείπομεν. ἔστι γοῦν κἀκεῖνο ἐκ τρίτου προσθεῖναι, ὡς καὶ τὰ ἐξ αὐτῶν παρυφιστάμενα ὀνόματα, μᾶλλον δὲ τὰ αὐτῶν προϋφεστηκότα, πάλιν γενικὴν ἀπαιτεῖ. τῷ τυραννῶ ῥήματι τὸ τύραννος ὄνομα παράκειται. καὶ μία σύνταξις ἡ ἐξ ἀμφοῖν. τυραννῶ γὰρ τούτων, καὶ, τύραννος τούτων. ὥστε οὐ μόνον ἐν ῥήμασιν, ἀλλὰ κἀν τοῖς ὀνόμασιν ὁ μὲν ἐπικρατῶν, ἐν εὐθείᾳ, ἐν δὲ γενικῇ, ὁ ἐπικρατούμενος νοεῖται. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ βασιλεύς, καὶ βασιλεύω. στρατηγὸς, στρατηγῶ. δεσπότης δεσπόζω. κύριος, κυριεύω.

ρεύω. παρ' ὁμήρῳ δὲ τὰ ἀρχικὰ καὶ δοτικῇ ἐνίοτε. οἷον καὶ τὸ ἡγοῦμαι, ἐπὶ μὲν ἀρχῆς τινος καὶ ἐξουσίας λαμβανόμενον, γενικῇ, ἐπὶ δὲ προοδεύσεως καὶ ὁδηγίας, δοτικῇ μάλιστα συντασσόμενον φαίνεται. ὡς ἐν ἰλ. ᾱ, καὶ νήεσσ' ἡγήσατ' ἀχαιῶν ἴλιον εἴσω. ἔστι δὲ καθ' ἑκατέρας χωρὶς τὰς πτώσεις, ἁπλῶς συντεταγμένον, τὴν μὲν, ἀρχικῶς, τὴν δὲ, περιποιητικῶς. ἀλλ' ἐντελῶς μὲν, τῇ γενικῇ, ἀτελῶς δὲ, τῇ δοτικῇ μόνῃ, συνεννοουμένης πάντως καὶ τῆς γενικῆς. καὶ γὰρ τὸ πλῆρες, οὕτω. κάλχας ἡγήσατο ταῖς τῶν ἀχαιῶν ναυσὶ τοῦ πρὸς τροίαν πλοός.

Εἴη δ' ἂν καὶ ὡς κτητικὰ τὰ τοιαῦτα.

Τὰ ἀρχικά. πρὸς ἀντιδιαστολὴν τῶν φροντιστικῶν τε καὶ μετουσιαστικῶν, κτητικῶν ὄντων. ὁ δ' Ἀπολλώνιος ἁπλῶς κτητικὰ καλεῖ καὶ τὰ ἀρχικά. ὡς εἶναι τῶν κτητικῶν τὰ μὲν, ἀρχικὰ, τὰ δὲ, φροντιστικά τε καὶ μετουσιαστικά. δῆλον δὲ κἀντεῦθεν ὡς τῶν Πρός τι τὰ καθ' ὑπεροχὴν κτητικῆς συντάξεως ἔχεται καὶ τὰ προκείμενα σύστοιχα αὐτῶν ῥήματα.

Καὶ τὰ Διαφορικὰ καὶ τὰ Ἀποστηματικὰ, καὶ Ἐκστατικά. διαφέρω, χωρίζομαι, ἀπέχω, στέρομαι, ἁμαρτάνω.

Ἀποστηματικὰ καὶ ἐκστατικὰ τὰ αὐτά. ἑκάτερα γὰρ ἀπόστασίν τινος ἀπό τοῦ ὑπαγορεύει. τούτων δὲ τὸ χωρίζομαι, ὀβελιστέον δοκεῖ. εἴγ' ἡ μὲν τούτου γενικὴ καθ' ἑκατέρας τὰς διαθέσεις τῆς τῶν συνθέτων ἐστὶν ἐπιστήσαντι συντάξεως. χωρίζεις γάρ με τοῦδε, καὶ χωρίζομαι ὑπὸ σοῦ, ἢ ὑπ' ἐμαυτοῦ, τοῦδε. ὁ δὲ προκείμενος λόγος περὶ τῶν ἁπλῶν ἐστι. διττὰ γὰρ τὰ ἀποστηματικὰ, ἁπλᾶ τε καὶ σύνθετα. καὶ σύνθετα μὲν, οἷον, λύω σε τῶν δεσμῶν. διττὰ δ' αὖθις τὰ ἁπλᾶ, τὰ μὲν, κατ' ἐκπομπὴν, ἀφίστημί σε, χωρίζω σε. ἀφορίζω σε. τὰ δὲ, κατ' εἰσπομπὴν. ἁμαρτάνω τοῦ δέ τινος, ἢ στέρομαι. Ἐφ' οἷς σημείωσαι ὅτι τὸ, πλεονεκτῶ σου. μειονεκτῶ σου, ἡττῶμαί σου, καὶ εἴ τι τοιοῦτο, οὐ δοκεῖ τῶν κατ' εἰσπομπὴν εἶναι, ὡς ὑπ' οὐδενὶ τόπῳ τῶν τοῦ β', ὑπαγόμενα. εἴγ' ἡ γενικὴ οὐκ ἔστι φανερὼς τοῦ ῥήματος, τῶν δ' ἐγκειμένων τοῖς ῥήμασι παραθετικῶν ὀνομάτων. τὰ δὲ παῦσιν εἴ τ' οὖν λῆξιν σημαίνοντα, τούτου τοῦ τόπου τυγχάνοντα, οὐ γενικῇ, μετοχῇ δὲ συντασσόμενα φαίνεται. Λουκιαν: εἰ μὴ παύσῃ λοιδορούμενός μοι. Ἡρόδ, ἡ. οὐ γὰρ ἐπαύσατο πλεονεκτῶν. ἔστι γε μὴν καὶ ἡ τοιαύτη μετοχὴ κατ' ἐναλλαγὴν ἀντὶ ἀπαρεμφάτου. τοῦτο δὲ πάλιν ἀντὶ συνάρθρου ὀνοματικῆς γενικῆς. καὶ ἀντιμέρειαν. οἷον, εἰ μὴ παύσῃ τοῦ λοιδορεῖσθαί μοι.

Τόποι τοῦ τρίτου.

Τοῦ δὲ τρίτου, τὰ Περιποιητικὰ καὶ Ἀντιπιπτικά. οἷον, δίδωμι, πέμπω, λέγω, χαρίζομαι, ἀντιλέγω, παλαίω, ἐναντιοῦμαι, ἀμφισβητῶ, μάχομαι.

Χωρητέον δὲ καὶ ἐπὶ τὰ δοτικῇ συντασσόμενα. καὶ δὴ ἅπαντα τὰ περιποίησιν δηλοῦντα, ἢ τὴν ἐν λόγῳ, τὴν ψυχικὴν δηλαδὴ καὶ ἠθικὴν, ἢ τὴν ἐν σώματι, ἐπὶ δοτικὴν φέρεται. ὡς ἔχει τὰ τοιαῦτα. λέγω σοι. ταὐτὸν γὰρ δύναται, ὡς εἰ καὶ φαίημεν, λόγου σοι μεταδίδωμι. τὸ δὲ λέγω σε κλέπτην, τοιοῦτό τι σημαίνει, δι' οὗ προΐεμαι λόγου ὁρίζομαί σε δεδρακέναι τὰ τῆς κλοπῆς. ὡσεὶ φαίημεν, λέγω περὶ σοῦ τοῖς ἀκροαταῖς δεδρακέναι σε τὰ τῆς κλοπῆς. καὶ δεόντως πάλιν τὰ τῆς

τὰ τῆς ἐνεργείας τῆς διὰ τοῦ λέγειν ἐπὶ δοτικὴν συνέτεινε. καθάπερ καὶ ἐπὶ σώματος ἀνάπαλιν χρώμεθα, δοτικῇ συντάσσοντες τὰ πρὸς αἰτιατικὴν φερόμενα. τὸ γὰρ τέμνω σοι, τοιοῦτόν ἐστιν, ὡσεὶ καὶ φαίημεν περιποιῶ σοί τι μέρος τοῦ σώματος, τέμνων τὸ σεσηπός. καὶ οὕτω πάλιν τὸ τέμνω ἐπ' αἰτιατικὴν φέρεται, λέγω τὸ τμηθὲν μέρος. τό γε μὴν τέμνω σε, πάλιν τὴν ἐνέργειαν ἐπιφέρον κατὰ τοῦ ὑποκειμένου, συνῆλθεν ὁμοίως εἰς τὴν αὐτὴν σύνταξιν. ἐφ' ὧν δὴ συντάξεων χρὴ νοεῖν, ὡς οὐ τὸ ἐκ τῆς δοτικῆς νοούμενον πρόσωπον, ὁμολογεῖ τὸ προσδιατίθεσθαι, εἴ τ' οὖν τέμνεσθαι, ἡ μέν τοι ἐγκειμένη αἰτιατική. ἧς μόνης ἂν εἴη τὸ παθητικὸν, λέγω τὸ τέμνεσθαι. ὁ δὲ αὐτὸς λόγος ἐπὶ ἁπάντων τῶν οὕτω νοουμένων καὶ λεγομένων κρατεῖ. οἷον, φαμὲν ᾄδω σοι. καὶ οὐκ ἔστι κἀνταῦθα τὸ ἐκ τῆς δοτικῆς νοούμενον πρόσωπον τὸ ᾀδόμενον. καθ' ὅ, τι οὐδὲ πρὸς αὐτὸ τὰ τῆς τοῦ ᾄδειν ἐνεργείας ἀποτείνεται, ἀλλὰ πρὸς τὸν ἐννοούμενον ὕμνον, ἢ ᾠδήν. ἥ τις ὁμολογήσει τὸ παθητικὸν, τὸ ᾄδεσθαι δηλαδή. ὡς εἰ καὶ φαίημεν, περιποιῶ σοί τινα ᾠδήν. ταὐτὸν γὰρ δύναται τῷ ᾄδω σοι. εἰ δὲ φαίημεν, ᾄδω σε. κωμῳδῶ σε. φανερὸν ὅτι τὸ ἐκ τῆς αἰτιατικῆς νοούμενον πρόσωπόν ἐστι τὸ ἢ κωμῳδούμενον, ἢ ᾀδόμενον. αὐτὰ ταῦτα ῥητέον κἀπὶ τοῦ κωμῳδῶ σοι, ὑμνῶ σοι, κιθαρίζω σοι, τραγῳδῶ σοι, ἀναγινώσκω σοι, φαίνω σοι, στρωννύω σοι, δωροῦμαι, χαρίζομαι. ἡ μὲν γὰρ περιποίησις ἡ ἐκ τῶν τοιούτων ῥημάτων ἐννοουμένη, πρὸς τὸ ἐκ τῆς δοτικῆς ἐννοούμενον πρόσωπον ἀπονέμεται, τὰ δὲ τῆς ἐνεργείας πρὸς τὸ κατ' αἰτιατικὴν συνεννοούμενον. ὁ καὶ ἀναδέχεται τὸ παθητικόν. οἷον, δίδωμί σοι, χρήματα δηλαδὴ, ἤ τι τοιοῦτο. καὶ τὸ αὐλῶ σοι. νῦν τῆς συντάξεως περιποίησίν τινα τοῦ αὐλεῖν σημαινούσης. ἑτέρας γὰρ ἐννοίας ἔχεται τὸ αὐλῶ τοῖς αὐλοῖς. καὶ οὐ περιποίησιν σημαίνει, καί τοι πρὸς δοτικὴν συντασσόμενον καὶ αὐτό. τὸ γὰρ αὐλεῖν, κατὰ μὲν τὴν προτέραν σύνταξιν τὴν αὐλῶ σοι, ἐκ συναμφοτέρου ἀκούεται, λέγω τῆς τ' ἐνεργείας τοῦ αὐλεῖν καὶ αὐτῶν ἔτι τῶν αὐλῶν. ἐξ ἧς ἐστι τὸ αὐλῶ τοῖς θεαταῖς. κατὰ δὲ τὴν ἑτέραν σύνταξιν, τὴν αὐλῶ τοῖς αὐλοῖς, τὸ αὐλεῖν σημαίνει αὐτὴν μόνην τὴν εἴδησιν τῆς αὐλήσεως, οὐ μὴν δὲ καὶ τοὺς αὐλούς. δι' ὧν αὐλεῖ. καὶ διὰ τοῦτο προσλαμβάνεται καὶ τὸ, αὐλοῖς, ἐν ἴσῳ ὂν τῷ, διὰ τῶν αὐλῶν τὰ τῆς αὐλητικῆς τέχνης ἐπιδείκνυται, καὶ οὐ διὰ συρίγγων. εἰ γὰρ καὶ τὸ αὐλεῖν δι' αὐλῶν ἐννοεῖται ἀποτελεῖσθαι, τῆς φωνῆς συνεπισχυούσης. (ἀπὸ γὰρ τοῦ αὐλοῦ τὸ αὐλεῖν εἴληπται) ὡς εἴρηται κἀπὶ τοῦ αὐλῶ σοι. ὥσπερ καὶ τὸ συρίζειν διὰ συρίγγων, ἐπεί γε μὴν πολλάκις φαμὲν κατ' ἐναλλαγὴν τῶν ὀργάνων συρίζειν μὲν αὐλοῖς, αὐλεῖν δὲ σύριγγι, ἵνα μὴ, καὶ ἀφῃρημένως λεγόντων αὐλεῖν, ἢ συρίζειν, ἐννοῆται ἡ τοιαύτη ἐναλλαγὴ τῶν ὀργάνων, (οἰηθείη γὰρ ἄν τις αὐλεῖν μὲν διὰ συρίγγων, συρίζειν δὲ δι' αὐλῶν) διὰ τοῦτο προσλαμβάνεται καὶ τὸ ὄργανον, ἵνα καὶ τοῦτο συνδηλωθῇ, πότερον δι' αὐλῶν αὐλεῖ, ἢ διὰ συρίγγων. καὶ πότερον, διὰ συρίγγων συρίζει, ἢ δι' αὐλῶν; τοιοῦτόν ἐστιν ἐπινοῆσαι καὶ ἐπ' ἄλλων ῥημάτων. εἴγε καὶ τὸ ἀκούειν ἔστι μὲν οὗ σημαίνει αὐτὴν τὴν μετάληψιν τῆς ἀκοῆς. καθ' ἣν ἀκούειν φαμὲν τῶν ἤχων, ἢ βόμβων, καὶ φωνῶν καὶ βροντῶν, καὶ πασῶν τῶν οὐκ ἐγγραμμάτων φωνῶν, ἢ καὶ ὧν οὐ συνίεμεν ἐγγραμμάτων. ἐξ οὗ φαμὲν καὶ ὀξυκόους τινάς. ἔστι δ' οὗ καὶ τὸ συνιέναι τῶν ἠκουσμένων. τὸ γὰρ, Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης. οὐχ ἁπλοῦν τι σημαίνει, ὡς οὐκ ἔλαθεν αὐτὸν ἡ φωνὴ, ἀλλὰ τοιοῦτό τι, μεταλαβὼν τῆς φωνῆς, συνῆκε καὶ τὴν ἐν τοῖς

πολέμοις

πολέμοις πρᾶξιν. δῆλον δὲ κἀκ τῆς κοινῆς ὑπολήψεως. φαμὲν γὰρ οὕτως, οὐκ ἀκούει ὁ δεῖνα τῶν λεγομένων. τοῦτ' ἔστι τῆς μὲν φωνῆς μεταλαμβάνει, οὐ μὴν δὲ καὶ τῶν δι' αὐτῆς λεγομένων. ἔστι κἀκ τρίτου, ἡνίκα νοεῖται τὸ, συγκατατίθεται τοῖς λεγομένοις. οἷον, ἀκούει μου ὁ δεῖνα. ἀντὶ τοῦ ἐπήκοός μου ἐστί. καὶ πάλιν, οὐκ ἀκούει. ἐξ οὗ γίνεται τὸ, ἀνήκοός ἐστιν ὁ δεῖνα. καθ' ὃ εἴρηται καὶ τὸ, τὰ πρόβατα τῆς ἐμῆς φωνῆς ἀκούει. οὕτως ἔχει καὶ τὸ, ἀναγινώσκω. ἔσθ' ὅτε ἀκούεται αὐτὸ μόνον, ἁπλῆ ἀνάγνωσις, ἡνίκα καὶ παῖς φησιν, οὐκ ἀνέγνω, ἢ τὸ συναμφότερον αὐτῶν, λέγω δὲ τὸ ἐν διανοίᾳ καταγίνεσθαι τῶν ποιημάτων, συνιέντα τῶν ἀναγνωσμάτων. φαμὲν γὰρ, οὐκ ἀνέγνω ὁ δεῖνα Ἀλκαῖον, οὐχ Ὅμηρον. ἀντὶ τοῦ οὐκ ἐν καταλήψει τούτων ἐγένετο. οἷον καὶ τὸ, ἆρά γε γινώσκεις, ἃ ἀναγινώσκεις; ἔστι καὶ ἐπ' ἄλλων πολλῶν τὸ τοιοῦτο ἐπιδεῖξαι. ἀπόχρη ὅμως καὶ ταῦτα ἐπὶ τῆς προκειμένης συντάξεως, πλέον τι τούτων μὴ ἐπιζητούσης. προὐθέμεθα γὰρ ἅπαξ τὰς πλαγίας συντάξαι τοῖς ῥήμασιν, οὐ μὴν τὰς ποικίλως παρυφισταμένας ἐκ τῶν ῥημάτων ἐννοίας περιεργάσασθαι. οὕτως ἔχει καὶ τὸ, αὐλῶ ταῖς νουμηνίαις. σαφὲς γὰρ ὅτι πάλιν πρὸς τὴν συνεννουμένην αἰτιατικὴν φέρεται τὰ τῆς ἐνεργείας. περιποιεῖταί γε μὴν τοῖς ἀκροωμένοις. οὕτω νοητέον κἀπὶ τῶν ἄλλων τῶν εἰς ψυχικὴν διάθεσιν ἀνηκόντων. Τὸν αὐτὸν δὲ τρόπον, ὡς ἔφαμεν, ἔχει καὶ τὰ ἐπὶ τῶν σωμάτων λεγόμενα. φέρω σοι, ἄγω σοι, πάλιν διαφορᾶς οὔσης τοῦ φέρω σε καὶ ἄγω σε. τὸ μὲν γὰρ φέρω σοι, καὶ ἄγω σοι, περιποίησιν σημαίνει τῷ ἐκ τῆς δοτικῆς ἐννουμένῳ προσώπῳ, τὰ δὲ τῆς ἐνεργείας πρὸς τὴν συνεννουμένην αἰτιατικὴν ἔχει τὰ τῆς συντάξεως. ὡς εἰ καὶ φαίημεν, περιποιοῦμαί σοι, τὸν ὄνον φέρων, ἢ ἄγων τὸν ἵππον. τοῦ δὲ φέρω σε καὶ ἄγω σε, πρὸς αὐτὴν ἀφορᾷ τὴν αἰτιατικὴν τὰ τῆς ἐνεργείας. ἀντὶ τοῦ σὲ κομίζομαι, ἑτέροις περιποιούμενος. ὥστε ὁμολογεῖσθαι ἐκ τῶν εἰρημένων, ὡς ἅπασα τοιαύτη δοτικὴ, περιποίησιν δηλαδὴ δηλοῦσα, συνέχει ἐν ἑαυτῇ τὴν αἰτιατικὴν, ἔξωθεν προσλαμβανομένην. ἄγω σοι, τὸν παῖδα. φέρω σοι, τὸν ὄνον. τέμνω σοι, τὸ κρέας. ἀναγινώσκω σοι, Ἀλκαῖον. κωμῳδῶ σοι, τοὺς ἐπιτρέχοντας. ὧν, ὡς ἔφημεν, καὶ παθητικαί εἰσι συντάξεις, τῆς μὲν δοτικῆς, τῆς αὐτῆς μενούσης, τῆς δὲ αἰτιατικῆς, εἰς εὐθεῖαν μεταλαμβανομένης, τῆς εὐθείας δὲ πάλιν τῆς ἐνεργούσης, εἰς προθετικὴν γενικὴν μεταμειβομένης. δοκεῖ δὲ ἐν τῇ τοιαύτῃ συντάξει τῶν πτώσεων, τῇ τέμνω σοι τὸ κρέας, προτίθεσθαι τῆς αἰτιατικῆς τὴν δοτικήν. καθ' ὅ, τι, ὡς εἴρηται, ἤδη καὶ ταύτης ἐστὶν ἐμπερικτικὴ ἡ δοτική. Καὶ τὰ ἐξ ἴσης δὲ διαθέσεως ἀναγόμενα, τοῦτ' ἔστι τὰ ἐν δυοῖν προσώποις τὴν αὐτὴν ἔχοντα διάθεσιν, εἴτ' οὖν ἐνέργειαν, καταλλήλως ἐν δοτικῇ καταγίνεται. ὡς ἔχει τὸ μάχομαί σοι, παλαίω σοι, γυμνάζω σοι, γυμνάζομαί σοι, ἱππάζομαι, ἀνθίσταμαι, μονομαχῶ, παγκρατιάζω, καὶ τὰ τοιαῦτα. καὶ ὅτι μὲν ἔδει τὰ τοιαῦτα ῥήματα ἐπὶ πλαγίαν φέρεσθαι πτῶσιν, παντὶ πρόῦπτον. ἔγκειται γὰρ κἀν τούτοις διαβιβαστικὴ, εἴτ' οὖν μεταβατικὴ διάθεσις ἐπὶ ὑποκείμενον πρόσωπον, ὡς κατ' ἀρχὰς εἴπομεν, δυνάμενον ὁμολογῆσαι τὴν εἰς αὐτὸ χωρήσασαν διάθεσιν. νοεῖται γοῦν ἐπὶ δυοῖν ἐμψύχων τὸ παλαίειν, τὸ παγκρατιάζειν, καὶ τὰ λοιπά. ἀλλ' οὖν γε ἡ μεγίστη ἐνέργεια, οἵα ἐστὶν ἡ καθαρὰ καὶ ἀναντιπαθὴς, ἀπαιτήσασα τὴν αἰτιατικὴν, εἰς ἓν μόνον καταγίνεται, εἰς τὸ διατίθεσθαι δηλαδὴ μόνον ἐξ εὐθείας τὴν αἰ-

Κ: Ψ: Δ:

τὴν αἰτιατικὴν, μὴ μέντοι καὶ προσδιατιθέναι ἀντιδρῶσαν, μὴ δ' ἀντιδιατιθεῖσαν τὴν εὐθεῖαν ἐν τῷ πάσχειν ὑπ' ἐκείνης. ὡς ἔχει τὸ, δαίρω σε, τύπτω σε. ὁ γὰρ οὕτως ὁριζόμενος, οὐχ ὁμολογεῖ τὸ ἀντιπαίεσθαι. τὰ δὴ προκείμενα ῥήματα τὸ τοιοῦτο οὐκ ἐπαγγέλλεται, τὸ καθαρὸν λέγω καὶ ἀναντιπαθές. ὁ γὰρ λέγων, μάχομαί σοι, ὁμολογεῖ καὶ τὸ ἀντιπάσχειν ἐν τῷ ἐνεργεῖν. καὶ σαφὲς ὅτι ἕνεκα τούτου οὐδ' ἐπιδέξασθαι αἰτιατικὴν δύναται, ἦν γὰρ ἐγκειμένη ἡ διάθεσις ἡ αὐτὴ ἐκ τοῦ ἑτέρου προσώπου, τὸ ἀντιπάσχειν τὸν μαχόμενον, ἢ παγκρατιάζοντα. Τί οὖν, εἴποι τις ἄν, εἰς δοτικὴν ἐχώρησε τὰ τῆς συντάξεως, δέον εἰς γενικὴν, τὸ ἀντιπάσχειν ὁμολογοῦσαν; Ἢ ὅτι καὶ ἡ γενικὴ ἐμερίζετο εἰς παθητικὴν διάθεσιν, καθάπερ καὶ ἡ αἰτιατική. ὥσπερ γὰρ ἐπὶ τοῦ, τύπτω σε ἡ αἰτιατικὴ, οὕτω κἀπὶ τοῦ, κυριεύω σου ἡ γενικὴ τὸ πάθος ὁμολογεῖ. ἥγε μὴν δοτικὴ οὐκ ἔτι μερίζεται εἰς παθητικὴν διάθεσιν, ἐν ἴσῳ τὰ τῆς ἀντιπαθείας ἔχουσα. οὐδεὶς γὰρ ἂν φαίη, παλαίομαι ὑπὸ σοῦ, ἢ μάχομαι, ἢ μονομαχοῦμαι, ἢ γυμνάζομαι, ἤ τι τοιοῦτο. καὶ διὰ τοῦτο ἀποστήσεται ἄρα ἀμφοτέρων τῶν πτώσεων, τῆς τε γενικῆς λέγω καὶ τῆς αἰτιατικῆς ἡ προκειμένη τῶν ἀντιπιπτικῶν ῥημάτων σύνταξις, καὶ οὐκ ἄλλην, ὅτι μὴ μόνην τὴν δοτικὴν ἐπιδέξεται. ἐξ ἧς οὐκ ἀνέφικτον τὸ ἐξ ἴσου ἀντιπίπτον τῶν διαθέσεων. Ἔστι μοναδικὴ διάθεσις, εἴτ' οὖν ἁπλῆ, ἐνεργοῦσα μὲν, ἡ γυμνάζω σε, πάσχουσα δὲ, ἡ γυμνάζομαι ὑπὸ σοῦ, ἀντιπίπτουσα δὲ ἐκ τοῦ ἴσου, ἡ γυμνάζομαί σοι. πάλιν ἱππάζω σε. ἐξ ἧς τὸ παθητικὸν, ἱππάζομαι ὑπὸ σοῦ, καὶ πάλιν τὸ ἐξ ἴσου ἀναγόμενον, ἱππάζομαί σοι, τὸ ἐξ ἴσου ἀντιπάσχειν παρὰ τῆς δοτικῆς τῆς εὐθείας ὁμολογούσης. ὡς εἰ καὶ φαίημεν, ἱππάζομεν σὲ μὲν, ἐγὼ, σὺ δ', ἐμέ. ἢ ὑπ' ἀλλήλων ἱππαζόμεθα ἑκάτεροι, ἐγὼ μὲν, ὑπὸ σοῦ, σὺ δ', ὑπ' ἐμοῦ. οὐδὲν γὰρ διαφέρει τὰ τῆς διαθέσεως, ὁποτέρως ἂν προενέγκηται. πλεῖστα καὶ εἰς τὸ τοιοῦτό ἐστι παραθέσθαι, ἅπερ παραπεμπτέον. οὕτως ἔχει καὶ τὸ πείθομαί σοι. ἀντὶ τοῦ κατὰ ταὐτὸν καὶ πείθω σε καὶ πείθομαι ὑπὸ σοῦ. καὶ οὐκ ἄλλο τι σημαίνει τὸ πείθομαί σοι, ἢ τὴν ὑπ' ἀλλήλων πρὸς ἀλλήλους γινομένην πεισμονήν. ἔστι καὶ ἐπὶ γ', προσώπου τὸ μέλει καὶ μεταμέλει, δοτικῇ συντασσόμενα, ὡς ἔχει τὸ μέλει, ἢ μεταμέλει τρύφωνι. καὶ τοσαῦτα ἔχομεν φάναι περὶ ἧς προεθέμεθα ἐκθέσθαι συντάξεως τῶν ῥημάτων πρὸς τὰς πλαγίας, ἐκείνου προδήλου καθεστῶτος, ὡς οἱ διάφοροι χρόνοι ἐν τῇ κλίσει καὶ ἔτι τὰ διάφορα πρόσωπα καὶ αἱ ὑπόλοιποι ἐγκλίσεις τῆς αὐτῆς συντάξεως ἔχονται. τὸ γὰρ τέμνοιμι εὐκτικὸν ὂν, πάλιν ἐπ' αἰτιατικὴν φέρεται, κἂν προστακτικὸν ᾖ, κἂν ἀπαρέμφατον, κἂν ὑποτακτικὸν, κἂν παρῳχημένου χρόνου, κἂν μέλλοντος, λέγω κατὰ τὰς ἐνεργητικὰς διαθέσεις. ἔστι καὶ εἰς τοῦτο πάμπολλα παραθέσθαι. ἀλλ' οὐδὲ αἱ μετοχαὶ τὸ τοιοῦτον ἀποκλίνουσιν, ἐπὶ τὰς αὐτὰς πτώσεις φερόμεναι καὶ αὐταί. Ἐφ' οἷς ἰστέον, ὡς οὐ γράμματος μόνον ἐξαλλαγὴ, ἢ πρόσθεσις καὶ ἀφαίρεσις ἀτοπόν τι ἀπαντᾶν εἴωθε παρασκευάζειν, καὶ τῶν πραγμάτων ἀλλοίωσιν ἀπεργάζεσθαι, ἀλλὰ καὶ τόνου χρῆσις οὐκ εὐκαίρως παραληφθεῖσα, τό, τε ῥῆμα ἀνθ' ἑτέρου (καί τοι τῆς γραφῆς ἀναλλοιώτου μενούσης.) παρέδειξεν ἕτερον, καὶ εἰς νόημα παντελῶς ἀλλοτριώτατον τὸν νοῦν ἐξετόπισε, τὴν τῶν ὀρθῶς ἐχόντων διανοιαν ἐπιθολοῦσά τε καὶ διαταράττουσα. οὐ μὴν ἀλλὰ καὶ τὸ πάντων βραχύτατον, ἡ στιγμὴ, κακουργούμενον, ἢ παρορώμενον, καὶ τῆς οἰκείας θέσεως μετατιθέμενον, παντοδαπὰς μὲν τῶν ἀναγινωσκόντων καὶ μεγάλας ἀπέ-

ἀπέτεκε διαφωνίας, τοῖς δ' ἀκριβολογουμένοις ὥστε φωρᾶσαι τοῦ λόγου τὴν ἐγκειμένην ἔννοιαν, μακρὰ παρέχετα ἀγωνίσματα. περὶ δὲ λέξεως τί χρὴ καὶ λέγειν, τῆς ἤτοι διαφθειρομένης, ἢ ἐναλλασσομένης, ὡς ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ κἀπὶ τοῦ προκειμένου; Περιποιητικὰ μὲν γὰρ, τὰ ἤτοι δόσιν, ἢ ἀποστολὴν, ἢ χάριν, ἢ ὑπουργίαν δηλοῦντα, καὶ τὸ ὅλον εἰπεῖν περιποίησιν, Τὰ δὲ ἐξ ἴσης διαθέσεως ἀναγόμενα κατὰ Ἀπολλ: ὅ ἐστι τὰ ἴσην διάθεσιν τῶν προσώπων σημαίνοντα, ὑπ' ἀλλήλων προϊοῦσαν, καὶ εἰς ἄλληλα ἀντιμεταβαίνουσαν, οὐκ ἀντιπεριποιητικὰ, Ἀντιπιπτικὰ δὲ τοῖς παλαιοῖς κέκληται. ἔνθα τὴν τῶν ῥημάτων διαίρεσιν ποιούμενοι, τὰ μὲν, ὑπαρκτικὰ, τὰ δὲ, κλητικὰ, τινὰ δὲ ἀντιπιπτικὰ, καλεῖσθαί φασιν, ὡς τὸ παλαίω, πολεμῶ, ἀγωνίζομαι, ἐρίζω, φιλονεικῶ. ταῦτα γάρ φασι κατὰ ἀντιπίπτησιν λαμβάνεσθαι. ἐξ ἴσου γὰρ προέρχεσθαι τὴν ἐνέργειαν ἑκατέρωθεν τῶν μερῶν. εἶτα ἑρμηνεύοντες, τί βούλεται τὸ ἀντιπίπτειν, ἢ ἡ ἀντιπίπτησις, τὸ ἐξ ἴσου φασὶ, πρὸς ἐνέργειαν προεξέρχεσθαι. καὶ οὕτω μὲν τὰ ἐξ ἴσης διαθέσεως θεωρούμενα, ἀντιπιπτικὰ ἐκεῖνοι ἐκάλεσαν. ἐξ ὧν φαίνεται καὶ ὁ Θεόδωρος τῶν περὶ ὀνόματος, προθέσεως, ἐπιρρήματος, καὶ συνδέσμου προσειληφὼς τὰ πολλά. φαῦλοι δ' ἄρα τινὲς τῶν γραφέων διαμαρτόντες, τὰ ἀντιπιπτικὰ εἰς τὰ ἀντιπεριποιητικὰ μετέλαβον, συναρπασθέντες ἐκ τῆς τῶν φωνῶν παρ' ὀλίγον ὁμοιότητος, καθὰ δὴ κἀπὶ πολλῶν ἄλλων τὸ τοιοῦτο συμβαίνει. ἀλλ' οἱ μὲν γραφεῖς πρὸς ἀργύριον γράφουσιν, αἰτιάσαιτο δ' ἄν τις μᾶλλον τῶν ἐγκυπτόντων τοὺς τὰ τῆς γραφῆς μὴ ἐπανορθωσαμένους, ἀλλ' ἀνεπισκέπτως εἰληφότας ἀντιπεριποιητικὰ τὰ ἀντιπιπτικά. τὰ μὲν οὖν περιποιητικὰ ἀνισότητός ἐστι δηλωτικὰ, ἰσοσθενοῦς δὲ μάχης τὰ ἀντιπιπτικά. ἃ καὶ ἀντιπειστικὰ παρ' ἄλλοις ἀκούει.

Καθόλου δὲ πᾶν ῥῆμα,

Τῶν τε κατ' ἐκπομπὴν καὶ τῶν κατ' εἰσπομπὴν,

Ὅπως ἂν ἔχῃ,

Συντάξεως, εἴτε τῶν ἁπλῶν ὂν τυγχάνει, εἴτε καὶ τῶν συνθέτων.

Καὶ ὡς περιποιητικόν ἐστι λαμβάνειν ταὐτό. ὠφελῶ γάρ τοι ἀνθρώπους. ἀλλὰ καὶ, ὠφελῶ ἀνεῖς τῇ πόλει. διδάσκω τὸν νέον. καὶ, διδάσκω σοι τὸν νέον.

Ὥσπερ ἄρα καὶ πᾶν, ὃ εἴη ἂν ἐνεργείας ἐλάσσονος, ἐνεργητικόν. ὠνάμην, ὁπόσα ἔδει, ταὐδρός. ἐχρησάμην πάμπολλα τῷ ἀνδρί. ὠφέλησα προθύμως τὰ δυνατά.

Τῆς ἐνεργείας τῆς μὲν, μείζονος οὔσης, ὡς εἴρηται. οἷον, διδάσκω σε. τῆς δὲ, ἐλάσσονος. οἷον, διδάσκω γραμματικὰ, δέομαι τὰ δίκαια, λέγω τὰ δέοντα, τὰ τῆς ἐλάσσονος, δέον ὡς ἐνεργητικὰ λέγεσθαι, τὰ δὲ καὶ αὐτὰ ἐνεργητικὰ ἁπλῶς ἤκουσε. περιποιήσεως δὲ μείζονος καὶ ἐλάσσονος οὐδαμοῦ παραδεδομένης, ὡς περιποιητικῶν πρὸς περιποιητικὰ διαφορὰν εὑρεῖν οὐπάνυ τοι ῥᾴδιον. οὐδὲ γὰρ μᾶλλον ἁπλῶς, ἢ πῇ συντασσόμενον, περιποιητικὸν ἂν εἴη τὸ, ἐχρησάμην πάμπολλα τῷ ἀνδρί. ταυτὸν ὂν τῷ, δίδωμί σοι χρήματα. ὁπότε διαφορᾶς ὁποιασδήτινος καὶ τούτων ὑποτεθείσης, ὥσπερ τὰ τῇ ἐνεργείᾳ διαφέροντα, ἐνεργητικὰ ἁπλῶς, οὐμὴν ὡς ἐνεργητικὰ ἤκουσεν, οὕτω τοι καὶ ταῦτα περιποιητικὰ ἁπλῶς δίκαια ἂν εἴη καλεῖσθαι, νῦν δὲ διαφορᾶς τῆς κατὰ περιποίησιν μὴ

σιν μὴ παραδεδομένης, οὐδὲ ὡς περιποιητικῶν πρὸς περιποιητικὰ διαφορὰν ἔσιν διδοῦναι. ἡ γὰρ δοτικὴ, (ὑπεξαιρουμένης τῆς τῶν αὐτιπιπτικῶν καὶ τῆς προθετοπτώτου,) τῷ τὸ περιποιεῖσθαι ἁπλῶς εἰληφέναι φησὶ, παίζειν. ὥσπερ δὴ καὶ ἡ κτηματολογίαις ἁπλῶς αὐτὴ οὖσα γενικὴ, οὐδ' αὐτὴ διαφοράν τινα οἶδεν ἐν τοῖς ῥήμασιν ὡς κτητικῶν πρὸς κτητικά. κτητικὰ γὰρ ἁπλῶς ἤκουσε παρ' Ἀπολλωνίῳ τὰ παρὰ τῷ Θεοδώρῳ ὡς κτητικὰ καλούμενα ῥήματα. οὐμὴν ἀλλὰ καὶ αὐτὸς ὁ Θεόδωρος τῶν ἑτέρων ῥημάτων τὰ δοτικὴν περιποιητικῶς συναπτόμενα, τὰ αὐτὰ ἐφεξῆς ἐν θαμὸν, ὡς περιποιητικὰ, ἐν θαμὸν δὲ, περιποιητικὰ ἁπλῶς καλῶν, δῆλός ἐσι μηδ' αὐτὸς διαφορὰν εἰδὼς ὡς περιποιητικῶν ῥημάτων πρὸς περιποιητικά. ἐμοὶ μόνον δὲ τὰ κατ' ἐκπομπὴν, ἀλλὰ καὶ τὰ κατ' εἰσπομπὴν περιποιητικῶς ἐσι λαβεῖν. φείσασθαί μοι τῆς παιδαρίου. β', Βασιλ: κφ: ιη'. Εἰη δ' ἂν περιποιητικὰ μὲν ἁπλῶς, ὧν ἡ δοτικὴ οὐχ ὁμολογεῖ τὸ προσδιατίθεσθαι. οἷον, δίδωμί σοι, λέγω σοι. ὡς περιποιητικὰ δὲ, ὧν ἡ δοτικὴ προσδιατίθεται, εἴτ' ἔν πάχει, μὴ αὐτιδρῶσα. οἷον τὸ, λαβδίω σοι, προσβάλλω σοι, μέμφομαί σοι, λοιδοροῦμαί σοι, κελεύω σοι. τὸ μὲν γὰρ αὐτῆς, σεπτικὸν, τὰ δὲ, τῆς ἐπιδεικτικῶν, τὸ δὲ, τῆς προβεπτικῶν. Δῆλον δ' ὅτι τὸ μὲν ποιῶ σοι ἀγαθὰ, ἔρρω, τὸ δὲ, ποιῶ σοι κακὰ, ἔ, ἀλλὰ, ποιῶ σε κακά. καθ' ὅ, τι ἡ κακοποίησις ἀπὸ τῆς περιποιήσεως, εἴτ' ἔν οἰκειώσεως, ἀλλὰ τῆς ἀλλοτριώσεως τυγχάνει. εἰ μήτιγε ἡ δοτικὴ τὸ ποιῶ σοι κακὰ, σωσπακουμένην ἔχει τὸ ἐπί.

Εἰλήφθω δὲ ὡς περιποιητικὸν καὶ τὸ, δηλόω, πιστόω, καὶ ὑπηρετῶ, καὶ ἀκολουθῶ, καὶ εἴκω, καὶ τὰ ὅμοια.

Ὁμοίως ἐπὶ δοτικῶν καὶ ταῦτα φέρε. τῶν δὲ καθ' αὐτοῖς ἐγκειμένων ἐνεργειῶν εἰσι περιποιητικὰ, καθ' ὑπαργίαν αὐτὰς ἐκτελοῦντα. τὸ δὲ δηλοῦν πάσης ὑπηρεσίας ἐμπεριεκτικόν τί ἐσιν. ἧς τὰ εἴδη πάλιν ἐπιμεριζόμενα τῇ ἐνεργητικῇ διαθέσει, τῷ αἰτιατικῷ ἀπαιτεῖ. ξίβω σε, λέω σε, νίπτω σε, κείρω, κοσμῶ, αὐῶ, αὐαδῶ, αὐαπλέκω, λαμπρύνω, φαιδρύω. καὶ δὲ περιποίησιν, ὡς εἴρηται, λαμβανόμενα, δῆλον ὅτι δοτικὴν ἀπαιτεῖ, τῆς ἐνεργείας πάλιν πρὸς τὴν σωεννοουμένην αἰτιατικὴν ἀφορώσης. ξίβω σοι, καὶ τὰ λοιπά. καὶ τὸ εἶκειν δὲ πάσης περιποιητικῆς διαθέσεως ἐμπεριεκτικὸν ὄν, ὁμοίως καὶ τὸ ὑποχωρεῖν πᾶσι, τῷ αὐτῷ λόγῳ εἰς δοτικὴν κατήντησεν. Ἀλλ' ἄπορον, πῶς τὸ μὲν δηλόω, καὶ εἴκω, ὡς πάσης ὄντα ὑπηρετικῆς περιποιήσεως ἐμπεριεκτικὰ, δοτικῇ συναπτόμενα Ἀπολλ, τὰ δὲ κατ' αὐτὸν ἐμπεριεχόμενα τοῖς εἴδη, οἷα τὸ ξίβω, λέω, νίπτω, καὶ ἄλλα ἄττα τῆς ἐπὶ σωματικὴν διαθέσιν ἀναφερομένων, αἰτιατικῷ ἀπαιτεῖ; καὶ γὰρ τὸ αὐτῆς κατηγορούμενον γένος περιποιητικὰ ἂν εἴη καὶ αὐτά. εἰ γ' ὅταν ἕτερον καθ' ἑτέρου, ὡς καθ' ὑποκειμένου λέγηται, ὅσα καὶ τῶν κατηγορουμένων λέγεται, τοσαῦτα καὶ καὶ τῶν ὑποκειμένων ῥηθήσεται. τὰ δὲ περιποιητικὰ δοτικῷ ἀπαιτεῖ, ἄρα. οὐδὲ γὰρ ἔσι λέγειν, ὡς τὰ ἐμπεριεχόμενα οὐδαμοῦ καὶ τοῦ σφῶν γένους, ἐνεργείᾳ δὲ εἰσὶν ἐνεργητικὰ, τὰ δὲ ἐνεργητικὰ αἰτιατικῇ σωτάσσεται. καὶ γὰρ καὶ τῆς ἐνεργητικῶν αὐτῷ τὰ ὑπαργικῶς, καὶ ἁπλῶς καὶ περιποίησιν ἐνεργοῦντα, δοτικῷ πάλιν ἀπαιτεῖ. ὁ δὲ νίπτων, καὶ λέων, καὶ κοσμῶν, καὶ τοιαῦτ' ἄττα ποιῶν, ὑπαργικῶς καὶ ὡς εἰπεῖν δηλικῶς ἐνεργεῖ, ἄρα. ἢ ὅτι οὐχὶ καθ' αὐτὸ, καὶ δὲ συμβεβηκὸς, καὶ ὡς εἰπεῖν ὁμωνύμως, εἴρηται γένος τῶν τοιούτων τὸ δηλόω, εἴγε τὰ

εἴγε τὸ μὲν γένος συνεισάγεται τῷ εἴδει, τὸ δὲ δουλεύω οὐ πάντως τῶν ἐμπεριεχομένων τινὶ συνεισάγεται. οὐδὲ γὰρ ἀνάγκη τὸν τέμνοντα, ἢ νίπτοντα, καὶ δοῦλον εἶναι, ἢ δουλικῶς ταῦτα ποιεῖν. εἴη γὰρ ἄν, εἴπερ, ἅπας ἰατρὸς, δοῦλος τοῦ ἰατρευομένου.

Περὶ Συγκειμένων.

Δῆλον δ' ἐκ τούτων

Τῶν ἁπλῶν δηλαδὴ

Καὶ ὅπως τοῖς Συγκειμένοις χρησόμεθα.

Τροπικὸν ᾧδε τὸ ὅπως, οὐκ αἰτιῷδες.

Ἐκ γὰρ τῶν εἰρημένων ἁπλῶς, συνθέντες, ὡς ἂν τὰ παρὰ τῆς χρείας καὶ διανοίας ἀπαιτῇ, φθεγξόμεθα.

Ἡ παρὰ, παρ' ἄλλοις οὐ κεῖται. δῆλον δὲ, ὡς χρείας μὲν μὴ ὑπούσης, τὰ τῶν συνθέτων εἴδη οὐκ ἀπαιτεῖται ἐν τῇ συντάξει. χρείαν δ' ἐκληπτέον τὸν προσδιορισμὸν ἢ τοῦ κατ' ἐνέργειαν πράγματος, ἤ τοῦ τῶν αἰτίων, ἢ καὶ τοῦ τρόπου, εἴ τ' οὖν συγκατηγορήματος. χρείας γοῦν μὴ οὔσης μὲν, ἁπλῶς φθεγγόμεθα, οὔσης δὲ, καὶ πῇ. πῇ δὲ φθεγγόμενοι, ἤτοι διαβατικῶς φθεγγόμεθα, ἢ αἰτιολογικῶς, ἢ ὀργανικῶς, ἢ τελικῶς, ἢ εἰδικῶς, ἢ συγκατηγορηματικῶς.

Διαβατικῶς.

Ἤτοι διαβατικῶς,

Τὸ, φθεγξόμεθα, ἀπὸ κοινοῦ.

Εἰ δεῖ τοῦ κατ' ἐνέργειαν πράγματος. οἷον, ὠφελῶ ἀνοὺς τὰ δυνατά. παρέχομαι χρήματα ἀνδρὶ πένητι.

Λγ.

Τῶν μεταβατικῶν τὰ ἁπλᾶ, ἀπροσδιόριστα, ὡς εἴρηται, ἔχει τὰ τῆς ἐνεργείας. ταύτης δὲ προσδιοριθείσης τῇ κατ' αἰτιατικὴν προσθήκῃ τοῦ πράγματος, καθ' ὃ ἡ ἐνέργεια, διαβατικὸν τὸ εἶδος ἀκούει, ἐκ τοῦ διαβιβαζομένου κατ' ἐνέργειαν πράγματος παρονομασθέν. ἡ ἄρα συνεκδοχικὴ αἰτιατικὴ τὰ ἁπλᾶ συντιθεῖσα, τὰ καθόλου κατάγει εἰς μερικὰ, εἰδοποιοῦσα τὰ καθ' ἑαυτὰ, ὅ ἐστιν ἐνεργείᾳ ἀνείδεα γένη, καὶ διορίζουσα τὰ ἀόριστα. καὶ ἁπλῶς ταὐτὸν δύναται ταῖς συστατικαῖς τε καὶ εἰδοποιοῖς τῶν διαφορῶν, προστιθεμέναις τοῖς γένεσιν. ὡς κἀντῷ, κέκλυτέμευ τρῷες μῦθον ἀλεξάνδροιο, ἰλ. γ. ἐν ᾧ ὁ Πρίαμος ἐγκελεύεται τοῖς τρῷσιν ἀκοῦσαι ἑαυτοῦ τὸν τοῦ ἀλεξάνδρου λόγον. Θουκυδ: α'. ἐπειδὴ δὲ τῶν ξυμμάχων ἤκουσαν οἱ λακεδαιμόνιοι τὰ ἐγκλήματα τὰ ἐς τοὺς ἀθηναίους. καὶ, νῦν ἄλλων τοῦτο δεησόμενοι ἥκομεν. ἐξ ὧν δῆλον ὡς τὸ διαβατικὸν εἶδος τὸ καθ' ὃ σημαίνειν δοκεῖ. ἔστι δὲ τὸ αὐτὸ καὶ συνεκδοχικόν. ᾗ συνεκλαλεῖ τῷ γένει τὸ εἶδος, ἢ καὶ τὸ ἄτομον. οἷον, διδάσκω σε τὸ δὶ τὸ θεώρημα, καὶ ἁπλῶς τῷ μᾶλλον τὸ ἧττον. καὶ τῷ ἀορίστῳ τὸ διορίζον. Ἡρόδ: δὲ τὰ κατὰ περιποίησιν διαβατικὰ, ἐναλλάξας τὰς πτώσεις, ὀργανικῶς συνέταξεν ἐν τῇ δ', τὸν ἀρχιτέκτονα (τῆς σχεδίης) Μανδροκλέα τὸν σάμιον ἐδωρήσατο (ὀξέρξης) παισὶ δέκα. καὶ χρστ: ὁμ: ιδ'. πρὸς ῥωμ: κφ'. ἡ. ὁ γὰρ τοὺς οὐδὲν κατωρθωκότας τοσούτοις δωρησάμενος ἀγαθοῖς, κτ', ἐν οἷς οὐχὶ ἡ αἰτιατικὴ, ἡ δὲ δοτικὴ ἐκδέχεται τὴν τοῦ ῥήματος μετάβασιν, τοῦ οὐχὶ δοτικὴν, ἀλλ' αἰτιατικὴν ἀπαιτοῦντος. εἰ τοίνυν χρεία ἐν τῷ λόγῳ μόνης αὐτῆς τῆς ἐνεργείας, ἁπλῶς φθεγγόμεθα, ὡς ἐλέγετο, οἷον, δεδάσκω σε, δέομαί σου, δίδωμί σοι. εἰ δὲ καὶ τοῦ κατ' αὐτὴν πράγματος, τοῦ καθ' ὅ φημι ἡ ἐνέργεια γίνεται, εἴ τ' οὖν τῆς εἰδικῆς ἐνεργείας, διαβατικῶς φθεγγόμεθα ἐγκειμένης.

οἷον,

οἷον, διδάσκω σε γραμματικά. δέομαί σου τὰ δίκαια. δίδωμί σοι χρυσίον. ἐν δὲ τῷ ἰλ. α. ὡς ἔμ' ἀφαιρεῖται χρυσηΐδα φοῖβος Ἀπόλλων. καὶ, περὶ γὰρ ῥά ἑ χαλκὸς ἔλεψε φύλλα τε καὶ φλοιόν. κἀν τοῖς τοιούτοις ἡ αἰτιατικὴ κατὰ μὲν τὸ ἁπλοῦν εἶδος τῆς συντάξεως, ὁλότητα σημαίνει, οἷον, περιέλεψέν ἑ, κατὰ δὲ τὸ σύνθετον, δήλωσιν μέρους, ἤτοι κατὰ τὰ φύλλα καὶ τὸν φλοιόν. ὡς κἀν τῷ, ἀφαιρῶ σε, τὸ ὅλον. τὸ δὲ, χρήματα, τὸ μέρος. τοιοῦτο καὶ τὸ, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; τὰ δὴ τοιαῦτα οἱ μὲν, ἀντιπτωτικῶς θεραπεύειν πειρῶνται, ἀντὶ γενικῆς λαμβάνοντες τῶν αἰτιατικῶν τὴν τὸ ὅλον ὑπαγορεύουσαν, οἱ δὲ, συνεκδοχικῶς, προσλαμβάνοντες πρόθεσιν ἔξωθεν, τοῦτο δὲ μάλιστα ἐκδηλότατον ἀπὸ τοῦ ἐντελῶς ἐν ὀδυσσείᾳ ῥηθέντος. εὖ τ' (ἤτοι ὅταν) ἄν μιν κάματος κατὰ γυῖα λάβησιν. ὅπερ, εἰδίχα προθέσεως ἐρρέθη, εὖ τ' ἄν μιν κάματος γυῖα λάβησιν, ὅμοιον ἦν τοῖς προκειμένοις. ὧν καὶ τὸ, τί δέ σε φρένας ἵκετο πένθος; καὶ τὸ, ἐπεί μιν ἄχος κραδίην τε καὶ θυμὸν ἵκανε. καὶ τὸ, Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας. καὶ τὸ, ἄχος τέ μιν ἵκετο θυμόν. καὶ, κρατερὸν ῥά ἑ πένθος ὀφθαλμοὺς κάλυψε. καὶ, τοὺς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλαβε γυῖα. καὶ, τρῶας δ' ἄχος ἔλαβε θυμόν. καὶ ἄλλα μυρία. ἃ καὶ δοκεῖ μὲν τοῦ διαβατικοῦ εἴδους εἶναι, οὐκ εἰσὶ δὲ, ἀλλὰ τῶν ἁπλῶν ἐστιν, ἔχοντα τῷ ὅλῳ καὶ τὸ μέρος ὁμοιοπτώτως συνεκφωνούμενον διὰ σαφήνειαν. (οὐ γὰρ τὸ κατ' ἐνέργειαν πρᾶγμα προσδιορίζει ἡ ἐν τούτοις αἰτιατικὴ, οὐδὲ τὴν τοῦ ῥήματος ἐνέργειαν εἰδοποιεῖ, τὸ δὲ μέρος τοῦ ὅλου περιγράφει.) ὡς καὶ ὅτε λέγει ὁ ποιητής. πρύμνῃ ἐνὶ νηΐ. ὅλον μὲν γὰρ, ἡ ναῦς, μέρος δὲ, ἡ πρύμνα. καὶ, οὐκ Ἀτρείδει ἤνδανε θυμῷ. ἰλ. α. ὅλον μὲν γὰρ, ὁ ἀτρείδης, μέρος δὲ, ὁ κατ' αὐτὸν θυμὸς, εἴτ' οὖν ἡ καρδία. ἐν οἷς ἅπασι καὶ τοῖς ὁμοίοις ἤτοι τοῦ μέρους ληφθέντος ῥηματικοῦ, τὸ ὅλον ἔσται ἀντιπτωτικῶς κείμενον, ἢ τοῦ ὅλου ληφθέντος ῥηματικοῦ. τὸ μέρος ἔσται προθετικὸν συνεκδοχικῶς. οὐκ ἀπέοικε δὲ τούτων οὐδὲ τὸ ὀδ: θ, ἡ δ' ἄρα κύπρον ἵκανεν ἀφροδίτην ἐς πάφον. καὶ, ἴδην δ' ἵκανε γάργαρον. καὶ, ἐς λήμνον ἐϋκτίμενον πτολίεθρον. καὶ, κικόνεσσι πέλεσσεν ἰσμάρῳ. ἐν οἷς προηγησαμένου τοῦ ὅλου, ἐπηνέχθη τὸ μέρος ὁμοιοπτώτως τοῦ σαφοῦς χάριν. ἔστι δὴ οὖν κἀν τοῖς τοιούτοις τὸ μὲν μέρος ἤτοι προθετικὸν, ἢ ῥηματικὸν, τὸ δὲ ὅλον ἀντὶ γενικῆς κτηματολογούσης. ἵν' ᾖ τοῦ κύπρον ἵκανεν ἐς πάφον, τὸ κοινὸν τοιοῦτο, ἵκανεν ἐς τὴν τῆς κύπρου πάφον. τὸ δὲ διαβατικὸν καὶ ἑτέρως πέφρασται παρ' ἰσοκράτει ἐν τῷ πλαταϊκῷ. περὶ τούτων ὑμᾶς πειρασόμεθα διδάσκειν. καὶ, περὶ τούτων δεησόμενοι πάρεσμεν. κἀν τῷ πρὸς Δημόν: περὶ τῶν ἀπορρήτων μηδενὶ λέγε. ἡ γὰρ τὸ περὶ ὃ αἰτιολογοῦσα ὧδε προθετόπτωτος γενικὴ, ἀντὶ τῆς τὸ καθ' ὃ αἰτιολογούσης αἰτιατικῆς κεῖται. ἐν ἴσῳ γάρ ἐστι τῷ, τὰ ἀπόρρητα μηδενὶ λέγε. ταῦτα δεησόμενοι (ὑμῶν) πάρεσμεν. ταῦτα ὑμᾶς πειρασόμεθα διδάσκειν. σπάνιον δὲ τὸ διαβατικὸν ἐπὶ τοῦ β', εἴδους τῶν ἁπλῶν, τῶν κατ' εἰσπομπὴν λέγω. πλεονάζει δὲ μάλιστα ἐπὶ τοῦ α', καὶ, γ', τοῦτε κατ' ἐκπομπὴν καὶ τοῦ κατὰ περιποίησιν.

Αἰτιολογικῶς.

Τέτταρά εἰσι τὰ αἴτια παρὰ τῷ φίφῳ. ποιητικὸν, ὑλικὸν, εἰδικὸν, καὶ τελικὸν, (τὸ γὰρ παραδειγματικόν τε καὶ ὀργανικὸν, τὸ μὲν, εἰς τὸ ποιητικὸν, τὸ δὲ παραδειγματικὸν, εἰς τὸ εἰδικὸν ἀνάγεται) προθετικοῖς μορίοις τοῦ συντόμου χάριν ἕκαστον αὐτῶν ὑποδηλούμενα. καὶ ποιητικὸν μὲν, ἡ ἐνέργεια

Τῶν Κυρίως Ἐγκλίσεων

- Κοινὸν μὲν
  - τὸ Ἀποφαντικόν.
  - καὶ τὸ πάσας ὡς ἐπὶ κοινῷ αὐτῶν ὀνόματι τῷ ἀπαρεμφάτῳ ἀναλύεσθαι, προσκειμένου τοῦ ἑκάστης ἰδιώματος.
- Ἰδίωμα δὲ
  - Τῆς μὲν Ὁριστικῆς τὸ τινὸς τι καταφάσκειν, ὅ ἐστιν ὁρίζειν,
  - Τῆς δὲ Προστακτικῆς τὸ προστάττειν. τῆς δὲ συλλητικῆς τὸ ὑποτιθέναι.
  - Τῆς δὲ Εὐκτικῆς τὸ εὔχεσθαι.
  - Τῆς δ' Ὑποτακτικῆς οὐσιῶδες μὲν οὐδέν. διὸ οὐδ' ἀνάλυσις αὐτῆς ἐστιν ὡς οὐδὲ ἐγκλίσεως. ἐπουσιῶδες δὲ,
    - Ἀποτελεσματικῶς μὲν, ἐφ' ὁντιναοῦν χρόνον.
    - Αἰτιολογικῶς δὲ, ἐπὶ μόνον παρῳχημένον.
    - φερομένης.
  - Τοῦ δ' ἀνεγκλίτου Ἀπαρεμφάτου.
    - Τὸ αἰατικὴν περιέχειν ἐκά, εἴτ' οὖν ἀμεταβάτως. ἐπεὶ ὥστε ῥῆμα τὴν τοῦ ῥήματος διάφορον ἐκγ', ἕξει μετάβασιν,
    - Καὶ τὸ κατὰ πᾶν πρόσωπον καὶ πᾶντα ἀριθμὸν πάσαις ταῖς ἁπλῶς τε καὶ τῇ συνταυτομέναις ἐγκλίσεσι, καὶ ἑαυτῷ δὴ συνάπτεσθαι.
      - τελικῶς μὲν, κατά τε ἐνεστῶτα καὶ ἀόριστον.
      - εἰδικῶς δὲ
        - ἀφηγηματικοῖς μὲν καὶ δοξαστικοῖς καὶ γνωστικοῖς, καθ' ὁ, τιοῦν μέρος, (τοῦ χρόνου,
        - ἐπαγγελματικοῖς δὲ καὶ πρὸς τὸ μέλλον παρωνύμοις, κατά τε μέλλον καὶ ἐνεστώς.
    - Τὸ ἀντὶ ὀνόματος παραλαμβανόμενον, καὶ ἄρθροις ἐπιπλέκεσθαι.

Τείνουσι δὲ τῶν ἐγκλίσεων

- Τῇ μὲν Ὁριστικῇ οἵτε διαβεβαιωτικοὶ καὶ αἰτιολογικοὶ τῶν συνδέσμων, καὶ τὰ ἀποφατικὰ τῶν ἐπιῤῥημάτων.
- Ταῖς δ' ἄλλαις σὺν τῷ Ἀπαρεμφάτῳ,
  - Ἁπλῶς μὲν, τὸ ἀπαγορευτικὸν μή.
  - Ἰδίως δέ τοι
    - Τῇ μὲν Προστακτικῇ ἥτε κλητικὴ καὶ τὰ παρακελευστικὰ τῶν ἐπιῤῥημάτων.
    - Τῇ δὲ Εὐκτικῇ τὰ εὐκτικά.
    - Τῇ δὲ Ὑποτακτικῇ τῶν συνδέσμων οἱ ἐπιζευκτικοί, ὧν ἐστι καὶ ὁ τῷ ἐὰν ἰσοδύναμος ἀοριστολογικὸς ἄν.
    - Τῇ δὲ Ἀπαρεμφάτῳ τοῦ σαφεστέρου χάριν, ἢ τὸ ὥστε, ἢ ἐλλειπτικὸν τὸ τοῦ, ἢ προθετικὸν ὁμοῦ ἄρθρῳ, ἐφ' ὃ, διὸ.

Τοῦ Ῥήματος

- Τὸ μὲν, Παρώνυμον, οὗ
  - Τὰ μὲν, Βαρύτονα.
    - εἰς ίζω. βασανίζω. κλυδωνίζω. πτωχίζω, πλουτίζω. ἑλληνίζω. ἐλπίζω.
    - εἰς εύω. πτωχεύω. κολακεύω. παιδεύω. χορεύω, νηστεύω.
    - εἰς άζω, μετριάζω. βιάζομαι.
  - Τὰ δὲ, Περισπώμενα.
    - εἰς έω. οἰκέω. πλουτέω. κοσμέω. οἰστρομανέω. φιλοξενέω.
    - εἰς άω. ὁρμάω. μελετάω. ἀγαπάω. μαθητάω.
    - εἰς όω. χαλκόω. ἐρημόω. χρυσόω.
- Τὸ δὲ, Ῥηματικόν. οὗ
  - Τὰ μὲν, κατὰ τύπον ληκτικόν. ὧν
    - Τὰ μὲν, ἀπὸ βαρυτόνων.
      - εἰς βαρύτονα. ὧν
        - τὰ μὲν, ἀπ' ἐνεστῶτος. ὧν τύποι.
          - ᾶθω. ἔθω. ῦθω. διωκάθω. φλεγέθω, μεννύθω.
          - ᾶνω. μάθω. μανθάνω. λάμβω λαμβάνω.
          - ᾶζω. στένω. στενάζω.
        - τὰ δὲ, ἀπὸ παρακειμένου. κέκραγα, κεκράγω.
        - τὰ δὲ, ἀπὸ μέλλοντος, ὧν τύποι
          - σκῶ. διδάσκω. θνήσκω. πλεονασμῷ τοῦ κ.
          - εῖω. τὰ ἐφετικά. βρώσω. βρωσείω.
      - εἰς περισπώμενα. τύπτω, τυπτέω. μάθω, μαθέω.
    - Τὰ δὲ, ἀπὸ περισπωμένων.
      - εἰς βαρύτονα. τελείω παρὰ τὸ τελέω τελῶ. αἰάω, αἰάζω.
      - εἰς μῖ. τιθέω, τίθημι.
  - Τὰ δὲ, κατὰ παραλήγουσαν. ὧν
    - Τὰ μὲν, ἀπὸ δισυλλάβων τῷ ε, παραληγόντων κατὰ τροπὴν τοῦ ε.
      - ἤτοι εἰς ῖ, τέκω, τίκτω. μένω, μίμνω. ἔχω, ἴχω.
      - ἢ εἰς ῶ, πλέω. πλώω.
    - Τὰ δὲ, ἀπὸ τῆς γ', τῶν περισπωμένων εἰς τὴν β', γελόω, γελάω.

σκομένους, καὶ ὅτι μαλθακοί τε καὶ ἀγεννεῖς εἰσι. ταὐτὸν γὰρ, εἰ ἔλεγε, μαλθακούς τε ὄντας καὶ ἀγεννεῖς. ἢ ἐπειδὰν ὁρᾷς τοὺς πλουσίους, ὅτι ἐκ μόνης οἰμωγῆς διαγινώσκονται. καὶ τὸ, πυνθανόμενοι δὲ οἱ ἐν τῇ πόλει τὴν παλήνην ἀτείχιστον οὖσαν, ἐν ἴσῳ ἐστὶ τῷ, ἀκούω εἴτ' οὖν πυνθάνομαι ὑμᾶς Δολοβέλᾳ δεδωκέναι χρήματα. (Γινώσκω) Λουκ': ἐν τῷ διογ': καὶ ἡρακλ: πῶς οὖν ἀκριβὴς ὢν ὁ Αἰακὸς, οὐκ ἔγνω σε, μὴ ὄντα ἐκεῖ; κἀν τῷ περὶ τῶν ἐπὶ μισθῷ συνόντων. ἴσασι γὰρ ἐν τῷ τυχεῖν τὴν διάλυσιν τοῦ ἔρωτος γενησομένην. κἀν τῷ, πῶς δεῖ ἱστορίαν ξυγγράφειν. οἶδα μὲν οὖν οὐπάνυ πολλοὺς ἐπιστρέψων, ἐνίοις δὲ καὶ πάνυ ἐπαχθὴς δόξων. κἀν τῷ περὶ ἀληθοῦς ἱστορίας. ἠπίστατο γὰρ ὑπ' αὐτοῦ κολαθησόμενος. καὶ, ἴσθιμε ναυμαχίᾳ χρησάμενον. Ὅτι δὲ ἡ τοῖς γνωστικοῖς συμφερομένη μετοχὴ, ἀντὶ ἀπαρεμφάτου εἰδικοῦ ἐστι, δηλοῖ Θουκδ'. γ, ὑμεῖς δὲ γνόντες ἀμείνω τάδε εἶναι. ἐν τῇ αὐτῇ. πολλάκις μὲν ἤδη ἔγωγε καὶ ἄλλοτε ἔγνων δημοκρατίαν, ὅτι ἀδύνατός ἐστιν ἑτέρων ἄρχειν. ταὐτὸν γὰρ τῷ, ἀδύνατον οὖσαν. Ἐνοῖς ἰστέον ὡς τῶν γνωστικῶν τὸ οἶδα καὶ τὸ ἐπίσταμαι καὶ τὰ ἀπ' αὐτῶν, μετοχῇ μὲν, τὸ εἰδικὸν, ἀπαρεμφάτῳ δὲ ταὐτοπροσωποῦντι, τὸ τελικὸν αἰτιολογοῦσι, συντάσσεται. οἷον, ἐπίσταμαι, ἢ οἶδα ἀναγινώσκειν. ἀντὶ τοῦ ἵνα ἀναγινώσκω. καὶ πάλιν, ἐπίσταμαι πεποιηκώς. οἶδα χειρογραφήσας ἐμαυτὸν χρεώστην. ἀντὶ τοῦ ὅτι πεποίηκα, καὶ ὅτι ἐχειρογράφησα. (Μανθάνω.) ὁμοίως καὶ τὸ μανθάνω, τελικῶς μὲν, ἀπαρεμφάτῳ ταυτοπροσωποῦντι. ὡς τὸ, μάθετε καλὸν ποιεῖν, εἰδικῶς δὲ, μετοχῇ, ὡς τὸ, ὅταν τοῦτο συμφέρον ταῖς ψυχαῖς ἡμῶν καταμάθῃ. καὶ, ὅπερ ἐπὶ τοῦ Ἰὼβ γενόμενον μεμαθήκαμεν. βασίλ: ἐν τοῖς κατὰ πλάτ: ὅρ. 55 (Ἀγγέλλω)

Ἐν δὲ τῇ γ', θουκ: ἠγγέλλοντο καὶ αἱ περὶ τὴν πελοπόννησον τριάκοντα νῆες τῶν ἀθηναίων τὴν περιοικίδα αὐτῶν πορθοῦσαι. Δημοσθ'. ὀλυνθ: β', ὡς γὰρ ἠγγέλθη Φίλιππος ἀσθενῶν καὶ τεθνεώς. ὅτι δὲ καὶ ἡ τῷ ἀγγέλλω συντασσομένη μετοχὴ, ἀντὶ εἰδικοῦ ἀπαρεμφάτου κεῖται δηλοῖ ὁ αὐτὸς ἐν α', ἠγγέλθη αὐτῷ, ὅτι μέγαρα ἀφέστηκε. ταὐτὸν γὰρ τῷ, ἠγγέλθη αὐτῷ ἀφεστηκότα, ἢ ἀφεστηκέναι τὰ μέγαρα. (Δηλῶ) ἐν δὲ τῇ α', καὶ αὐτάγε δὴ ταῦτα δηλοῦται τοῖς ἔργοις ὑποδεέστερα ὄντα τῆς φήμης. Ξενοφ: ἑλλ. β', ὅπως μὴ δῆλος εἴη εὐγενὴς αὐτοῖς ὤν. Ἡρόδ. α'. ὃς δ' ἂν φαίνηται τεθνηώς. κἀν τῇ η', μηδὲ τῶν διὰ ταῦτα ἀναγκαίων μηδὲν ποιοῦντας φανερὸς εἶναι. (ἐπιχώριον ἦν.) Λουκ. ἐν τῷ ἐνυπνύ: εἰ φαινοίμην θεούς τε γλύφων, καὶ ἀγαλμάτιά τινα κατασκευάζων. Ὅτι δὲ ἡ τῷ φαίνομαι καὶ τοῖς τούτῳ συστοίχοις συντασσομένη μετοχὴ, ἀντὶ εἰδικοῦ κεῖται ἀπαρεμφάτου, δηλοῖ καὶ Ἡρόδ. ἐν γ', τόν μοι ὁδαίμων προέφαινε ἐν τῇ ὄψει ἐπαναστήσεσθαι. καὶ Βασιλ': ὅρῳ 55 τῶν κατὰ πλ'τ: ἐμοὶ δὲ καὶ πρὸς ἐγκράτειαν οὐμικρὸν συντελεῖν ἡ τέχνη φαίνεται. (Δείκνυμι) Θουκδ'. β', ἐν οἷς ἀπέδειξα οὐκ ὀρθῶς αὐτὸν ὑποπτευόμενον. κἀν τῇ γ', παράδειγμα σαφὲς καταστήσατε, ὃς ἂν ἀφιστῆται, θανάτῳ ζημιωσόμενον. Ἡρόδ. η', νῦν τις διαδεξάτω ὑμέων Βασιλέως κηδόμενος. Ὅτι δὲ καὶ αἰτῷ δείκνυμι καὶ τοῖς τούτῳ συστοίχοις συντασσόμεναι μετοχαὶ, οἷον, τὸ δηλῶ, ἢ δῆλον ποιῶ, ἐλέγχω, ἀντὶ εἰδικοῦ κεῖνται ἀπαρεμφάτου, δηλοῖ Θουκδ'. ἐν γ', προδειξάντων ὑμῶν τὴν αὐτὴν ζημίαν τοῖς ἀδικοῦσιν ὁμοίως κεῖσθαι. κἀν τῇ... ἀπισχυρισάμενοι δὲ, σαφὲς ἂν καταστήσετε αὐτοῖς ἀπὸ τοῦ ἰδίου ὑμῖν μᾶλλον προσφέρεσθαι.

(Φωρῶ.)

(Φωρᾶ.) ἐνδὲ τῇ ά, δείσας μὴ παύσῃ φωρᾶ. ϑῇ ἀδωκάπος ὢν. Σωκρ. οὐτῷ περὶ βασιλ', μὴ φωραθείητε ὑπὸ τῆς ἀνῶν ὄντες ἄνοι. τὸ δὲ ἐν τῇ γ', Θεκδ': ϑαυμάζω δὲ, ὅστις ἔσαι ὁ ἀξιώσων τὰς μὲν μιτυληναίων ἀδικίας ἡμῖν ὠφελίμους ὄσας, τὰς δ' ἡμετέρας ξυμφορὰς τοῖς ξυμμάχοις βλάβας καθισαμένας. ἐνήλλαξ). τὸ γὰ ἀξιῶ, ἀπαρεμφάτῳ σωτάσσεται, ὡς ἐπιτοπλεῖσον μὲν, τελικῷ, ᾧδε δὲ, εἰδικῷ. (Μέμνημαι) Καὶ τῆς φροντιστικῶν δὲ τὸ μέμνημαι μετοχῇ ἔσιν ὅτε σωτάσσεται, τὸ καθ' ὁ αἰτιολογέσῃ. (Λήθω.) ὁμοίως καὶ τὸ ἐπιλανθάνομαι. Γρηγόρ: οὐτῷ περὶ φιλοπτωχ': ἐπελαθόμεθα σάρκες ὄντες, καὶ τὸ σῶμα τῆς ταπεινώσεως περικείμενοι. πρὸς δὲ, καὶ τὸ γέγραπται, προσωπικῶς εἰλημμένον. Βασίλ. ἐντοῖς καὶ πλτ'. ὅρους. ὃς τοιούτοις ἔλκεσι συνεχόμενος, ἐδαμοῦ γέγραπται ὅτε αἰτήσας τι τὸν πλέσιον, ὅτε δυσαρεσηθεὶς τοῖς παροῦσιν. (Εὐρίσκω) κατὰ ταὐτὰ δὲ καὶ τὸ εὑρίσκω. ὁ αὐτὸς οὐ τῷ αὐτῷ. ὄρομαι δὲ καὶ ἄλλην αἰτίαν ἀῤῥωσημάτων τοῖς ἀγίοις συμβαίνουσαν. Καὶ Ἀθανάσ. οὐτῷ κατὰ ἑλλήνων, διείσηται δὲ ὁ Θ' ἑτέροις καὶ ἀχ ἑαυτῷ τοῦτος δημιεργήσας. (Διανοοῦμαι) τὸ δὲ διανοοῦμαι, ἐπαμφοτερίζει, ὁτὲ μὲν, ἀπαρεμφάτῳ, ὁτὲ δὲ, μετοχῇ εἰδικῶς καθ' ἑκάτερα σωπασόμφων. Θεκδ'. ά, καὶ αὐτόθεν δὴ διανοήθητε, ἢ ὑπακέειν, ἢ (εἰ πολεμήσομφ) μὴ εἴξοντες, μηδὲ σωφάβῳ ἔξοντες, ἃ κεκτήμεθα. τῆς γὰ σωδέσμων τὰ ὅμοια σωαπτόντων, ἔδει εἰπεῖν, ἢ τοι ὑπακέσοντες, ἢ μὴ εἶξειν μηδὲ ἔξειν. ὁ δὲ, οὐτῷ ά, δι' ἀπαρεμφάτε ἐξήνεγκεν, εἰς σύνδειξιν τε ὅτι καὶ αἱ ἐξῆς μετοχαὶ, αὐτὶ εἰδικε ἀπαρεμφάτε κεῖνται.

Ε'λλειπτικῶς.

Η' ἐλλειπτικῶς τῆς κατά.

Ε'ν μὲν τῷ ά, ἐλλειπτικῷ τῷ εἰς γενικὸν, μὴ ὂν ὡσημένον τὸ ἐλλεῖπον μόριον, ὑπροσετέθη, οὐδὲ τῷ β', μόνη ἡ κατὰ, ἐλλείπουσα, διώρισαι.

Δῆλον δ' ἐκ τῆς τῶν τόπων ἐνθέσεως.

Οὓς τέτταρας ὄντας, δι' ὧν μὴ τοὺς τόπους τε εἰδικε ἐκτίθεται.

Τόποι τε τελικε.

Τόποι δὲ τε μὲν τελικε, ἔνθα τὸ ἵνα ἁρμόττει. οἷον, τάττωσε ἵνα προηγῇ τῆς ἄλλων.

Ἵνα, τὸ τε δι' ὅ, ὑ τὸ τε ὑφ' ε αἰτιολογικόν.

Τε δὲ εἰδικε, ἔνθα τὸ ὅτι.

Τὸ βεβαιωτικόν, ὑτὸ αἰτιολογικόν.

Φασὶν ὅτι ἐληλύθασιν οἱ περὶ τὸν βασιλέα.

Οὐχ ὑποδύσκολον διαγνῶναι πότερον τῆς αἰτίων αἰτιολογεῖ τὰ ἀπαρέμφατα. μεταλαμβανόμενα καὶ γὰ εἰς μὲν τὴν ὑποκειτικὴν ἐγκλισιν, τε τελικε αἰτίε τυγχάνει σημαντικά, εἰς δὲ τὴν ὁριστικὴν, ἢ δυνατικὴν, τε εἰδικε. Θεκδ'. ἡ, οἱρατιῶ) διεβόων τὸν τισαφέρνην πάσι τενὰς ἀκομίζειν, καὶ ξοφὸν ὅτι ἐξωεχῶς δίδοις, κακοὶ τὸ ναυτικόν. αὐτὶ τε ὅτι τε ναῦς ἀκομίζει, καὶ τὸ, ὅτι κακοί. Ε'νθαγεμὲν ὑδέτερον τῆς δύο οἷν αἰτιολογεῖ τὸ ἀπαρέμφατον, προθετόπτωτον μὲν, ἢ σωάρθρον ὄν, αὐτὶ ὀνόματος ἔχει τὴν χρῆσιν. οἷον, ἐκ τε γράφαι, ἢ ἕνα τὸ γράφαι ὠφέλησα. καὶ τε φιφεῖν ὑδὲν ἦδιον.

φθείρει. ὡς εἶναι τὸν ἑαυτῷ μόνῳ περιγράφοντα τὴν αὐτοπάθειαν πῇ προσδιορισμὸν, οὐδενὸς, ἀλλ' ἢ τοῦ καὶ αὐτοῦ μέρους ὄντος, ἧς τὸ αὐτοῦ μέρος φθείρει κοινότητος, Ἀλλ' ἀπορήσεις. ὑποκείσθωσαν δύω δεκαδικαὶ κοινότητες, ἡ μὲν, ἀνῶν, ἡ δὲ, ταλάντων. καί τις τῶν κοινωνικῶν ἀνδρῶν τούτων, φθειρέτω τὴν κοινότητα τὸ αὐτοῦ μέρος, τὴν μὲν τῶν ἀνδρῶν, ἑαυτὸν, τὴν δὲ τῶν ταλάντων, τὸ ἐπιβάλλον οἱ τάλαντον φθείρων. ὁ γοῦν μὴ ἑαυτὸν, τὸ δὲ ἐπιβάλλον οἱ τάλαντον φθείρων, πῶς ἂν λέγοιτο, ἢ τὸ ἑαυτοῦ μέρος φθείρειν τὰ κοινὰ τάλαντα, ἢ ἐνεργεῖν τε καὶ πάσχειν ὁ αὐτὸς, ἑτέρου παρ' αὐτὸν ὄντος τοῦ πάσχοντος μέρους; Ἢ ὅτι καὶ ἡ ἀπὸ τοῦ κεκτημένου ἐπί τι τῶν αὐτοῦ ἐνέργεια, αὐτοπάθειά ἐστι κατὰ τὸν Θεόδωρον, ὥσπερεὶ ἀντανακλωμένη ἀπὸ τοῦ κτήματος ἐπὶ τὸν κεκτημένον. Ἐπεὶ δὲ τοῦ ὅλου τὸ μὲν αὐτοῦ ἐδείχθη ἐνεργοῦν τε καὶ πάσχον τὸ αὐτὸ, τὸ δὲ, οὐδετέρως ἔχον, διὰ τοῦτό φησιν, εἰδέοι δηλῶσαι τὸ ἀπ' αὐτοῦ τοῦ ἐνεργοῦντος καὶ πάσχοντος, οὐ τὸ ἀπ' αὐτοῦ τοῦ οὐδετέρου. Ἀλλὰ γὰρ καὶ τὸ ἀπὸ τούτου δηλῶσαι βουλόμενοι, τῷ αὐτῷ κἀπὶ τούτου προσδιορισμῷ χρώμεθα. Τοῦ γὰρ ᾱ, φθείροντος τὸ αὐτοῦ μέρος τὰ α, β, γ, δ, κοινὰ, αὐτὰ τὸ μέρος τοῦ φθείροντος ᾱ, φθειρόμενα, τὸ λοιπὸν αὐτῶν β, γ, δ, μέρος, οὐ φθείρεται, λέγομεν. ὡς εἶναι τὸ, φθείρεις τὰ κοινὰ τὸ σὸν μέρος, ἑκατέρους ἐπιδεχόμενον τοὺς προσδιορισμούς. οἷον, τὸ σὸν μέρος φθείρεις τὰ τὸ αὐτῶν μέρος μὴ φθειρόμενα κοινά. Τὸ τοίνυν πρόσωπον ἐνεργείᾳ μὲν, τὸν εἰρημένον τρόπον ἐνεργοῦν, ὅ ἐστι μέρος ὂν, ὧν τὸ αὐτοῦ μέρος φθείρει κοινῶν, εἴη ἂν τὸ αὐτὸ καὶ πάσχον, ὡς δέδεικται, αὐτὸ ἑαυτὸ ἐν τῇ τῶν κοινῶν μερικῇ φθορᾷ φθεῖρον, προθέσει δὲ, καὶ ὡς εἰπεῖν δυνάμει, οὐ τὸ αὐτὸ φαίνεται ἐνεργοῦν, τε καὶ πάσχον, ἀλλὰ δύοιν θάτερον, ὡς μηδενὸς ἐνεργείᾳ, ἢ πάσχοντος ἐν τῷ ἐνεργοῦντι, ἢ ἐνεργοῦντος ἐν τῷ πάσχοντι. Χρυσόστμ. λόγῳ περὶ μετάν. καὶ κατὰ νύξ. καὶ εἰς τὸν Ἰωβ, β'.) Τί τοῦ Ἡσαῦ μοχθηρότερον; οὐμρολοίας καὶ προλοίας; οὐκ ἀδελφοῦ φονεὺς, ὅσον εἰς πρόθεσιν; ὃ ταὐτόν ἐστι τῷ, οὐκ ἀδελφὸν ἐφόνευσε τὸ αὐτοῦ μέρος; καὶ εἰς πέτρ. ἀπόστλ, καὶ ἠλί. τὸν προφ'τ. ὁλόκληρον δῆμον τέκνων τάφον εἰργάσατο. (ὁ προφήτης, δεχθεὶς παρὰ τῆς χήρας.) ὅσον γὰρ εἰς προαίρεσιν τῆς χήρας, ἐκεῖνα τετελευτήκασιν, ὅσον δὲ διὰ τὴν τοῦ Θεοῦ φιλανθίαν, ἔζων καὶ ἐκρατύνοντο. καὶ ὁμλ'. λβ', εἰς τὴν γένσ. τίς κατ' ἀξίαν ταύτην (τὴν σάῤῥαν) ἐπαινέσειεν; ἥ τις .... ὅσον εἰς τὴν οἰκείαν γνώμην, καὶ εἰς μοιχείαν ἑαυτὴν ἐξέδωκε; καὶ, ὅσον γὰρ εἰς προαίρεσιν, ἥμαξε τὴν δεξιὰν ὁ πρῑάρχης. καὶ μζ'. εἰς τὸν ἀβραάμ. ὅσον μὲν γὰρ τῇ προθέσει τοῦ πρὸς, ἀπέθανεν, (ὁ Ἰσαάκ) ὅσον δὲ τῇ τοῦ Θεοῦ φιλανθίᾳ, οὐκ ἀπέθανε. Τοιοῦτο δὲ καὶ τὸ εἰς τὸν προφήτην Ἰωνᾶν εἰρημένον. σὺ δὲ ὁλόκληρον πόλιν τοσαύτας νῦν ἔχουσαν μυριάδας ἐκδέδωκας κατὰ τὸ σὸν μέρος. ὃ καὶ ἐντελῶς πέφρασται. οὐκ ἀπέοικε δὲ τούτων οὐδὲ τὸ, ἦν τὸ φῶς τὸ ἀληθινόν. ὃ (τὸ αὐτοῦ μέρος.) φωτίζει πᾶντα ἀνὸν, κτ'. καὶ βασίλειος, ὅρ. ἀσκτκ. ὁ ἁμαρτάνων, τὸ ὅσον ἐπ' αὐτῷ βλάπτει κατὰ διαφόρους τρόπους, καὶ ἐπιβουλεύει τῷ συνόντι, ἢ συντυγχάνοντι. ὁ αὐτὸς, ὁ τὸν μονογενῆ αὐτοῦ υἱὸν καταπέμψας, τὸ ὅσον ἐφ' ἑαυτῷ προλαβὼν, πᾶσιν ἀφῆκε. τοῖς δὲ μὴ μετανοοῦσι, τὸ ὅσον ἐπ' αὐτοῖς οὐκ ἀφίεται. Ἐν οἷς ἅπασιν οὐ τὸ αὐτό ἐστι τὸ ὅσον ἐπ' αὐτῷ ἐνεργοῦν, τε καὶ πάσχον, ἀλλ' ἔστι μὲν οὗ, ἐνεργοῦν ἀπαθῶς, ἔστι δ' οὗ, πάσχον ἀνενεργήτως, μηδενὸς λέγω ἑτέρου τὸ αὐτοῦ μέρος

μέρος ἐνεργείᾳ ἢ πάσχοντος ἐν τῷ ἐνεργοῦντι, ἢ ἐνεργοῦντος ἐν τῷ πάσχοντι. Τοιοῦτο δ' ἂν εἴη καὶ τό, φθείρεις τὰ κοινὰ τὸ σὸν μέρος. οὗ τὴν ἑρμηνείαν ὁ ἀντὶ τοῦ ἢ, διαζευκτικοῦ συμπλεκτικὸς καὶ, ἑτέρως λαβεῖν ἡμᾶς, αὐτοῦ φεισαμένους ἐξεβιάσατο. οὐδὲ γὰρ οὐδ' ὁ τὰ κοινὰ τὸ αὐτοῦ μέρος φθείρων, ἑαυτὸν φθείρει, ἐνεργεῖ δὲ μόνον ὅσον ἧκεν εἰς ἰδίαν πρόθεσιν, ἅττ' ἂν ᾖ τῶν τὸ αὐτῶν μέρος ἐνεργείᾳ μὲν οὖ, δυνάμει δὲ φθειρομένων κοινῶν φθαρτικά. ὡς οὐδ' ὁ Ἰωνᾶς, ᾗ τὸ ἑαυτοῦ μέρος κατέσκαψε πόλει, τὴν αὐτῆς ὅσον οὔπω καταστροφὴν, μᾶλλον δὲ μετάνοιαν μὴ προκηρύξας, καὶ ἑαυτὸν συγκατέστρεψεν. Ἐν γοῦν τῷ, εἰ τὸ ἀπ' αὐτοῦ τοῦ ἐνεργοῦντος προσώπου καὶ πάσχοντος, ἀντὶ τοῦ καὶ, ὁ ἢ, μεταληπτέος δοκεῖ. εἴγε οὐ τὸ αὐτὸ ἐδείχθη πρόσωπον, τὸ ὅσον ἐπ' αὐτῷ ἐνεργοῦν, τε καὶ πάσχον. Τὸ μὲν οὖν, φθείρεις τὰ κοινὰ τὸ σὸν μέρος, τὴν ἀπ' αὐτοῦ τοῦ ἐνεργοῦντος προσώπου πρόθεσιν δηλοῖ, τὴν δὲ ἀπ' αὐτοῦ τοῦ πάσχοντος, τὸ, ἡ ὡς εἴρηται Σάῤῥα ὅσον εἰς τὴν οἰκείαν γνώμην, καὶ εἰς μοιχείαν ἑαυτὴν ἐξέδωκε. ταὐτὸν εἰπεῖν, τὸ αὐτῆς μέρος ἐμοιχεύθη. καὶ τὸ, ἡ τὸν Ἡλιοῦ ὑποδεξαμένη χήρα, ὅσον εἰς προαίρεσιν, ὅ ἐστι τὸ αὐτῆς μέρος μετὰ τῶν τέκνων τετελεύτηκε. Σκοπεῖν δὲ καὶ τὴν ἀπὸ τοῦ ὅσον τὸ ἐπ' αὐτῷ ἐνεργοῦντος προσώπου διάθεσιν, μήποτε οὐχὶ δυνάμει κατά τινας, ἐνεργείᾳ δὲ μᾶλλον τῇ κατὰ πρόθεσιν ᾖ. τὸ γὰρ δυνάμει τῶν τέως μὴ γεγονότων ἐστίν. ὁ δὲ τὸν μονογενῆ αὐτοῦ υἱὸν καταπέμψας, τὸ ὅσον ἐφ' ἑαυτῷ προλαβὼν, πᾶσί φησιν, ἀφῆκε. Τοῦ γοῦν μονογενοῦς ἐνεργείᾳ καταπεμφθέντος, πολλῷ μᾶλλον ἡ τὴν τούτου ἐνεργείᾳ γενομένην κατάπεμψιν προλαβοῦσα ἄφεσις; ἐνεργείᾳ τόγ' εἰς τὸν καταπέμψαντα ἧκον ἐγένετο. οὐμὴν ἀλλὰ καὶ αὐτὸς ὁ μονογενὴς υἱὸς, ἐπὶ τοῦ στροῦ εἰπὼν, πέρ, ἄφες αὐτοῖς, οὐχ ὡς ἂν εἴποιτις, δυνάμει, πῶς γὰρ; ὁ καὶ ἐν ᾗ προσείληφε σαρκὶ στρωθεὶς ὑπὲρ αὐτῶν; ἀλλ' ὅσον τὸ ἐπ' αὐτῷ ἐνεργείᾳ ἀφῆκεν, οἷς μὴ μετανοήσασι, τόγ' εἰς αὐτοὺς ἧκον οὐκ ἀφέθη. οὐδὲ γὰρ ταὐτὸν, ὥς φασι, δύναται τὸ, ἀφῆκεν ἂν, καὶ τὸ, ὅσον τὸ ἐπ' αὐτῷ ἤδη προλαβὼν ἀφῆκεν. εἴγε τὸ μὲν, τὸ δ', οὐκ ἐνεργήσαντός ἐστι τὸ εἰς αὐτὸν ἧκον τὴν ἄφεσιν. ὡς δὲ ὁ Κ'ς ἡμῶν τὸ ἑαυτοῦ, οὕτω τοι καὶ ἡμῶν ἕκαστος τὸ αὐτοῦ μέρος τῶν ἰδίων ὀφειλετῶν καὶ αὐτοῖς τοῖς μὴ μετανοήσασι προλαμβάνοντες, ἐνεργείᾳ ἀφίεμεν, οὐδυνάμει, πῶς γὰρ; οἱ ὑπὲρ αὐτῶν ἤδη κατὰ τὴν ἐντολὴν καὶ εὐχόμενοι, λέγοντες καὶ αὐτοὶ, πέρ, ἄφες αὐτοῖς; μάτην γὰρ ἂν εἴημεν αἰτοῦντες ἑαυτοῖς τὸν οὐνίον ἡμῶν πρᾶ, ἣν αὐτοὶ ἑτέροις, ὅσον τὸ ἐφ' ἡμῖν οὐκ ἐνηργήσαμεν ἄφεσιν. Ἐπεὶ οὖν τῆς κατὰ τὸ ἀφιέναι διαθέσεως τὸ μὲν τῆς ἐνεργητικῆς, ἐνεργείᾳ, τὸ δὲ, τῆς παθητικῆς, δυνάμει ἐδείχθη γιγνόμενον, δοκεῖ πως ἡ ἐπὶ τοῦ προκειμένου τόπου ἐνέργεια καὶ τὸ πάθος μὴ εἶναι τῶν πρός τι. εἴγε, ὡς ἐπὶ τῆς ἀφέσεως δέδεικται, ἡμὲν, ἐστὶν ἐνεργείᾳ, ὅσον ἐπὶ τῷ ἀφιέντι, τὸ δὲ, δυνάμει, ὅσον ἐπὶ τῷ ἀφιεμένῳ. δοκεῖ μὲν γὰρ ἐπὶ τῆς ἀφέσεως ἡ ἐνέργεια συνεισάγειν καὶ τὸ πάθος, οὐσυνεισάγει δὲ πάντως. εἴγε ὁ μὲν, πᾶσί φησι, προλαβὼν ἀφῆκε, τούτων δὲ τοῖς μὴ μετανοήσασιν οὐκ ἀφέθη. ὡς καὶ ὁ ἥλιος πάντας μὲν τόγ' εἰς αὐτὸν ἧκον, οὐδυνάμει, ἀλλ' ἐνεργείᾳ φωτίζει, τούτων γεμὴν οἱ τοὺς ὀφθαλμοὺς ἐξορύξαντες, οὐδὲ δυνάμει φωτίζονται.

Ἢ τὸ κατά τι.

Τὸ, δέοι δηλῶσαι, πανταχοῦ ἀπὸ κοινοῦ ἐξακούεται. οἷον,

Ἐν τί-

Ἓν τίκτουσι τὰ πολλὰ αἱ γυναῖκες.

Τὸ πολὺ καὶ τὸ ὀλίγον μέρη εἰσὶ τοῦ ὅλου, ἢ τοῦ παντός. τὸ μὲν γὰρ πλεῖστον καὶ παρὰ τοῖς πλείστοις ἓν τίκτουσιν αἱ γυναῖκες, πολλάκις δὲ καὶ πολλαχοῦ δίδυμα. οἷον, περὶ αἴγυπτον. τίκτουσι δὲ καὶ τρία καὶ τέτταρα. περὶ ἐνίους μὲν καὶ σφόδρα τόπους, πλεῖστα δὲ τίκτεται πέντε τὸν ἀριθμόν. ἤδη δὲ ὦπται τοῦτο καὶ ἐπὶ πλειόνων συμβεβηκός. μία δέ τις ἐντέσσαρσι τόκοις ἔτεκεν εἴκοσιν. ἀνὰ πέντε γὰρ ἔτεκε. καὶ τὰ πολλὰ αὐτῶν ἐξετράφη. (Ἀριστλ: περὶ ζῴων ἱστορ: τὸ ἡ.) παρὰ δὲ τοῖς ὀμβρικοῖς φασι, τὰ βοσκήματα τρὶς τίκτειν τοῦ ἐνιαυτοῦ, καὶ τοὺς καρποὺς αὐτοῖς τὴν γῆν πολλαπλασίους ἀνίεσθαι τῶν καταβαλλομένων. εἶναι δὲ καὶ τὰς γυναῖκας πολυγόνους, καὶ σπανίως ἓν τίκτειν, τὰς δὲ πλείστας δύω καὶ τρία, (Ἀριστοτέλης περὶ θαυμασίων ἀκουσμάτων.) δῆλον οὖν ὡς ἡ αἰτιατικὴ τὸ μέρος δηλοῖ τοῦ ὅλου, ὡς κἀπὶ τοῦ,

Καὶ σοφὸς τὰ μηχανικά.

Τὸ εἶδος, εἴτ' οὖν τὸ μέρος τῆς καθόλου σοφίας. ἀντίκειται δὲ τῷ κατά τι τὸ ἁπλῶς, ὡς καὶ τῷ ὡρισμένῳ τὸ ἀόριστον. καὶ ἁπλῶς μὲν, ὡς εἴρηται τὸ διδάσκω σε, κατά τι δὲ, τὸ διδάσκω σε γραμματικά. ἐν ἴσῳ δέ ἐστιν εἰπεῖν, ἓν τίκτουσι τὰ πολλὰ αἱ γυναῖκες, καὶ, ἓν τίκτουσιν αἱ πολλαὶ τῶν γυναικῶν. Διχῶς δὲ τὸ κατά τι, κατὰ μέρος ἤτοι διωρισμένον, ὡς ὁ αἰθίοψ λευκὸς τοὺς ὀδόντας. σοφὸς τὰ μηχανικά. πλήττομαι τὸν πόδα. ἀλγῶ τὴν κεφαλήν. ὑγιαίνω τὸ σῶμα. ἢ ἀδιόριστον, οἷον, ὁ παῖς κατά τί ἐστιν ἄνος, κατὰ τὴν οὐσίαν δηλονότι καὶ τὰς δυνάμεις, οὐμὴν δὲ καὶ κατὰ τὰς ἐκτὸς ἐνεργείας. ἃς παρὰ τὸ ἀτελὲς τῆς ἡλικίας ἔσχεν ἀτελεστέρας. Ἰστέον δὲ ὅτι τὸ κατά τι πρὸς τὸ κατὰ τὸ παν ἀποτείνεται τῷ λόγῳ τῶν πρός τι, οἷα δὴ μέρος πρὸς τὸ ὅλον. ὥστε καὶ ὅτε τὸ ὅλον δέοι δηλῶσαι, εἰς αἰτιατικὴν καὶ τοῦτο συντακτέον. Λιβαν: πρεσβ: α', πρὸ τῶν ἄλλων ἐμαυτῷ προσήκειν ἡγούμενος τῷ ξένῳ πάντα ὑπηρετεῖν, ἀνέῳξα τὴν οἰκίαν. κἀν τῇ ἀποκηρύξει. ἐγὼ πάντα πλὴν ἑνὸς τούτου πείθομαι τῷ πρί. Ἔτι, τὸ κατά τι τοῦ ἐλλειπτικοῦ ἐστι β', τὸ δὲ διαβατικὸν καὶ ὅλως τὸ ἐπιβατικὸν εἶδος τὸ κατά τι, ὡς εἴρηται, δηλοῖ, τὸ ἄρα ἐπιβατικὸν τοῦ β', ἐστὶν ἐλλειπτικοῦ. Τοῦ δὲ προκειμένου ἐστὶ τόπου καὶ τὸ, ἡ πόλις ἀπέχει, ἢ διέστηκε τοῦ γαλατᾶ σταδίους ἑπτά. τὸ ὅλον μὲν γάρ ἐστι, τὰ στάδια, τὸ δὲ μέρος, τὰ τοσάδε. παρὰ δὲ Θουκδ: τὸ τοῦ διαστήματος μέρος καὶ δοτικῇ συντέτακται. κατὰ ἀντίπτωσιν ὅμως κἀκεῖ. αἰτιατικῆς γὰρ τὸ κατά τι, οὐ γενικῆς, ἢ δοτικῆς. (ὑπεξερείσθω ὁ θ', τόπος τοῦ α', ἐλλειπτικοῦ) ὁμέγ: βασίλ: πρὸς τοὺς νέους. πλεῖον τοῦ ἐν ἐκείνοις (τοῖς ἐν τῷ μέλλοντι) ἐλαχίστου τὰ σύμπαντα τῶν τῇδε καλῶν ἀφεστηκότα, (εὑρήσει τις) ἢ καθ' ὅσον σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀπολείπεται. προθετικὸν γὰρ καὶ τὸ πλεῖον κατὰ τὸ ἐντελῶς ληφθὲν καθ' ὅσον.

Ἢ τὸ αἴτιον.

Τὸ ὀργανικόν.

Οὐ πάνυτοι τῷ ὀργανικῷ.

Εἴδει τῆς συντάξεως τῷ εἰς δοτικήν.

Ἀνομοίως. οἷον, πάντα δὲ ταῦτα γέγραφε τὸν εἰρημένον τρόπον, ὡς ἂν εἰς βυβλίον κατάθοιτο.

Ἀνομοίως μὲν, διὰ τὸ ἀμφοῖν τῶν εἰδῶν ἀνομοιόπτωτον, οὐ πάνυτοι δὲ πάλιν, εἴ γε κατὰ τὴν

κατὰ τὴν τοῦ ὀργανικοῦ εἴδους δοτικὴν καὶ ἡ τοῦ προκειμένου τόπου αἰτιατικὴ τροπολογοῦσα, τὸ ὀργανικὸν αἰτιολογεῖ. τρόπος γὰρ καὶ ὄργανον οὐ πάνυτοι ἀλλήλοις ἀνόμοια. καὶ μάρτυς Λιβάνιος τὴν προκειμένην αἰτιατικὴν εἰς δοτικὴν ὀργανικῶς εἰληφὼς ἐν πρεσβ: α', τοῦτι τὸ γυναῖον πόθεν ἔχεις λαβὼν; καὶ τίνι τρόπῳ; ὅθεν καὶ τὸ, τὸν εἰρημένον τρόπον, ἐν ἴσῳ ἐστὶ τῷ, τῷ εἰρημένῳ τρόπῳ. καὶ τὸ, ἐπειδὴ δὲ ὁπαῦτα τρόπον ἐκεῖνος ἡμᾶς καταδουλωσάμενος. τοῦ αὐτοῦ περὶ δυσκόλου ἀνδρός. ἴσον τῷ, παντὶ τρόπῳ. καὶ Θουκδ: δὲ ἐν ς', δοτικῇ ἀντὶ αἰτιατικῆς ἐχρήσατο. ὁρᾶτε ἀπὸ τῶν ὑπαρχόντων ὅτῳ τρόπῳ κάλλιστα ἀμυνεῖσθε αὐτούς. καὶ, ἐσκεψάμεθα ὅτῳ τρόπῳ ἥκιστα αὐτῶν ὑπακουσόμεθα. ὅτι δὲ ἡ τοιαύτη αἰτιατικὴ τὸ αἴτιον δηλοῖ, δηλοῖ καὶ Δημοσθ'. ὀλυνθ. α'. προθετικῶς αὐτὴν προενεγκὼν, ὅ ἐστιν ἀνελλιπῶς. ἆρα λογίζεταί τις ὑμῶν καὶ θεωρεῖ τὸν τρόπον, δι' ὃν μέγας γέγονεν ἀλέξανδρος; ὡς ἂν εἰ ἔλεγε, θεωρεῖ ὅτῳ τρόπῳ μέγας γέγονεν; ἡ δὲ διὰ, μετὰ αἰτιατικῆς τὸ ποιητικὸν αἰτιολογεῖ. ᾧ συνείληπται, ὡς εἴρηται, καὶ τὸ ὀργανικόν. Ἐφ' οἷς σημείωσαι, ὡς ἡ τοῦ δ', τόπου αἰτιατικὴ πρὸς τῷ κατά τι ἔτι καὶ ὁμοίωσιν δηλοῦσα, ἔστιν οὗ καὶ ἀντὶ τοῦ παραβολικοῦ ἐπιῤῥήματος λαμβάνεται. τὸ γὰρ, τὸν εἰρημένον τρόπον, ἐν ἴσῳ ἐστὶ τῷ, ὡς εἴρηται. Βροῦτος ἐν ταῖς ἐπιστολ. ὑμῖν οὖν βουλευομένοις περὶ ἑαυτῶν, πάρεστιν ὁρᾶν ὄψει, εἴ τε χρὴ πολεμίους ἡμᾶς, ὥσπερ ξάνθιοι, εἴ τε φίλους καὶ εὐεργέτας, ὃν τρόπον παταρεῖς, αἱρεῖσθαι. ἀντὶ τοῦ, ὥσπερ παταρεῖς, κατὰ τὸ, ὥσπερ ξάνθιοι. καὶ ἁπλῶς ὁ δ', τόπος διαφόρως συντάσσεται. Δημοσθ'. ὀλυνθ. γ'. εἰ γὰρ μὴ βοηθήσητε παντὶ σθένει κατὰ τὸ δυνατὸν, θεάσασθε, ὃν τρόπον ὑμεῖς ἐστρατηγηκότες ἔσεσθε ὑπὲρ Φιλίππου. καὶ, ἐκπολεμῶσαι δεῖν ᾠόμεθα τοὺς ἀνοῦς ἐκ παντὸς τρόπου. καὶ, τί οὖν ὑπόλοιπον, πλὴν βοηθεῖν ἐῤῥωμένως καὶ προθύμως; καὶ, ἀλλ' ὅτι μὲν δὴ δεῖ βοηθεῖν, πάντες ἐγνώκαμεν, τὸ δὲ ὅπως, τοῦτο λέγε. ἔνθα μὲν γὰρ, δοτικῇ, μετειλημμένῃ ἐχομένως εἰς αἰτιατικὴν προθετικὴν, ἔνθα δὲ, αἰτιατικῇ ἐλλειπτικῇ, ἔνθα δὲ πάλιν, γενικῇ προθετικῇ, ἔσχατον δὲ, καὶ ἐπιῤῥηματικῶς.

Τόποι τοῦ αἰτιολογικοῦ καὶ ἐλλειπτικοῦ.

Τοῦ α'. τοῦ γενικῇ ἐκ δ', πανταχοῦ μὲν ἐλλειπούσῃ, οὐ πανταχοῦ δὲ αἰτιολογούσῃ.

Ὑποκείσθωσαν δὲ καὶ τοῦ αἰτιολογικοῦ καὶ ἐλλειπτικοῦ τόποι τοιοίδε. σκοπεῖν,

Ὑπονοητέον τὸ δεῖ εἰς ἐξάρτησιν τοῦ ἀπαρεμφάτου. καὶ γὰρ καὶ ὁ Ἀριστοτέλης μικροῦ δεῖν ἁπανταχοῦ τῶν τοπ: ἐλλειπτικῶς χρῆται τῷ σκοπεῖν. οἷον, δεῖ σκοπεῖν, εἰ δέοι φθέγξασθαι τοιωσδί. τοῦτο δὲ ἐπὶ πάντων τῶν ἐφεξῆς τόπων ἀπὸ κοινοῦ ἐκληπτέον.

Εἰ ἀνταλλαγματικῶς,

Ἀντάλλαγμα καὶ συνάλλαγμα ἰσότητα, ἢ ὁμοιότητα ληψοδοσίας ἐμφαίνει ἑκάτερα.

Καὶ ἀποτιμητικῶς. ὠνοῦμαι, τιμῶ, ἀλλάττω, ἀποτιμῶ.

Γράφεται καὶ ἀνταποδοτικῶς. βέλτιον δὲ τὸ πρῶτον. οὐ μόνον δὲ τὸ ἀποτιμῶ, ἀλλὰ καὶ τὸ τιμᾶσθαι ἐμπορικὴ καὶ συναλλακτικὴ λέξις. τοῦ παντὸς τιμῶμαι τὴν ἀρετήν. καὶ τοσοῦδέ τινος τιμῶμαι τήνδε τὴν ὕλην. Εἰ τοίνυν τοιωσδὶ δεῖ φθέγξασθαι, τοτηνε-

τοῦτο καὶ ταῦτα εἰς γενικὴν ἐκδ', σωπακτέον τὸ εἶδος, ἐπὶ μὲν τῆς ἀνταλλαγματικῶν, ἐπιδεικτικῶν, φιλικῶν τε καὶ οἰκτικῶν αἰτιολογοῦσαν σὺ θαμὰ, τὸ δίς, σὺ θαδὲ, τὸ ἓξ, ἢ τὸ δὶ ὁ, ἐπὶ δὲ τῆς λοιπῶν ἐλλείπουσαν μόνον. Λεκ. σὺ τῷ χάρ. καὶ ἑρμ: νὴ τὸν Ἀιδονέα τῆς πανταχοῦ σωπωμένου. καὶν τῷ περὶ θυσιῶν. σὺ ἔστι πρίασθαι παρ' αὐτῆς (τῆς θεᾶς) τὸ μὴ ὑγιαίνειν εἰ τύχοι, βοΐδιον, τὸ δὲ πλουτεῖν, βοῶν τεττάρων, τὸ δὲ βασιλεύειν, ἑκατόμβης, τὸ δὲ σῶον ἐπανελθεῖν ἐξ Ἰλίου εἰς πύλον, ταύρων συνέα, καὶ τὸ ἐκ τῆς αὐλίδος εἰς Ἴλιον διαπλεῦσαι, παρθένου βασιλικῆς. ὁμοῦ γὰρ, ἑκατόμβη τὸ μὴ ἁλῶναι τότε τὴν πόλιν ἐπρίατο παρὰ τῆς Ἀθηνᾶς, βοῶν δώδεκα καὶ πέπλου. καὶν τῷ, βίων πράσεις, πόσου τοῦτον ἀποκηρύττεις; (ὅ ἐστιν ἀποτιμᾶς) δέκα μνῶν. Ἐν οἷς σημειώσαι τὸ ἰσοδυνάμον τῆς δοτικῆς σὺ τῷ, ἑκατόμβη φορὸς τὴν γενικὴν σὺ τῷ, βοῶν δώδεκα. σὺ δὲ τοῖς ἀποτιμητικοῖς ἡ γενικὴ ἐλλείπουσα τῆς ἀπὸ, τὸ δι' ἓξ αἰτιολογοῦσα φαίνεται, φημὶ δὴ τὸ ὄργανον, τὸ δ' αὐτὸ καὶ ἡ αὐτὴ αὐτῆς πολλαχοῦ παραλαμβανομένη δοτικὴ φαίνεται δηλοῦσα. ταὐτὰ ἄρα διάφορος ἐπὶ τῆς ἀνταλλαγματικῶν ἡ τοῦ πτωτικοῦ χρῆσις, ἔστι μὲν ὅτε, γενικὴ, ἔστι δ' οὔ, δοτικὴ. οἷον καὶ γρηγορίῳ εἰς τὰς μακαρίας τὸ, θανάτῳ ζωὴν ὠνησώμεθα. ὅτι δὲ ἰσοδυνάμουσιν ἀλλήλαις αἱ πτώσεις, δηλοῖ καὶ Λιβ. φρεσβ: α', τὰς ἀπάτῃ πειρωμένους ἐλεῖν, ἃ δι' ἀνδρείας ἐδεδώκηναι. σὺ ᾧ τὸ ἀπάτῃ ἴσον ἐστὶ τῷ, δι' ἀπάτης, καὶ τὸ δι' ἀνδρείας τῷ, ἀνδρείᾳ. οὐμοῦ ἀλλὰ καὶ Διονύσιος ὁ ἀρεοπαγ. κφ. β', περὶ τοῦ τίς ὁ θεῖος γνόφος, καὶ τοῦτον ἡμᾶς γενέσθαι τὸν ὑπέρφωτον δι' οὗ μέσου γνόφου, καὶ δι' ἀβλεψίας καὶ ἀγνωσίας ἀνδρεῖον τὸ ὑπὲρ θεῖον καὶ γνῶσιν αὐτῷ τῷ μὴ εἰδέναι μηδὲ γνῶναι. ἡ γε μὴν προθετικὴ πτωτος γενικὴ, ἐφερμηνευτικὴ ἐστὶ τῆς ὀργανικῆς δοτικῆς. εἰς ταὐτὸν δὲ ἐκείνη μεταλαμβάνεται. ὡς καὶ Ἀριστ. ἀνάλ. προτερ. ἀποδεῖξαι τὸν συλλογισμὸν ὅτι ἐστὶ λόγος, σὺ ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων ἐξ ἀνάγκης συμβαίνει τῷ ταῦτα εἶναι, τῷ δοτικῷ εἰς γενικὸν προθετικὸν μετέλαβεν σὺ κφ: α', τὸ α', τῆς τοπ. αὐτὶ τοῦ τῷ ταῦτα εἶναι, εἰπὼν τὸ, διὰ τῶν κειμένων. διὰ δὲ πάλιν τοῦ τῆς ὀργανικῆς τρὸς τὸ ποιητικὸν συγγένειαν, ἡ τε τοπικὴ τοῦτο γενικὴ καὶ τρὸς αἰτιατικὸν μεταλαμβάνεται. ποτέτε τοῦ ἀρχοῦ ἐτιμᾶτο τὴν ἑαυτῆς. (ὁ ἥρως δης) ἔτι καθάπερ αἰχμάλωτος ὑπὸ τῶν παίδων ἐγένετο, ὡς δὲ ὀρχήσιν αὐτῆς παραχωρῆσαι. Χρύσ. ὁμιλ. μδ', κφ. ιδ', τοῦ κατὰ Ματθ'. τὸ διὰ τοσοῦτο εἰς τὸ δι' ὄρχησιν μετέλαβε, τὸ ὀργανικὸν φημὶ εἰς τὸ ποιητικόν. Τῶν δὲ πτωτικῶν ἃ τὸ ἀνταλλαττόμενον, ῥηματικὸν δὴ τοῦτό γε. τὸ δὲ τοῦ ἀνταλλάγματος, ὅ ἐστι τὸ τῆς διδομένης ὠνῆς σημαντικὸν εἰς γενικὴν μεταχηματιστέον. ὁθεν σημειῶδες Γρηγορ. σὺ τοῖς τεξαστίχοις τὸ, μικρῶν τὰ μείζω καὶ ῥέοντ' αἰδίων. δίον δὴ καὶ ῥεόντων αἰδία εἰπεῖν, ὅτι μὴ διὰ τὸ μεῖζον. Σημείωσαι δὲ, ὅτι ὥσπερ ἐπὶ τῆς συγκειμένων ἥτε ὀργανικὴ δοτικὴ, καὶ ἡ ἀνταλλαγματικὴ γενικὴ ἰσοδυναμοῦσιν ἀλλήλαις, οὕτω πάλιν καὶ ἡ περιποιητικὴ δοτικὴ καὶ γενικὴ ἡ αἰτιολογοῦσα τὴν αἰτίαν, ἐξ ἧς ἡ ἐνέργεια, ταὐτόν πως ἀλλήλαις δυνάνται. ὡς σὺ τῷ, διδάσκω σοι τὸν παῖδα, καὶ, ζηλῶσε τῆς ἀρετῆς. χαριζόμενος δὴ ἐγώ σοι μὲν, διδάσκω τὸν παῖδα, τῇ ἀρετῇ δὲ, θαυμάζω σε. καὶ πάλιν, διὰ μὲν τὴν ἀρετὴν, θαυμάζω σε, διὰ δὲ σέ, διδάσκω τὸν παῖδα. (καὶ δὴ καὶ ἡ περιποιητικὴ δοτικὴ οὐδὲν ἧττον αἰτιο-

τον αἰτιολογεῖ, ἀπολελυμένη οὖσα τοῦ ῥήματος. ὡς δῆλον κἀκ τοῦ, χαίρω σοὶ, ἢ τῷ λόγῳ, ταὐτὸν ὂν τῷ ἐπὶ τῷ λόγῳ, εἴτ' οὖν διὰ τὸν λόγον. (ὥσπερ καὶ ἡ ἐπὶ τοῦ διαβατικοῦ αἰτιατικὴ καὶ τὸ εἰδικὸν ἀπαρέμφατον ταὐτὸν ἐφάνη δυνάμενα.

Ἔτι εἰ Πληρωτικῶς. γεμίζω, πληρῶ, κενῶ.

Ὡς ἐπὶ τῶν πτωτικῶν τοῖς πληρωτικοῖς ἐπισυνῆπται καὶ τὰ στερητικὰ, οὕτω κἀπὶ τῶν ῥημάτων τοῖς πληρωτικοῖς καὶ τὰ κενωτικὰ συμπαρείληπται, ὡς ἐκ τῆς ἐπαγωγῆς τοῦ κενῶ δῆλον. ἡ δὲ τοῦ τοιοῦτου τόπου γενικὴ τῆς ἀπὸ, ἐλλείπει, τοῦ ὅλου, ἀλλὰ μὴ τοῦ μέρους οὖσα ἐμφαντική.

Ἔτι εἰ Διαιρετικῶς τε καὶ ἀφοριστικῶς καὶ ἐκστατικῶς.

Τούτου τοῦ τόπου τὰ ἐπιῤῥήματα ἐκ παραλλήλου ταυτοδυνάμως κεῖται, οὐ πόῤῥω δὲ τούτων οὐδὲ τὸ

Καὶ Ἐφεκτικῶς.

Παρὰ τὸ ἐπέχειν καὶ κωλύειν. ἀφ' οὗ καὶ ἐφεκτικοὶ φίφοι, οἱ τὰς τῶν προτάσεων λύσεις ἐπέχοντες, πολὺ πρότερον τὴν διάνοιαν μὴ συγκατατιθέμενοι. καθ' ὃ καὶ σκεπτικοὶ ἤκουσαν.

Τυμνῶ, ἀπαλλάττω, ἀφίστημι, ἀπολύω. κωλύω, ἀναστέλλω, συγχωρῶ.

Τὸ συγχωρώ σοι τῆς ἁμαρτίας, τοιῷ δὲ τρόπῳ ἐστὶ διαιρετικόν. ἀποχωροῦντι τῆς ἁμαρτίας χωρῶ σὺν σοὶ, ὁ τέως τῇ ἁμαρτίᾳ προσκεχωρηκότος σου ἀποκεχωρηκὼς, εἴγε τὸ συγχωρεῖν ὁμοχωροῦντος καὶ οἱονεὶ συγκοινωνοῦντος τυγχάνει.

Ὑπείκω, κουφίζω, ἀμβλύνω, καθαίρω, περιαιρῶ, ψεύδω.

Σοφοκλ: καί μ' ἔψευσαι ἐλπίδος. πολλαχοῦ δὲ τὸ περὶ τὴν ἐντούτῳ τῷ τόπῳ γενικὴν ἐλλεῖπον προθετικὸν μόριον πρόσκειται τοῖς συνοῦσι ῥήμασι τοῦ σαφοῦς χάριν.

Ἔτι εἰ Ἐπιδεικτικῶς καὶ εἰς ἀρετὴν ἀποδεκτικῶς. ἐπαινῶ, θαυμάζω, εὐδαιμονίζω, ζηλῶ, ἀποδέχομαι.

Οὐ μόνον δὲ, ἀλλὰ καὶ εἰς κακίαν μεμπτικῶς. ψέγω, μέμφομαι, μισῶ, κακίζω.

Ἔτι εἰ Μετουσιαστικῶς τε καὶ μεταδοτικῶς. Κοινωνῶ, μετέχω, μεταδίδωμι, ἀξιῶ.

Τούτων τὸ κοινωνῶ καὶ μετέχω συντασσόμενα γενικῇ μὲν μόνῃ, ἢ δοτικῇ, τῶν ἁπλῶν δοκεῖ εἶναι, τῇ μὲν, τῶν κατ' εἰσπομπὴν κτητικῶν, τῇ δὲ δοτικῇ, τῶν κατὰ περιποίησιν. ἀμφοῖν δ' ὁμοῦ, τῶν συγκειμένων ἐλλειπτικῶν.

Ἔτι εἰ Φιλικῶς, ἢ οἰκτικῶς. φιλῶ, ἀγαπῶ, ἐλεῶ, οἰκτείρω.

Οἱ αὐτοὶ σχεδόν εἰσι τόποι, καὶ τὰ αὐτὰ ῥήματα ἐπί τε τῶν ἁπλῶν καὶ τῶν συγκειμένων. ἀλλ' ἐπὶ μὲν τῶν, ἦν ὁ λόγος περὶ τοῦ ἐκ γ', πτωτικοῦ, ἐπὶ δὲ τῶν, περὶ τοῦ ἐκ τετάρτου.

Καθόλου δὲ, τὸ περὶ τὴν αἰτίαν ἐλλεῖπον.

Τοῦτ' ἔστιν ἡ μὲν ἔλλειψις προθετικοῦ τοῦ μορίου, ἢ συνδεσμικοῦ, καθόλου τυγχάνει περὶ πᾶσαν τὴν τοῦ προκειμένου εἴδους γενικὴν τήν τε αἰτιολογοῦσαν τήν τε μὴ, τὸ δὲ αἰτιολογικὸν

λογικὸν οὐ καθόλου. διεζευγμένως γὰρ ἐν τοῖς ἔμπροσθεν προήνεγκεν, οὐ συμπεπλεγμένως, εἰπὼν, καλείσθω δὲ αἰτιολογικὸν, ἢ ἐλλειπτικόν. Σκοπεῖν δὲ μήποτε ἀναγνωστέον ᾖ, καθόλου δὲ, τὸ περὶ τὴν γενικὴν ἐλλεῖπον.

Μέμφομαί σοι ἀχαριστίας.

Ἀλλὰ καὶ μέμφομαί σε. ἐπὶ ψυχὴν γὰρ. κατὰ τὸ οὐ νεμεσίζομ' ἀχαιούς. ἰλ: β. καὶ Θουκυδ'. ἢ καὶ τὰ πράγματα διεμέμφοντο.

Αἰτιῶμαί σε διαβολῆς. κατηγορῶ σου κλοπῆς.

Τῶν γὰρ ἐπιδεικτικῶν καὶ ταῦτα.

Ἔτι εἰ ἀποφάσει χρόνου παρήκοντος ἐντελοῦς δέοι ποσὸν χρονικὸν προσορίσασθαι. οὐκ ἦλθον, οὐκ εἶδον, οὐκ εἶπον χρόνου πολλοῦ.

Παρήκοντες καὶ ἐντελεῖς εἰσι χρόνοι οὐ μόνον ὁ συντελικὸς, ἀλλὰ καὶ ὁ ὑπερσυντέλικος καὶ ὁ παρακείμ. ἀλλὰ τῶν μὲν παρὰ τὸν συντελικὸν τὸ ἐντελὲς κατὰ σχέσιν ἄλλων νοεῖται. οἷον, τὸ μὲν τοῦ ὑπερσυντελίκου κατὰ σχέσιν τὴν πρὸς τὸν παρακείμ. τὸ δ' αὖ τοῦ παρακειμ': κατὰ τὴν πρὸς τὸν ἐνεστῶτα. τὸ δὲ τοῦ συντελικοῦ, καθ' ἑαυτὸ καὶ ἀπολύτως λέγεται, καὶ οὐ κατὰ πρός τινα τῶν ἄλλων χρόνων σχέσιν. ἔνθεντοι καὶ ὁ Θεόδωρος ἀσχέτως προενεγκὼν τὸ ἐντελὲς, τὸν συντελικὸν ᾐνίξατο, εἴ τ' οὖν τὸν λεγόμενον ἀόριστον. τὸ δὲ τοῦ προκειμένου τόπου χρονικὸν ποσὸν καὶ ὡρισμένως ληφθῆναι οὐθὲν ἂν κωλύοι. οἷον, οὐκ ἦλθον ἡμερῶν, ἢ μηνῶν, ἢ ἐνιαυτῶν τριῶν, ἢ πέντε, ἢ τριάκοντα. φησὶ γὰρ, εἰ δέοι προσορίσασθαι χρονικὸν ποσόν. τὸ δὲ, ἐν τῷ, οὐκ ἦλθον χρόνου πολλοῦ, καθαρῶς οὐ προσώρισται.

Ὀγ.

Ἔτι εἰ τὸ ἐγγὺς τοῦ γενέσθαι καὶ παρὰ μικρὸν συμβεβηκέναι τι, δηλῶσαι δέοι. μικροῦ παρῆλθον. μικροῦ διέφυγεν.

Ἀντὶ τοῦ παρ' ὀλίγον διέφυγεν. τοῦτ' ἔστιν ἐγγὺς ἦλθε τοῦ παρελθεῖν. Γρηγόρ: μικροῦ Κυπριανὸς διέφυγεν ἡμᾶς. Θουκδ': β', καὶ τοὺς πλαταιέας ὀλίγου ἐδέησε διαφθαρῆναι. τοιοῦτο καὶ τὸ μικροῦ δεῖν. περὶ οὗ ἐν τῇ μετοχῇ εἰρήσεται. δοκεῖ δὲ ἡ τούτου τοῦ τόπου γενικὴ ἔλλειψιν ἔχειν οὐδενὸς ἀλλ' ἢ μετοχῆς ἀπολύτου. οἷον, μικροῦ, ἢ ὀλίγου δέοντος, ἢ λείποντος χρόνου, παρῆλθον, ἢ διέφυγεν.

Ἔτι εἰ ἀπὸ μέρους.

Τὸ δέοι τι δηλῶσαι, ἀπὸ κοινοῦ, ἤτοι τὸ ὅλον ἀπὸ τοῦ μέρους, ἢ τὸ μέρος ἀπὸ τοῦ ὅλου.

Οἷον, κρεμῶ σε τοῦ ποδός. πίνω τοῦ ὕδατος. δρέπομαι τῶν ἀνθέων.

Οὕτω καὶ τὸ, τυρῶν αἰνυμένους, ἀττικῶς ἐρρήθη. ὀδ. ι. ἀντὶ ἀπὸ τῶν τυρῶν ἄραντας. οὐ γὰρ πάντας ἤθελον ἄρασθαι τοὺς τυρούς. πρὸς δὲ, καὶ λέων βοὸς βεβρωκέναι που λέγεται. καὶ μάντις ἀποφοιβάζει, φύλλων δάφνης φαγών. καὶ τὸ, ὤπτησε κρεῶν παρ' Ὁμήρῳ. καὶ, ὄφρα πίοι οἴνοιο. κατ' ἔλλειψιν τῆς ἀπό. ἄλλως γὰρ τὸ πίνειν αἰτιατικῇ συντάσσεται. ἴσως δὲ οὐ δὲ ἔμελλε τὸν ὅλον ἐκπιεῖν οἶνον, ἀλλά τι μέρος αὐτοῦ, ὡς εἰώθασι ποιεῖν οἱ προπίνοντες. τὰ δὲ τοιαῦτα γενικῇ συντάσσεται, ὅτε δηλαδὴ μὴ τὸ πᾶν δαπανᾶται. ἀλλά τι μέρος αὐτοῦ. οἷον, ὄφις μυρμήκων φαγών. καὶ Θουκδ': δ', καὶ φυλασσομένους τῶν νεῶν μὴ συν-

μὴ συντρίψωσι. καὶ, ἥψε τοῦ τοίχους. καὶ ἰλ. α', ξανθῆς δὲ κόμης ἕλε πηλείωνα. Ἰστέον δὲ, ὡς τῶν τοιούτων γενικῶν αἱ μὲν, εἰσὶ τοῦ μέρους δηλωτικαί. ὡς τὸ, κρεμῶ σε τοῦ ποδὸς, ἢ τῆς χειρός. καὶ, τὴν δ' ἐλελιξάμενος, πτέρυγος λάβεν ἀμφιαχυῖαν. ἰλ. β', αἱ δὲ, τοῦ ὅλου. ὡς τὸ, δρέπομαι τῶν ἀνθέων. πίνω τοῦ ὕδατος. κατέαγα τοῦ κρανίου, καὶ τὰ τοιαῦτα. καὶ αἱ μὲν τοῦ ὅλου, διτταχῶς ἐκλαμβάνονται, ἤτοι ἐλλειπτικῶς. οἷον, ἀπὸ τῶν ἀνθέων. ἢ κτητικῶς πρὸς τὸ συνεννοούμενον ἔξωθεν ῥηματικὸν μέρος. οἷον, δρέπομαί τι μέρος τῶν ἀνθέων. καὶ, κατέαγά τι μέρος τοῦ κρανίου. αἱ δὲ τοῦ μέρους, μοναχῶς, ἐλλειπτικῶς μόνον. οἷον, κρεμῶ σε ἀπὸ τοῦ ποδός. αἱ γὰρ κτητικαὶ τὸ ἔχον, οὐ τὸ ἐχόμενον ὑπεμφαίνουσιν. ἡ δὲ τοῦ μέρους οὖσα γενικὴ, τοὐναντίον ὑποδηλοῦσα, τὸ ἐχόμενον δηλονότι, οὐκ ἄν ποτε ληφθείη κτητικῶς. ἐλλείπουσι μὲν οὖν αἱ τῇδε γενικαὶ, αἰτιολογοῦσι δ' οὔ.

Ἔτι εἰ καιροῦ ὡρισμένου χρεία. οἷον, ἡμέρας τε καὶ νυκτὸς ἐργάζεται. ἑσπέρας ἧκε. χειμῶνος καὶ ἔαρος αἱ κοιλίαι θερμαί εἰσι.

Καθ' Ἱπποκράτην, βιβλ'. α', τῶν ἀφορισμ. καιροῦ δέφησιν ὡρισμένου, οὐ χρόνου. καιροῦ δὲ χρόνος καθολικώτερος. κατὰ δὲ τὸν βαθὺν Εὐστάθειον, αἱ τοῦ χρονικοῦ ποσοῦ σημαντικαὶ γενικαὶ, ἤτοι ἀπολελυμένως συντάσσονται. οἷον, νυκτὸς, ἠοῦς, δείλης. ἢ κατὰ ἀντίπτωσιν προθετικήν. ἀντὶ τοῦ κατὰ τὴν νύκτα, καὶ κατὰ τὴν δείλην, ἢ ἐλλειπτικῶς προάγονται κατ' ἀττικούς. οἷον, νηνεμίας, ἀντὶ τοῦ νηνεμίας οὔσης, ἢ ἐπὶ νηνεμίας. ὁμοίως δὲ καὶ νυκτὸς καὶ ἡμέρας, καὶ χειμῶνος καὶ ἔαρος, ὑπακουομένου φησὶ, τοῦ ἐν καιρῷ. ὅθεν δῆλον ὡς τῶν ἐλλειπόντων μορίων οὐ τὸ τυχὸν τὸ δὲ προσῆκον ἑκάστῳ ἀποδοτέον. οὐ γὰρ πανταχοῦ τὸ ἕνεκα προσφυὲς, ἀλλ' ἔστιν ὅπου καὶ ἡ ἀπὸ, ἔστι δ' οὗ καὶ ἡ ἐπὶ, ὥσπερ καὶ ἡ διὰ, ἀλλαχοῦ. Ἐφ' οἷς σημείωσαι, ὅτι οὗτος ὁ τόπος τοῦ α', ἐλλειπτικοῦ, μεταμειψάμενος τὴν γενικὴν εἰς αἰτιατικὴν, ἀνατρέχει εἰς τὸν α', τόπον τοῦ β', ἐλλειπτικοῦ, ἔνθα χρόνου δηλοῦται ποσόν. Συνέσ: ἐπιστλ: δ', ἐπλέομεν ἐκ πρύμνης ἀνέμῳ πᾶσαν αὐτὴν καὶ τὴν ἐπιγενομένην ἡμέραν. καὶ παρακατιὼν, ἡμέραν ἑξῆς καὶ νύκτα ἠνέχθημεν. Θουκδ': β', καὶ ἡμέρας δὲ ἔχουν ἑβδομήκοντα καὶ νύκτας συνεχῶς. ἐν οἷς ὡρισμένου μὲν καιροῦ δηλοῦται ποσὸν, οὐμὴν εἰς γενικὴν, εἰς αἰτιατικὴν δέ. καὶ ὅλως τὸ χρονικὸν ποσὸν καὶ διὰ τῶν τριῶν πλαγίων δηλοῦσθαι πέφυκε, τῆς αἰτιατικῆς μὲν, εἴγε μετ' αὐτῆς ἡ κατὰ, χρόνον συσσημαίνει εἴτ' οὖν προσδιορίζει. τῆς γενικῆς δὲ, εἴγε μετ' αὐτῆς ἡ διὰ, τὸ μεταξὺ συσσημαίνει οὐ μόνον τοῦ τόπου, ἀλλὰ καὶ τοῦ χρόνου. τῆς δὲ δοτικῆς, ἐπεὶ μετ' αὐτῆς ἡ ἐν, οὐ μόνον τόπον, ἀλλὰ καὶ χρόνον δηλοῖ. Ὅμρ: ἰλ: β'. ὡς (ἀντὶ τοῦ οὕτως) ἡμεῖς τοσαῦτ' ἔτεα (ἤτοι ἐννέα) πτολεμίξομεν αὖθι, τῷ δεκάτῳ δὲ πόλιν αἱρήσομεν. ἐν ᾧ ἡ τῆς δοτικῆς χρῆσις ἔλλειψιν ἔχει τῆς ἐν. ὅλως δὲ τὸ χρονικὸν πτωτικὸν, ὡς ἰδίας ἐχόμενον συντάξεως καὶ οὐ τῆς τοῦ ῥήματος, ἀδιόριστόν ἐστιν. ἔνθεντοι καὶ Θουκδ': δ', καὶ τὰς τρεῖς ὁμοῦ πλαγίας ἐπισυνῆψεν. οἷον, ἡμέρᾳ ἀρξάμενοι τρίτῃ, ταύτην τε εἰργάζοντο καὶ τὴν τετάρτην, καὶ τῆς πέμπτης μέχρις ἀρίστου. οἱ δὲ ἀποκληροῦν πειρώμενοι τῶν πτώσεων τὴν μὲν, τῷ προτέρῳ, τὴν δὲ, τῷ ὑστέρῳ, τὴν δὲ, τῷ ἐνισταμένῳ, λέγουσιν οὐθέν.

Φανερὸν οὖν,

Πόθεν; Ἢ ὅτι ἔκ τοῦ τῶν προκατειλεγμένων

μένων κατ' ἐκπομπὴν τυχὸν, ἢ εἰσπομπὴν ῥημάτων. ὅπερ ἐν καὶ τὸ αὐτὸ ὂν, διαφόρως τε ἐλαμβάνετο, τῇ μὲν, ἁπλῶς, τῇ δὲ, πῇ, ἔνθεντοι καὶ διαφόρως συνετάσσετο.

Ὡς καὶ τὸ αὐτὸ ῥῆμα λαμβανόμενον διαφόρως, διοίσειτε ἑαυτοῦ τῷ εἶναι, καὶ διαφόρως προσαγορευθήσεται καὶ συντάξεται. οἷον, τὸ λύω, σωματικὸν μὲν, ᾗ δεῖ σωματικῆς ἐνεργείας τῷ λύοντι, διαιρετικὸν δὲ, ᾗ τὸ λυόμενον, γίνεται ἔξω δεσμῶν.

Ὥσπερ πᾶν ῥῆμα, ὅπως ἂν ἔχῃ συντάξεως, ὡς περιποιητικὸν ἐλαμβάνετο, οὕτω καὶ ἐκ τοῦ ἐναντίου τὸ αὐτὸ ῥῆμα, διαφόρως ἐννοούμενον, διάφορον ἕξει τήν τε οὐσίαν καὶ φύσιν, ἀκολούθως δὲ μετὰ τῆς προσηγορίας καὶ τὰ τῆς συντάξεως. φέρε τὸ λύω, καὶ σωματικῶς τὸ αὐτὸ καὶ διαιρετικῶς ληφθήσεται, τὸ μὲν, κατὰ τὸ ἁπλῶς, τὸ δὲ, κατὰ τὸ πῇ. ἐκείνως μὲν, ᾗπερ ὁ λύων, διὰ σωματικῶν ὀργάνων ἐκτελεῖ τὰ τῆς λύσεως, οὕτω δὲ, ᾗ τῶν δεσμῶν ὑπεξίστησι τὸ λυόμενον ὁ λύων. τὸ αὐτὸ ἄρα διαφόρως ἐπινοηθὲν, διέστηκεν ἑαυτοῦ τῇ φύσει, καὶ διαφόρως προσηγόρευται, ἀλλὰ καὶ συντάξεταί γε διαφόρως, ᾗ μὲν σωματικὸν, αἰτιατικῇ. ᾗ δὲ διαιρετικὸν, γενικῇ.

Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἄλλων θεωρητέον, καὶ πρὸς τὸ ἐπινοούμενον αἰεὶ συντακτέον.

Τὸ μὲν λύω εἴληπται ἐκ τῶν τόπων, ἁπλῶς μὲν, τῶν σωματικῶν, πῇ δὲ, τῶν διαιρετικῶν. ληφθήτω δὴ κατὰ ταὐτὰ καὶ ἕτερόν τι ἐκ τῶν ψυχικῶν, εἰ τύχοι, τόπων καὶ αἰτιολογικῶν. φέρε τὸ ἐπαινῶ, ψυχικὸν μὲν, ᾗ δεῖ ψυχικῆς ἐνεργείας τῷ ἐπαινοῦντι. αἰτιολογικὸν δὲ πάλιν, ᾗ τὸ ἐπαινούμενον, διὰ τόδετι ἐπαινεῖται. καὶ ψυχικὸν μὲν, αἰτιατικῇ μόνῃ, αἰτιολογικὸν δὲ, καὶ γενικῇ. ἐπεὶ γὰρ διπλοῦς ὁ ἄνος, διὰ τοῦτο καὶ ὁ πρὸς αὐτὸν, ἢ παρ' αὐτοῦ, ἢ περὶ αὐτοῦ λόγος, διτταχῶς ἀποτείνεται, ὁ μέντις, πρὸς τὴν ψυχὴν, ὁ δὲ, πρὸς τὸ σῶμα, ἔστι δ' ὃς, καὶ πρὸς τὸ συναμφότερον, ὡς εἴρηται. ἔνθεντοι καὶ παρωνύμως ἀκούει τὰ ῥήματα ψυχικὰ μὲν, ἢ σωματικὰ κατὰ τὸ ἁπλοῦν τῆς συντάξεως, κατὰ δὲ τὸ σύνθετον, καθ' οὓς ὑπάγεται τόπους τῶν συνθέτων. οἷον δὴ καὶ τὸ ὠνοῦμαι, ἢ πωλῶ, σωματικὸν μὲν, ᾗ δεῖ σωματικῆς διαθέσεως τῷ πωλοῦντι, ἀνταλλακτικὸν δὲ, ᾗ τὸ ἀποτιμώμενον, διὰ τοσοῦδέ τινος δόματος καὶ τοιοῦδε ἀνταλλάσσεται. πυροῦ τυχὸν, ἢ στατήρων. ᾗ δ' ἂν ληφθείη τούτων ἕκαστον, ταύτῃ καὶ συντάξεταί γε τῷ πτωτικῷ. ἡ δὲ διάφορος λῆψις κατὰ τὸ πῇ καὶ ἁπλῶς ἔσται. καὶ τὸ ἀμύνω δὲ δοτικῇ μὲν, περιποιητικῶς ἀντὶ τοῦ βοηθῶ, κατ' οὐδετέραν διάθεσιν, κατὰ δὲ ἐπίμεσον ἀντὶ τοῦ τιμωρῶ, αἰτιατικῇ. οἷον, ἀμύνομαί σε. καὶ τὸ τιμωρῶ δὲ περιποιητικῶς μὲν, δοτικῇ ἀντὶ τοῦ βοηθῶ. κατὰ δὲ ἐκπομπὴν, αἰτιατικῇ ἀντὶ τοῦ κολάζω. καὶ τὸ κηρύσσειν ὅμηρος μὲν, αἰτιατικῇ συντάσσει, ἰλ: β. κέλευε κηρύσσειν ἀγορήνδε καρηκομόοντας ἀχαιούς. οἱ δὲ μεθ' ὅμηρον, δοτικῇ περιποιητικῶς. οἷον, κηρύσσειν ἀχαιοῖς

Παθητικόν

Τὸ πάθος, ὡς καὶ ἡ ἐνέργεια τροπὴν σημαίνει καὶ ἀλλοίωσιν εἴτ' οὖν μεταβολήν, ἁπλῶς δὲ, κίνησιν. διαφέρει δὲ ἡ κατὰ πάθος κίνησις εἴτ' οὖν μεταβολὴ τῆς κατ' ἐνέργειαν. εἴγε ἡ ἀρχὴ τῆς μεταβολῆς τῇ μὲν ἐνερ-

ἐνεργείᾳ ἐν αὐτῷ ἐστι τῷ μεταβάλλοντι, τῷ δὲ πάθει, ἐκτὸς τοῦ μεταβάλλοντος. καὶ ἡ κίνησις δὲ τῆς ἐνεργείας διαφέρει. ἡ μὲν γὰρ κίνησις ἀτελής ἐστιν ἐνέργεια, ἡ δὲ ἐνέργεια ἀθρόα ἐστί. καὶ ὅτι ἐπὶ μὲν τῆς ἐνεργείας ἔφθαρται τὸ δυνάμει, ἐπὶ δὲ τῆς κινήσεως, μένοντος τοῦ δυνάμει, ἡ τῆς κινήσεως ἐπιτελεῖται ἐνέργεια. τούτου γὰρ τελέως ἀπολουμένου, κίνησις οὐκ ἔστι. τὸ γὰρ ἐνεργείᾳ γενόμενον, καθ' ὅσον ἐνεργείᾳ, οὐκ ἐν κινήσει ἐστὶν, ἐν στάσει δὲ καὶ μονῇ. ὅθεν καὶ ὁρίζονται τὴν κίνησιν, ὅτι ἐστὶν ἡ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ᾗ τοιοῦτόν ἐστιν, ἤγουν ἡ τοῦ δυνάμει ὄντος ἐνέργεια, καθ' ὁ δυνάμει ἐστίν. ἢ καὶ ἄλλως κίνησίς ἐστιν ἐνέργεια τοῦ κινοῦντος ἐν τῷ κινουμένῳ. (καὶ γὰρ ἡ οἰκοδόμησις ἐνέργειά ἐστι τοῦ οἰκοδομοῦντος ἐν τῷ οἰκοδομουμένῳ) ἀπ' ἐκείνου μὲν ἀρχομένη τε καὶ ἐνδιδομένη, ἐνστηριζομένη δὲ καὶ ἐμμένουσα τῷ κινουμένῳ καὶ πάσχοντι. ἔνθεντοι καὶ αἱ ἀπὸ τῆς κινήσεως ἀποτελούμεναι ἐνεργητικαὶ καὶ παθητικαὶ διαθέσεις, τῷ λόγῳ μὲν διαφέρουσι, τῷ δὲ ὑποκειμένῳ ἐν ἄμφω εἰσίν. ὡς δίδαξις καὶ μάθησις, καὶ ὡς ἀνάβασις καὶ κατάβασις, ἢ μᾶλλον καὶ τῷ ὑποκειμένῳ καὶ τῷ λόγῳ εἴη ἂν ἡ κίνησις μία καὶ ἡ αὐτὴ, ἐν τῷ κινουμένῳ οὖσα ἀπὸ τοῦ κινοῦντος. οὐδὲ γὰρ, ὥσπερ ἡ ποίησις καὶ ἡ πάθησις μερίζονται, ἡ μὲν, περὶ τὴν ἀπὸ τοῦ ποιοῦντος σχέσιν, ἡ δὲ, περὶ τὴν ἀπὸ τοῦ πάσχοντος, οὕτω καὶ αὕτη εἰς τὸ ὑπὸ τοῦδε καὶ εἰς τὸ ἐν τῷδε μεμέρισται, ἀλλ' ἄμφω ταῦτα τὴν μίαν κίνησιν συμπληροῖ, τὸν λόγον αὐτῆς ἀπαρτίζοντα. θεωρεῖται δὲ τετραχῶς ἡ κίνησις. κατ' οὐσίαν, ὡς τὸ γίγνεσθαι καὶ φθείρεσθαι. κατὰ ποσὸν, ὡς τὸ αὔξειν καὶ μειοῦσθαι. κατὰ ποιὸν, ὡς τὸ διδάσκεσθαι, τύπτεσθαι, λυπεῖσθαι, χαίρειν. κατὰ τόπον, ὡς τὸ φέρεσθαι ἀπὸ τοῦδε ἐπὶ τοῦδε, καὶ ἔνθεν ἐκεῖσε.

τὸ μὲν οὖν παρὰ τὴν οὐσίαν πάθος, ἀλλοίωσις μᾶλλον ἂν εἴη, μόνον δὲ τὸ κατὰ τὴν οὐσίαν, τυγχάνει μεταβολή. ἡ γὰρ ἀπὸ τοῦ ἐπίτι κίνησις, μένοντος μὲν τοῦ ὑποκειμένου, ἀλλοίωσις ἀκούει, ὡς οὐ τοῦ ὑποκειμένου, τῶν δὲ ἐν τῷ ὑποκειμένῳ, ἢ τῶν περὶ αὐτὸ μεταβαλλομένων, οἵα ἡ ἐπὶ ποιοῦτε καὶ ποσοῦ καὶ τόπου. τοῦ δὲ ὑποκειμένου μὴ ὑπομένοντος, μεταβολὴ ἤκουσεν, ὡς ἐπὶ τῆς γενέσεως καὶ τῆς φθορᾶς. κεκίνηται γὰρ τὸ μὲν γιγνόμενον, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, τὸ δὲ φθειρόμενον, ἐκ τοῦ ὄντος εἰς τὸ μὴ εἶναι, ἐν οἷς ἑκατέροις οὐκ ἦν μένον τὸ ὑποκείμενον. δῆλον δ' ὅτι ὁσαχῶς τὸ πάθος, τοσαυταχῶς καὶ ἡ ἐνέργεια. κίνησις γάρ τίς εἰσιν, ὡς εἴρηται, ἑκάτερα, ἀπὸ μὲν τοῦ κινοῦντος, ἐνέργεια ἀκούουσα, ἐν δὲ τῷ κινουμένῳ, πάθος. τῶν γοῦν ῥημάτων ἡ διάθεσις κατ' ἀλλοίωσίν ἐστι τὰ πολλὰ, σπάνιος δὲ ἡ κατὰ τὰ λοιπὰ εἴδη τῆς κινήσεως.

Τὸ δὲ παθητικὸν δῆλον;

Πόθεν; Ἢ ὅτι ἐκ τοῦ τὴν αὐτὴν εἶναι, ὡς εἴρηται, ἐπ' ἀμφοῖν τῶν διαθέσεων κίνησιν. κίνησις δὲ πᾶσα ἀπότου ἐπίτι γίγνεται. ταῦτα δὲ συνίστησι τὴν αὐτὴν τῶν πτωτικῶν ποσότητα, ὥστε τὸ μὲν, εἶναι ἐκ ά, τὸ δὲ, ἐκ τρίτου. εἰ γὰρ τὸ παθητικὸν ἐκ προϋπαρχούσης, ὡς εἴρηται, ἐνεργητικῆς διαθέσεως τοῖς ῥήμασιν ἐπιφέρεται, δῆλον ἄρα ὡς καὶ τὸ παθητικὸν κατὰ τὸ ἐνεργητικὸν, ἐκ ά, καὶ ἐκ τρίτου πτωτικῷ συντετάξεται.

Ὅτι ὁσαχῶς καὶ τὸ ἐνεργητικὸν συντετάξεται.

Ἁπλῶς μὲν, ὁσαχῶς καὶ τὸ ἐνεργητικὸν, πῇ δὲ, καὶ οἰαχῶς. οἷόν τι λέγω, θεωρεῖται ἐπ' ἀμφοῖν τῶν διαθέσεων ἡ αὐτὴ τῶν πτωτικῶν κατὰ μὲν τὸ ἁπλοῦν τῆς συντάξεως

ξεως, ποσότης μόνον, καὶ δὲ τὸ σώθετον, καὶ ποιότης ἡ αὐτή. ὡς εἶναι καὶ τῶν παθητικῶν ἡ πρὸ συύταξις ἡ μὲν, διαβατικῶς, ἡ δὲ, ὀργανικῶς, ἡ δὲ, αἰτιολογικῶς τε καὶ ἐλλειπτικῶς, ἡ δὲ, τελικῶς, ἡ δὲ, εἰδικῶς, ἡ δὲ, συγκατηγορηματικῶς. καὶ τὰ μὲν τύπων δὲ, κοινὰ ἐπ' ἀμφοῖν.

Κοινὸν μὲν, τὴν ἐκ πρώτου ὀνομασικὴν ἔχον,

Ὡς φύσει παντὶ ῥήματι παρυφισαμένην, ὡς εἴρηται, τοῖς μὲν, δρῶσαν, τοῖς δὲ, πάχουσαν.

Ἴδιον δὲ, τὴν ἐκ τρίτου γενικήν,

Τὸ γὰρ ἐκ γ', πτωτικὸν ἔχει κατὰ τὸ ἐκ α', ἐπ' ἀμφοῖν ὁμοιόπτωτον.

Οὗ μὲν τῆ ὑπὸ, ἧ τῆ πρὸς,

Πρὸς αὐτιδιαστολὴν τῶν κατ' εἰσομπὴν, γενικὴν μὲν καὶ αὐτῶν ἐχόντων ἐκ γ', δίχα γε μὴν προθέσεως, ὡς μὴ ἐνεργείας τὸ πάθος ὑποδηλούντων, ὡς εἴρηται.

Ἢ τοῖς ἴσοις.

Τῆ παρά. παρὰ γὰρ ταύτας οὐκ ἔστιν ἑτέρα πρόθεσις ἐν γενικῆ τὸ ποιητικὸν αἰτιολογοῦσα.

Ὡς εἴρηται,

Τὸ μὲν τὰ παθητικὰ τῆ ἐκ γ', γενικῆ προθετοπτώτως σωτάσσεσθαι, ἐδαμοῦ εἰρημένον φαίνεται, ἡ δὲ τῶν ἄκρων αὐτιστροφὴ εἴρηται πρότερον ἐν τῆ διαιρέσει τοῦ ῥήματος. ἔνθα δὴ καὶ διδάσκων τὴν τῶν ἐνεργητικῶν σωτάξιν ὠφέλησαν διαβιβάζειν ἐπίτι ὑποκείμενον τὴν ἐνέργειαν. οἷον, ἰατρεύω τὸν νοσοῦντα. τέμνω τὸν λίθον. εἶτα αὐτιστρέψας τῶν πτωτικῶν τὰ ἄκρα, τὸ παθητικὸν ἐποίησε. ἰατρεύομαι ὁ νοσῶν. τέμνεται ὁ λίθος. ὅθεν τὸ, ὡς εἴρηται, ἐπὶ τῆς τῶν ἄκρων αὐτιστροφῆς ἐκλήπτεον.

Ἀντεσραμμένως τοῖς ἄκροις.

Τῶν πτωτικῶν τὸ μὲν ἐκ α', γενομένου ἐκ γ', τὸ δὲ ἐκ γ', ἐκ α'. τὸ γὰρ ῥήματος ὄντος μέσου, τὰ πτωτικὰ εἰσιν ἄκρα.

Σωκράτης φιλεῖ φαῖδρον.

Ἡ δ' αὐτιστροφὴ, οἷον.

Φαῖδρος φιλεῖται ὑπὸ σωκράτους, καὶ διδάσκεται πρὸς αὐτοῦ. κοινὸν ἓν τὸ ἐκ δ', καὶ ὁμοιόπτωτον.

Κατὰ τὸ ἐκ α', κοινόν. καὶ τὸ μὲν ἐκ τρίτου ἰδιάζον πτωτικὸν, περὶ τῶν ἁπλῶν εἴρηται, τὸ δὲ ἐκ δ', κοινὸν, περὶ τῶν συγκειμένων καθ' ὁτιοῦν εἶδος. τῶν δὲ ἐκ δ', οὐ μόνον τὸ πτωτικὸν, ἀλλὰ καὶ τὸ ἄπτωτον, κοινόν. οἷα τὰ λεγόμενα συγκατηγορήματα, ὡς οὐ τῆς τοῦ ῥήματος, ἰδίας δὲ συντάξεως ἐχόμενον. ἐν δὲ τοῖς καὶ ποιήσιν. οἷον, δίδωμί σοι χρυσίον, οὗ τὸ ἐκ δ', οὔ ἐστιν ἡ αἰτιατικὴ, τὸ δὲ ἐκ γ', πτωτικὸν, ἡ δοτικὴ δηλονότι, ἔστιν ὁμοιόπτωτος καθ' ἑκατέρας τὰς διαθέσεις, δοκοῦσα μὲν εἶναι, ἐκ γ', ἐκ δ', δὲ μᾶλλον οὖσα, τῆς αἰτιατικῆς οὔσης ἐκ γ', τῆς καὶ προσδιατιθεμένης. εἰ γάρ τοι παῦ μὴ τὸ ἐκ α', εἴτί ἐστι κοινόν τε καὶ ὁμοιόπτωτον, τοῦτο ἐστιν ἐκ δ', καθ' ἑκατέρας τὰς διαθέσεις. κοινὸν δὲ καὶ ὁμοιόπτωτον ὂν φαίνεται ἐν τοῖς συγκειμένοις τῷ ποιητικῶν, οὐχ ἡ αἰτιατικὴ, ἡ δοτικὴ δὲ, ἡ ἄρα δοτικὴ ἐστιν ἐκ δ'. ἤ τις ἐν μὲν τοῖς ἁπλοῖς, μὴ προσκειμένης ἐνεργείᾳ τῆς σωζομένης κατὰ Ἀπολλώνιον αἰτιατικῆς, τῷ αὐτῆς ἐπεῖχε χώραν, ἐκ γ', δοκοῦσα, ἢ δὴ δὲ προσλαμβοῦσα τῷ αἰτιατι-

τιατικὴν, ἐκ δ', γέγονε. δῆλον δὲ ἐν τεῦθεν ὡς τὸ ἐκ δ', πτωτικόν. ὡς μὴ συνδιατιθέμενον, ἰδίας συντάξεως ἔχετ, εἴτ' οὖν προθετικῆς, ἢ συνδεσμικῆς, ἀπολελυμένον, ὡς εἴρηται, τῆς τοῦ ῥήματος μεταβατικῆς σχέσεως. καὶ ἡ ἐκ δ', ἄρα δοτική. ἡ δ' αὐτὴ ἦν ἐκ γ', ἐν τοῖς ἁπλοῖς τῶν περιποιητικῶν. ἡ ἄρα τὴν τοῦ περιποιεῖσθαι εἰληφυῖα τάξιν δοτικὴ, ἀπολέλυται κατὰ τὰ ἐκ δ', ὁμοιόπτωτα πτωτικὰ τῆς τοῦ ῥήματος σχέσεως, ἰδίας ἐχομένη καὶ αὐτὴ συντάξεως, μὴ μέντοι προθετικῆς κατ' ἐκεῖνα, ἀλλ' ἁπλῶς ἀπολύτου. καί μοι μηδεὶς ὡς ἀχίλλειον ὅπλον προβαλλέτω τὸ ξιττὸν εἶδος τῆς ἐν γένει τῶν καθ' ἕκαστα ῥημάτων μεταβάσεως. ὧν ἐν ἐστι καὶ τὸ κατὰ περιποίησιν. τέτακται γὰρ ἐν τοῖς μεταβατικοῖς καὶ τοῦτο, οὐ μὴν διὰ τὴν ἐγκειμένην δοτικὴν, διὰ δὲ τὴν συνεννοουμένην αἰτιατικήν. εἰ γάρ τοι καὶ κατὰ τὸν Θεόδωρόν τε καὶ Ἀπολλ', σύνταξις τῶν ἐνεργητικῶν ἐστιν ἐπί τι διαβιβάζειν τὴν ἐνέργειαν ὑποκείμενον, τὰ δὲ περιποιητικὰ οὐκ ἐπὶ τὴν δοτικὴν, ἐπὶ δὲ τὴν αἰτιατικὴν κατὰ Ἀπολλ': διαβιβάζει τὴν ἐνέργειαν, ἡ ἄρα δοτικὴ ἀπολέλυται τῆς τοῦ ῥήματος συντάξεως. ὅτι μὴ ἡ τῶν ἀντιπιπτικῶν. αὕτη γὰρ ἐνεργοῦσά τε ἅμα καὶ πάσχουσα, τῆς τοῦ ῥήματος ἔχεται σχέσεως. καὶ οὕτω δὲ, τὸ συνδιατιθέμενον τῷ ῥήματι πτωτικὸν, ἐν μὲν τοῖς ἐνεργητικοῖς, ἐστὶν ἐκ γ', ἐν δὲ τοῖς παθητικοῖς, ἐκ α'. ἀλλὰ μὴν ἐν τῷ δίδωμί σοι χρυσίον, ἡ αἰτιατική ἐστιν ἡ συνδιατιθεμένη, ἡ αἰτιατικὴ ἄρ' ἐστὶν ἐκ γ'.

Πλὴν ἐπὶ τῶν κλητικῶν. ταῦτα γὰρ πρὸς εὐθεῖαν. καλοῦμαι σωκράτης.

Τούτων τὸ δοκοῦν ἐκ δ', ἀνομοιόπτωτον, πρὸς αἰτιατικὴν μὲν, ἐπὶ τῶν ἐνεργητικῶν. ἐγὼ καλῶ σὲ σωκράτην. πρὸς εὐθεῖαν δ' ἐπὶ τῶν παθητικῶν. σὺ καλῇ ὑπ' ἐμοῦ σωκράτης. καθ' ὅ, τι ἡ τοῦ προσώπου ταυτότης ταυτότητα καὶ τῶν πτώσεων ἀπαιτεῖ. δι' ὃν δὴ λόγον οὐδ' ἐκ δ', ἂν εἴη. εἴγε τὸ μὲν ἐκ δ', ἐστὶν ἑτεροπροσωπικὸν, τὸ δὲ τῶν κλητικῶν, οὐκ ἔστιν ἑτεροπροσωπικόν. ἐκ α', δὲ μᾶλλον, ὡς τῷ ἐκ α', ταυτοπροσωποῦν. ἐν γὰρ τῇ, ἐγὼ καλῶ σὲ σωκράτην, ἐνεργητικῇ συντάξει, τῶν ἀντωνυμικῶν ἄκρων τὸ ἐκ γ', οὐ καθ' ἑαυτὸ, μετὰ δὲ τοῦ ἀντονομαζομένου ὁμοιοπτώτου καὶ ταὐτοπροσωπικοῦ πτωτικοῦ ἀντιστραφήσεται ἐν τῇ παθητικῇ διαθέσει, οὑτωσί: σὺ σωκράτης καλῇ ὑπ' ἐμοῦ. τοῖς δὲ κλητικοῖς συντακτέον καὶ ὅσα προχείρισιν, ἢ προβιβασμὸν σημαίνει.

Λέγομεν οὖν,

Ἐφ' ὧν κοινὸν τὸ ἐκ δ', καὶ ὁμοιόπτωτον.

Βιβλίον πωλεῖται ὑπὸ κορίσκου στατήρων πολλῶν. χρυσίον δίδοται πρὸς τοῦ πλουτοῦντος τῷ πένητι. ἴδιον δὲ μάλιστα τοῦ παθητικοῦ τὸ συνεκδοχικὸν τῆς συντάξεως. οἷον, πλήττομαι τὸν πόδα. ἀλγῶ τὴν κεφαλήν.

Ἐπὶ τοπλέον φησὶ, καὶ οὐ καθόλου. καθ', ὅτι συνεκλαλεῖται καὶ ἐν τῷ ἐνεργητικῷ τὸ μέρος τῷ ὅλῳ. ὡς ἐν τῷ, κρεμῶ σε τοῦ ποδός. ἐν γοῦν τῷ, πλήττομαι τὸν πόδα, οἰκειοῦται μὲν τὸ ὅλον τὸ τοῦ μέρους πάθος, τῷ λόγῳ τῆς τοῦ μέρους πρὸς τὸ ὅλον σχέσεως, ἔχει δὲ ἑαυτῷ καὶ τὸ πάσχον μέρος συνεκλαλούμενον. Ἀπορήσεις, τοῦ πλήττομαι τὸν πόδα, τὸ πληρές ἐστιν, ἐγὼ πλήττομαι ὑπότου τὸν πόδα, σοῦ τυχὸν, ἢ τοῦ λίθου. παθητικὸν γὰρ ὄν, γενικὴν προθετικὴν ἕξει ἐκ γ'. ἐκ δ', ἄρ' ἐστὶ τὸ τοῦ μέρους δηλω-

ρους δηλωτικόν. πτωτικὸν τὸ δὲ ἐκ δ', κοινόν ἐστι καθ' ἑκατέρας τὰς διαθέσεις, καὶ ὁμοιόπτωτον ὡς εἴρηται, οὐ μὴν ἴδιον τῆς ἑτέρας. πῶς οὖν ἴδιόν φησιν; Ἢ ὅτι τῶν ἐκ δ', πτωτικῶν τὰ κοινὰ οὐκ εἰσὶ συνεκδοχικά. καὶ γὰρ καὶ τῶν διαβατικῶν τὸ ἐκ δ', συνεκλαλεῖ μὲν τῷ ὅλῳ τὸ μέρος, ἀλλὰ τὸ τῆς ἐνεργείας, οὐ τὸ τοῦ πάσχοντος. τὸ δὲ προκείμενον πτωτικὸν, ἐστὶ συνεκδοχικόν. τὸ γὰρ τοῦ πάσχοντος μέρος συνεκλαλεῖ, οὐ τὸ τῆς ἐνεργείας. οὐκ ἄρα κοινόν. Καὶ ἄλλως δὲ εἰπεῖν, τὸ συνεκδοχικὸν, ἴδιον τοῦ παθητικοῦ εἴρηται κατὰ τὸ β', τοῦ ἰδίου σημαινόμενον. παντὶ μὲν γὰρ ὑπάρχει τῷ παθητικῷ, (δυνάμει λέγω. δύναται γὰρ πᾶν παθητικὸν καὶ συνεκδοχικῶς προενεχθῆναι.) οὐ μόνῳ δέ. κοινὸν δὲ ὂν καὶ πρὸς τὸ ἐνεργητικὸν, κατὰ τὸ μάλιστα πρὸς αὐτὸ ἀντιδιαστέλλεται. Ἀλλ' ἐρεῖς, τί οὐχὶ, ὥσπερ παθητικῶς, οὕτω τοι καὶ ἐνεργητικῶς τὸ ὅλον ὁμολογεῖ τὸ προσδιατίθεσθαι; τοῦ γὰρ ἐγὼ πλήττομαι ὑπὸ σοῦ τὸν πόδα, τῶν ἄκρων ἀντιστραφέντων, τὸ ἐνεργητικὸν γενήσεται, οὐχὶ, σύ μου πλήττεις τὸν πόδα, ἀλλὰ, σὺ πλήττεις με τὸν πόδα. Ἢ ὅτι τοτηνικαῦτα τὸ συνεκδοχικὸν τῆς συντάξεως ἔσται κοινὸν καὶ τοῦ ἐνεργητικοῦ, ὁ δὲ, τοῦ παθητικοῦ φησίν ἐστιν ἴδιον. τὸ γὰρ τῷ μέρει τὸ ὅλον ὁμοιοπτώτως συντάσσειν, ποιητικὸν, καὶ τῷ πεζῷ λόγῳ ἄχρηστον. ὁποῖον καὶ τὸ, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων; τὸ γὰρ τοῦ ὅλου ἀντωνυμικὸν πτωτικὸν, ὁμοιοπτώτως τῷ μέρει ἐξενεχθὲν, οὐ πρὸς τὸ ὅλον, πρὸς δὲ τὸ προσδιατιθέμενον μέρος τὰ τῆς δείξεως ποιήσεται. καὶ οὕτως ἤτοι τὸ μέρος ἔσται ὅλον, ἢ τὰ τοῦ λόγου πρὸς τὸ ἄψυχον μέρος, οὐ πρὸς τὸ ἔμψυχον ὅλον ἔσται ἀποτεινόμενα. ἑκάτερον δ' ἀπεμφαῖνον. Ἐπὶ τούτοις ἀπορήσεις, ὡς κἀντῷ, διδάσκω σε γραμματικὰ, ἀφαιρῶ σε χρήματα, ἢ τὸν δοῦλον, ἢ τὸν ἵππον, ἐνδύω σε τὸ ἱμάτιον, καὶ τοῖς τοιούτοις, τὸ μέρος τῷ ὅλῳ ὁμοιοπτώτως ἐξηνέχθη. ἥγε μὴν ἀντωνυμικὴ δεῖξις οὐ πρὸς τὸ μέρος, πρὸς δὲ τὸ ὅλον ἔχει τὴν ἀπότασιν. κατὰ ταὐτὰ δὴ οὐδὲν ἦν ἀπεμφαῖνον εἰπεῖν καὶ, πλήττω σε τὸν πόδα. τοῦ ὅλου κἀντούτῳ, οὐ τοῦ μέρους δεικνυμένου. Ἢ ὅτι τὸ μέρος ἐν μὲν τῷ, ἀφαιρῶ σε τὸν ἵππον, οὐ τοῦ ἀντονομαζομένου, τῶν δὲ περὶ αὐτὸ κτημάτων ἐστὶ μέρος, ἐν δὲ τῷ, πλήττω σε τὸν πόδα, τοῦ ἀντονομαζομένου ὂν μέρος τὸ πτωτικὸν, καὶ ἀχώριστον τούτου, εἰς ἑαυτὸ ἐπισπᾶται τὰ τῆς δείξεως. Τοῦ δὲ ἐκ δ', πτωτικοῦ κοινοῦ ὄντος, ὡς εἴρηται, κοινὰ ἄρ' ἔσται καὶ τὰ τῶν συνθέτων εἴδη ἐπ' ἀμφοῖν τῶν διαθέσεων. διαβατικὸν ἄρα κατὰ τὸ, ἐγὼ διδάσκω σε γραμματικά. καὶ τὸ, σὺ διδάσκῃ ὑπ' ἐμοῦ γραμματικά. ἐπ' ἀμφοῖν ὁμοίως ἀπότου ἐπί τι διαβιβαζομένης τῆς ἐνεργείας, ὀρθῶς μὲν, κατὰ τὸ ἐνεργητικὸν, ἀντεστραμμένως δὲ, κατὰ τὸ παθητικόν. Ἀλλ' ἀπορ': τὸ διαβιβάζον ἐπί τι τὴν ἐνέργειαν, ἐστὶ μεταβατικόν. τὸ δὲ παθητικῶς συντεταγμένον. οἷον, διδάσκομαι ὑπὸ σοῦ, οὐκ ἔστι διαβιβάζον ἐπίτι τὴν ἐνέργειαν. εἴγε τῶν πτωτικῶν τῆς παθητικῆς συντάξεως τὸ μὲν ἐκ α', ἀμεταβάτως σύνεστι τῷ ῥήματι, τὸ δὲ ἐκ γ', ἐκπέμπει μᾶλλον, ἤπερ ἐκδέχεται τὴν τοῦ ῥήματος μετάβασιν, προθετικὸν ὂν, οὐ ῥηματικόν. ἡ ἄρα παθητικὴ σύνταξις μὴ μεταβιβάζουσα ἐπίτι τὴν ἐνέργειαν, οὐκ ἔστι μεταβατική. ἄρ' οὐδὲ τὸ διδάσκομαι ὑπὸ σοῦ γραμματικὰ, διαβατικόν ἐστιν. εἴγε τῇ τοῦ γένους ἀναιρέσει συναναιρεῖται καὶ τὸ εἶδος. Ἢ ὅτι ἐξ ἐλάττονος ἀποφατικῆς ἐπὶ τοῦ α', χήματος οὐδὲν ὑγιὲς συνάγεται. ἄλλως τε οὐδὲ τὴν ἐλάττονα παραδεκτέον ὡς ἀληθῆ. τὸ γὰρ διαβιβάζειν ἀπότου ἐπίτι τὴν ἐνέργειαν, θεωρεῖται διχῶς, ἤτοι ἀπὸ

τοι ἀπὸ τοῦ ἐκ α', ἐπὶ τὸ ἐκ γ', ὡς ἐν τοῖς ἐνεργητικοῖς, ἢ τἀνάπαλιν, ἀπὸ τοῦ ἐκ γ', ἐπὶ τὸ ἐκ α', ὡς ἐν τοῖς παθητικοῖς. καὶ ἡ παθητικὴ ἄρα σύνταξις ἀπό τοῦ ἐπί τι μεταβιβάζουσα τὴν ἐνέργειαν, μεταβατικὴ ἂν εἴη. Ἀλλ' ἐνίστασαι, τῶν πτωτικῶν τὸ ἐκδεχόμενον τὴν τοῦ ῥήματος μετάβασιν, ἐστὶ πλαγίας, ἐν δὲ τῇ παθητικῇ συντάξει τὸ ἐκ α', πτωτικὸν οὐκ ἔστι πλαγίας. εὐθείας γάρ. οὐκ ἄρα μεταβατικὴ ἐστιν ἡ παθητικὴ σύνταξις. Ἢ διαιρετέον τὴν μείζονα. τὸ γὰρ ἐκδεχόμενον τὴν τοῦ ῥήματος μετάβασιν, ἐστὶ καὶ εὐθείας. ἐκ δὲ μείζονος μερικῆς ἐπὶ τοῦ β', σχήματος οὐδὲν συνάγεται. Πάλιν ἐνίστασαι, τὸ ὑποκείμενον, ἐφ' ὃ διαβιβάζεται ἡ τοῦ ῥήματος ἐνέργεια, ἑτεροπροσωπικόν ἐστι. διδάσκω γάρ σε ἐγώ. τὸ δὲ ἐν τῇ παθητικῇ συντάξει ἐκ α', πτωτικὸν οὐκ ἔστιν ἑτεροπροσωπικὸν τοῦ ῥήματος, οὐκ ἄρα ἐπὶ τοῦτο διαβιβάζεται ἡ τοῦ ῥήματος ἐνέργεια. ἀλλὰ μὴν οὐδ' ἐπὶ τὸ ἐκ γ', ὡς εἴρηται. οὐκ ἄρα μεταβατική. Ἢ ὅτι μερικὴ κἂν ταῦθα ἡ μείζων. τὸ γὰρ ἐφ' ὃ, οὐ μόνον ἑτεροπροσωπικόν, ἀλλὰ καὶ ταυτοπροσωπικὸν τῷ ῥήματι. Ἔτι ἐνίστασαι, τὰ ὡς εἴρηται ἐνεργητικὰ ἐπί τι διαβιβάζει τὴν ἐνέργειαν, ἐπί τι δὲ διαβιβάζει τὴν ἐνέργειαν καὶ τὰ παθητικὰ, ἐνεργητικὰ ἄρ' ἐστὶ καὶ τὰ παθητικά. Ἢ ἐξ ὁμοιοσχημόνων ἐπὶ τοῦ β', σχήματος οὐδὲν συνάγεται. εἶεν, τὸ ἐπί τι διαβιβάζον τὴν ἐνέργειαν, ἐστὶν ἐνεργητικόν. τὸ δὲ παθητικὸν ἐπί τι διαβιβάζει τὴν ἐνέργειαν, ἄρα. Ἢ ὅτι τῆς μείζονος τὸ ὑποκείμενον ἐπιπλέον ἐστὶ τοῦ κατηγορουμένου, ὀφεῖλον εἶναι ἤτοι ἐπέλαττον, ἢ γοῦν ἐπίσης. ὥσπερ ἂν εἴ τις εἴποι, τὸ ζῷόν ἐστιν ἄνθρωπος. ὁ ἵππος ἐστὶ ζῷον. ἄνθρωπος ἄρα. οὐδὲ γὰρ ἀληθὲς πᾶν τὸ διαβιβάζον ἐπί τι τὴν ἐνέργειαν, ἐνεργητικὸν εἶναι. εἴ γε τὸ ἐφ' ὃ, οὐ μόνον ἐνεργητικὸν, ἀλλ', ὡς δέδεικται, καὶ παθητικόν. οὐδὲ γὰρ, ὥσπερ τὸ ἐνεργητικὸν διαβιβάζει ἐπί τι τὴν ἐνέργειαν, οὕτω καὶ τὸ διαβιβάζον ἐπί τι τὴν ἐνέργειαν, ἐστὶν ἐνεργητικόν, καθ' ὅ, τι οὐδὲ γραμματικοὶ κανόνες πανταχοῦ ἁπλῶς ἀντιστρέφουσιν. ἐκ δὲ μείζονος μερικῆς οὐδὲν συνάγεται. ἄλλως τε ἡ αὐτὴ διάθεσις, ὡς εἴρηται, ἐκ μὲν τοῦ ἐνεργοῦντος, ἐνέργεια ἀκούει, ἐν δὲ τῷ πάσχοντι, πάθος. ἐπικρατεῖ γε μὴν ἡ τοῦ ἐκ α', πτωτικοῦ, ὁποτέρως ἂν ἔχῃ διαθέσεως.

Οὐδετέρων Ὑπαρκτικῶς.

Σύνταξις.

Τῶν δὲ οὐδετέρων τὸ μὲν ὑπαρκτικὸν, ὀνομαστικῇ ἐκ γ', συντάσσεται.

Καθ' ὅ, τι τὰ μὲν παρὰ τὸ ὑπαρκτικὸν, ὅσα μεταβατικὰ, ἀδιαφορεῖ πτώσεσιν ἐπιπλεκόμενα διαφόροις ἐκ γ', οἷα μεταβατικὰ, τοῦτο δὲ ἀμετάβατον ὂν, ὁμοιόπτωτον τὸ ἐκ γ', ἀπαιτεῖ τῷ ἐκ α', διάτε τὴν τοῦ αὐτοῦ προσώπου παρέμπτωσιν, καὶ δι' ὅ, τι τὸ ἐκ γ', ἐπιθετικῶς κατὰ τοῦ ἐκ α', λεγόμενον, ὁμοιοπτωτεῖν ἐκείνῳ ὀφείλει.

Σωκράτης ἐστὶν, ἢ τυγχάνει λευκός. τό γε μὴν τυγχάνει, βέλτιον εἰς εὐθεῖαν μετοχικὴν ἐκ τρίτου. Σωκράτης τυγχάνει ὢν ἀγαθός.

Μετοχικὴν οὐ τὴν τυχοῦσαν, ἀλλὰ τὴν τοῦ ὑπαρκτικοῦ, εἰς ἔνδειξιν τοῦ ὅτι τὸ τυγχάνει, συντασσόμενον εὐθείᾳ ἐκ γ', ὑπαρκτικόν ἐστιν, οὐ τῶν κατ' εἰσπομπὴν κτητικῶν, τῶν γενικῇ ἐκ γ', συντασσομένων. οἷον, τυγχάνει τοῦ σκοποῦ.

Ἢν δὲ ἡ μετοχὴ μὴ ὑπαρκτικοῦ ᾖ, οὐδενὸς δεῖ ἐκ τετάρτου.

Ὁμοιο-

Ὁμοιοπτώτου καὶ ταυτοπροσωπικοῦ πτωτικοῦ. ἄλλως γὰρ, οὐ πάντως. ὡς ἐπὶ τοῦ, σωκράτης τυγχάνει διδάσκων φαῖδρον.

Ἐντελῶς γάρ φαμεν, σωκράτης τυγχάνει περιπατῶν, ἢ διαλεγόμενος. τ' ἄλλα δὲ,

Τὰ παρὰ τὸ ὑπαρκτικὸν εἴδη τῶν οὐδετέρων. ὅια τὰ ἐφεξῆς.

Κοινὰ πρὸς τὸ ἐνεργητικόν.

Κατὰ τὰ ἐνεργητικὰ καὶ αὐτὰ, (ὑπεξαιρουμένων τῶν αὐτοουδετέρων,) τῶν πλαγίων ταῖς τρισὶ συμφέρεται.

Κτητικῶς.

Τῶν τε οὖν κατ' εἰσπομπήν τε καὶ κτῆσιν ἡ ἐκ τρίτου γενική.

Καθ' ὅ, τι καὶ τῶν ἐνεργητικῶν γενικῇ μὲν, τὰ κατ' εἰσπομπήν. δοτικῇ δὲ, τὰ κατὰ περιποίησιν. αἰτιατικῇ δὲ, τὰ κατ' ἐκπομπήν.

Χρῄζω, διέχω, πληθύω, δέω, ἀπορῶ, εὐπορῶ, ἀμοιρῶ, ἀπολαύω, τρυφῶ, ὄζω.

Τὸ διέχω τῶν ἐκστατικῶν ἐστιν, οὐ τῶν κτητικῶν. τοῖς γεμὴν κατ' εἰσπομπὴν συμπαρείληπται καὶ τὰ ἐκστατικά. καὶ τὸ ὄζω δὲ τῶν κατ' ὄσφρησιν ἀναληπτικῶν ὂν, ὁμολόγως τῶν κατ' εἰσπομπὴν ἐστιν. ὄζω μύρων, διενηνοχὸς πρὸς τὸ ὀσφραίνομαι τῇ διαθέσει, τὸ μὲν γὰρ, ἐπίμεσον, τὸ δὲ, οὐδέτερον. Ἀλλ' ἀπορήσεις, προαποδέδεικται ἤδη τὸ καθ' ὃ οὐκ ἄλλη τις τῶν πτώσεων, ὅτι μὴ ἡ αἰτιατικὴ αἰτιολογοῦσα. τῶν δὲ κατὰ κτῆσιν ἡ γενικὴ τὸ καθ' ὃ αἰτιολογοῦσα φαίνεται. ἐν γὰρ τῷ, φέρε, εὐπορῶ χρημάτων, τὰ χρήματα τὸ εἶδος ἐμφαίνει τῆς κτήσεως, εἴ τ' οὖν εὐπορίας. ὤφειλεν ἄρα τὰ κτητικὰ τῶν ῥημάτων, οὐ γενικῇ, αἰτιατικῇ δὲ συντάσσεσθαι. Ἢ ὅτι ἐξ ὁμοιοσχημόνων ἐπὶ τοῦ β', σχήματος οὐδὲν συνάγεται. τοιγαροῦν ἀναχθήτω ἐπὶ τοῦ α'. ἡ τὸ καθ' ὃ αἰτιολογοῦσα πτῶσις, ἐστὶν αἰτιατική. τὸ δὲ ἐκ γ', τῶν κτητικῶν ῥημάτων πτωτικὸν, τὸ καθ' ὃ αἰτιολογεῖ, ἄρα. Ἢ ὅτι διαιρετέον τὴν μείζονα. μὴ κτηματολογοῦσα μὲν γὰρ, αἰτιατικὴ ἂν εἴη, ἡ τὸ καθ' ὃ σημαίνουσα πτῶσις, κτηματολογοῦσα δὲ, οὐκ ἔτι. εἴ γε κτῆσις δι' ἄλλης οὐκ ἐμφανίζεται πτώσεως, ὅτι μὴ διὰ μόνης, ὡς εἴρηται, γενικῆς.

Ὀργανικῶς,

Βρίθω δὲ καὶ εὐσθενῶ, ὀργανικῶς δοτικὴ, καὶ ὅλως τῶν ἀπολελυμένων, εἰ δοκεῖ προστιθέναι.

Ἡ συνταξις ἀπὸ κοινοῦ οὕτω. τοῦ δὲ βρίθω καὶ εὐσθενῶ, καὶ ὅλως τῶν ἀπολελυμένων ἡ ἐκ γ', δοτική. ὅθεν τὸ, δοτικῇ κατ' εὐθεῖαν ἀναγνωστέον συνάρθρον, ἵν' ᾖ, ὥσπερ τῶν κατὰ κτῆσιν ἡ ἐκ γ', γενικὴ, οὕτω καὶ τῶν ἀπολελυμένων ἡ ἐκ γ', δοτικὴ, οὐ περιποιητικῶς. αὐτοουδέρα γὰρ, εἴ τ' οὖν ἀπόλυτα. ὀργανικῶς δέ. καὶ τοῦτο οὐ κατὰ πᾶσαν ἀνάγκην, ἀλλ' εἴ τῳ πρὸς θυμοῦ φράσαι καὶ τὸ αἴτιον.

Οἷον, ἀγρυπνῶ, καὶ γρηγορῶ, καὶ ζῶ, καὶ πλουτῶ ἀρετῇ, ἢ δι' ἀρετὴν, ἢ ὅπως ἂν ἄλλως ἐγχωρῇ φράζειν τὸ αἴτιον.

Τὸ ποιητικόν. ἐντεῦθεν σημειωτέον τὴν τοῦ ὀργανικοῦ πρὸς τὸ ποιητικὸν αἴτιον συγγένειαν. εἴ γε ἡ τὸ ὀργανικὸν αἰτιολογοῦσα δοτι-

σα δοτικὴ, εἰς προθετικὴν αἰτιατικὴν μετείληπται τὴν τὸ ποιητικὸν αἰτιολογοῦσαν. καὶ γὰρ ἡ διὰ, μετὰ αἰτιατικῆς, ὑπεξαιρουμένου τοῦ τελικοῦ, τὸ ποιητικὸν αἰτιολογεῖ. τὸ δὲ, εἰ δοκεῖ προστιθέναι τοῖς ἀπολελυμένοις πτωτικὸν, ἐννοεῖν δίδωσι μὴ τῆς τοῦ ῥήματος, ἰδίας δὲ συντάξεως ἔχεσθαι τὴν ὀργανικὴν δοτικήν. οὐδὲ γὰρ ἂν μετελήφθη εἰς αἰτιατικὴν προθετικήν.

Περιποιητικῶς.

Τῶν δὲ περιποιητικῶν ἡ δοτική.

Ἀπὸ κοινοῦ τὸ, ἐκ τρίτου.

Συμβαίνω, ὑπάρχω, ὑποχωρῶ, εἴκω.

Τούτοις πρόσθες καὶ τὸ ὑπαρκτικὸν, περιποιητικῶς δοτικῇ πολλαχοῦ συντασσόμενον.

Ὁμοίως δὲ καὶ ἐπὶ τῶν λοιπῶν συντακτέον.

Τῶν καθ' ἕκαστα οὐδετέρων ῥημάτων. ὧν ἐστι καὶ τὸ, ὡς εἴρηται, πιστεύω. ὅπερ ἄλλο τι δηλοῖ περιποιητικῶς συντασσόμενον, καὶ ἕτερον, ἀτελῶς. τὸ μὲν γὰρ πιστεύειν εἴς τι, μόνης ἐστὶ τῆς θεότητος κατὰ Γρηγ': τὸν θεολόγ: τὴν μετ' ἐλπίδος καὶ ἀγάπης πρὸς τὸν θεὸν τῆς ψυχῆς δι' ὅλου ἀναφορὰν ὑποδηλούσης τῆς προθέσεως, τὸ δὲ πιστεύειν τινὶ, παντός ἐστι πράγματος. οἷόν τε γὰρ λέγειν πιστεύω Θεῷ, μωσεῖ, πέτρῳ, παύλῳ, καὶ τοῖς λόγοις αὐτῶν, πιστεύω δηλονότι ὅτι εἰσὶν, οἱ μὲν, αὐτὸ τοῦτο, ὅπερ εἰσὶν ἕκαστος, οἱ δὲ, ὅτι ἀληθεῖς. πιστεύω δὲ εἰς μωσῆν, ἢ εἰς τοὺς λόγους αὐτοῦ, οὐδαμῶς, ἀλλ' εἰς Θὸν μόνον. οὐ γὰρ ταὐτόν ἐστί φησιν ὁ ναζιαν: γρηγόρ: ἐν τῷ περὶ τοῦ Πνεύματος, πιστεύειν εἴς τι, καὶ, περὶ αὐτοῦ πιστεύειν. τὸ μὲν γάρ ἐστί φησι, θεότητος, τὸ δὲ, παντὸς πράγματος. ὁ δὲ Χρστμ, ὁμλ': ξή, καὶ ιβ', τοῦ κατὰ ἰω: (τὸ μέν τινι πιστεύειν, τοῖς αὐτοῦ ῥήμασίν ἐστι πιστεύειν, κατὰ τὸ, εἰ ἐπιστεύετε μωσεῖ, ἐπιστεύετε ἂν ἐμοί. εἰ δὲ τοῖς ἐκείνου ῥήμασιν οὐ πιστεύετε, πῶς τοῖς ἐμοῖς ῥήμασι πιστεύσετε; τὸ δὲ εἴς τι, τὴν εἰς τὴν οὐσίαν πίστιν δηλοῖ, κατὰ τὸ, πιστεύετε εἰς τὸν Θεὸν, καὶ εἰς ἐμὲ πιστεύετε.

Κατὰ τὰ κοινῇ εἰρημένα.

Εἴδη, ἐν τῇ καθ' ἕκαστα μεταβατικῇ τῶν προσωπικῶν συντάξει. τὸ γὰρ κατ' ἐκπομπὴν, κατ' εἰσπομπὴν, καὶ κατὰ περιποίησιν, οὐ μιᾶς τινος ἴδιον, ἀλλὰ κοινὸν ἁπλῶς ἐστι πασῶν τῶν διαθέσεων. ἐπεὶ γὰρ οὐκ ἄλλαι, ἀλλ' αὐταὶ αἱ προειλημμέναι δύω κυρίως διαθέσεις ἐμπεριέχονται κἀν ταῖς ἐφεξῆς, ἔνθα μὲν, συνημμένως, ὡς ἐπὶ τῶν μέσων, ἔνθα δὲ, διῃρημένως, ὡς ἐπὶ τῶν ἐπιμέσων, ἔνθα δ', ἀνὰ μέρος, ὡς ἐπὶ τῶν οὐδετέρων, πρόδηλον ὅτι τὰ ἐν ταῖς δυοῖν τῶν διαθέσεων ὁρισθέντα εἴδη, κοινά ἐστι κἀπὶ τῶν ἐφεξῆς.

Αὐτοπαθητικόν.

Τὸ δ' αὐτοπαθητικὸν, οὐδέτερον μέντοι καὶ αὐτὸ, ὡς μὴ μεταχηματιζόμενον τῇ μαῖ, εἰς παθητικὴν σημασίαν.

Ἔστιν ἃ καὶ τῶν ψυχικὴν, ἢ σωματικὴν διάθεσιν σημαινόντων. οἷς οὐ προσγίνεται πάλιν ἡ παθητικὴ ἔγκλισις, διὰ τὸ ἐν τῇ προσούσῃ καταλήξει τὸ πάθος ὑπαγορεύεσθαι ἀμεταβάτως. ἔστι μὲν γὰρ τὸ ἀνιῶ ἐν διαβάσει ἑτέρου προσώπου. ὅπερ ἀποτελέσει παθητικὸν τὸ ἀνιῶμαι. οὐ μὴν τὸ κοπιῶ, ἢ τὸ ὀφθαλμιῶ, ἀσθενῶ καὶ τὰ ὅμοια.

τὰ γὰρ

τὰ δὲ τοιαῦτα τῆς ῥημάτων ἐν αὐτοπαθείᾳ ἔχει τὴν ὁρισμόν. ὅθεν ἡ συσήσεται παθητικὰ τὰ πάσχω, χαίρω, ἐρυθριῶ, θνήσκω, γηρῶ, θάλλω, ὀρχοῦμαι, γαυριῶ. τό, τε δὲ χαίρω, παρουσίαν ὑπαγορεύει χαρᾶς, καὶ τὸ γηρῶ, γήρως. καὶ τὸ νοσῶ, νόσου. ἄλογον δὲ φαίνει, χαίρομαι, νοσοῦμαι, γηρῶμαι. τοιοῦτο γάρ τοι παρακολουθήσει, ὡς εἰ καὶ ἀρσενικοῦ ὀνόματος ἀρσενικόν τις ἐπιζητήσειεν, ἢ θηλυκοῦ θηλυκόν. ὅπου δὴ ἂν καὶ παθητικοῦ ὄντος, παθητικόν τις ζητήσειεν. Ἐντεῦθεν δῆλον, ὡς τὰ ἀδέτερα ἀ δι' ὅτι ἀδετέραν ὑποδηλοῦσι διάθεσιν, ἥκιστα τοιαῦτα. ἔστι δὲ ἃ τῶν ἄτερα ὑποδηλοῦσιν, ὡς ταῦτα μὲν, τῷ παθητικῷ, τὴν δὲ ἐνεργητικῷ, τὰ ἑξῆς ὁλοενεργητικά. ἀλλ' ὅτι τὴν εἰς μαι, κατάληξιν ἀφορίζεται. τοῦ δὲ εἰς μαι, μὴ λήγοντος παθητικοῦ ἀ δὲ τὸ εἰς ῶ, ὡς ἐνεργητικόν παραδεκτέον. Ἐποίσοι δ' ἄν τις, ὡς τὰ μέσα τε καὶ ἐπίμεσα ἀ μεταχηματίζεται τῇ ῶ, εἰς ἐνεργητικῷ σημασίαν. τὸ δὲ εἰς ῶ, ἁπλῶς μὴ λήγοντος ἐνεργητικοῦ ἀδὲ τὸ εἰς μαι, παραδεκτέον ὡς παθητικόν. ἔσαι ἄρα καὶ τὰ μέσα τε καὶ ἐπίμεσα ἀδέτερα καὶ αὐτά. ἔμενεν, ἀλλ' ἑκάτερα φαίλη αὖ ἔγωγε, ὅ ἐστιν ἐνεργητικά τε καὶ παθητικά. ἐνεργητικοῦ δὲ καὶ παθητικοῦ τὸ μέσον ἀ τὸ ἀδέτερον μόνον, τὸ μὴ μετέχον τῆς ἄκρων, ἀλλὰ καὶ τὸ ἑκάτερον ὄν. τῆς γοῦν εἰς μαι καταλήξεων μηδεμιᾶς ὔσης ἀδιαθέτου, μόνη ἡ εἰς ῶ, ὡς μὴ πᾶσα ἁπλῶς ἐν διαθέσει ὖσα, τῷ ἀδετερωνυμίαν ἐκληρώσατο, τῇ εἰς μαι τῆς ἑκατερωνυμίας παραχωρήσασα.

Αὐτοπαθητικὸν δὲ κληθὲν, ἀναμέρος εἴληπται.

Εἶτα, διασαφῶν τὸ ἀνὰ μέρος, ἐπιφέρει.

Ἡ πάθος ἀφ' ἑαυτοῦ τυγχάνει δηλοῦν.

Τὰ μὲν δὴ ἐκ προϋφεστώσης ἐνεργητικῆς διαθέσεως παθητικὰ ῥήματα, ἐκ δύοιν μερῶν δηλοῦσι τὸ πάθος, τοῦ τε ἐνεργοῦντος προσώπου καὶ τοῦ πάσχοντος, τὰ δ' αὐτοπαθῆ ἐξ ἑνός, τοῦ πάσχοντος μόνου. τοῦτ' ἔστιν οἰκοθεν καὶ ἀφ' ἑαυτῆς τὸ πάθος δηλοῦσι, μηδεμίαν ἔξωθεν καὶ ὑφ' ἑτέρου ἐνεργοῦντος προσώπου κίνησιν ἐπιδεχόμενα, καὶ ὡς εἰπεῖν μὴ ἐκ προϋπαρχούσης ἐνεργητικῆς διαθέσεως. καὶ τῇ Ἀπολλ: δὲ φαίνει, ἡ τὸ τύπων πάθος ἀμεταβάτως ὑπαγορεύεται, καὶ μὴ ἐν διαβάσει ἑτέρου προσώπου. ταῦτ' ἄρα καὶ τῆς εἰς μαι καταλήξεως ἥκιστά εἰσιν ἐπιδεᾶ. ἢ τὸ ἀνὰ μέρος, καὶ αὐτὶ τοῦ σημασίᾳ μόνῃ, ἀμοιρῶ δὲ καὶ τῇ φωνῇ. ὥσπερ τὸ ὁλοπαθὲς καθ' ἑκάτερα τυγχάνει παθητικόν. ὁδὲ λόγος, κατὰ αὐτιμέρειαν. τὸ δὲ, αὐτοπαθητικὸν δὲ κληθὲν, ἀναμέρος εἴληπται, κεῖται αὐτὶ τοῦ, αὐτοπαθητικὸν δὲ ἐκλήθη, ἀναμέρος λήφθη. διό, τι δηλονότι εἰλήφθη ἀνὰ μέρος. ὡς εἶναι τὴν ἀνὰ μέρος λῆψιν, αἰτίαν τῆς τοιᾶσδε κλήσεως. Τῶν δὲ ἐν ἑαυτοῖς τὴν αἰτίαν τοῦ κινεῖσθαι ἐχόντων, τὰ μὲν ἄψυχα, ἐξ ἑαυτῆς φασι κινεῖσθαι, ἀφ' ἑαυτῆς δὲ τὰ ἔμψυχα.

Καὶ αὐτιδιαιρεμενον τῷ ὁλοενεργητικῷ καὶ τῷ αὐτοδετέρῳ.

Εἴδει τοῦ ἀδετέρου, κατὰ γένος τὸ ἀδέτερον. αὐτιδιαιρεῖται δὲ ἀλλήλοις τὰ τοιαῦτα εἴδη. εἴγε τὸ μὲν ἀνὰ χεῖρας, σημαίνει πάθος. τὸ δὲ ὁλοενεργητικὸν, ἐνέργειαν, τὸ δὲ αὐτοδέτερον, ἀδετέραν διάθεσιν. τῷ γοῦν λόγῳ τῆς καὶ τὸ εἰδικώτατον εἶδος διαφόρων διαθέσεων, καὶ ὡς εἰπεῖν, ἰδιαίτατα διαφορῶν, ὡς εἰδοποιοῦσι καὶ συστατικαῖς διαφοραῖς ἀπ' ἀλλήλων διαστέλλεται τὰ εἴδη τοῦ ῥή-

δη τῦ ῥήματος.

Οἷον τὰ, πάχω, φθίνω, ἔῤῥω, ἀλγῶ, φρίττω, πυρέττω, ἐρυθριῶ, νοσῶ, ἀποθνήσκω, ἢ τὰ ὅμοια. σύνταξις δὲ τῦ τοιέτυ ἡ αὐτὴ τοῖς παθητικοῖς, ὡς εἰκός. πάχει ὑπὸ τῦ ποιῦντος. φθίνει ὑπὸ τῦ φθείροντος.

Οὐκ ἄρα πάθος ἀφ' ἑαυτῦ τυγχάνει δηλῶν. εἰ γ' ὁ πάχων, ἐχ ὑφ' ἑαυτῦ, ὑπὸ δὲ τῦ ποιῦντος πάχει. Ἢ ὅτι ὥσπερ καὶ τῷ περιπατεῖ, ζῇ, ἀρίζᾳ καὶ τοῖς ὁμοίοις αὐτοτελέσιν ὖσι προσίθεται ἐθ' ὅτε τὸ ἐῦτινι. οἷον, ἐν γυμνασίῳ ζῇ, ἕτω καὶ τῶν αὐτοπαθῶν προσίθεται τὸ ποιῦν τὸ πάθος, ἡ παθητικὴ δηλαδὴ σύνταξις. ἧς καὶ μὴ προσκειμενης, τῇ αὐτοτελείᾳ τῦ πάθυς ἀνένδοιαστόν ἐσί φησιν ὁ Ἀπολλ. τὰ γὰρ τοιαῦτα τῶν ῥημάτων ἐν αὐτοπαθείᾳ ἔχειν τὸν ὁρισμόν, εἴτ' ἔν τὸ σημαινόμενον.

Τὸ δὲ ἔκτυ ἢ καθ' ὃ, ἢ διὸ, ἢ ὅλως τὸ αἰτιολογικόν, κοινόν.

Τὰ ἐν τοῖς μετεβατικοῖς ἐκ τεταρτεπτωτικὰ, ἢ καὶ τὰ ἄπτωτα, κοινὰ μέν ἐσι καὶ ἐπὶ τῶν ἀδετέρων, ἐμὴν παντάχῦ ἐν δ' ἐῖγ' ἀδέ παῦ ἀδέτερον, μεταβατικόν. τὰ δὲ προθετικὰ μόρια, οἷον κατ' εἶδος τῷ αἰτίων δηλῦσιν, εἴρηται. καὶ τὸ ὑφ' ἕ δὲ συμπαρείληπται τοῖς καθ' ἕκασα τῦ αἰτίυ εἴδεσιν ἐν τῷ, πάχει ὑπὸ τῦ ποιῦντος.

Καὶ ἔτι τὸ ἐπιβατικὸν, καὶ τὸ σωεκδοχικὸν τῆς σωτάξεως. πάχω ταῦτα. καὶ, νοσῶ νόσον, καὶ, ἀλγῶ τὴν κεφαλήν.

Ἐπιβατικὸν ἐνταῦθα τὸ ὡς ἐπιβατικὸν λητέον. εἴγε τὸ μὲν ἐπιβατικὸν, ὡς εἴρηται, τῦ διαβατικῦ ἐσιν ἐλειπτικὸν, τὰ δὲ διαβατικὰ, εἰσὶ μεταβατικά· τὸ δὲ αὐτοπαθητικὸν ἔτε μεταβατικόν ἐσι καὶ ἀκολὰθως ἐ δὲ διαβατικόν. δοκεῖ δέπως τό, τε ἐπιβατικὸν καὶ τὸ σωεκδοχικὸν ἀλλήλοις ταυτίζεθαι· ἑκάτερα γὰρ τὸ καθ' ὃ, εἴτ' ἔν τὸ μέρος ὑποδηλῦσιν· εἰ καὶ τὸ μὲν, τῆς ἐνεργείας· ἢ τῦ πάθυς· τὸ δὲ, τῦ πάχοντος, τὸ σωεκδοχικόν. τινὰ δέ τινων, καὶ ἐ πάντα πάντων τῷ ἑτέρων κοινὰ τὰ τῦ αἰτίυ εἴδη.

Ὁλοσυνεργητικόν.

Τὸ δὲ ὁλοσυνεργητικὸν τὴν πρὸς αἰτιατικὴν βέλεται σωτάξιν.

Καθ' ὁμοίοπτα τῶν κατ' ἐκπομπήν. προφανὲς γὰρ, ὡς ἡ γνομένη ἐνέργεια ἐκ τῷ δ' ἐθέντος, ἐπ' αἰτιατικὴν φέρεται.

Οἷον, φεύγωσε, καὶ λανθάνω, καὶ κρύπτω, καὶ παραλλάττω, καὶ παρελάυνω, καὶ θέλω, καὶ ἀναβαίνω.

Ἐπισάσεως ἄξια τὰ τοιαῦτα, τρέμωσε, φεύγωσε, φρίσσωσε, καὶ τῶν παθητικῶν δὲ τὸ, τῦτον φοβῦμαι· ἃ ἐ δὲ μιᾶς ὄντα ἐνεργείας ἐμφαντικὰ, φέρεται ἐπ' αἰτιατικήν. μᾶλλον γὰ αὐτοπάθειαν σημαίνει τὸ φρίσσειν καὶ τρέμειν διὰ φόβον· καὶ ἔτι τὸ φεύγειν· θρηνεῖν· γοᾶν· κλαίειν, καὶ τὰ παραπλήσια, συνεπιχύοντος καὶ τῦ μὴ γίνεθαι ἐπὶ τῷ τοιύτων σωπάξεων παθητικὰς διαθέσεις. εἰ γὰρ τῆς αὐτῆς σωπάξεως τῷ ὑβρίζωσε, δαίρωσε, τὸ φρίσσωσε, καὶ τὸ τρέμωσε, εἶχεν ἂν πάντως καὶ ἀντιπαρακείμενα τὸ τρέμομαι, φεύγομαι, φειάσομαι· ὁμοίως τῷ ὑβρίζομαι, δαίρομαι. Ἔσι δὲ αἴτιον τῦ πρὸς αἰτιατικὴν φέρεθαι, ἡ προθετικὴ

θετικὴ ἔλειψις, φημὶ τῆς διὰ, ἐθίμου ὄντος τὸ χήματος ποιηταῖς τε καὶ λογογράφοις. Ἔστιν οὖν ἡ προκειμένη σωτάξις ἐν πλήρει λόγῳ καθισαμένη οὕτω, τρέμω διὰ σέ. φεύγω διὰ σέ. ὁ αὐτὸς λόγος καὶ πὶ τὸ φείδω, φοβοῦμαι. ὀδύρομαι, καὶ τῶν ὅσα αὐτοπάθειαν σημαίνει. καὶ ἀπὸ τούτου ὁ λογος ἡ ὑποπαράτησις τῶν παθητικῶν χημάτων. τὰ δὲ προκείμενα ὁλοενεργητικὰ ἐνεργητικὴν μὲν σημαίνει διάθεσιν, ἐν μὴν ἔχει ἀντιπαρακειμένην παθητικὴν ἐνφορὰν ἐπὶ ἀ, καὶ β, προτώπου. καθ' ὅ, τι τὰ διατιθέμενα, ἄψυχα καθεστῶτα, ἐπ ἠδυνάτο ὁμολογῆσαι τὸ παθεῖν. (εἰρήτις αὐτὸς τὸν λόγον διάθοιτο, μελέτημα ποιούμενος φωνῆς.) ὡς ἔχει τὸ περιπατῶ, πλέω, τρέχω, καὶ ἐπὶ ἁπασῶν τῶν τοιούτων ἐνεργητικῶν διαθέσεων. τούτων γὰρ ἐ συνατὰ τὰ ἐπὶ ἀ, καὶ β, προσώπα παθητικά. καθ' ὃ ἔτε πρὸς τὰ ἄψυχα αἱ ἀποτάσεις τῶν λόγων, (ὡς εἶναι λέγειν, περιπατῇ σὺ, ὦ ὁδός. πλῇ, ὦ θάλασσα.) ἔτε ἐξ ἀψύχων αἱ ἀποφάνσεις γίνονται. (ἐ γὰρ ἂν εἴποι ἡ θάλασσα, πλέομαι. ἢ ἡ ὁδὸς, περιπατοῦμαι, ἄλογα καθεστῶτα.) περίγε μὴν αὐτῶν γίνεται λόγος πρὸς ἔμψυχον, περιπατεῖται ἡ ὁδὸς. οἰκεῖται ἡ γῆ. πλεῖται ἡ θάλασσα, καὶ ἅπαντα τὰ τοιαῦτα. ἔστι τὸ δωρίζω, αἰολίζω, καὶ τὰ παραπλήσια ἐνεργητικά. ἀλλ' ἐ συνατὰ τὰ τῶν παθητικὰ ἐν ἀ, καὶ β. τὸ δωρίζομαι, αἰολίζομαι. τὸ γε μὴν ξίτον. αἰολίζεται τὰ Ἀλκαίου ποιήματα. δωρίζεται τὰ Ἀλκμανος, ἢ Θεοκρίτου. καὶ δὴ τὸ φεύγω, καὶ τὸ λανθάνω τῆς αὐτοπαθῶν μᾶλλον εἶναι δοκεῖ, ἥπερ τῆς ὁλοενεργητικῶν. ἐ γὰρ δὴ κατ' αὐτὰ καὶ τῶν ἑκάτερα τὸ πάσχειν ἐπὶ γ, ὁμολογεῖ. τῷ δὲ αἰτιατικῷ τὸ λανθάνω ἔστιν ἃ προσκειμένῳ μὲν ἃ, ἐπινοουμένῳ δ' ἔχει. οἷον, λανθάνω χρώμενος. καὶ ξενοφ: οὕτω περὶ κυροπαιδ': βιβλ. β'. ἔλαθεν (τὰς ἄλλας δηλ.) προκατασκευάσας. καὶ Ἀριστοφ: ἀλλὰ δεδιδῶν λήθας, (σαυτὸν δηλ:) οἷς τισὶ τίνες χρώμενοι, τὸ λανθάνω ἀντὶ τῆς αἰτιατικῆς μετοχῆ δυθυλεκτουμένῃ σωπᾶσθαι παραδιδάσι, παυτὸν δ' εἰπεῖν δυθεία, ἀγνοοῦντες, ὡς πλὴν τῆς ὑπαρκτικῶν ἐ δὲν τῆς ῥημάτων δυθεία ἐκγ', σωπᾶσεται. ὅθεν ἡ τῷ λανθάνω συνεζευγμένη μετοχὴ, ἐκ ἐκ γ', ἐκ δὲ ἀ, πρὸς τὸ λανθάνω ῥῆμα ἀπ' δυθείας κατὰ ἀκαλέθησιν φέρεται, καὶ ἐκ ἂν ποτε γένηται ἐκ γ', ὅτιμὴ κατὰ ἀντιμέρειαν. Τὸ δὲ θρηνῶ, καὶ παθητικῶς κατὰ τὸ τρίτον προενεχθὲν παρὰ Γρηγορίῳ, δοκεῖ τῶν ὁλοενεργητικῶν εἶναι. παυηγυρισθήτω γάρ φησι, τὸ δῶρον, ἀλλὰ μὴ θρηνηθήτω. ἐν τῷ περὶ βαπτίσμ: Ἰστέον δὲ ὡς τὰ ὁλοενεργητικὰ ταῦτα, καὶ τὸ γ', πρόσωπον ἐνεργητικὰ εἰσι καὶ αὐτά. ἐπιφέρεται γὰρ καὶ τούτοις τὸ παθητικὸν, ὡς ἀνωτέρω εἴρηται, ἐκ προϋπαρχούσης ἐνεργητικῆς διαθέσεως. εἴγε αἰολίζει ἀλκαῖος τὰ ποιήματα, καὶ αἰολίζεται τὰ αὐτὰ ὑπὸ τῶν αὐτῶν. περιπατεῖ τὴν ὁδὸν, καὶ περιπατεῖται ἡ ὁδός. καὶ δὲ μόνον τὸ ἀ, καὶ β, πρόσωπον ἐν τοῖς ἑτέροις τεπάχαται, μὴ δυνάμενα κατὰ τῶν τὸ παθεῖν ὁμολογῆσαι διὰ τὸν προληφθέντα λόγον. ὡς εἴγε καὶ τὸ γ', ἕτω καὶ τῷ ἀ, τε καὶ β, ἡ παθητικὴ σωπαξις ἐπεφέρετο, ἅπαν ἂν εἴη τὸ εἶδος ἐνεργητικὸν, κἀχὶ τὸ μὲν, τὸ δ' ἕ. νῦν δὲ τὰ καὶ τὸ ἀ, καὶ β, ἄλλως ὄντα ἐνεργητικὰ, μὴ ὄντος γε μὴν αὐτοῖς παθητικὲ εἰς μαι, λήγοντος, δὲ αὐτὸ ἑ δ' ἐνεργητικὰ ἂν εἴη, τοῦ κανόνος λέγοντος, τοῦ εἰς μαι λήγοντος παθητικοῦ ἐνεργητικόν ἐστι παραδέξασθαι. καὶ ἕτω σωπνέχθη ἐν τοῖς ἑτέροις.

Αὐτοȣδέτερον.

Τȣ̃ δὲ αὐτοȣδετέρȣ ἡ αὐτὴ συν-
ταξις τοῖς ἀπολελυμένοις ἐςίν. ἀ-
πολελυμένον γάρ τοι καὶ τὸ τοιȣ̃το.

Κατὰ τὸ, ὡς εἴρηται, ὀργανικόν.

Οἷον, ζῶ, πλȣτῶ, ὑγιαίνω.

Διαφέρει τὸ πλȣτῶ τȣ̃ πλȣτίζω, ὡς καὶ
τὸ ἀριςῶ τȣ̃ ἀριςίζω. ᾗ τὸ μὲν πλȣτῶ, ὑ-
ποφαίνει πλȣ́τȣ μεταλαμβάνω, ἀμεταβά-
τως, τό γε μὴν πλȣτίζω, πλȣ́τȣ μεταδίδω-
μί τινι, μεταβατικῶς. τὸ δ' αὐτὸ κἀπὶ
τȣ̃ δειπνῶ, καὶ δειπνίζω. σαφὲς γὰρ ὅτι
καὶ τὸ δειπνίζω πλαγίαν ἐπιδεξάμενον
πτῶσιν, ὡς πρὸς ἔμψυχον ἀνελλιπῶς ἔχει.
τοιȣ̃το γάρ ἐςι, δεῖπνον παρέχω τινί. ᾧ
καὶ τὰ τῆς παθητικῆς συντάξεως ἐγγενό-
μενα, ὡς ἔφαμεν, τὸ παθητικὸν ἀπετέλε-
σεν, ὡς πρὸς ἔμψυχον. ἀριςίζομαι. δει-
πνίζομαι ὑφ' ἑτέρȣ. τὴν αὐτὴν ἔχει δια-
φορὰν καὶ τὸ γαμῶ πρὸς τὸ γαμίζω, ἣν
καὶ τὸ δειπνῶ πρὸς τὸ δειπνίζω. ἔςι γὰρ
τὸ μὲν πρότερον, γάμȣ μεταλαμβάνω, τὸ
δὲ γαμίζω, γάμου τινὶ μεταδίδωμι.
ὅθεν καὶ παθητικῶς κλίνεται ȣ̓ τὸ γαμῶ,
τὸ γαμίζω δέ. καθ' ὃ καὶ τὰ τῆς διαθέσεως
πρὸς σύνταξιν ἐμψύχȣ προσώπȣ καταγί-
νεται, καὶ ȣ̓ πρὸς ἄψυχον κατὰ τὰ, ὡς εἴρηται,
ὁλοενεργητικά. γαμῶ μὲν γὰρ ἐγὼ, ἀμετα-
βάτως. γαμίζω δέ μȣ τὸν υἱὸν, καὶ γαμί-
ζομαι ὑφ' ἑτέρȣ, μεταβατικῶς ἑκάτερα.
Εὐςάθ. φύλλ. 758, ςίχ. 52. γαμῆσαι
μὲν διὰ τȣ̃ η̄, τὸ εἰς γάμον ἐλθεῖν, ἤτοι γυ-
ναῖκα λαβεῖν. γαμέσαι δὲ διὰ τȣ̃ ε̄. τὸ γυ-
ναῖκα δȣ̃ναι. ὡς δηλοῖ τὸ, πηλεὺς δέ μοι ἔ-
πειτα γυναῖκα γαμέσσεται. ἰλ. ῑ, τȣ̃το δὲ
ἐκγαμίζειν οἱ ὕςερον λέγȣσιν. ὡς ἄν τις
εἴποι, ἐκπροικίζειν. Λȣκιαν: δὲ ἐν τῷ πε-
ρὶ ἀληθȣ̃ς ἱςορ'. μεταβατικῶς τε ἅμα καὶ
ἀκύρως τῷ γαμῶ ἐχρήσατο. μέχρι μὲν ȣ̓ν
πέντε καὶ εἴκοσί φησιν, ἐτῶν γαμεῖται ἕκα-
ςος, ἀπὸ δὲ τȣ́των γαμεῖ αὐτός. Τὰ δὴ
προκατειλεγμένα τῶν οὐδετέρων ῥημάτων,
φημὶ δὴ τὰ αὐτοȣδέτερα, κατὰ τὰ αὐτοπαθη-
τικὰ, πρὸς μόνην εὐθεῖαν σύνταξιν, ἀπαρ-
τίζει ἐντελῆ διάνοιαν. τρύφων περιπατεῖ.
πλάτων ζῇ. διονύσιος ἀναπνεῖ, πλεῖ, τρέ-
χει. χωρὶς εἰ μὴ ἐπὶ τῶν αὐτοπαθῶν αἰτι-
άσηταί τις τὸ ποιȣ̃ν τὸ πάθος. φθίνει θέ-
ων ὑπὸ τῆς λύπης. πάσχει θέων ὑπὸ τȣ̃
γυναίȣ. πυρέσσει θέων διὰ τὸν κόπον.
(ἔνθα καὶ σημειωτέον τὴν διὰ, αἰτιολογȣ̃-
αν τὸ ποιητικόν.) ἅπερ κἂν μὴ προσκέη-
ται, τῇ αὐτοτελείᾳ γε μὴν τȣ̃ πάθȣς ἀ-
νενδοίαςός ἐςιν ὁ λόγος, ὡς εἴρηται. ἐπεὶ
καὶ τῷ περιπατεῖ, ζῇ, καὶ ἀριςᾷ, καὶ τοῖς
ὁμοίοις αὐτοτελέσιν ȣ̓σι προςίθεται ἔσθ' ὅ-
τε τὸ ἐν γυμνασίῳ ζῇ, ἢ ἐν οἴκῳ. κἀπὶ τῶν
ὁλοπαθῶν ὁμοίως. οἴχομαι ὑπὸ τῆς νόσȣ.
ἄχθομαι τοῖς κακοῖς τῶν φίλων. ἥδομαι
τοῖς ἀγαθοῖς. κἂν γὰρ καὶ ταῦτα μὴ προσκέ-
ηται, ȣ̓χ ἧττον ὅμως ὁ λόγος αὐτοτελής. καὶ
τῶν ἀτελῶν δὲ ῥημάτων ἡ παράθεσις, φημὶ
τῶν μεταβατικῶν, τὸ ἡμιτελὲς μὲν καθίςη-
σι, μόναις ταῖς εὐθείαις προσκειμένων, ὡς
ἔχει τὸ τρύφων βλάπτει, τρύφων φιλεῖ,
μὴ προσληφθέντος τȣ̃ πρὸς ὃ φέρεται πρό-
σωπον. (δι' ὃ καὶ τὰ τοιαῦτα οἱ ἀπὸ τῆς ςο-
ᾶς ἐλάττονα κατηγορήματά φασιν, ὡς πρὸς
σύγκρισιν τῶν ἐν αὐτοτελείᾳ καταγινομέ-
νων ῥημάτων, καὶ μὴ πάντως πλαγίαν ἐπι-
ζητȣ́ντων.) ȣ̓ μέντοι μοι δοκεῖ βίαιον εἶναι
τὸ ἔνια τȣ́των τῶν ἡμιτελῶν τὸν αὐτὸν ἐπέ-
χειν λόγον τοῖς προκειμένοις αὐτοτελέσιν,
ὥςε καὶ αὐτὰ πρὸς μόνην εὐθεῖαν συντασ-
σόμενα, ἀπαρτίζειν διάνοιαν ἐντελῆ, καὶ μὴ
πάντως πλαγίαν ἐπιζητεῖν. αὐτὸ γὰρ μόνον
μηνύειν ἐθέλοντες, τὰ ἐγκείμενά φημι πά-
θη, φήσο-

θη, φήσομεν συντελῶς. ἐρᾷ ἔτος. φιλεῖ ἔτος. ἐπεὶ καὶ ἐπ' ἀναγνώσματος, ἀναγινώσκει ἔτος. καὶπὶ διδασκαλίας. διδάσκει ἔτος. αὐτὸ μόνον δηλονότι τὸ πρᾶγμα μηνύοντες. καὶ συ ἀποφάσει γάρ ἐσι φάναι, ὐκ οἶδεν ἀναγινώσκειν ἔτος. παρὸν μέντοι καὶ ἐξεργασικώτερον φάναι, προσλαμβάνοντας εἰς αὐτοτέλειαν καὶ τὸ ἀντιδιατιθέμενον, εἴτ' ἔν τὸ πάσχον. ἔτος ἀναγινώσκει τὰ Ἀλκαίου, τὰ Ὁμήρου. ἔτος φιλεῖ Διονύσιον. ἔτος ἐρᾷ Ἑλένης. ὁ αὐτὸς λόγος καὶπὶ τοῦ τύπτει, καὶ τῆς δυναμένων ταὐτὸ παρασῆσαι. οἷόν τε δὲ φάναι, ἔτος τύπτει. ὡσεὶ καὶ ἔτος ἡχεῖ, ἢ φόφον ποιεῖ. ὅτε καὶ συ ἀπαγορεύσει φαμὲν, μὴ τύπτε. μὴ βόα. οἷς πάλιν ἔσι προσῆναι αἰτιατικὰς πτώσεις, καὶ τὰ πάσχοντα δηλαδὴ πρόσωπα. καὶ δῆλον ὅτι τούτων μόνων τῆς συνεργητικῶν παθητικὰ γενήσεται, τῆς φερομένων ἐπὶ πλαγίαν πτῶσιν συνεργείᾳ, ἃ μὲν καὶ τῆς δοκούντων πρὸς μόνην διάθεσιν αὐτοτελῆ τὸν λόγον καθισάνειν. ἐπεὶ δυνάμει ὅμοια γέγονε τοῖς προκατειλεγμένοις τῆς ἑτέρων, λέγω τὸ ζῆν, ὑγιαίνειν, καὶ πλουτεῖν. πρόκειται δὲ ὅτι τὰ τοιαῦτα οὐκ ἔχει πλαγίαν πτῶσιν, πρὸς διάθεσιν μόνην ἀπαρτίζοντα τὸν λόγον. διὸ καὶ παθητικῶν ἀμοιρεῖ. τὸ δὲ μὴ ποιεῖν εἰς ἕτερον. ἑαδὲ πάσχοι ἂν ὑφ' ἑτέρου. ἔσιν δὲ καθολικώτερον φάναι, ὡς τὰ πρὸς μόνην διάθεσιν σωαρτώμενα τῆς ῥημάτων, μὴ ἀπαιτοῦντα δὲ πλαγίαν πτῶσιν, ταῦτα οὐδὲ παθητικὴν προφορὰν ἔξει παρακειμένην. τάχε μὴν πλαγίαν ἀπαιτοῦντα, αὐτὰ πάντως καὶ εἰς παθητικὴν διάθεσιν μεταχηματισθήσεται, (ὑπεξαιρείσθω τῶν ὁλοενεργητικῶν τὰ, ὡς εἴρηται, καὶ τὸ ἀ, καὶ β',) συμπαραλαμβανομένης γενικῆς καὶ τῆς ὑπὸ, προθέσεως, ἢ τῶν ἴσων. καὶ αὕτη μὲν μόνη ἐσὶ τῆς παθητικῶν ἡ σωταξις, τῆς δὲ συνεργητικῶν καὶ γενικῆ, μὴ σωταξάσης προθέσεως, καὶ δοτικῆ, καὶ αἰτιατικῆ. Ἐφ' οἷς σημείωσαι, ὡς παύδηλοι οἱ παραδεδωκότες τὸ πλουτῶ γενικῆ σωτάσεσθαι. οὐδὲ γὰρ τῆς κατ' εὐπορομπλοῦ, ἢ κτῆσιν, τῆς δ' συ αὐτοτελείᾳ παραγινομένων ἐσίν. οἷς εἰ ὅλως δοκεῖ προσιθέναι, ὡς εἴρηται, δοτικὴν δέον εἶναι ὀργανικῶς, αἰτιολογοῦσαν δηλαδὴ τὸ ποιητικόν. τὸ δὲ, πλουτεῖ μὲν θεωρίαν, πλουτεῖ δὲ βίᾳ λαμπρότητα, ἐπιβατικῶς αἰτιατικῇ σωτάγη. ἢ τὸ τὸ πλούτου σημαίνει εἶδος. τὸ γὰρ καθ' ὅ, κοινὸν καὶπὶ τῆς οὐδετέρων. ἔσιν ἄρα φάναι καὶπὶ τῶν ἀπολελυμένων. πλουτῶ χρήματα ἀρετῇ, τῆς μὲν δοτικῆς τὸ ὑφ' ἕ, τῆς δ' αἰτιατικῆς τὸ καθ' ὃ αἰτιολογούσης. εἰπε δ' ἄν τις, ὅτι ὥσπερ αἰτιολογεῖ τὸ καθ' ὅ, αἰτιατικῇ σωτάγη τὸ πλουτῶ, ἕτω καὶ κτηματολογεῖ, γενικῇ. καὶ ταὐτὰ δὴ τῷ πλουτῶ καὶ τὸ βρύω σωτάσεται, τῇ μὲν, δοτικῇ ὀργανικῶς, τῇ δὲ, γενικῇ κτητικῶς. τὸ γὰρ αὐτὸ ῥῆμα, ὡς εἴρηται, διαφόρως λαμβανόμενον, διαφόρως καὶ σωτάξεται. Ἐπὶ τούτοις σημείωσαι ὡς ὁ τῶ ῥήματος ὁρισμὸς κατὰ τι ὐ σωεκτείνεται καὶπὶ τῆς ἀπολελυμένων, σημαντικῶν μόνον ὄντων χρόνε, ὐ μὴν δὲ καὶ προσημαντικῶν. ὐ δετέραν γὰρ τῆς δύοιν ὑποδηλοῦσι διαθέσεων. εἴγε διάθεσις μέν ἐσιν, ὡς εἴρηται, συνεργείας ἀποτέλεσμα, ἢ καθ' ἣν δρᾷ τι περί τι, ἢ ἀλλοιοῦται ὑπό τε, τὰ δὲ προκείμενα οὐδετέρως ἔχει. εἰ μή τις λέγει διάθεσιν ἐπ' αὐτῆς αὐτὸ τοῦτο τὸ τῆς διαθέσεως αἱρετικὸν οὐδετερότητα, λόγος μὲν εἰσκυκλῶν πολλὰς, δεικνὺς δὲ νεανικὸν, ἢ ἀνύσιμον οὐδέν.

Δῆλον ἓν ὅτι πρὸς τὰς διαφόρους τῶν αὐτῶν δυνάμεις καὶ χρήσεις τὴν σωτάξιν ποιητέον.

Δυνα-

Δύναμιν τὴν φύσιν φησὶν ἑκάστε καὶ ἰδιότητα. πέφυκε γὰρ ἕκαστον, ὡς εἰπεῖν, τῶν ῥημάτων κατὰ τὸ ἁπλῶς τε καὶ πῇ σωπᾶσθαι, ἀτελῶς τέ φημι καὶ ἀτελῶς. κατὰ γὰρ τὸ ἑκάστῳ πεφυκὸς καὶ ἡ κατ' αὐτὸ σωπαξις ἔσαι πρὸς τὸ δοκεῖν. χρῆσιν γὰρ διάφορον τὸ αὐτὸ ῥήματος, ὃ τὴν κατὰ τὰ ἀντιδιαιρέμενα εἴδη ἐκλιπτέον, εἴπερ γὰρ ἀεί ἔπως, ἀεὶ δὲ, παρὰ δὲ τὸν ὀρθὸν λόγον σωπάσαντες, ἀλλὰ τῷ καὶ τὸ, ὡς εἰρηται, ἁπλῶς τε καὶ πῇ. ἅπτα ἀλλήλοις αὐτιδιαιρέμενα μὲν ἐστὶ, ἐμπεφυκόμενα δὲ μᾶλλον τυγχάνει, τὸ μὲν, δυνάμει, τὸ δὲ, ἐνεργείᾳ. ἔγκειται γὰρ τῷ μὲν ἁπλῶς, τὸ πῇ δυνάμει, τῷ δὲ πῇ, τὸ ἁπλῶς, ἐνεργείᾳ.

Κατὰ τὰ ὑποτεθέντα.

Διορισθέντα δηλ. εἴδη ἀτελῆ τε καὶ τέλεια, ὡς καὶ αὐτοτέρῳ εἴρηται, καὶ τὰ κοινῇ εἰρημένα, ὅ τὰ ῥηθησόμενα.

Ἀναβαίνω τὸ ὄρος. τρέχω ἐπὶ τὴν ἀγοράν. ἀλλὰ καὶ τρέχω τὸ σάδιον. τὸ μὲν, ἀτελῶς. τὸ δὲ, ὁλοενεργητικῶς.

Τὸ ἀτελῶς πρὸς τὸ ἐντελῶς ἀντιδιαζέλλεται. τὸ ἄρα ὁλοενεργητικῶς ἀντὶ τε ἐντελῶς εἴληπται. τὸ δὲ ἐντελῶς τε καὶ ἀτελῶς διττὸν ὄν, ὡς εἴρηται, διττῶς καπὶ τῆ ὁλοενεργητικῶν θεωρεῖται, κατά τε ῥῆμα λέγω καὶ σωπαξιν. καθ' ἑαυτὰ μὲν γὰρ ἀτελῶς ἔχει τὰ ὁλοενεργητικὰ, τῆ μεταβατικῶν ὄντα καὶ αὐτὰ, προσκείμενα δὲ αὐτοῖς τὸ ἐνδεχόμενα τῷ τύπων μεταβαίνειν ἐν γ', πῶτικὸ, ἐντελῶς πέφρασαι. ἀλλὰ γὰρ τῆ μὲν παρὰ τὰ ὁλοενεργητικὰ μεταβατικῶν τὸ καὶ ῥῆμα ἐντελὲ, κατὰ σωπαξιν δὲ ἀτελὲ, τῆ δὲ ὁλοενεργητικῶν τὸ καὶ ῥῆμα ἐντελὲ ὄντα, καὶ κατὰ σωπαξίν εἰσιν ἐντελῆ. οἷόν τι λέγω, τῆ κατ' ἐπομπλῶ τε καὶ εἰσομπλῶ ἐνεργητικῶν τὸ ἐν γ', πῶτικὸν, ᾗ μὲν τῷ τὸ ῥήματος ἐνδέχεται μεταβασιν, τελειοῖ ταύτῃ τὸ ῥῆμα, ᾗ δὲ ὁ προσδιορίζει τὸ κατ' ἐνέργειαν πρᾶγμα, ἀτελῆ πάλιν καθίστησι τῷ τὸ ῥήματος σωπαξιν. ἡ δὲ τὸ προκειμένε εἴδος ἐν γ', αἰτιατικὴ, τῆ ὁλοενεργητικῶν λέγω, καὶ τῷ τὸ ῥήματος ἐνδέχεται μεταβασιν, καὶ τὸ κατ' ἐνέργειαν πρᾶγμα προσοείζει. ἐν γὰρ τῷ, πλέω τὸν ποταμὸν, ἢ τῷ θάλασσαν, ἢ τοδὶ τὸ πέλαγος. ἀναβαίνω τὸ ὄρος, ἢ τῷ κλίμακα. ἔχω τὸ σάδιον, ἢ τῷ ὁδὸν, τὸ καὶ τῷ ἔχιαί τε καὶ τῷ ἀνάβασιν καὶ τὸν πλοῦν ἀόριστον ὥεισαι. ἐν θέντοι τὸ, ἔχω ἐπὶ τῷ ἀγορᾶ, ἀναβαίνω ἐπὶ τὸ δῶμα, πλέω ἐπὶ τῆσδε τῆς πόλεως, ἢ τῆς χώρας, ἀτελῶς ἔχει. ᾗ δὴ τὸ καθ' ἑκάστω ἐνέργειαν πρᾶγμα οὐ ὥεισαι. τὸ γὰρ ἔχω ἐπὶ τῷ ἀγορᾶ τὸ πλήρες ἐστὶ, ἔχω τῷ ὁδὸν τῷ ἄγουσαν ἐπὶ τὴν ἀγοράν. ὁδὸν δὲ καινὸν κατὰ μίαν καὶ τῷ αὐτῷ σωπαξιν τὸ ῥῆμα ἁπλῶς τε καὶ πῇ θεωρεῖσθαι, λέγω τῷ ἔχω τὸ σάδιον. εἴγε καὶ τὸ δίδωμι χρυσίον ἡ αἰτιατικὴ, ᾗ μὲν ἐν γ', ὅσα, αὐτὴ ὁμολογεῖ τὸ προσδιατίθεσθαι, τῆς τῶν ἁπλῶν τυγχάνει σωπαξεως κατὰ τὸ διδάσκωσε. τῆ γὰρ σωθέντων εἰδῶν τὰ πῶτικὰ, ὁ δετέρως ἔχουσι, μήτε ἐν γ', ὄντα, μήτε αὐτὰ ἐνδεχόμενα τὴν τὸ ῥήματος μεταβασιν) ᾗ δ' αὖ προσοείζει τῷ κατ' ἐνέργειαν δόσιν, καὶ τὸ πῇ σωπᾶται. ὡς εἶναι τὸ, δίδωμι χρυσίον, καὶ σωπαξιν τῷ αὐτὴν ἁπλοῦντε καὶ σύνθετον, ἐντελές τε καὶ ἀτελές. πλησιάζει δὲ μᾶλλον τοῖς ἐντελέσιν, εἴτ' ἂν σωθέτοις, ὡς εἴρηται.

Μέσων.

Τῶν δὲ μέσων εἴτ' ἂν κοινῶν, ἢ αὐτῆ

αὐτὴ σύνταξις καὶ αὐτῶν τοῖς ἐνεργητικοῖς καὶ παθητικοῖς.

Ἡ δὲ αἰτία,

Ἀμφοτέραις γὰρ ἐφαρμόζει ταῖς διαθέσεσι.

Διὰ τοῦτο καὶ ταῖς συντάξεσι.

Θύομαι οὖν τῷ θεῷ,

Ταῦρον, ἢ μόσχον, ἢ θυσίαν αἰνέσεως, ἢ τοιοῦτό τι.

Καὶ θύομαι ὑφ' ἑτέρου τῷ θεῷ. βιάζομαι τὸν ἐχθρὸν, καὶ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ. καὶ ὅλως κατὰ τὰ διωρισμένα εἴδη σχηματιστέον καὶ συντακτέον. ἐπαινέσομαι ἀρετὴν τὰ εἰκότα. καὶ ἐπαινέσομαι ὑπὸ τοῦ φίλου.

Εἴδη συντάξεως μὲν, τὰ ἐνεργητικά τε καὶ παθητικὰ, τὰ ἁπλᾶ τε καὶ σύνθετα, σχηματισμῶν δὲ ὡρισμένα εἴδη κατὰ διαθέσεις τῶν μὲν ἐνεργητικῶν τε καὶ οὐδετέρων, ἡ εἰς ω, κατάληξις, παρὰ γὰρ τὰ εἰς ω, τὰ εἰς μι. τῶν δὲ παθητικῶν, μέσων τε καὶ ἐπιμέσων, ἡ εἰς μαι. οὐμὴν δὲ καὶ καθ' ὁντιναοῦν χρόνον τὰ μέσα ληφθήσεται, ἀλλὰ καθ' οὓς ἐν τῷ β', διώρισται βιβλίῳ. τὸ δὲ διδάσκομαι, οὐχ ἁπλῶς ἀντὶ τοῦ διδάσκω εἴωθε φέρεσθαί φησι Βουδαῖος. ἀλλὰ τὸ μὲν, εἴποι ἂν ὁ αὐτουργῶν τὴν διδασκαλίαν, τὸ δὲ διδάσκομαι, ὁ δι' ἄλλου τινὰ διδαχθῆναι ἐπιμελούμενος. Πλάτων ἐν Πρωταγ': τὰ μὲν ἄλλα ἄρα τοὺς υἱεῖς διδάσκονται, κτ'. ἔστι γὰρ τοῦ διδασκάλου καὶ καθηγεμόνος τὸ διδάσκειν, τοῦ δὲ πρὸς τὸ διδάσκεσθαι (τὸν παῖδα) τοῦτ' ἔστιν εἰς διδασκάλου πέμπειν. καὶ κατωτέρω ὁ αὐτὸς, οἱ ἀγαθοὶ ἄνδρες, εἰ τὰ μὲν ἄλλα διδάσκονται τοὺς υἱεῖς, τοῦτο δὲ μή. καὶ ξενοφ. ἐν δ', ἀπομνημ. θαυμαστὸν εἴη τὸ εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα, ἢ τέκτονα, ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας, τούτου τύχῃ, ἐὰν δέ τις βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον, ἢ υἱὸν, ἢ οἰκέτην διδάσκεσθαι, μὴ εἶναι, ὅποι ἂν ἐλθὼν, τύχῃ τούτου. καὶ Ἀριστοφ': ἐν νεφέλ: ἐδιδαξάμην μέντοισε νὴ δί', ὦ μέλε. ἀντὶ τοῦ ἐξεπαίδευσα δι' ἑτέρου φησὶν ὁσχολιαστής. τὸ δ' αὐτὸ ἄν τις παρατηρήσειε κἀπὶ ἄλλων ῥημάτων. καὶ γὰρ ναυπηγῶ, τὸ, ἰδίαις χερσὶ, καὶ ναυπηγοῦμαι, ἐμαῖς δαπάναις. Ξενοφ: ἐν β', ἑλλ: καὶ ἄλλας (ναῦς) ἐν αὐτάνδρῳ ἐναυπηγεῖτο. Αἰσχίν: περὶ παραπρ: καὶ ἑκατὸν δὲ τριήρεις πρὸς ταῖς ὑπαρχούσαις ἐναυπηγησάμεθα. καὶ Πολύβιος, τότε πρῶτον ἐπεβάλλοντο ναυπηγεῖσθαι σκάφην. καὶ ἀῤῥ: ἐν ς', κελεύσας ὕλην τεμόντα ναυπηγεῖσθαι ναῦς μικράς. καὶ Ἰσοκρά. ἐν Εὐαγόρᾳ, καὶ τείχη προσπεριεβάλετο, καὶ τριήρεις ἐναυπηγήσατο. οὕτωτοι καὶ κατασκευάζει μὲν τὴν ναῦν ὁ ναυπηγὸς, κατασκευάζεται δὲ αὐτὴν, ὁ ἐπὶ τῇ κατασκευῇ τὸ ἀνάλωμα διδούς. καὶ οἰκοδομεῖ μὲν ὁ οἰκοδόμος οἰκίαν, οἰκοδομεῖται δὲ αὐτὴν ὁ δι' ἑτέρου οἰκοδομῶν, καὶ ὁ τὸν μισθὸν διδούς. μέσα δὲ εἴρηται, ὡς δυνάμει ἑκατέραις ἐφαρμόζοντα ταῖς διαθέσεσι, καὶ μεταξὺ ἀμφοῖν ὄντα.

Ἐπίμεσον

Ἐπίμεσα δὲ, τὰ μετὰ τὰ μέσα τεταγμένα, τῆς ἐπὶ, τὸ ὕστερον δηλούσης.

Καὶ τοῦ ἐπιμέσου δὲ τὸ μὲν αὐτοενεργητικὸν τὴν αὐτὴν τῷ ἐνεργητικῷ σύνταξιν ἔχει,

Ἡ δὲ αἰτία,

Ὡς καὶ αὐτὸ σημαντικὸν ἐνεργείας ὄν,

Ἤτοι κατ' ἐκπομπὴν, ἢ κατ' εἰσπομπὴν, ἢ κατὰ περιποίησιν. κατὰ γὰρ τοὺς τρεῖς τούτους τρόπους εἴτ' οὖν εἴδη ἐλέγετο συντάσσεσθαι τὰ ἐπί τι ὑποκείμενον διαβιβάζοντα τὴν ἐνέργειαν.

Τὸ δὲ ὁλοπαθητικὸν, τὴν αὐτὴν τῷ παθητικῷ.

Γενικῇ ἐκ γ', προθετοπτώτῳ. καὶ αἰτιατικῇ δὲ ἐλλειπτικῇ. ὡς τὸ, ἐκπλήττομαι τὸ θαῦμα, ἤτοι διὰ τὸ θαῦμα. ἐν ἴσῳ τῷ ὑπὸ τοῦ θαύματος. καὶ δοτικῇ δὲ ὁμοίως, ἐκπλήττομαι τῷ θαύματι. ἀντὶ τοῦ ἐπὶ τῷ, ἐν ἴσῳ τῷ διὰ τό. τοιοῦτο καὶ τὸ, ἄχθομαι τοῖς κακοῖς. αἰσχύνομαι τὸν ἄνδρα. τὸ δὲ καταπλήττομαι τὸν νοῦν, συνεκδοχικῶς συντέτακται. εἰ δὲ τὸ αἰσχύνομαι καὶ ἐκπλήττομαι, οὐ πάντως τῶν ἐπιμέσων ἐστὶν, εἰλήφθω τὸ, ὀδύρομαι τὸν ἀπελθόντα.

Ἐνεργητικῆς γὰρ ἀμοιροῦν εὐχρήστου γε προφορᾶς, παθητικῶς

Ἐν παθητικῇ προφορᾷ.

Σημαίνει τι παθητικόν. γίνομαι. οἴχομαι. κοιμῶμαι.

Εἰ γὰρ οὐχὶ κατά τι, ἀλλ' ἐντελῶς ἐδήλου τὸ πάθος, ἦν ἂν καὶ τούτου ἐνεργητικὸν εἰς ῶ, παραδέξασθαι. ὥσπερ δὲ τὰ αὐτοπαθητικὰ τῶν οὐδετέρων τὴν εἰς μαῖ, διὰ τὸ οἴκοθεν πάθος ὑπεμφαίνειν, οὕτω τοι καὶ τὴν εἰς ῶ, κατάληξιν τῶν ἐπιμέσων τὰ αὐτοενεργητικὰ οὐ προσίεται, ὡς αὐτόθεν ἐνέργειαν ὑποδηλοῦντα.

Τόποι τοῦ ἐπιμέσου.

Σκοπεῖν δὲ,

Ὑπακουστέον τὸ δεῖ εἰς ἐξάρτησιν τοῦ ἀπαρεμφάτου.

Καὶ περὶ τοῦ ἐπιμέσου τοῦδε,

Τοῦ σύνταξιν τὴν αὐτὴν τῷ ἐνεργητικῷ ἔχοντος, τοῦ αὐτοενεργητικοῦ δηλ. πρὸς ἐκεῖνο γὰρ τὰ τῆς δείξεως ἀφορᾷ.

Εἰ περιποιητικὸν, ἢ ἀντιστατικὸν καὶ ἐναντιωματικόν. ταῦτα γὰρ δοτικῇ, ὡς τὸ τρίτον.

Εἶδος τρίτον τῶν μεταβατικῶν ἐννοεῖ. οὕτω καὶ τὸ α', καὶ τὸ β', ληπτέον ἐστίν.

Χρῶμαι, ἥδομαι, ἱππάζομαι, μάχομαι, ἀγωνίζομαι, ἐναντιοῦμαι, ὀργίζομαι, ἀνθίσταμαι.

Ἔτι εἰ ἐπικρατείας σημαντικόν. αἰτιατικῇ γὰρ, ὡς τὸ πρῶτον.

Καθ' ὅ, τι καὶ τὰ ἐπικρατητικὰ, ὡς ἐν τοῖς τόποις τοῦ πρώτου εἴδους εἴρηται, αἰτιατικῇ συνετάσσετο.

Κέκτημαι, ὠνοῦμαι, μιμοῦμαι.

Οὐ μὴν ἀλλὰ καὶ τῶν ἐπιδεικτικῶν τὸ μέμφομαι, τῶν φιλικῶν τὸ ἀσπάζομαι. τῶν σεπτικῶν τὸ αἰδοῦμαι. (εἰ μή τι ἡ τούτου σύνταξις ἐλλειπτική ἐστι κατὰ τὰ ὁλοπαθῆ. αἰδοῦμαί σε, ἤτοι διὰ σέ. ἔστι γὰρ καὶ αἰδῶ σε.) τῶν ὑπονοητικῶν τὸ ὑφορῶμαι, καὶ τῶν προαιρετικῶν τὰ πολλά. καὶ ὅλως ὅσα κατ' ἐκπομπὴν. ἔστι δ' ἃ τῶν ἐπιμέσων λανθάνει, αἰτιατικῇ μὲν συντασσόμενα, ὁλοπαθῆ δὲ μᾶλλον, ἤπερ αὐτοενεργητικὰ ὄντα. ὡς τὸ, εὐλαβοῦμαι. οἷον, εὐλαβοῦ τὰς ἐν τοῖς πότοις συνουσίας. ἰσοκρ': ὧν τὸ πτωτικὸν προθετικὸν μᾶλλον, ἢ ῥηματικόν ἐστιν. οἷον καὶ τὸ, ὀδύρομαι, μύρομαι τὸν ἀπελθόντα. ἤτοι διὰ τόν. κοινὸν γάρ φησιν, ἡ τοῦ

σιν, ἡ τοῦ αἰτίου χρῆσις ἁπανταχοῦ.

Ἔτι εἰ ἀτελές. ἀπαιτεῖ γὰρ τὸ εἴς τι, ἢ ἔν τινι, ὡς ἐπὶ τῶν οὐδετέρων ἐλέχθη.

Τῶν ὁλοενεργητικῶν.

Πορεύομαι ἀθήναζε. ᾠχόμην ὡς τὸν Θεόν. κάθημαι, ἢ κεῖμαι ἐνταυθί.

Τῶν ἐπιμέσων τούτων τὰ μὲν, ἔχει ὡρισμένον, ὅπερ ἑκάτερα ἀπαιτεῖ, ὡς ἔχει τὰ ἐμφερόμενα, τὰ δὲ, ἀορίστως συνεννοούμενον. οἷον, ἐντυχεῖν τἀνδρὶ ὁ μέν τις, πορεύεται, εἴς τινα δηλ: τόπον, ὁ δὲ, βούλεται, ἔν τινι δηλαδὴ τόπῳ. τῶν τοίνυν ὁλοενεργητικῶν καὶ τουτωνὶ τῶν ἐπιμέσων τὰ ἀτελῆ, τελείως συντάσσεται, προσλαβόντα, ὃ προηγουμένως ἑκάτερον εἶδος ἀπαιτεῖ, ἀπαιτεῖ δὲ ἑκάτερα ἐκ γ', πτωτικὸν, τὰ μὲν, ῥηματικὸν, τὰ δὲ, προθετικὸν, τὰ ἐπίμεσα. τὸ εἴς τι γάρ φησιν, ἀπαιτοῦσιν, ἢ τὸ ἔν τινι.

Ἔτι εἰ κατ' αἴσθησιν ἀναληπτικὸν, ἢ

Μὴ κατ' αἴσθησιν. μὴ δι' αἰσθήσεως δηλαδὴ, ἀλλ'

Ἄλλως ἀντιληπτικὸν καθ' ὑπεροχήν.

Καθ' ὑπεροχὴν δὲ, διὰ τὰ αἰτιατικῇ συντασσόμενα ἐπικρατητικὰ, ἀντιληπτικὰ μὲν καὶ αὐτὰ ὄντα, οὐ μὴν μεθ' ὑπερβολῆς τε καὶ σφοδρότητος.

Ἢ ὀρεκτικόν. γενικῇ γὰρ ταῦτα, ὡς τὸ δεύτερον. ἅπτομαι, ὀσφραίνομαι, γεύομαι, ὀρέγομαι, ἐφίεμαι, περιέχομαι, ἀντιλαμβάνομαι, περιγίνομαι.

Τὸ περιγίνομαι ἔχει τὴν γενικὴν διὰ τὴν πρόθεσιν, περιττότητα καὶ ὑπεροχὴν σημαίνουσαν. ὡς κἀντῷ, οἳ περὶ μὲν βουλῇ Δαναῶν, περὶ δέ ἐστε μάχεσθαι. ἰλ. α.

Κοινὸν δὲ ἡ τοῦ αἰτίου χρῆσις ἁπανταχοῦ. δι' ὃ, ἐφ' ὃ, ἵνα, καὶ ὅπως ἂν ἄλλως φράζειν ᾖ πρὸς τὰ δόξαντα.

Τῇ κοινῇ τοῦ αἰτίου χρήσει συμπαραλαμβάνειν δοκεῖ τῷ τελικῷ καὶ τὰ λοιπὰ τοῦ αἰτίου εἴδη. ἐπικρατεῖ ὅμως τὸ τελικὸν, ὡς τὰ τοῖς προαιρετικοῖς τε καὶ ἐφετικοῖς τῶν ῥημάτων συμφερόμενα παρίστησιν ἀπαρέμφατα. ἄλλως δὲ ἢ ὡς ἔγκειται, φράζειν ἂν εἴη, περὶ οὗ, ὑπὲρ οὗ, εἰς ὃ, οὗ ἕνεκα, ὥστε. Ἀλλ' ἀπορήσεις, τῶν μέσων τε καὶ ἐπιμέσων ἑκάτερα παθητικήν τε ἀεὶ ἔχει φωνὴν καὶ τῶν διαθέσεων ἑκατέρας συνέχει ἑκάτερα. τίνι οὖν λόγῳ ἀλλήλων διοίσουσιν; Ἢ τὰ μὲν μέσα, τῷ δυνάμει, τῷ ἐνεργείᾳ δὲ, τὰ ἐπίμεσα. εἶτα, πῶς ἂν συνενεχθείη δύω ἅμα ἐναντία ἐνεργείᾳ κατὰ τοῦ αὐτοῦ; ἢ οὐ κατὰ τοῦ αὐτοῦ. οὐ γὰρ κατὰ τὰ μέσα μοναδικὰ, εἴτ' οὖν εἰδικώτατα τυγχάνει καὶ τὰ ἐπίμεσα. ἀλλ' εἰσὶ τούτων εἴδη δύω, ὧν τοῦ μὲν τῶν ἐναντίων τὸ ἕν, τοῦ δὲ, τὸ ἕτερον κατηγορούμενα, διαπέφευγε τὴν κατὰ τοῦ αὐτοῦ δοκοῦσαν συνέλευσσιν. τῶν μὲν γὰρ μέσων τὰ καθ' ἕκαστα δύναται ἐνεργητικῶς τε ἅμα καὶ παθητικῶς ληφθῆναι, οὐ μὴν ὁμοῦ, εἰδοποιηθέντα δὲ θατέρᾳ τῶν διαθέσεων, ἀπωθεῖται τὴν ἑτέραν, τὰ δὲ τῶν ἐπιμέσων εἴδη οὐχ οὕτως, ἀλλὰ τὸ μὲν αὐτῶν τὴν μίαν, τὴν ἑτέραν δὲ, τὸ ἕτερον ἐνεργείᾳ κεκλήρωται. ταῦτ' ἄρα οὐδὲ ἐν αὐτοῖς

αὐτοῖς τοῖς μέσοις καλουμένοις χρόνοις μέσως οἷά τε ληφθῆναι τὰ ἐπίμεσα. Ζητητέον δὲ, ὡς εἰ καὶ κατὰ τοὺς ὡρισμένους παθητικοὺς χρόνους σχηματιστέα ἐστὶ τά τε μέσα καὶ τῶν ἐπιμέσων τὰ αὐτοενεργητικά. ἀποβαλεῖται γὰρ τὸ εἶναι τὰ μὲν, μέσα, τὰ δὲ, ἐνεργητικά.

Ἀπρόσωπον.

Τῶν δ' ἀπροσώπων ὀνομαζομένων, διὰ τὸ μὴ παριστάνειν πρόσωπον,

Οὐκ ἄρα διὰ τοῦτο ῥήματα. ἢ ὅτι προσωπικῶς καὶ αὐτὰ ἐσχημάτισται κατὰ Ἀπολλ': ἀπὸ τοῦ α', ἐπὶ, τὸ β', καὶ καθεξῆς τρίτον. τοῦ δὲ α', καὶ β', μὴ ὄντων ῥητῶν, τὸ ἑνικὸν γ', ἑκάστου τῶν χρόνων εἰς ἀπρόσωπον μεταλαμβάνεται. τὸ γ', δὲ, οὐμὴν τὸ α', ἢ τὸ β'. εἴληπται ἀπροσώπως, διὰ τὴν τῶν ἐπὶ γ', ἀοριστίαν, κατὰ μίαν φωνὴν πλείοσι τρίτοις ἀνηκόντων προσώποις.

Τὰ μὲν, καθ' αὑτὰ κεῖται, ἥκιστα πρὸς ἕτερον συντάσσεσθαι πεφυκότα. οἷον, τὰ παθητικά. λέγεται, εἴρηται, λείπεται, θύεται, εἰρήσθω, καὶ τὰ ὅμοια. πλὴν εἰ μὴ περιποιητικῶς. οἷον, ἤκουσαί μοι, καὶ ἔγνωσαί μοι. καὶ ὡς τὰ παθητικά. ἤκουσαι ὑπ' ἐκείνων.

Ὃν τρόπον τῶν προσωπικῶν τὰ μὲν, ἀπολύτως, τὰ δὲ, πρὸς ἕτερον ἦσαν λεγόμενα, οὕτω καὶ τὰ ἀπρόσωπα. ὑπεξαιρείσθω δὲ τῶν παθητικῶν τὰ ἀφηγηματικὰ, πρὸς ἀπαρέμφατον φερόμενα. ἃ δὴ καὶ προσωπικῶς λαμβανόμενα, ἔστιν οὗ, εὐθείᾳ ἀντὶ αἰτιατικῆς συντάσσεται.

Κτητικόν.

Τὰ δὲ, πρὸς ἕτερον,

Ἀπὸ κοινοῦ τὸ, συντάσσεσθαι πέφυκεν.

Ἢ κτητικῶς, ἢ περιποιητικῶς.

Μεταβατικῶς πως. εἴγε καὶ τὰ κατ' εἰσπομπήν τε καὶ περιπόιησιν, μεταβατικῆς τυγχάνει συντάξεως.

Ἢ ἐπιβατικῶς. τὸ μὲν οὖν κτητικὸν, εἰς γενικὴν καὶ ἅμα δοτικὴν περιποιητικῶς. μέτεστι τούτου ἐμοί. διαφέρει, ἢ μέλει, ἢ δεῖ, ἢ προσήκει τούτου ἐμοί.

Πανταχοῦ κτηματολογίαις μὲν ἡ γενικὴ, τῇ περιποιήσει δ' ἀνῆκεν ἡ δοτική. τὸ δὲ ἅμα, οὐκ ἀργῶς κεῖται, ἀλλ' ἐπεὶ ἡ γενικὴ ἐπὶ τούτου κτήσει ὑποπέπτωκε, κτῆμα ὑποδηλοῦσα, τὸ δὲ κτῆμα καὶ ὁ κτήρων ἅμα εἰσὶ τῷ λόγῳ τῶν πρός τι, διὰ τοῦτο συνάμα τῇ κτηματολογούσῃ γενικῇ συνεισάγεται καὶ ἡ δοτικὴ κτητορολογοῦσα. ἡ γὰρ δοτικὴ ἐνταῦθα τὸν κτήτορα ὑπεμφαίνει. ὃ καὶ σημείωσαι συντελοῦν κἀντῷ, τὸ βιβλίον μοι, καὶ τοῖς ὁμοίοις. ἐφ' ὧν καὶ τὸ κτηματολογοῦν πτωτικὸν ἐν εὐθείᾳ νοεῖται. οὐδὲν ὅμως ἧττον κἀπὶ τοῦ α', εἴδους τῶν ἀπροσώπων ἐν εὐθείᾳ νοεῖται, τὸ γὰρ α', εἶδος κατὰ Ἀπολλ', ἀναδέχεται εὐθεῖαν, ὡς εἰρήσεται, κατὰ τοῦ παρυφισταμένου πράγματος ὑπακουομένην. οἷον, μέλει τὸ φιλοσοφεῖν ἐμοί. οἷον δὴ καὶ ἰλ: β', οἷς οὔτι μέλει πολεμήϊα ἔργα. τῆς κτηματολογούσης γενικῆς εἰς εὐθεῖαν μεταλαμβανομένης. τὸ γοῦν μέλει καὶ μεταμέλει καὶ ἁπλῶς τὰ ἀπρόσωπα παρὰ τὴν τῶν ἄλλων ῥημάτων σύνταξιν ἐξήλλακται. καθ' ὃ πάντα μὲν εὐθείᾳ συντάσσε-

πάσει), ἤτοι μόνῃ, ὡς ἐπὶ τῷ ἀμεταβάτων. οἷον, θέων περιπατεῖ, ἢ καὶ σωτείνει πλαγίᾳ. περὶ ἧς καὶ τὴν σωτάξιν ἐποιησάμεθα, ὡς ἐπὶ τῷ μεταβατικῶν· ἐμὴν τοῖς προκειμένοις τὸ σωίεσι· μεταμέλει γὰρ σωκράτει, καὶ ἔτι μέλει, τῆς ὀρθῆς μὴ συνέσεως· δι' ὃ καὶ παρασυμβάματα αὐτὰ ἐκάλεσαν οἱ ἀπὸ τῆς στοᾶς, τῶν ἄλλων ῥημάτων καὶ τὰς συμβαινούσας διαθέσεις παρ' αὐτοῖς συμβαμάτων προσαγορευομένων, ἢ καὶ ἔτι κατηγορημάτων. καὶ τὸ μὲν ἀπαρτίζον τὴν διάνοιαν, παρασύμβαμα, λέγω δὴ τὸ μεταμέλει σωκράτει, τὸ δ' ἐλλεῖπον, ἧττον παρασύμβαμα λέγουσι, λέγω δὴ τὸ μέλει σωκράτει. λείπει γὰρ, τίνος· καὶ δοκεῖ μὲν ἄπορον, πῶς, τῷ ἄλλων ἁπάντων ῥημάτων διάθεσιν ἐχόντων ἐκά, προσφισαμένην, τὸ μέλει καὶ μεταμέλει οὐκ εἶχον διάθεσιν· καὶ οὐχ ἧττον καὶ ταῦτα ὄντα ῥήματα; ἐγὼ δ' ἐπινοῶ καὶ τούτοις συμβαίνειν διάθεσιν. τὸ μὲν γὰρ μεταμέλει, παραιτεῖται τὴν ἔξωθεν διάθεσιν, ὡς ἐφ' ἑνὸς μόνου προσώπου καταγινόμενον, φέρ' εἰπεῖν τοῦ σωκράτους· ταὐτὸ γὰρ δυνάται τῷ, μεταμέλεια γίνεται σωκράτει· τὸ δὲ μέλει καὶ αὐτὸ ἀναδέχεται νοουμένην διάθεσιν κατὰ τὸ παρυφισαμένου πράγματος αὐτῷ μέλει· οἷον, μέλει σωκράτει φιφεῖν· παρὸν δὲ τὸν λόγον οὕτω πιστώσασθαι· δέδοται ὅτι τὸ μέλει ῥῆμα γ', προσώπων ἐστί· καὶ σαφὲς ὅτι ἐκ τοῦ ά, καὶ β', γεγενημένον ἐστί, λέγω τὸ μέλω, μέλεις. καὶ πεῖ δέδοται τὰ τῆς συντάξεως τοῦ ά, καὶ β', μετεῖναι καὶ τοῦ γ', λέγω κατὰ τὰς πτώσεις καὶ τοὺς ἀριθμούς, ὡς ἐπὶ τοῦ, ἐγὼ φροντίζω, σὺ φροντίζεις, ἐκεῖνος φροντίζει. (καὶ γὰρ καὶ ἐπὶ τῶν τρίτων προσώπων ἥ τε πτῶσις διαφέρει, καὶ ὁ ἀριθμὸς ὁμοίως συνικός.) δοθήσεται τὰ αὐτὰ καὶ τῷ μέλω. καὶ τὸ ά, καὶ β', πρόσωπον. ἔστι γοῦν τὸ, ἐγὼ μέλω σοι, σὺ δὲ θεᾷ καὶ δοτικῇ, καὶ ἔτι σὺ μέλεις ἐμοὶ, ὁμοίως σὺ δὲ θεᾷ καὶ δοτικῇ· ἀπαιτήσει ἄρα καὶ τὴν αὐτῷ σωτάξιν καὶ σὺ γ', τῷ δὲ θεᾷ καὶ δοτικήν. οἷον εἰπεῖν σὺ τῷ, μέλει σωκράτει. σὺ δὲ ἐκ ἄλλοτί ἐστι τὸ σὺ δὲ θεᾷ ἰσόμοιον, ἢ τὸ παρυφισάμενον πράγμα. ὡς εἰ καὶ φαίημεν ἐνεργείᾳ, μέλει τὸ φιφεῖν πλάτωνι. ταὐτὸν γάρ ἐστι τῷ, φροντίδα πλάτωνι ἐμποιεῖ ἡ φιφία. μέλει θέωνι τὸ πλουτεῖν. ὁ πλοῦτος φροντίδα ἐμποιεῖ θέωνι· χρὴ δὲ νοεῖν ὅτι τὸ μέλει σωκράτει, καὶ τὰ ὅμοια, εἰ καὶ μὴ ἐνεργείᾳ, σύγε μὴν τῷ ὑπακουομένῳ πράγματι τὴν διάθεσιν σώζει. ἔστι γὰρ τὸ αἴτιον τὸ μόνον τὸ μέλει, τῆς διαθέσεως μὴ σωζούσης, παραλαμβάνεσθαι αὐτῷ λόγῳ, τὸ δεκτικὸν αὐτὸ εἶναι παντὸς τοῦ ἐπισυμβαίνοντος πράγματος. ὅθεν καὶ τὸ μέλει θέωνι, ἢ σωκράτει, καὶ τὰ τοιαῦτα ἐν αὐτοτελείᾳ καθίστα), παντὸς τοῦ παρυφισαμένου πράγματος, λέγω τοῦ κατὰ διάθειαν, κοινῶς ὑπακουομένου. ἐπεὶ καὶ περὶ παντὸς ἐπισυμβαίνοντος, ὡς ἔφαμεν, τὸ μέλει ῥῆμα παραλαμβάνεται. Τὸ δὲ ά, εἶδος συντάσσει) καὶ διαβατικῶς. τοιοῦτο γὰρ τὸ, ὠδίν, ἢ μικρόν σοι μέλει τοῦ ἀδελφοῦ.

Περιποιητικόν.

Τὸ δὲ περιποιητικὸν, εἰς ἀπαρέμφατον καὶ δοτικὴν, ὡς εἰκός.

Περιποιητικὸν γάρ. διὰ τοῦτο εἰκότως καὶ εἰς δοτικήν. ἧς οὐκ ἀνάλ.

Ἔξεσι, συμβαίνει, προσήκει, πρέπει, δοκεῖ τῇ βουλῇ καὶ τῷ δήμῳ πέμψαι πρέσβεις.

Ἐπιβατικόν.

Τὸ δ' ἐπιβατικὸν, εἰς ἀπαρέμφατον

φατον μοναχῶς. δεῖ φάναι. χρὴ λαβεῖν. ἐνδέχεται εἶναι. φιλεῖ γενέσθαι. δεῖ εἰπεῖν.

Εἴρηται ἐν τοῖς ἔμπροσθεν ἐπιβατικὰ τὰ τοῦ διαβατικοῦ ἐλλειπτικά. ἐπεὶ οὖν τὸ γ', εἶδος τῶν ἀπροσώπων ἐπιβατικὸν ἤκουσε. καθ' ὅ,τι μοναχῶς, εἴτ' οὖν ἄνευ τινὸς πτώσεως εἰς ἀπαρέμφατον φέρεται. πρόδηλον ὡς τὸ εἰς αἰτιατικὴν τε καὶ ἀπαρέμφατον φερόμενον, οἷον, δεῖ ἐμὲ γράφειν, διαβατικὸν ἂν εἴη. τὸ γὰρ ἐκ τοῦ ἀπαρεμφάτου παρυφιστάμενον πρᾶγμα, μὴ προσκειμένης μὲν τῆς τοῦ ἀπαρεμφάτου αἰτιατικῆς, τῷ ἀπροσώπῳ οἱονεὶ ἐπιβεβηκὸς ῥήματι, ἐπιβατικὸν ἐντεῦθεν δίδωσι καλεῖσθαι τὸ εἶδος, ἐγκειμένης δὲ τῆς αἰτιατικῆς, πρὸς τὸ ἐξ αὐτῆς δηλούμενον πρόσωπον ὡς ἔκτινος προσώπου τοῦ ἀπροσώπου διαβιβαζόμενον ῥήματος, λέγω τὸ ἀπαρέμφατον, διαβατικὸν ἐντεῦθεν παρονομάζει τὸ εἶδος. ὅθεν καὶ δῆλον, ὡς δ', εἰσὶ τὰ εἴδη τῶν ἀπροσώπων, συνεκκύψαντος καὶ τοῦ διαβατικοῦ ἐν τῷ ἐπιβατικῷ. ᾧ τινι ἦν συνεννοούμενον. εἴ γ', ὡς εἴρηται, τὸ ἐπιβατικὸν τοῦ διαβατικοῦ ἐστιν ἐλλειπτικόν. παραλέλειπται δὲ τῷ Θεοδώρῳ τὸ διαβατικὸν ἐν τοῖς ἀπροσώποις δι' αἰτίαν τοιαύτην. τριῶν οὐσῶν τῶν πτώσεων, πρὸς ἃς φέρεται τῶν ῥημάτων τὰ πεφυκότα πρὸς ἕτερον φέρεσθαι, ἀποδοὺς τῶν ἀπροσώπων τὸ μὲν κτητικὸν, εἰς γενικὴν, τὸ δὲ περιποιητικὸν, εἰς δοτικὴν, ὤφειλεν ἀποδοῦναι καὶ τὸ ὑπόλοιπον εἰς τὴν ὑπόλοιπον αἰτιατικὴν, καθ' ὁμοιότητα τῶν μεταβατικῶν ῥημάτων. ὧν τῷ μὲν κατ' εἰσπομπὴν, τὸ α', εἶδος τῶν ἀπροσώπων ἀναλογεῖ, τῷ δὲ κατὰ περιποίησιν, τὸ β', καὶ τῷ λοιπῷ τὸ λειπόμενον. τῷ κατ' ἐκπομπὴν λέγω τὸ διαβατικόν. εἴ γ' ἑκάτερα πρὸς αἰτιατικὴν φέρεται. ἵνα δὲ μὴ δόξῃ συγκατατίθεσθαι τῷ Ἀπολλωνίῳ, τὴν ἐν τῷ, δεῖ, ἢ χρὴ ἐμὲ φάναι, αἰτιατικὴν ἀξιοῦντι τοὐναντίον τῷ Θεοδώρῳ τῶν ἀπροσώπων εἶναι ῥημάτων ἐκ β', ἤτοι μεταβατικῶς, κοὐχὶ τοῦ ἀπαρεμφάτου ἐκ α'. ταῦτ' ἄρα τὸ μὲν εἰς αἰτιατικὴν τοῦ γ', εἴδους παρέλειψεν, εἰς δὲ ἀπαρέμφατον μοναχῶς εἰπὼν, τῷ Ἀπολλωνίῳ πάλιν συνηνέχθη, ἔστι, λέγοντι, τὸ δεῖ ἡμᾶς γράφειν, σύνταξιν ἔχον τοῦ δεῖ πρὸς τὸ γράφειν, οὐ πρὸς τὸ ἡμᾶς. ἐν δὲ τῷ ἀπαρεμφάτῳ τὴν δοκοῦσαν κατὰ Ἀπολλώνιον τοῦ δεῖ, καὶ ὅλως τῶν ἀπροσώπων αἰτιατικὴν, τοῦ ἀπαρεμφάτου ἐκ α', εἶναι ἐρεῖ. τοιγάρτοι καὶ προσκειμένης ἐν τῷ γ', εἴδει τῶν ἀπροσώπων, τοῦ ἀπαρεμφάτου ταύτην εἰσποιουμένου, τὸ ἀπρόσωπον πάλιν μοναχῶς εἰς ἀπαρέμφατον φέρεται, πρὸς ἀντιδιαστολὴν τοῦ β', εἴδους, εἰς ἀπαρέμφατον μὲν καὶ αὐτοῦ φερομένου, οὐμὴν μοναχῶς. ὥς γε μὴν εἴρηται, τὸ εἶδος, ἀπούσης μὲν, ἐπιβατικὸν, παρούσης δὲ τῆς αἰτιατικῆς, διαβατικὸν ἀκούει. Σημείωσαι δὲ, ὅτι τῶν ἀπροσώπων τὸ ἐν τῷ τρίτῳ τέταρτον, μεταλαβὸν τὴν μὲν αἰτιατικὴν εἰς δοτικὴν, γίνεται β', τὸ δὲ ἀπαρέμφατον εἰς γενικὴν, γίνεται α'. ὥσπερ καὶ τὸ β', μεταλαβὸν τὴν μὲν δοτικὴν εἰς αἰτιατικὴν, γίνεται δ', τὸ δὲ ἀπαρέμφατον εἰς γενικὴν, α'. οὕτω καὶ τὸ α', μεταληφθείσης τῆς γενικῆς εἰς ἀπαρέμφατον, γίνεται β'.

Κοινὸν δὴ οὖν κἀνταῦθα τὸ ἀπαρέμφατον.

Ὡς κἀν τοῖς προσωπικοῖς τῶν ῥημάτων.

Ἀλλ' ἢ παρῳχημένου, ἢ ἐνεστῶτος, μέλλοντος δὲ οὐδέποτε.

Καθ' ὅ,τι

Καθ' ὅ, τι τοῦ τελικοῦ ὃν τὸ ἀπαρέμφατον, τὴν πρὸς τὸν μέλλοντα συνταξιν οὐ προσίεται, ὡς εἰρήσεται. τά γε μὴν τοῖς ἀφηγηματικοῖς τῶν ἀπροσώπων συντασσόμενα ἀπαρέμφατα, τὸ καθ' ὅ, οὐ τὸ δι' ὁ αἰτιολογεῖ. Θουκυδ', α', εἴρηται ἐν ταῖς σπονδαῖς ἐξεῖναι ἐλθεῖν παρ' ὁποτέρους τις βούλεται. καὶ, ἀκουθὲν αὐτῷ τοὺς πολεμίους παρεῖναι. τὸ γοῦν ἐξεῖναι καὶ τὸ παρεῖναι, τὸ καθ' ὃ σημαίνοντα, καὶ κατὰ τὸ μέλλον οἷά τε συντάσσεσθαι. οἷον, ἀκουθὲν ἐλεύσεσθαι. τὸ δὲ τῷ δοκεῖ συμφερόμενον ἀπαρέμφατον, περιποιητικῶς μὲν, ἢ ἐπιβατικῶς συντασσομένῳ, τελικόν ἐστι. διαβατικῶς δὲ ἅμα καὶ περιποιητικῶς, εἰδικόν. τοῖς πλείστοις ἔδοξε τὴν παιδείαν χρόνου δεῖσθαι πολλοῦ. Λουκιαν. ἐνυπν'. Ἀλλ' ἀπορήσεις, ἐν τοῖς διαβατικοῖς τὸ διαβιβαζόμενον κατ' ἐνέργειαν πρᾶγμα, τὸ καθ' ὃ ὑπεδήλου. τοῦ γὰρ διδάσκω σε γραμματικὰ, τὰ γραμματικὰ εἰδοποιεῖ τὴν διδασκαλίαν. ἐν δὲ τοῖς τῶν ἀπροσώπων διαβατικοῖς τὸ ἐκ τοῦ ἀπαρεμφάτου παρυφιστάμενον πρᾶγμά ἐστι τὸ διαβιβαζόμενον. καὶ τὸ ἐπὶ τούτων ἄρα ἀπαρέφατον τὸ εἰδικὸν αἰτιολογεῖ. εἰ δὲ τοῦτο, καὶ μέλλοντος ἄρ' ἔσται τὸ ἀπαρέμφατον. Ἢ ὅτι τῶν διαβιβαζομένων τὰ μὲν, τὸ καθ' ὃ μόνον, τὰ δὲ, καὶ τὸ δι' ὃ δηλοῖ, ὡς ἐλέγετο περὶ τοῦ διδάσκω σε γραμματικὰ, ἢ διαλέγεσθαι. ἐν γοῦν τοῖς καὶ τὸ δι' ὃ αἰτιολογοῦσι, τοῦτο μᾶλλον, ἢ τὸ καθ' ὃ ἐπικρατεῖ.

Ἀνάλυσις ῥήματος.

Ἀνάλυσις δ' ἁπλῶς τῶν ῥημάτων εἴς τε τὸ σύστοιχον ὄνομα, ἢ τὴν μετοχὴν, καὶ εἰς τὸ ὁμοειδὲς ὑπαρκτικόν. καὶ ἢ κατ' εὐθεῖαν, ἢ κατὰ γενικήν. οἷον, λύκιοι συνεμάχουν τοῖς τρῳσί. σύμμαχοι τοῖς τρῳσὶν ἦσαν, τῶν συμμάχων ἦσαν. συμμαχοῦντες ἦσαν. τῶν συμμαχούντων ἦσαν.

Τὴν τῶν ῥημάτων ἀνάλυσιν ὑπέλαβόν τινες δι' εὐφράδειαν γίγνεσθαι λόγου καὶ ποικιλίαν. τὸ δὲ, ἑτεροῖόν ἐστιν, οἷον ἄξιον εἶναι καὶ ἐκθέσθαι τὸν περὶ αὐτοῦ λόγον. Τὰ ῥήματα διπλῆν ἔχει τὴν σημασίαν, τὴν μὲν, οὐσιῴδη, εἴτ' οὖν ὑπαρκτικήν. καθ' ἣν δηλονότι ὕπαρξιν ἁπλῶς τοῦ σημαίνουσι, τὸ γὰρ τύπτω, ὑπόστασιν εἴτ' οὖν ἁπλῶς ὕπαρξιν τοῦ τύπτειν, ὅ ἐστι τῆς τύψεως σημαίνει. τὴν δὲ, ἐπουσιῴδη. καθ' ἣν δηλαδὴ καὶ χρόνον προσσημαίνουσιν. οἱ τοίνυν διαλεκτικοὶ τὴν σφῶν αὐτῶν πρότασιν ἐκ δύοιν ὅρων συντιθέντες, ὑποκειμένου τε καὶ κατηγορουμένου, εἰ μὲν ὦσιν ἑκάτεροι τῶν ὅρων πτωτικὰ, εἴτ' οὖν ὀνόματα, οἷον, ὁ ἀνὸς ζῷον. παρεντιθέασιν ἐν τῷ μεταξὺ τὸ ὑπαρκτικὸν, οἷά τινα συνεκτικὸν σύνδεσμον ἐν προτάσει ἑκατέρων τῶν ὅρων. ὃς δὴ καὶ καθ' ἑαυτὸν διπλῆν ὡς εἴρηται φέρων τὴν σημασίαν, ὑπαρκτικήν τε καὶ χρονικὴν, προστιθέμενος τοῖς ὑποκειμένοις ὀνόμασι καὶ ὁμοῦ μετ' αὐτῶν ἐξεταζόμενος, τῶν ὀνομάτων τὴν ὑπαρκτικὴν ἁπλῶς ἐχόντων σημασίαν, αὐτὸς τῆς χρονικῆς μεταδιδοὺς τῷ, ᾧ συνῆπται, κατηγορουμένῳ ὀνόματι, εἴτ' οὖν τῷ ἐκ γ', πτωτικῷ, ῥήματος εἴτ' οὖν κατηγορουμένου λόγον ἔχειν αὐτὸ παρασκευάζει. οὐ γὰρ ἔχουσιν ἄλλως τὰ ὀνόματα μεταπεσεῖν εἰς τὴν τοῦ ῥήματος ἰδιότητα καὶ γενέσθαι κατηγορούμενα, ὅτι μὴ ἐρανιζόμενα καὶ εἰσποιούμενα πρὸς τοῦ κοινοῦ συνδέσμου, τοῦ ὑπαρκτικοῦ λέγω ῥήματος, τήν τε τοῦ προσσημαίνειν χρόνον δύναμιν καὶ τὴν τῆς συνάψεως. καὶ τοῦτον μὲν τὸν τρόπον τὰ ὀνόματα ἤκουσαν παρὰ τοῖς διαλεκτικοῖς ῥήματα, βουλόμενοι δὲ καὶ τὰ παρὰ τὸ ὑπαρκτικὸν ῥήματα εἰς ὀνόματα εἴτ' οὖν ὑποκείμενα ἐν ἀντιστρεφούσῃ προ-

σῃ προτάσει μεταλαβεῖν. εἰς τὸ σύσοιχον αὐτοῖς ὄνομα καὶ τὸ ὑπαρκτικὸν ἀναλύσει ῥῆμα. οἷον, πᾶς ἄνθρωπος φιφεῖ. τίς φίφος ἐστιν ἄνθρωπος. τὸ ὄνομα μὲν, διὰ τὸ ὑποκειμένῳ χώραν ἀναλαβεῖν; τὸ ὑπαρκτικὸν δὲ, ὡς ἂν δι' αὐτὸ προσφυῶς ἔχοι καὶ καταλλήλως τῷ ὑποκειμένῳ ὅρῳ συναπτεσθαι τὸ πτωτικὸν κατηγορούμενον: ὁ γὰρ κοινὸς συνδεσμος χειρῶν ὡσανεὶ δυοῖν ἐπιβολῇ ἑκατέρα σημασίᾳ ἑκατέρων τῶν ὅρων ἐφάπτεται, τῇ μὲν ὑπαρκτικῇ, τῷ ὑποκειμένῳ, τῇ δὲ χρονικῇ, τῷ κατηγορουμένῳ. καὶ τοῦτο χάριν ἀναλύεται τὰ ῥήματα εἰς τὰ σύσοιχα αὐτοῖς ὀνόματα, εἰς δὲ τὴν συσοιχοῦσαν μετοχήν, διὰ τὴν χρείαν τῆς τοῦ κατηγορουμένου ἀορισίας, τῆς ἐκ τοῦ ἀποφατικοῦ μορίου: ὅπερ αὐτὸ δυνάται, τήν τε μετοχὴν καὶ τῷ ῥήματι προσκείμενον. τοῦτο μὲν οὖν, ἀπόφασιν μόνον ἀοριστικῶς ποιεῖ. οἷον, ὁ λίθος, ἢ τὸ φυτὸν οὐκ ἔχει, ἢ οὐκ ἔστι ἔχον. ἀποφάσκον μόνον τὸ λίθου καὶ τοῦ φυτοῦ τὸ ἔχειν, οὐ μὴν ἤδη ἕτερόν τι παρὰ τοῦτο καταφάσκον τοῦ ὑποκειμένου. τῇ δὲ μετοχῇ προσιὸν μέρος, τὸ μὴ, λέγω, ἀποφάσκει μὲν τοῦ ὑποκειμένου ἀοριστικῶς τὸ, ᾧ πρόσκειται, τὸ κατηγορούμενον δηλονότι. οἷον, ἄνθρωπος ἐστι μὴ γράφων, ἢ μὴ ἔχων, καταφάσκει δὲ αὐτοῦ, φημὶ δὴ τοῦ ὑποκειμένου ἀορίστως πάντα τὰ παρὰ τὸ, ᾧ πρόσκειται, οὐμὲν ἁπλῶς ὄντα τε καὶ μὴ ὄντα κατά τινας, μόνα δὲ τὰ πεφυκότα κατηγορεῖσθαι τοῦ ὑποκειμένου. οἷον, ἄνθρωπός ἐστι μὴ γράφων. ἀλλ' ἀναγινώσκων τυχόν, ἢ περιπατῶν, ἢ προσάσσων. καὶ ἁπλῶς οὕτι τῷ παρὰ τὸ γράφειν ποιῶν, ὧν πέφυκεν ἄνθρωπος ποιεῖν. Καὶ συνελόντι, ἀρχικὸν αἴτιον τῆς τῶ ῥημάτων ἀναλύσεως εἰς μὲν τὸ ὄνομα, ἡ ἀντίστροφη τῷ προτάσεων, εἰς δὲ τὸν μετοχὸν, ἡ τοῦ κατηγορουμένου ἀορισία, εἰς δὲ τὸ ὑπαρκτικὸν, ἡ πτωτικοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον σωφρονικὸν. Πάντα μὲν ἂν τὰ εἰς τὸ ὄνομα ἀναλυόμενα, καὶ εἰς τὴν μετοχὴν πάντως ἀνταναφέρει δέ. τὸ δὲ κατὰ γενικὴν, κεῖται δηλονότι τὴν κλητικὴν σώνταξιν. Σύσοιχα δὲ παντὸν εἰπεῖν ὁμόσοιχα, τὰ συγγενῆ. οἷον, ὁ ἀνὴρ τῇ ἀλόγῳ ψυχῇ χρώμενος, τοῖς λοιποῖς τῇ ζώων σύσοιχός ἐστιν. ἅτε καὶ τὰ δ', ἁπλᾶ στοιχεῖα σύσοιχα ἀλλήλοις λέγεται, καὶ αἱ τούτων ποιότητες, θερμότης, ψυχρότης, ὑγρότης, ξηρότης. καὶ τὰ Δασέα τῇ στοιχειακῶν γραμμάτων πρὸς ἄλληλα, ὡς εἴρηται, συστοιχεῖ, καὶ τὰ ψιλὰ πρὸς τὰ δασέα. ἐμὴν ἀλλὰ καὶ οἱ Χυμοὶ πρὸς ἀλλήλους συστοιχεῖν λέγονται, οἷον, γλυκὺ, πικρόν. στρυφνὸν, σύφον. λιπαρὸν, καὶ ὅσα ἄλλα ὁμόσοιχα. καὶ τὰ διωρισμένα Ποσὰ τὰ περιττὰ καὶ ἄρτια τῆς αὐτῆς ἔχεται συσοιχίας. καὶ τῇ Ἐναντίων δὲ τὰ τε θετικὰ ἔμμεσά τε καὶ ἄμεσα, καὶ τὰ καθ' ἕξιν καὶ στέρησιν, πάντα σύσοιχα ἀλλήλοις εἰσίν: ἐν οἷς καὶ τὰ Πρός τι. Ἔτι σύσοιχα καὶ πτώσεις καὶ παρώνυμα, παρακεῖσθαι μὲν ἀλλήλοις δοκοῦντα, διαφέροντα δέ. σύσοιχα μὲν δὴ λέγεται ἀλλήλοις, καὶ τὰ ὁμοίως ἔχοντα πρός τινα, ἃ καὶ καὶ ἀναλογίαν εἴληφεν. ὡς τὰ τοιαῦτα, ἐπιστήμη καὶ αἴσθησις. ἑκάτερον δὴ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ ὑπ' αὐτὰ ἐπιστητά τε καὶ αἰσθητά. ὁμοίως καὶ τὸ αἰσθητὸν καὶ τὸ ἐπιστητόν. ἑκάτερον δὴ αὐτῶν ὁμοίως ἔχει πρὸς τὰ, ὧν ἐστι σύσοιχα, λέγω τὴν αἴσθησιν καὶ τὴν ἐπιστήμην. Ἐπὶ τούτοις καὶ πάντα τὰ ἀπότινος παρωνομασμένα, ἀλλήλοις τε καὶ ἐκείνῳ, ἀφ' οὗ παρωνόμασαι, σύσοιχα. οἷον, ἀπὸ τῆς δικαιοσύνης παρωνόμασαι ὁ δίκαιος, τὸ δίκαιον, τὸ δικαίως. ταῦτα δὴ ἀλλήλοις τε ἐστι σύσοιχα καὶ αὐτῇ τῇ δικαιοσύνῃ. Τὰ δὲ ἀπότινος παρωνομασμένα, ἐκείνῳ λέγεται παρώνυμα, ᾧ παρωνόμασαι, ἀλλ' οὐκ ἀλλήλοις. οὐδ' ἐκείνῳ

οὐδ' ἐκεῖνο τούτοις, λέγω τὸ παρωνυμοῦν τοῖς παρωνυμουμένοις, τῇ γὰρ παρωνυμούσῃ γραμματικῇ ὁ παρωνυμούμενος γραμματικὸς, παρώνυμος ἂν εἴη. οὐκ ἔτι δὲ καὶ ἡ γραμματικὴ τῷ γραμματικῷ, πτώσεις δὲ, τὰ ἰδίως οὕτω παρά τινος ἐσχηματισμένα, ὡς τὸ γραμματικῶς. πτῶσις γὰρ τοῦ γραμματικόν. ὁμοίως τὸ μουσικῶς, δικαίως, φρονίμως, ἀνδρείως καὶ τὰ τοιαῦτα, σύστοιχα, οἷον τὰ δίκαια, καὶ ὁ δίκαιος τῇ δικαιοσύνῃ. καὶ ὁ ἀνδρεῖος καὶ τὰ ἀνδρεῖα τῇ ἀνδρίᾳ. ὁμοίως δὲ καὶ τὰ ποιητικὰ καὶ φυλακτικὰ, σύστοιχα ἐκείνοις εἰσὶν, ὧν ἐστι φυλακτικὰ καὶ ποιητικά. οἷον, τὰ ὑγιεινὰ ὑγείας, καὶ τὰ εὐεκτικὰ εὐεξίας. καὶ ἁπλῶς ὅσα ἐκ τοῦ αὐτοῦ γένους τῶν λέξεών ἐστι, σύστοιχα ἀλλήλοις λέγεται, τὰ αὐτὰ καὶ σύζυγα. οἷον, ὁ φθόγγος τῇ φθογγῇ σύστοιχος, ὡς καὶ ὦνος τῇ ὠνῇ, καὶ χόλος τῇ χολῇ. καὶ ὁ βαθὺς Εὐστάθειός φησι φύλλ. 200. ῥῆμα ὑπὸ συστοίχου ὀνόματος εἰσαγόμενον. οἷον ἐν τῷ, εἷς βασιλεὺς, ᾧ ἔδωκε κρόνου παῖς. ὑπακούεται γάρ φησι, τὸ βασιλεύειν. καὶ ἀντιστρόφως, ὄνομα συνεισαγόμενον ὑπὸ συστοίχου ῥήματος, ἢ μετοχῆς. οἷον, ἐν τῷ, δικάσω. ἰθεῖα δὲ ἔσται. ἡ δίκη δηλ. κἀν τῷ ζεφυρίη πνείουσα, πνοὴ δηλ. Τὸ δὲ ὑπαρκτικὸν ὁμοειδὲς εἴρηται, οὐχὶ τῷ πτωτικῷ, ἄπτωτον ὂν, ἀλλὰ τῷ συνθέτῳ ῥήματι. ἐπεὶ ὥσπερ ἡ τοῦ πτωτικοῦ συστοιχία, οὐχὶ πρὸς τὸ ὑπαρκτικὸν, οὕτω καὶ ἡ τοῦ ὑπαρκτικοῦ κατὰ τὸ εἶδος ταυτότης, οὐχὶ πρὸς τὸ πτωτικὸν, πρὸς δὲ τὸ σύνθετον ἔχει τὴν σχετικὴν ἀναφοράν. πρὸς γοῦν ἀντιδιαστολὴν τοῦ πτωτικοῦ ἑτεροειδοῦς ὄντος, εἴρηται τὸ ὑπαρκτικὸν ὁμοειδὲς τῷ ἀναλυομένῳ ῥήματι, ὡς ὑπὸ εἶδος τὸ αὐτὸ ἐκείνῳ ὑπαγόμενον. ῥῆμα γὰρ ἑκάτερα κατὰ κοινὸν γένος τὸ τοῦ λόγου μέρος. οὗ καθόλου καὶ γενικοῦ μέρους εἴδη ἁπλῶς τὰ ὀκτὼ μέρη τοῦ κατὰ σύνταξιν λόγου. ἃ δὴ καὶ γένη καὶ εἴδη ὑπάλληλά εἰσι τὰ αὐτὰ κατ' ἄλλο καὶ ἄλλο, εἴδη μὲν, τῶν πρὸ αὐτῶν, ἤτοι τοῦ λόγου, γένη δὲ, τῶν μετ' αὐτά τε καὶ ὑπ' αὐτά. καὶ ὑπὸ μὲν τὸ ὄνομα πάντα τὰ εἴδη τοῦ ὀνόματος ὡς ὑπό τι κοινὸν γένος ὑπάγεται. οὐσιαστικὸν (εἴ τ' οὖν κύριον καὶ προσηγορικόν) καὶ ἐπίθετον. καὶ ἔστι τὸ ὄνομα εἶδος μὲν, τῆς φωνῆς, γένος δὲ, τῶν ὑφ' αὑτὸ εἰδῶν, οὐσιαστικοῦ καὶ ἐπιθέτου. ὑπὸ δὲ τὸ ῥῆμα, ὡς ὑπὸ κοινὸν καὶ αὐτὸ γένος πάντα τὰ εἴδη τοῦ ῥήματος, ἐνεργητικὰ, παθητικὰ, οὐδέτερα, μέσα καὶ ἐπίμεσα. καὶ ἔστι κἀνταῦθα τὸ ῥῆμα, εἶδος μὲν, τῆς φωνῆς, γένος δὲ, τῶν ὑφ' αὑτὸ εἰδῶν. καὶ τὰ μὲν παρὰ τὸ οὐδέτερον καὶ ἐπίμεσον εἶδος τοῦ ῥήματος εἴδη, εἴδη εἰσὶν εἰδικώτατα, ὡς μηκέτι διαιρούμενα εἰς ἕτερα εἴδη, τοῦ δὲ οὐδετέρου καὶ ἐπιμέσου ἕτερά ἐστι τὰ εἰδικώτατα, τοῦ μὲν, τέσσαρα, ὑπαρκτικόν, αὐτοπαθητικὸν, ὁλοενεργητικὸν καὶ αὐτοουδέτερον. τοῦ δὲ ἐπιμέσου δύω, ὁλοπαθὲς καὶ αὐτοενεργητικόν. Τῶν μὲν οὖν καθ' ἕκαστα ὀνομάτων τὰ ὑπό τι κοινὸν εἶδος τοῦ ὀνόματος ὑπαγόμενα, ἤτοι τὸ οὐσιαστικὸν, ἢ τὸ ἐπίθετον, πάντα ταῦτα ἀλλήλοις ὁμοειδῆ εἰσι, καὶ ὁμογενῆ δὲ τὰ αὐτὰ, ὡς ὑπὸ τὸ αὐτὸ εἶδος καὶ γένος τελοῦντα, οὐ μὴν δὲ καὶ πάντα τὰ ὁμογενῆ, ἤδη καὶ ὁμοειδῆ εἰσι τὰ αὐτά. ὡσαύτως καὶ τῶν καθ' ἕκαστα ῥημάτων τὰ ὑπό τι κοινὸν εἶδος τοῦ ῥήματος ὑπαγόμενα, ἤτοι τὸ ἐνεργητικὸν, ἢ τὸ παθητικὸν, ἢ τὸ οὐδέτερον, ἢ τὸ μέσον, ἢ τὸ ἐπίμεσον, πάντα ταῦτα ὁμοειδῆ μὲν ἀλλήλοις εἰσὶ, καὶ ὁμογενῆ δὲ, ὡς ὑπὸ τὸ αὐτὸ εἶδος καὶ γένος καὶ αὐτὰ τελοῦντα, οὐ μὴν δὲ καὶ πάντα τὰ ὁμογενῆ, ἤδη καὶ ὁμοειδῆ εἰσι τὰ αὐτά. Τούτων οὕτω διαληφθέντων, τὸ μὲν συμμαχῶ, ὑπάγεται ὑπὸ εἶδος τὸ οὐδετεροπεριποιητικὸν, τὸ δὲ πληροῦμαι, ὑπὸ τὸ παθητικὸν, τὸ δὲ γίγνομαι, ὑπὸ τὸ ὁλοπαθὲς, τὸ δὲ εἰμὶ, ὑπὸ τὸ ὑπαρκτικόν. οὐδενὶ γοῦν τούτων ὂν ὁμοειδὲς τὸ ὑπαρκτικὸν κατὰ τὸ προσεχὲς εἶδος, (τῶν μὲν

(τῶν μὲν γάρ ἐστιν ἑτεροειδὲς, τῶν δὲ, καὶ ἑτερογενές.) λείπεται ἄρα κατὰ τὸ πόρρω εἶδος ὁμοειδὲς εἶναι τοῖς εἰς αὐτὸ ἀναλϋομένοις ῥήμασιν, ᾗ ῥῆμα καὶ αὐτὸ δηλαδὴ, ἀντιδιαιρούμενον τῷ ὀνόματι κατὰ κοινὸν, ὡς εἴρηται, γένος τὸ τοῦ λόγου μέρος. Τί δὲ δήποτε, ἐνὸν εἰπεῖν, πρὸς ῥῆμα τὸ ὑπαρκτικὸν, ὁ δὲ, πρὸς τὸ ὁμοειδὲς ἔφη ὑπαρκτικόν; ῥῆμα γὰρ ὂν, πρόδηλον ὡς καὶ ὁμοειδές. Ἡ ἐπεὶ ἡ ἀνάλυσις ἀναδρομή τίς ἐστι τοῦ συνθέτου εἰς τὰ ἐξ ὧν σύγκειται ἁπλᾶ, τὸ δὲ σύνθετον οὐκ ἐξ ὁμοειδῶν, ἐκ δὲ ἑτεροειδῶν συνεστηκὸς, εἰς ἑτεροειδῆ πάλιν ἀναλύεται, (ξύλον τε γὰρ ἁπλῶς ἄλλο, καὶ ἕτερον σχῆμα, εἴτ' οὖν ποιὸν ἐκτύπωμα, ἐξ ὧν ἡ σανὶς, μηδετέρῳ τούτων οὖσα ὁμοειδής. ἡ μὲν γάρ ἐστι ξύλον ἑτερόμηκες, τῶν δὲ τὸ μὲν, ὕλης, τὸ δὲ, εἴδους ἔχει πρὸς αὐτὴν λόγον. καὶ τὸ μὲν ξύλον, οἷον ὕλη ἔξωθεν παραλαμβάνεται, τὸ δὲ σχῆμα, οἷον εἶδος παρὰ τῆς τέχνης ἐφαρμόζεται, ἀποτέλεσμα δὲ, τὸ ἐξ ἀμφοῖν συντιθέμενον, ἔκ τε τῆς ὕλης καὶ τοῦ εἴδους. ὕλη τε αὖ καὶ εἶδος αἱ φυσικαὶ ἀρχαὶ, ἕτεραι ὁμολόγως τῷ εἴδει καὶ ἀλλήλων καὶ τοῦ ἐξ αὐτῶν. τὸ μὲν γάρ ἐστιν οὐσία, τὰ δὲ, οὐσιῴδη μᾶλλον ἢ περ οὐσίαι. γένος τε ὁμοίως καὶ εἰδοποιὸς διαφορὰ αἱ μεταφυσικαὶ ἀρχαὶ, ἕτεραι τῷ εἴδει καὶ ἀλλήλων καὶ τοῦ ἐξ αὐτῶν εἴδους. ζῷόν τε γὰρ ἄλλο, καὶ ἕτερον λογικὸν θνητὸν κτ: καὶ ἄλλο ὁ ἐξ αὐτῶν ἀνός.) Τὰ δὲ μέρη τοῦ ἀναλϋομένου ῥήματος, τό, τε συστοιχοῦν αὐτῷ λέγω πτωτικὸν (ὁπότερον ἂν εἴπῃς, εἴ τε τοὔνομα, εἴ τε τὴν μετοχήν.) καὶ τὸ ὑπαρκτικὸν, δέον ὥσπερ ἀλλήλων, οὕτω τοι καὶ τοῦ συνθέτου ἕτερα εἶναι τῷ εἴδει ἑκάτερα, τὰ δὲ, οὐκ εἰσὶν, ἀλλὰ τὸ μὲν, τὸ δ' οὔ. διὰ τοῦτό φησιν ἡ τοῦ ῥήματος ἀνάλυσις καινοπρεπής τίς ἐστι, γιγνομένη εἰς μέρη, ὧν θάτερον ὁμοειδές ἐστι τῷ συνθέτῳ, καὶ οὐχ ἑτεροειδὲς κατὰ τὸν ἀναλυτικὸν ὅρον. οὐδὲ γὰρ ὁμοίως ἐπὶ παντὸς γένους, εἴτ' οὖν ὑποκειμένου ἐπιζητητέον τὸ ἀκριβὲς, ἀλλὰ κατὰ τὴν ὑποκειμένην ὕλην. εἴ γε καὶ ἀναλϋομένου τοῦ ῥήματος, ῥήματος πάλιν προσδεῖ τῷ λόγῳ. οὐ οὐκ ἄνευ. ἄλλως τε τῶν ἁπλῶν πρὸς τὸ ἐξ αὐτῶν συνθετον φυσικῶς ᾠκειωμένων, τὴν τούτων συγγένειαν δηλῶν, εἴρηκε τὸ μὲν ἑτεροειδὲς πτωτικὸν, ὁμόστοιχον, τὸ δὲ ἀντίστοιχον ὑπαρκτικὸν, ὁμοειδές. οἰκειοῦται γὰρ τὸ σύνθετον τὰ ἁπλᾶ, τῇ συστοιχίᾳ μὲν, τὸ ἀπηλλοτριωμένον τῷ εἴδει, τῷ εἴδει δὲ, τὸ ἀπηλλοτριωμένον τῇ συστοιχίᾳ, τῶν ἀμηχάνων ὂν ἑκάτερα τῷ αὐτῷ, ἕτερα ἀλλήλων ὄντα καὶ τῷ εἴδει καὶ τῷ στοίχῳ. ἔστι δὲ τοῦ συνθέτου οἷον ὕλη μὲν, τὸ ὑπαρκτικὸν, τὸ δὲ πτωτικὸν, οἷον εἶδος. Ἡλίας δὲ ὁ βουρδιγαλήνσιος τὸ εἶδος ἐνταῦθα οὐ κατὰ τὰ τοῦ λόγου μέρη, κατὰ δὲ τὰ τούτοις παρεπόμενα εἰληφὼς, ὁμοειδὲς ἡρμήνευσε τὸ ἀκόλουθον, ἵν' ᾖ δηλονότι τὸ σύνθετον ἀναλϋόμενον εἰς τὸ ὑπαρκτικὸν μὴ κατὰ τὸ τυχὸν, ἀλλὰ κατὰ τὴν ἐπιβάλλουσαν οἱ θέσιν, λέγω δὴ τὴν κατά τε χρόνον καὶ πρόσωπον καὶ ἔγκλισιν καὶ ἀριθμόν. ἐφάνη δὲ καὶ ὁ Θεόδωρος προχειρισάμενος τὸ ὁμοειδὲς ἐπὶ τῆς καθ' ὁ,τιοῦν τῶν παρεπομένων ἀκολουθίας. ἔνθα καὶ ἐλέγετο γένος μὲν, τὸ παρέπεσθαι, εἴδη δὲ τούτου, τὰ καθ' ἕκαστον παρεπόμενα, καὶ τῶν τοῦ λόγου μερῶν τὰ καθ' ὁ,τιοῦν τῶν παρεπομένων ἀκόλουθα ἀλλήλοις, ὁμοειδῆ.

Πληροῦμαι. πλήρης γίνομαι, τῶν πληρουμένων εἰμί.

Δῆλον ὡς ταυτοδύναμα καὶ ὁμοιοσύντακτα ἀλλήλοις τό, τε γίγνομαι καὶ τῶν οὐδετέρων τὰ ὑπαρκτικά. εὐθείᾳ τε γὰρ ἐκ γ' ἑκάτερα συντάσσεται, καὶ ἡ τῶν ῥημάτων ἀνάλυσις δι' ἀμφοῖν

ἀμφοῖν ἀδιαφόρως ἐπιτελεῖται. διαφέρει δὲ ἀλλήλων τῇ τε διαθέσει καὶ ᾗ δὴ τὸ μὲν ὑπαρκτικὸν ἐπὶ ὑπάρχοντος λέγεται κατὰ Εὐσταθ. οἷον, οὗτός ἐστι γέρων, ὁ πάλαι δηλονότι ἐν νεότητι ὤν, τὸ δὲ γίγνομαι, ἐπὶ τοῦ ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παραγομένου, ἢ παρηγμένου. οἷον, ἐγένετο παῖς, ὁ πρότερον δηλαδὴ μὴ ὤν. οὐδὲν γὰρ ἅμα ἐστί τε καὶ γίγνεται κατὰ τὸν Ἀριστ'λ. 6, τῶν φυσ. 6, καὶ 8, κφ'. 8. ἡ δὲ μετὰ τῶν προβιβασμὸν, ἢ προχείρισιν σημαινόντων ῥημάτων ἐκ γ', δοκοῦσα εὐθεῖα, ἐκ δ', ἐστίν. ἔστι δ' οὗ καὶ ἡ μετὰ τὸ γίγνομαι. οἷον, ὅδε προεχειρίσθη, ἢ ἐγένετο τῆσδε τῆς πόλεως πρεσβύτερος, ἢ ἄρχων. πάντως γὰρ ὑπό τινος.

Καὶ δὴ οὕτω ταῦτα.

Ἔγκλισις.

Τῶν δὲ παρεπομέων τῷ ῥήματι ἐγκλίσεων λόγος μὲν,

Ὁ μὲν ὁρισμὸς δηλονότι ἐστὶν οὗτος.

Βούλημα εἴτ' οὖν πάθημα ψυχῆς,

Διὰ μὲν τοῦ βουλήματος, τὰς παρὰ τὴν ὁριστικὴν ἐγκλίσεις παρεδήλωσεν, ἐπὶ τὰς ὀρεκτικὰς δυνάμεις τῆς ψυχῆς ἀναγομένου. διὰ δὲ τοῦ παθήματος, αὐτὴν τὴν ὁριστικὴν ἔγκλισιν, τῆς γνώσεως τοῦ νοὸς παρεμφαντικὴν οὖσαν, ὡς ἐν τῇ κατὰ τὰς πτώσεις εὐθείᾳ πλατύτερον εἴρηται. τὸ γὰρ εἴτ' οὖν, χυδαϊστὶ ἑρμηνευτικὸν ὂν, ὁ θεόδωρος διαζευκτικῶς ἐξελάβετο κατὰ τὴν τῶν ἀρχαίων χρῆσιν. εἰ γάρ τοι καὶ τὰ παθήματα τοῖς βουλήμασι ταυτικῶς κατά τινας συμπαρέζευκται, διὰ τὸ μὴ οἷόν τε δίχα νοήσεως ὀρέγεσθαι, ἀλλ' οὐχὶ καὶ τὰ βουλήματα παροπηδεῖ τοῖς παθήμασιν. εἴγε ὁ ἐγκρατὴς κατὰ τὸν Ἀριστ'λ: νικομ'. ἠθ. ζ'. ἐμμενετικός ἐστι τῷ λογισμῷ. καὶ εἰδὼς ὅτι φαῦλαι αἱ ἐπιθυμίαι, οὐκ ἀκολουθεῖ τῇ ὀρέξει διὰ τὸν λόγον, προαιρούμενος μὲν, ἐπιθυμῶν δ' οὔ. νικομχ'. ἠθ. γ'. οὐδὲ γὰρ ἁπλῶς ἀληθὲς τὸ ὅ, τις νοεῖ, τούτου καὶ ὀρέγεται. ἐπεὶ μηδὲ τῶν τοῦ σώματος ἐκκρινομένων περιττωμάτων τοὺς σώφρονας, ἢ γυναικός τινος τοὺς ἐγκρατευομένους. οὔκουν οὕτω μάταιος, ὥστε τὰ τῆς ψυχῆς βουλήματα τὰ αὐτὰ καλεῖν καὶ παθήματα, οὐκ εἰς τὰς αὐτὰς τῆς ψυχῆς δυνάμεις ἑκατέρων ἀναγομένων. Ὅτι δὲ διαζευκτικὸν τὸ εἴτ' οὖν, δηλοῖ καὶ Κύριλλος Ἀλεξ. λόγ. ς', πρὸς Παλλάδ. ἀλλ' οὐδὲ πτήσεις τῶν οἰωνῶν ὡς ἀληθές τι χρῆμα παραδεξόμεθα, κἂν εἰ φέροιντο πρὸς δεξιὸν, εἴτ' οὖν εἰς εὐώνυμον. ὁ αὐτὸς ἐν τῷ αὐτῷ. εἰ μὲν οὐ μέτεστι τοῖς ἐθέλουσι σωφρονεῖν (τῆς κατ' ἀρετὴν εὐημερίας.) κἂν εἰ φαῦλόι τινες εἶεν, εἴτ' οὖν ἀγαθοὶ τοὺς τρόπους, ἡ κόντων εἰς μέσον οἱ διελεγ'ξοντες. Ἔστι δὴ οὖν ἡ ἔγκλισις ὄρεξις ἢ νόησις ψυχῆς, διὰ φωνῆς ἑρμηνευομένη. τὰ δὲ νοήματα τῆς ψυχῆς εἴτ' οὖν τοῦ νοὸς, τὰ αὐτὰ καὶ παθήματα ἀκούει, οὐχ ὅτι ὁ ἀπαθὴς νοῦς πάσχει, ἀλλ' ἐπειδὴ τῇ φαντασίᾳ συμπέπλεκται, (ταύτης γὰρ ἄνευ, οὐδέν ἐστιν ὡς εἰπεῖν τῶν ἐν τῷ κόσμῳ νοεῖν.) ταύτης δὲ οὐκ ἀπαθοῦς οὔσης, ἀλλὰ τῇ χρονίῳ τῶν φαντασθέντων ἀπουσίᾳ διαλυομένης, λήθην τῶν ἐγνωσμένων πάσχει ὁ νοῦς, διὰ τοῦτο αὐτός τε παθητικὸς ἤκουσεν, ἐπικοινωνούσης αὐτῷ τῆς φαντασίας τοῦ κατὰ τὸ πάθος ὀνόματος διὰ τὴν πρὸς αὐτὸν ἕνωσιν, καὶ τὰ νοήματα τῆς ψυχῆς παθήματα τῆς αὐτῆς λέγεται. εἰ γάρ τοι τῆς ψυχῆς ἡμῶν ταῖς νοεραῖς ἐνεργείαις ἐπὶ τὰ νοητὰ κινουμένης, περιτταὶ μετὰ τῶν αἰσθητῶν αἱ αἰσθήσεις, ὁ νοῦς ἀλλ' οὖν διὰ τῶν αἰσθητῶν ἀνακινεῖσθαι σπεύδει πρὸς θεωρητικὰς νοήσεις κατὰ Διονύσ: τὸν ἀρεοπ. κφ'. δ', περὶ θείων

θείων ὀνομάτων. σβέσον γάρ φησι, τῷ λόγῳ καὶ ὁ θεῖος χρύσμ. ἐν τῇ πρὸς γαλ: κφ: ε. τὰς αἰσθήσεις, καὶ ἔρημον ὄψει τὴν ψυχὴν γνώσεως ἁπάσης, καὶ οὐδὲν εἰδυῖαν, ὧν οἶδε. πόθεν ἔχεις φησὶν, ὁμλ. β', εἰς τὰς πράξ. τῶν ὄντων τὴν γνῶσιν; (εἰ τὸ σῶμα πονηρόν) ὁ δὲ φίφος πόθεν φίφος, εἰ μηδὲν συντελεῖ τὸ σῶμα; πήρωσον τὰς αἰσθήσεις, καὶ μάθε τι τῶν δεόντων. τί δὲ μωρότερον ψυχῆς γένοιτ' ἄν, εἰ ἐξ ἀρχῆς τὰς αἰσθήσεις εἴη πεπηρωμένη; Καὶ ὁ ναζιανζ, Γρηγόριος τῇ ἀνίνῃ φησι, σοφίᾳ τὴν τῶν ὄντων γνῶσιν θηρεύοντες, τοῖς νοητοῖς μετὰ τῶν αἰσθήσεων, ἢ οὐκ ἄνευ αἰσθήσεων προσβάλλομεν. καὶ οὐκ ἔχομεν γυμνῷ τῷ νοὶ γυμνοῖς τοῖς πράγμασιν ἐντυγχάνοντες, μᾶλλόν τι προσιέναι τῇ ἀληθείᾳ, καὶ τὸν νοῦν τυποῦσθαι ταῖς καταλήψεσι.

Διὰ φωνῆς σημαινόμενον.

Τὰ τῆς ψυχῆς κινήματα οὐκ ἂν ἄλλως ἔχοι σημαίνεσθαι, ὅτι μὴ διὰ λόγου καὶ φωνῆς. καθ' ὅ, τι τῶν αὐλῶν μόνον ἐστὶν ἀπὸ τῶν νοημάτων ἀλλήλοις προσεντυγχάνειν. ἡ μὲν δὲ, ἐπειδὴ ὡς ὑπὸ παραπετάσματος τῆς σαρκὸς καλυπτομένη ἡ ψυχὴ, τὰς ἐννοίας ἐργάζεται, φωνῆς χρεία, πρὸς τὸ δημοσιεύειν ἀλλήλοις τὰ ἐν τῷ βάθει κείμενα. Ἔγκλισις δὲ ἐτυμολογικῶς κλίσις καὶ ῥόπη ψυχῆς ἐπὶ τὸ ὁρίσαι, ἢ προστάξαι, ἢ εὔξασθαι. οἱ δὲ παλαιοὶ τὰς ἐγκλίσεις καὶ τὰς διαθέσεις, διαθέσεις κοινῶς ἐκάλουν, ὕστερον δὲ διέκριναν αὐτὰς ἀπ' ἀλλήλων, ἐγκλίσεις μὲν, τὰς ψυχικὰς προσειπόντες, διαθέσεις δὲ, τὰς σωματικάς. οἷον, ἔγκλισιν μὲν, τὸ ἐνθυμηθῆναι, ἢ βουληθῆναι τύψαι, διάθεσιν δὲ, τὸ ἐνεργῆσαι καὶ τύψαι,

Ὁριστική.

Τῶν ἐγκλίσεων ἑκάστῃ, φησὶν ὁ Ἀπολλ'. παρέπεται ἰδιαίτερον μὲν, ἀπὸ τῶν ἐν αὐταῖς δηλουμένων πραγμάτων τὴν θέσιν τοῦ ὀνόματος ἀναδέξασθαι, κοινῶς δὲ, τὸ ἀποφαντικὸν, ὡς ἀποφανούσαις τι. ἡ μὲν οὖν καλουμένη ὁριστικὴ, καλεῖται καὶ ἀποφαντικὴ. καὶ δῆλον ὅτι τὸ μὲν καλεῖσθαι αὐτὴν ἀποφαντικὴν, κοινῆς ἐννοίας ἐστὶ, καὶ γενικοῦ λόγου. εἴγε καὶ τὸ ἀποφαίνεσθαί τι, κατὰ πάσης φράσεως εἴτ' οὖν ἐγκλίσεως καὶ λόγου παραλαμβάνεται κοινότερον. ἀλλὰ καὶ ἐπιρρήματά τινα ἀποφαντικὰ καλοῦμεν κατὰ κοινὴν ἔννοιαν καὶ γενικῷ λόγῳ. οἷα τὰ καταφατικά τε καὶ ἀποφατικά. ἰδίας μέν τοι ἐννοίας ἔχεται οἰκειοτέρως ἡ ὁριστικὴ. διὰ γὰρ ταύτης ἀποφαινόμενοι, ὁριζόμεθά τι. διὰ δὲ τῶν ἄλλων οὐκ ἔστιν ὁριστικῶς περὶ οὐδενὸς ἀποφήνασθαι. ἔνθεν γὰρ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι, καὶ ἔτι οἱ αἰτιολογικοὶ συντείνουσιν ἐπὶ ταύτην, ἐπιρρωνύντες τὰ ὁριζόμενα. ὁριζόμενοι γὰρ, φαμὲν ἁπλῶς, γέγραφα. διαβεβαιούμενοι δὲ, προσλαμβάνομεν καὶ τὸν σύνδεσμον. οἷον, λέγω, ὅτι γέγραφα, εἰς ἐπίτασιν τοῦ ὁρισμοῦ, ἐπιτείνοντες δηλαδὴ διὰ τούτου τὸν ὁρισμόν. ἀνθυπάγεται δὲ πάλιν τούτῳ ἐναντίον κατὰ ἀπόφασιν τὸ οὔ. ὅτι οὐ γέγραφας. ἀναιροῦν τὸ ὁριζόμενον. Ἀλλὰ καὶ ἐπὶ αἰτιολογικῆς ἐννοίας φαμὲν ὅτι περιπατῶ. ἐπίγε μὴν τῷ τοιούτῳ ἡγουμένῳ λήμματι τὸ ἑπόμενον τούτῳ αἰτιῷδες συναχθήσεται. οἷον, ὅτι περιπατῶ, κινοῦμαι. ὡς εἰ καὶ φαίημεν, ἐπειδὴ περιπατῶ, κινοῦμαι. ὅπερ οὐκ ἀληθεύει, ἀναστραφέντος τοῦ λόγου. ὡς εἰ φαίημεν, ὅτι κινοῦμαι, περιπατῶ. κεινεῖται γάρ τις, καὶ μὴ περιπατῶν. εἴγ' ἡ μὲν κίνησίς ἐστιν αἰτιῷδες, εἴτ' οὖν γένος τοῦ περιπάτου, ὁ δὲ περίπατός ἐστιν αἰτιατὸν καὶ εἶδος τῆς κινήσεως. τοῖς δ' αἰτιατοῖς συνεισάγεται

καὶ τὰ

καὶ τὰ αἴτια, ὡς καὶ τοῖς εἴδεσι τὰ γένη, οὐμὴν τὸ ἀνάπαλιν. ἐν γοῦν τοῖς συνημμένοις τῶν λόγων ἡγούμενα μὲν εἰσι, τὰ μερικώτερα καὶ ὑποκειμένου χώραν πληροῦντα, ὧν τιθεμένων, ἕπεται τὰ καθολικώτερα. ἑπόμενα δὲ, τὰ καθολικώτερα, τὰ τῶν μερικωτέρων ὡς ὑποκειμένων κατηγορούμενα. τὸν τοίνυν σύνδεσμον τοῖς ἡγουμένοις συντακτέον εἰς τὴν τῶν ἑπομένων συνάφειαν τε καὶ ἀκολούθησιν, οὐ τοῖς ἑπομένοις. ἐπὶ δὲ τοῖς ἀντιστρέφουσιν, ὁποτέρῳ ἂν τύχῃ. ἀντιστρέφοντα δέ εἰσι τάτε εἴδη καὶ τὰ τούτων ἴδια. ὁ ὁρισμὸς καὶ τὸ ὁριστόν. ἃ καὶ ἀντικατηγορούμενα λέγεται. καὶ δῆλον ὅτι οὐ διὰ τὸν ἐγκείμενον ὁρισμὸν τοῖς ῥήμασι, διὰ δὲ τὸ ἀκόλουθον τοῦ ἐγγινομένου αἰτιολογικοῦ συνδέσμου τοῦ πεφυκότος τοῖς ἡγουμένοις, οὐ τοῖς ἑπομένοις συντάσσεσθαι, οὐκ ἀληθεύει, ἀναστραφέντα. ἐπεὶ τὰ ῥήματα τὸ ὅσον ἐπ' αὐτοῖς καθ' ἑαυτὰ τασσόμενα, δίχα δηλονότι τῆς πρὸς ἄλληλα ἀναφορᾶς τε καὶ συναφείας, διὰ τὸν ἐγκείμενον ὁρισμὸν ἑκάτερον αὐτῶν ἰδίᾳ ἀληθεύει. κινοῦμαι. περιπατῶ. Ἐπιλαμβάνοντι δέτινες κἀνταῦθα τοῦ Ἀπολλωνίου, λέγοντες τὴν τοῦ συνημμένου ἀκολουθίαν μὴ, παρὰ τὸν ἐγκείμενον σύνδεσμον, παρὰ δὲ τὴν τῶν συναπτομένων ὅρων δύναμιν ἀληθεύειν. συνήπτετο γὰρ ἂν, εἴπερ, διὰ τὸν σύνδεσμον καὶ τὰ ἀνακόλουθα. οἷον, δι' ὅ, τι κινοῦμαι, περιπατῶ. πρὸς οὓς ῥητέον, ὡς παρὰ τὸ ἅπαξ τῶν ὅρων τοῖς αὐτόθεν συνημμένοις ἐγκεῖσθαι, τὴν τῆς ἀκολουθίας συμμορφωθεὶς δύναμιν, καὶ τὰ ἀνακόλουθα συνάπτειν ἐθέλει λοιπόν. ἐκείνων δὲ μὴ συνακολουθούντων, τὰς φωνὰς, ὡς εἰώθει, συνάψας αὐτὸς, τὸ ψεῦδος ἐργάζετι. Σαφὲς οὖν ὅτι καὶ ἐγκειμένην ἔχει τὴν κατάφασιν. καὶ ἕνεκα τούτου τὸ καλούμενον ἀποφατικὸν ἐπίρρημα, ὡς ἂν μαχόμενον τῇ ναὶ, καταφάσει, ἐπιτρέχει τὴν ὁριστικὴν ἔγκλισιν, ἵνα τὴν ἐγκειμένην κατάφασιν ἀναιρήσῃ. οὐ περιπατεῖ. οὐμὴν ἔτι τὴν εὐκτικὴν, ἢ προστακτικήν. οὐ δὲ γὰρ ἔγκειτι ταῖς τοιαύταις ἐγκλίσεσιν ἡ μαχομένη τῇ ἀποφάσει κατάφασις. ἣν ὡς εἴρηται συνέβη ἀναιρεῖσθαι ὑπὸ τῆς οὐ, ἀποφάσεως. δι' ὃ ἡ μὴ, ἀπαγόρευσις ἐπὶ ταύταις συντείνει. φαμὲν γὰρ, μὴ γίνωσκε. μὴ γνοίης. μὴ γνῷς. χρὴ μέν τοι νοεῖν, ὅτι οὐ δὲ ἐπὶ τὴν ἀπαρέμφατον συντείνει ἡ οὐ, ἀπόφασις. οὐ δὲ γὰρ δι' αὐτῆς τι καταφάσκεται. ἐν γὰρ τῷ, οὐδεῖ γράφειν, πάλιν τὸ ὁριστικόν ἐστι ῥῆμα τὸ ἀποφασκόμενον, λέγω τὸ δεῖ, ἢ χρή. ὡς εἰ καὶ λέγοιμεν, οὐ λείπει τὸ φιλολογεῖν. καὶ διὰ τῆς τοιαύτης ἄρα συντάξεως δείκνυται, ὅτι τὸ δεῖ καὶ τὸ χρὴ ῥήματά ἐστιν ὁριστικὰ, οὐκ ἐπιρρήματα κατάτινας. ὁμόλογον δ' ὅτι οὐδὲ τῇ καλουμένῃ ὑποτακτικῇ ἐγκλίσει τὸ ἀποφατικὸν ἐπιπλέκετι. συνηρτημένη γὰρ, οἷς ὑποτέτακται, ἐπιζευκτικοῖς μορίοις, τὴν ἐκ τούτων δύναμιν ἀναδεξαμένη, ἀπροσδεὴς γενήσεται τῆς οὐ, ἀποφάσεως. μετά γε μὴν τὴν τούτων σύνταξιν, οἷόν τε πάλιν αὐτὴν ἀποφάσκειν. ἐὰν θέλῃς, οὐκ ἀναγινώσκω. καὶ μάλιστα γ' ἐπὶ ἐνεστῶτος καὶ μέλλοντος. διὰ τί δὲ οἱ παρῳχημένοι οὐ παραλαμβάνονται ἐν ὑποτακτικοῖς, ἐν τῷ δέοντι περὶ αὐτῶν εἰρήσεται, ἥγε μὴν προκειμένη ὁριστικὴ ἔγκλισις, τὴν ἐγκειμένην κατάφασιν ἀποβαλοῦσα, μεθίσταται τοῦ καλεῖσθαι ὁριστική. εἰς γὰρ ἐπερώτησιν πραγμάτων μεταχωρεῖ, διὰ τῆς ἐρωτήσεως ἐπειγομένη ἀνακτήσασθαι τὴν κατάφασιν, ἡνίκα ἐρωτῶμεν, γέγραφας; λέληκας; καὶ εἰ μὲν μὴ εἴη τὸ τοιοῦτο ἀληθὲς, ἀκούομεν, ὅτι οὔ, εἰ δὲ ἀληθὲς εἴη τὸ γεγραφέναι. ὅτι ναί. καὶ γίνεται οὕτως ἡ ἐπερώτησις, ἀναπλη-

ἀναπληρωθεῖσα δὲ διὰ τῆς καταφάσεως, ὑποστρέφει εἰς τὸ εἶναι ὁριστική. ἐν ᾗ τὰ μὲν τῆς καταφάσεως ὡς ἐγκειμένης, οἴκοθεν ἀναφαίνεται, τὰ δὲ τῆς ἀποφάσεως ἔξωθεν ἐπιγίγνεται, εἰς ἀναίρεσιν τῆς ἐγκειμένης καταφάσεως, διὰ τὸ μὴ δύνασθαι τἀναντία κατὰ ταὐτὸν ἐν ἑνὶ καὶ τῷ αὐτῷ συνελθεῖν ὑποκειμένῳ. οἷον, ἐν ταὐτῷ κατάφασιν καὶ ἀπόφασιν, ὄντα ἀλλήλων ἀναιρετικά, ἀλλ' εἴπερ ἄρα, δύοῖν θάτερον, καὶ τούτων τὸ καταφατικόν. καθ' ὅ, τι τὰ ὄντα τῶν μὴ ὄντων κρείττω, καὶ ἡ τῶν ὄντων ἄρα κατασκευαστικηκατάφασις προηγήσατο τῆς τὰ μὴ ὄντα κατασκευαζούσης ἀποφάσεως. καὶ μεγίστη ἂν εἴη ἔνδειξις τοῦ ἐγκεῖσθαι τὴν κατάφασιν ἐν τῇ ὁριστικῇ, τῷ ἔσθ' ὅτε τῷ ναί, μὴ χρῆσθαι μορίῳ, καταφατικῶς ἀπαντῶντας πρὸς τὴν ἐρώτησιν, ῥήματι δὲ τῷ αὐτῷ δι' ὁριστικῆς προφορᾶς, ὡς ἂν ἐγκειμένης τῆς καταφάσεως. πρὸς γὰρ τὸ κατ' ἐρώτησιν γράφεις; φαμὲν γράφω, ἢ κατὰ βεβαίωσιν τοῦ ὁρισμοῦ δυνάμει διπλασιάσαντες τὴν κατάφασιν, ναὶ γράφω. ταὐτὸ γὰρ δύναται τὸ ναὶ γράφω, ὡς εἰ καὶ φαίημεν ἐνεργείᾳ ναὶ ναί. οὕτως ἔχει καὶ τὸ, ναὶ δὴ, γέρον, ταῦτά γε πάντα κατὰ μοῖραν εἶπας. ἰλ. β. καὶ οὐκ ἄν τις εἴποι ἄλογον εἶναι καὶ περιττὴν τὴν προσθήκην τοῦ ναί, ὡς ἐγκειμένης τῇ ὁριστικῇ τῆς καταφάσεως. εἴγ' ἐν τοῖς ἑξῆς παραστήσομεν, ὅτι πολλάκις τὰ ἰσοδυναμοῦντα παραλλήλως τίθενται εἰς πλείονα ἔμφασιν, ὡς τὸ τάχιον περιπατεῖ, καὶ μᾶλλον τάχιον περιπατεῖ.

Καλεῖται δὲ ἡ ὁριστικὴ προσαγορευομένη, καὶ ἀποφαντική.

Τὸ μὲν, ὡς εἴρηται, ἰδίως. τὸ δὲ ἀποφαίνεσθαι, κοινῶς κἀπὶ τῶν λοιπῶν ἐγκλίσεων. ὁ ἁπλῶς μὲν σημαίνει τὸ ἐξαγγέλλειν τινὰ τῆς ψυχῆς δύναμιν, ἐπὶ δὲ τῆς ὁριστικῆς καὶ τὸ φάσκειν τι κατά τινος. αἱ γὰρ παρὰ ταύτην, ἀποφαίνονται μὲν καὶ αὐταὶ, οὐ μὴν δὲ καὶ φάσκουσί τι κατά τινος.

Ἰδίως μέν τοι ὁριστική. ὅτι διὰ ταύτης ἀποφαινόμενοι, ὁριζόμεθα.

Ὥσπερ τὰ ἐν τοῖς χωρίοις ὁροθέσια περιλαμβάνοντα τὸ ὁροθετούμενον, διίστασι τοῦτο τῶν ἄλλων ἁπάντων, ὅμοιόν τι γίγνεται καὶ διὰ τῆς ὁριστικῆς ἐγκλίσεως. δι' αὐτῆς καὶ γὰρ εἰδοποιοῦμεν τὸ καθ' οὗ αὕτη λέγεται, καὶ οἱονεὶ περιορίζομεν ἐκ τῶν πολλῶν περὶ αὐτὸ ἢ ἐν αὐτῷ ποιοτήτων οὐσιῳδῶν, ἢ ἐπουσιῳδῶν. ἐν γὰρ, φέρε, τῷ γράφει, τυχὸν ἀπολλώνιος, ἢ ἐγὼ, ἢ σὺ, ἢ ὁστισοῦν, οἱονεί τινι ὅρῳ τῷ γράφειν τὸν γράφοντα ὁρισάμενοι, διεστήσαμεν τοῦτον τοῦτε περιπατεῖν καὶ καθεύδειν, ἢ διδάσκειν, καὶ πασῶν ἁπλῶς τῶν ἄλλων περὶ αὐτὸν ἐνεργειῶν, ἢ παθῶν. διὰ γὰρ μόνης τῆς ὁριστικῆς τὰ ὄντα ὁρίζουσιν οἱ φίφοι, τὸ τί ἦν εἶναι αὐτῶν δι' αὐτῆς ἀποδίδοντες, οἷα μόνης αὐτῆς πεφυκυίας, ὡς εἴρηται, καταφάσκειν πρᾶγμά τι κατά τινος ὑποκειμένου.

Ὅθεν δὴ καὶ οἱ καλούμενοι διαβεβαιωτικοὶ σύνδεσμοι, καὶ προσέτι οἱ αἰτιολογικοὶ τείνουσιν ἐπὶ ταύτην. γέγραφα, λέγω ὅτι γέγραφα.

Ὁριζόμενος γὰρ, φημὶ γέγραφα. εἶτα, διαβεβαιούμενος τὰ τοῦ ὁρισμοῦ, φημὶ, λέγω ὅτι γέγραφα. τὸ γὰρ βεβαιωτικὸν ὅτι, οὐδέποτε λόγου κατάρχει, ὅτι μὴ ἀντεστραμμένως. οἷον, ὅτι μὲν τὸ ὄνομά ἐστι πτωτικὸν, οὐδεὶς ἀντερεῖ, ὅτι δὲ τὸ ῥῆμά ἐστιν ἄπτωτον, πάντες ὁμολογοῦσι. τοῖς γὰρ ἀφηγηματικοῖς γνωστικοῖς τε καὶ δοξαστικοῖς τῶν ῥημάτων ἐπισυνάπτεσθαι πέφυκε. τείνουσι δ' ἐπ

σι δ' ἐπὶ τὴν ὁρκικὴν καὶ οἱ αἰτιολογικοὶ τῶν συνδέσμων, ὡς καὶ αὐτοὶ μάλιστα τὸν ὁρισμὸν διαβεβαιωτικοὶ τυγχάνοντες. ἔχουσι δέ τι πλέον τῶν βεβαιωτικῶν, ὡς καὶ τὸ αἰτιῶδες συνεισάγοντες.

Καὶ ὅτι περιπατῶ, κινοῦμαι.

Τὸ ὅτι, αἰτιολογικὸν ὄν, σημαίνει τὸ αἰτιῶδες, ὃ μέν καὶ βεβαιωτικόν. εἴρηται δὲ σύνδεσμος καὶ τὸ βεβαιωτικὸν ὅτι, καθ' ὃ συνδεῖ καὶ αὐτὸ τὸν λόγον. τούτου δὲ ἀπόντος, ἀσυμπλήρωτός ἐστιν ὁ λόγος καὶ διακεκομμένος.

Ἔχει δὲ τὰ ὁρισικὰ σφίσι τὴν κατάφασιν ἐγκειμένην. διὸ δὴ τὸ ἀποφατικὸν ἐπίρρημα κατάλληλον τοῖς τοιούτοις, ἵνα τὴν ἐνοῦσαν κατάφασιν ἀποσήσῃ. ἐγράφω. ἐμὴν δὲ καὶ τοῖς προσακτικοῖς, ἢ δυκτικοῖς, ἢ ὑποτακτικοῖς. τὸ μέντοι ἀπαγορευτικὸν μή, τοῖς τοιούτοις οἰκεῖον. καὶ ἓν λέγομεν, μὴ γίνωσκε, μὴ γνοίης, μὴ γνῷς.

Ὁ μὲν ὁρισικὸς λόγος καταφάσκει τοῦ ὑποκειμένου τὸ κατηγορούμενον. οἷον τὸ διδάσκειν τυχὸν τοῦ πλάτωνος ἐν τῷ, ὁ πλάτων διδάσκει. ὅ ἐστι λέγει, ὅτι ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. καὶ τοῦτό ἐστι κατάφασις. ἡ δὲ πρόσαξις καὶ ἡ δυκτή, μέλλοντος, οὐκ ἐνεστάμενα ἐστίν, ὡς εἰρήσεται, πράγματος. ἔνθεντοι οἱ παρὰ τοῦ ἐρισικοῦ λόγοι, μὴ λέγοντες ὅτι ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, (ἐν τῷ τῷ, σώκρατες, ὑγιαίνει, ἢ ὑγιαίνοις, μέλει τὸ ὑγιαίνειν ὡς πρὸς τὸν ὑποκείμενον σωκράτη καθ' ἑκατέρας τὰς ἐγκλίσεις.) ὃ δὲ καταφάσκουσί τι. καὶ ἐπομένως ὃ δὲ ὁρίζουσιν. οὐχ ὁρισμός ἐστιν, ἀλλ' ἢ τὸ εἰπεῖν τί κατά τινός ἐστι. προτροπικὸν δὲ μέσον ἔχουσε μελλούσης πράξεως ὁμοῦ, προσακτικὸν, ὃ δέ, δυκτικόν. ὃ ἐστιν ὁ μὲν, πρὸς ἵππον, ὁ δὲ, πρὸς μείζονα. ἐνθεν καὶ τὸ τῆς προτροπῆς ἀποτρεπτικὸν μή, τοῖς τοιούτοις οἰκεῖον. τῷ γε μὴν δυκτικῶν τὰ τῷ δυνητικῷ σημαίνοντα, τὸ ἀποφατικὸν, ὃ τὸ ἀπαγορευτικὸν προσλαμβάνει. πάνυ δὲ λόγως. τὴν γὰρ τῷ δυνητικῷ ἐγκειμένην αἵρεσιν, ἀναίρεσις πάλιν οὐκ ἀπαγόρευσις ἀναιρεῖ. οἷον, οὐκ ἂν εἴποις. οὐκ ἂν φαίης. Ἐν δὲ τῷ ὁρισικῷ λόγῳ τὸ ἀποφατικὸν μέσον πρὸ μὲν τοῦ ῥήματος τιθέμενον, ἀφίσησι τὴν οὖσαν αὐτῷ κατάφασιν, εἰς ἀπόφασιν μεθιστῶν τὸν λόγον, οὐκέτι δὲ καὶ τῶν πτωτικῶν τῷ ἵππῳ ὑποκειμένῳ, ἢ κατηγορουμένῳ προσιθέμενον, ἀλλὰ πάντων μὲν ὁποτέρα ἂν τύχῃ προτεθεὶς, ἐξ ὡρισμένης εἰς ἀόριστίαν αὐτὸ μεθίησι, τὸ δὲ ῥῆμα οὐδὲν ἧττον ἔχει καὶ πάλιν τὴν κατάφασιν ἐγκειμένην. καὶ ἔστιν ὁ λόγος πάλιν καταφατικὸς ἐκ μεταθέσεως, τοῦτ' ἔστι μεθισαμένης ἐξ ὡρισμένης εἰς ἀόριστον σύνθεσιν, τοῦ ὑποκειμένου. οἷον, οὐκ ἂν ἄνθρωπος κινοῖτο. (ἀλλ' ἄλλο τι δηλαδὴ τῶν ὅσα παρὰ τὸν ἂν ὂν πέφυκε κινεῖσθαι.) σύνθεσις δὲ, τοῦ κατηγορουμένου. οἷον, ὁ ἀνθρώπος ἐστὶ μὴ περιπατῶν. (ἀλλ' ἄλλοτι δηλαδὴ ποιῶν τῶν ὅσα παρὰ τὸ περιπατεῖν πέφυκεν ἄνθρωπος ποιεῖν.) ὅθεν ἐπειδὴ καὶ τὸν Πορφύριον ἐν τῷ ἀποφαντικῷ λόγῳ τὸ κύριον ἔχει τὸ ῥῆμα πρὸς ὕπαρξιν ἢ ἀνυπαρξίαν τῆς ἀποφάνσεως, διὰ τοῦτο τὸ ἀριθμητικὸν μόριον τῷ ῥήματι ἐν ταῖς ἀποφάσεσιν ὡς κυριωτέρῳ προσίθεται, ὡς ἂν, τῆς ἐγκειμένης καταφάσεως ἀναιρεθείσης, διὰ τῆς ἀναιρέσεως τὸ κυριωτέρα τῶν ἐν αὐτῇ μορίων ἡ ἀπόφασις γένηται.

Οὐ μὴν ἀλλ' ὅδε τοῖς ἀπαρεμφάτοις

φάτοις τὸ ᾰ, σωτάσεται. ᾰθὲν γὰρ ᾰδ' αὐτὰ καταφάσκει.

Ἐν τῷ εἰπεῖν, ᾰδ' αὐτά, ἐδήλωσε δμᾶ τὸ σωιδέσμε ὅτι ᾰδὲ τὰ προσακτικὰ, ᾗ ὁρκτικὰ, ἢ ὑποτακτικά. ἐνθυμηματικῶς δὲ σωελογίσατο, παραλείψας τὴν μείζονα, ὑτωσί, τὸ ἀποφατικὸν ταῖς καταφασκούσαις τῶν ἐγκλίσεων οἰκεῖον, τὰ δ' ἀπαρέμφατα ᾰθὲν καταφάσκει; ἆρα. Τῇ δὲ μετοχῇ ζητητέον πότερον τῶν μορίων κατάλληλον, τὸ ᾰ, ἢ τὸ μή; εἶπεν αὖ τις, ὡς τὸ γράψας ὠφέλησα, ἐκ τοῦ ὁρισικοῦ εἰς τὸ πτωτικὸν μετηνέχθη χῆμα, τὸ ἔγραψα καὶ ὠφέλησα καὶ Θεόδωρον· ἀλλὰ μὴν τῷ ὁρισικῷ τὸ ἀποφατικὸν κατάλληλον, τὸ ἀποφατικὸν ἄρα καὶ τῷ πτωτικῷ χήματι, εἴτ' ὂν τῇ μετοχῇ· καὶ κῇ Ἀπολλών: δεῖτο γράφων ἐκτὸς γράφω μετείληπται. Ἢ ὅτι ᾰ παραδεικτέον τὰ τοῦ λόγε. ᾰ γὰρ εἴ τι τῷ ἀπτώτῳ, τοῦτο πάντως καὶ τῷ πτωτικῷ ἔσαι κατάλληλον· ἐκείνῳ μὲν γὰρ, ἐγκλισίς τε καὶ προσώπων διάκρισις, τούτῳ δὲ, ᾰδέτερον κατάλληλον· ἄλλως τε πολὺ πρότερον κῇ αἱ παρὰ τὴν ὁρισικὴν ἐγκλίσεις προσελάμβανον τὸ ἀποφατικὸν, ἐξ αὐτῆς καὶ αὐταὶ μεταληφθεῖσαι κῇ ἀπολλών· ῥητέον ᾶν; ὡς καὶ ἡ μετοχὴ ᾰθὲν καταφάσκει· ᾰδὲ γὰρ ὁρισικός ἐσι λόγος· ᾰκ ἄρα τὸ ᾰ; τὸ δὲ μή; πρόσλαμβάνει· τῶν δὲ μεταλαμβανόντων τὰ μόρια ἐπὶ τῆς μετοχῆς μικρὰ φροντιστέον·

Ἀποβάλλωσά γε μὴν ἡ ὁρισικὴ τὴν ἐνοῦσαν κατάφασιν, ᾰκ ἔτι ᾶν καλοῖτο ὁρισική. εἰς γὰρ ἐπερώτησιν μέτεισιν. ἆρα γράφεις;

Ἔσονται ἄρα πέντε αἱ κυρίως ἐγκλίσεις, προσγινομένης κῇ τῆς ἐρωτηματικῆς. Ἢ ὅτι ὑποδρέφει πάλιν εἰς ὁρισικὴν, ἀναπληρωθεῖσα διὰ τῆς καταφάσεως, ὡς εἴρηται; ἤ γε μὴν διὰ τῆς ἀποφάσεως ἀναπληρυμένη, ᾰκ ἔτι ᾶν καλοῖτο ὁρισική. οἷον, ἆρα γράφεις; ᾰ γράφω. ᾰδέτερον τῶν ῥημάτων ὁρισικόν. τὴν γὰρ ἐγκειμένην κατάφασιν, δι' ἣν ἡ ἐγκλισις ὁρισικὴ ἀκύει, ἀνεῖλε, προχωρήσασα ἡ ἀπόφασις. ὥσε κῇ Θεόδωρον ἀποβαλὸν καὶ τὸ ᾰ γράφει, κῇ τὸ ἆρα γράφει, τὴν ἐνοῦσαν κατάφασιν, ᾰκ ἔτι καλεῖ) ὁρισικόν. εἰγὲ τὰ μὲν ὁρισικὰ ἔχει σφίσι τὴν κατάφασιν ἐγκειμένην, τὸ δὲ ᾰ γράφει, ἀπέβαλεν αὐτήν· ἐντεῦθεν δὲ δῆλον ὡς ἡ ἀπόφασις, εἰ καὶ τὸ ἀποφαντικὸν λόγε εἶδος ὂσα τυγχάνει, ᾰμὴν ἡ δι' ἣν κῇ ὁρισικός ἐσι λόγος. οἱ γὰρ ὁρισμοὶ καταφατικῶς ἀναπτύασσι τὴν τοῦ ὑποκειμένε φύσιν, ᾰκ ἀποφατικῶς· ἐκείνως μὲν γὰρ, τὰ ὄντα κῇ τὸ τί ἐσιν; ὅτῳ δὲ, τὰ μὴ ὄντα κῇ τὸ τί ᾰκ ἔσι κατασκευάζουσι. πολλῷ δὲ κρεῖττον καὶ τιμιώτερον τὸ μὴ ὄντος τὸ οὖ. κῇ κῇ τὸν φῖφον δέ; ὥσπερ τὸ ᾰκ ἀνός, ᾰκ ἔσιν ὄνομα, ὡρισμένον δηλαδή· ἀλλ' ἀόριστον; ὅτῳ κῇ τὸ ᾰ γράφει, ᾰκ ἔσι ῥῆμα ὡρισμένον, ἀλλ' ἀόριστον. εἰ μὴ δ' ᾶν ἄλλως καὶ ἡ ἀπόφασις ὁρισική, ὡς μὴ ἐκσάσα τῆς ὁρισικῆς φωνῆς κῇ Ἀπολλ'. Καταρχεῖ δὲ τῶν λοιπῶν ἐγκλίσεων ἡ ὁρισική, ᾰχ ὡς πρώτη. πρώτον γὰρ τὸ ἀπαρέμφατον, ὡς δειχθήσεται, γενικώτατον παθέσως ῥῆμα. ἀλλ' ὡς ἐμφανέσατη ὖσα, καὶ πλείσοι τε μαῖς χρόνων προσκεχριμένη, κῇ ταῖς συνθέσαις φωναῖς. αἱ μὲν γὰρ παρὰ ταύτην, συνεζευγμένως ἔχσαι τοὺς χρόνους ἀλλήλοις ἢ συγχέσιν αὐτοὺς τῇ ταυτότητι τῆς φωνῆς· αὐτὴ δὲ καθ' ἑκάτερα ᾳκέπριβ). ἀλλως τε τῶτε δ' χομένε κῇ τε κελεύοντος, ἢ κῇ δισάζοντος ὁ λόγος εἰς αὐτὴν τὴν ἀπόφανσιν προ-

κόψαι

κόψαι ἐπείγεται. δι' ὃ δὲ ἕκαστον, ἐκεῖνο μᾶλλον. τρίτον, τὰ τιμιώτερα προηγεῖται, ἡ δὲ γνῶσις τῆς ὀρέξεως τιμιωτέρα, ὡς καὶ τὸ λογικὸν τοῦ ἀλόγου. καὶ ὁ ἀποφαντικὸς ἄρα λόγος εἴτ' οὖν ὁριστικὸς τῶν μὴ τοιούτων. Τῇ δὲ ἐρωτηματικῇ οὔτε τὸ οὐ, οἰκεῖον, ὡς οὐθὲν οὐδ' αὐτῇ καταφασκούσῃ, οὔτε μὴν τὸ μή, ὡς πρὸς μηθὲν μηδένα προτρεπούσῃ. ἥγε μὴν ὁμόλογον ἔχουσα τὴν εἰς τὸ ὁριστικὸν ὑποστροφὴν, τὸ οὐ, προσλαμβάνει, οὐ τὸ μή. οὐκ ἐκνήψομεν; οὐ τῶν ὀφθαλμῶν τὴν λύμην περιαιρήσομεν; γρηγόρ. εἰς τοὺς λόγους. ὡς τῶν ἀκροατῶν πάντως ἐρούντων, ναὶ ἐκνήψομεν. τὸ δὲ τῇ ἐρωτηματικῇ συμφερόμενον μὴ, ἀντὶ τοῦ ἄρα ἀπορηματικοῦ κεῖται, μὴ καὶ ἄρτον δύναται δοῦναι; μὴ δυνήσεται ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ; δοκεῖ δὲ ἡ μὴ ὁμόλογον ἔχουσα τὴν εἰς τὸ ὁριστικὸν ἐπιστροφὴν, προσλαμβάνειν τὸ μή. τὸ γὰρ δύνασθαί τι τὸν πάντα δυνάμενον οὔτε ἐπέστρεψεν, οὔτε ἐπιστρέφει ποτὲ εἰς τὸ ὁριστικὸν τὸ ὅσον ἐπὶ τοῖς διστάζουσι. (μὴ γὰρ οἰέσθω φησὶν Ἰάκωβος, ὁ διακρινόμενος, ὅτι λήψεταί τι παρὰ Κυρίου) ὅτι μὴ τὸ ὅσον ἐπ' αὐτῷ. Φασὶ δέ τινες τὰς παρὰ τὴν ὁριστικὴν ἐγκλίσεις, ἀναλογεῖν ταῖς τοῦ ὀνόματος πτώσεσιν. ὡς γὰρ ἐκεῖναι τῆς εὐθείας ἀποπεπτώκασιν, οὕτω τοι καὶ τῶν ἐγκλίσεων τὰς μὲν παρὰ τὴν ὁριστικὴν, ὡς ἀπ' ἐκείνης μεταχηματισθείσας κατὰ Ἀπολλ. καὶ οἱονεὶ ἀποπεπτωκύας, πτώσεις καλεῖσθαι ἐγκλίσεως, ἔγκλισιν δὲ, τὴν ὁριστικὴν μόνην. οἷα δὴ καὶ τὰ παρὰ τὸν ἐνεστῶτα ῥήματα ὡς ἀπ' ἐκείνου πεπτωκότα, οὐχὶ ῥήματα, πτώσεις δὲ ῥήματος ἤκουσε παρὰ τῷ σταγειρίτῃ.

Προστακτική.

Ἡ δὲ προστακτικὴ, εὔδηλον ἔχει τὴν σύνταξιν τῶν δευτέρων προσώπων, κἂν ὁμόφωνα ᾖ τοῖς ὁριστικοῖς. ἥτε γὰρ σύνταξις, κλητικὴ, τό, τε συντασσόμενον πρόσρημα τὸ ἄγε, ἀφίστησι τὴν ἀμφιλογίαν.

Τὰ β', πρόσωπα τῶν προστακτικῶν ἐν δυϊκοῖς τε καὶ πληθυντικοῖς ὁμόφωνα μὲν καθειστήκει τῇ ὁριστικῇ ἐγκλίσει, ὡς ἐν τῷ, τύπτετε, γράφετε, καὶ τύπτετον, γράφεσθον. πρόδηλον δὲ ἔχει τὴν σύνταξιν. ἥτε γὰρ συνοῦσα αὐτοῖς κλητικὴ καὶ τὸ συντασσόμενον παρακελευσματικὸν ἐπίρρημα, τὸ ἄγε λέγω, φέρε, δεῦτε, ἀφίστησι τὴν πρὸς τὸ ὁριστικὸν ἀμφιβολίαν, εὐθείᾳ τε συντασσόμενον καὶ τῶν ἐπιρρημάτων τοῖς βεβαιωτικοῖς. τὰ γὰρ τρίτα πρὸς τοῖς ἄλλοις καὶ τῇ φωνῇ ἰδιάσαντα ἀπὸ τῶν ὁριστικῶν, οὐδὲ κατ' ὀλίγον ἀμφιβάλλεται.

Τὰ δὲ πρωτοπροσωποῦντα οὐ προστακτικὰ, ἀλλ' αὐθυπότακτα οἱ πλεῖστοι καλοῦσι.

Τὰ τοῦ α', προσώπου πληθυντικὰ προστακτικὰ, οἷα τὸ ἀριθμήσωμεν, εἴπωμεν, καὶ ὅσα οἴκοθεν μεγεθύνει τὴν παραλήγουσαν, πρός τινων οὐδὲ παραλαμβάνεται ὅλως, λόγοις τοιοῖς δὲ ἐπερειδομένων. κεχωρίσθαι γάρ φασι, δεῖ τὸν προστάσσοντα τοῦ προστασσομένου. ὅπερ ὡς ἀνέφικτον, οὐκ ἔστιν ἐπινοῆσαι ἐν α', προσώπῳ, ἐνὶ καὶ τῷ αὐτῷ ὄντι. ἔστι γὰρ πρῶτον μὲν πρόσωπον, τὸ ὑπὲρ αὐτοῦ ἀποφαινόμενον, β', δὲ, τὸ πρὸς ὃ ἡ τοῦ λόγου ἀπότασις ὑπὲρ αὐτοῦ τοῦ προσφωνουμένου παρὰ τοῦ α'. εἰς ὃ β', ἐγχωρεῖ καὶ ἡ προστακτικὴ ἔγκλισις ἐν τῷ φεῦγε, λέγε, γράφε. πρὸς δὲ, κἀκεῖνο δῆλόν ἐστιν, ὡς αἱ κλητικαὶ ἐν δυοῖν προσώποις καταγίνονται, τῷ τε προσκαλοῦντι καὶ τῷ προσκαλουμένῳ. καὶ διὰ τοῦτο τῶν κατὰ τὸ α', πρόσωπον ἀντωνυμιῶν κλητικαὶ οὐκ εἰσὶν, ἀλλὰ πάλιν τῶν κατὰ τὸ β'.

σαφὲς οὖν ὅτι κἀκ τῆς τοιαύτης συντάξεως δείκνυται, ὡς α', προσώπου οὐκ εἰσὶ προστακτικά. εἴγε τὰ μὲν προστακτικὰ τὴν ἐκ τῆς κλητικῆς σύνταξιν ἀναδέχονται, ἡ δὲ, ἐδέδεικτο ἀσύστατος κατὰ τὸ α', πρόσωπον. καὶ ὡς οὐκ ἔστιν ἐπινοῆσαί τινα προσκαλούμενον ἑαυτὸν διὰ τὸ τοῦ προσώπου ἀχώριστον, οὕτως οὐδὲ προστάσσοντα ἑαυτῷ διὰ τὸν αὐτὸν λόγον. πᾶν γὰρ προστακτικὸν ἐκ προσώπου ἐπικρατοῦντος συνέστηκεν ὡς πρὸς ἐπικρατούμενον. πρόσκειται δὲ τὸ ὡς, διὰ τὸ ἔσθ' ὅτε καὶ τἀνάπαλιν ἐπικρατοῦσιν ἐπικρατουμένους προστάσσειν, οὔγε μὴν αὐθεντικῶς, ἀλλ' ἐρεθιστικῶς, εἴτ' οὖν προτρεπτικῶς, ὡς εἰρήσεται. οἷα τὸ, σῶσον καὶ εὐλόγησον Κ'ε. οἵγε μὴν παραδεχόμενοι τὴν ἐν πρώτοις προσώποις ἐπιγινομένην πρόσταξιν, μὴ ἀνασκευάσαντες τοὺς προκειμένους λόγους. καὶ γάρ εἰσιν ἀληθείας ἐχόμενοι. παρατίθενται ὡς προστακτικὰ ἐν τῇ χρήσει τὰ παρὰ τῷ ποιητῇ, εἰς ἔνδειξιν τοῦ καὶ ἐν πρώτοις προσώποις τὴν πρόσταξιν καταγίνεσθαι. φεύγωμεν σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν. ἰλ. β'. ἀλλ' ἄγε δὴ χαζώμεθα ἐφ' ἵππων. καὶ ταῦτα πάντα οὐ κατὰ μόνην διάλεκτον, οὐδὲ ἀδείᾳ μόνῃ ποιητικῇ, ἀλλ' ἤδη καὶ κατὰ τὴν κοινὴν χρῆσιν οὕτω λεγόμενα παρὰ πᾶσιν. Ἐκ δὲ τούτων πειρῶνται καὶ τὰ ἑνικὰ παραλαμβάνειν λόγῳ τοιούτῳ. ὃν γὰρ τρόπον φασὶ τῶν εἴς τε, ληγόντων δευτέρων πληθυντικῶν ἡ παραλήγουσα ἀποβαλοῦσα τὴν λήγουσαν, λήγουσα γίνεται τῶν ἑνικῶν, λέγετε, λέγε, νοεῖτε, νόει. τὸν αὐτὸν ἄρα τρόπον καὶ τῶν πρώτων πληθυντικῶν ἡ παραλήγουσα ἀποβαλοῦσα τὴν λήγουσαν, καταστήσει τὸ ἑνικὸν προστακτικόν. φέρωμεν, φέρω. ἀριθμήσωμεν, ἀριθμήσω. καὶ οὔφασι ξένον, εἰ ὁμοφωνεῖ ταῖς ὁριστικαῖς φωναῖς τὰ πρωτοπροσωποῦντα ἑνικά. ὁπότε καὶ ἐν δευτέροις, ὡς εἴρηται, πληθυντικοῖς προσώποις ὁμοφωνία ἐγγίνεται. τύπτετε, γράφετε. τὴν γὰρ τῶν προστακτικῶν πρὸς τὰ ὁριστικὰ ὁμοφωνίαν καθ' ὁντιναοῦν ἀριθμὸν εὔδηλον καθίστησιν ἡ σύνταξις τῆς τε κλητικῆς καὶ τῆς εὐθείας, καὶ τῶν παρακελευσματικῶν τε καὶ βεβαιωτικῶν ἐπιρρημάτων, ὡς εἴρηται. φέρε λέγω. φέρε ἀριθμήσω. εἰ γὰρ μὴ ἦν προστακτικὰ ταῦτα, οὐκ ἂν συνετάσσετο προστακτικοῖς ἐπιρρήμασι. τὸ γοῦν κατὰ τὸ ἑνικὸν β', πρόσωπον τῆς ὁριστικῆς ἐγκλίσεως μὴ συνεμπίπτον τῇ προστακτικῇ ἐγκλίσει, οὐδὲ τὴν τῶν τοιούτων ἐπιρρημάτων σύνταξιν ἀναδέχεται. οὐδεὶς γὰρ ἂν φαίη, φέρε λέγεις, ἢ φέρε ἀριθμήσεις. οὕτω δ' ἔχει κἀκεῖνο. ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι. ἀλλ' ἄγ' ἐγὼν, ὃς σεῖο γεραίτερος εὔχομαι εἶναι, ἐξείπω. καὶ ταῦτα μὲν ἐκεῖνοι περὶ τῆς προκειμένης ἐγκλίσεως.

Ἔοικε δὲ τὰ τῆς ἐγκλίσεως συγκεχῦσθαι, καὶ δύω ἐγκλίσεις εἰς μίαν συμπίπτειν.

Τῷ γε μὴν Θεοδώρῳ μετὰ τοῦ Ἀπολλωνίου δοκεῖ τὰ τῆς πρωτοπροσωπούσης ταυτησὶ πληθυντικῆς ἐγκλίσεως ἐπιτεταράχθαι. ἐπεὶ σχεδὸν οἱ ἐκτεθέντες λόγοι, ἐγκλίσεις δύω συνωθοῦσιν εἰς μίαν ἔγκλισιν, τήν τε ἐπὶ α', προσώπου ἑνικοῦ ὑποθετικὴν, καὶ τὴν ἐπὶ β', καὶ γ', προστακτικὴν, εἰς τὴν ἐπὶ α', πληθυντικοῦ ὑποθετικήν. (ἣν αὐθυπότακτον οἱ πλεῖστοί φησι καλοῦσι, διὰ τὸ αὐτόθεν ὑποτάττεσθαι εἴτ' οὖν μεγεθύνεσθαι τὴν παραλήγουσαν, καὶ μὴ ὑπότου τῶν ἐπιζευκτικῶν μορίων, ὥσπερ ἡ ὑποτακτική.) ἔχει δὲ τὰ τῆς ἀποδείξεως τῇδε.

Ὅτι γὰρ οὔτε προσκαλούμεθα ἑαυτοὺς,

Δέδοται

Δέδοται τοῦτο. καθ' ὅ,τι οἱ ἀπόντες προσκαλοῦνται, αὐτὸς δέ τις ἑαυτῷ πάρεστι. διὰ δὲ τοῦτο.

Οὔτε μὴν προστάσσομεν ἑαυτοῖς.

Καθ' ὅ,τι καθ' ἣν εἴπομεν ἔννοιαν τῶν προσακτικῶν ἡ μὲν πρόσταξις, ἐξ ἐπικρατοῦντος συνέστηκε πρὸς ἐπικρατούμενον, οὐκ ἔστι δέ τινα ἄρχοντα ἑαυτοῦ καὶ ἐπιστάτην καθῆσθαι, δεσποτικῶς ἑαυτὸν καὶ σφοδρῶς κατασπεύδοντα. σιωπῇ γὰρ τὴν ἐπιβάλλουσαν ἐνέργειαν ἐκτελεῖ. εἴγ' οὐδεὶς ἑαυτοῦ διέστηκεν, ὡς εἶναι αὐτὸν ἑαυτοῦ ἐπικρατέστερον.

Ὑποτιθέμεθα δὲ,

Τὸ ἑαυτοῖς, ἀπὸ κοινοῦ.

Ὑποθετικὰ ἂν εἴη τὰ τοιαῦτα.

Ὡς γ' ἔχει κἀπὶ τοῦ διός. ἐν γὰρ πολλαῖς ὑποθήκαις ἐγγενόμενος, καὶ μίαν ἀρίστην ὑπονοήσας. τοιοῦτό τι εἶπε, πέμψω ἐπ' ἀτρείδην ἀγαμέμνονα οὖλον ὄνειρον.

Καὶ συλληπτικὰ δή.

Ἀπὸ δὴ τοῦ ἑνικοῦ ὑποθετικοῦ μετείη καὶ πληθυντικὸς ἀριθμὸς, ἐπισπώμενος τὴν ἐκ β', καὶ γ', προσώπων σύλληψιν ἐπὶ τοῦ α'. πέμψωμεν. ἀριθμήσωμεν. ὃν πληθυντικὸν ἀριθμὸν καὶ μάλιστα εὔχρηστον ὑπολαμβάνω καθίστασθαι, ὡς πρὸς τὰ ἐπικρατοῦντα πρόσωπα. καθ' ὅ,τι ἡ μὲν προσακτικὴ ἔγκλισις ἐκ προσώπων, ὡς εἴρηται, συνέστηκεν ἐπικρατούντων τε καὶ ἐπικρατουμένων. ἃ καὶ τὴν πρόσταξιν ἀναδέχεται τοῦ πράγματος. ἡ δὲ ὑποθετικὴ, ἐκ μόνων ἐπικρατούντων, καὶ ὡς εἰπεῖν ὁμοτίμων ἐν πληθυντικῷ ἀριθμῷ μάλιστα, ἐπικρατουμένων ἄντικρυς προσώπων σύνταξιν μὴ ἀναδεχομένη.

Ἵνα γὰρ ἐκκλίνῃ τὴν ἐν β', πρόσταξιν, σύλληψιν δέχεται εἰς τὸ α'. ὑποθετικὸν ὄν.

Ἵνα οὖν ἐκκλίνῃ ἡ πρωτοπροσωποῦσα προσακτικὴ ἔγκλισις τῆς ἐν δευτέροις προσώποις γινομένης προστάξεως τὸ φορτικὸν, σύλληψιν δέχεται τοῦ β', καὶ γ', εἰς τὸ α'. ἔνθεν καὶ συλληπτικὴ ἤκουσεν, ἀνεπαχθέστερον ποιοῦσα τῷ ὁμοτίμῳ τὸν λόγον. ἥτις κατὰ τὸ ἑνικὸν ἐδείχθη ὑποθετική. καὶ δῆλον ὅτι τῇ κατὰ τὸ α', ἐπικρατείᾳ καὶ τὰ ἐν τῷ α', συγγενόμενα εἴτ' οὖν συνειλημμένα β', καὶ γ', πρόσωπα, τῆς αὐτῆς ἐγκλίσεως τυγχάνει, λέγω τῆς ὑποθετικῆς. τοιοῦτο γάρ ἐστι καὶ τὸ πρὸς Σθενέλου εἰρημένον πρὸς Διομήδην, ἰλ: ζ. ἀλλ' ἄγε δὴ χαζώμεθα ἐφ' ἵππων. ἵνα μὴ ἐν τῷ ὑπερέχοντι προσώπῳ, ὡς ὑπερέχων δηλδ'. προστάξῃ. τοιοῦτόν ἐστι καὶ τὸ πρὸς Νέστορος εἰρημένον, ἀλλ' ἄνδρας κτείνωμεν. καὶ ἑαυτὸν γὰρ συλλαβὼν, καὶ οἱονεὶ ὁμοταγῆ ποιήσας τοῖς προστασσομένοις, διὰ τῆς ὑποθετικῆς εἴτ' οὖν συμβουλευτικῆς προτροπῆς προθυμοτέρους καθίστησι τοὺς ἕλληνας εἰς τὸν κατεπείγοντα πόλεμον. ὅπερ οὐκ ἂν εἶχε ποιῆσαι, προστάσσων, οὐδ' ἂν αὐτὸς Ἀγαμέμνων. οὐδὴ οὖν ὑπολαμβάνω β', καὶ τρίτα πρόσωπα τῶν τοιούτων εἶναι ὑποθετικῶν. ἵνα γὰρ μὴ γένηται β', πρόσωπον, ἢ γ', ἐν οἷς προστάσσομεν, ὡς εἴρηται, οὐχ ὑποτιθέμεθα, σύλληψις ἐγένετο τῶν ἑνικῶν κατὰ τὸ α', πληθυντικόν. οὔκουν δὴ μεταχηματιστέον εἰς β', καὶ γ', πρόσωπον τὰ αὐθυπότακτα, ἵνα μὴ, ὧν ἐξέκλινε τὴν πρόσταξιν, τούτοις πάλιν ἁλοίη προστάττοντα. χρώμεθα γὰρ τοῖς αὐθυποτάκτοις, ὅτε τοῖς ὑποβεβηκόσιν ἴσους ἑαυτοὺς ποιῆσαι βουλόμεθα, ἢ κἀκεί-

ἢ κἀκείνους ἡμῖν ὁμοτίμους τε καὶ προθύμους εἰς ἀνάληψιν πράγματος, δεικνύντες καὶ ἑαυτοὺς ἑτοίμους εἰς τοῦτο. ὅπερ τῆς προσακτικῆς ἰδιότητος ἀλλότριον, ἀφοριστικῆς οὔσης τῶν προσώπων, οὐσυλληπτικῆς. Ἔστι δὲ καὶ διὰ τῆς φωνῆς παραστῆσαι, ὡς οὐκ ἔχουσι β', καὶ τρίτα πρόσωπα. πάσης ἐγκλίσεως τὰ β', πρόσωπα πληθυντικὰ εἰς τε, λήγοντα, ἰσοχρονεῖ κατὰ τὴν παραλήγουσαν τοῖς πρώτοις. λέγομεν, λέγετε. λέγοιμεν, λέγοιτε. ἵνα λέγωμεν, ἵνα λέγητε. διὰ τοῦτο τὸ μὲν ῥίπτομεν παράκειται τῷ ῥίπτειτε, τὸ δὲ ῥίπτομεν τῷ ῥίπτετε. περισσὸν ὑποδείγμασι χρῆσθαι, καθολικοῦ ὄντος τοῦ λόγου. ἐχρῆν οὖν κατὰ τὸν λόγον τῆς φωνῆς παρακεῖσθαι καὶ τὸ φεῦγε τῷ φεύγωμεν, εἰ προσακτικὸν ἦν κατὰ τὸ φεύγετε καὶ τὸ φεύγωμεν. Εἰ δέ τινες προσβιάσοιντο καὶ ἐν β', προσώποις καταγίνεσθαι τὰ ὑποθετικά. καθ' ὁμοφωνίαν τὴν πρὸς τὰ προσακτικὰ, ἐκεῖνο ἂν φαίημεν, ὡς συνοῦσα τοῖς δευτέροις τῶν προσακτικῶν ἡ τοῦ ἄγε σύνταξις, ἐξαίρετον καταστήσει τὴν προσακτικὴν ἔγκλισιν, οὐκ ἔτι δὲ καὶ τοῖς ὑποθετικοῖς. προφανῶς γὰρ τὸ ἐγκελευστικὸν ἐπίῤῥημα προσλαμβανόμενον, ἐπιτείνει τὴν ἐγκειμένην τοῖς προσακτικοῖς πρόσταξιν. καὶ τοῦτο ἀπόχρη εἰς διαστολὴν τοῦ τε προσακτικοῦ καὶ τοῦ ὑποθετικοῦ. Ἰστέον δὲ ὡς τὴν ἐν β', πρόσταξιν ἐκκλίνει οὐμόνον ἡ τοῦ β', καὶ γ', εἰς τὸ α', πρόσωπον σύλληψις, ἀλλὰ κἀκ τοῦ ἐναντίου καὶ ἡ τῶν προσώπων παντελὴς ἀπάλειψις εἴτ' οὖν ἀοριστία, τῆς προσακτικῆς εἰς ἀπαρέμφατον μεταλαμβανομένης. τὸ γὰρ τῆς προστάξεως σκληρὸν ὥσπερ τὸ τῶν προσώπων ὁμοταγὲς, οὕτω τοι καὶ τὸ τούτων ἀόριστον εἰς τὸ μετριώτερον καθίστησι. δι' ὃν δὴ λόγον ἔστιν οὗ τῶν προσακτικῶν εἰς ἀπαρέμφατον μετειλημμένων, δῆλον ὡς τὸ ἀπαρέμφατον ἀντὶ προσακτικοῦ εἴτ' οὖν αὐθυποτάκτου κεῖται. οἷον, καὶ τὸ, ἢ μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ. μήτε γαμοκλοπέειν μήτ' ἄρσενα κύπριν ὀρύνειν. κἀν τῷ πεζῷ δὲ λόγῳ πολλὴ τοῦ τοιούτου σχήματος ἡ χρῆσις. ὡς κἀν τοῖς κατ' ἐναλλαγὴν σχήμασιν ὑπεμνηματίσθη.

Τὸ μὲν οὖν ἐλλεῖπον τῶν προσακτικῶν α', καὶ τὰ ἐλλείποντα τῶν ὑποθετικῶν β', καὶ γ', εἰς ἕνωσιν ἄγει τὰς δύω ἐγκλίσεις, ἵνα ἑκατέρα ἀναπληρῶται.

Πρὸς οὖν τοὺς ἀξιοῦντάς φησιν εἶναι α', προσώπου προσακτικὰ, τοῦτο ἂν φαίημεν, ὅτι τὸ κατὰ τὰ πρόσωπα ἐλλεῖπον ἑκατέρων τῶν ἐγκλίσεων, προσακτικῆς λέγω καὶ ὑποθετικῆς, εἰς ἕνωσιν αὐτὰς ἄγει, ὥστε ἑκατέρας εἰς ταὐτὸ παραλαμβάνεσθαι, ἵνα ἑκατέρα ἥτε ἐπὶ α', ἑνικοῦ ὑποθετικὴ, καὶ ἡ ἐν β', καὶ γ', προσακτικὴ, ἀναπληρωθῶσι τοῦ λείποντος τῶν προσώπων ἐν τῇ ἐπὶ α', πληθυντικοῦ ὑποθετικῇ. ὧν γὰρ ἰδίᾳ ἀμοιροῦσι προσώπων, τούτων ἐν τῇ συγχύσει εἴτ' οὖν ἑνώσει παρ' ἀλλήλων μεταλαβοῦσαι, ἀναπληροῦνται κατά γε τρίπροσωπίαν, συντρέχουσαι καὶ κατὰ τὸ σημαινόμενον, ὥστε συνέχεσθαι ἐν τῷ φεύγωμεν, καὶ α', τῶν προσακτικῶν, καὶ β', καὶ γ', τῶν ὑποθετικῶν. ὧν ἀμοιροῦσιν ἰδίᾳ. Ζητητέον δὲ, πῶς ἡ ἐν τῇ αὐθυποτάκτῳ ἀναπληρουμένη προσακτικὴ, ἐκκλίνει τὴν ἐν β', πρόσταξιν, ἡ καὶ τὴν ἐν α', προσεπικτωμένη; καὶ γὰρ ἡ ὑποθετικὴ οὐδὲν ἧττόν ἐστιν ἡ αὐτὴ καὶ προσακτικὴ, ἑκατέρων ἐν τῇ ἀλληλουχίᾳ ἀναπληρουμένων, ὡς δέδεικται. Ἐφ' οἷς σημείωσαι, ὅτι ἡ τῶν προκειμένων ἐγκλίσεων ἕνωσις, οὐ κατὰ Σύγχυσίν ἐστιν, εἰ καὶ συγκεχῦσθαί φησι ταύτας. καθ' ὅ, τι τῶν μὲν κατὰ σύγχυσιν ἑνουμένων, οὐδέτερον μετὰ τὴν ἕνωσιν

ἕνωσιν μένει τοῦθ', ὅπερ ἐστιν, ὡς ἐπὶ τῶν τηκτῶν. οἷον, χρυσοῦ τυχὸν καὶ ἀργύρου. τούτων δὲ καὶ μετὰ τὴν ἀλληλουχίαν εἴτ' οὖν ἕνωσιν ἑκάτεραι σῴζονται, μεταδιδοῦσαι ἀλλήλαις τῶν τε προσώπων καὶ τοῦ ἑαυτῶν ἰδιώματος, εἴτ' οὖν σημαινομένου, καὶ ἀναπληρούμεναι ὑπ' ἀλλήλων, ὡς εἴρηται. δι' ὃν δὴ λόγον οὐδὲ κατὰ Συναλιφὴν ἐστιν. εἴγε τῶν συναλιφομένων τὰ μὲν, συμπέφυρται, ἀλλοιούμενα. οἷα τὰ κατὰ κρᾶσιν. ὡς οἶνος καὶ ὕδωρ, ἢ ὄξος. τὰ δὲ, εἰσὶν ἀμιγῆ, ὡς τὰ κατὰ συναίρεσιν. οἷα τὰ τῶν ἐν ἑνὶ οἴκῳ πολλῶν λαμπτήρων φῶτα, πρὸς ἔντι φῶς ἑνούμενα, καὶ μίαν αἴγλην ἀδιάκριτον ἀναλάμποντα. ὅλα μὲν γὰρ ἐν ἀλλήλοις τὰ φῶτα συγκέκραται, ὡς μὴ ἐνὸν τοῦδε τοῦ λαμπτῆρος τὸ φῶς ἀπὸ τῶν ἄλλων ἐκ τοῦ παντὰ τὰ φῶτα περιέχοντος ἀέρος διακρίνεσθαι, ἀμιγῶς γε μὴν, ἀλλ' οὐ συμπεφυρμένως. εἴγ' ἑνός τοῦ τῶν πυρσῶν ὑφαιρεθέντος τοῦ δοματίου, συνέξεισι καὶ τὸ οἰκεῖον ἅπαν φῶς, μηδ' ὁ, τιοῦν μέρος ἢ τῶν ἑτέρων φώτων ἑαυτῷ συνεπισπώμενον, ἢ ἑαυτοῦ τοῖς ἑτέροις καταλεῖπον, ἀλλ' οὐδὲ κατὰ Συνουσίαν, εἴτ' οὖν σύνθεσιν, ὡς ἡ τῆς ψυχῆς καὶ τοῦ σώματος. οὐδὲ γὰρ ἡ ψυχὴ σῶμα, ἢ τὸ σῶμα ψυχή. οὔτε κατὰ Ἐπαφὴν, ὡς ἡ τοῦ οἴνου καὶ ἐλαίου, ἢ καὶ ἡ τῆς ἀρχετύπου σφραγῖδος πρὸς τὰ ἀπ' αὐτῆς μετέχοντα ἐκτυπώματα. οὔτε κατὰ Ἀποπεράτωσιν, μᾶλλον δὲ ἐφαρμογὴν, ὡς ἡ τοῦ ἐν τῷ κύκλῳ κέντρου πρὸς ἑκάστην τῶν ἀπ' αὐτοῦ πρὸς τὴν τοῦ κύκλου περιφέρειαν προσπιπτουσῶν εὐθειῶν. οὔτε κατὰ Συνέχειαν, οἷα, ὧν θατέρου τὸ πέρας ἀρχὴ γίνεται τοῦ ἑτέρου. ὡς ἐπὶ τῶν εὐθυγράμμων σχημάτων. ὧν αἱ εὐθεῖαι καθ' ἓν σημεῖον ἀλλήλαις συνέχονται. οὔτε κατὰ σχέσιν, ὡς ἡ τῶν φίλων εἰς ἓν θέλημα συνερχομένων. οὐδὲ γὰρ ἕν ἐστιν ἀμφοῖν τὸ θέλημα τῶν ἐγκλίσεων καὶ μετὰ τὴν ἕνωσιν, δύω δὲ, τὰ

καὶ πρὸ τῆς ἑνώσεως, ὑποθετικόν τε καὶ προστακτικὸν, ἑκατέρων ἀναπληρουμένων. οὔτε κατ' Οὐσίαν εἴτ' οὖν συνωνυμίαν, ὡς ἡ τῶν ὁμοειδῶν ἀτόμων, ἢ ὁμογενῶν εἰδῶν. εἴγε τὰ μὲν, τῷ ἀριθμῷ, ἢ τῷ εἴδει διαφέροντα, τῇ οὐσίᾳ ἥνωται, τὰ μὲν, τῇ γενικῇ, τὰ δὲ, τῇ εἰδικῇ, αἱ δὲ, τὰν ἁπαλιν, τῷ ἀριθμῷ εἴτ' οὖν τῇ φωνῇ ἑνούμεναι, τῇ οὐσιώδει σημασίᾳ διαφέρουσιν. οὔτε καθ' Ὁμωνυμίαν, ὡς μὴ τοῦ αὐτοῦ μετεχουσῶν ὀνόματος. εἰ μή τις λέγοι τὸ αὐθυπότακτον. ἀλλὰ γὰρ τὰ μὲν ὁμώνυμα, τοῦ ὀνόματος μόνου, αἱ δὲ, πρὸς τῷ αὐθυποτάκτῳ καὶ τῶν ἰδίᾳ διαφερόντων ἀλλήλαις μεταδιδόασιν. οὔτε κατὰ Φύρσιν, ὡς ἡ τοῦ ξηροῦ καὶ ὑγροῦ. οἷον, ἀλφίτων καὶ ὕδατος. οὔτε κατὰ Ἀνάμιξιν, ὡς ἡ ἐπὶ διαφόρων ἀλφίτων. οὔτε κατὰ τεχνικὴν Ἁρμονίαν, ὡς ἡ τῶν λίθων καὶ ξύλων. οὔτε κατὰ Παράθεσιν, ὡς ἡ τῶν σανίδων. οὔτε κατὰ Κόλλησιν, ὡς ἡ τοῦ χαλκοῦ καὶ μολύβδου. οὔτε κατὰ Σωρείαν, ὡς ἡ διαφόρων ξηρῶν σπερμάτων. οὔτε Μεταδοτικῶς, ὡς τὸ πῦρ ἐν σιδήρῳ. εἴγε τὸ μὲν, μὴ μεταβαῖνον μηδὲ ἐκτρέχον πρὸς τὸν σίδηρον, μένον δὲ κατὰ χώραν, μεταδίδωσιν αὐτῷ τῆς οἰκείας δυνάμεως, αἱ δὲ, οὐ μένουσι κατὰ χώραν, ξυμφθειρόμεναι, μᾶλλον δὲ συμφυρόμεναι κατὰ φωνήν. οὔτε κατ' Ἐνέργειαν, ὡς σωκράτης καὶ πλάτων, φιλοσοφοῦντες ἑκάτεροι. εἴγ' οἱ μὲν, τῇ ἐνεργείᾳ ταυτούμενοι, ταῖς ὑποστάσεσι διῄρηνται. αἱ δὲ, τοὐναντίον, τῇ τῆς φωνῆς ὑποστάσει ταυτιζόμεναι, ταῖς ἐνεργείαις διῄρηνται, ἡ μὲν, προστάσσουσα, ἡ δὲ, ὑποτιθεῖσα. οὔτε κατὰ Συνάφειαν, εἴτ' οὖν γαμικὴν συμπλοκήν τε καὶ συνουσίαν. εἴγε ἐν ἐκείνῃ μὲν, ἑτεροπάθεια θεωρεῖται, ἐν δὲ τῇ τῶν ἐγκλίσεων, ἀλληλοπάθεια. οὔτε κατὰ κοινὴν Μετουσίαν καὶ Ἀντίδοσιν, ὡς ἡ τῶν χερσαίων κοχλιῶν συμπλοκή. τούτων γὰρ ἕκαστος φύσει ἑρμαφρόδιτος

φρόδιτος ὤν, ἐνδείκνυνται μὲν ἐν τῇ πρὸς ἀλλήλους συμπλοκῇ φυσικὴν ἀλλολοπάθειαν, ποιοῦντες ἅμα καὶ πάσχοντες ἀμοιβαδὸν τῶν συνελθόντων ἑκάτεροι, ὧν γε μὴν παρ' ἀλλήλων μεταλαμβάνουσιν, οὐδὲν ἧττον καὶ αὐτῶν ἕκαστος ἰδίᾳ ἠυμοίρησεν. αἱ δὲ, ὧν εὐμοιροῦσι, μεταδιδοῦσαι, ὧν ἀμοιροῦσι, μεταλαμβάνουσιν. οὔτε κατὰ Ἐφάρμοσιν, ἑτεροίαν οὖσαν τῆς ἐπαφῆς. ἅπτεσθαι μὲν γὰρ ἀλλήλων λέγεται, ὧν ἅμα τὰ πέρατα τῶν μερῶν, τὰ δὲ σημεῖα ἀλλήλοις συνερχόμενα, ὡς ἀμερῆ καὶ ἀκολούθως ἀπεράτωτα, ἅπτεσθαι μὲν οὐ δύναται, ἀλλ' ἐφαρμόζει τὰ πάντα, ὅσαπερ ἂν συνέλθῃ. Ἕνωσις λέγεται καὶ ἡ τῶν ἐγκοσμίων ὄντων εἰς ἓν συνάφεια. ᾧ λόγῳ ἓν εἶναί φαμεν τὸ πᾶν. ἓν δὲ καὶ ὁ Σωρὸς λέγεται, ἀλλ' οὐ κατ' ἐναρμόνιον λόγον, ὡς τὸ πᾶν. κόσμος γάρ ἐστι, τοῦ παντὸς εὔτακτον σύστημα. Καὶ ἡ ἀμιγὴς ἔκτε τοῦ διϊθύοντος καὶ τοῦ διϊθυομένου συνέλευσις. ὃν τρόπον ἓν εἶναί φαμεν τὸν νοῦν καὶ τὸν οὐνόν. τὸν κυβερνήτην καὶ τὴν ναῦν. Καὶ ἡ καθ' ὁμοιότητά τινα κοινωνία, εἴτε ἀπαράλλακτος, εἴτε παρηλλαγμένη, εἴτε μέση. Καὶ ἡ ἐκ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ. οἷον, ἐξ ὕλης καὶ εἴδους. Καὶ ἡ ἐκ τοῦ κατά τι δυνάμει καὶ ἐνεργείᾳ. οἷον, ἐκ γένους καὶ διαφορᾶς. Καὶ τῶν κατά τι δυνάμει. οἷον, τῶν δ', στοιχείων. Καὶ ἡ ἐκ τῶν μερῶν εἴθ' ὁμοιομερῶν εἴτ' ἀνομοιομερῶν συνάρμοσις. Καὶ ἡ ἐξ οὐσίας καὶ συμβεβηκότος συνύπαρξις. Καὶ ἡ ἐκ τῶν πολιτῶν σύμμιξις. Καὶ ἡ συνουσία τῶν μερῶν τοῦ ἐνόντος μετὰ τοῦ ἐν ᾧ ἐστιν. ὡς ἔχει ἐπὶ τοῦ νοῦ καὶ τῆς ἰδέας, καὶ ἁπλῶς τοῦ περιέχοντος καὶ τοῦ περιεχομένου. ἢ ὡς ἐν ἀγγείῳ. (ἡ γὰρ κατὰ τοὺς ἀνατέμνοντας ἕνωσις παρείθω τέως.) τοσαυταχῶς οὖν τῆς ἑνώσεως θεωρουμένης, (ὑπεξαιρείθω γὰρ ἡ ἐν τῷ Χῷ καθ' ὑπόστασιν ἄτρεπτος ἕνωσις θεότητός τε καὶ ἀνθρωπότητος, μεταδοτικῶς γενομένη.) κατ' οὐδὲ μίαν ἡνῶθαι δοκεῖ τὰ τῶν προκειμένων ἐγκλίσεων, ἀλλ' ἢ τάχα κατὰ Συναίρεσιν, οὐ μὴν τὴν τῶν πολλῶν λαμπτήρων. εἴ γε τὰ μὲν συνῃρημένα φῶτα, μίαν αἴγλην, ὡς δεδήλωται, ἀδιάκριτον ἀναλάμπει, τῶν δὲ ὁπώσποτε συγκεχυμένων τουτωνὶ ἐγκλίσεων οὐχ ἕν, ὡς εἴρηται, ἀλλὰ δύω διακεκριμένα τυγχάνει τὰ δηλούμενα. κἂν γάρ τοι τῇ κατὰ τὸ α', ἐπικρατείᾳ ὑποθετικὴ καλῆται, ἡ τὰς δύω εἰς ἕνωσιν ἄγουσα ἔγκλισις, τῶν γε μὴν ἐν αὐτῇ ἡνωμένων ἐγκλίσεων οὐχ ἡ μὲν, ἡ δ' οὔ, ἀλλ' ἑκάτεραί φησιν ἀναπληροῦνται. οὔκουν κατὰ τὴν τῶν ὁμοειδῶν φώτων, κατὰ δὲ τὴν τῶν ἑτεροειδῶν τεττάρων τοῦ παντὸς στοιχείων. ὧν ἀδιαιρέτως ἀλλήλοις ἡνωμένων καὶ ἀδιαστάτως, ἀκραιφνῆ ὅμως ἕκαστον τὴν κατ' εἶδος ἰδίαν διασῴζει ποιότητα, μήτε κατὰ τὰ μέσα τῶν χρωμάτων ἐπιθολούμενον διὰ τῆς πρὸς τὸ ἀντικείμενον εἴτ' οὖν ἑτεροειδὲς κράσεώς τε καὶ ἀλληλουχίας, μήτε ἀπαμβλύνον, τι τῆς ἑνωτικῆς ἀκριβείας καὶ καθαρότητος. ὡς γοῦν τῶν στοιχείων ἀλλήλοις ἀφύρτως συγκεκραμένων, κατ' ἐπικράτειαν εἰδοποιεῖται ἕκαστον, τὸ μὲν, πῦρ ὀνομαζόμενον, τὸ δὲ, ὕδωρ, οὕτω καὶ τῶν προκειμένων ἀλληλουχουμένων ἐγκλίσεων, ἐκ τοῦ ἐπικρατοῦντος προσώπου ἡ τούτων ὠνόμασται σύμπτωσις. Περίεστι δὲ ζητεῖν, πότερον, ὧν ἰδίᾳ ἀμοιροῦσι, καὶ ἰδιωμάτων αὐτῶν, ἢ μόνων προσώπων παρ' ἀλλήλων ἐν τῇ συγχύσει μεταλαμβάνουσιν; οἷόν τι λέγω, ἡ ἐν τῇ αὐθυποτάκτῳ ὑποθετικὴ μεταδοῦσα α', προσώπου τῇ ὁμοφώνῳ εἴτ' οὖν ταυτοφώνῳ προστακτικῇ, συμμετέδωκεν ἄρα καὶ τοῦ ὑποθετικοῦ ἰδιώματος; ὡς εἶναι τὴν ἀναπληρωθεῖσαν προστακτικὴν, τὴν αὐτὴν καὶ ὑποθετικήν; μεταχοῦσα δ' αὖ παρὰ τῆς προστακτικῆς β', καὶ γ', προσώπου, ἄρα συμμετέσχε καὶ τοῦ προστακτικοῦ ἰδιώ-

ἰδιώματος, ὡς εἶναι τὴν αὐτὴν καὶ προσακτικὴν ἀχίττον ἢ ὑποθετικὴν, ἀναπληρωθεῖσαν; ὁ μὲν οὖν Θεόδωρος λέγων τὸ κατὰ τὰ πρόσωπα εἰλεῖπον εἰς σῶσιν ἄγειν τὰς δύω ἐγκλίσεις, προσώπων μόνων μεταδοσίν τε καὶ μετοχὴν, πρὸς δὲ καὶ ἀναπλήρωσιν δοκεῖ βούλεσθαι. ὅγε μὴν Ἀπολλώνιος καὶ τὸ σημαινόμενόν φησι τὰς ἐγκλίσεις συνέχειν διὰ τὴν ἀμφοῖν σύμπτωσιν εἴτ' οὖν ὁμοφωνίαν. τὴν δὲ πρόσωπων, ὧν μὲν ἔχουσι, μεταδιδοσῶν ἀλλήλαις τὴν ἐγκλίσεων, ὧν δὲ ἀμοιρεῖσι, μεταλαμβανουσῶν παρ' ἀλλήλων, συμβαίνει γίγνεσθαι τὸ μὲν τῆς ὑποθετικῆς ά, τὸ αὐτὸ καὶ προσακτικὸν τῷ λόγῳ τῆς αὐτιδόσεως. τὰ δὲ τῆς προσακτικῆς β, καὶ ξίπα, τὰ αὐτὰ καὶ ὑποθετικὰ τῷ αὐτῷ λόγῳ. ὡς εἶναι τὴν ξίων ἕκαστον τὸ αὐτὸ καὶ προσακτικὸν καὶ ὑποθετικόν. ἑκατέρα δὲ τὴν ἐγκλίσεων ἐν τῇ συγχύσει ἀναπληρωθεῖσα, ἐν ξίσι καταγίνει προσώποις. ἑκατέρα ἄρα καὶ προσακτική ἐστι καὶ ὑποθετικὴ ἡ αὐτή.

Τὸ δὲ τρίτον τῶν προσακτικῶν πρόσαξιν ἀπόντος προσώπου δηλοῖ, δευτέρου ἐξ ἀνάγκης παραλαμβανομένου εἰς μετάδοσιν τῆς προσάξεως. ἀσύσατος γάρτοι ἡ πρόσαξις ἄνευ δευτέρου.

Ἐχομεύως ῥητέον καὶ περὶ τῶν κατὰ τὸ γ', προσακτικῶν. ἃ δὴ καὶ αὐτὰ β', προσώπου φασί τινες εἶναι, διαφέρειν δὲ τῶν προκειμένων, τῷ καθ' αὐτὸ δευτέρων δηλονότι. καθ' ὃ ἐκεῖνα μὲν, λέγω τὰ καθ' αὐτὸ δεύτερα, αὐτόθεν τε καὶ ἀμέσως πρόσαξιν πράγματος παραδέχεται, ταῦτα δὲ, ἐγκλίνεται μὲν καὶ αὐτὰ δεύτερα ὄντα, ἀμὴν καθ' αὐτὰ, ἀλλ' εἰς ἑτέρων προσώπων πρόσαξιν, δηλονότι τῶν καὶ τὸ γ'. τὸ γὰρ λεγέτω καὶ τὰ ὅμοια, σαφὲς ὅτι καὶ τὰς ἐγκλίσεις ἔχει διττάς, τήν τε ἐν β', καταγινομένην καὶ τὴν ἐξ αὐτῆς τῆς δευτέρας εἰς τρίτον μετιοῦσαν. καθάπερ ἐστὶν ἐπινοῆσαι καὶ ἐπὶ τῶν μονοπροσώπων καλουμένων ἀντωνυμιῶν, φέρε, τῶν ἐνικῶν πρωτοτύπων. ἡ μὲν γὰρ ἐγὼ καὶ σὺ καὶ αἱ σύζυγοι, καὶ ἅπαξ ἐνικῶς νοούμεναί εἰσι, καὶ ἓν πρόσωπον ὑπαγορεύουσι, ά, μόνον, ἡ β', αἵγε μὴν κτητικαὶ, φέρε, ἡ ἐμός, καὶ σὸς, καὶ δὶς ἐνικῶς νοοῦνται, καὶ δύω πρόσωπα παρεμφαίνουσι, ά, δηλαδή: καὶ γ'. ἡ β', καὶ γ', καὶ τὰ ἐγκείμενα δύω ἐνικὰ τοῦτε κτήματος καὶ τοῦ κτήτορος, ὅπερ καὶ ἐπ' αὐτῶν δὴ τῶν μονοπροσώπων καὶ ἡ ὀρθοτονουμένη ἀντωνυμία, κἂν ἁπλῆ ᾖ, διὰ τῆς ὑπάρξεως διασαλῆς ἑτέρα παρεμφαινομένη προσώπου, τὸ διττὸν πρόσωπον ὑπαγορεύει. οἷον, ἡ ἐγὼ καὶ ἐμοῦ καὶ αἱ σύζυγοι. ὁμοίως αὖ δὲ καὶ ἐπ' ἄλλων πολλῶν συνοεῖ, τὸ μὲν ἁπλοῦν, ἐπὶ τῶν ἀπολύτων, τὸ δὲ διπλοῦν, ἐπὶ τῶν πρός τι ἐχόντων καὶ σχετικῶν. καὶ δὴ καὶ ἐπὶ τῶν προκειμένων τὸ μὲν λέγε, πρὸς β', μόνον ἀποτεινόμενον πρόσωπον, ἁπλοῦν καὶ ἀπόλυτον σημαίνει τὴν πρόσαξιν, τόγε μὴν λεγέτω, καὶ ὅλως τὰ καὶ τὸ γ', πρὸς β', μὲν καὶ αὐτὰ ἀποτείνεται, ἀμὴν πρὸς ἀπόλυτον, εἰς δ' ἑτέρων προσώπων πρόσαξιν, φημὶ δὴ τῶν καὶ τὸ γ', ἐγκλίνεται τοῖς δευτέροις.

Πρὸς δὲ ταῦτα ἀχαλεπὸν ἀπαντῆσαι. ἐν γὰρ τῷ λεγέτω, γραφέτω, καὶ τοῖς λοιποῖς σωσινοεῖται μὲν πάντως καὶ τὸ β', ἀμὴν τοῦτό ἐστι τὸ προσασσόμενον, τὸ δὲ γ', μεσολαβοῦντος τοῦ β'. ὅτε μὴν δι' ὅ, τι ἐν δευτέρῳ προσώπῳ ἀποτείνεται τὰ τοιαῦτα, λεγέτω, γραφέτω, καὶ τὰ λοιπὰ, ἤδη καὶ β', εἰσὶ πρόσωπα. ἐλέγχει δὲ παρὰ τὸ β', λέγε, γράφε. ὅτε μὴν ἐξαιρέτως ἐπὶ μόνων τῶν προσακτικῶν ἐγχωρήσει τοιοῦτο. πολὺ δὲ πρότερον καὶ τῆς οὐσιακῆς ἐγκλίσεως

σεως τὸ τοιοῦτον ἂν παρέποιτο, καθ' ἣν ἀποφαινόμεθα πρός τινας παρόντας περίτινων ἀπόντων, ὀρθῶς διαλέγεται τρύφων. ἡμέρα ἐστί. καὶ οὐπάντως τὰ τοιαῦτα, δι' ὅ, τι πρός τινα παρόντα ἐστὶν, ἤδη καὶ δευτέρα εἰρήσεται. καὶ δὴ καὶ τὰ προκείμενα τὸ λεγέτω, γραφέτω, συντάσσεται μὲν καὶ αὐτὰ δευτέροις προσώποις, καθ' ὅ, τι πᾶς λόγος πρὸς β', ἀποτείνεται πρόσωπον, ἅτε παρὸν εἶναι ὀφεῖλον καὶ προσφωνούμενον, οὐ μὴν ἤδη καὶ δευτέρα ἐστιν. οὐ γὰρ κατὰ τῶν προσφωνουμένων δευτέρων αἱ κατὰ τὸ γ', προστάξεις γίνονται, ὥσπερ δηλονότι τὸ λέγε καὶ γράφε, κατὰ δὲ τῶν ἐν τοῖς τρίτοις νοουμένων, ὡσεὶ καὶ λέγοιμεν, τρύφων γραφέτω, λεγέτω. τὸ δὲ προσταττόμενον ὁ τρύφων, γ', ἐστὶ προσώπου, καὶ τὸ κατ' αὐτοῦ ἄρα λεγόμενον γραφέτω, τρίτου ἂν εἴη. τὸ δ' αὐτὸ σαφὲς κἀκ τοῦ παρεπομένου ἀριθμοῦ. τῶν γὰρ προστασσομένων, ὥσπερ τὰ β', μόνην τὴν ἐν δευτέροις, οὕτω τοι καὶ τὰ γ', καθεστῶτα, τὴν ἐν τρίτοις μόνον προσώποις καταλληλότητα ἔχει τοῦ ἀριθμοῦ. λεγέτω, λεγέτωσαν, τοῦ συνημμένου εἴτ' οὖν συμπαραλαμβανομένου τοῖς τρίτοις δευτέρου προσώπου οὐδαμῶς, τὸν ἴδιον συμπαρεμφαίνοντος ἀριθμόν. εἰ γὰρ ἦν ἐγκείμενον φύσει τοῖς τρίτοις τὸ β', κατὰ προσώπου μερισμὸν, ἀνεδέξαντο ἂν τὰ τρίτα καὶ τοῦ συνόντος αὐτοῖς β', τὸν ἀριθμὸν, ἑνικὸν τυχὸν, ἢ καὶ πληθυντικόν. καθάπερ καὶ ἐπὶ τῶν κτητικῶν ἀντωνυμιῶν, ὁ ὑμέτερος, ἢ σός. ἐν αἷς τὸ δισσὸν τοῦ προσώπου ἐννούμενον, τοῦ τε κατὰ τὸ κτῆμα καὶ τοῦ κατὰ τὸν κτήτορα, ἀκολούθως συνεννοούμεμενον ἔχει καὶ τὸν ἀμφοῖν συνόντα ἀριθμὸν, τὸν ἑνικὸν μὲν, κατὰ τὸ κτῆμα, τὸν πληθυντικὸν δὲ, κατὰ τὸν κτήτορα. ἢ καὶ ἀνάπαλιν, ὡς ἐπὶ τοῦ, οἱ ἐμοὶ, οἱ σοί. νυνὶ δὲ τὸ λεγέτω καὶ λεγέτωσαν καὶ τὰ ὅμοια τὸν ἐν τρίτοις μόνοις προσώποις συνόντα ἐπιδεχόμενα ἀριθμὸν, οὐκ ἔχει διαστολὴν ἀριθμοῦ καὶ τῶν συνόντων δευτέρων προσώπων, πότερον πρὸς ἕνα τις ἀποτεινόμενος, ἐγκελεύεται, ὅτῳ ἂν ἐγκελεύηται, ἢ πρὸς πολλούς; οἷόν τε γὰρ ἐστιφάναι καὶ πρὸς ἄθροισμα, ἐγκελευομένους ἐνὶ, γρηγορείτω ὁ στρατηγὸς ὑμῶν. τοῦ γρηγορείτω δῆλον οὐ πρὸς τὸ παραλαμβανόμενον β', ἀναφερομένου. πολλοὶ γάρ εἰσι. πρὸς δὲ τὸ γ', ἑνικὸν ὂν, φημὶ δὴ τὸν στρατηγόν. καὶ πρὸς ἕνα, πλήθει ἐπιτάσσοντας. γρηγορείτωσάν σου οἱ ὑπηρέται, τοῦ γρηγορείτωσαν πάλιν πρὸς τοὺς ὑπηρέτας πολλοὺς ὄντας, οὐ πρὸς τὸν δεσπότην ἀποδιδομένου. καὶ οὐδενός ἐστιν ἄλλου διαστολὴ, ὅτι μὴ μόνου τοῦ κατὰ τὸ γ', προσώπου. οὗ ἐστι καὶ τὰ τῆς ἐγκελεύσεως.

Πρὸς δὴ οὖν τοὺς ἀποροῦντας, τί δήποτε τρίτου καθεστῶτα, πρὸς δεύτερον ἀποτείνεται πρόσωπον; ῥητέον, ὡς τὸ λεγέτω, καὶ πάντα τὰ τοιαῦτα σημαίνει ἀπόντων προσώπων πρόσταξιν, ἀναγκαίως διὰ τοῦτο δευτέρου προσώπου ἐναλλασσομένως παραλαμβανομένου εἰς μετάδοσιν τῆς προστάξεως. καθ' ὅ, τι οὐ μόνον ἡ πρόσταξις, ἀλλὰ δὴ καὶ ἡ ἐρώτησις, καὶ ἁπλῶς πᾶς λόγος ἄνευ δευτέρου προσώπου ἀσύστατός ἐστι. μὴ γὰρ συμπαραλαμβανομένου τοῦ β', ἐν τοῖς τρίτοις τῶν προστακτικῶν, εἰς β', πάλιν ἂν εἴη πρόσωπον ἀπὸ τοῦ α', οὐκ εἰς γ'. ἵνα γὰρ μὴ παριππεύσῃ τὴν τῶν δευτέρων προσώπων ἡ πρόσταξις σύνταξιν, ταῖς ἐν β', μόνον προσώπῳ νοουμέναις ἁπάντοτε κλητικαῖς σύνεστιν. Εἴρηται δὲ ταῖς κλητικαῖς, καὶ οὐχ ἁπλῶς τοῖς δευτέροις προσώποις τῶν προστακτικῶν ῥημάτων συνεῖναι τὴν πρόσταξιν. καθ' ὅ, τι ἐπιτοπλέον συνεμπίπτουσι τῆς ὁριστικῆς ἐγκλίσεως αἱ φωναὶ ταῖς τῆς προστακτικῆς καθ' ἑκατέραν διάθεσιν, ἐπί τε τῶν βαρυτόνων, ὡς τὸ λέγετε καὶ λέγεσθε. καὶ ἔτι ἐπὶ τῶν περισσωμένων, διανοεῖτε, διανο-

διανοεῖσθε. καὶ ἐπεὶ πάλιν αἱ κλητικαὶ συνεμπίπτουσι ταῖς εὐθείαις, συγγίνεται δὲ εὐθείαις μὲν, τὰ ὁριστικὰ, κλητικαῖς δὲ, τὰ προστακτικὰ, συνέπιπτε δὲ καὶ ὁριστικοῖς τὰ προστακτικὰ, πάλιν τὸ διανοεῖσθε ἀν᾽ οἷ, οὔπω διακέκριται, πότερον προστακτικόν ἐστι τὸ ῥῆμα, ἢ ὁριστικόν; καὶ πάλιν, κλητική ἐστιν, ἢ εὐθεῖα τὸ πτωτικόν; ἵνα γοῦν μὴ μείνῃ ἀδιάκριτα τὰ τοιαῦτα, ἐπιπροσγίνεται τῶν μορίων τὰ ἰδιάζοντα πρὸς ἑκάτερα τῶν τοῦ λόγου μερῶν, τό, τε ὄνομα καὶ τὸ ῥῆμα. κἀπὶ μὲν εὐθείας προσλαμβάνοντες τὴν μετοχικὴν εὐθεῖαν, φήσομεν, ἀν᾽ οἷ ὄντες, διανοεῖσθε. οὐχ ὡς οἴονταί τινες κατὰ προστακτικὴν, κατὰ δὲ ὁριστικὴν ἔγκλισιν. καθάπερ ἐστὶν ἐπινοῆσαι κἀπὶ τοῦ α', καὶ γ'. ἀν᾽ οἱ ὄντες, διανοούμεθα. ἀν᾽ οἷ ὄντες, διανοοῦνται. κατὰ γὰρ τὰ ἐπὶ α', καὶ γ', ὁριστικὰ πάντως καὶ τὰ ἐπὶ β'. κἀκ τῆς ἑνικῆς συντάξεως προφανὴς ὁ λόγος. ἀν᾽ θρωπος ὢν, διανοῇ. ἀν᾽ ὃς ὢν, διανοοῦμαι. καὶ ἔτι διανοεῖται. ἐφ᾽ ἧς ἑνικῆς συντάξεως κατὰ τὸ κλητικὸν αἱ δύω φωναὶ τοῦτε ὀνόματος καὶ τοῦ ῥήματος ἐναλλάσσονται. ἀν᾽ ἒ, διανοοῦ. μεταπίπτει γὰρ ἡ μὲν εὐθεῖα εἰς κλητικὴν, τὸ δὲ ὁριστικὸν εἰς προστακτικόν. ἀλλὰ κἀκ τῆς συνούσης μετοχῆς καταφανὲς τὸ λεγόμενον. οὐ γὰρ συνίσταται ἡ ὢν, μετοχὴ μεθ᾽ ὧν ἂν τὸ προστακτικὸν συσταίη κλητικῶν, μετὰ μέντοι τῶν εὐθειῶν. καθ᾽ ὅ, τι τὸ πτωτικὸν τοῦ ἐγκειμένου τῇ μετοχῇ ὑπαρκτικοῦ τυγχάνει, εὐθείᾳ οὔγε μὴν κλητικῇ ἐκ γ', συντασσομένου. οὐ γάρ φαμεν, ἀν᾽ θρωπε ὢν, ἀν᾽ ὃς δὲ ὢν. οὕτως ἀπεδείκνυτο καὶ ἡ σὺ ἀντωνυμία ὡς εἴη εὐθεῖα, καί τοι β', οὖσα προσώπου, ἐν τῷ σὺ ὢν, ὡσεὶ καὶ ἐγὼ ὢν, κἀκεῖνος ὢν. ἐν οἷς ἐλέγετο, ὡς εἰ τὸ ἐγὼ, κἀκεῖνος εὐθεῖα, καὶ τὸ σὺ ἄρα. ἔτι καὶ ἀπὸ τῆς τῶν ἄρθρων παραθέσεως. κἂν γὰρ μετὰ ἄρθρου λέγωμεν, οἱ ἀν᾽ οἱ διανοεῖσθε, οὐ κατ᾽ ἐγκέλευσιν τὸ διανοεῖσθέ φαμεν. (καθ᾽ ὅ, τι τὰ τῶν εὐθειῶν ἄρθρα οὐδέποτε κλητικαῖς, ὅτι μὴ εὐθείαις συμφέρεται.) κατὰ δὲ ὁρισμὸν τῆς ἐνυπαρχούσης ἑκάστῳ διανοίας, ὡς εἰ καὶ λέγοιμεν, ὑπάρχειν ἐν ἡμῖν τὸ διανοητικὸν, εἴτ᾽ οὖν λογιστικὸν, τοῦ ἄρθρου δηλονότι μηνύοντος τὴν εὐθεῖαν. καὶ οὕτω διέσταλται τῶν προστακτικῶν τὸ διανοεῖσθε. εἰ δὲ προσθείη τις τὸ ὦ, κλητικὸν ἐπίφθεγμα, γενήσεται καὶ τὸ διανοεῖσθε προστακτικόν. ὦ ἀν᾽ οἷ, διανοεῖσθε. ἀλλ᾽ εἰ καὶ ἔτι τὸ ἄγε μόνον, ἄγε διανοεῖσθε, ἀν᾽ οἷ. ἐφ᾽ ἧς συντάξεως πάλιν εἴ τις ἀντιθείη τὸ ὅτι, ὅτι διανοεῖσθε, μεταστήσεται τὰ τῆς συντάξεως εἰς ὁριστικὴν ἔγκλισιν τῇ τοῦ ὅτι δυνάμει. καὶ οὕτω τῶν ἑκάστῳ ἰδιαζόντων προσγινομένων αὐτοῖς, ἀποστήσεται τῆς ἀμφιβολίας τὰ συμπίπτοντα. καὶ τοσαῦτα μὲν περὶ τῶν ὁμοφωνούντων, περὶ δὲ τῶν μὴ ὁμοφωνούντων μήτε ἐν τοῖς ὀνόμασι μήτε ἐν τοῖς ῥήμασιν οὐδὲ κατ᾽ ὀλίγον τὰ τῆς συντάξεως ἀμφιβάλλεται. ταῦτ᾽ ἄρα οὐδὲ λόγου δεῖται τοῦ διακρίνοντος. ἀν᾽ ὃς ἔγραφεν. ἀν᾽ ἔγραφε. τὸ μὲν γὰρ, ὁριστικὸν, τὸ δὲ, προστακτικὸν, καθ᾽ ἑκατέρας ἑκάτερα τὰς φωνάς. εἴ γε μὴν ἀνὰ μέρος πάλιν θάτερον γένηταί τῳ ὁμόφωνον, τὸ συμφερόμενον τούτῳ, τὸ ἀμφίβολον ἀποτρίψεται. φέρε φάναι ἐν πτωτικοῖς, ὡς ἐπὶ τοῦ ἑλικὼν, καὶ τῶν ὁμοίως συμπιπτόντων ὀνομάτων. προσκείμενον γὰρ τὸ μὲν ὁριστικὸν, εὐθεῖαν σύνταξιν ἀποτελεῖ, ἑλικὼν γράφει. τὸ δὲ προστακτικὸν κλητικὴν. ἑλικὼν, γράφε. Ἢ ἀνάπαλιν ἐν ῥήμασιν, ὡς ἐπὶ τοῦ ἤχει, ὃ προσδεχόμενον τὸ μὲν τῆς εὐθείας σχῆμα, ὁριστικὸν ἐν παρατάσει ἀποτελέσει τὸ ἤχει, κατὰ τὸ τρίτον πρόσωπον. ἤχει ὁ τρίπους, ἢ ὁ ἄνθρωπος. ἤχει ποτὲ τὸ ἐν δωδώνῃ χαλκεῖον. τὸ κλητικὸν δὲ πάλιν, προστακτικὸν ἀποδείξει. ἤχει, ἄνθρωπε, οὐ γὰρ δὴ μόνον τὰ πάντῃ

τὰ πάντῃ διαφωνοῦντα, ἀμφιβολίας ἀπήλλακται, ἀλλὰ καὶ τὰ παρὰ μέρος ἀμφίβολα ὡς ὁμοφωνοῦντα, παρὰ τὰ διαφωνοῦντα συνδιακρίνεται τοῦ ἀμφιβόλου. ἤγε μὴν κἀκεῖνα εἰς ἀμφιβολίαν ἐμπέσῃ, τέλειον ἀμφίβολον ποιήσει τὴν σύνταξιν. ὡς ἐν τῷ ἤχει, προσγενομένης τῆς ὁμοφώνου τῇ κλητικῇ εὐθείας. οἷον, ἤχει ἑλικών. ἄδηλον γὰρ πότερον ὁριστικὸν, ἢ προστακτικὸν τὸ ῥῆμα παρὰ τὸ ταὐτὸν τῆς εὐθείας καὶ κλητικῆς. ἐφ' ἧς πάλιν συντάξεως χρεία ἐστὶ τῶν προκειμένων μορίων. ὁ ἑλικὼν ἤχει, ἄγε ἤχει, ὦ ἑλικών. ὅτι ἤχει ὁ ἑλικών. πρὸς τούτοις καὶ ἡ αὐτοτέλεια τεκμήριόν ἐστι κλητικῆς. ἰδοὺ γὰρ καὶ αὐτὸ τὸ ἑλικὼν, ἐλλεῖπον μὲν ῥήματος, εὐθεῖαν ὁμολογεῖ, μὴ τῇδε δὲ ἔχον, κλητικῆς ἐστι πτώσεως. οἷον, ὦ ἑλικὼν, ἤχει. Ἐδείξαμεν δὲ, ὅτι τὰ τοῦ ἐνεστῶτος ἁπάντοτε πληθυντικὰ ὁριστικά τε καὶ προστακτικὰ ἀλλήλοις συνεμπίπτοντα, διὰ τοῦ ἄγε προσρήματος διεκρίνετο τῆς ἀμφιβολίας, ὑποστελλομένου ἑνὸς ῥήματος τοῦ ἐστέ. τοῦτο γὰρ ἀπέβαλε τὴν ἀμφιβολίαν, καθ' ἑαυτὸ ἀντιδιαστελλόμενον. εἴγε βαρυνόμενον μὲν, προστακτικόν ἐστιν, ὀξυνόμενον δὲ, ὁριστικόν. καὶ ἴσως δόξει ὀλιγωρεῖσθαι τὰ τῆς φωνῆς. ὅτι οὐ τῷ καθολικῷ ὑπέστη κανόνι, ἀξιοῦντι ὡς τὰ δεύτερα τῶν προστακτικῶν ὁμοφωνοῦντα τοῖς δευτέροις τῶν ὁριστικῶν, καὶ ὁμοτονεῖν αὐτοῖς ἐθέλει, καὶ ἤτοι τὸ ὀξυνόμενον ὁριστικὸν ἡμάρτηται, ἢ τὸ βαρυνόμενον προστακτικόν. κἀπὶ μὲν τοῦ προστακτικοῦ φαίη τις ἂν, ὡς ἅπαντα τὰ εἰς τε, λήγοντα προστακτικὰ, βαρύνεται. καὶ διὰ τοῦτο βαρυνόμενον τὸ ἔστε, κατώρθωται. λείπεται ἄρα τὸ ἐστὲ ὁριστικὸν ὀλιγωρεῖσθαι. ὅτι ὁμοφωνεῖ μὲν, οὐχ ὁμοτονεῖ δὲ τῷ κατορθουμένῳ. ἀλλὰ καὶ ἐπ' αὐτοῦ ῥητέον κατὰ τὸν ἀξιοῦντα κανόνα, ὡς ὁμοτονεῖν ἐθέλει τὰ β', ὁριστικὰ τοῖς πρώτοις. ἴμεν, ἴτε. δίδομεν, δίδοτε. εἰ οὖν, ἐσμὲν, δῆλον ὅτι καὶ ἐστέ. τί οὖν χρὴ ἐπὶ τοῦ τοιούτου διαλαβεῖν, τῶν δυοῖν ὑπολοίπων κανόνων ἀναιρούντων τὸν πρῶτον; Ἢ ἐκεῖνο ἀποφήνασθαι, ὡς ὀξύνεται μὲν κατὰ τὸ ὁριστικὸν τὸ ἐσμὲν καὶ ἐστὲ, διὰ τὸ εἶναι ἐγκλιτικὰ, κατὰ τὸ τέλος μὴ βαρυνόμενα, ὀξυνόμενα δὲ, ἤτοι ἐνεργείᾳ. οἷον, φημὶ, τίς, ἢ δυνάμει. ἐμοῦ, σοῦ. ἐπὶ δὲ τῶν προστακτικῶν ἀφισταμένης τῆς ἐγκλίσεως, ἀνεπιδέκτων ὄντων ἐγκλίσεως, συναφίσταται καὶ ἡ ἐπὶ τοῦ τέλους ὀξεῖα, αἰτία οὖσα τῆς ἐγκλίσεως κατὰ τὸν προληφθέντα κανόνα τῶν ἐγκλιτικῶν. διὰ τοῦτο κἀπὶ τῶν ἑνικῶν τοῦ αὐτοῦ ἐσμὲν, (τῶν εἰς θι, πάλιν ληγόντων προστακτικῶν ὁμοτονούντων τοῖς εἰς μι. ζεύγνυμι, ζεύγνυθι, εἶμι, ἴθι.) τὸ μὲν εἰμὶ, ὀξύνεται ὁριστικόν. καθ' ὃ ἐγκλιτικὸν, οὐμὴν τὸ ἴθι, προστακτικὸν ὄν. καθ' ὃ οὐκ ἐγκλιτικόν. ὅθεν οὐ συγκατατίθεμαι τοῖς ἐν προστακτικῇ προφορᾷ ὀξυτονοῦσι παρὰ λόγον τὸ φαθὶ, συνελεγχομένοις κἀκ τοῦ γ', προσώπου τοῦ φάτω. ὃ δὴ ὁμότονον καθεστὼς τῷ β', ὁμοίως τοῖς ἄλλοις ἤλεγχε τὴν παρὰ τὸ δέον ὀξεῖαν τοῦ φαθί. καὶ δὴ οὕτω μὲν ταῦτα, Παρασημειοῦνται δὲ οἱ παλαιοὶ, ὅτι τὰ προστακτικὰ οὐκ ἐξ ἀνάγκης ὑπεροχὴν δηλοῦσι τοῦ προφέροντος αὐτὰ προσώπου πρὸς τὸ προστασσόμενον, εἰ μή που κατά τι σύμβαμα καί ποτε. ὑποκινοῦσι γὰρ μόνον τὰ προστακτικὰ καὶ ἐρεθίζουσι πρὸς ἔργον, οὐ μὴν καὶ αὐθεντείαν πάντως δεσποτικὴν ἐνδείκνυται, ἢ διαφορὰν ἡντιναοῦν τοῦ προστάσσοντος πρὸς τὸν προστασσόμενον. καὶ γέμει παραδειγμάτων ὁ βίος ἅπας, καὶ αὐτὴ ἡ ἑξαήμερος, οἷόν ἐστι τὸ, γενηθήτω φῶς, γενηθήτω στερέωμα, συναχθήτω τὸ ὕδωρ, καὶ ὅσα πρὸς τὸν υἱὸν παρὰ τοῦ πατρὸς ἀποτείνεται. δηλοῖ δὲ καὶ ἡ λέξις τὴν φύσιν τοῦ πράγματος. τὸ γὰρ προστάσσειν σύγκειται ἀπὸ τῆς πρὸς, προθέσεως τῆς δη-

τῆς δηλούσης τὸ ἐγγὺς, καὶ τὸ τάσσειν, δηλοῦν τὸ ἐγγὺς τάσσειν τινὰ καὶ πλησίον τῆς δὲ τῆς ἐνεργείας. ἧς πρὶν ἐχωρίζετο. τοῦτο δὲ οὐ μόνον δεσπότης, ἢ πῆρ ποιεῖ πρὸς δοῦλον καὶ υἱὸν, ἀλλὰ καὶ ἀνάπαλιν γίνεται. ἔθος γὰρ καὶ τοῖς ἐλάττοσιν, ὅταν διαθερμαινόμενοι πρὸς τοὺς μείζους ὦσι, παρακελευστικαῖς κεχρῆσθαι ταῖς λέξεσι (Χρυσόστμ. εἰς τὸν μδ', ψαλμ:) Δεῖ γὰρ εἰδέναι ὅτι ἀπανούγως καὶ φυσικῶς πᾶσα παρακίνησις καὶ διέγερσις καὶ ἅπας εἰς ἔργον ἐρεθισμὸς, διὰ προσακτικοῦ ῥήματος γίγνεται. εἰ δέ ποτε δυσωπία τις ὕπεστιν, ἢ φόβος, ἢ αἰδὼς, ἢ ἔφεσις, ἢ ἄλλη τις ἔνδειξις φυσικῆς θερμότητος, τότε ἀντὶ προσακτικοῦ εὐκτικῶς ὁ λόγος σχηματίζεται. καὶ τοῦτό ἐστιν, ὅπερ ἐφεῦρε τὰ εὐκτικὰ ῥήματα. διὸ καὶ τὸ τῶν πιστῶν σύστημα ἡ τοῦ Χῦ νύμφη προσευχομένη, ἁπλούστερον λαλεῖ πρὸς τὸν ἑαυτῆς νυμφίον τὸ, Κέ ἐλέησον. εἰ γὰρ ὑπώπτευεν, ὡς οὐχ ὑπακουσθήσεται, ἐσχημάτισεν ἂν τὸν λόγον εὐκτικώτερον. Ἅπαντα δὲ τὰ προσακτικὰ ἐγκειμένην ἔχει τὴν τοῦ μέλλοντος διάθεσιν, προστασσόμενα ἤτοι εἰς παρατατικὴν διάθεσιν κατὰ τὸ ἐνεστὼς, ἢ εἰς ὑπερσυντελικὴν κατὰ τὸ παρῆκον. σχεδὸν γὰρ ἐν ἴσῳ ἐστὶ τὸ, ὁ τυραννοκτονήσας τιμάσθω, τῷ, τιμηθήσεται, κατὰ μὲν τὴν τοῦ μέλλοντος χρόνου ἔνοιαν οὔ, τῇ δὲ ἐγκλίσει διηλαχὸς μόνῃ, ᾗ τὸ μὲν, προσακτικὸν, τὸ δὲ, ὁριστικόν. πῶς οὖν οὐ γελοῖοί εἰσιν, οἱ μὴ ὑπολαβόντες ῥήματα προσακτικὰ μέλλοντος χρόνου, ὅπου γε πάντα συνωθεῖται εἰς τὴν τοῦ μέλλοντος ἔννοιαν; ἡ γάρ τοι πρόσταξις ἤτοι ἐπὶ τοῖς μὴ γιγνομένοις, ἢ τοῖς μὴ γεγονόσι γίνεται, τὰ δὲ μὴ γιγνόμενα, ἢ μὴ γεγονότα, ἐπιτηδειότητα δὲ ἔχοντα εἰς τὸ ἔσεσθαι, μέλλοντός ἐστιν. εἴ γε τῶν προσταχθέντων τὰ μὴ γιγνόμενα, λόγον ἔχει, τοῦτ' ἔστιν ἀπόκρισιν μετὰ ἀποφάσεως καὶ τῆς τοῦ μέλλοντος ἐννοίας. ποίησον. οὐ δυνήσομαι. οὐ ποιήσω. κἂν γὰρ καὶ δι' ἐνεστῶτος πρὸς τὴν πρόσταξιν ἀπαντήσωμεν, οὐ δύναμαι βαστάσαι, ἐν ἴσῳ γεμήν ἐστι τῷ οὐ δυνήσομαι. εἰς τὸ γενέσθαι οὖν, ἢ μὴ γενέσθαι ἡ πρόσταξις γίγνεται, ἀποφασκομένη ἀπὸ τῆς τοῦ μέλλοντος ἐννοίας, εἰς μὲν παράτασιν, ὡς εἴρηται σκαπτέτω τὰς ἀμπέλους, εἰς δὲ συντέλειαν, σκαψάτω. Ἐντεῦθεν ἀποπέμπονται καὶ οἱ ἀμαθῶς συνάγοντες, ὅτι τῶν ἱερᾶσθαι λαχόντων ὅσοι ἐπὶ χρήμασιν εἰς τοῦτο προεχειρίσθησαν, σὺν τῷ προχειρισαμένῳ καθῄρηνται. ὁ γὰρ ἐπὶ χρήμασι χειρονῶν, σὺν τῷ χειροτονουμένῳ καθαιρείσθω, ὁ ἱερός φησι νόμος. ξύμπας δὲ ὁ τῶν νυνὶ ἱερέων χορὸς, τοιοῦτος. οὐ γάρ ἐστιν ὅς τις μὴ οὐχὶ ἐπὶ χρήμασι κεχειροτόνηται ἤτοι προσεχῶς, ἢ πόρρω, ξύμπας ἄρα καθῃρημένος τυγχάνει. Πρὸς δὲ τοὺς τοιούτους ῥητέον, ὡς οὐκ ὀρθῶς συλλογίζονται. τὸ γὰρ μεῖζον ἄκρον οὐχ ὁμοίως ἦν κατηγορούμενον ἔν τε τῷ συμπεράσματι καὶ τῇ μείζονι τῶν προτάσεων. ἐπ' ἐκείνῃ μὲν γὰρ ἦν ἐγκελευστικὸν, ὁρικὸν δ' ἐν τούτῳ. δέον δ' ἄρα, ἵνα συνακολουθεῖν ἔχῃ ταῖς προτάσεσι τὸ συμπέρασμα, ὁμοίως ἐπ' ἀμφοῖν λέγεσθαι τὸ κατηγορούμενον. ἦν δ' ἐν τῇ μείζονι ἐγκελευστικὸν, ἐγκελευστικὸν ἄρ' ἔσται κἂν τῷ συμπεράσματι. Πρὸς δὲ πάλιν τὸν ἐγκελευστικῶς συμπεραίνοντα ῥητέον, ὡς μόνον τὸ ἀποφαντικὸν εἶδος τοῦ λόγου ἀληθείας, ἢ ψεύδους ἔστιν ἐνδεικτικόν. τὰ δὲ παρὰ τοῦτο, οὐδετέρου τυγχάνει δεκτικά. τὸ δὲ καθαιρείσθω καὶ πάντα τὰ προσακτικὰ, ἔστι λόγος οὐκ ἀποφαντικὸς, ὑπουργικὴν δέτινα πρᾶξιν τυγχάνει παρὰ χείρονος ζητῶν. ταῦτ' ἄρα κἂν τῷ συλλογιστικῷ λόγῳ τὰ τοιαῦτα οὐ παραλαμβάνεται. Ἀλλὰ γὰρ ἡμῖν ἐπιφύονται, συμπεραίνοντες, ὡς ἄρα καὶ τὰ ἱερὰ διατάγματα, ἐγκε-

τα, ἐγκελευστικὰ καὶ αὐτὰ ὄντα, ἀληθείας εἰσὶν ἀνεπίδεκτα. καὶ οὕτω τὴν διαστροφὴν τῶν ἱεροκατηγόρων ἀπευθύνειν πειρώμενοι, ἐλάθομεν εἰς τὸ ἐναντίον περιενεχθέντες. ἑαυτοῖς γὰρ διαμαχόμεθα, ἰώμενοι κακῷ τὸ κακὸν, ὃ δὴ λέγεται. εἰ γὰρ οὐκ ἀληθεύει τὰ προστακτικὰ, προστακτικὰ δὲ καὶ τὰ ἱερὰ διατάγματα, δηλονότι καὶ αὐτὰ οὐκ ἀληθεύει. οὐκ ἄρα πιστευτέον αὐτοῖς περὶ ὧν ἀποφαίνονται. μὴ ὄντος δὲ ἀληθοῦς τοῦ λόγου τούτου, μηδὲ ψευδομένων τῶν ἱερῶν νόμων, ἀληθεύσει πάντως καὶ τὰ προστακτικά. καὶ δῆτα πιστευτέον αὐτοῖς περὶ ὧν ἀποφαίνονται. πιστεύοντες δὲ, πάλιν εἰς τὴν κατασκευὴν τῆς ἀνασκευῆς ἐνεχθησόμεθα. ἀλλὰ ταῦτα μὲν, παιζόντων ἂν εἴη, οὐχ οὕτω δ' ἔχει τἀληθές. Τῶν γὰρ ἐπὶ γ', προστακτικῶν πρόσταξιν ἀπόντος προσώπου δηλούντων, δεύτερον ἐξ ἀνάγκης παραλαμβάνεται εἰς μετάδοσιν τῆς προστάξεως. δευτέρου δὲ μὴ παραληφθέντος, ἀσύστατος ἂν εἴη ἡ ἐπὶ τρίτου πρόσταξις. κατὰ ταὐτὰ δὴ κἀπὶ τῶν ἱερῶν νόμων. πρώτου μὲν εἰσι προσώπου, οἱ τούτους διαταξάμενοι. δευτέρου δὲ, πρὸς οὓς ὁ λόγος, οἱ περιόντες ἔτι τῷ βίῳ δηλονότι, καὶ τοὺς νόμους διεκδικοῦντες ἱεράρχαι. τρίτου δὲ, οἷς ἐγκελεύονται ὑπαιτίοις οἱ νόμοι. τὰ τοίνυν ἱερὰ διατάγματα ἔχουσι μὲν τὸ κύρος ἀπαρεγχείρητον, οὔ γε μὴν αὐτόθεν τε καὶ ἀμέσως. ἀλλ' ἐπειδὴ τρίτοις εἰσὶν ἐγκελευόμενα, διὰ τοῦτο χρεία τῆς τοῦ β', παραδοχῆς, ἵνα μεταδῷ τοῖς τρίτοις τῆς ἐκ τοῦ α', προστάξεως. ἔστ' ἂν δὲ τὸ β', μὴ ἐνεργήσῃ ἐπὶ τοῦ γ', τὴν παρὰ τοῦ α', πρόσταξιν, οὐκ ἐνέχεται τὸ γ', τῇ τοῦ α', ποινῇ. καὶ οὕτως οἱ ἐπὶ χρήμασι χειροτονούμενοι, ἔστ' ἂν μὴ καθαιρεθῶσιν ὑπὸ τῶν διεκδικούντων τοὺς νόμους, οὐχ ἧττόν εἰσί τε καὶ λέγονται ἱερεῖς, τῆς ἐκ τῶν νόμων ποινῆς, εἰ καὶ μὴ καὶ τῆς ἐνοχῆς, ὄντες ἀπηλλαγμένοι. τὰ γὰρ προστακτικὰ μέλλοντος, οὐκ ἐνεστῶτος ἔχει σημασίαν. εἴρηται δὲ ἡμῖν περὶ τούτου διεξοδικῶς ἐν τῇ τῶν ἱερῶν κανόνων ἐπιτομῇ. Ἐνσταίη δέ τις, ὡς ἡ δεῖξις παρόντος ἐστίν. ἡ δ' αὐτὴ κἀπὶ γ', πρόεισιν. οὗτος, ἐκεῖνος. παρόντα ἄρα καὶ τὰ τρίτα, οὐκ ἀπόντα. οὐκ ἄρα ἀναγκαία ἡ τοῦ β', προσώπου παράληψις εἰς μετάδοσιν τῆς προστάξεως. Ἢ ὅτι μερικὸν τὸ τοῦ γ', σχήματος συμπέρασμα. οὐκ ἄρα πᾶν γ', πάρεστι, μόνα δὲ τὰ σὺν δείξει ἀντονομαζόμενα. οἷον, τὸ οὗτος. ἐκεῖνος. ἡ δεικτικὰ δὲ καὶ ταῦτα, ἡ γεμὴν τρίτα, τῶν δευτέρων παρόντων, ἀπόντα εἰσὶ καὶ αὐτά.

Εὐκτική.

Ἡ δ' εὐκτικὴ ἀπὸ τῆς γινομένης εὐχῆς ὠνόμασται.

Κατὰ παραγωγὴν τῆς τοιαύτης λαχοῦσα παρονομασίας. ὥσπερ ἄρα καὶ τῶν λοιπῶν ἑκάστη ἀπὸ τοῦ ἐν αὐτῇ δηλουμένου κατὰ παραγωγὴν τὴν τοῦ ὀνόματος θέσιν εἴτ' οὖν ὀνομασίαν, ὡς εἴρηται, ἀνεδέξατο.

Καὶ ἐπιῤῥήματα ἔχει. εἴθε, αἴθε.

Εὐχῆς παραστατικὰ, ὡς καὶ ἡ προστακτικὴ ἐγκελευστικὰ, συντασσόμενα διὰ τὸ ἐγκείμενον τῆς σημασίας, τὰ μὲν, εὐκτικῇ, τὰ δὲ, προστακτικῇ.

Ἃ τοῖς μὲν εὐκτικοῖς εἰς πλείονα ἐπίτασιν παρατίθεται,

Ἐνίοις μὲν ἔδοξε τὰ τῆς προκειμένης ἐγκλίσεως κατὰ παρολκὴν ἔχειν τὰ συνόντα εὐκτικὰ μόρια, ὡς δυνάμει ἐγκείμενα τῇ εὐκτικῇ ἐγκλίσει, οὐκ ἔστι δὲ, ἀλλ' εἰς πλείονα ἐπίτασιν τῆς σημαινομένης εἴτ' οὖν ἐγκειμένης εὐχῆς ταῦτα παρατίθεται τοῖς εὐκτικοῖς.

κτικοῖς ῥήμασιν, ὡς κἀπὶ τὲ γράφω τὸ ναὶ, κἀπὶ τὲ τάχιον πειρατεῖ τὸ μᾶλλον, καὶ ἄλλα ἐπ' ἄλλων πλειόνων. πολλάκις γὰρ, ὡς προείρηται, τὰ ἰσοδυναμοῦντα παραλλήλως τίθενται εἰς πλείονα ἐμφασιν. εἰγάρτοι καὶ τῷ λόγῳ τῆς δυχῆς ἔγκειται καὶ τὰ ἐπιῤῥήματα τοῖς ῥήμασιν, ἁμὴν ἤδη καὶ τῷ λόγῳ τῆς ἐπιτάσεως.

Τοῖς δὲ ὁρισικοῖς δεόντως. εἴθε ἔγραψεν. ἵνα ἡ ὁρισικὴ δυκτικὴν ἀναδέξηται σωύταξιν.

Ἐπεὶ γὰρ δυχὴν σημαίνει τὰ ὁρισικὰ, ἐν τῷ δέοντι τύτοις τὸ εἴθε παράκειται. ἵνα δὲ καὶ ἡ δυκτικὴ ὁρισικὴν ἀναδέξηται σωύταξιν, τὸ διαβεβαιωτικὸν ὅτι προσλαμβάνει. ἠγγέλετο ὅτι γένοιτο. τῷ οἰκείων ἄρα ἀλλήλαις μεταδιδόασιν ἥτε ὁρισικὴ καὶ ἡ δυκτική, εἰς τὴν ἀλλήλων μεθισάμβαι σωύταξίντε καὶ σημασίαν.

Διαφέρει δὲ τὸ περὶ τὰ ῥήματα δυκτικὸν τὲ περὶ τὰ ἐπιῤῥήματα. ἢ τὰ μὲν ῥήματα, μὴ τὲ ἐνόντος πράγματος τὴν δυκτικὴν σημαίνει διάθεσιν. τὸ γάρτοι γράφοιμι, δυχήεσι πράγματος τὲ γράφειν. καὶ τὸ φιλολογοῖμι, τὲ φιλολογεῖν. τὸ δὲ εἴθε, χεδόντι ὀνομάεσιν δυχῆς. ἐγὰρ συμπαρίσαται ᾗ τὸ ἐφῷ τὰ τῆς δυχῆς.

Τῶν δυκτικῶν τὰ μὲν ῥήματα συμπαρισάμβων ἔχει μὴ τῆς δυχῆς ᾗ τὸ πρᾶγμα, ἕνεκα τὰ τῆς δυχῆς γίγνεται, τὰ δὲ ἐπιῤῥήματα ἁθὲν τοιὲτο σωεμφαίνει. δυχὴν δὲ μόνον καθ' ἑαυτὴν δίχα πράγματος. τὸ δὲ τοιὲτο ἁμόνον ἐπὶ τῷ δυκτικῶν, ἀλλὰ κἀπὶ πολλῶν ἄλλων παρεπόμβων καθορᾶται.

Βδ.

Ὥσπερ ἄρα καὶ τὸ εἴς διαφέρει τὲ ἄνυς. ἡ τὸ μὲν εἷς, ὀνομάεσι μοναχῶς ἀριθμὲ, τὸ δὲ ἄνυς, πρὸς τῷ τῆς κοινῆς ἐσίας σημαινομένῳ, παρυφισάμενον ἔχει τὸ εἷς.

Τὸ ὂν καὶ τὸ ὄν ταὐτὸ σημαίνει κατὰ τὸν Ἀριστ. ἐν τοῖς μεταφ. τὲ δὲ ἀριθμὲ ὁ μὲν τίς ἐσιν ἀριθμῶν, ὁ δὲ, ἀριθμητός. καὶ ἀριθμητὸς μὲν, ἔ ἡ μονὰς εἶδος ὄντος ὠισμένον παρείσησιν, ἀριθμῶν δὲ, ἔ ἡ μονὰς τὸ ὂν καὶ γένος ὑποσημαίνει καὶ ἀορίσως, παρυφίσαθαι δέ τί τινι λέγεται, τὸ καθ' ἑαυτὸ μὲν ἔ, παρ' ἑτέρῳ δὲ ὑφεσὼς, καὶ ἐν ἐκείνῳ τὸ εἶναι ἔχον. τοιὲτο δὲ τὸ συμβεβικὸς, καὶ αἱ τῆς ἐσίας ἰδιότητες ἀσιώδεις τε καὶ ἐπισιώδεις. ὡς γὲν τὸ συμβεβικὸς, ἐν τῇ ἐσίᾳ, ἔτι τοι καὶ τὸ εἷς τὲ ποσὲ ὄν, ἐν τῷ ἀνθρωπος, ἢ τῷ ἵππος παρυφέσηκεν.

Ὡσαύτως δὲ καὶ τὸ ἐγὼ πρὸς τὸ γράφω ἔχει.

Καθ' ὃ τὸ μὲν γράφω, ὡς ἐν ὑποκειμένῳ σημαίνει τὸ γράφειν. μὴ πράγματος δηλδ. τὲ γράφειν καὶ τῷ συμπαρεπομένων, ἐγκείμβον ἔχει καὶ τὸ ἐγὼ, εἴτ' ἂν τὸ ἐνεργὲν πρόσωπον. αὐτήγε μὴν ἡ ἀνωνυμία, αὐτὸ μόνον ἀνευ πράγματος προσώπε ἐσὶ παρασατική. λητέον δὲ ἀπὸ κοινῆ τό, ἢ τὸ μὲν ἐγὼ, ὀνομάεσι σημαντικὸν μοναχῶς ἐσίας, τὸ δὲ γράφω, πρὸς τῷ τῆς ἐνεργητικῆς διαθέσεως σημαινομένῳ παρυφισάμβον ἔχει τὸ ἐγώ.

Καὶ τὸ ἄλλοθεν πρὸς τὸ ἰλιόθεν.

Καθ' ὃ τὸ μὲν ἰλιόθεν, μὴ τῆς ἐν τῷ τόπε, σημασίας συμπαείσησι καὶ τὸ ἴδιον τὲ τόπε τλιὸν ἴλιον, τόγε μὴν ἄλλοθεν αὐτὸ μόνον παείσησι τλιὸν ἐν τῷ τόπε ἁπλῶς ἔχειν, καὶ μάλισα τὸ ποθέν.

Καὶ τὸ

Καὶ τὸ τάχιστος δὲ τὴν ἐπίτασιν ὡς ἐν ὑποκειμένῳ σημαίνει.

Καὶ ἁπλῶς τὰ παραθετικὰ τῶν ὀνομάτων οὐ καθ' ἑαυτὴν τὴν ἐπίτασιν σημαίνει, ἀλλ' ἐν τῇ ὑποκειμένῃ οὐσίᾳ.

Ὀκ ἔτι δὲ καὶ τὸ ἄγαν. αὐτὸ γὰρ μοναχῶς,

Ἄνευ ὑποκειμένου.

Ἐπιτάσεώς ἐστιν ὄνομα;

Παραστατικόν.

Ὁμοίως δὲ καὶ τὸ γράψον πρὸς τὸ ἄγε.

Πάλιν γὰρ αὐτὸ μόνον ὄνομα προστάξεώς ἐστι τὸ ἄγε καὶ εἴτι τοιοῦτο. τὸ δὲ γράψον μετὰ τῆς ἐγκειμένης προστάξεως καὶ τὸ πρᾶγμα ὑπαγορεύει, ἐφ' ᾧ τὰ τῆς προστάξεως. οἷον τὸ γράφειν, καὶ τοὺς συνόντας ἀριθμοὺς, ἔτι καὶ τὰ πρόσωπα. ὧν οὐθὲν ἔνεστι τῷ ἄγε.

Τὸ δὲ αἴθ' ὄφελες ἀδάκρυτος καὶ ἀπήμων ἧσθαι, οὐκ ἐκ παραλλήλου. διάκρισιν γὰρ παρίστησι προσώπου τὸ ὄφελες. ἥτις οὐκ ἔνεστι τῷ εἴθε.

Ἔστιν ὤφελον ῥῆμα εὐχῆς παραστατικὸν παρὰ τὸ ὀφείλω, εἰς πρόσωπα μόνον μεταχηματιζόμενον διάφορα. καθ' ἕνα μόνον χρόνον καὶ ἀριθμόν. οἷον, ὤφελον, ὤφελες, ὤφελε. καὶ ἔστιν ὄφελον ἐπίρρημα ἐν ἴσῳ τῷ εἴθε, ὁμικρογραφούμενον, καὶ καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερόμενον. εἰπὼν οὖν ὁ Θεόδωρος, ὅτι ἡ εὐκτικὴ ἔγκλισις ἔχει καὶ εὐκτικὰ ἐπιρρήματα, εἴθε, καὶ ποιητικῶς αἴθε, ἐν οἷς καὶ τὸ ὄφελον, ὡς τὸ, ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου, ἵνα μὴ ἐπὶ τοῦ αἴθ' ὄφελες ἧσθαι, λαβὼν τις τὸ ὄφελες προσωπικὸν ῥῆμα (οὐκ ἐξέτεινε δὲ διὰ τὸ μέτρον τὴν ἀπὸ τέλους τρίτην.) ἀντὶ τοῦ ὄφελον ἐπιρρήματος, ὡς δῆθεν ἐκ παραλλήλου κειμένου τῷ εἴθε, ὑπολάβῃ καὶ τὴν ἀπαρέμφατον κατὰ τὴν εὐκτικὴν ἔχειν εὐκτικὰ ἐπιρρήματα, τὸ αἴθε φησὶ καὶ τὸ ὄφελες οὐ χρὴ παραλαμβάνειν εἰς τὸν τοῦ παραλλήλου λόγον, ἐκ γὰρ τοῦ ὤφελες συμπαρίσταται πρὸς τῷ τῆς εὐχῆς σημαινομένῳ καὶ προσώπου διάκρισις. ἥτις οὐ συνέστι τῷ εἴθε. αὐτὸ γὰρ, ὡς εἴρηται, μοναχῶς εὐχῆς ἐστι παραστατικὸν ὄνομα. καὶ δῆλον ὅτι ἕνεκα τοῦ τοιούτου τὸ εἴθε εὐκτικοῖς τε καὶ ὁριστικοῖς ὡς εἴρηται συντάσσεται. οἷς συνέστιν ἡ τῶν προσώπων καὶ ἀριθμῶν διάκρισις. αἴθ' οὕτως, Εὔμεε, φίλος διὶ πατρὶ γένοιο. ἰλ: ξ καὶ τῷ δ', αἴθ' οὕτως ἐπὶ πᾶσι χόλον τελέσοι Ἀγαμέμνων. καὶ, εἴθε ἔγραψε τρύφων. οὐκ ἔτι δὲ καὶ τοῖς ἀπαρεμφάτοις συνταγείη καθ' ἑαυτὸ, ἢ αὐτὸ, ἢ τὸ συστειχοῦν ὄφελον. ἐπεὶ καὶ διὰ τοῦ εὐκτικοῦ ἐπιρρήματος καὶ τοῦ συνόντος ἀπαρεμφάτου ἄδηλον ποίῳ προσώπῳ τὰ τῆς εὐχῆς ἐπιγίγνεται, ἑκατέρων πρόσωπα μὴ διακρινόντων. ὅθεν εἰς ἀναπλήρωσιν τοῦ λείποντος, τὸ προσωπικὸν ὄφελον τῷ εἴθε συμπαραλαμβάνεται, εἰς ἐμφανισμὸν δηλονότι προσώπου. ᾧ τὰ τῆς εὐχῆς ἐπιγίγνεται. ἐν γὰρ τῷ αἴθ' ὤφελες, ἰλ. σ, ὁ ἀχιλλεὺς νοεῖται, πρὸς ὃν ἡ τοῦ λόγου ἀπότασις παρὰ τῆς μρὸς αὐτοῦ θέτιδος, καὶ οὐκ ἐξ ἄλλου τοῦ, ἢ τοῦ ὤφελες. οὔκουν ἐκ παραλλήλου τὸ εἴθε καὶ τὸ ὄφελες, ἀλλὰ τὸ ὡς ὄφελον, ἢ ὡς μὴ ὄφελον. οἷόν τι καὶ τοῦ Γρηγρ: τὸ, ὡς ὄφελόν γε καὶ σὲ τῇ κακοδοξίᾳ νενεκρωμένον. (ἀναστήσοι ὁ κ'ς) καθ' ὅ,τι τὰ ἐκ παραλλήλου κείμενα, ὀνομάτων μόνον ἔχει διαφορὰν οὐ πραγμάτων, ὡς τὰ πολυώνυμα. ὅθεν καὶ ἐν ἐκ τῶν τοιούτων ἴσον δύναται τοῖς πᾶσιν. Ἔστι καὶ γὰρ κατὰ τοὺς παλαιοὺς ἐκ παραλλήλου σχῆμα, ὅτε δύω λέξεις ὁμοῦ κεῖνται παράλληλοι,

προφορᾷ

προφορᾷ μόνῃ διαφέρουσαι. σημαίνουσαι δὲ τὸ αὐτό. οἷον, θάνατόν τε μόροντε. ταὐτὸ γὰρ αἱ λέξεις ἄμφω δηλοῦσι. καὶ, βάσκ' ἴθι, ἀντὶ τοῦ, πορεύθητι ἄπελθε. καὶ, ποθέεσκε δ' ἀϋτήν τε πόλεμόν τε. καὶ ῥινοῦτε βοῶν τ' εὖ ποιητάων. ῥινὸς γὰρ καὶ βόες ταὐτὸ δηλοῦσιν. οὐκ ἀπέοικε δὲ τῶν τοιούτων οὐδ' ὁ Ὠραπόλλων, ἀνὴρ λόγιος. οὗ ἡ σύνθεσις ἐκ τοῦ ὦρος καὶ ἀπόλλων, ἃ καὶ ἄμφω ἐπίθετά εἰσι φοίβου. συμφωνεῖ δὲ καὶ τὸ μυθολογεύειν. ὅπερ ἐστὶ μυθεῖσθαι καὶ λέγειν. ἤδη δὲ καὶ τὸ λογολεσχεῖν. λόγος γάρ τίς ἐστι καὶ ἡ λέσχη. τὴν δὲ τοιαύτην σύνθεσιν παρεισήγαγεν ὁ ἐκ παραλλήλου σχηματισμός. ὃς ἤτοι ἐννοίας ἀλλήλαις ὁμοίας ἐπιστειβάζει. οἷον, ὁ μέγας βασιλεὺς ἦλθεν, ὁ τρισμέγιστος ἄναξ παρεγένετο. ἄμφω γὰρ τὰ κῶλα ταῦτα ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῦσι νόημα, ἢ λέξεις ἰσοδυνάμους παραλληλίζει. αὗτη δὲ τεχνικώτερον εἰπεῖν, ἤτοι σύγκεινται, ἢ παράκειντο. ἑκάτερα δὲ ταῦτα ἤτοι ἐκ ταυτότητος γίγνετο, ἢ ἐξ ὁμοιότητος. οἷον, ἐκ ταυτότητος μὲν παραλληλισμὸς, ἐν συνθέσει μὲν, τὸ πάμπαν, ἐν παραθέσει δὲ, τὸ πάνυ πάνυ, καὶ σφόδρα σφόδρα, καὶ πάλαι πάλαι παρὰ τῷ κωμικῷ. καὶ ἔλακεν ἔλακε παρ' Εὐρυπίδῃ, καὶ ὅσα τοιαῦτα. ἐκ δὲ ὁμοιότητος λέξεων παραλληλισμὸς, ἐν συνθέσει μὲν, τὸ γήπεδον καὶ δάπεδον. ἰσοδυνάμοι γὰρ λέξεις τὸ γῆ καὶ πέδον, καὶ τὸ δὰ καὶ πέδον, καὶ ὅσα τοιαῦτα. ἐν παραθέσει δὲ, τὸ λίαν πάνυ, τυχὸν ἴσως, καὶ τὰ ὅμοια. λέγω δὲ ἐν ταυτότητι μὲν, τὰ καὶ τῇ φωνῇ καὶ τῷ νοήματι ταὐτὰ, ἐν ὁμοιότητι δὲ, τὰ τῇ προφορᾷ μὲν ἀνόμοια, τῇ σημασίᾳ δὲ ὅμοια, μάλιστα δὲ ταυτοδυνάμα. Περὶ δὲ τῆς ἐγγινομένης χρονικῆς διαθέσεως ἐν τῇ εὐκτικῇ ἐγκλίσει διαποροῦσί τινες, ὡς μάτην εἰσκυκλεῖται ἡ τῶν παρῳχημένων χρόνων φωνὴ, ὡς μὴ δυναμένου τοῦ τοιούτου συνίστασθαι. καθ' ὃ καὶ ἐπ' ἄλλων μερῶν τοῦ λόγου δηλουμένου τοῦ παρέμπτωσις, αἰτία γίνετο τοῦ μὴ συνίστασθαι σχήματά τινα τῆς λέξεως ἐν μὲν ῥήμασιν, ἡ τοῦ πλουτῶ, ἢ ὑπάρχω, ἤ τινος τῶν τοιούτων παθητικὴ ἐκφορά. καὶ τοῦ μάχομαι ἡ ἐνεργητική. ἐν δὲ γένεσι, καθ' ὃ οὔτε τοῦ ἐκτρώσασα τὸ ἀρσενικόν τις ζητήσειεν, οὔτε τοῦ ἄρσεν τὸ θηλυκόν. καὶ ἦν εἰς τὸ τοιοῦτο παράθεσις δυσπερίληπτος. καὶ δὴ οὖν κἀπὶ τοῦ προκειμένου ἐκεῖνό φασιν, εἰ ἐπὶ τοῖς οὐκ οὖσιν αἱ εὐχαὶ γίνονται εἰς τὸ γενέσθαι, πῶς τὰ ἤδη γενόμενα, εὐχῆς ἔτι δέεται; φέρε γὰρ τὸν ἐπιβάλλοντα χρόνον τοῦ γενομένου ἀγῶνος ὀλυμπιάσι παρῳχῆσθαι, καὶ πρᾶ εὔχεσθαι ὑπὲρ παιδὸς ἀγωνισαμένου καὶ μὴ νενικηκότος, περὶ τῆς τούτου νίκης. καὶ δῆλον ὡς οὔτε περὶ τῆς τοῦ μέλλοντος χρόνου νίκης, οὔτε μὴν περὶ τοῦ κατὰ τὸν ἐνεστῶτα παρατεινομένου ποιήσεται εὐχήν. ταῦτα γὰρ τῷ παρῳχημένῳ ἀντίκειται. τῆς δὲ κατὰ τὸ παρεληλυθός. ἐξ οὗ ἂν ἀκόλουθος γένοιτο ἡ εὐχή. εἴθε νενικήκοιμου ὁ παῖς. εἴθε δεδοξασμένος εἴη. Πρὸς ὃ ῥητέον ὡς ἡ εὐχὴ ἐφέσεώς ἐστιν ἐνδεικτική. ἔφεσις δὲ πᾶσα ψυχῆς ἐστι ῥοπὴ πρός τι ἐφετὸν σὺν ἐπιτάσει. ἐφετὸν δὲ, τὸ ὄν, ἢ δοκοῦν ἀγαθόν. ἀγαθοῦ δὲ εἴδη καὶ κατὰ τὸ εἶναι παντοῖα. ἀγαθὸν γὰρ καὶ τὸ μὴ ὄν, γενέσθαι. καὶ τὸ ὄν, εἶναι. καὶ τὸ γιγνόμενον, γίγνεσθαι. καὶ τὸ μὴ γεγονὸς, εἰ ἐγεγόνει. καὶ τὸ μὴ ἐσόμενον, εἰ ἔσοιτο. καὶ μὲν δὴ πολλάκις κἀκτοῦ ἐναντίου καὶ εἰ μὴ ἐγεγόνει τὸ ἤδη γεγονὸς, ἀγαθόν. καὶ εἰ μὴ ἦν τὸ ὄν. καὶ εἰ μὴ ἐγίγνετο τὸ γιγνόμενον. καὶ εἰ μὴ ἔσοιτο τὸ ἐσόμενον. Ἔπειτα δέ ἐστι καὶ οὕτω φάναι. ὡς ἀληθεύει ὅτι ἐπὶ τοῖς μὴ οὖσιν αἱ εὐχαὶ γίνονται εἰς τὸ γενέσθαι. ἐφ' ᾧ καὶ τὰ εὐκτικὰ ἐπινενόηται. μὴ συνόντος

γὰρ τοῦ

γὰρ τοῦ φιλολογεῖν, φαίημεν ἂν φιλολογοῖμι, μὴ συνόντος τοῦ πλουτεῖν, τὸ πλουτοῖμι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. χρὴ μὲν τοι νοεῖν, ὡς τὸ ἐξαιτούμενον ἐκ τοῦ εὐκτικοῦ, πάντως ἤτοι εἰς παράτασιν τοῦ ἐνεστῶτος παραλαμβάνεται, ἵνα ἐν αὐτῷ διαγένηται. (οὐ γὰρ πάντων ἡμῖν ἡ συντέλεια πρόσφορος.) ὡς εἴτις φαίη. ζώοιμι, ὦ θεὲ, ὑγιαίνοιμι, εὐτυχοῖμι, καὶ τὰ τοιαῦτα. ἢ τοὐναντίον εἰς τελείωσιν τῶν μὴ ὄντων πραγμάτων, ὡς Ἀγαμέμνων εὔχεται. εἴθε, ὦ θεοὶ πορθήσαιμι τὴν Ἴλιον. εὐχὴ γὰρ νῦν γίνεται εἰς τὸ παρῳχήμενον καὶ συντελὲς τοῦ χρόνου. τὴν γὰρ παράτασιν ἀπευκταίαν ἕξει. πορθοῦντι γὰρ αὐτῷ τὴν Ἴλιον ἐννέα δὴ βεβάασι διὸς μεγάλου ἐνιαυτοί. καὶ δὴ δοῦρα σέσηπται νεῶν, καὶ σπάρτα λέλυνται. καθ' ὅ, τι πάλιν κατὰ τὸ ἐναντίον ἐστὶν ἐπινοῆσαι, ἐπὶ τοῦ ζώοιμι. οὐ γὰρ δή γέ τις παραλήψεται εἰς εὐχὴν τὴν τοῦ ζῆν συντέλειαν ἐν τῷ ζήσαιμι. (ἡ γὰρ τοιαύτη συντέλεια τῆς εὐχῆς, δυνάμει περιγράφει τὴν τοῦ βίου διαστριβήν.) τὴν δὲ τοῦ ζῆν παράτασιν. Τὸ δ' αὐτὸ ἄπορον μέτεισι κἀπὶ τῶν προστακτικῶν. πάλιν γὰρ τὰ μὴ γενόμενα προστάσσεται. καὶ ἀληθὲς ὅτι τὰ παρῳχημένα γέγονε. καὶ κατὰ τοῦτο οὐχρὴ παρῳχημένου χρόνου προστακτικὸν παραλαμβάνειν. ἀλλ' ἔστι γε πάλιν κἀπὶ τῶν τοιούτων τ' αὐτὸ φάναι, ὡς τὰ μὲν, εἰς παράτασιν προστάσσεται, τὰ δὲ, εἰς συντέλειαν. διαφέρει γὰρ τοῦ κλειέσθω ἡ θύρα τὸ κεκλείσθω. καθ' ὃ ἡμὲν κατὰ τὸν ἐνεστῶτα ἐκφορὰ, ὑπαγορεύει τὸ προσταττόμενον ἐν παρατάσει γίγεσθαι. ὡς εἰ καὶ φαίημεν. καθ' ἑκάστην κλειέσθω, καὶ μηδέποτε παραλειπέσθω. ὅπερ τοῦ παρατεινομένου ἐνεστῶτος ἦν ἴδιον. τό γε μὴν κεκλείσθω, τὴν ἔκπαλαι ὀφείλουσαν διάθεσιν, εἴ τ' οὖν ἐνέργειαν γενέσθαι ὑποδηλοῖ, ὁ γὰρ οὕτως ἀποφαινόμενος. γράφε, σάρου, σκάπτε, κατὰ τὸ ἐνεστηκὸς, ἐν παρατάσει τῆς διαθέσεως τὴν πρόσταξιν ποιεῖται. ὡς ἔχει καὶ τὸ, βάλλ' οὕτως, αἴκεντοι φόως δαναοῖσι γένηαι. φησὶ γὰρ, ἐν τῷ πολέμῳ καταγίνου εἰς τὸ βάλλειν. ὅγε μὴν λέγων κατὰ τὴν τοῦ παρῳχημένου προφορὰν γράψον, σκάψον. οὐμόνον τὸ μὴ γενόμενον προστάσσει, ἀλλὰ καὶ τὸ ἐν παρατάσει γινόμενον ἀπαγορεύει. εἴ γε καὶ τοῖς γράφουσιν ἐν πλείονι χρόνῳ, προσφωνοῦμεν τὸ γράψον, τοιοῦτό τε φάσκοντες, μὴ ἐμμένειν τῇ παρατάσει, ἀνῦσαι δὲ τὸ γράφειν. Δῆλον δ' ἄρα ὡς ἔν τε τῇ προστακτικῇ καὶ τῇ εὐκτικῇ ἔτι καὶ τῇ ὑποτακτικῇ ὁ μὲν ἐνεστὼς, (ἐνεστῶτα δὲ λέγω τῷ σχηματισμῷ τῆς φωνῆς, οὐ μὴν καὶ τῇ δυνάμει.) τὸ παρατεταμένον καὶ ἀτελὲς τοῦ μέλλοντος δηλοῖ, ὁ δὲ παρακείμενος, τὸ αὐτίκα συντετελέσεσθαι ὀφεῖλον. ὁ δ' ἀόριστος, τὴν συντέλειαν μὲν τοῦ μέλλοντος, οὐχ ὡρισμένην δὲ τὰ περὶ τὴν διάθεσιν, τὴν ἐνέργειαν δηλαδὴ, ἢ τὸ πάθος. Τὰ δ' εὐκτικὰ τῶν ῥημάτων οὐ πάντως καὶ εὐχὴν περιέχει, ἀλλὰ τὰ μὲν τοῖς ἐπιζευκτικοῖς τῶν συνδέσμων ἐπιπλεκόμενα, ἀντὶ ὑποτακτικῶν κεῖται, ὡς ἐν τῇ ὑποτακτικῇ εἴρηται. οἷον, παρεγένετο ἵνα θεῷτο. τὰ δὲ μετὰ τοῦ δυνητικοῦ ἂν, σημασίαν ἔχει μέλλοντος, ἢ ἐνεστῶτος, ἀντὶ ὁριστικῶν κείμενα. τῶν δὲ καθ' ἑαυτὰ, τὰ μὲν, παρῳχημένου, τὰ δὲ εὐχῆς ὄντα παραστατικὰ, μέλλοντος ὡς εἴρηται. τοῦ μὲν προτέρου, ἐπεὶ ἔλθοι ὁ δεῖνα, ἀντὶ τοῦ ἦλθε. καὶ, ὡς δὲ λαλήσοι, ἀντὶ τοῦ ἐλάλησε. τοῦ δὲ δευτέρου, μὴ σύγε τοιούτου κριτοῦ τύχοις. Τὰ δὲ τοῦ λόγου εἴδη, πέντε ὡς προείρηται τυγχάνοντα, ἐν ταῖς τρισὶν ἐγκλίσεσι πάντα συμπεριείληπται, ἐν μὲν τῇ ὁριστικῇ, τό, τε ἀποφαντικὸν καὶ τὸ πυσματικὸν, ἐν δὲ τῇ προστακτικῇ, τὸ προστακτικόν τε καὶ κλητι-

κλητικὸν, καὶ τὸ εὐκτικὸν ἐν τῇ εὐκτικῇ. κἀντεῦθεν δῆλον τρεῖς εἶναι τὰς κυρίως ἐγκλίσεις, ὁριστικὴν, προστακτικὴν, καὶ εὐκτικήν. δι' ὧν αἱ διαθέσεις εἴτ' οὖν αἱ δυνάμεις τῆς ψυχῆς δηλοῦσθαι πεφύκασι. τὴν δ' ὑποτακτικὴν μὴ εἶναι κυρίως ἔγκλισιν. καθ' ὅ, τι οὔτέ τις δύναμις τῆς ψυχῆς δι' αὐτῆς δηλοῦται, ὡς εἰρήσεται, οὔτέ τινι τῶν εἰρημένων τοῦ λόγου εἰδῶν ὑπάγεται, λόγον αὐτοτελῆ μὴ συνιστῶσα καθ' ἑαυτήν. καὶ γὰρ καὶ ὁ Θεόφραστος διττὴν εἶναι λέγων, τὴν τοῦ λόγου σχέσιν, ἥκιστα ὑποτακτικῆς ἐμνημόνευσε. τὴν μὲν γὰρ εἶναί φησι, πρὸς τοὺς ἀκροωμένους, τὴν δὲ, πρὸς τὰ πράγματα. καὶ περὶ μὲν τὴν πρὸς τοὺς ἀκροατὰς σχέσιν καταγίνεσθαι τόν τε κατ' ἐπερώτησιν καὶ τὸν κλητικὸν καὶ τὸν κατὰ πρόσταξιν καὶ τὸν εὐκτικὸν, τῆς δὲ πρὸς τὰ πράγματα τοῦ λόγου σχέσεως τὸν ὁριστικὸν λόγον προηγουμένως ἐπιμελεῖσθαι.

Ὑποτακτική.

Τὴν δὲ ὑποτακτικὴν ἔνιοι καὶ διστακτικὴν καλοῦσιν. ὅτι οὐκ ἔστι χωρὶς συνδέσμου διστακτικοῦ τοῦ ἐάν.

Ἑξῆς ῥητέον καὶ περὶ τῆς ὑποτακτικῆς ἐγκλίσεως. ἣν καὶ διστακτικὴν εἰσὶν οἵ τινες ἀποφαίνονται, ἀπὸ τοῦ ἐξ αὐτῆς δηλουμένου τὴν θέσιν τοῦ ὀνόματος εἰληφυῖαν. καθάπερ καὶ αἱ προκατειλεγμέναι ταὐτὸ ἀνεδέξαντο, ἀπὸ τοῦ ἰδίᾳ ἑκάστης σημαινομένου παρονομασθεῖσαι, ὡς εἴρηται. Ἀλλ' ἀντίκειται πρὸς τοῦτο τὸ μὴ αὐτὰ τὰ ῥήματα εἶναι, τὰ ἐχόμενα τῆς ἐννοίας τοῦ δισταγμοῦ, τὸν δὲ παρακείμενον συνδεσμὸν αἴτιον γίγνεσθαι τῆς διστακτικῆς ἐννοίας. Ἀπαντῶσι δὲ καὶ πρὸς τοῦτο, λέγοντες, ὡς εἴπερ ἀπὸ τῆς τῶν συνδέσμων δυνάμεως ἔοικε τὰ προκείμενα ῥήματα ἀνάγεσθαι εἰς τὴν προκειμένην διστακτικὴν ἔννοιαν, οὐδὲν ἄρα κωλύει κατ' αὐτοὺς καὶ τὰς λοιπὰς ἐγκλίσεις μετατίθεσθαι τῆς ἰδίας ἐγκλίσεως, ἀναδεξαμένας καὶ αὐτὰς τὴν ἐκ τῶν προκειμένων συνδέσμων δύναμιν. καὶ οὕτως οὐκ ἂν εἴη ὁριστικὸν τὸ εἰ ἔγραψα, εἰ ἐφιλολόγησα, διστακτικὸν δὲ, προσλαβὸν τὸν εἰ, ὑποθετικόν. οὐδὲ ταὐτὸν ἂν εἴη τὸ, φιλολογήσω, τῷ, ἤτοι φιλολογήσω, ἢ πορεύσομαι εἰς περίπατον. τῇ γὰρ τῶν διαζευκτικῶν μορίων παραθέσει ἐκστήσεταί πως τῆς ὁριστικῆς ἐννοίας. κατὰ ταὐτὰ δὴ οὐδὲ τὸ, γράψαιμι ἂν, εὐκτικὸν ἂν εἴη. οὐ γὰρ εὐχὴν ἐπαγγέλλεται, ὁρισμὸν δὲ τοῦ ἐσομένου πράγματος. καὶ ταύτῃ ὁριστικὸν ἂν εἴη μᾶλλον. σχεδόν τε ὑπὸ τὸν αὐτὸν δισταγμὸν πίπτει τὸ, εἰ περιπατεῖ, κινεῖται, τῷ ἐὰν περιπατῇ, κινηθήσεται. οὐδεὶς μέν τοι τὸ, εἰ περιπατεῖ, διστακτικὸν εἰρήκει, ἢ τὸ, γράψαιμι ἂν, ὁριστικὸν, ἀλλὰ τοῦτο μὲν, εὐκτικὸν, ὁριστικὸν δ' ἐκεῖνο. Ἀλλὰ πρὸς ταύτην τὴν ἀντίρρησιν ἐνὸν ἀπαντῆσαι, ὡς αἱ μὲν ἄλλαι ἐγκλίσεις ἐκτὸς οὖσαι τῶν συνδέσμων, τὸ ἐξ αὐτῶν δηλούμενον ἰδίᾳ καὶ καθ' ἑαυτὰς ἀνεδέξαντο. ἐξ οὗ καὶ τὴν θέσιν ἔσχον τοῦ ὀνόματος. πρῶπτον γὰρ ὡς τὸ, γράψαιμι, καθ' ἑαυτὸ εὐχῆς ἐστι παραστατικὸν, καὶ τὸ, περιπατῶ, ὁρισμοῦ. ὅθεν εἰ ταύταις προσγένηταί τις συνδεσμικὴ σύνταξις, οὐκ ἐκ ταύτης ἕξουσι τὴν θέσιν τοῦ ὀνόματος, ἐκ δὲ τῆς φύσει αὐταῖς ἐγκειμένης ἐγκλίσεως, ἤδη ταύτην προειληφυῖαι. ὃ δὴ δῆλον καὶ ἀπ' αὐτῶν τῶν συνδέσμων. καθ' ὃ καὶ αὐτοὶ ἐκ τῆς ἰδίας παρεμφάσεως καὶ δυνάμεως τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέξαντο, διστακτικοὶ, καλούμενοι, δυνητικοὶ, συναπτικοὶ, καὶ οἱ ὑπόλοιποι ἄλλοι. ὅθεν κἀπὶ τοῦ προκειμένου εἰ καὶ τῇ καλουμένῃ διστακτικῇ ἐγκλίσει, παρείπετο τὸ ἐκτὸς συνδέσμου σημαίνειν τι, κἂν πάντως καὶ αὐτὴ τὴν ἐκ τοῦ

τὴν ἐκ τοῦ οἰκείου σημαινομένου ὀνομασίαν ἀνεδέξατο. νυνὶ δὲ οὐδέποτε ἐμόνασεν ἐκτὸς συνδέσμου. καὶ οὕτω καθ' ἑαυτὴν νοουμένη, ἄδηλον ἔσχε τὸ σημαινόμενον. καὶ ἐπειδὴ οὐκ ἔσχε τι ἰδίᾳ δηλούμενον, διὰ τοῦτο παρεδέξατο ἐκ δυνάμεως τοῦ παρακειμένου συνδέσμου τὴν τοῦ ὀνόματος θέσιν, ὅ ἐστι τὴν ὀνομασίαν.

Οὐ καθόλου δὲ τὸ τοιοῦτο. καὶ οἱ καλούμενοι γὰρ ἀποτελεστικοὶ σύνδεσμοι, ἐπὶ τὴν αὐτὴν σύνταξιν φέρονται. σωκράτης περιπατεῖ, ἵνα ὑγιαίνῃ.

Ἦν δ' ἂν ὁ λόγος οὗτος πάνυ εὐπαράδεκτος, εἰ τὰ καλούμενα ὑποτακτικὰ ῥήματα, συντάξει μιᾷ ἐκέχρητο συνδεσμικῇ τῇ προκειμένῃ, φημὶ δὴ τῇ τοῦ ἐὰν, διστακτικοῦ. νυνὶ δὲ καὶ οἱ καλούμενοι ἀποτελεστικοὶ, ἐπὶ τὴν αὐτὴν τοῖς διστακτικοῖς σύνταξιν, εἴτ' οὖν ἔγκλισιν φέρονται. ἡνίκα φαμὲν, τρύφων περιπατεῖ, ἵνα ὑγιαίνῃ. ἢ δὸς τὸν χάρτην, ἵνα γράψω. καὶ οὕτω μᾶλλον ἀποτελεστικὰ ὀφείλει καλεῖσθαι τὰ ῥήματα, ἢ διστακτικά. ἀλλ' οὐδ' ἀποτελεστικά. ἰδοὺ γὰρ καὶ κατ' αἰτιολογικὴν σύνταξιν αὐτὰ ταῦτα λαμβάνεται. ἡνίκα φαμὲν, ἵνα ἀναγνῶ, ἐτιμήθην. ἵνα ἀναστῶ, ἠνιάθη τρύφων. δι' ὅ, τι δηλ: ἀνέγνων, καὶ δι' ὅ, τι ἀνέστην.

Ὅτι μὲν οὖν οὐ συνίσταται. εἰ μὴ ὑποταγῇ τοῖς προκειμένοις συνδέσμοις, προσαγορεύεται ὑποτακτικὴ,

Ἀδυνατοῦσα τοίνυν ἀφ' ἑνὸς τοῦ τῶν προκειμένων συνδέσμων παρονομασθῆναι, ὡς πᾶσιν ὑποτεταγμένη, ὑγιῶς ἄρα ἀπὸ ἑνὸς τοῦ παρακολουθοῦντος τῇ προκειμένῃ ἐγκλίσει, τοῦ μὴ συνίστασθαι αὐτὴν λέγω, εἰ μὴ ὑποταγείη τοῖς προκειμένοις συνδέσμοις, εἴρηται ὑποτακτικὴ, παραιτησαμένη τὰς διαφόρους ὀνομασίας. ὅτι δὲ καὶ ἐπ' ἄλλων μερῶν τοῦ λόγου μερικὴ διαφωνία αἰτία γίγνεται τοῦ εἰς κοινὸν ὄνομα ἀνάγεσθαι τὴν θέσιν, σαφές ἐστι καὶ ἐξ αὐτῶν τῶν συνδέσμων, ὡς ἐν τοῖς παραπληρωματικοῖς αὐτῶν παραστήσομεν.

Φέρεται δὲ ἡ τοιαύτη μετὰ τοῦ ἐὰν, καὶ τῶν ἴσων ἐπὶ μέλλοντα, ἢ ἐνεστῶτα. οἷον, ἐὰν φιλολογῶ, παρέσται δίων. ἐὰν ἀναγινώσκω, παραγίνεται θέων,

Ἡ δὴ προκειμένη ὑποτακτικὴ ἔγκλισις μετὰ τοῦ ἐὰν, καὶ τῶν ἰσοδυναμούντων αὐτῷ, εἴτ' οὖν ὁμοειδῶν συνδέσμων, φημὶ δὴ τῶν διστακτικῶν εἰ, εἴπερ, ἢν, ἂν, ᾇ εἰ ἐπὶ μέλλοντα φέρεται, ἢ ἐνεστῶτα τῆς ἐφ' ἣν ἀποδίδοται ἔγκλισιν. ἐὰν φιλολογῶ, παραγενήσεται δίων. ἐὰν ἀναγινώσκω, παραγίγνεται τρύφων. ἀκατάλληλον γὰρ τὸ ἐν παρῳχημένῳ. καθ' ὅ, τι γενησομένης διαθέσεως διστάγμον τὰ τοιαῦτα σημαίνει. καὶ ἀσύστατον φαίνει, ἐὰν περιπατῶ, ἀπῆλθον εἰς ἀγορὰν, ἀπελεύσομαι δὲ, ἢ ἀπέρχομαι. τοῦ ἐνεστῶτος πάλιν ἐν πλάτει θεωρουμένου, ὡς συνέχειν καὶ τὸ ἐσόμενον, ὡς ἐπιγενησόμενον τῇ ἀμφισβητουμένῃ διαθέσει. ἐὰν περιπατῶ, ἀπέρχομαι. ὅ ἐστι μετὰ τὸν περίπατον. ὅθεν οὐδὲ τὸ, ἐὰν περιπατῇ, ἀπήλλακται τῆς ποδάγρας, ἢ ὑγίανεν. ἔρρωται, ἀλλ' ἐπὶ τῶν τοιούτων ὁ εἰ, ἀντὶ τοῦ ἐὰν λαμβάνεται. εἰ περιεπάτησεν, ἀπήλλακται. εἰ περιπατεῖ, ἀπαλλάττεται. εἰ περιπατήσει, ἀπαλλαγήσεται. οὐδὲ γὰρ ἐὰν περιπατῇ, πάντως καὶ ἀπήλλακται, ἀλλ' ἤδη

ἀλλ᾽ ἤδη ἀπαλλάσσεται. ὅθεν σημειώδες χρυσοστόμου ὁμιλ. κα, πρὸς κορ. α. τὸ, εἰδὲ δὲ καὶ ἐγὼ δῶ, σὺ δι᾽ ἐσώθης. εἰδ᾽ ἂν ἡ ἐκκλησία παράσχῃ, σὺ τὰ ἁμαρτήματα ἐξήλειψας τὰ σά. καὶ τῆς ἐν Καρθαγ. σωσόδε καὶ πί. τὸ ἐὰν ἤρεσε.

Ὡσαύτως δὲ καὶ μὴ τοῦ ἵνα. ἵνα φιλολογήσω, παρέσαι, ἢ πάρεσι δίων.

Ὁμοίως καὶ οὗ ἵνα, ἀποτελεσικῶς λαμβανόμενος, ἐμοὶ αἰτιολογικῶς. ταύτῃ δὲ ἐπὶ μόνου παρῳχήμενον. ἐπὶ μέλλοντα καὶ αὐτὸς, ἢ συνέσωτα φέρεται. ἵνα φολολογήσω, παραγενήσεται τρύφων. ἔτι καὶ, παραγίνεται.

Εἰ γὰρ μὴν συνταξις παρῳχημένα ἐγγένηται, ὁ σιώδεσμος καλείσθω αἰτιολογικός. ἵνα φιλολογήσω, παρεγένετο δίων.

Εἰ δὲ ἐγγένοιτο παρῳχημένῃ συνταξις τῇ ὑποπτικῇ, δυνατὸν οὗ ἵνα, αἰτιωδῶς μᾶλλον ἀκούεσθαι. ἵνα φιλολογήσω, παρεγένετο ξύφων, οἰκειότερον καὶ τὸ παρελυθὸς συνοχμένης τῆς φιλολογήσεως. ἐν ἴσῳ γάρ ἐστι τῷ, διότι, ἢ ἐπειδὴ ἐφιλολόγησα. ὡσανεὶ τῆς φιλολογήσεως αἰτίας γενομένης τῆς ἐκείνου παρουσίας, ποιεῖται καὶ Πλουτάρχου ἐν τῷ περὶ παίδων ἀγωγ. τὸ, τὸν γὰρ Φιλαδέλφου γήμαντος τὴν ἀδελφὴν Ἀρσινόην, Σωτάδης εἰπὼν, εἰς ὀχεῖον ξυμαλίνην τὸ κόντον ὠθεῖς, ἐν δεσμωτηρίῳ πολὺς κατεσάπη χρόνος. ἵνα δὲ γέλωτα παράσχῃ τοῖς ἄλλοις, αὐτὸς πολὺν χρόνον ἔκλαυσε. τὸ γὰρ ἵνα, ἐν ταύθα, ἀντὶ τοῦ ἕνεκα, τὸ δὲ ὅθεν ἡ κατ᾽ ἐνέργειαν κίνησις, δηλοῖ, φημὶ δὴ τὸ τοῦ κλαυθμοῦ ποιητικὸν αἴτιον. καὶ Χρύσ. ἐν τῷ περὶ ἱερωσύνης α, λόγῳ. τοσούτους καὶ τηλικούτους ἀφέντες ἄνδρας, μειρακίοις ἐντυχεῖν καὶ γρῦλλοις ἔτι ταῖς τὰ βία μειλίναις ἐγκαλινδουμένοις, ἵνα χρόνον βραχὺν τὰς ὀφρῦς συναγάγωσι, καὶ φαιὰ περιβάλωνται, καὶ κατηφείαν ὑποκρίνωνται, ἐξαίφνης εἰς τοσαύτην ἦγαγον τιμὴν, ὅσην οὐδ᾽ ὄναρ λήψεσθαι προσεδόκησαν. καὶ ταῦθα οὗ ἵνα, αἰτιολογικῶς, καὶ ἀποτελεσικῶς εἴληπται, ἐπὶ παρῳχημένου φερόμενος τὸν ἦγαγον. ἦγαγον γάρ φησιν, αὐτοὺς διὰ τοῦτο εἰς τιμὴν τῆς ἐπισκοπῆς τιμῶ. (λέγει δὲ περὶ τῶν ἑαυτὸν καὶ τὸν ὁμόφρονος οἱ σελευκείας βασιλεῖς, ὡς ἀπὸ προσώπου τῶν κατηγόρων.) δι᾽ ὅ, τι σωφρονοῦντας τὰς ὀφρῦς, καὶ φαιὰ περιεβάλοντο, καὶ ἐπειδὴ κατήφειαν ὑπεκρίνωντο. καὶ ἐν τῇ πρὸς Τιμ. Θ:β, ἐπιστολῇ τοῦ Παύλου, ὁμιλ:β. τί τὸν τελώνου χεῖρον, εἰπέμοι; ἀληθὲς ἦν ὅτι καὶ τελώνης ἦν, καὶ μυρίων συνοχὸς κακῶν. καὶ μόνον ἵνα εἴπῃ ὁ Φαρισαῖος ὅτι οὐκ εἰμὶ, ὡς οὗτος ὁ τελώνης, πάντα ἀπώλεσε. καὶ ἐν τῇ εἰς τὸν ρ, ψαλμ: ἑρμή: ὁ μὲν Φινεὲς ἵνα μίαν ἀνέλῃ πόρνην, δύο ἐμίμησε παρὰ τῷ Θῷ. καὶ τῷ περὶ παρθ. οἱ δὲ παῖδες ἐκεῖνοι οἱ περὶ τὸν βηθλεὲμ παίζοντες, ἵνα πρὸς τὸν Ἐλισαῖον τοῦτο μόνον εἴπωσιν, ἀνάβαινε φαλακρέ, ἵνα παρώξυναν τὸν Θν, ὡς ἅμα τῷ λόγῳ τούτῳ ἄρκτους αὐτοὺς ἐπαφῆναι τῷ πλήθει. καὶ ἐν τῷ εἰς τὰ Σεραφὶμ. τίς τοῦ τελώνου γέγονεν ἁμαρτωλότερος; ἀλλ᾽ ἵνα μόνον εἴπῃ, ὁ Θς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, κατῆλθεν ὑπὲρ τὸν φαρισαῖον δεδικαιωμένος. καὶ ἐν τῇ κατὰ Ματθ. ὁμιλ. μθ. καὶ ὁμοῦ (παράσιτος) ἵνα τι εἴπῃ ἀσεῖον, ἐμπλησθεὶς, ἀπῆλθε. τῇ ὁμιλ: η, τῆς α, πρὸς κορ. θ: καὶ διὰ τοῦ προφήτου δέ φησιν ὁ Θς, δι᾽ ἁμαρτίαν βραχύτι ἐλύπησα αὐτόν. καὶ εἶδον ὅτι ἐλυπήθη καὶ ἐπορεύθη συγνὸς, τῇ ἰασάμην τὰς ὁδὸς

ὁδὸς αὐτοῦ. ἦσα. 57. τί τῆς φιλανίας ταύτης ἴσον; ἵνα ςυγνάσῃ μόνον φησὶν, ἀφῆκα τὰ ἁμαρτήματα. καὶ Ἰώ. κφ'. ή, Ἀβραὰμ ὁ πὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν. κἀν τῇ β', τῶν παραλειπομένων, κφ'. λδ'. ἀνθ' ὧν ἐγκατέλιπόν με, καὶ ἔθυσαν θεοῖς ἀλλοτρίοις, ἵνα παροργίσωσίμε ἐν πᾶσι τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἐξεκαύθη ὀθυμός μου ἐν τῷ τόπῳ τούτῳ. Τοιοῦτο καὶ τὸ ἐν τῇ παρακλητικῇ κατὰ τὸν α'. ἦχ. τῇ δ', πρωῒ ἐν τῇ ή, ᾠδ'. ψαλλόμενον, ἵνα σε παραπικραίνων ἄφρων δῆμος, ὡς ὑπέλαβεν, ἐκ γῆς ἐξάρῃ, ἄτεκνος γεγένημαι. οὐκ ἀπέοικε δὲ τούτων, οἶμαι, καὶ τὸ ἀποςολικὸν ἐκεῖνο, νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. οἶδα μὲν γὰρ τὸν ἵνα ἐν ταῦθα ἐκβατικῶς εἰλημμένον, οὐθὲν ὅμως τὸ ἀπεμφαῖνον, εἰ καὶ αἰτιῳδῶς ληφθείη. οἷον, δι' ὅ, τι ἐπλεόνασε τὸ παράπτωμα, διὰ τοῦτο παρεισῆλθε νόμος, τὸν πλεονασμὸν κολάζων τοῦ παραπτώματος. ἐν γὰρ τῇ πρὸς γαλ'τ. κφ'. γ'. ὁ νόμος φησὶ, τῶν παραβάσεων χάριν προσετέθη, ἵνα δηλαδὴ χαλινοῦ δίκην κωλύῃ ἐντολῶν τινων γοῦν εἰ καὶ μὴ πασῶν τὴν παράβασιν. ταὐτὸν ὂν εἰπεῖν, τὸν κατὰ τὸ παράπτωμα πλεονασμόν. κἀν τῇ α', δὲ πρὸς κορινθ'. κφ'. ε', καὶ οὐχὶ μᾶλλον ἐπενθήσατε, ἵνα ἐξαρθῇ ἐκ μέσου ὑμῶν ὁ τὸ ἔργον τοῦτο ποιήσας; τὸ ἵνα ὁ μέγας βασίλειος ἐν συγ', ἐρωτ', τῶν κατ' ἐπιτομὴν ὅρων αἰτιῳδῶς εἰληφὼς φαίνεται. εἰπὼν γὰρ, φυλασσέσθω δὲ ἐπὶ πᾶσι (τοῖς διὰ τὴν τῆς ἐκκλησίας παρακοὴν εἰς ἐθνικοῦ καὶ τελώνου τάξιν μεθιςαμένοις.) τὸ ὑπὸ τοῦ Ἀποςόλου εἰρημένον, διὰ τί οὐ μᾶλλον ἐπενθήσατε κτ'. ἐπιφέρει, χρὴ γὰρ τὴν μακροθυμίαν καὶ τὴν εὐσπλαγχνίαν ἐπιφέρεσθαι τῇ ἀποτομίᾳ. ὅπερ σαφέςερον ἐδήλωσεν ἐν τῇ πρὸς κανονικὴν ἐπιςολῇ, εἰπὼν, δεῖ δὲ καὶ πενθεῖν ἐπ' αὐτῷ, (τῷ μετὰ α', καὶ β', νουθεσίαν μὴ διορθουμένῳ τὸ ἐλάττωμα αὐτοῦ, καὶ διὰ τοῦτο ἐκκοπτομένῳ.) ὡς μέλους ἐκ τοῦ σώματος ἐκκοπέντος. ὡς εἰ ἔλεγε, δι' ὅ, τι ἐξεκόπη τῆς ὁλομελείας τοῦ σώματος. κἀν τῷ περὶ κρίματος Θεοῦ προοιμίῳ, ὅταν φησὶν, ἴδω Μωϋσέα ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας οὐδενὸς ἕνεκεν ἑτέρου, ἢ ἵνα μόνον εἴπῃ τῷ λαῷ γογγύζοντι δι' ἀπορίαν ὕδατος, μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάξωμεν ὑμῖν ὕδωρ; τούτου μόνου ἕνεκα εὐθὺς ἀπειλὴν δεχόμενον, εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ εἰσελεύσεσθαι. κἀν τῷ, ὑμῖν δέδοται, γνῶναι τὰ μυςήρια τῆς βασιλείας τοῦ Θεοῦ, ἐκείνοις δὲ, ἐν παραβολαῖς, ἵνα βλέποντες, μὴ βλέπωσι. κτ': αἰτιολογικόν φημι κἀν ταῦθα τὸ ὅτι. ὡσαύτως καὶ τὸ μὴ, ἀρνήσεως οὐκ ἀπαγορεύσεως ἔχει χώραν. καὶ δῆλον ἐξ ὧν ὁ ἱερὸς Ματθαῖος ἀντὶ μὲν τοῦ ἵνα, τῷ ὅτι, ἀντὶ δὲ τοῦ μὴ, τῷ οὐ, ἐχρήσατο, εἰσάγων τὸν Κύριον λέγοντα, διὰ τοῦτο αὐτοῖς ἐν παραβολαῖς λαλῶ, ὅτι βλέποντες, οὐ βλέπουσι, κτ'.

Τοῦτο δὲ

Ἡ τῆς ὑποτακτικῆς μετὰ τοῦ ἵνα πρὸς παρῳχημένον σύνταξις.

Καὶ ἀποτελεςικῶς ἔχει ἀκούεσθαι.

Ἐπὶ παρῳχημένου φησὶν, ὁ ἵνα, οὐ μόνον αἰτιολογικῶς ἀλλὰ καὶ ἀποτελεςικῶς δύναται πάλιν ἀκούεσθαι. ὡς ἐπὶ τοῦ προκειμένου, ἵνα φιλολογήσω, παρεγένετο τρύφων. εἰς γὰρ τὸ φιλολογῆσαί με παρεγένετο, κατὰ τὸ μέλλον ἐννοουμένης τῆς φιλολογήσεως. ἰδιαίτερον ὅμως ἐπὶ μέλλοντος τὸ ἀποτελεςικόν.

Ἐπὶ μέντοι τοῖς ἐσομένοις ἡ τοῦ αἰτιο-

αἰτιολογικοῦ σύνταξις οὐκ ἂν εἴη. ἐπὶ γὰρ γεγονόσι τὰ αἴτια ἐπιλέγεται. δι' ὃ καὶ καταλληλότερον τὸ αἰτιολογικὸν, ἐπιφερομένων τῶν παρῳχημένων. ἵνα διδάξῃ, παρεγένετο δίων, οὐ, παραγενήσεται. ἐπὶ μέντοι τοῦ ἀποτελεστικοῦ, παραγενήσεται.

Ἐπὶ οὖν τοῖς ἐσομένοις ὡς μήπω γεγονόσιν ἡ σύνταξις τοῦ αἰτιολογικοῦ οὐκ ἂν γένοιτο. ἐπὶ γὰρ γεγονόσι καὶ ἤδη τετελεσμένοις αἱ αἰτίαι ἐπιλέγονται, οὐκ ἐπὶ μέλλουσιν, ἢ καὶ ἔτι ἐνισταμένοις τοῖς ἀτελέσιν. εἴ γε τὸ ποιητικὸν ποιητοῦ ἐστι ποιητικὸν, ὅ ἐστι πεποιημένου καὶ γεγονότος, οὐ ποιηθησομένου. εἰ γάρτοι καὶ τοῦ ποιηθησομένου ποιητικὸν λέγεται τὸ ποιῆσον, ἀλλὰ δυνάμει ἑκάτερα. τὸ δὲ δυνάμει, εἴ τ' οὖν τὸ ποιῆσον καὶ ποιηθησόμενον, ἢ τοιαῦτα, μὴ ὄντα ἐστίν. ὄντα δὲ, τὰ ἐνεργείᾳ. κυρίως γοῦν ποιητικὸν τὸ πεποιηκὼς, ἢ ποιῆσαν, οὐ μὴν τὸ ποιοῦν, ἢ ποιῆσον. τὸ μὲν, ὡς μήπω ὂν, τὸ δὲ, ὡς ἀτελές. ὅθεν καταλληλότερος γίνεται ὁ αἰτιολογικὸς, ἐπιφερομένων αὐτῷ τῶν παρῳχημένων. ἵνα ὑβρίσω θέωνα, οὐ φήσομεν, ἀγανακτήσει δίων, ἠγανάκτησε δέ. δι' ὅ, τι γὰρ ὕβρισα. Ἐπί γε μὴν τοῦ ἀποτελεστικοῦ ἔνεστι φάναι καὶ ἐπὶ μέλλοντος, ἵνα ὑβρίσω θέωνα, παρέσται τρύφων. Ἐφ' οἷς σημειωτέον, ὅτι διὰ μὲν τοῦ αἰτιολογικοῦ, τὸ ποιητικὸν αἴτιον δηλοῦν βούλεται, εἰ καὶ λανθάνει πολλοὺς, διὰ δὲ τοῦ ἀποτελεστικοῦ, τὸ οὗ ἕνεκα, τοῦτ' ἐστὶ τὸ τελικόν. ὡς ἐδήλωσε καὶ ἐνοῖς ἔλεγε, τόπος τοῦ τελικοῦ ἀπαρεμφάτου, ἔνθα τὸ ἵνα ἁρμόττει. ἀποτέλεσμα γάρ ἐστι τὸ ἐκ τοῦ αἰτίου προερχόμενον, εἴ τ' οὖν τὸ αἰτιατόν. ὡς αἰτιατὸν μὲν, ὁ καρπὸς, αἴτιον δὲ, τὸ φυτόν. ἡ γοῦν ὑποτακτικὴ φερομένη μετὰ τοῦ ἵνα, ἐπὶ μὲν παρῳχημένου, τὸ ποιητικὸν

αἰτιολογεῖν βούλεται, ἔστι δ' οὗ καὶ τὸ τελικὸν, ἐπὶ δὲ μέλλοντα, ἢ ἐνεστῶτα, τὸ τελικὸν μόνον. ἢ καὶ οὕτως, ἀποτελεσματικῶς μὲν, ἐπιμέλλοντα, ἢ ἐνεστῶτα, ἔτι καὶ ἐπὶ παρῳχημένον. αἰτιολογικῶς δὲ, ἐπὶ μόνον παρῳχημένον. ὁ γὰρ ἵνα, ἑκάτερα αἰτιολογεῖ, τό, τε ποιητικὸν καὶ τὸ τελικόν. τὸ μὲν, ἐπὶ μόνου παρῳχημένου, σπάνιον δὲ τοῦτο, τὸ δὲ, καὶ ἐπὶ ἐνεστῶτος καὶ μέλλοντος, τὸ οὗ ἕνεκα. ὁ δὲ λέγων τὸν ἵνα, αἰτίαν μὲν δηλοῦν ἐν τῷ, κοπιῶ, ἵνα σωθῶ, ἀποτελεσμὸν δὲ, ἐν τῷ, ἐταράχθην, ἵνα λαλήσω. τἀναντία λέγει. τέλος μὲν γὰρ τοῦ κόπου, τὸ σῴζεσθαι. τῆς δὲ ταραχῆς ποιητικὸν, τὸ λαλῆσαι. εἰ γάρ τοι καὶ ἀλλήλων εἰσὶν αἴτια, οἷον, τὸ πονεῖν τῆς εὐεξίας, καὶ αὕτη τοῦ πονεῖν, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν, ὡς τέλος, τὸ δὲ πονεῖν, ὡς ἀρχὴ κινήσεως. Ἀριστοτ'λ: μεταφ: δ'. ὁ μέντοι Σύγγελος ἐν τοῖς αἰτιολογικοῖς τῶν συνδέσμων ἔλαθε τὰ τῆς εὐεξίας, ὅ ἐστι τὰ τοῦ τέλους ἀρχὴν κινήσεως τιθεῖς. παρὰ δὲ τῷ θείῳ Χρυσοστ'. ὁμλ'. θ', τῆς πρὸς κορ: β', κφ'. δ'. εὕρηται καὶ ἐπὶ τοῖς ἐσομένοις αἰτιολογικῶς συντεταγμένος ὁ ἵνα. μὴ τοίνυν, ἵνα μίαν ῥοπὴν τρυφήσωμεν, (τοῦτο γὰρ ὁ παρὼν βίος.) ἀπείρων αἰώνων ἐπισπασώμεθα κόλασιν, ἀλλὰ ῥοπὴν πονήσωμεν, ἵνα διηνεκῶς στεφανωθῶμεν. Τὰ γὰρ αὐθυπότακτα κατὰ τὰ ὡς εἴρηται προστακτικὰ, μέλλοντος καὶ αὐτὰ δύναμιν ἔχει. φησὶν οὖν μὴ ἐπισπασώμεθα κόλασιν ἄπειρον, ἐκ τοῦ μίαν ῥοπὴν τρυφῆσαι. ἔστι δὲ συνεστραμμένον. εἴη γὰρ ἂν οὕτως ἐξομαλιζόμενον, μὴ ῥοπὴν τρυφήσωμεν, ἵνα μὴ ἐπισπασώμεθα ἄπειρον κόλασιν, ἀλλὰ κτ'. ὁμλ'. δὲ λς', τοῦ κατὰ ματθ'. καὶ ἐπὶ τοῖς ἐνισταμένοις, ἵνα σὺ μὴ βαδίσῃς μικρὸν, ἐκεῖνος λιμῷ διαφθείρεται. καὶ βασίλ: ὅρῳ σλγ', τῶν κατ' ἐπιτομὴν, ὃς (πέτρος) ἵνα ἐν ἑνὶ μόνῳ δόξῃ παρακούειν, ἐπὶ τούτῳ μόνῳ ἀκούει,

ἐὰν μὴ νίψωσε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ. Τοῦ δ' ἀποτελεστικοῦ τὸ μὲν ἐστι καθ' αὑτὸ, ὡς ἐπὶ τοῦ, ἵνα μάθῃς, διδάσκω, ἢ ἐδίδασκον, ἢ καὶ ἔτι διδάξω. τὸ δὲ, κατὰ συμβεβηκὸς, ὡς τὸ, σοὶ ἥμαρτον, ἵνα δικαιωθῇς. καὶ ἄλλα μυρία παρὰ τῇ θείᾳ γραφῇ. οἷόν τι καὶ τὸ, ἵνα μὴ ἐργάζωμαι, παρεγένου. οὐ γὰρ δὴ διὰ τοῦτο παρεγένου, οὕτω δέ μοι ἀπέβη, ἀσχολουμένῳ περὶ τὴν σὴν ὑποδοχήν. ἔνθεντοι καὶ ἐκβατικὸν λέγεται τὸ τοιοῦτο ἵνα. οἷον καὶ τὸ ἐν λακίζοις τοῦ μεγάλου βασιλείου, ἀπὸ τῶν ὑψηλῶν ἐπὶ τὰ κάτω ἦλθεν ὁ ἄνος, ἵνα τοῖς λῃσταῖς περιπέσῃ, τῆς ἀσφαλείας ἐξελθὼν τῆς κατὰ Ἱερουσαλὴμ, ἵνα εὐάλωτος γένηται τοῖς κατὰ τὴν ἐρημίαν λῃσταῖς. καὶ Χρυσόστμ: τὸ ἵνα φησὶν, οὐ πανταχοῦ αἰτιολογίας ἐστὶν, ἀλλὰ πολλαχοῦ καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως. οὕτω καὶ ὁ Χ'ς αὐτὸ τίθησιν, ὅταν λέγῃ, εἰς κρίμα ἐγὼ ἦλθον εἰς τὸν κόσμον τοῦτον, ἵνα οἱ μὴ βλέποντες, βλέπωσι. καὶ οἱ βλέποντες, τυφλοὶ γένωνται. οὕτω καὶ αὐτὸς ὁ παῦλος, ὅταν περὶ τοῦ νόμου διαλεγόμενος, γράφῃ. νόμος δὲ παρεισῆλθεν, ἵνα πλεονάσῃ τὸ παράπτωμα. ἀλλ' οὔτε ὁ νόμος διὰ τοῦτο ἐτέθη, ἵνα αὐξηθῇ τὰ ἁμαρτήματα τῶν Ἰουδαίων, τοῦτο δὲ ἐξέβη. οὐδ' ὁ Χ'ς διὰ τοῦτο ἦλθεν, ἵνα οἱ βλέποντες, τυφλοὶ γένωνται, ἀλλὰ διὰ τὸ ἐναντίον. συνέβη δὲ τοῦτο. οὕτως οὖν κἀν τῷ, δεῖ δὲ καὶ αἱρέσεις ἐν ὑμῖν εἶναι, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται. οὐ δὲ γὰρ διὰ τοῦτο ἐγένοντο αἱρέσεις, ἵνα οἱ δόκιμοι φανεροὶ γένωνται, ἀλλὰ τῶν αἱρέσεων τούτων γενομένων, τοῦτο συνέβη.

Ὡς δὲ πρὸς τὸ μέλλον, ἢ ἐνεστὼς τὸ ὑποτακτικὸν, οὕτω καὶ τὸ εὐκτικὸν ἐπὶ παρεληλυθότος. οἷον, παρεγένετο δίων, ἵνα διδάσκοιμι, ἢ διδάξαιμι.

Ἡ μὲν ὑποτακτικὴ ἐπὶ μέλλοντα, ἢ ἐνεστῶτα ἀποτελεστικῶς ἐφέρετο, ἡ δ' εὐκτικὴ τοὐναντίον, ἐπὶ παρῳχημένον ἀποτελεστικῶς. ἐπὶ δὲ μέλλοντα οὐκ ἂν ἐνεχθείη ὅλως ἡ εὐκτική. τὸ γὰρ ἐπὶ μέλλοντα ἀποτελεσματικὸν ἔφθη δηλώσασα ἐπὶ τὸν παρῳχήμενον, λείπεται ἄρα δηλοῦν ἐπὶ τὸν μέλλοντα τὸ αἰτιολογικόν. ἀλλὰ γὰρ τοῦ αἰτιολογικοῦ ἡ σύνταξις ἐπὶ τοῖς ἐσομένοις οὐκ ἂν εἴη, ὡς εἴρηται. Θουκδ'. ἡ, καὶ ὑπερβάλλων ἐμεγάλυνε τὴν ἑαυτοῦ παρὰ τῷ τισαφέρνει δύναμιν, ἵνα οἵ τε οἴκοι φοβοῖντο αὐτὸν, καὶ αἱ ξυνωμοσίαι διαλυθεῖεν, καὶ οἱ ἐν τῇ σάμῳ, τιμιώτερόν τε αὐτὸν ἄγοιεν, καὶ αὐτοὶ ἐπὶ πλέον θαρσεῖεν, οἵ τε πολέμιοι τῷ τισαφέρνει ὡς μάλιστα διαβάλλοιντο, καὶ τῶν ὑπαρχουσῶν ἐλπίδων ἐκπίπτοιεν. ἐνοῖς ἅπαντα τὰ εὐκτικὰ πρὸς τὸ ἐμεγάλυνεν ἀποτείνεται ἀποτελεστικῶς. ἐπὶ παρῳχημένον γάρ. ἰστέον δὲ, ὡς τάξειτε καὶ χρόνῳ τὸ μὲν ἕνεκάτου, τοῦ οὗ ἕνεκά ἐστι πρότερον. οἷον, τὸ περιπατεῖν, τοῦ ὑγιαίνειν. ὕστερον δὲ, τὸ οὗ ἕνεκα, τοῦ ἕνεκάτου. τὸ δὲ χρόνῳ ὕστερον, μέλλει ὡς πρὸς τὸ καθ' ὁ, τιοῦν μέρος τοῦ χρόνου λαμβανόμενον πρότερον. φαμὲν γὰρ, δίων οὐ μόνον παραγενήσεται, ἀλλ' ἔτι καὶ, παραγίγνεται, πρὸς δὲ, καὶ παρεγένετο, ἵνα διδάσκῃ. τὸ τοίνυν οὗ ἕνεκα τοῦ μὲν ἐνεστηκότος καὶ μέλλοντος ἕνεκάτου, ἡ ὑποτακτικὴ αἰτιολογεῖ, φερομένη ἐπὶ χρόνον τοῦτο μὲν, μέλλοντα, ἐκεῖνο δὲ, ἐνεστῶτα. τὸ δὲ τοῦ παρήκοντος, ἡ εὐκτικὴ μᾶλλον, ἐπὶ τὸν φιλευκτικὸν παρήκοντα φερομένη. ἡ γὰρ ὑποτακτικὴ ἐπὶ τοῦ παρῳχημένου, τὸ ποιητικὸν μᾶλλον, εἰ καὶ μὴ κατὰ πολλήν τινα χρῆσιν, ἢ τὸ τελικὸν αἰτιολογεῖν ἀποκεκλήρωται, ὡς τῆς εὐκτικῆς τούτῳ ἀπονεμηθείσης, διὰ τὸ τοῦ παρελη-

παρεληλυθότος φιλευκτικόν. Ἔνθα δ' ἐπὶ παρῳχημένου, δέον ἤτοι γενέσθαί τι ἕνεκά του, τὸ δὲ, οὐκ ἐγένετο, ἢ μὴ γενέσθαι, τὸ δὲ, ἐγένετο, ἐπικρίναντες δὲ ἡμεῖς, ἀξιοῦμεν ὅτι ἔδει τὸ δέον γενέσθαι, τότε πρὸς ὁριστικὸν παρατατικὸν τὸν ἵνα συντάττοντες, διὰ τῆς ὁριστικῆς αἰτιολογοῦμεν τὸ τελικὸν αἴτιον τοῦ κατὰ τὸν παρῳχημένον αἰτιατοῦ. οἷον, δανειστής τις τὸν ἴδιον ὀφειλέτην, δέον λαβεῖν παρ' αὐτοῦ ἐνέχυρον ἀπαιτήσεως ἔγγραφον, ὁ δὲ, μὴ προειληφὼς, ἀπῄτει τὸ δανείον. φαμὲν οὖν ἐπ' αὐτοῦ, ἐχρῆν αὐτὸν λαβεῖν συγγραφὴν, ἵν' εἶχεν ἀπαιτεῖν κατὰ νόμους. κἀκτοῦ ἐναντίου, τῶν πολιτῶν τις, δέον μὴ παρανομεῖν, ὁ δὲ, κακουργήσας, δίκας εἰσεπράττετο. φαμὲν οὖν καὶ ἐπ' αὐτοῦ, ἐχρῆν αὐτὸν μὴ κακουργῆσαι, ἵνα μὴ εἶχε δίκας εἰσπράττεσθαι, ἢ ἵνα μὴ εἰσεπράττετο δίκας. περὶ τούτου κἀν τοῖς αἰτιολογικοῖς τῶν συνδέσμων ὑπομνηθήσεται τῷ Θεοδώρῳ.

Βούλεται γὰρ καθόλου τι τὸ τοιοῦτο εἶναι,

Τὸ τὴν μὲν ὑποτακτικὴν ἐπὶ μέλλοντα, ἢ ἐνεστῶτα, τὴν δ' εὐκτικὴν ἐπὶ παρῳχημένου, ἀποτελεστικῶς λαμβάνεσθαι. οὐ μόνον δὲ τὸ τοιοῦτο, ἀλλὰ καὶ πᾶν ἁπλῶς τῶν ἐν τῷ δ', βιβλίῳ.

Κἂν μὴ ἀεὶ οὕτω χρωμένους ὁρῶμεν τοὺς λέγοντας.

Τὸ γὰρ ὀρθὸν, ὡς εἴρηται, οὐ μόνον παρὰ τοῖς ἐνδοξοτέροις τῶν λογίων, ἀλλὰ καὶ τῶν ὡς ἐπὶ τὸ πολὺ, οὐ τῶν ὡς ἐπέλαττον λεγομένων. Ἀκόλουθόν ἐστι θέσθαι καὶ περὶ τῆς συντάξεως τῶν ὑποτακτικῶν ἀπὸ ποίας ἐγκλίσεως οἱ παρατιθέμενοι σύνδεσμοι, ἀφιστῶσι τὰ προκείμενα ῥήματα. ἔφαμεν γὰρ ἐν τοῖς προκειμένοις, τὰ τοιαῦτα ῥήματα καθ' ἑαυτὰ μὴ συνίστασθαι χωρὶς τῶν συνδέσμων. Εἴποι δ' ἄν τις, ὡς ἐπειδὴ οὐ συνίσταται χωρὶς τῶν συνδέσμων, σύνθετα ἄρ' ἂν εἴη παρὰ τοῦτο τὰ σχήματα. πᾶν γὰρ μέρος λόγου ἐν παραθέσει συνδέσμου ὂν, τὸ αὐτὸ πάντως καὶ κατ' ἰδίαν ῥητόν ἐστι, ταῦτα δὲ, οὐκ εἰσὶ κατ' ἰδίαν ῥητὰ, ὡς καθ' ἑαυτὰ μὴ συνιστάμενα, οὐκ ἄρα ἐν παραθέσει, ἐν δὲ συνθέσει ἔχει τὸν σύνδεσμον. τὰ δὲ συντιθέμενα, οὐκ εἰσὶ κατ' ἰδίαν ῥητὰ διαλυόμενα, ὥς γ' ἐστὶν εὑρεῖν μυρία σχήματα μεταπεποιημένα κατὰ σύνθεσιν, ὧν τὸ διαλυόμενον, κατ' ἰδίαν οὐκ ἔστι ῥητόν. παρὰ τὸ σέβομαι ἐγένετο εὐσεβής. καὶ οὐ ῥητὸν κατ' ἰδίαν τὸ σεβής. ὁμοίως καὶ τὸ πρωτοπαγὴς παρὰ τὸ ἐπάγη. καὶ οὐ ῥητὸν τὸ παγής. γείνω, ἀγεννής. οὐ δὲ τὸ γεννής. καὶ τὰ προκείμενα ἄρα, δι' ὅ, τι σύνθετα, διὰ τοῦτο οὐκ εἰσὶ κατ' ἰδίαν ῥητά. ἔστιν ἄρα αἴτιον ἡ σύνθεσις τοῦ μὴ συνίστασθαι καθ' ἑαυτά. Πρὸς ὃ ῥητέον τὸ πρῶτον, ὡς οὐκ ἐν τῷ καθόλου τὰ συντιθέμενα, μὴ εἶναι κατ' ἰδίαν ῥητά. τὰ γὰρ ῥήματα, οὐ μὴν ἀλλὰ καὶ τῶν ἐπιθέτων πτωτικῶν οὐκ ὀλίγα συντιθέμενα ταῖς προθέσεσιν, οὐχ ἧττον μέντοι καὶ καθ' ἑαυτὰ τυγχάνει ῥητά. περιφέρω. διαγράφω. σύνοικος. ὁμόδουλος. κατάσκοπος. εὐόρατον. δύσληπτον. οὐδὴ οὖν ἔν ἐστιν ἐν συνθέσει καὶ τὸ ἐὰν λάβῃς, ἵνα μὴ τὸ λάβῃς, μὴ ὂν κατ' ἰδίαν ῥητὸν, καταναγκάζηται κατ' ἰδίαν λέγεσθαι κατὰ τὰ προειλημμένα σύνθετα. τὸ δὲ μὴ ἡνῶσθαι τοὺς συνδέσμους τοῖς ῥήμασιν εἰς ἓν μέρος λόγου, δῆλον ἐντεῦθεν. τῶν γὰρ συνθέτων μεταξὺ οὐδὲν ἕτερον παρεμπίπτει. τῶν δὲ προκειμένων μεταξὺ μεσαζόμεναι λέξεις παρεμπίπτουσιν. ἐὰν σήμερον καὶ αὔριον ἀκούσῃς, ἀντιλήψῃ τῶν λεγομένων. ἀλλ' ἐπειδὴ καὶ ἐν συνθέτοις τὸ τοιοῦτον ἐγγίνεται

γίνεται ἀδείᾳ ποιητικῇ, ὡς ἐν τῷ, λέων κατὰ ταῦρον ἐδῃδώς. νήπιοι, οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο ἤσθιον. ὀδ. α. ἐκεῖνό γε μὴν ὁμόλογόν ἐστιν, ὡς τὸ ἵνα δράμῃς, ὄφρα πεποίθῃς, καὶ τὰ τοιαῦτα, τὴν ἐν ἑκατέρῳ μέρει τοῦ λόγου τάσιν ἀναδέχεται. τὸ δὲ τοιοῦτο παραθέσεως, οὐ συνθέσεως ἴδιον. πρὸς οἷς, οὐ δὲ συντίθενται οἱ σύνδεσμοι. οὐχ ὅτι ῥήμασιν, ἀλλ' οὐδ' ἑτέρῳ τῳ μέρει καθ' ἓν μέρος λόγου, ὅτι μὴ μόνον αὐτοὶ ἑαυτοῖς. οἵτε συντιθέμενοι, μόνοι εἰσὶ συναπτικοί τε καὶ παρασυναπτικοί. εἰδήπερ, ἐπειδήπερ. καὶ τοσαῦτα μὲν ἀπόχρη εἰς δεῖξιν τοῦ μὴ εἶναι σύνθετα τὰ προκείμενα ῥήματα, εἰ καὶ μὴ καθ' ἑαυτὰ τυγχάνει ῥητά. ἀλλ' ἐπανιτέον ἐπὶ τὸ προκείμενον. Ἔστιν οὖν ἡ πρώτη ἐκφορὰ τῶν ὑποτακτικῶν ὁριστική. ἣν τῶν συνδέσμων οἱ ταύτῃ παρατιθέμενοι, τῶν τῆς ὁριστικῆς φωνῆς ἐξιστῶσιν ἰδιωμάτων. δι' ὃ καὶ προσεγένετο ταῖς ἄλλαις καὶ ἡ ὑποτακτικὴ καλουμένη ἔγκλισις. ἐπεί τοι γε εἰ ἐφυλάσσετο τὸ εἰ ἔλαβες, ἐν τῷ ἐὰν λάβῃς, συνέμεινεν ἂν καὶ ἡ αὐτὴ ὀνομασία τῆς ἐγκλίσεως, εἰ καὶ μὴ ὁρισμὸν σημαίνει, καθὰ καὶ ἐν τοῖς προκειμένοις παρεστήσαμεν. ὡς καὶ αὐτὸ τὸ ἔγραψα ἄν, καί τοι μὴ ἐμφανίζον ὁρισμὸν τοῦ πράγματος, καλεῖται ὅμως ὁριστικὸν, διὰ τὸ συνημμένον σχῆμα τῆς ὁριστικῆς ἐγκλίσεως. οὐ γὰρ ἐξέστη τοῦ ἰδίου σχηματισμοῦ. ἅμα οὖν τῷ τὴν ὑποτακτικὴν φωνὴν ἀποστῆναι τοῦ ὁρισμοῦ ἐν τῷ, ἐὰν λάβῃς, ἐὰν δράμῃς, συναπέστη καὶ ἡ ὀνομασία τῆς ὁριστικῆς ἐγκλίσεως. προφανῶς γὰρ αἱ συνοῦσαι ἐν βραχέσι φωνήεσι κατὰ τὴν ὁριστικὴν ἔγκλισιν φωναὶ, διέστησαν εἰς μείζονα χρόνον κατὰ τὴν ὑποτακτικὴν, τῶν ὑπολοίπων συλλαβῶν συμμενουσῶν. εἰς μαῖ, λήγει τὸ ὁριστικὸν, λέγομαι, ἀλλὰ καὶ τὸ ἐὰν λέγωμαι. ἐπεὶ ποία οἰκειότης τοῦ λέγωμαι πρὸς εὐκτικὸν τὸ λεγοίμην; ἢ τὸ ἀσύστατον προστακτικὸν, β', ὂν προσώπου; ἢ τὸ ἀπαρέμφατον λέγεσθαι, μηδενὸς ὂν προσώπου; ὁμοφωνεῖ δὲ τῷ ὁριστικῷ καὶ κατὰ τὸ β'. ὅτι λέγῃ, ἐὰν λέγῃ, τῶν κατὰ τὰς λοιπὰς ἐγκλίσεις δευτέρων, οἷον, τοῦ λέγοιο, ἢ λέγου, μηδεμίαν οἰκειότητα ἐχόντων πρὸς τὴν ὑποτακτικὴν φωνήν. ὧν καὶ τὰ τρίτα πληθυντικὰ λέγοιεν, ἢ λεγέτωσαν ποιεῖ. τό γε μὴν ὁριστικὸν λέγουσι. καὶ τούτῳ πάλιν συμφέρεται τὸ λέγωσιν. ἐὰν λέγωσι, κατὰ μόνην τροπὴν τῆς οὐ, διφθόγγου εἰς ω. ὁμοφωνεῖ δὲ ἁπάντοτε κατὰ τὴν β', συζυγίαν τῶν περισσωμένων, ἐὰν βοῶμαι, ἐὰν γελῶμαι. ἐπί τε πρώτων προσώπων τῶν κατ' ἐνεστῶτα, λέγω δὴ κατ' ἐνεργητικὴν κατάληξιν. ἐὰν λέγω, ὅτι λέγω. ἐπί τε δευτέρων προσώπων ἁπάντοτε παθητικῶν. ὅτι λέγῃ σύ, ἐὰν λέγῃ σύ. ὅτι νοῇ σύ, ἐὰν νοῇ σύ. περισσὸν ἡγοῦμαι τὸν λόγον ἐπὶ πλέον προάγειν. προφανὴς γάρ. ἄλλως τ' ἐδείχθη ἡ ὁριστικὴ ἔγκλισις κατάρχουσα τῶν ἐγκλίσεων, ὡς ἂν ἐμφανεστάτη οὖσα, καὶ πλείοσι τομαῖς χρόνων προσκεχρημένη, καὶ ταῖς συνούσαις τοῖς χρόνοις φωναῖς. ὅθεν εἰ καὶ τὰ εὐκτικὰ καὶ τὰ προστακτικὰ κανόνα καὶ μρᾶ ἔχει τὴν ὁριστικὴν ἔγκλισιν, περισσὸν ἂν εἴη ζητεῖν, εἰ καὶ τὰ ὑποτακτικὰ ἐξ αὐτῆς μετείληπται. Ὀφειλόμενόν ἐστι καὶ τῇ συντάξει τῶν ἐπιζευκτικῶν ἐπιστῆσαι, τί δήποτε τὰ τέλη παρῃτήσαντο τῶν παρῳχημένων φωνῶν; οὐ γὰρ ἐφικτὴ ἡ σύνταξις τοῦ ἐὰν ἔλεγον. ἐὰν πέποιθα, καὶ τῶν παραπλησίων. καί τοι τῶν παραθέσεων, ὡς ἔφημεν, μὴ μεταποιουσῶν τὰ τέλη τῶν οἷς παράκεινται. Φαίνεται δ' ὅτι τῆς τοιαύτης καταλληλίας ἐστὶν αἴτιον, οὐχ ἡ τῶν ἐπιζευκτικῶν παράθεσις. οὐδεμία γὰρ παράθεσις, ᾗ τοιαύτη, τὸ τοῦ ᾧ παράκειται μεταποιεῖ τέλος. ἀλλὰ τὸ μάχεσθαι τοὺς παρῳχημένους χρόνους τῇ ἐκ τῶν

συνδέσμων

συνδέσμων δυνάμει. δισταγμὸν γὰρ παριστῶσι πραγμάτων. ὃς οὐ τῶν παρῳχηκότων, ἀλλὰ τῶν ὡς ἐσομένων, καὶ ἔτι τῶν ὡς τελεσθησομένων. οὓς καὶ ἀποτελεσματικοὺς συνέβη διὰ τοῦτο καλεῖσθαι. πόθεν οὖν τὸ γεγονὸς τῷ ὡς ἐσομένῳ συνοισθήσεται, μάχιμον ὂν αὐτῷ; ἔνθεν οὖν ἀσύστατον τὸ λέγειν, ἐὰν ἔλαβον. ἵνα ἀνέγνων. καὶ ἔτι ἐπὶ τῶν ὁμοειδῶν συνδέσμων. συστατὸν δὲ τὸ ἐὰν, ἢ ἵνα ἀναγνῶ, καὶ τὰ ὅμοια. τέλει γὰρ ἐχρήσατο τὰ ὑποτακτικὰ ῥήματα, μὴ δυναμένῳ χρόνον παρῳχημένον σημῆναι κατὰ τὸ ά, πρόσωπον. ὧν τὰ β', καὶ τὰ γ', ὀφείλοντα ἰσοχρονεῖν τῷ ά, ἤτοι τὸ αὐτὸ ῶ, πάλιν παραδέξεται, ἢ τὸ ἰσόχρονον τούτῳ, συγγραφομένου τοῦ ῑ. καθ' ὃ ἡ ἐν ά, γενομένη κατάληξις τοῦ ῶ, τὴν ἐν β', καὶ τρίτοις ἐκφορὰν ἔχει μετὰ φωνήεντος, συνόντος τοῦ ῑ, ὥσπερ ἐν τοῖς ὁριστικοῖς, λέγω, λέγεις, λέγει, οὕτω κἀν τοῖς ὑποτακτικοῖς. ἐὰν λέγω, λέγῃς, λέγῃ. καθὼς ἐντελέστερον ἀποδείκνυται ἐν τῷ περὶ ὀρθογραφίας. φαίνεται δ' ὅτι ὁ αἰτιολογικὸς ἵνα, σύνδεσμος τῇ πρὸς τὸν ἀποτελεσματικὸν ὁμοφωνίᾳ συνήρπασε καὶ τὰ τῆς αὐτῆς συντάξεως ἐν τῷ, ἵνα φιλολογήσω. κατὰ ταὐτὸν γὰρ ἐννοεῖται ὅ, τε ἀποτελεσματικὸς καὶ ὁ αἰτιολογικός. καί τοι οἱ μὲν αἰτιολογικοὶ παρῳχημένοις χρόνοις συντάσσονται. διὸ, τι ἔγραψα. διὸ, τι ἐνόησα. ταὐτὸν γὰρ τὸ, ἵνα φιλολογήσω, κατὰ τὸ αἰτιολογικὸν τῷ, ὡς εἴρηται, ὅτι ἐφιλολόγησα. οἱ δὲ ἀποτελεστικοὶ κατὰ τὸ μέλλον. συλλαμβάνεται δὲ τῷ λόγῳ καὶ ἡ ἐπιρρηματικὴ τοῦ ἵνα ὁμοφωνία. τοῦτό γε μὴν τοῖς ὁριστικοῖς συντασσόμενον, τοπικοῦ ἐπιρρήματος σημασίαν ἐνδύκνυται. ἵνα τέτραφεν ἡ δ' ἐγένοντο. ἀντὶ τοῦ ἔνθα, ὅπου. Χρὴ μέντοι γινώσκειν, ὡς αἱ γινόμεναι παραθέσεις, ἐξ ἐνεστώτων εἰσὶ καὶ παρῳχημένων, οὐ μὴν ἐκ μελλόντων, τοιοῦτό τι τῆς συντάξεως ἐπαγγελλομένης, ἐν μὲν τῷ ἐκ παρῳχημένου, ἐὰν μάθῳ, εἰ ἀνύσαιμι τὸ μαθεῖν. ἐὰν δράμω, εἰ ἀνύσαιμι τὸ δραμεῖν, ἔν γε μὴν τῷ ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ, ἐὰν τρέχω, εἰ ἐν παρατάσει γένομαι τοῦ τρέχειν. καὶ ἔνθεν ἀνέφικτος τοῖς προκειμένοις ἡ τοῦ μέλλοντος σύνταξις. αὐτοὶ γὰρ οἱ σύνδεσμοι τὸ ὡς ἐσόμενον σημαίνουσιν, ἤτοι εἰς συντέλειαν, τοῖς ἐκ παρῳχημένου, ἢ εἰς παράτασιν, τοῖς ἐξ ἐνεστῶτος καὶ παρατατικοῦ παρατιθέμενοι. πῶς οὖν οὐ γελοῖοι, οἵ, τε ἀφορισάμενοι, ὡς δωριεῖς οὐ περισπῶσι τοὺς ὑποτακτικοὺς μέλλοντας, καὶ οἱ ἐπιζητήσαντες κατὰ τί οὐ περισπῶσιν; ὁ γὰρ λόγος αὐτῶν ἐξ ἀσυστάτου συνέστηκε λήμματος. ἐχρῆν γὰρ αὐτοὺς ἐκεῖνο ζητεῖν, διὰ τί οὐκ εἰσὶν ὅλως μέλλοντες ἐν τοῖς ὑποτακτικοῖς; καὶ μὴ τὰ μὴ ὄντα ὑποτίθεσθαι. ἢν δὲ τὸ δελεάσαν τὴν τούτων ἄγνοιαν, ἡ γενομένη τῶν ὑποτακτικῶν χρόνων πρὸς τοὺς ὁριστικοὺς μέλλοντας ὁμοφωνία, ἐκ τοῦ εἰς ᾱ, λήγοντος ἀορίστου μετειλημμένων, ἔχουσα οὕτως. ὁ προσγενόμενος ἑτέρας ἐγκλίσεως χρόνος ἐν τοῖς ὁριστικοῖς, ἅμα τῷ μεταστῆσαι τὴν ὁριστικὴν ἔγκλισιν, καὶ τὸν σχηματισμὸν τῆς φωνῆς περιγράφεται. παρὰ γὰρ τὸ ἔλεξα, εὐκτικὸν μὲν γίνεται, τὸ λέξαιμι, προστακτικὸν δὲ, τὸ λέξον. ἀπαρέμφατον, δὲ τὸ λέξαι. καὶ δὴ οὖν κἀν τῇ ὑποτακτικῇ ἐγκλίσει ταὐτὸ παρέπεται, μεταποιουμένου τοῦ τέλους εἰς ῶ. καθ' ὅ, τι καὶ ἐπὶ τῶν ἄλλων παρῳχημένων ταὐτὸ συνέβαινε, τὸ μεταποιεῖσθαι τὰ τέλη διὰ τοὺς παρακειμένους συνδέσμους, μαχομένους ὡς εἴρηται τῶν χρόνων τοῖς παρῳχημένοις. ἔφαγον, ἐὰν φάγω. ἔδραμον, ἐὰν δράμω. οὕτω καὶ, ἔλεξα, ἐὰν λέξω. ὅπερ γίνεται ὅμοιον ὁριστικῷ μέλλοντι τῷ λέξω. ὅτι γὰρ ἡ σύνταξις οὐχὶ τοῦ μέλλοντός ἐστι, τοῦ δὲ ἀορίστου, σαφὲς ἐκ τῆς προκειμένης συντάξεως. ἧς εἰ μὴ μεταλάβοιεν ἐντελέστερον, οἱ τὸν λόγον παρακρούοντες, δυσπειθέ-

δυσπειθέστερον ἀναστρέφουσιν. ἵν' οὖν εὐσύνοπτος ἅπασιν ἡ σύνταξις γένηται, καὶ τοὺς ἀπὸ τῆς φωνῆς συντέχοντας τῇ προειρημένῃ συντάξει παραθήσομαι λόγους, Πρῶτον παραλαβὼν ὑπὲρ οὗ ἐστι ζήτησις, μαρτύριον, φημὶ δὴ τοὺς δωριεῖς, καθ' ὅλης τῆς ἐγκλίσεως τὴν περισπωμένην φυλάττοντας ἐν τῷ μέλλοντι, οὐ μὴν ἐν ὑποτακτικοῖς. καθ' ὅ, τι μηδέν ἐστιν ὑποτακτικὸν μέλλοντος. Δεύτερον, καὶ τὸν ἀπὸ τῆς ἀτθίδος σχηματισμόν. οἱ κατὰ μὲν ὁριστικὸν μέλλοντα, φασὶ, λυριῶ, καὶ κομιῶ. κατὰ δὲ ἀόριστον, ἐλύρισα, ἐκόμισα. εἴπερ οὖν ἦσαν μέλλοντες κἀν τοῖς ὑποτακτικοῖς, τί οὐ φασι καὶ, ἐὰν λυριῶ, καὶ ἐὰν κομιῶ, σὺν δὲ σ̃, συνούσης καὶ τῆς βαρείας τοῦ ἀορίστου καὶ τῆς γραφῆς; Τρίτον, ἡ πέμπτη συζυγία κατὰ τὴν παρεδρεύουσαν τοῦτε εἰς τὸ ᾱ, λήγοντος ἀορίστου καὶ τοῦ μέλλοντος τῷ ἐναντίῳ χρῆται χρόνῳ. ὁ μὲν γὰρ αὐτῆς ἀόριστος, πάντως μακρὰν αἰτεῖ τὴν παραλήγουσαν, ὥστε καὶ ἐκ βραχείας τῆς κατὰ τὸν ἐνεστῶτα μακρὰν γίγνεσθαι, δέρω, ἔδειρα. νεμῶ, ἔνειμα. ὅγε μὴν μέλλων, βραχεῖαν. ὡς καὶ ἐκ τῆς κατὰ τὸν ἐνεστῶτα μακρᾶς βραχεῖαν γίγνεσθαι. κείρω, κερῶ. σπείρω, σπερῶ. φθείρω, φθερῶ. καὶ εἰ τοῦτο, πῶς οὐκ ἂν δοίημεν ἐν τοῖς ὑποτακτικοῖς, τὸ ἐὰν νείμω. ἐὰν δείρω, μόνου εἶναι ἀορίστου; ὅπουγε καὶ παρέλαβε τὸ ἀνεφικτότατον μὲν τοῦ μέλλοντος, λέγω δὴ τὴν μακρὰν, ἴδιον δὲ καὶ οἰκειότατον τοῦ εἰς ᾱ, λήγοντος ἀορίστου, τὸ μακρᾷ παραλήγεσθαι; Τέταρτον, οἱ ζητοῦντες, κατὰ τί οἱ ὑποτακτικοὶ μέλλοντες παρὰ δωριεῦσιν οὐ περισπῶνται, γελοῖόν τι πάσχουσιν, ὡσεὶ τῶν συνήθων ἐπιλελησμένοι φωνῶν. τῶν γὰρ κοινῶν πολὺ πρότερον τὸ τοιοῦτο μὴ ἀναδεδεγμένων, εὔηθες πάντῃ ζητεῖν, διὰ τί μὴ κατὰ δωριεῖς γίνεται; ὅπουγε οὐδὲ πρὸς τὸ κοινὸν τῆς διαλέκτου ἐστὶ φάναι, διὰ τί τὸ μὲν πλυνῶ, περισπᾶται, τὸ δὲ ἐὰν πλυνῶ, οὐκ ἔτι; προδήλου ὄντος, ἀορίστων εἶναι, οὐ μὴν μελλόντων. ἐν γὰρ τοῖς ὁριστικοῖς διὰ τῆς περισπωμένης ἐμφανιζόμενος ὁ μέλλων τῶν τῆς πέμπτης, εἰς ἀντιδιαστολὴν τοῦ ἐνεστῶτος, τὸ δέον τοῦ λόγου καθιστάνει. ἐν δὲ τοῖς ὑποτακτικοῖς πάλιν συνετονοῦτο τῷ ἀορίστῳ. καθ' ὅ, τι ἀορίστου, οὐ μέλλοντος. περιεσπᾶτο γὰρ ἂν, εἴπερ, κἀν τούτοις. κἂν τὰ τῆς συντάξεσεως λανθάνῃ ἐπὶ τοῦ στήσω καὶ ἔστησα καὶ ἐὰν στήσω. Πέμπτον, ὅτι τὸ δώσω καὶ θήσω, ἐὰν προσλάβῃ τινὰ τῶν ἐπιζευκτικῶν μορίων, ἀκατάλληλον λόγον ἀποτελεῖ. ὡς εἴτις φαίη, ἐὰν δώσω, ἐὰν θήσω. τότε γὰρ ῥήματι εἰς ῶ, λήγοντι συνάπτονται οἱ ἐπιζευκτικοὶ, ὁπότε καὶ τὰ τῶν ἀορίστων τέλη εἰς ῶ μέγα τρέπουσι, φυλάττοντα τὸ αὐτὸ ληκτικὸν τοῦ μέλοντος σύμφωνον, ἐν οἷς ἐστι. τοῦ δὲ δώσω καὶ θήσω μελλόντων ἐν τοῖς ὁριστικοῖς οὐκ ἦν ὁ ἔδωσα καὶ ὁ ἔθησα ἀόριστος διὰ τοῦ σ̃, γραφόμενος, ἵνα τὸ μεταπίπτον ᾱ, εἰς ῶ, τὸ δέον τοῦ καταλλήλου παραστήσῃ. ἔδωκα γὰρ, καὶ ἔθηκα. ὠλιγωρημένοι γὰρ ἐν τοῖς ὁριστικοῖς οἱ ἀόριστοι, τῆς πρώτης τῶν εἰς μι, εἰκότως καὶ μετὰ τὴν ὁριστικὴν ἔγκλισιν ἐσιγήθησαν. καὶ οὕτω μὴ ὄντων ἀορίστων, οὐδὲ τὰ τῆς ὑποτακτικῆς ἐγκλίσεως ἐγένετο. ὅθεν σημειῷδες Θουκδ'. ἐν ε', τὸ, τὸ μέντοι πάνακτον ἐδέοντο βοιωτοὺς, ὅπως παραδώσωσι λακεδαιμονίοις. κἀν τῇ ϛ', ὅπως μηδὲν ἐνδώσωμεν. ἀντὶ τοῦ παραδῶσι, καὶ ἐνδῶμεν. καὶ Θεόκρ. ἐν εἰδυλλ'. κζ', δειμαίνω δὲ, μήσε κακοτέρῳ ἀνέρι δώσῃ, ἀντὶ τοῦ δῷ. κἀν τῷ κατὰ Ἰώ. εὐαγγελίῳ κφ'. ιζ', ἵνα πᾶν ὃ ἔδωκας αὐτῷ, δώσῃ αὐτοῖς ζωὴν αἰώνιον. κἀν τῇ α', πρὸς κορθ'. κφ'. θ', ἵνα εὐαγγελιζόμενος, ἀδάπανον θήσω τὸ εὐαγγέλιον τοῦ Χῦ. καὶ βασίλειος.

τίλειος ἐν τῷ περὶ τοῦ δεῖν τὴν εὐχὴν προτιθέναι πάντων. ἐὰν γάρ τις χαυνότητι ἐκδώσῃ αὐτὸν ταῖς ἐπιθυμίαις, καὶ ἑαυτὸν προδώσῃ τοῖς ἐχθροῖς. Πρὸς οἷς, τῶν εἰς μὶ ληγόντων δεύτεροι ἀόριστοι μὲν εἰσι, μέλλοντες δ' οὐκ εἰσίν. οἷον, ἔδων, ἀπέδων. ἔθην, ἀφ' οὗ ἐθέμην. καὶ ἐπεὶ ἦσαν ἀόριστοι β', ἦν καὶ ὑποτακτικὰ κατ' αὐτῶν. ἐὰν θῶ. ἐὰν δῶ. δέδεικται ἄρα ὡς μελλόντων μὲν ὄντων, οὐ μὴν ἀορίστων, ἡ ὑποτακτικὴ ἔγκλισις ἀκατάλληλος, ἀορίστων δὲ ὄντων, οὐ μὴν μελλόντων, κατάλληλος καὶ ἡ ὑποτακτικὴ ἔκλισις. περιττὸν γὰρ ἡ τῶν μελλόντων ἐν τοῖς ὑποτακτικοῖς ἔκθεσις, τῇ τῶν ἐπιζευκτικῶν συνδέσμων δυνάμει ἀναπληρουμένη, ὡς εἴρηται, οἷα δισταγμὸν ἐσομένων παριστώντων πραγμάτων. Ὅτι Αὐθυπότακτα οὐ μόνον τὰ ὡς εἴρηται πρωτοπροσωποῦντα προστακτικὰ, ἀλλὰ καὶ ὧν βαρύτονον μὲν τὸ ῥῆμα, ὀξύτονος δὲ ἡ μετοχὴ, περισσώμενον δὲ τὸ ἀπαρέμφατον, καὶ ἁπλῶς ὅσα ἐκ βαρυτόνου ἀορίστου β', εἰς ὁμότονον ἐνεστῶτα ἀνατρέχει. οἷον, φαγὼν, φαγεῖν, ἔφαγον, φάγω. μαθὼν, μαθεῖν, ἔμαθον, μάθω. ἑλὼν, ἑλεῖν, ἕλον, ἕλω. καμὼν, καμεῖν, ἔκαμον, κάμω. σχὼν προθετικῶς, κατασχεῖν, κατέσχον, ἐπίσχω. καὶ τὰ τοιαῦτα. Ὁμοίως καὶ ὅσα ἐκ τοῦ εἰμί. πρόωνται. ἀφέωνται. μεθ' ὧν καὶ τὸ τράπωνται. πρίωνται. γένωνται. Ἀνυπότακτα δὲ, ὧν ὁ ἐνεργητικὸς α', ἀόριστος ἐν τοῖς ὁριστικοῖς ἐξέλιπε. καὶ ὅλως ὧν ὁ ἀόριστος οὐ φυλάττει τὸ ληκτικὸν τοῦ μέλλοντος σύμφωνον. τοιοῦτο δὲ τὸ ἔδωκα, ἔθηκα. ἀφῆκα. τὰ γὰρ ὑποτακτικὰ ἐξ ἀορίστου, ὡς εἴρηται, καὶ ἐνεστῶτος, οὐκ ἐκ μέλλοντος γίνεται. ὑποτακτικὰ ἄρα τοῦ ἐν τοῖς ὁριστικοῖς ἐκλελοιπότος ἀορίστου οὐ συνίσταται. Ἐν οἷς καὶ ὅσα ἀπὸ βαρυτόνου ἐνεστῶτος εἰς περισσώμενον κεκίνηται μέλλοντα. ἁμάρτω, ἁμαρτήσω. εὕρω, εὑρήσω. βούλω, βουλήσωμαι. Πρὸς οἷς καὶ τῶν μελλόντων οἱ εἰς ιῶ, ἀττικοί. ὑβριῶ, λυριῶ. οὐ γὰρ ἔχουσιν ἀόριστον καθαροκατάληκτον. Καὶ τῶν τῆς ς', συζυγίας μονοσυλλάβων τὰ τῷ ε, παραλήγοντα ἐπὶ β', καὶ γ', προσώπου ἀσυναίρετα μὲν, ὑποτάσσεται. ἱνα ῥέῃς. πλέῃς. χέῃς. κέηται. συνῃρημένα δ, ου'. ῥεῖ. πλεῖ. χεῖ. κεῖται. Καὶ τῶν εἰς ἀμετάβολον οἱ β', μέλλοντες. ἐὰν βαλεῖ. κερδανεῖ. φανεῖται. κερδανεῖται. καὶ μέσοι μέλλοντες, α', τε καὶ δεύτεροι. ὀφθήσομαι. τυπήσομαι.

Ἀπαρέμφατος.

Τὸ δὲ ἀπαρέμφατον ὄνομά ἐστι ῥήματος. καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ τοῦτο μὲν, ῥῆμα καλοῦσι, τὰ δ' ἄλλα πάντα, κατηγορήματα, ἢ συμβάματα.

Ὁ Ἀπολλ': ἐν κφ': ἡ, τοῦ α', βιβλίου μὴ συγκατατιθέμενος Τρύφωνι, ἀποφηναμένῳ τὰ ἀπαρέμφατα ἐνάρθρως μὲν προφερόμενα, ὀνόματα εἶναι ῥημάτων, ἀνάρθρως δὲ, ῥήματα, καὶ ταῖς τοιαύταις συντάξεσι μερίζοντι τὸ μὲν, ὡς ὀνοματικὸν, τὸ δὲ, ὡς ῥηματικὸν, πρόκειταί φησιν, ὁλόγος φυσικώτατος, ὃς οὐ παρὰ τὰς τῶν ἄρθρων ἐλλείψεις, ἢ παραθέσεις ἐξελέγξει, ὥστε τὰ μὲν, εἶναι ὀνόματα, τὰ δὲ, μή. ἅπαξ γὰρ ἐκεῖνό ἐστι διαλαβεῖν, ὡς πᾶν ἀπαρέμφατον ὄνομά ἐστι ῥήματος. εἴγε (ἀντὶ τοῦ καὶ γὰρ) καὶ οἱ ἀπὸ τῆς στοᾶς, αὐτὸ μὲν, καλοῦσι ῥῆμα, τὸ δὲ περιπατεῖ, ἢ γράφει, κατηγόρημα, ἢ σύμβαμα. καὶ ἔτι τὰς ἀπὸ τούτου ἐγκλίσεις. διὰ τοῦτο καὶ ὡς ἐπὶ γενικὸν ὄνομα τὸ ἀπαρέμφατον πᾶσα ἔγκλισις ὑποστρέφει, κτ'. καὶ ταῦτα μὲν, τὰ τοῦ Ἀπολλ'. ἐν οἷς μετὰ τοῦ Θεοδώρου τὸ ἀπαρέμφατον ἀποφαίνεται ὄνομα κοινὸν ὂν ῥήματος.

ὁ πολ-

ὃ πολούς τε ἄλλους καὶ αὐτὸν οἶμαι τὸν Τρύφωνα διέλαθεν. οὐ γὰρ πτωτικὸν ὄνομα λέγειν οὗτοί γε βούλονται τοῦ τυχόντος ῥήματος, ὡς ᾠήθη Τρύφων. ὡς ἐν τῷ, τῷ περιπατεῖν ἥδομαι. τοῦ περιπατεῖν προνοοῦμαι. τὸ περιπατεῖν ὑγιεινόν ἐστιν. ὡς καί τινες τῶν ἐφ' ἡμῶν παντάπασιν ἀποπλανηθέντες τῆς τοῦ Θεοδώρου ἐννοίας, ἐκλαμβάνουσιν. ἀλλὰ τῶν ἐξ αὐτοῦ κατ' εἶδος μεταληφθέντων ῥημάτων, τῶν ἐγκλίσεων λέγω. οἷον, τὸ τύπτειν τυχὸν ἀπαρέμφατον, ταὐτὸν εἰπεῖν ἡ τύψις, ὄνομά ἐστι κοινὸν τῶν τύπτω, τύπτε, τύπτοιμι, προσωπικῶν ῥημάτων. ὥσπερ καὶ τὸ καθόλου ζῷον, κοινὸν ὄνομά ἐστιν ἀνοῦ, ἵππου, βοὸς, καὶ ἁπλῶς τῶν κατ' εἶδός τε καὶ καθ' ἕκαστα ζῴων. τῶν γὰρ ἐγκλίσεων τὰ ὀνόματα αὐτὰ τὰ ἀπαρέμφατά εἰσί φησιν ὁ Ἀπολλώνιος, δι' αὐτῶν δηλούμενα τῶν ἀπαρεμφατων. διὸ κατ' ἐξαίρετον αὐτοῖς, οἷα ὀνόμασι δηλδὴ πρόσεστι καὶ ἡ τῶν ἄρθρων παράθεσις. ὥστε τὸ ἀπαρέμφατον, ὄνομά ἐστι ῥήματος οὐχὶ ἑτέρου τοῦ, ᾧ τυχὸν ἐκ πρώτου ὑπόκειται, ἢ ἐκ τρίτου, συντάσσεται, ἀλλὰ τοῦ ἐξ αὐτοῦ μεταληφθέντος εἰς διαφόρους ἐγκλίσεις. πᾶσα γὰρ ἔγκλισις ἐκ τοῦ ἀπαρεμφάτου μεταλαμβανομένη, εἴτ' οὖν συντιθεμένη δειχθήσεται. ἔνθεντοι καὶ κοινὸν ὄνομα, τοῦτ' ἔστι γενικὸν ἁπασῶν τῶν ἐγκλίσεων προσηγόρευται. ἐπεὶ γὰρ κατὰ Θεόδωρον τὸ ῥῆμα πρὸς τοῖς ἄλλοις ἐστὶ καὶ προσώπων διακριτικὸν, τὸ ἄρα ἀπαρέμφατον μὴ ὂν προσώπων διακριτικὸν, οὐκ ἔστι ῥῆμα. χρόνων δὲ ὂν προσσημαντικὸν, λείπεται κοινὸν εἶναι ὄνομα τοῦ κατὰ Θεόδωρον ῥήματος, τῶν ὡς εἴρηται ἐγκλίσεων, ταὐτὸν εἰπεῖν γενικὸν ῥῆμα, κατά τε Ἀπολλ': καὶ τοὺς στωϊκούς. οἱ καὶ αὐτοὶ τὴν διαφορὰν τοῦ ἀπαρεμφάτου πρὸς τὰς ἐγκλίσεις ἐμφῆναι βουλόμενοι, τὸ μὲν, ῥῆμα, τὰς δὲ, κατηγορήματα ἐκάλεσαν. Φασὶ δέ τινες τούτους μὴ ὡς συνηγοροῦντας, ἀλλ' ὡς ἀντιφθεγγομένους μὲν, λόγου δὲ μὴ ἀξιουμένους ᾧδε παραληφθῆναι. τὸ γὰρ ἀπαρέμφατον οἱ μὲν, ῥῆμα, ὁ δὲ, οὐ ῥῆμα, ὄνομα δὲ ἐκάλεσε ῥήματος. τὰ δ' αὖ παρὰ τοῦτο ὁ μὲν, ῥήματα, οἱ δὲ, οὐ ῥήματα, ἀλλὰ κατηγορήματα. οὐκ ἄρα ταὐτὰ τῷ Θεοδώρῳ ξυμφάσκουσι. ταῦτ' ἄρα καὶ τὸ, καὶ οἱ ἀπὸ τῆς στοᾶς δὲ, κτ', ἐν ἐπενθήκης μέρει ἀναγνωστέον φασὶν, οὕτωσὶν, εἰ καὶ οἱ ἀπὸ τῆς στοᾶς τοῦτο μὲν κτ'. ὡς παρὰ τῷ Ἀπολλ': κεῖται, ἐξ οὗ καὶ εἴληπται. ἵν' ᾖ λέγων, τὸ δὲ ἀπαρέμφατον, εἰ καὶ οἱ ἀπὸ τῆς στοᾶς ῥῆμα τοῦτο καλοῦσιν, ὄνομά γε μήν ἐστι ῥήματος, οὐ ῥῆμα. Πρὸς οὓς ῥητέον, ὡς οὐ δαμοῦ διαφωνούντων, ἀλλ' ἁπανταχοῦ τῶν συναινούντων οἷς μέμνηται ὁ Θεόδωρος. Ἀρίσταρχόν τε γὰρ ἐν ταῖς ἀντωνυμίαις καὶ ἑτέρους τοὺς μὲν, ἐν τοῖς ἄρθροις, τοὺς δὲ, ἐν ταῖς προθέσεσιν ὡς τ' αὐτὰ ἑαυτῷ βουλομένους παρειληφὼς φαίνεται. καὶ τοὺς ἀπὸ τῆς στοᾶς ἄρα, ὡς ἐν ταῖς προθέσεσιν, οὕτω κἀν ταῦθα ξυνηγόρους παρέλαβε. τὰ δὲ τοῦ κειμένου οὐχ οὕτω κεῖται παρ' Ἀπολλωνίῳ, εἰ καὶ οἱ ἀπὸ τῆς στοᾶς, ἀλλὰ, εἴ γε καὶ οἱ ἀπὸ τῆς στοᾶς. τὸ δ' εἴ γε, παρ' αὐτῷ τε καὶ τῷ Ἀριστ'λ: ταὐτὸ δύναται τῶν συνδέσμων τοῖς παρασυναπτικοῖς, ἐπεὶ, ἢ καὶ ἐπειδή. ἢ καὶ τῶν αἰτιολογικῶν τῷ γάρ. ἢ καὶ τῷ καθ' ὅ, τι, εἴτ' οὖν δι' ὅ, τι. καὶ ὁ παρὰ τῷ Θεοδώρῳ ἄρα δὲ, ἀντὶ τοῦ γὰρ εἴληπται, ὡς εἶναι λέγειν, καὶ γὰρ καὶ οἱ ἀπὸ τῆς στοᾶς, τοῦτο μὲν κτ'. ἵν' ὦσι καὶ οὗτοι τοῖς τοῦ Θεοδώρου ἐπιμαρτυροῦντες. κοινὸν γὰρ ὄνομα ῥήματος καὶ γενικὸν ῥῆμα ταὐτόν ἐστιν, ᾗ χρόνων ἑκάτερα προσσημαντικὰ τυγχάνει. κἀπεὶ τὸ ἀπαρέμφατον ἄλλο τί ἐστι παρὰ τὰς ἐγκλίσεις, καὶ αὖ αἱ ἐγκλίσεις ἄλλο τι παρὰ τὸ ἀπαρέμφατον. προσώπων γὰρ καὶ ἑπομένως ψυχικῆς διαθέσεως

σεως αἱ μὲν, εἰσὶ, τὸ δὲ, οὐκ ἔστι σημαντικόν. Ταῦτ' ἄρα, οἷς μὲν αἱ ἐγκλίσεις ῥήματα ἔφθησαν κληθεῖσαι, τούτοις τὸ ἀπαρέμφατον οὐκ ἔστι ῥῆμα. οἷς δὲ πάλιν τὸ ἀπαρέμφατον ἐκλήθη ῥῆμα, τούτοις αἱ ἐγκλίσεις οὐκ εἰσὶ ῥήματα, οὐδενὸς ἀλλ' ἢ τῆς κατ' εἶδος καὶ γένος διαφορᾶς τοῦ τε ἀπαρεμφάτου καὶ τῶν κυρίως ἐγκλίσεων δηλουμένης. Τῶν δὲ στωϊκῶν τὴν περὶ τῶν κατηγορουμένων ὅρων ἐν ταῖς προτάσεσι διάταξιν τοιαύτην εἶναι ὁ παρὰ τῷ Ἀμμωνίῳ Πορφύριος προσιστορεῖ. Τὸ κατηγορούμενον ἤτοι ὀνόματος κατηγορεῖται, τοῦτ' ἔστιν εὐθείας, ἢ πτώσεως ὀνόματος, τοῦτ' ἔστι πλαγίας. ὧν αὖθις ἑκάτερον ἤτοι τέλειόν ἐστιν, αὔταρκες δηλαδὴ μετὰ τοῦ ὑποκειμένου πρὸς γένεσιν ἀποφάνσεως, ἢ ἐλλειπὲς καὶ προσθήκης τινὸς πτώσεως ἐπιδεόμενον. Τὸ μὲν οὖν αὐτάρκως καὶ ἀνελλειπῶς, ὀνόματος μὲν κατηγορούμενον, κατηγόρημα, ἢ σύμβαμα παρ' αὐτοῖς ὀνομάζεσθαι, πτώσεως δὲ, παρασύμβαμα, ὡσανεὶ παρακείμενον τῷ συμβάματι, καὶ οἷον ὂν παρακατηγόρημα. ὡς ἔχει τὸ μεταμέλει. οἷον, σωκράτῃ μεταμέλει. τὸ μὲν γὰρ μεταμελεῖται, σύμβαμα εἶναι, ὡς ὀνόματος κατηγορούμενον, τὸ δὲ μεταμέλει, παρασύμβαμα, ὡς μὴ δυνάμενον μήτε ὀνόμασι συνταγῆναι, μήτε προσώπων, ἢ ἀριθμῶν μεταχηματισμὸν παραδέξασθαι κατὰ τὸ περιπατῶ, τεῖς, τεῖ. τὸ δὲ ἐλλειπῶς καὶ προσθήκης τινὸς δεόμενον πτώσεως, ὀνόματος μὲν κατηγορούμενον, ἔλαττον ἢ κατηγόρημα λέγεσθαι. ὡς τὸ, πλάτων φιλεῖ, ἢ διδάσκει, ἢ ἀντιλαμβάνεται. λείπει γὰρ τὸ, τίνα, ἢ τίνος. δίωνα τυχὸν, ἢ τρύφωνος. πτώσεως δὲ, ἔλαττον ἢ παρασύμβαμα. ὡς ἔχει τὸ, σωκράτῃ μέτεστιν, ἢ διαφέρει, ἢ προσήκει, ἢ δεῖ, ἢ μέλει. ἐν δεῖ γὰρ, τίνος αὐτῷ μέλει, ἀλκιβιάδους τυχόν. καὶ τοιαύτη μὲν ἡ τῶν στωϊκῶν περὶ τούτων παράδοσις, οἷς τοὺς τὴν Γραμματικὴν μετιόντας τέχνην παρακολουθεῖν φησιν ὁ Ἀμμώνιος. κατὰ δὲ Ἀπολλώνιον συνελόντες φαμὲν, τὸ μὲν, τῆς ὀρθῆς συνούσης, ἀπαρτίζον μὲν τὴν διάνοιαν, κατηγόρημα, ἢ σύμβαμα. ἡμιτελὲς δὲ ὂν, ἔλαττον κατηγόρημα. τὸ δὲ τῆς εὐθείας μὴ συνούσης, ἀπαρτίζον μὲν τὴν διάνοιαν, παρασύμβαμα. ἐλλεῖπον δὲ, ἧττον παρασύμβαμα. κατηγόρημα δὲ καὶ σύμβαμα οὐκ ἐκ παραλλήλου, ἀλλὰ τὸ μὲν, ἐπὶ τῶν κατ' οὐσίαν, τὸ δὲ, ἐπὶ τῶν κατὰ συμβεβηκὸς εἴρηται, τὸ σύμβαμα. εἰ καὶ ὁ Ἀπολλ'. συμβάματα εἰρῆσθαι λέγει τὰ παρὰ τὸ ἀπαρέμφατον ῥήματα, διὰ τὸ κατὰ τὰς συμβαινούσας φησὶ διαθέσεις σχηματίζεσθαι, ἐνεργητικῶς δηλ. παθητικῶς, καὶ ἔτι οὐδετέρως. εἴη γὰρ ἂν οὕτω καὶ τὸ ἀπαρέμφατον σύμβαμα. οὐδὲν ἧττον καὶ αὐτὸ κατὰ τὰς συμβαινούσας διαθέσεις μεταχηματιζόμενον. οὐκ ἔστι δὲ σύμβαμα. οὐκ ἄρα τὸ κατὰ τὰς συμβαινούσας διαθέσεις μεταχηματιζόμενόν ἐστι σύμβαμα. Κατηγορήματα δὲ, ἢ συμβάματα ἀκούει τὰ εἰδικὰ ῥήματα, διὰ τὸ καθ' ἑτέρων ἀεὶ λέγεσθαι, τοῦτ' ἔστι κατηγορεῖσθαι ἤτοι οὐσιῳδῶς, ἢ κατὰ συμβεβηκός. τὸ δ' ἀπαρέμφατον οὐδέποτε λέγεται καθ' ἑτέρων, οὐκ ἄρα κατηγόρημα οὐδὲ σύμβαμα. εἰδέποτε καὶ κατηγορούμενον γένηται, καθάπερ ἐν τῷ, τὸ περιπατεῖν ἐστι κινεῖσθαι, τὸ φιλολογεῖν ἐστιν ὠφελεῖσθαι, οὐδὲν μέντοι διαφέρει κατὰ τὸ κατηγορεῖσθαι τῶν ὁμολογουμένων ὀνομάτων κατὰ Ἀμμών. οἷον, τοῦ ζῷον. οἷον, ὁ ἄνθρωπός ἐστι ζῷον. οὐδὲ γὰρ ταῦτα δύναται δίχα τῆς τοῦ κοινοῦ συνδέσμου προσθήκης τῆς τοῦ ἐστὶν, ἢ λέγεται, ἢ μέλλω, ὡς ἐν τῷ μέλλω λέγειν, ἢ γράφειν, ἢ τοῦ τοιούτου, τέλειον ἐργάσασθαι λόγον. Στωϊκοὶ δὲ ἐκλήθησαν ἀπὸ τοῦ τόπου, ἐν ᾧ τὰς συνουσίας ἐποιοῦντο, τὴν ἐν ἀττικῇ λέγω ποικίλην στοάν. ἐν ᾗ ἱστόρηται πόλεμος

κατὰ μέν τινας, ὁ τρῳϊκὸς, καθ' ἑτέρους δὲ, ὁ τῶν περσῶν πρὸς τοὺς ἀθηναίους συστάς.

Διὸ καὶ ὡς ἐπὶ κοινὸν ὄνομα τὸ ἀπαρέμφατον πᾶσα ἀναλύεται ἔγκλισις. οἷον, περιπατεῖ θέων. ὁρίζομαι περιπατεῖν θέωνα.

Οὐκ ἄρα πτωτικὸν ὄνομα ἔλεγεν εἶναι τὸ ἀπαρέμφατον κατὰ τὴν τῶν πολλῶν ἐκδοχὴν, ἀλλὰ κοινὴν τῶν ἀπ' αὐτοῦ ἐγκλίσεων ὀνομασίαν, ἐπὶ πασῶν ἐκκεχυμένην τῶν ἐγκλίσεων. ὥσπερ καὶ ἡ τοῦ γένους ἐφ' ὧν κατηγορεῖται οἰκείων εἰδῶν. ὃ γοῦν ἐν τοῖς φθάσασιν ὄνομα ῥήματος εἶπε, κοινὸν ᾧδε καλεῖ. ὁ δὲ Ἀπολλ', ἐπὶ γενικόν φησι. κοινὸν δὲ ὄνομα εἴρηται τῶν ἐγκλίσεων τὸ ἀπαρέμφατον. καθ' ὅ, τι τὸ ἐξ αὐτοῦ παρυφιστάμενον πρᾶγμα, κοινῶς ἐνθεωρεῖται ταῖς ἐγκλίσεσι. πλὴν ἐν μὲν ταῖς ἐγκλίσεσιν, ὡς ἐν ὑποκειμένῳ, ἐν δὲ τῷ ἀπαρεμφάτῳ, καθ' αὑτό. Ἔνθεν τοι καὶ ἄρθρα παραλαμβάνει. ὥσπερ γὰρ ἀπὸ τῆς ἀφῃρημένης λευκότητος τὸ λευκὸν, ἢ λευκὸς, οὕτω καὶ ἀπὸ τοῦ τύπτειν τὸ τύπτω, τύπτε, τύπτοιμι. καὶ συνελόντι, ὡς ἔχει ἡ ποιότης πρὸς τὸ ποιὸν, καὶ τὸ γένος, ἢ καὶ ἡ ὕλη πρὸς τὰ εἴδη, καὶ τὸ καθόλου πρὸς τὰ μερικὰ, καὶ ὥστε ἀνεπτυγμένως φάναι, ὡς πρὸς ἀνδριάντα χαλκὸς, ἢ πρὸς κλίνην ξύλον, ἢ πρὸς ἄλλο τι τῶν μεμορφωμένων τεχνητῶν τὸ ἄμορφον ἔχει, πρὶν λαβεῖν τὴν μορφὴν, οὕτως ἔχει καὶ τὸ ἀπαρέμφατον πρὸς τὰ ἐξ αὐτοῦ μεταλαμβανόμενα εἰδικὰ ῥήματα. τὸ μὲν γάρ ἐστιν ἁπλοῦν, τὰ δὲ, σύνθετα ἐκ πράγματος καὶ προσώπου. ὥστε ἐπεὶ καὶ κατὰ τὸν φιλόσοφον, ἡ ὕλη μὲν οὐ, τὸ δὲ εἶδος οὐσία τυγχάνει τοῦ πράγματος, ἔστι δὲ τὸ μὲν ἀπαρέμφατον, οἷον ὕλη, αἱ δὲ παρὰ τοῦτο ἐγκλίσεις, οἷον εἴδη, οὐκ ἄρα τὸ ἀπαρέμφατον, αἱ δὲ ἐγκλίσεις εἰσὶ ῥῆμα. Ταῦτ' ἄρα κἀν τῷ τοῦ ῥήματος ὁρισμῷ τὸ ἀπαρέμφατον οὐ συνείληπται. γενικὸν δὲ πάλιν εἴρηται ῥῆμα. καθ' ὅ, τι λείπεται τῆς τε ψυχικῆς διαθέσεως καὶ τοῦ συμπαρεπομένου ἀριθμοῦ, αὐτὸ καθ' ἑαυτὸ σημαῖνον τὸ πρᾶγμα, ὡς εἴρηται, μετὰ τοῦ προσσημαντικοῦ τῶν χρόνων, προσλαβὸν δέ τι τῶν τῆς ψυχῆς βουλημάτων, ἢ παθημάτων, ὅ ἐστιν ἐγγενόμενον ἐν προσώποις, ποιεῖ τὰς ἐγκλίσεις, συμπαρυφισταμένων τοῖς προσώποις ἅμα καὶ τῶν ἀριθμῶν. ὥστε προστεθείσης τῆς ἀναλόγου ἑκάστῃ ἐγκλίσει φωνῆς, ἀναλύονται εἰς αὐτὸ μὲν, δι' ὅ, τι ἐξ αὐτοῦ καὶ ἐλήφθησαν. τῇ γὰρ ἀναλύσει συνεννοεῖται κατὰ τὸ σιωπώμενον καὶ ἡ πρὸ αὐτῆς σύνθεσις. εἴγε συνθέτου τὸ ἀναλύεσθαι. πᾶσαι δ' αὖ, δι' ὅ, τι κοινὸν ἁπασῶν ἐστιν ὄνομα. δῆλον δ' ἐντεῦθεν ὡς πρῶτόν ἐστι φύσει τὸ ἀπαρέμφατον τῶν ἐγκλίσεων. καθ' ὅ, τι καὶ τὰ ἁπλᾶ φύσει πρότερα τῶν συνθέτων. προτέτακται δ' ἡ ὁριστικὴ διὰ τὴν ῥηθεῖσαν ἐκεῖσε αἰτίαν.

Ἐξ ἀποφάνσεως δὲ εἰς ἀφήγησιν μεταβάλλει ὁ λόγος.

Ἀπόφανσίς ἐστι λόγος ἀποφαντικός τινος πράγματος ἤτοι κατά τινος, ἢ ἀπό τινος ὑποκειμένου. ἀποφήνασθαι δηλ: καὶ εἰπεῖν τί τινι ὑπάρχει, ἢ οὐχ ὑπάρχει. μέρη δὲ αὐτοῦ, ὑποκείμενον καὶ κατηγορούμενον, εἴδη δὲ, κατάφασις καὶ ἀπόφασις, ὡς εἴρηται. οἷον, σωκράτης ἤτοι περιπατεῖ, ἢ οὔ. ἀποφαίνεται γὰρ κατὰ τοῦ σωκράτους τὸ περιπατεῖν, ἢ μή. κἀπὶ τῶν λοιπῶν δὲ ὁμοίως. Ἐν δὲ τῷ ὁρίζομαι, ἤ φημι σωκράτην περιπατεῖν, τὰ μὲν κατηγορήματα, εἴ τ' οὖν τὰ προσωπικὰ ῥήματα οὐδὲν ὅτι μὴ ψιλὸν αὐτὸ τὸ τῆς ἐγκλίσεως ἰδίωμα, φημὶ δὴ τὸ τῆς ψυχῆς πάθημα τοῦ ὑποκειμένου κατηγορεῖ ἄνευ πράγματος, τὸ δὲ ἀπαρέμφατον οὐκ ἔστιν ὡς εἴρηται κατη-

ϑ κατηγόρημα, μόνου μὲν πράγματος, μὴ δὲ καὶ παθήματος ὃν σημαντικόν. ἄρ' οὐδὲ ἀπόφανσις. κἀπεὶ τό, τε τῶν ἐγκλίσεων ἴδιον καὶ τὰ ἀφηγηματικὰ λεγόμενα ῥήματα, οἷα τὸ λέγω καὶ τὸ φημὶ, ἰσοδύναμά εἰσιν ἀλλήλοις, (αἱ γὰρ ἐγκλίσεις κατά τε Θεόδωρον καὶ Ἀπολλ': ἀναλύονται οὐδὲν ἧττον τῇ τοῦ φημὶ προσθήκῃ, ἢ τῇ τοῦ κατ' αὐτὰς ἰδιώματος, ταὐτὸν ὂν εἰπεῖν, ὁρίζομαι, ἢ φημὶ περιπατεῖν. Ἄλλως τε τὰ τῶν ἐγκλίσεων ἰδιώματα ἀφηγηματικὰ εἴρηκεν, ἐν τῷ εἰπεῖν ἐξ ἀποφάνσεως εἰς ἀφήγησιν μεταβάλλειν τὸν λόγον. ἐρεῖ δὲ προϊὼν καὶ τὸ φασὶν, ἀφηγηματικόν. τὸ ἄρα φημὶ, ἰσοδύναμον τῷ ὁρίζομαι, προστάττω, εὔχομαι, καὶ ὅλως τοῖς τῶν ἐγκλίσεων ἰδιώμασιν. οὐδὲ γὰρ οὐδὲ τὸ φημὶ, ἀποφαντικόν ἐστί τινος πράγματος κατά τινος ὑποκειμένου.) ταῦτ' ἄρα καὶ ὁ λόγος ἀφηγηματικὸς ἀκούει, τὸ ἀποφαντικῶς εἰρημένον διηγούμενος. διχῶς δὲ ὡς εἰρήσεται, ἤτοι ἐντονοτέρως, ἢ ὑπτιωτέρως. ἔνθεν δῆλον ὡς τὰ ἀφηγηματικὰ λεγόμενα ῥήματα, παρονομάζουσι τὸν λόγον ἀφηγηματικόν. ἄλλως γὰρ ἀφηγηματικὸς ἂν εἴη καὶ ὁ ἀποφαντικὸς λόγος κατὰ Ἀπολλ'. λέγοντα, ὁ ἀποφαινόμενος περιπατῶ, ἢ γράφω, οὐ πρὸς ἑτέρου προσώπου διαστολὴν ὁρίζεται, ἀλλ' ἀπόλυτον ἀφήγησιν παρεμφαίνει τοῦ κατὰ τὴν εὐθεῖαν νοουμένου, προσώπου. ἐξ ὧν δῆλον ὡς τὸ ἀφηγοῦμαι καὶ ὁρίζομαι, εἴτ' οὖν ἀποφαίνομαι ταυτοσήμως ἐλήφθησαν. ὥστε κατὰ μὲν Ἀπολλ': εἴ τις ἀποφαντικὸς, οὗτος καὶ ἀφηγηματικὸς, κατὰ δὲ Θεόδωρον οὐκ ἀντιστρέφει τὰ τοῦ λόγου. τὸ γὰρ, ἐγὼ φημίσε περιπατεῖν, οὐκ ἀπόφανσις. εἴ γε μετέβαλεν ἐξ ἀποφάνσεως. Ἐφ' οἷς ἰστέον, ὡς ὁ μὲν ἀποφαντικὸς εἴτ' οὖν ὁριστικὸς λόγος κοινή ἐστι ψῆφος, ὁ δὲ ἀφηγηματικὸς τῆς τοῦ λέγοντος μόνης γίνεται γνώμης. οἷον, τὸ μὲν σωκράτης φιφεῖ, κινόν ἐστιν ἀξίωμα, δηλοῦντος τοῦ λόγου, ὅτι πάντες οὕτως ἀξιοῦσιν, ὅτι δηλονότι φιφεῖ σωκράτης. τὸ δὲ φημὶ, ἢ φασὶ σωκράτην φιφεῖν. τὴν ἐμοῦ μόνην, ἢ μόνην τὴν τῶν λεγόντων ἐξηγεῖται δόξαν, μὴ δηλοῦντος τοῦ λόγου συγκατάθεσιν οὔτε τὴν τῶν πολλῶν ἐν τῷ, φημὶ σωκράτην φιφεῖν, οὔτε τὴν ἐμοῦ ἐν τῷ, φασὶ σωκράτην φιφεῖν.

Ἔνθεντοι καὶ οἱ ἰουδαῖοι δεδιττόμενοι τὸν ἐπὶ τοῦ στροῦ τοῦ Σρ̄ς ἡμῶν Τίτλον ἀποφαντικῶς γεγραμμένον, μὴ γράφε φασὶν, ὁ βασιλεὺς τῶν ἰουδαίων, ἀλλ' εἰπὲ, τοῦτ' ἔστι γράψον, ὅτι αὐτὸς εἶπε. νῦν μὲν γὰρ ἀπόφασίς ἐστί φασι, καὶ κοινὴ ψῆφος, ἂν δὲ προστεθῇ, ὅτι ἐκεῖνος εἶπε, τῆς ἐκείνου φασὶ, προπετείας καὶ ἀλαζονείας δείκνυται τὸ ἔγκλημα. Χρστ'μ. ὁμλ'. πδ', εἰς τὸ κατὰ ματθ. Τῶν δὲ διηγήσεων κατὰ τοὺς παλαιοὺς αἱ μὲν, εἰσὶν ὑποστατικαί. ὅτε τις οἴκοθεν διηγεῖταί τι παρ' ἑαυτοῦ, ἢ παρ' ἑτέρου λεχθὲν, ἢ πραχθέν. αἱ δὲ, ἀπαγγελτικαί, ὅτε τις κελευσθεὶς, ἀγγελεῖ τὸ παρ' ἑτέρου ἐπιταχθέν. αἱ δὲ, ὁμιλητικαί. ὅτι τις ἀκούσας ποτὲ ἀπό τινός τι, αὐτῷ ἐκείνῳ διηγεῖται τῷ εἰπόντι τὸ προακουσθέν. ὡς καὶ ὁ Ἀχιλλεὺς, ἐκεῖνα λέγων τῇ μρι, ἅπερ ἤκουσε παρ' αὐτῆς. φησὶ γὰρ ἰλ. ᾱ, πολλάκι γὰρ σέο πρὸς ἐνὶ μεγάροισιν ἄκουσα εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέϊ κρονίωνι οἴη ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι. Δῆλον δ' ἐκ τούτων ὡς προηγεῖται ἀπόφανσις ἀφηγήσεως, ὡς καὶ σύνθεσις ἀναλύσεως. Ἰστέον δὲ ὡς ἐπὶ τῶν μὴ ἔξωθεν, οἴκοθεν δὲ καὶ ἐσωτερικὸν ἐχόντων τὸ κοινοῦν, καὶ κατὰ γραμματικοὺς εἰπεῖν, ἐπὶ τῶν ἀφ' ἑαυτῶν τὸ πάθος δηλούντων, οὐ παθητικῶς, ἀλλ' οὐδετέρως εἴτ' οὖν αὐτοπαθῶς ἔστιν οὗ χρῶνται τοῖς ῥήμασιν οἱ φίφοι. οἷον, ἐπὶ τῆς κατά τε ποιὸν καὶ ποσὸν μεταβολῆς, πρὸς δὲ καὶ τῆς κατ' οὐσίαν. φθίνει γάρ φασι τὸ ζῷον,

Ὁμοίως δὲ κἀπὶ τῶν ἄλλων ἐγκλίσεων, προσκειμένου ἀεὶ τοῦ τῆς ἐγκλίσεως ἰδιώματος. οἷον, εὔχομαι, ἢ προστάττω.

Ὁ τρόπος τῆς ἀναλύσεως. ἀποφηναμένου γάρ τινος, τρύφων περιπατεῖ, προσθεὶς αὐτὸς τὸ ἐγκείμενον τῇ ὁριστικῇ ἐγκλίσει ἰδίωμα, λέγω τὸ, ὡρίσατο, οὕτως ἂν εἴποις, μεταβαλὼν εἰς ἀφήγησιν τὸ εἰρημένον, ὡρίσατό τις τρύφωνα περιπατεῖν. καὶ ἐπὶ εὐκτικῆς προφορᾶς, περιπατοίη τρύφων, εἰπόντος ἐκείνου, αὐτὸς πάλιν τὸ ἐγκείμενον τῆς εὐχῆς συμπαραλαβὼν, φαίης ἂν, ἤυξατο περιπατεῖν τρύφωνα. καὶ ἔτι ἐπὶ προστακτικῆς, περιπατείτω τρύφων, εἴποις ἂν, προσέταξε περιπατεῖν τρύφωνα. πᾶσα γὰρ ἔγκλισις ἐπεὶ ἀπὸ τοῦ ἀπαρεμφάτου παρῆκται, οὐκ εἰς ἄλλοτι, ἀλλ' εἰς αὐτὸ πάλιν ἀναλύεται, μετὰ λέξεως ταὐτὸ σημαινούσης τῇ ἐγκλίσει. ὡς γοῦν φυσικῶς πως ψυχικῆς διαθέσεως ἀμοιρήσασα ἡ ἀπαρέμφατος, καὶ ἀντὶ πασῶν ἐγκλίσεων ἔχει παραλαμβάνεσθαι, προστιθεμένου τοῦ τῆς ἐγκλίσεως ἰδιώματος, καὶ πάλιν πᾶσα ἔγκλισις εἰς αὐτὴν ὑποστρέφει. ἰδιώματα δὲ τῶν ἐγκλίσεων ἐστὶ τὰ ἀφ' ὧν ἑκάστη παρωνόμασται. Ἐφ' οἷς, τηρητέον ἐν τῇ ἀναλύσει, ὡς τὸ ἀπαρέμφατον μετὰ μὲν τοῦ κατὰ τὴν ὁριστικὴν ἰδιώματος, τὸ εἰδικὸν αἰτιολογεῖ, μετὰ δὲ τοῦ κατὰ τὰς λοιπὰς, τὸ τελικόν. τοῦτο δὲ, μέλλοντος. αἱ ἄρα παρὰ τὴν ὁριστικὴν ἐγκλίσεις κατὰ πᾶντα χρόνον μέλλοντος ἔχουσι σημασίαν. Ὅθεν διασταλτέον τὸ ἑξῆς ῥηθησόμενον, ὅτι τῶν ἀπαρεμφάτων τὰ ἀφηγηματικῶς συντασσόμενα, τό, τε εἰδικὸν αἰτιολογεῖ, καὶ κατὰ τὸ τριμερὲς τοῦ χρόνου συντάσσεται. ἐν γὰρ τῷ, ὁρίζομαι, ἢ προστάττω, ἢ εὔχομαί σε γράφειν, τὸ ἀπαρέμφατον ἀφηγηματικῶς μὲν συντέτακται. εἴγε ἐξ ἀποφάνσεώς φησιν εἰς ἀφήγησιν μεταβάλλει ὁλόγος. οὐ μὴν τὸ αὐτὸ αἰτιολογεῖ. οὐδὲ τὰ περὶ τὸν χρόνον ἄρα κατὰ ταὐτὰ ἀποδοθήσεται. τῆς μὲν οὖν ὁριστικῆς ἰδίωμα, τὸ ὁρίζομαι. τῆς προστακτικῆς, τὸ προστάττω. τῆς εὐκτικῆς, τὸ εὔχομαι. τῆς δὲ ὑποτακτικῆς παρέδωκε τῶν μὲν παλαιῶν οὐδεὶς, τῶν δὲ νεωτέρων τινὲς οὐκ οἶδ' ὅπως ἀπέδοντο καὶ ταύτης τὸ ὑποτάττω, ἢ ὑποζεύγνυμι. μὴ προεπιστήσαντες, εἴ ἐστιν ἴδιον ἐγκλίσεως τὸ ὑποτάττω, καὶ εἰ ὅλως ἔγκλισις ἡ ὑποτακτική. αἱ γὰρ ἐγκλίσεις ἀπὸ τῶν ἐν αὐταῖς δηλουμένων πραγμάτων ἀνεδέξαντο τὴν ὀνομασίαν κατὰ Ἀπολλ': ἡ δὲ ὑποτακτικὴ οὐκ ἀπὸ τοῦ δηλουμένου, ἀπὸ δὲ τῆς τῶν προκειμένων μορίων συντάξεως τὴν τοιαύτην ὀνομασίαν ἀπηνέγκατο κατὰ τὸν αὐτόν. οὐκ ἄρα ἔγκλισις. Ἀπαντῶσι, λέγοντες, ὅτι οὐχ ὡς ἀμοιροῦσα ἰδίου σημαινομένου, ἤκουσεν ὑποτακτικὴ, ἀλλ' ἐπεὶ μὴ ἑνός τινος, ὡς αἱ λοιπαὶ, δυοῖν δέτινων ἐστὶ σημαινομένων παρεμφαντικὴ, ἀποτελεστικοῦ λέγω καὶ αἰτιολογικοῦ, μὴ ἑνὸν ἐκ μιᾶς τινος συμπεριληφθέντα ἄμφω φωνῆς, μοναδικῶς ἐκφωνηθῆναι, ἐκ τῆς συντάξεως γενικώτερον, παρονόμασται. Ἀλλὰ γὰρ καὶ αὐτὴν τὴν διττὴν σημασίαν οὐκ οἴκοθεν, ὡς αἱ λοιπαὶ, ἐκ δὲ τῆς εἰς ἕτερα τῶν ῥημάτων αὐτῆς συντάξεως ἀπηνέγκατο. οἷς δὴ καὶ τὸ τριμερὲς τοῦ χρόνου παρεπόμενον, τὴν διάφορον αἰτιᾶται σημασίαν. ὡς εἰγ' ἀφέλοιτις ὅθεν αὐτῇ τὰ τῆς σημασίαν μετοχετεύεται, συνοιχήσεται πάντως καὶ ἡ διώνυμος αὐτῆς σημασία, ἀποτελεστικὴ λέγω καὶ αἰτιολογικὴ. ἂν δὲ καὶ τῶν συνδέσμων τοὺς προκειμένους προσαφέλῃ, τότε καὶ τῆς ὑποταγῆς ἀφηνιάσασα, οὐδ' ἂν αὐτὴν ἀνάσχοιτο τὴν ὑποτακτικὴν προσηγορίαν, μηδενὸς ὄντος τοῦ ὑποτάττοντος αὐτήν. δεύτερον, ἡ ἔγκλισις ἤτοι βουλήματος, ἢ παθήματός ἐστι ψυχῆς σημαντικὴ κατὰ τὸν ὁρισμόν. ἡ δὲ ὑπο-

ἡ δὲ ὑποπτακτικὴ ἑκάτερα τύπων ἐστὶ σημαντικὴ κατὰ Ἀπολλ. οὐκ ἄρα ἔγκλισις. Γ', καὶ κατὰ Θεόδωρον δὲ, τὸ βουλήματος μηδενὸς ὂν σημαντικὸν, οὐκ ἔστι κυρίως ἔγκλισις, τοιοῦτο γὰρ τὸ ἀπαρέμφατον. ἀλλ' ἡ ὑποπτακτικὴ ἄρα, ψυχικοῦ βουλήματος μὴ οὖσα σημαντική. Δ', αἱ ἐγκλίσεις ἀναλύομεναι εἰς τὸ γενικὸν ὄνομα, φημὶ δὴ τὸ ἀπαρέμφατον, ἔχουσι προσκείμενον τὸ σφῶν αὐτῶν ἰδίωμα κατὰ Θεόδωρον, ἡ δὲ ὑποπτακτικὴ ἀναλύομένη, ὃ δὲν ἔχει προσκείμενον, οὐκ ἄρα ἔγκλισις. Ε', αἱ ἐγκλίσεις αὐτοτελῆ λόγον καθ' ἑαυτὰς ἀποτελοῦσιν, ἡ δὲ ὑποπτακτικὴ καθ' ἑαυτὴν αὐτοτελῆ λόγον οὐκ ἀποτελεῖ, οὐκ ἄρα ἔγκλισις. ς', ἡ τῆς ψυχῆς ἐκφωνουμένη δυνάμις, ἐστὶ τὸ ὁρίζειν, προστάττειν, εὔχεσθαι, προσκαλεῖν, ἐρωτᾶν. καὶ τὰ ἀποδοθέντα πρότερον εἴδη τῦ λόγυ. τὸ δὲ ὑποπτάττειν, ἢ ὑποζεύγνυσθαι οὐδὲ σὺν τούτων ἐστίν. οὐκ ἄρα ψυχῆς ἐστι βούλημα, καὶ ἀκολούθως οὐδὲ ἐγκλίσεως ἴδιον. Τρεῖς ἄρα εἰσὶν αἱ κυρίως ἐγκλίσεις. ἡ δ' ὑποπτακτικὴ ἄδηλον ἔχει τὸ σημαινόμενον κατὰ Ἀπολλώνιον. μᾶλλον δὲ οὐδὲ ἔχει ὅλως. εἰ γὰρ ἦν, εἴπερ, οὐκ ἄδηλον. δῆλον δὲ ἐκ τῦ μὴ συμπαραλιφθῆναι καὶ ταύτῃ ταῖς λοιπαῖς σὺν τῇ ἀναλύσει.

Αὐτὸ δὲ τὸ ἀπαρεμφάτυ κυρίως οὐκ ἔστιν ἔγκλισις. βουλήματος γὰρ ἔδενός ἐστι σημαντικόν.

Πῶς δέ πως συλλογίζεται. ἔγκλισίς ἐστι βουλήματος ψυχῆς σημαντική. τὸ δ' ἀπαρέμφατον οὐδενὸς βουλήματός ἐστι σημαντικόν, οὐκ ἄρα ἔγκλισις, ἢ ἐλάττων δείκνυται. τὰ γὰρ βουλήματος ψυχῆς σημαντικὰ, εἰς πρόσωπα ἀναπτύσσεται καὶ Ἀπολλ. ἔμψυχά ἐστι. τὸ δ' ἀπαρέμφατον ἀπρόσωπον, καὶ ἀκολούθως ἄψυχον, οὐκ ἄρα βουλήματος ψυχῆς σημαντικόν.

Διαλῦοιτο δ' ἂν καὶ ᾧδε. ὑγιαίνει δίων. φασὶ δίωνα ὑγιαίνειν. λέγυσι δίωνα ὑγιαίνειν θέλειν.

Διηγηματικῶς καὶ ταῦθα. κατὰ δέ τινας καὶ ᾧδε τὰ τῆς ἐγκλίσεως ἀναλύεται. οἷον, εἰπὼν τύπτω, εἶτ' ἐρωτηθείς, τί ὁρίσάμενος; τὸ τύπτειν ἐρῶ. πάλιν εἰπὼν τύπτε, καὶ ἐρωτηθείς, τί προστάξας; τὸ τύπτειν πάλιν ἐρῶ. καὶ ἐπὶ τῆς εὐκτικῆς δ' ὁμοίως, ἐρωτηθείς τί νυξάμενος; τὸ τύπτειν αὖθις ἐρῶ. Ἀλλ' ἀπορήσεις τὸ ἀπαρέμφατον ὅτε τὸ ἰδίυ ὀνόματος ὅτε τὸ κοινὸν ὄνομα λόγυ ἐπικοινωνεῖ ταῖς ἐγκλίσεσιν. ὅτε γὰρ ἀπαρέμφατον αἱ ἐγκλίσεις, ὅτε μὲν ὀνόματος ἢ ῥήματος. οὐκ ἄρα γενικὸν τῶν τὸ ἀπαρέμφατον. ἀλλὰ γενικὸν ἄρα ῥῆμα. Ἢ ὅτι ἡ τὸ ἀπαρεμφάτυ εἰς τὰς ἐγκλίσεις διαίρεσις τῇ μὲν, ἐστὶν ὡς τὰ ἀφ' αὑτοῦ, εἶτ' ἔν τὰ παρώνυμα. ὡς γὰρ ἀφ' αὑτοῦ τῆς ἀξικῆς φέρε, ἢ τῆς γραμματικῆς γραμματικόν, ἢ ἀξικὸν βιβλίον, ἢ ἐργαλεῖον, ὅτω καὶ ἀπὸ τὸ τύπτειν τὸ τύπτω, καὶ αἱ λοιπαὶ ἐγκλίσεις παρωνομάζονται, τῷ μὲν κατ' ὄνομα προσηγορίαν ἔχουσαι τὸ ἀπαρεμφάτυ, διαφέρυσαι δὲ τῇ πτώσει, εἶτ' ὂν τῇ λήξει τῆς λέξεως. τὸ μὲν γὰρ ἀπαρέμφατον ἐμφαίνει ποιότητα μόνῳ, αἱ δὲ ἐγκλίσεις οὐσίαν, τὰ ἐστὶ πρόσωπα, σὺν οἷς ἡ ποιότης. ἢ δὲ πάλιν τὸ ἀπαρέμφατόν ἐστι ῥῆμα. τὸ δὲ ῥῆμά ἐστι προσημαντικὸν χρόνων, πάυτῃ καὶ ἀπὸ γένυς ἐστὶν εἰς εἴδη. πᾶσα γὰρ ἔγκλισις καὶ ῥῆμά ἐστι καὶ χρόνυ προσημαντική. δοκεῖ δέ πως προσίσασθαι τὸ, σὺν οἷς τὸ πρότερον καὶ ὕστερον, τούτων τὸ κοινῶς κατηγορύμενον, οὐκ ἔστι γένος. τῶν δὲ κυρίως ἐγκλίσεων προτέρα ἡ ὁριστικὴ καὶ Ἀπολλ. ἐξ αὐ-

ἐξ αὐτῆς γὰρ ἥτε προστακτικὴ καὶ ἡ εὐκτική. τὸ ἄρα τούτων κοινῶς κατηγορούμενον ῥῆμα, οὐκ ἔστι γένος. οὐκοῦν ἔστω ὡς τὰ ἀφ' ἑνός. Ἔτι ἀπορ'. ἐπεὶ ἔγκλισίς ἐστι βούλημα, ἢ πάθημα ψυχῆς, οὐκ ἄρα τὸ γράφω, ἢ γράφε, ἢ γράφοιμι, τὸ δὲ ὁρίζομαι, προστάττω, εὔχομαί σε γράφειν, ἐστὶν ἔγκλισις, τὰ γὰρ τῶν ἐγκλίσεων ἰδιώματά ἐστι τὰ τῆς ψυχῆς βουλήματα, καὶ ἔτι τὰ προαιρετικὰ τῶν ῥημάτων, οὐ μὴν καὶ τὰ μετειληφότα τοῦ πράγματος. οἷα τὸ τύπτω, τύπτε, τύπτοις. εἰ γὰρ τὸ τύπτειν ἀπαρέμφατον οὐδενὸς βουλήματός ἐστι σημαντικὸν, τὸ ἄρα τύπτω, οὐχ ᾗπερ τὸ τύπτειν, ᾗ δὲ τὸ ὁρίζειν ἔχει ἐγκείμενον, παθήματος ψυχῆς ἐστι σημαντικόν. Ἢ ὅτι εἰ καὶ ἀπαράδεκτος ὁ συλλογισμὸς, ἐξ ὁμοιοσχημόνων ὢν κατὰ τὸ β', σχῆμα, ἀλλ' οὖν διαιρετέον τὸ τῆς ψυχῆς πάθημα εἴς τε τὸ καθ' αὑτὸ, καὶ εἰς τὸ μετειληφὸς τοῦ πράγματος. καὶ καθ' αὑτὸ μὲν, τὸ ὁρίζομαι, γράφειν τυχὸν, ἢ τύπτειν. μετὰ δὲ τοῦ πράγματος, τὸ γράφω, τύπτω. ἐπεὶ γοῦν ἑκάτερα πάθημα ψυχῆς ἐμφαίνει. τὸ δὲ τῆς ψυχῆς πάθημά ἐστιν ἔγκλισις, οὐκ ἄρα μόνον τὸ ὁρίζομαι, ἢ προστάττω, ἢ εὔχομαι, γράφειν εἰ τύχοι, ἀλλὰ καὶ αὐτὸ τὸ γράφω, γράφε, γράφοιμι ἔγκλισίς ἐστιν. ὥσπερ οὐ δὲ μόνον τὸ ἁπλῶς ζῷόν ἐστιν αἰσθητικὸν, ἀλλὰ καὶ τὸ μετειληφὸς συστατικῆς τινος διαφορᾶς, λογικῆς τυχὸν, ἢ ἀλόγου. Ἔτι ἀπορήσεις, ὡς ἐπεὶ τὸ ὁρίζομαι, ἐστὶν ἔγκλισις, τὸ δὲ ἀποφαντικὸν, κατὰ τῆς ἐγκλίσεως. καὶ τὸ ὁρίζομαι ἄρα, ἢ προστάττω γράφειν, ἢ εὔχομαι ὑγιαίνειν, οὐκ ἀφηγηματικὸν, ἀλλ' ἀποφαντικόν. Ἢ ὅτι τὸ ἀποφαντικὸν εἴρηται ἐπὶ τῶν ἀποφαινομένων τί κατά τινος, ἢ ἀπό τινος. τὸ δὲ ὁρίζομαι, καὶ ὅλως τὰ τῶν ἐγκλίσεων ἰδιώματα οὐθὲν ἀποφαίνονται, οὐκ ἄρα ἀποφαντικά. Τί μὲν οὖν ἐστιν ἀφήγησις, εἴρηται, τινὲς δὲ τὴν ἀφήγησιν ἔφασαν πολλῶν, ἢ δυοῖν τοὐλάχιστον ἀποφάνσεων εἶναι συλληπτικὴν, καὶ ὡς εἰπεῖν ἀπόφανσιν συνθετον. διπλῆν γὰρ εἶναι τὴν, ἐγώ φημί σε ἀναγινώσκειν, ἔκ τε τῆς, ἐγώ φημι, καὶ τῆς, σὲ ἀναγινώσκειν. ταῦτα δὲ τοῖς τοῦ Θεοδώρου ἀσύμβατα. κατὰ γὰρ ἐκεῖνον διὰ τῆς ἀποφάνσεως ὁριζόμεθα, διὰ δὲ τοῦ ἀπαρεμφάτου οὐδὲν ὁρίζομεν, οὐκ ἄρα ὁ διὰ τοῦ ἀπαρεμφάτου λόγος ἐστὶν ἀπόφανσις. δείκνυται ἡ ἐλάττων. ἡ γὰρ ὁριστικὴ, φησὶν, ἀποβαλοῦσα τὴν ἐνοῦσαν κατάφασιν, οὐκ ἔτι ἂν καλοῖτο ὁριστική. τὸ δὲ ἀπαρέμφατον οὐθὲν καταφάσκει. οὔτε γὰρ καθ' ἑαυτὸ, οὔτε τὸ φημὶ προσλαβὸν, κατηγορηματικόν ἐστιν ὅλως. οὐδὲ ὁριστικὸν ἄρα. οὐδὲν ἄρα δι' αὐτοῦ ὁρίζομεν. οὐκ ἄρα ἐκ δυοῖν ἀποφάνσεων ὁ κατὰ Θεόδωρον ἀφηγηματικὸς λόγος. Ἐπεὶ δὲ καὶ κατὰ ἀπολλ'. τῶν ῥημάτων τὰ ἐλλείποντα τῷ πράγματι, ὥσπερεὶ κενὰ ὄντα τούτου, ἀναπληροῦται τῇ τοῦ ἀπαρεμφάτου παραθέσει. ὡς τὸ, βούλομαι, θέλω. τὸ ἄρα ἐγώ φημι ἀναγινώσκειν, ἀναπληρουμένου μὲν τοῦ φημὶ, οὗπερ κεκένωται πράγματος, τῇ παραθέσει τοῦ ἀπαρεμφάτου, ἔσται λόγος ἀποφαντικός τινος πράγματος κατά τινος ὑποκειμένου, καὶ οὕτως οὐδ' ἐκ δυοῖν ἔσται ὁ λόγος συγκείμενος ἀποφάνσεων, μία ὅλως οὖσα ἁπλῆ ἀπόφανσις. καθ' ἑαυτὸ δὲ ληφθὲν τὸ φημὶ, δίχα τοῦ ἀπαρεμφάτου, οὐδ' ἂν εἴη ὡρισμένως ἀποφαντικόν τινος κατά τινος. καὶ οὕτω τὸ, ἐγώ φημι ἀναγινώσκειν, οὐχ ὅπως συνθετος, ἀλλ' οὐδ' ἁπλῆ ὅλως ἔσται ἀπόφανσις. ἐφ' οἷς, σωκράτης καὶ πλάτων φιλοσοφοῦσιν, ἐκ δυοῖν μὲν ἀποφάνσεων συνείληπται, οὐ μὴν παρὰ τοῦτο καὶ ἀφηγηματικός ἐστιν ὁ λόγος. καθ' ὅ, τι οὐ μετέβαλεν ἐξ ἀποφάνσεως, συνδέδεται δὲ μόνον.

Ταῦτ' ἄρα,

Κατ' ἔλλει-

Κατ' ἔλλειψιν τῆς διά. ὡς εἰ ἔλεγε διὰ ταῦτα τοιγαροῦν, διό, τί ἐστι δηλ: τὸ ἀπαρέμφατον οὐ ῥῆμα ἀλλ' ὄνομα, ὃν εἴρηκε τρόπον, διὰ τοῦτο.

Καὶ ἡ τοῦ ἄρθρου προσθήκη κατάλληλος τοῖς ἀπαρεμφάτοις.

Καθὰ δὴ καὶ τοῖς ὀνόμασι.

Καλὸν γάρ φαμεν τὸ ἀρετῆς ἀντιποιεῖσθαι. καὶ, τοῦ φιλοσοφεῖν οὐδὲν ἥδιον. καὶ, τῶν ἀνθέων τὸ ὀδωδέναι. ἀντὶ ὀνόματος οὖν ἡ χρῆσις.

Τοῦ συστοιχοῦντος τῷ ἀπαρεμφάτῳ, ἐν οἷς προστίθεται τὸ ἄρθρον. ὡς εἶναι τὸ τοῖς ἀπαρεμφάτοις προσκείμενον ἄρθρον, οὐ τῶν διαθέσεων, ἢ τῶν χρόνων, τοῦ δὲ παρυφισταμένου πράγματος καὶ ἀπολλώνιον. εἰ γὰρ τὰς ἐπιρρηματικὰς συντάξεις εἰς ὀνοματικὰς μεταποιεῖ τὸ ἀρθρικὸν, ὡς εἴρηται, μόριον, πολλῷ μᾶλλον τοῖς ἀπαρεμφάτοις ῥήμασι προσκείμενον, παραστήσει τὰ ἀπαρέμφατα ὀνόματα μᾶλλον, ἢ ῥήματα. οὐ μὴν ἀλλὰ καὶ τὰ ἀσύναρθρα τῶν ἀπαρεμφάτων, ἀντὶ ὀνόματος πολλαχοῦ καὶ αὐτὰ κεῖται, συνεννοούμενον ἔχοντα δηλονότι τὸ ἄρθρον. ὡς καὶ τὸ τοῦ ποιητοῦ, προτρέχει ὀνείδεα μυθήσασθαι. τοῦτ' ἔστι προτρέχουσιν ὕβρεις μύθου. καὶ, παραβαλλόμενος πολεμίζειν. ἤγουν παραρρίπτων ἑαυτὸν τῷ πολέμῳ. καὶ, οἱ πέρι μὲν βουλῇ δαναῶν, περὶ δέ ἐστε μάχεσθαι. ἰλ: ᾱ, ἐν δὲ τοῖς τοιούτοις φησὶν ὁ Εὐστάθειος, ὡς συγκροτεῖν ὁ ποιητὴς δοκεῖ τοὺς λέγοντας τὰ ἀπαρέμφατα ῥημάτων εἶναι ὀνόματα. τὸ γὰρ μάχεσθαι ἀσυνάρθρως ληφθέν, ταὐτόν ἐστι τῇ μάχῃ. καὶ οὕτω μὲν ἐκεῖνος, ὁ δὲ Θεόδωρος ὄνομα ῥήματος εἴρηκε τὸ ἀπαρέμφατον, ἐν μὲν προοιμίοις, ᾗ προσωπικῆς τε διακρίσεως καὶ ψυχικοῦ τοῦ βουλήματος, ἢ παθήματος οὐκ ἐστι σημαντικὸν, ᾧδε δὲ, ᾗ οὐδὲ χρόνων ἐστὶ προσσημαντικόν. ὅπερ ἴδιον πτωτικοῦ μάλιστα ὀνόματος. ἔστι γοῦν τις διαφορὰ τούτου τοῦ ὀνόματος πρὸς ἐκεῖνο. ἣν γὰρ ἔχει διαφορὰν ἡ δύναμις πρὸς τὴν ἐνέργειαν, τὴν αὐτὴν καὶ τὸ φιφία πρὸς τὸ φιφεῖν, καὶ τὸ ὀδμὴ πρὸς τὸ ὀδωδέναι, καὶ ἁπλῶς τὸ πτωτικὸν ὄνομα πρὸς τὸ συστοιχοῦν αὐτῷ ἀπαρέμφατον. τὸ δὴ σύναρθρον ἀπαρέμφατον τὸ αὐτὸ οὐδὲν ἧττον καὶ ὄνομά ἐστι καὶ ῥῆμα, κατ' ἄλλο μέντοι καὶ ἄλλο. ὄνομα μὲν, καὶ μόνον τὸ παρυφιστάμενον πρᾶγμα, οὗ τινός ἐστι καὶ τὸ ὡς εἴρηται ἄρθρον. ῥῆμα δὲ, (λέγω δὲ γενικόν.) κατὰ τὸ τοῦ χρόνου προσσημαντικόν. τό γε μὴν εἰδικὸν τῶν ἀπαρεμφάτων, ὡς ἄρθρου πάμπαν ἀνεπίδεκτον, οὐκ ἂν εἴη ἀντὶ ὀνόματος. τοῖς δ' ἀπαρεμφάτοις ἄρθρον οὐ τοῦ τυχόντος, τοῦ δ' οὐδετέρου προσέισι γένους. καθ' ὅ, τι τοῖς μὲν παρὰ τοῦτο ἀρρενοθήλεια γονὴ παρεπομένη, πρόσωπα ἀκολούθως δὲ καὶ βούλησιν τῆς τῶν προσώπων ψυχῆς συνεπιφέρεται νοουμένην, τὸ δ' ἀπαρέμφατον οὐδέτερον τούτοιν παρεμφαίνει. καὶ οὐδετέρου ἄρα γένους ἄρθρον προσλαμβάνει. δύοιν γὰρ ὄντων κυρίως τῶν γενῶν, ἀρρενικοῦ τε καὶ θηλυκοῦ, τὸ μὴ ὂν θατέρου τῶν δύοιν, οὐδετέρου γένους εἶναι λέγεται, τὸ δὲ μὴ ἔχον γένος, οὐ δὲ πρόσωπα ἔχει. ὡς ἐν τοῖς ἑξῆς σαφέστερον εἰρήσεται. καὶ ἀριθμοῦ δὲ οὐ τοῦ τυχόντος, ἑνικοῦ δὲ μόνον ἄρθρον παραλαμβάνει. καθ' ὅ, τι τὸ ἐκ τοῦ ἀπαρεμφάτου παριστάμενον πρᾶγμα, ἐν ἐστιν. οἷον, ἡ τύψις ἐν τῷ τύπτειν. ἐγγενόμενον δ' ἐν προσώποις, τοτηνικαῦτα τούτοις καὶ συμπληθύνεται.

Ἴδιον δὲ τοῦ ἀπαρεμφάτου πρὸς τὰς ἄλλας ἐγκλίσεις.

Ἔρρωται τὸ, πρὸς τὰς ἄλλας. βούλεται γὰρ λέγειν, ὅτι παρεξεταζόμενον τὸ ἀπαρέμ-

παρέμφατον πρὸς τὰς ἄλλας ἐγκλίσεις, ἴδιον ἔχει ἐκ πρώτου αἰτιατικὴν, οὐ τὴν εὐθεῖαν. ὡς καὶ ἀριστ'λ. ἐν τῷ περὶ μακροβ: καὶ βραχυβιότητος. περὶ δὲ τοῦ πολυχρόνιον εἶναι τὴν τῶν δένδρων φύσιν, δεῖ λαβεῖν τὴν αἰτίαν. ἔχει γὰρ ἰδίαν πρὸς τὰ ζῷα. πλὴν πρὸς τὰ ἔντομα. νέα γὰρ ἀεὶ τὰ φυτὰ γίγνεται. δι' ὃ πολυχρόνια. κἀν τῷ β', περὶ ζῴων ἱστορίας. χεῖρας δὲ οὐδὲ πόδας προσθίους ἔχει, (τὰ τῶν ὀρνίθων γένη) ἀλλὰ πτέρυγας ἴδιον πρὸς τὰ ἄλλα ζῷα. κἀν τῷ δ', περὶ ζῴων μορίων, ἴδιον δὲ πρὸς τὰ συγγενῆ τῶν ζῴων ὑπάρχει τοῖς ὄφεσι τὸ στρέφειν τὴν κεφαλὴν εἰς τὰ ὄπισθεν, ἠρεμοῦντος τοῦ λοιποῦ σώματος. κἀν τῷ ι', περὶ ζῴων ἱστορίας, ἡ δὲ καλουμένη φώϊξ ἴδιον ἔχει πρὸς τὰ ἄλλα. μάλιστα γάρ ἐστιν ὀφθαλμοβόρος τῶν ὀρνίθων. Τὰς ἄλλας δ' εἰπὼν, καὶ τὸ ἀπαρέμφατον ἔγκλισιν εἶναι ὑπονοεῖν δίδωσιν, οὐμὴν κυρίως, ὡς εἴρηται.

Καὶ τό, τε αἰτιατικὴν περιέχειν.

Ἀμεταβάτως δηλ. τοῦτ' ἔστιν ἐκ πρώτου. αἱ γὰρ ἀπ' αὐτοῦ μεταλαβανόμεναι ἐγκλίσις, αἰτιατικὴν περιέχουσι μὲν οὔ, φέρονται δὲ, εἰ τῶν κατ' ἐκ πομπὴν ὦσι, πρὸς αὐτὴν ἐκ γ', μεταβατικῶς, ἢ καὶ κατ' ἐπιστροφήν. ὁ δὲ τε, σύνδεσμος οὐ συνάγει καὶ τὴν εὐθεῖαν τῇ αἰτιατικῇ, τοῦδ' ἐπιφερομένου β', ἰδίου ἐστὶ συμπλεκτικὸς, τοῦ, καὶ παντὶ προσώπω, καὶ ἑξῆς. Ὁ ἀπολλ': ἐν τῷ ιϛ', κφ'. τοῦ γ', βιβλ'. διασκεπτόμενος, εἰ ἀληθεύει τὸ ἐπ' αἰτιατικὴν πᾶντα φέρεσθαι τὰ ἀπαρέμφατα, οὐκ ἐν τῷ καθόλου φησὶ, λαμβάνουσι τὴν τοιαύτην αἰτιατικὴν, ἀλλὰ τὴν καὶ ἐν τοῖς ὁριστικοῖς καὶ ἐν ταῖς ὑπολοίποις ἐγκλίσεσι συνταστομένην. μεθ' ὅ φησιν ὅ τι τὸ δεῖ καὶ χρὴ αἴτια γίνεται τοῖς ἀπαρεμφάτοις τῆς αἰτιατικῆς παραθέσεως. (οἷον, δεῖ, ἢ χρὴ ἐμὲ, ἢ σὲ ἀναγινώσκειν.) καθ' ὃ ῥήματα καὶ αὐτὰ ὄντα, πλαγίαν ἀπαιτεῖ φησι, τὴν δέουσαν. ᾗ δὴ καὶ ἄλλοις τῶν ῥημάτων τὸ τοιοῦτο παρακολουθεῖ. οὐ γάρ φησιν ἡ τῶν ἀπαρεμφάτων χρῆσις ἀπαιτεῖ τὸ τοιοῦτο. καὶ δῆλον ἐκ τοῦ ἐν τῇ ἐπισταλτικῇ συντάξει μὴ προσκεῖσθαι τὴν αἰτιατικήν. ἀπολλώνιος τρύφωνι χαίρειν. ἀλλ' οὐδ' ἐν τοῖς τοιούτοις, τῷ περιπατεῖν ἥδομαι. καὶ, περιπατεῖν θέλω, ἤπερ γράφειν. ὧν εἴ τις, φησὶν, ἀφελὼν τὰ συνόντα μόρια, προθείη τὸ δεῖ, ἢ χρὴ, πάντως ὑπακουσθήσεται ἡ αἰτιατική. δεῖ ἐμὲ διδάσκειν. χρὴ σὲ μανθάνειν, ἢ περιπατεῖν. οὐ μὴν ἀλλὰ κἀν τῷ λά, κφ', καὶ τοῖς προαιρετικοῖς τῶν ῥημάτων συμφερομένων τῶν ἀπαρεμφάτων, τὴν ἐγκειμένην αἰτιατικὴν τῶν προαιρετικῶν ῥημάτων βούλεται εἶναι, κοὐχὶ τῶν ἀπαρεμφάτων, ἐνεργείᾳ μὲν, οἷπερ ἂν ἐνδιαβάσει εἴη τὰ τοῦ προσώπου. οἷον, βούλομαί σε ἀναγινώσκειν. ἐν γὰρ τοῖς διαβιβαζομένοις προσώποις ἀνάγκη τὸ ἀντωνυμικὸν ἐγκεῖσθαί φησι, διαστέλλον τὰ πρόσωπα. δυνάμει δὲ, ἔνθαπερ ἐν αὐτοπαθείᾳ ἔχει τὰ τῆς συντάξεως. οἷον, βούλομαι φιλολογεῖν, ἢ πλουτεῖν, ἢ διδάσκειν γραμματικά. τὰ γὰρ τοιαῦτα μὴ δεῖσθαι τῆς προσδιαστελλούσης ἀντωνυμίας, διὰ τὸ δυνάμει ἐν αὐτοπαθείᾳ ἔχειν τὰ τῆς συντάξεως. ἐπεί τοί γε πάλιν ὁ λόγος τοιοῦτος, ὡς εἰ καὶ φαίημεν, βούλομαι ἐμαυτὸν πλουτεῖν. θέλω ἐμαυτὸν περιπατεῖν. προαιροῦμαι ἐμαυτὸν διδάσκειν σε. καὶ τοιαῦτα μὲν τὰ τοῦ ἀπολλ. Περὶ ὧν διαπορεῖν ἴσως οὐκ ἄχρηστον, διασκεπτομένους καθ' ἕκαστον ἐν ἀκριβείᾳ τὰ πάρ' αὐτοῦ εἰρημένα. καὶ πρῶτον τὰ κατὰ τὸ ἀπαρέμφατον. εἰπὼν οὖν τὰ ἀπαρέμφατα μὴ πάντως τὴν αἰτιατικὴν λαμβάνειν, ἀλλὰ τὴν ἐμφερομένην πτῶσιν, ὁποία πότ' ἂν ᾖ, ταῖς ὑπολοίποις ἐγκλίσεσι, τὴν ἐνδιαβάσει τοῦ ἀπαρεμφάτου ῥήματος πτῶσιν δηλοῦν βούλεται, αἰτιατικὴν οὖσαν

οὖσαν τυχὸν, ἢ γενικὴν, ἢ δοτικὴν, ᾗπερ ἂν ἡ τοῦ ῥήματος μεταβατικὴ ἰδιότης ἀπαιτῇ. ὅπερ ἐδήλωσεν ὁ Θεόδωρος, εἰπὼν, ἐπεὶ ὡς ῥῆμα, τὴν τοῦ ῥήματος διάφορον ἕξει μετάβασιν. Τὴν γεμὴν ἀμεταβάτως προϋφισταμένην ἐκ α', τῶν ἀπαρεμφάτων, ᾗ τοιαῦτα, αἰτιατικὴν κατὰ τὸν Θεόδωρον, οὐχ οὕτως ἔχειν βούλεται ὁ Ἀπολλώνιος, ἀλλὰ πτῶσιν εἶναι τῶν ἀπροσώπων μορίων, τοῦ χρὴ καὶ δεῖ, ἐπ' αἰτιατικὴν, ὥς φησι, φερομένων. ὅλως τε τὴν τοιαύτην πτῶσιν ἀποπεμπταίαν ἡγεῖται τῶν ἀπαρεμφάτων. καθ' ὅ, τι οὐ πᾶσι σύνεστιν, ἀλλ' ἐν οἷς πρόσκειται ἤτι τῶν προκειμένων μορίων, (τοῦ δεῖ καὶ χρὴ) ἢ ἕτερόν τι τῶν ἐπ' αἰτιατικὴν φερομένων ῥημάτων. καὶ ἕνεκα τοῦ τοιούτου αἴτιος ἀφορμῆς ἐγένετο τοῖς ἐθέλουσι πρὸς αὐτὸν ἀντιλέγειν. α', ὅτι οὐ παρὰ τὸ ῥήματα εἶναι τὸ δεῖ καὶ χρὴ, ἤδη καὶ πλαγίαν ἀπαιτήσει. καθ' ὅ, τι οὐδὲ πᾶν ῥῆμα πλαγίαν ἀπαιτεῖ. β', τριττῆς οὔσης τῆς τῶν ἀπροσώπων ῥημάτων συντάξεως, οὐδὲν πρὸς αἰτιατικὴν φέρεται, ὡς προδεδήλωται. οὐδὲ τὸ δεῖ ἄρα καὶ χρὴ, ἀπρόσωπα ὄντα καὶ αὐτά. γ', εἴπερ πρὸς αἰτιατικὴν φέρεται τὰ τοιαῦτα μόρια, τί ὅτι οὐ κατάλληλον συγκλείει λόγον, τὴν αἰτιατικὴν μόνην προσλαβόντα; δεῖ ἐμέ. χρὴ σὲ, ἢ ἐκεῖνον; ἢ δῆλον ὅτι πρὸς αἰτιατικὴν οὐ φέρεται. δ', τὰ πρὸς αἰτιατικὴν ἀνελλειπῶς φερόμενα, ἤτοι τὴν μείζω, ἢ τὴν ἐλάσσω ὑποδηλοῦσιν ἐνέργειαν. τὸ δὲ δεῖ καὶ χρὴ οὐδετέραν ὑποδηλοῦσιν. ἄρα. ἢ οὐχὶ τοῦ ἀπολλωνίου εἰσὶ ταῦτα τὰ ῥήματα ἐν τῷ αὐτῷ κφ'; ἔστι γάρ φησι, τὸ δεῖ ἡμᾶς γράφειν, ἔχον σύνταξιν τοῦ δεῖ πρὸς τὸ γράφειν οὐ πρὸς τὸ ἡμᾶς; ὧν ὥσπερ ἐπιλαθόμενος, τἀναντία νῦν τίθησι. Ε', εἴπερ ἰσοδύναμά εἰσι κατ' αὐτὸν τὰ μόρια τὸ δεῖ καὶ τὸ λείπει, (τὸ γὰρ δεῖ ἡμᾶς φιλολογεῖν, ἐν ἴσῳ ἐστί φησι τῷ, ἐπειλείπει ἡμᾶς τὸ φιλολογεῖν.) Τί μὴ οὐχὶ καὶ κατὰ μετάληψιν τοῦ ἀπαρεμφάτου εἰς πτωτικὸν εὐθυλογούμενον, τῆς αὐτῆς ἔχεται συντάξεως ἄμφω τὰ μόρια; οὐ γάρ ἐστι φάναι ἡ φιλολογία δεῖ ἡμᾶς, κατὰ τὸ ἡ φιλολογία ἐπιλείπει ἡμᾶς. διὰ τὸ ἀπρόσωπον. Ἕκτον, εἴπερ τὸ δεῖ καὶ χρὴ αἴτια γίνεται κατ' αὐτὸν τῆς αἰτιατικῆς παραθέσεως, προσκείμενα τοῖς ἀπαρεμφάτοις, τίνος ἂν εἶναι φαίημεν τὴν αἰτιατικὴν, ἐν οἷς οὔτε ταῦτα πρόσκειται, οὔτέ τι ἕτερον τῶν πρὸς αἰτιατικὴν φερομένων ῥημάτων; Θουκδ': α', ὁποτέρων ἂν δικασθῇ εἶναι τὴν ἀποικίαν, τούτους κρατεῖν ἐκέλευον. κἀν τῇ β', οὐ γὰρ ἦν πρᾶξαι οὐδὲν, μὴ διδόντα δῶρα. κἀν τῇ δ', εἶπον δὲ τούτοις καὶ κερκυραίων ἅμα παραπλέοντας τῶν ἐν τῇ πόλει ἐπιμελεῖσθαι. Τοιοῦτο καὶ τὸ, Νίτωκρις ἑαυτῇ τάφον κατασκευάσασα, ἐπέγραψεν, ὅς τις ἂν χρημάτων δεηθῇ βασιλεὺς, ἀνελόντα τὸ μνημεῖον, ὅσα βούλεται, λαβεῖν. Ἐν γοῦν τοῖς τοιούτοις τίς ἂν τολμήσοι φάναι τὰς ἐμφερομένας αἰτιατικὰς μὴ οὐχὶ τῶν ἀπαρεμφάτων εἶναι, ᾗ τοιαῦτα; οὔτε γάρ τι τῶν προκειμένων μορίων, τοῦ δεῖ λέγω καὶ χρὴ, οὐδ' ἄλλο τι τῶν ἐπ' αἰτιατικὴν φερομένων ῥημάτων πρόσεστι τοῖς ἀπαρεμφάτοις, τὴν αἰτιατικὴν παράθεσιν αἰτιώμενον, καὶ οὐδὲν ἧττον τὰ τοῦ λόγου καταλλήλως ἔχει. ὁ δ' αὐτὸς ἐν τῷ ς', κφ', τοῦ γ', βιβλ': κἀν τῷ η', τοῦ α', ἀναλύων τὰς τῶν ῥημάτων ἐγκλίσεις εἰς αὐτὸ δὴ τὸ γενικώτατον, οὑτωσίπως τὴν ἀνάλυσιν ποιεῖται. περιπατοίης, εὔχομαί σε περιπατεῖν. γράφοι διονύσιος, ηὐξάμην γράφειν διονύσιον, γραφέτω διονύσιος. προσέταξα γράφειν διονύσιον. ἐν γοῦν τῇ τοιαύτῃ ἀναλύσει τίνος εἶναι φῂς τὴν αἰτιατικήν; μῶν τῶν συνόντων τοῖς ἀπαρεμφάτοις ῥημάτων; ἀλλὰ τῶν κατὰ περιποίησιν ὄντα, οὐ τὴν αἰτιατικὴν, τὴν δὲ δοτικὴν ἑαυτοῖς περιποιεῖται; ἀλλὰ τοῦ δεῖ, ἢ χρή; ἀλλ' οὐ πρόσκειται. ὅτι μὲν οὖν ἴδιόν ἐστι τοῦ ἀπαρεμφάτου τὸ αἰ-

τοῦ τὸ ᾗ ἀπαρέμφατον αἰτιατικὴν περιέχειν ἐκ
ά, ἱκανῶς οἶμαι δέδεικται, πότε δὲ ταύτην
εἰσποιεῖται τὰ ἀπαρέμφατα, ἑξῆς ἂν εἴη λέ-
γειν. ἐν γὰρ τῇ ἐπισταλτικῇ συντάξει οὐ
πρόσκειται ἡ αἰτιατική. καθ' ὅ, τι ἡ τῶν
ἀπαρεμφάτων χρῆσις ἀντὶ μόνου ὀνόματος
εἴληπται, δίχα τοῦ προσσημαντικοῦ. τὸ γὰρ
τρύφων θέωνι χαίρειν, τοιοῦτόν ἐστι, τρύ-
φων εὔχεται θέωνι χαράν. ὑπεμφαίνουσά
γε μὴν καὶ ἡ ἐπισταλτικὴ σύνταξις τὸ προσ-
σημαντικόν, οὐδὲν ἧττον ἔχει καὶ αὐτὴ συ-
νυπακουομένην τὴν τοῦ ἀπαρεμφάτου αἰτια-
τικήν. ὡς εἶναι τοτηνικαῦτα τὸ τρύφων εὔ-
χεται θέωνι χαίρειν, ἀντὶ τοῦ τρύφων εὔχεται
θέωνι οὐκ ἔτι χαρὰν, ἀλλὰ χαίρειν αὐτὸν, τοῦ-
τ' ἔστιν, ἵνα χαίρῃ. ἐπὶ μὲν οὖν ταυτοπαθείας,
εἴτ' οὖν ταυτοπροσωπίας τοῦ προκειμένου ῥή-
ματος, ἔστιν οὗ ἀνεπίδεκτα τυγχάνει τῆς αἰ-
τιατικῆς τὰ ἀπαρέμφατα, ὡς συνεννοουμέ-
νης, ὡς εἴρηται, τοῦ δὲ ῥήματος ἑτεροπροσω-
ποῦντος, πρόσεισιν ἀναγκαίως τότε, τὰ ὡς
εἴρηται πρόσωπα διαστέλλουσα, (δύοιν γὰρ ὄν-
των τῶν ὑποκειμένων προσώπων, καὶ τὰ τού-
των δηλωτικὰ πτωτικὰ, δύω ἐξ ἀνάγκης
ἔσονται.) οὐκ εὐθεῖά γε μήν. καθ' ὅ, τι ἀ-
πρόσωπα τὰ ἀπαρέμφατα, αἰτιατικὴ δέ.
διὰ τί δὲ μὴ γενικὴ, ἢ δοτικὴ, ἀλλ' αἰτια-
τική; ὁ λόγος οὐκ εὐσύνοπτος. τοῦτον οἶμαι
διαθηρώμενος καὶ ὁ ἀπολλ': ἀνεμώλια βά-
ζων οὐ ξυνοίδεν. ἀλλ' ὁ μὲν ἀνὴρ, καί τοι
τ' ἄλλα δεινὸς ὤν, τούτου γ' ἕνεκα ἀγαπάτω
μηδὲν ἐπιτιμώμενος, σκῆψιν ἐπιτιμήσεως
καὶ ταῦτα οὐμικρὰν δεδωκὼς, οὐ γε μὴν ἀλό-
γως ἡγοῦμαι τὴν αἰτιατικὴν παραληφθῆ-
ναι. Ἔστι δ' ὁ λόγος τοιοῦτος. συγγενειάν
τινα δοκοῦσιν ἔχειν πρὸς ἀλλήλας, ὥσπερ
ἡ γενικὴ καὶ δοτικὴ, οὕτως ἡ εὐθεῖα καὶ ἡ αἰτι-
ατική, κατά τε τὸν Πλούταρχον καὶ αὐτὸν Ἀ-
πολλώνιον. δι' ὃ καὶ ἐν τοῖς οὐδετέροις εἰσὶν
αἱ αὐταὶ, ἥ τε εὐθεῖα καὶ ἡ αἰτιατικὴ, καὶ ἐν
πολλοῖς τῶν ἀρσενικῶν καὶ θηλυκῶν. κἀν
τοῖς δυϊκοῖς δὲ τῶν ἀριθμῶν ἐπὶ πάντων
τῶν ὀνομάτων τὴν αὐτήν ἐστιν ἰδεῖν εὐθεῖαν
καὶ αἰτιατικήν. ἐπεὶ οὖν παντὶ ῥήματι φύσει
προεπινοεῖται εὐθεῖα, τὴν τοῦ ὑποκειμένου
προσώπου, ἢ πράγματος ὕπαρξιν παρεμφαί-
νουσα, ἔδει μὲν κἀπὶ τοῦ ἑτεροπροσωποῦντος ἀ-
παρεμφάτου, ᾗ ῥῆμα καὶ αὐτὸ, τὴν εὐθεῖαν πα-
ραληφθῆναι διὰ τὸν αὐτὸν λόγον, ἐπεὶ δ' ἀ-
πρόσωπον, ἡ δ' εὐθεῖα τοῖς προσωπικοῖς τῶν
ῥημάτων συμφέρεται, ἀντ' αὐτῆς οὐδεμία, ἀλ-
λ' ἢ ἡ συγγενεύουσα ταύτῃ αἰτιατικὴ πα-
ρείληπται, τὴν χρείαν ἀναπληροῦσα τῆς εὐ-
θείας. ταῦτ' ἄρα κἀν ταῖς τῶν ἐγκυκλίων
διατριβαῖς ἡ τῶν ἀπαρεμφάτων αἰτιατικὴ
ὀνομαστικὴ καὶ εὐθεῖα, οὐκ αἰτιατικὴ προσα-
γορεύεται, δηλουμένης ἐντεῦθεν, εἰ καὶ
μὴ κατ' ἐπίγνωσιν, τῆς ἀμφοῖν τῶν πτώσεων
συγγενείας. κἀπεὶ πάλιν αἱ εὐθεῖαι ἀμε-
ταβάτως συνυπάρχουσι τοῖς ῥήμασι, καὶ
ἡ ἀντὶ εὐθείας ἄρα ληφθεῖσα τοῦ ἀπαρεμ-
φάτου αἰτιατικὴ, ἀμεταβάτως σύνεστι τῷ ἀ-
παρεμφάτῳ. Εὐθεῖα δὲ ἐκ ά, τοῖς ἀπαρεμ-
φάτοις, ᾗ τοιαῦτα, οὐδέποτε συμφέρεσθαι δύ-
νατο, ὥς τινες, μηδενὶ ξὺν νῷ κανόνα περὶ
τούτου καί τινων ὁμοίων ἐξέθεντο, καὶ τολμη-
ρῶς πάνυ τύποις αὐτὸν ἐκδόντες, ἔλαθον
ἑαυτοὺς ἁπανταχοῦ γῆς τὸν ἔλεγχον τῆς ἰ-
δίας ἀμαθείας δημοσιεύοντες. ἡ γὰρ εὐθεῖα
σύνεστι τοῖς προσωπικοῖς τῶν ῥημάτων κατὰ
Θεόδωρον. οὐκ ἄρα τοῖς ἀπαρεμφάτοις ἀ-
προσώποις οὖσιν. ἁρμόζει τε τῷ ὀρθῷ καὶ
ἀποφαντικῷ λόγῳ. οὐκ ἄρα τοῖς ἀπαρεμ-
φάτοις μηθὲν ἀποφαινομένοις. ὁπότε καὶ
ἐπὶ ταυτοπροσωπίας αὐτῆς αἰτιατικὴ τῷ
ἀπαρεμφάτῳ πρόσεστι. Θουκδ': δ', πεισθὲν
τὸ πλῆθος (τῶν ἀκανθίων) ὑπὸ τοῦ Βρα-
σίδου δέξασθαί τε αὐτὸν μόνον καὶ ἀκούσαν-
τας βουλεύσασθαι, δέχεται. κἀν τῇ γ',
πανταχόθεν δὲ ἄποροι καθεστῶτες, ἀναγ-
καζο-

καζόμεθα, εἰπόντας τι, κινδυνεύειν. κἀν τῇ β', οἱ πλαταεῖς ἐβουλεύσαντο μὴ προδιδόναι ἀθηναίους, ἀλλ' ἀνέχεσθαι καὶ γῆν τεμνομένην ὁρῶντας, καὶ ἄλλο πάσχοντας ὅ, τι ἂν ξυμβαίνῃ, ἐξελθεῖν τε μηδένα ἔτι. ἐν ᾧ τὸ ὁρῶντας καὶ πάσχοντας καὶ τὸ μηδένα, οὐ πρὸς ἀθηναίους, πρὸς δὲ τοὺς πλαταεῖς ἀναφέρεται. ἐν τῇ αὐτῇ, ἔχουν (χῶμα) διῃρημένοι, ὥστε τοὺς μὲν, φέρειν, (χῶμα) τοὺς δὲ, ὕπνοντε καὶ σῖτον αἱρεῖσθαι. Ἡρόδ: ά. οἱ δὲ, ἐβουλεύσαντο τῶν παίδων ἕνα κατακόψαι, σκευάσαντας δὲ αὐτὸν κυαζάρεϊ δοῦναι φέροντας. Λουκιαν. ἐν τῷ περὶ ἀλθ: ἱστορ. διογένης μέν γ' ὁ σινωπεὺς τοσοῦτον μετέβαλε τοῦ τρόπου, ὥστε γῆμαι Λαΐδα τὴν ἑταίραν, ὀρχεῖσθαί τε ὑπὸ μέθης πολλάκις ἀνιστάμενον. καὶ, ὑπ' ἔρωτος ἐβουλεύσατο ὁ κίνυρος ἁρπάσας τὴν ἑλένην, οἴχεσθαι ἀπιόντας. καὶ Θεόδωρος αὐτὸς ἐν τῇ μετοχῇ. αἱ δὲ τῶν προσωπικῶν, κτ', διὰ τὸ μὴ διακριτικὰς εἶναι προσώπων. καὶ Χρυσόστμ: εἰς τὸν παραλυτικὸν, λόγ. ζ', τοῦ ε', τόμου. οὐδεὶς οὕτως ἄθλιος καὶ ταλαίπωρος, ὡς πρὸς τοῦτον ἀφορῶντα, μὴ πάντα τὰ ἐπαγόμενα φέρειν γενναίως. Οἰηθείη δ' ἄν τις ἐν τῷ, περικλῆς ἔφησε φίλος εἶναι, καὶ τοῖς ὁμοίοις εὐθείᾳ τὸ ἀπαρέμφατον συντάσσεσθαι. Πρὸς ὃν ῥητέον, ὡς αἱ τοιαῦται εὐθεῖαι οὐκ εἰσὶν ἐκ ά, τοῖς ἀπαρεμφάτοις, ἐκ γ', δέ. ἐπιθετικαὶ γὰρ, κατὰ σύνταξιν τῶν ὑπαρκτικῶν εὐθείᾳ ἐκ γ', συντασσομένων. ἔπειτα, ἐπιθετικαὶ οὖσαι, κατὰ τῶν ὑποκειμένων ὁμοιοπτώτως τυγχάνουσι λεγόμεναι. ὧν οὐκ ἄνευ τὰ δ' ὑποκείμενα ἀπ' εὐθείας πρὸς ῥῆμα, οὐ πρὸς ἀπαρέμφατον φέρεται. καὶ αὐταὶ ἄρα. οὐ μὴν ἀλλὰ καὶ αἱ ἐκ ά, τοῖς ἀπαρεμφάτοις δοκοῦσαι, κατὰ τὸν αὐτὸν δὴ καὶ αὐταὶ λόγον οὐ πρὸς τὸ ἀπαρέμφατον, πρὸς δὲ τὸ προσωπικὸν ῥῆμα, οὗ ἐξῆπται τὸ ἀπαρέμφατον, φέρονται. ἐπιθετικαὶ γὰρ καὶ αὐταί. τὰ δὲ ἐκ ά, τῶν ἀπαρεμφάτων πτωτικὰ, οὐ σιῴδη, οὐκ ἐπίθετα ὀφείλουσιν εἶναι. Δημοσθ'. ἐν τῷ περὶ στεφάν. αἷς ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων, ἰσχύει. καὶ αὖθις, ἆρά γε μικρὰ βοηθῆσαι ἡμῖν δοκῶ, ἢ μικρὰ (δοκοῦσιν) ἀναλῶσαι ἄν, τοῦ μὴ τὰ δίκαια ποιεῖν ἐθέλειν οἱ πλούσιοι; οὐ τοίνυν μόνον τῷ μὴ καθυφῆναι ταῦτα σεμνύνομαι, οὐδὲ τῷ γραφεὶς, ἀποφυγεῖν, ἀλλὰ, κτ'. Θουκδ'. ά, οὐ γὰρ ἐπὶ τῷ δοῦλοι, ἀλλ' ἐπὶ τῷ ὅμοιοι τοῖς λειπομένοις εἶναι ἐκπέμπονται. καὶ, σπεύδοντές τε γὰρ, σχολαιότερον ἂν παύσεσθε, διὰ τὸ ἀπαράσκευοι ἐγχειρεῖν. κἀν τῇ β', καὶ οὐκ ἤγετο μᾶλλον ὑπ' αὐτοῦ, ἢ αὐτὸς ἦγε, διὰ τὸ μὴ κτώμενος ἐξ οὐ προσηκόντων τὴν δύναμιν, πρὸς ἡδονήν τι λέγειν. καὶ, οἱ δὲ ὕστεροι, ὀρεγόμενοι τοῦ πρῶτος ἕκαστος γίγνεσθαι. Ἡρόδ, γ'. καὶ ξυνεγινώσκετο ἑαυτῷ οὐκ ἔτι εἶναι δυνατὸς τὰ πρήγματα ἐπορᾶν. κἀν τῇ δ', ἡμῆρ τοῦ Σατάσσιος παρῃτήσατο, φάσα οἷ αὐτὴ μείζω ζημίαν ἐπιθήσειν, ἤπερ ἐκεῖνον. ἐν ᾧ τοῦ ἡ', ὁμοιόπτωτα συμπλέκοντος, δῆλον ὡς τὸ αὐτὴ οὐ πρὸς τὸ ἀπαρέμφατον ἔχει τὴν ἀναφοράν. εἴη γὰρ ἄν, εἴπερ, καὶ τὸ διεζευγμένον πτωτικὸν τὸ ἐκεῖνον εὐθεῖα. Ἐν οἷς σημείωσαι, ὅτι ἐν τῇ συντάξει τοῦ ὑπαρκτικοῦ ἀπαρεμφάτου καὶ τῶν τούτῳ ἰσοδυναμούντων πρὸς δὲ καὶ τοῦ γίγνεσθαι, τὸ ἐκ γ', πτωτικὸν ὁμοιοπτωτεῖν ὀφείλει τῷ ἐκ ά. οἷον, κατὰ μὲν εὐθεῖαν, οὗτος προσποιεῖται εἶναι τοιοῦτος. καὶ Συνέσ. ἐπιστλ: γ', ἐν τούτοις ἡμεῖς οὐδὲν ἀδικούμεθα, πλὴν τοῦ καταφανεῖς γεγονέναι λίαν ἀναισθήτους ἔχοντες συγγενεῖς. κατὰ γενικὴν, ἐντεῦθεν ἐπ' ἄλλον ἤϊα τῶν ἐκείνου δοκούντων εἶναι σοφωτέρων. κατὰ δοτικὴν, ᾧ ὑπάρχει εἶναι ἰατρῷ. κατὰ αἰτιατικὴν, πρὸς τοὺς κατ' ἀρετὴν ἀξιοῦντας κυρίους εἶναι τοῦ πολιτεύματος. καὶ ἡ αἰτία πρόδηλος. τὰ γὰρ ἐπιθετικῶς καθ' ἑτέρων λεγόμενα, ὁμοιοπτωτεῖν ἀνάγ-

τεῖν ἀνάγκη τοῖς καθ' ὧν λέγεται. τὸ δὲ ἐκ γ', πτωτικὸν τοῦ τε ὑπαρκτικοῦ καὶ τοῦ ὁλοπαθοῦς ἐπιθετικόν τί ἐστι τοῦ ἐκ α'. ἄρα. Ἕτεροι δὲ πάλιν, ἐνίοτέ φασι, τὸ ἀπαρέμφατον, καί τοι ταυτοπροσωποῦν τῷ οὗ ἐξῆπται ῥήματος, ἑκατέρας ὅμως συνέχει τὰς πτώσεις, εὐθεῖάν τε καὶ αἰτιατικὴν, τὴν μὲν, οὐσιῴδη, τὴν δὲ, ἐπουσιῴδη τὴν αἰτιατικήν. ἢ καὶ ἐναλλάξ. οἷον, οἱ ἰνδοὶ ἔλεξαν σφᾶς αὐτοὺς ἐλθεῖν. καὶ, διὰ τὸ ἀτιμασθῆναι τοὺς Ἀποστόλους ὑπὲρ τοῦ ὀνόματος τοῦ Χῦ, ἐπορεύοντο χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου. οἱ δὲ τοιοῦτοι σπουδάζειν περὶ τὴν τοῦ ἀπαρεμφάτου σύνταξιν προσποιούμενοι, οὐδὲν ὅ, τι καὶ ὑγιὲς λέγουσι, συγχέοντες μᾶλλον, ἤπερ διασαφοῦντες τὰ τῆς συντάξεως. οὐ γὰρ ἑκατέρα τῶν πτώσεων πρὸς τὸ ἀπαρέμφατον ἀποτείνεται, ἀλλὰ μόνη ἡ αἰτιατικὴ, τὴν δὲ εὐθεῖαν εἰσποιεῖται τὸ προσωπικὸν ῥῆμα. φάσκοντες δὲ καὶ τῶν δύοιν ταυτοπροσώπων πτώσεων οὐσιῴδη μὲν, τὴν εὐθεῖαν, ἐπιθετικὴν δὲ, τὴν αἰτιατικὴν, ἢ καὶ ἐναλλάξ, οὐ συνορῶσι δὶ τῶς ἁμαρτάνοντες, τὸ μὲν ἀντωνυμικὸν πτωτικὸν, οὐσίας μάλιστα σημαντικὸν ὂν, ἐπίθετον καλοῦντες, τὰ δὲ ἐπίθετα τῶν οὐσιαστικῶν ἀνομοιοπτώτως κατηγοροῦντες. τὰ γάρ τοι ἐπίθετα ὁμοιοπτώτως τοῖς ὑποκειμένοις σχηματίζεται. τὸ δὲ σφᾶς αὐτοὺς, οὐ σχηματίζεται ὁμοιοπτώτως τοῖς ὑποκειμένοις ἰνδοῖς, οὐκ ἄρα ἐπίθετον. καὶ πῖ τῆς αἰτιατικῆς ἄρ' οὐσιῷδές ἐστιν, οὔκουν ἐπίθετον τὸ ἀντονομαζόμενον. καὶ πῖ τοῦ, χαίροντες δὲ ἐπορεύοντο, τὸ εὐθυλεκτούμενον μετοχικὸν, τοὺς ἀποστόλους μὲν ἔχει ἤτοι συνεννοουμένους, ἢ ἀντονομαζομένους ὑποκείμενον, οὐ μὴν παρὰ τοῦτο καὶ πρὸς τὸ ἀπαρέμφατον φέρεται, ἀνομοιόπτωτον ὂν τῇ τοῦ ἀπαρεμφάτου αἰτιατικῇ, ἀλλὰ πρὸς τὸ ἐπορεύοντο συνοδεύει ῥῆμα. ὡς εἶναι τοιοῦτον, οἱ Ἀπόστολοι ἐπορεύοντο χαίροντες, διὰ τὸ ἀτιμασθῆναι αὐτούς. δῆλον δὲ κἀντεῦθεν, ὡς καὶ ταυτοπροσωποῦντος τοῦ ῥήματος τῷ ἀπαρεμφάτῳ, (εἴγ' ὅλως δίδοται λέγειν ταυτοπροσωπεῖν τῷ ῥήματι τὸ ἀπαρέμφατον, ἀπρόσωπον ὄν,) αἰτιατικὴν πάλιν περιέχει ἐκ α', τὸ ἀπαρέμφατον, καί τοι ταυτοπροσωποῦσαν τῇ τοῦ ῥήματος εὐθείᾳ. ὁ γὰρ τῶν πτωτικῶν τὰ κατὰ τὸ αὐτὸ πρόσωπον παρεμπίπτοντα ὁμοιοπτωτεῖν ἀλλήλοις ἀπαιτῶν λόγος, ἐν μόνοις τοῖς πρὸς τὸ αὐτὸ ῥῆμα συμφερομένοις κρατεῖ λεγόμενος. ᾧδε δὲ τῶν πτωτικῶν ἑκάτερα οὐσιῴδη τε καὶ ἀσύνδετα τυγχάνοντα, οὐ πρὸς τὸ αὐτὸ φέρεται ῥῆμα. Οὐκ ὀκνοῦσι δὲ οἱ αὐτοὶ καὶ μόνην εὐθεῖαν ἀποδιδόναι τῷ ἀπαρεμφάτῳ. ὅταν γάρ φασιν, ἡ ὀνομαστικὴ τοῦτε ἀπαρεμφάτου καὶ τοῦ παρεμφαντικοῦ ῥήματος, τοῦ αὐτοῦ τυγχάνῃ προσώπου, μία οὖσα, τοτηνικαῦτα ἡ ὀνομαστικὴ τοῦ ἀπαρεμφάτου οὐ τρέπεται εἰς αἰτιατικήν. οἷον, ὁ Ἀλέξανδρος ἐπιθυμεῖ μανθάνειν. ἰδοὺ γάρ φασιν, ὁ ἀλέξανδρός ἐστιν ὅ, τε ἐπιθυμῶν καὶ ὁ μανθάνων. Ἐμοὶ δὲ, ἀλλὰ γὰρ οὐ βούλομαι δυσχερές τι εἰπεῖν, αἰδοῖ τῶν ταῦτα λεγόντων, τῶν γε μὴν ἐντυγχανόντων τοὺς εἰσαγωγικοὺς ἀσφαλιζόμενον, ἀπαντητέον δὴ καὶ πρὸς ταῦτα. μία φασί. τὸ δὲ ἐν, ἤτοι ἑνὶ συντάσσεται, ἢ δύοιν, κατὰ Θεόδωρον. ἀλλὰ γὰρ ἑνὶ μὲν, ἀσυνδέτως, δύοιν δὲ, συνδεδεμένως. ᾧδε δὲ οὔκουν συνδεδεμένως, οὐκ ἄρα δύοιν, ἑνὶ δὲ, καὶ τούτῳ ἤτοι μόνῳ τῷ ἀπαρεμφάτῳ, ἢ μόνῳ τῷ ῥήματι. ἀλλὰ μὴν οὐ τῷ ἀπαρεμφάτῳ, ἐσχάτην εἰληφότι τάξιν, τῷ ῥήματι ἄρα. καὶ κατὰ Ἀπολλ': δὲ τὸ συνὸν πτωτικὸν τότε κατὰ τὸν ἑξῆς λόγον κοινὸν παραλαμβάνεται, ὅτε τὸ ῥῆμα συμπλακῇ. ἀλλὰ μὴν ᾧδε τὸ ἑξῆς ῥῆμα, φημὶ δὴ τὸ ἀπαρέμφατον οὐ πέφυκε συμπλέκεσθαι. οὐκ ἄρα τὸ εὐθυλεκτούμενον πτωτικὸν κοινὸν παραλαμβάνεται. καθ' ὅ, τι τὰ ἐφετι-

τὰ ἐφετικὰ τῶν ῥημάτων προαίρεσιν ψυχῆς μόνον ὑπεμφαίνοντα, ἐλλείπονται καὶ αὐτὰ τῷ πράγματι. ὅθεν εἰς τὴν τότε ἀναπλήρωσιν προσληφθείτος τὲ ἀπαρεμφάτε, τὰ δύω αὐθ' ἑνὸς ῥήματος ἐπ' αὐτοπαθείας εἰθ' ἕν ταὐτοπροσωπίας ἐξακούθ). τὸ δὲ σὺν ῥῆμα σὺν πτωτικῷ, ὑδυοῖν ἀσυνδέτως σωτάσσε). Ἐφ' οἷς σημ: ὅτι τὰ μὲν προσωπικὰ τῶν ῥημάτων ἔχει ὡς εἴρη), ἐμὴν περιέχει τὴν προϋφισαμένην διάθεσιν, τὸ δὲ ἀπαρέμφατον τὸ ναυτίον, περιέχει, ἐμὴν ἔχει τὴν αἰτιατικὴν, δηλέντος τὲ μὲν, τὸ σὺν ὑπάρχειν, ὥσε καὶ μὴ προσκειμένην σωεννοεῖσθαι, τὰ δὲ περιέχει, τὸ ἔξωθεν καὶ μὴ σὺν αὐτῷ ὑπάρχειν ἀλλ' ἐπείσακτον. ὥσε, καὶ εἰ μὴ προσετέθη, μὴ σωεννοεῖσθαι. εἶη γὰρ ἄν, εἰ περ, προσωπικὰ καὶ αὐτά.

Ἐπεὶ ὥσε ῥῆμα, τὴν τε ῥήματος διάφορον ἕξει μετάβασιν.

Ὡς μὲν γὰρ ἀπαρέμφατον, ἐνὰ, εἴτ' ἂν ἀμβάτως περιέχει τὴν αἰτιατικὴν, ὡς δὲ καὶ ῥῆμα τὸ αὐτὸ, κατὰ τὰ εἰδικὰ εἴτ' ἂν προσωπικὰ ῥήματα τὴν μετάβασιν ἐνγ', ποιήσεται. ἤτοι εἰς γενικὴν, ἢ εἰς δοτικὴν, ἢ εἰς αἰτιατικὴν, ὅτε καὶ ἐπὶ δύω καὶ τρία δεῖς αἰτιατικὰς φέρεται, τὴν μὲν, ἐνά, τὴν δὲ, ἐνγ'.

Οἷον, συγγινώσκειν σετῷ ἡμαρτηκότι.

Τῶν πτωτικῶν τὸ μὲν ἐνά, ἢ ἀπαρέμφατον, ἴδιον ἔχει, τὸ δὲ ἐνγ', ἢ ῥῆμα, κοινὸν πρὸς τὰ παρεμφαντικὰ ῥήματα.

Καὶ τὸ παντὶ προσώπῳ καὶ παντὶ ἀριθμῷ σωτάσσεσθαι, διὰ τὸ ἀμοιρεῖν τῆς τοιέτων.

Περὶ δὲ τὰ μὴ προσόντα οἷς, ἐθὲν φαῦλον συμβαίνει, ἀδιαφόρως σωτασσόμενον.

Καὶ τὸ ταῖς ἄλλαις ἐγκλίσεσι πάσαις,

Ὁριστικῇ μὲν, ἐπιθυμῶ μανθάνειν. προστακτικῇ δὲ, θέλε διδάσκεσθαι. δ' κτικῇ δὲ, δύναίμην ἂν ἰδεῖν. ὑποτακτικῇ δὲ, ποτὲ, ἵνα ἔχω εἰδέναι.

Καὶ ἑαυτῷ δὴ σωτάσσεσθαι.

Τέτ' ἔστι καὶ ἀπαρέμφατον. οἷον,

Ὁρῶσε μελεταῖν ἀναγινώσκειν. καὶ μετοχῇ. μελετῶντα ἀναγινώσκειν. καὶ ὀνόματι. καλὸς ἰδεῖν. ἀνδρεῖος μάχεσθαι.

Ἀντὶ ὀνόματος σωεκδοχικῶς.

Καὶ τὸ τοῖς διωρισμένοις τρόποις περὶ σωτάξεως ἅπασιν οἷόν τε εἶναι προσκεῖσθαι.

Οὐμόνον τοῖς τρισὶν ἁπλοῖς, ἀλλὰ καὶ τοῖς ἐξ αὐτῶν σωθέτοις, τελικῶς ὧδε ἁπαπαχὲ λαμβανόμενον.

Διδάσκω σε διαλέγεσθαι.

Τῷ κατ' ἐκπομπὴν ἁπλῷ.

Ἀπαιτῶ σε χρήματα δηλώσασθαι τὲς ἐχθρές.

Τῶν συγκειμένων τῷ κατ' ἐκπομπὴν διαβατικῷ.

Ἀκέω σε μαθεῖν τὰ περὶ τὴν πόλιν.

Τῷ κατ' εἰσομπὴν ἁπλῷ. φασὶ δὲ σύνταθα εἰδικῶς εἰλῆφθαι τὸ ἀπαρέμφατον. ἀλλ' οὐ γὰρ μήτε ἀφηγηματικῶς, μήτε δοξαστικῶς

στικῶς μήτε γνωστικῶς ὂν συντεταγμένον, τελικῶς κἀν ταῦθα εἴληπται, ἵνα ᾖ ἀνεπτυγμένως, ἀκούω σου, ἵνα μάθω κτ΄. ἕτερον ὂν τοῦ, ἀκούω σε μαθεῖν κτ΄. τοῦτο γὰρ ὅμοιον τῷ, ἀκούω ὑμᾶς δεδωκέναι δολοβέλλα χρήματα.

Ἀπολύω σε τῶν δεσμῶν, πορεύεσθαι, ὅποι δοκέῃ.

Τῶν συγκειμένων τῷ α΄, ἐλλειπτικῷ.

Δίδωμί σοι χρήματα πρίασθαι, ὧν ἂν δέῃ.

Τῶν συγκειμένων τῷ κατὰ περιποίησιν διαβατικῷ,

Κοινωνῶ σοι τῶν ἀγαθῶν, μὴ φθονερὸς εἶναι δοκεῖν. πολλαχῇ μέντοι τοῦ σαφεστέρου χάριν, ὡς εἴρηται.

Ἐν τῷ τέλει που τῶν μεταβατικῶν προσωπικῶν.

Προσθετέον ἢ ἀποστατικὸν τὸ ὥστε, ἢ ἐλλειπτικὸν τὸ τοῦ, ἢ προθετικὸν ὁμοῦ ἄρθρῳ. ὅπως ἂν ἡ χρεία ὑπαγορεύῃ. παρακαλῶ σε ταῦτα, ὥστε τυχεῖν. τοῦ τυχεῖν. ἐφ᾽ ᾧ τυχεῖν τιμῆς τε καὶ δόξης.

Τῶν προκειμένων μορίων τὸ μὲν εἰδικὸν ἀπαρέμφατον οὐδὲν προσλαμβάνειν ἐθέλει, τῷ δὲ τελικῷ οὐδενὸς, ἀλλ᾽ ἢ τοῦ σαφοῦς, ὡς εἴρηται, χάριν προστίθεται. ἐπεὶ καὶ δίχα γε τούτων οὐδὲν ἧττον τὸ οὗ ἕνεκα αἰτιολογεῖ, ἀσαφῶς ὅμως. εἴγε σύνεστιν ἐπὶ τὸ πολὺ τῇ μὲν βραχυλογίᾳ, ἡ ἀσάφειᾳ, τῇ δὲ μακρολογίᾳ, ἡ σαφήνεια. Ταύτην δὲ δῆλον ὡς οὐδὲν μᾶλλον τὸ ἀποστατικὸν ὥστε, ἢ τῶν ἄρθρων τό, τε ἐλλειπτικὸν καὶ τὸ προθετικὸν ἐμφαίνουσιν. ἀδιαφόρως οὖν ἐχόντων τῶν προστιθεμένων μορίων ὡς πρὸς τὴν τοῦ οὗ ἕνεκα σαφήνειαν, ὁποία τίς ἐστιν ἡ χρεία, ἡ μὴ τὸ τυχὸν, ἀλλ᾽ ἔστι μὲν οὗ, τοῦτο. ἔστι δ᾽ οὗ, ἐκεῖνο προστιθέναι ὑπαγορεύουσα; ἐν γὰρ τοῖς φθάσασι τὴν τῶν τοιούτων μορίων χρῆσιν ἔνθα μὲν, πρὸς τὴν τοῦ φράζοντος δόξαν, εἴτ᾽ οὖν τὸ ἐκείνῳ δοκοῦν ἐφῆκεν, ἔνθα δὲ, πρὸς τὸ τοῦ ἑλληνισμοῦ εὖ ἔχον, ἀλλ᾽ οὐ πρός τινα χρείαν. Ἢ ὅτι χρείαν ἐν ταῦθα τὴν τῆς κατὰ τὴν εὐρυθμίαν εὐφραδείας βούλεται λέγειν. οὐδὲ γὰρ πάντά γε μετὰ πάντων τιθέμενα, ὁμοίως πέφυκε διατιθέναι τὰς ἀκοάς. οὐδ᾽ ὡσαύτως εὖ ἔχει ἑλληνισμοῦ, εἴτ᾽ οὖν εὐφραδείας τῆς καθ᾽ ἕλληνας τὸ αὐτὸ μόριον, ἁπανταχοῦ τιθέμενον, ἀλλ᾽ ἔνθα μὲν, τῇ πρὸς ὃ συνήρτηται μόριον εὐρυθμίᾳ εὐστομίαν τινὰ ἐμφαίνει καὶ σεμνότητα, ἔνθα δὲ, τοῦτο μὲν, τῇ πρὸς ὃ συνήρμοσται μέρος τῶν χρόνων ἀσυμμετρίᾳ ἀχαρί τε καὶ ἄσεμνον φαίνεται, τὴν ἀκοὴν οὐχ ἧττον αὐτὸ διοχλοῦν, ἢ αὐλητὴς τὴν καλουμένην αὐλήσας ἐκμέλειαν, τὸ δὲ παρὰ τοῦτο, ἡδέως αὐτὴν κηλοῦν διατίθησι. μετεῖναι γάρ φασιν οὐ μᾶλλον ταῖς ᾠδαῖς τε καὶ τοῖς τῶν ὀργάνων κρούμασιν, ἢ τῇ καλῇ λέξει, φημὶ δὴ τῇ τῶν λέξεων συνθήκῃ εὐμελείας τε καὶ εὐρυθμίας. οὐδὲ γὰρ μόνην τὴν μουσικὴν, ἀλλὰ καὶ λέξιν ἁπλῶς ἅπασαν ἐν ῥυθμῷ τινι λέγεσθαι καὶ μέλει. καὶ γὰρ καὶ ἡ γραμματικὴ περὶ τόνους καταγίνεται. οἱ δέ εἰσι μουσικῆς ἀπηχήματα κατὰ τὸν Εὐστάθειον. ἀλλὰ καὶ περὶ χρόνους. οἱ καὶ αὐτοὶ μουσικῆς κατ᾽ Ἀμμώνιον. φασὶ δὲ μέλος μὲν, τὰς τοῦ τόνου ὀξύτητας καὶ βαρύτητας, αὐτὰς δὴ τὰς τῶν συλλαβῶν ἐπιτάσεις τε καὶ ἀνέσεις, καὶ μεσότητας. ὧν τὸ πρός τε τὴν μουσικὴν καὶ τὴν πεζὴν λέξιν διαλλάττον, κατὰ τὸ μᾶλλόν ἐστι καὶ ἧττον. ῥυθμὸν δὲ, τὰ τοῦ χρόνου μήκη τε καὶ τὰς βραχύτητας, τὰς τῶν φωνηέντων δηλ. κατὰ χρόνον συστολάς τε καὶ ἐκτάσεις, ἐξ

σεις. ἐξ ὧν εἰς αὔξησιν προάγοντες οἱ ῥυθμοὶ, προβαίνουσιν εἰς τὰ ποιητικὰ μέτρα, τοὺς καλουμένους πόδας. ὧν οἱ μέν εἰσιν ὑψηλοί τε καὶ εὐγενεῖς καὶ ἀξιωματικοὶ, καὶ εἰς κάλλος ἁρμονίας ἀξιολογώτατοι, τῶν μὲν δισυλλάβων ὅ, τε σπονδεῖος καὶ ὁ ἴαμβος, τῶν δὲ τρισυλλάβων ὅ, τε μολοττὸς καὶ ὁ ἀνάπαιστος, καὶ ὁ τούτῳ ἀντίστροφος δάκτυλος ὁ κρητικὸς, βακχεῖός τε καὶ ὁ ὑποβάκχειος. περὶ ὧν οὐ τοῦ παρόντος ἐστὶ θεωρεῖν. οἱ δὲ παρὰ τούτους δισύλλαβοί τε καὶ ὑπερδισύλλαβοι ταπεινοί τέ εἰσι καὶ ἀγεννεῖς. καὶ οὐδὲν ἂν ἐξ αὐτῶν γένοιτο σεμνὸν, ἢ γενναῖον, ὡς πολὺ τὸ θῆλυ καὶ διακεκλασμένον ἐχόντων. Εὖ μὲν οὖν ἔχει ἑλληνισμοῦ, ἡ ἐκ τῶν κρατίστων ῥυθμῶν ξυνυφανθεῖσα συνθήκη, τὸ δ' αὐτὸ καλῶ πόδατε καὶ ῥυθμὸν ἤδη. ἑτέρως δ' αὖ, ἡ ἐκ τῶν ἀγεννῶν. οὐκ ἀπόβλητος δὲ οὐδ' ἡ κατὰ ἀνάγκην ἐπίμικτος μὲν ἐξ ἀμφοῖν, οἰκονομοῦσα δὲ τὰ ὀνόματα φιλοτέχνως, καὶ διακλέπτουσα τῇ τῆς ἐπιμιξίας χάριτι τὴν τῶν χειρόνων δυσγένειαν. ἐπειδὴ γὰρ οὐχ οἷόν τε τὴν ἑκάστης μεταθεῖναι λέξεως φύσιν, λείπεται ἔνθα μὲν, τῇ τοῦ σχήματος κατὰ τὰ παρεπόμενα ἐξαλλαγῇ, ἔνθα δὲ, τῇ ἐν πλεονασμῷ τινος τῶν στοιχείων, ἢ ἐλλείψει μετασκευῇ, οἵπερ ἂν ἐγχωρῇ, ἔνθα δὲ, τῇ τοῦ τόπου μεταθέσει, καὶ ὅλως τῇ πρὸς τὰς δυναμένας τῇ εὐρυθμίᾳ γοητεύειν τὴν αἴσθησιν, ἐμπλοκῇ τε καὶ συνυφάνσει συγκρύψαι τὴν παρακολουθοῦσαν αὐτῶν τισιν ἀτοπίαν, καὶ ὑπὸ τῆς τῶν κρειττόνων χάριτος ἐπισκοτῆσαι τὴν τούτων ἀηδίαν, κατὰ τῶν στρατηγῶν τοὺς ἐν τῇ παρατάξει τοῖς ἰσχυροῖς τὰ ἀσθενῆ συγκρύπτοντας, ἐφ' ᾧ μηδὲν αὐτοῖς τῆς δυνάμεως μέρος γενέσθαι ἄχρηστον. ἐπισκοπεῖν τε ποῖον μόριον ποίῳ μορίῳ συνταγὲν, ἐπιτηδείως ἔσται κείμενον, καὶ πῶς σχηματισθὲν, εὐρύθμως τε καὶ χαριέστερον ἱδρυνθήσεται. δεῖ μέν τοι τὸν εὐρυθμίας ἐν τῷ πεζῷ λόγῳ ποιούμενον πρόνοιαν, μὴ ὅμοια μέτρα περιλαμβάνειν, μηδὲ τεταγμένους σῴζειν κατὰ κῶλον ἢ πνεῦμα ῥυθμοὺς, τοῖς αὐτοῖς ῥυθμοῖς καὶ μέτροις δι' ὅλου χρώμενον. οὕτω γὰρ ἐκστᾶσα ἡ σύνθεσις τοῦ ἀδίου χαρακτῆρος, πόιημα ἔσται. ἀλλὰ πεπλανημένα εἴδη μέτρων καὶ ἀτάκτους ῥυθμοὺς ἐμπεριλαμβάνειν, τῶν αὐτῶν μηδὲ μίαν ἀκολουθίαν ἐμφαίνοντα, ἀλλὰ τὰ μὲν, συγχέοντα, τὰ δὲ, ἐγκαταμιγνύντα, τὰ δὲ, πλεονασμῷ, ἢ ἐλλείψει ποδὸς, ἢ συλλαβῆς, ἢ χρόνου, ἢ ἄλλῳ τινὶ πάθει συμφθείροντα, ὥστε τῇ τῶν ῥυθμῶν ποικιλίᾳ πάντῃ δοκεῖν ἐξηλλάχθαι τὸν λόγον, καὶ ἥκιστα ἐοικέναι τοῖς ποιήμασιν. Ὅπως μὲν οὖν εὐρυθμίας εὖ ἕξει ὁ λόγος, σχεδόντι εἴρηται, εἴη δ' ἂν καὶ εὐμελὴς, εἰ τὴν ἀκοὴν εὖ ἔχει διατιθέναι. ἄγεται δὲ καὶ γοητεύεται ἡ ἀκοὴ οὔτε μόνῃ τῇ ἐπιτάσει τοῦ κατὰ φωνὴν τόνου, οὔτε μόνῃ τῇ ἀνέσει, οὐδὲ τῇ μεσότητι, ἀλλὰ τῇ ἐξ ἁπασῶν συμφωνίᾳ. ἔνθεντοι κιθαριστής τε ἀγαθὸς σφόδρα εὐδοκιμῶν, ἐθορυβήθη ὑπὸ τοῦ πλήθους. ὅτι μίαν χορδὴν ἀσύμφωνον κρούσας, τὸ μέλος διέφθειρε. καὶ αὐλητὴς ὁμοίως μετὰ τῆς ἄκρας ἕξεως χρώμενος τοῖς ὀργάνοις, αὐτὸ τοῦτο πέπονθεν. ὅτι θρυλιγμὸν μὲν, μὴ πιέσας τὸ στόμα, ἐκμέλειαν δὲ, ἀσυμφώνως ἐμπνεύσας, ἤυλησε. μουσικὴ γάρ τίς ἐστι καὶ ἡ τῶν πεζῶν λόγων ἐπιστήμη, τῷ ποσῷ μόνῳ διαλλάττουσα τῆς ἐν ᾠδαῖς καὶ ὀργάνοις. εἴγε καὶ αὐτὴ τῇ ποιᾷ τάσει τῶν συλλαβῶν τὰς μὲν, ἐπιτεταμένας ἔχει. τὰς δὲ, ἀνειμένας. τὰς δὲ, μέσας. ὥσπερ αὖ πάλιν τὰς μὲν, μηκυνομένας τῷ χρόνῳ. τὰς δὲ, συστελλομένας. καὶ τὰς μὲν, δασεῖ, τὰς δὲ, ψιλῷ ἐκφωνουμένας τῷ πνεύματι. Τῆς δὲ κατὰ τὴν λεκτικὴν ἁρμονίαν εὐμελείας τε καὶ εὐρυθμίας κριτήριον μὲν ἄριστον εἶναί φασι τὴν ἄλογον αἴσθησιν. (φύσει τε γὰρ καὶ ἀδιδάκτως, ἀλλ' οὐκ ἐν λόγῳ διατίθεται ἡ

μῶν ἀνα-

μῶν ἀναλόγως τὰ αἰσθητήρια πρός τε τὰς τῦ φωνῶν ποιὰς τάσεις καὶ τὰ χρώματα, καὶ τοὺς τε χυμὸς, καὶ ἁπλῶς πρὸς τὰ καθ' ἑκάστην αἴσθησιν αὐτικείμενα.) ἀντιλαμβάνεσθαι δὲ τῶν μὴ πάντας τὰς τῆς πεζῆς ἐπαίνους λέξεως, μόνος δὲ τὸς ἐνεργῶς καὶ πιθήσει χρονίῳ ἀγωνιζομένους. ἐθείπε γὰρ καὶ ἐπισήμη, εἰ τὸν ἐμπειρίᾳ τὰ τοιαῦτα διαγινώσκεσθαι, καὶ μὴν ἐξ ὀλίγων παραγγελμάτων καὶ τροσκαίρε κατηχήσεως. ἐξεξάπη δ' ὁ λόγος εἰς τὰ τοιαῦτα καὶ τηνάλως, ἀλλ' εἰς τὸ δεῖξαι, ὡς τὸ δὲ, ἢ κακῶς ἔχειν τὸν ἑλληνισμὸν συμβαίνει παρὰ τὴν ποιὰν σωνθεσιν καὶ τῆ λέξεως μόνων, ἀλλὰ καὶ τῆ μελῶν τε καὶ ῥυθμῶν, τόνων λέγω καὶ χρόνων. ὧν ἐχ ἥκιστα προνοητέον τὰς μὴ παρεικὰς μηδὲ καταπεκλασμένας, ἢ σὺ ἄλλη τινὶ αἰχύνη καὶ ἀμορφία τὰς γραφὰς ἐξενεγκεῖν βελομένυς. καὶ γὰρ φαῦλόν τι πρᾶγμα ῥυθμὸς ἐν λόγοις, ἀλλὰ κυριώτατον ἁπάντων τῶν γοητεύειν ἐχόντων καὶ κηλεῖν τὰς ἀκοάς. παύτη τοι καὶ χρειώδες ἐστιν ἐμπειρίαν λαμβάνεσθαι τῆ πεζῆ λέξει ῥυθμός τινας, εἰ μέλλει τὸ ποιητικὸν ἐπανθήσειν αὐτῆ κάλλος, ὡς τοῖς τε ἄλλοις καὶ αὐτῷ δὴ τῷ Ἀριστοτέλει δοκεῖ, βιβλ. γ', τῆς ῥητορ. ἐχ ἥκιστα δὲ καὶ τῷ Θεοδώρῳ αὐτῷ, προσιθέναι λέγοντι τῆ παυσωμένων μορίων τὸ τυχὸν, ἀλλ', ὅπερ ἀν ἡ χρεία ὑπαγορεύῃ. καὶ παῦτα μὲν τοιαῦτα. Τὰ δ' ἀναφορικὰ τῆ ὀνομάτων προσκείμενα ἐστιν ἃ τοῖς ἀπαρεμφάτοις, ἐπιπαντικὰ μὲν ὄντα ὀνόματος ὁμοιωματικὰ, ἢ παρισωτικὰ τροσκειμένα, ἢ σωυπακουμένα, αὐτὶ τῦ ὥστε ἀποσατικὰ κεῖται. οἷον, τοιῦτος, ὅιος δύνασθαι φέρειν. τοσῦτος, ὅσος ἐφικνεῖσθαι. καὶ Δημοσθ. ὀλυνθ. β', καὶ τοιῦτος αὐτὸς, οἷος μεθυσθέντας ὀρχεῖσθαι. καὶ γὰρ καὶ τὸ ὥστε ἀποσατικὸν, ὁμοιωματικῶν τε καὶ παρισωτικῶν ὀνομάτων ἐστὶν ἐπιτακτικόν. Σωσ. ἐδοκει γὰρ νέος εἶναι καὶ ῥήκτης αὐτὴρ, οἷος τὰς ἐχθρὰς κακῶσαι, καὶ ὠνῆσαι τὰς φίλας. αὐτὰ τῦ καὶ τοιῦτος, οἷος. ἔστι δὲ τὸ ἀπαρέμφατον αὐτὶ τροσώπε εἰλημμένον ῥήματος. ὡς μήτε τελικὸν ὂν, μήτε εἰδικόν. Χρυσόμ. λόγῳ εἰς τὸν μακάριον Βαβύλαν καὶ κατὰ Ἰουλιαν: οἱ μὲν γὰρ βασιλεῖς τοσῦτον ἐκέρδαναν ἐκ τῆς καθ' ἡμῶν ἐπιβελῆς, ὅσον θηριωδίας δόξαν παρὰ πᾶσιν ἔλαβον. καὶ ὁμιλ. ξβ', εἰς τὸ γεν'. οἱ ἀδελφοὶ τῦ Ἰωσὴφ καὶ τῆς συγγενείας ἐπελάθοντο, καὶ θηρίων ὠμότητα πρὸς τὸν ἀδελφὸν ἐνδικνύτα ἐπεδείξαντο, τὸ μὲν ἑαυτῷ κακίαν ἔνδηλον πεποιηκότες, τὸν δὲ ἀδελφὸν ἀδελφὸν τοσῦτον καταβλάψαντες, ὅσον ἑαυτὸς καὶ χώρᾳ περιέβαλον. Ἀπολύπως δὲ κειμένων εἴτ' οὖν θαυμασικῶς, τὰ ἀπαρέμφατα αὐτὶ ὀνόματος εἴληπται, ὡς εἴρηται, οἷον, οἷος εἰπεῖν καὶ ἀκῦσαι. τὸ δὲ, ὅσα γ' ἐμὲ εἰδέναι, ἔλλειψιν δοκεῖ ἔχειν, τῦτ' ἔστι καὶ τὸ αὐτοδοτικὸ ὀνόματος προθετοπώτως. οἷον, κλήψῃ τὸ ἐλθεῖν σε. ἄκυν ὅσα γ' ἐμὲ εἰδέναι. αὐτὶ τῦ διὰ τοσαῦτα, ὅσα ἐστὶν ἐμὲ εἰδέναι. προάγε δὲ καὶ κατ' ὀρθόν. Βασίλ. ἐν τῷ κατ' Εὐνομ. α', λόγ. ἔστι δὲ ὁ μὲν πρῶτος εἰπεῖν φανερῶς καὶ διδάξαι τολμήσας, (τὰ τῆς βλασφημίας.) ὅσα γε ἡμεῖς ἴσμεν, ἀέτιος ὁ Σύρος. καὶ ἐν ἐπιστολ. τῆ πρὸς τὸς νεοκαισαρείς, ἧς ἡ ἀρχὴ, πολὺν χρόνον ἀπεσιωπήσαμεν, ἐδεμιᾶς τῦ διεζεῦχθαι δικαίας ἀφορμῆς ὑπαρχύσης, ἄκυν ὅσα γε ἴσμεν αὐτοί. καὶ ἐν τῷ πρὸς τὸς νέους, ὅσα ἐγὼ τῆς διανοίας τῦ ἀνδρὸς μέμνημαι. Γρηγορ. λόγῳ β', περὶ θεολογίας, ὅσα ἐμὲ γινώσκειν. ἐν δὲ τῷ σωσπατρ, ὅσα ἐμαυτῷ σωνεπίσαμαι.

Προαιρετικὰ καὶ ὑπηρετικά.

Μάλιστα δὲ ἐπὶ τοῖς προαιρετικοῖς τε καὶ ὑπηρετικοῖς καλυμένοις τὸ ἀπαρέμφατον ἐπιφέρεται. βούλομαι, ἢ θέ-

μαι, ἢ θέλω γράψαι. προαιροῦμαι, ἢ ἐφίεμαι φιφεῖν. ἐπιθυμῶ ἰατρεύειν. ποθῶ ἰδεῖν. προθυμοῦμαι βοηθεῖν. ἐπίσταμαι, ἢ δύναμαι, γράφειν.

Προαίρεσιν μόνον ψυχῆς ἐμφαίνοντα τὰ προαιρετικὰ κατὰ Ἀπολλ΄. ἐλλείπονται τῷ πράγματι. οὗ δὴ καὶ ὡσπερεὶ κενὰ ὄντα, ἀναπληροῦται τῇ τοῦ ἀπαρεμφάτου παραθέσει. ἤγουν τὰ μὲν προαιρετικὰ, πρόσωπα καὶ ἀριθμοὺς καὶ ψυχῆς ἀκολούθως ἔχοντα βούλησιν, πράγματι μόνῳ ἐλλείπεται, τὰ δ' ἀπαρέμφατα ἐκ τοὐναντίου, πραγμάτων μόνον δηλωτικὰ ὄντα, ἐλλείπεται τοῖς προσοῦσι τοῖς προαιρετικοῖς. κατ' ἐξαίρετον τοίνυν τοῖς προαιρετικοῖς συντάσσεται τὰ ἀπαρέμφατα, ὡς ἂν τὸ ἑκατέρων ἐλλεῖπον δι' ἀλλήλων ἀναπληρῶται. Ἀντὶ δὲ τοῦ ὑπηρετικοῖς, ἐφετικοῖς ἀξιοῦσί τινες γράφειν, ὡς τῶν μετὰ τὰ προαιρετικὰ ἐπενεχθέντων ῥημάτων, τῶν ἐφετικῶν ὄντων. Ἀλλὰ γὰρ τὸ ἐπίσταμαι καὶ δύναμαι, οὔτε τῶν προαιρετικῶν εἰσιν, οὔτε τῶν ἐφετικῶν. ὁ γοῦν Θεόδωρος τὰ ἐφετικὰ τοῖς προαιρετικοῖς συμπαραλαβὼν, (τῆς προαιρέσεως γὰρ καὶ ἡ ἔφεσις, ἐπιτεταμένη οὖσα προαίρεσις,) ὑπηρετικὰ δοκεῖ λέγειν τὸ ἐπίσταμαι καὶ δύναμαι καὶ τὰ τοιαῦτα. Σημείωσαι δὲ, ὅτι τὸ τοῖς προαιρετικοῖς τῶν ῥημάτων συμφερόμενον ἀπαρέμφατον τελικὸν ὂν, οὐδὲν ἧττόν ἐστι καὶ εἰδικόν. ᾗ τὸ κατὰ προαίρεσιν εἰδοποιεῖ πρᾶγμα. ἐπικρατεῖ ὅμως τὸ τέλος. εἴγε οὐ τὸ ὅτι, τὸ δὲ ἵνα αὐτῷ ἁρμόττει. καὶ γὰρ καὶ ἐν τοῖς φυσικοῖς ἐπί τινων αἰτιατῶν τινα τῶν αἰτίων ἀλλήλοις συνέρχεται εἰς ταὐτὸ, τοῦ αὐτοῦ ὄντος καὶ εἴδους καὶ τέλους. ἡ γὰρ φύσις ἕνεκα τοῦ εἴδους μηχανᾶται πάντα τὰ προηγούμενα, καὶ ἔστι τὸ εἶδος καὶ τὸ τέλος δύω μὲν, κατὰ τὸν λόγον, ἓν δὲ, κατ' ἀριθμὸν καὶ τὸ ὑποκείμενον. ὥστε εἰς ἓν ἔρχεσθαι δύναταί ποτε τὸ εἰδικὸν αἴτιον καὶ τὸ τελικόν. ἐνίοτε δὲ ταὐτὸ γίνεται τούτοις καὶ τὸ ποιητικὸν, εἰ καὶ μὴ τῷ ὑποκειμένῳ μη δὲ τῷ ἀριθμῷ, τέως δ' οὖν τῷ εἴδει. ἀνὸς γὰρ ἀνὸν γεννᾷ. καὶ ἔστι τῷ γεννωμένῳ ποιητικόν πως αἴτιον ὁ πατὴρ, ταὐτὸν ὢν αὐτῷ κατὰ τὸ εἶδος καὶ τὸν λόγον τῆς οὐσίας. τινὰ δὲ καὶ κατὰ τὸν αὐτὸν τρόπον ἀλλήλων εἰσὶν αἴτια. ὡς τὸ πονεῖν τῆς εὐεξίας, καὶ ἡ εὐεξία τοῦ πονεῖν. οὐ μόνον γὰρ τὸ μὲν πονεῖν ποιητικόν ἐστι τῆς εὐεξίας ἡ δὲ εὐεξία τελικὸν τοῦ πονεῖν, ὡς τῆς εὐεξίας ἕνεκα παραλαμβανομένου, ἀλλὰ δὴ καὶ ἡ εὐεξία ποιητικὸν αἴτιον γινώσκεται τοῦ πονεῖν. εἴγε τοῦ εὐεκτοῦντός ἐστι τὸ δύνασθαι πονεῖν τε καὶ ἐνεργεῖν. ὥστε τὸ αὐτὸ καὶ ἓν δύναται πλεοναχῶς αἴτιον λέγεσθαι, καὶ κατὰ τὸν αὐτὸν τρόπον εὑρίσκεσθαί που καὶ αἴτιον ὁμοῦ καὶ αἰτιατόν. δῆλον δ' ἐντεῦθεν, ὡς τὰ προαιρετικὰ ἀπαρεμφάτῳ μᾶλλον, ἢ αἰτιατικῇ ἐκ γ΄, συντάσσεται. εἴγε εἰς ἀναπλήρωσιν τῶν μὲν ἄλλων ἀτελῶν ῥημάτων, τὰ ἐκ γ΄, πτωτικὰ, τῶν δὲ προαιρετικῶν, τὸ ἀπαρέμφατον κατ' αὐτὸν Ἀπολλώνιον παραλαμβάνεται, τὴν δοκοῦσαν ἐκ γ΄, τῶν προαιρετιτικῶν αἰτιατικὴν τοῦ ἀπαρεμφάτου ἐκ α΄, εἰσποιουμένου κατὰ Θεόδωρον. ὅγε μὴν Ἀπολλώνιος ἀγνοῶν ὅλως τὸ τοῦ ἀπαρεμφάτου ἰδίωμα, τὴν τούτου ἐκ α΄, αἰτιατικὴν, ὥσπερ ἐν τῷ, δεῖ, ἢ χρὴ ἐμὲ γράφειν, τῶν ἀπροσώπων ἔλεγεν εἶναι ῥημάτων, οὕτω κἀντῷ, βούλομαί σε πλουτεῖν, τῶν προαιρετικῶν. ᾧ τινι συναπήχθη μὲν καὶ ἐν τούτῳ τῷ μέρει ὁ Θεόδωρος, τιθεὶς καὶ αὐτὸς τὰ προαιρετικὰ ἐπ' αἰτιατικὴν φέρεσθαι, λέγων γεμὴν ἔνθα μὲν, ἴδιον τοῦ ἀπαρεμφάτου τὸ αἰτιατικὴν περιέχειν, ἔνθα δὲ, τοῖς προαιρετικοῖς μάλιστα τῶν ῥημάτων ἐπιφέρεται τὸ ἀπαρέμφατον, δῆλός ἐστιν ἐπανορθού-

πανορθούμενος καὶ ταύτην τοῦ ἀπολλωνίου τὴν θέσιν. καὶ γὰρ τὸν αὐτὸν τοῖς προαιρετικοῖς λόγον καὶ τῶν ἀπροσώπων τὸ δεῖ καὶ χρὴ ἀπαρεμφάτοις συμφέρονται. ἀλλὰ μὴν τὸ, δεῖ ἐμὲ γράφειν, ἔστιν ἔχον σύνταξιν καὶ Ἀπολλ': τοῦ δεῖ πρὸς τὸ γράφειν, οὐ πρὸς τὸ ἐμέ. καὶ τὸ βούλομαι ἄρα σὲ ὑγιαίνειν, ἔστιν ἔχον σύνταξιν τοῦ βούλομαι πρὸς τὸ ὑγιαίνειν, οὐ πρὸς τὸ σέ. Ἰστέον δὲ ὡς διὰ τὴν τοῦ τελικοῦ ἀπαρεμφάτου πρὸς τὴν ὑποτακτικὴν ἔγκλισιν μετάληψιν, διττὴν ἔχει τὴν σύνταξιν τὰ προαιρετικὰ τῶν ῥημάτων, τὴν μὲν, μετὰ ἀπαρεμφάτου ῥήματος, ἑτέραν δὲ, μεθ' ὑποτακτικῆς ἐγκλίσεως. ὡς παράτε τῷ ποιητῇ ἐστιν ἰδεῖν, ἑκατέρας ἐπὶ τῆς αὐτῆς τιθέντι ἐννοίας. ἢ ἐθέλεις ὄφρ' αὐτὸς ἔχῃς γέρας, ἐμ' αὔτως ἧσθαι δεύομενον; ἰλ: ᾱ. καὶ Θουκδ': γ', ἐβούλετο δὲ Νικίας τὴν φυλακὴν αὐτόθεν εἶναι, τούς τε πελοποννησίους, ὅπως μὴ ποιῶνται ἔκπλους. ἐντεῦθεν δὲ συγκροτεῖσθαι δοκεῖ τὸ τὰ προαιρετικὰ αἰτιατικῇ συντάσσεσθαι. εἴγε τῶν παρὰ Θουκδ': δύοιν αἰτιατικῶν οὐχὶ ἑκατέρα, ἡ ἑτέρα δὲ μόνον ἐστὶ τοῦ ἀπαρεμφάτου.

Καὶ ἔτι γε τοῖς ἀπροσώποις. δεῖ γενέσθαι. λέγεται ἀφικέσθαι πολλούς.

Καθ' ὅ, τι καὶ τούτων ἐλλειπῶς ἐχόντων τῷ πράγματι, ἀναγκαίως παραλαμβάνεται τὸ ἀπαρέμφατον εἰς ἐντέλειαν τῶν προσηκόντων.

Ἐνεστὼς, ἀόριστος.

Ἀποδώσομεν δὲ, ὡς ἁπλῶς εἰπεῖν, τῷ μὲν τελικῷ, κατά τε ἀόριστον καὶ ἐνεστῶτα. πορεύομαι ἐντυχεῖν τἀνδρί. ἀντιβολῶ σε παραγενέσθαι, ἢ παραγίνεσθαι.

Προαποδοὺς διττὴν εἶναι τὴν τοῦ ἀπαρεμφάτου σημασίαν, τὴν μὲν, τελικὴν, τὴν δὲ, εἰδικὴν, ἤδη καὶ τὴν χρονικὴν σύνταξιν ἑκατέρων ἐκτίθεται, καίφησιν, ἀποδώσομεν τὰ περὶ τὸν χρόνον τῷ μὲν τελικῷ ἀπαρεμφάτῳ, κατά τε ἀόριστον καὶ ἐνεστῶτα, οὐ μὴν καὶ καὶ μέλλοντα. τί δήποτε; ἢ ὅτι τὰ ὑποτακτικὰ οὐκ ἐκ μέλλοντος, ἐκ δὲ καὶ τοῦ τὴν ὁριστικὴν ἐνεστῶτος καὶ ἀορίστου μετείληπται, ὡς εἴρηται, τὰ δὲ τελικὰ τῶν ἀπαρεμφάτων εἰς αὐτὰ μεταλαμβάνεται. καὶ αὐτὰ ἄρα οὐ καὶ μέλλοντα, καὶ δὲ ἀόριστον καὶ ἐνεστῶτα συντετάξεται. τὸ γὰρ οὗ ἕνεκα αἰτιολογεῖ. τοῦτο δὲ, μέλλοντος. καὶ αὐτὰ ἄρα τὸ μέλλον, εἴτ' οὖν τὸ ἐσόμενον κατὰ τὰ, ὡς εἴρηται, ὑποτακτικὰ οἴκοθεν ὑπεμφαίνοντα, παρῄτηται τὴν πρὸς τὸν μέλλοντα σύνταξιν. καὶ γὰρ οὐδὲν ἧττον ὁ ἐντούτοις ἀόριστός τε καὶ ἐνεστὼς τὸ μέλλον ὑπαγορεύει, ὁ μὲν, εἰς παράτασιν κατὰ τὸ πολλάκις, ὡς τὸ βούλομαι γράφειν. ὁ δὲ, εἰς συντέλειαν κατὰ τὸ ἅπαξ. ὡς τὸ βούλομαι γράψαι. ὅθεν εἰ συνταγείη καὶ καὶ μέλλοντα, ὑπονοηθήσεται ἡ κατά τε ἀόριστον καὶ ἐνεστῶτα αὐτῶν σύνταξις μὴ εἶναι καὶ τὸ μέλλον ἑκατέρα, ἀλλ' ἡ μὲν, κατὰ τὸ παρῳχήμενον, ἡ δὲ, καὶ τὸ ἐνιστάμενον. καὶ πειθέτω σε τὰ εἰδικά. οὕτω μὲν οὖν τὰ τελικὰ, τὰ δὲ εἰδικὰ, ὡς μὴ εἰς τὴν ὑποτακτικὴν, εἰς δὲ τὴν ὁριστικήν τε καὶ εὐκτικὴν μεταλαμβανόμενα, καὶ καὶ μέλλοντα κατ' ἐκείνας συντάσσεται.

Εἰ τὸ ἅπαξ, ἢ τὸ πολλάκις, ἐν χρείᾳ.

Ἀντὶ τοῦ κατάρχοντος συναπτικοῦ εἰ, διαζευκτικὸν ἢ, γραπτέον. ὁ γὰρ ἐπιφερόμενος ἢ, ἀόριστος ὢν, οὐκ ἄνευ ἑτέρου ἢ, λέγεται. ἔρρωται γε μὴν καὶ ὁ συναπτικὸς εἰ, ἀναφερόμενος εἰς

μένος εἰς τὸ ἔξωθεν νοούμενον. οἷον, εἰ βουλόμεθα δηλῶσαι ἢ τὸ ἅπαξ, ἢ τὸ πολλάκις, κτ': τινὲς δὲ ἀντὶ τοῦ προτέρου εἰ, τὴν εἰς, πρόθεσιν γράφουσιν, οἷον, εἰς τὸ ἅπαξ, ἐξηγούμενοι τὸ ἅπαξ, ἀντὶ τοῦ καθάπαξ, καθόλου. τὸ δέ ἐστιν ἔξω τοῦ προκειμένου καὶ παρὰ χορδὴν, τὸ τοῦ λόγου. τοιοῦτο γάρ τι δηλοῦν βούλεται, ὡς τῷ τελικῷ ἀπαρεμφάτῳ τὰς δύω μόνον τοῦ χρόνου διαφορὰς ἐπιδεχομένῳ, τὰ περὶ τὸν χρόνον δυοῖν θάτερον ἀποδοτέον, ἤτοι κατὰ τὸν ἀόριστον, τὸ ἅπαξ δηλοῦντα κατὰ τὸν Εὐστάθ, καὶ τὴν συντέλειαν τῆς διαθέσεως, ἢ κατὰ τὸν ἐνεστῶτα, τὸ πολλάκις δηλοῦντα καὶ τὴν τῆς ἐνεργείας παράτασιν, ὅπως ἂν ἡ χρεία ὑπαγορεύῃ. Τί δὲ δήποτε μὴ καὶ κατὰ παρακείμενον τὰ τελικὰ συντάσσεται; Ἢ ὅτι ὁ μὲν παρακείμ. συντέλειαν ἐνισταμένου σημαίνει, τὸ δὲ τέλος, εἴτ' οὖν τὸ οὗ ἕνεκα, μέλλοντός ἐστιν, οὐκ ἐνεστῶτος. Καὶ μὴν συντάσσεταί γε καὶ κατ' ἐνεστῶτα. Ἀλλ' οὐ τὴν τοῦ ἐνεστῶτος, τὴν δὲ τοῦ μέλλοντος παράτασιν σημαίνοντα. σημειωτέον δὲ ὡς τῷ τελικῷ οὐ καθ' ἕκαστον παρήκοντα, ὡς καὶ τῷ, εἰδικῷ, τὰ τοῦ χρόνου ἀποδοτέον, κατὰ δὲ μόνον τὸν ἀόριστον. Ἐπεὶ γὰρ, ὡς εἴρηται, ἤτοι συντέλειαν, ἢ παράτασιν πράξεως ἐν τῷ μέλλοντι σημαίνει τὰ τελικὰ, διὰ τοῦτο τὴν μὲν παράτασιν διὰ τοῦ ἐνεστῶτος ἐμφαίνοντα, ἔχρῃζε καὶ χρόνου τοῦ τὴν συντέλειαν δηλοῦντος. ταύτην δὲ ὁ μὲν παρατατικὸς ἥκιστα, τὸ ἀτελὲς δηλῶν, ὁ δὲ παρακείμ, καὶ ὑπερσυντέλ, ἐμφαίνει μὲν, ἀλλ' ὡρισμένην, τὸ δὲ μέλλον ἐστὶν ἀόριστον. ταῦτ' ἄρα καὶ μόνος ὁ ἀόριστος παρείληπται, ἀορίστου σημαίνων συντέλειαν.

Ἐνεστὼς, ἀόριστος, μέλλων.

Τῷ δὲ εἰδικῷ, κατάτε τὸ παρῆκον, καὶ τὸ ἐνεστὼς, καὶ τὸ μέλλον.

Ἀπὸ κοινοῦ τὸ, ἀποδώσομεν τὰ περὶ τὸν χρόνον.

Ἀλλ' οὐ πάντως. ἀλλ' ἀφηγηματικῶς μὲν καὶ δοξαστικῶς καὶ γνωστικῶς, ὁ, τιοῦν. φασὶν, ἢ δοκῶ, ἢ οἶδα τὸν ἄνδρα εἰρηκέναι, λέγειν, ἐρεῖν. ἐπαγγελτικῶς δὲ καὶ παρωνύμως πρὸς τὸ μέλλον, τὸ μέλλον. ὑπισχνοῦμαι ἐρεῖν. ἐλπίζω ὄψεσθαι. μέλλω δράσειν.

Οὐκ εἴτι εἰδικὸν, τοῦτο ἤδη καὶ κατὰ τὸ τριμερὲς τοῦ χρόνου συντετάξεται, ἀλλ' ὅσα μὲν τοῖς ἀφηγηματικοῖς, ἢ δοξαστικοῖς, ἢ γνωστικοῖς τῶν ῥημάτων συμφέρεται, τούτοις πάντως καὶ τὰ τοῦ χρόνου ἀποδίδοται καθ' ὁ, τιοῦν αὐτοῦ μέρος. κατὰ τὸ ἤτοι παρῆκον δηλ': ἢ ἐνεστὼς, ἢ μέλλον. τοῦτο γὰρ βούλεται τὸ ὁ, τιοῦν, ἐπισσώμενον ἀπὸ κοινοῦ τὴν κατ'. (ἐν οἷς σημειωτέον τὸ ὄμνυμι, καὶ τὸ ἀπειλῶ, καὶ τὸ διανοοῦμαι. τὰ μὲν, τῶν ἀφηγηματικῶν ὄντα, τὸ δὲ, τῶν γνωστικῶν, τὸ δὲ τούτοις συντασσόμενον ἀπαρέμφατον καταμόνον μέλλοντα συμφερόμενον. θκδ': η'. διενοοῦντο βοηθήσειν.) ὅσα δὲ ἐπαγγελτικοῖς, ἢ πρὸς τὸ μέλλον παρωνύμοις, ἀπότου ὀνόματος δηλ: παρεσχηματισμένοις, καὶ τὸ μέλλον ὑπαγορεύουσι, κατὰ τὸ μέλλον τὰ τοῦ χρόνου ἀποδοτέον. ἔντισι δὲ τῶν ἀντιγράφων τὸ β', μέλλον, οὐκ οἶδ' ὅπως ὠβέλισται, ὡς δῆθεν παρέλκον. κεῖται γάρ φασιν, ἐπαγγελτικῶς δὲ καὶ παρωνύμως ἀποδίδοσθαι πρὸς τὸ μέλλον τὸ ἀπαρέμφατον, ὅ ἐστι πρὸς τὸν μέλλοντα. τίς οὖν χρεία πάλιν ἐπιφέρειν τὸ μέλλον; ὅπερ πρὸς τῇ ταυτολογίᾳ καὶ ἀκαταλλήλου συντάξεως ἔχεται, μηδενὶ μέρει συναρτώμενον; καὶ ταῦτα μὲν οἱ παρέργως ἀναλεγόμενοι τὰ τοῦ θεοδώρου. ῥητέον δὲ, ὡς ἐνδέον μᾶλλον, ἤπερ

λον, ἤπερ ἐνὸν, ἀκατάλληλον ὑπεμφαίνει τὴν σύνταξιν τὸ β', μέλλον. ἐνὸν μὲν γὰρ, ἀπὸ κοινοῦ ἐφέλκεται τὴν κατὰ, πρόθεσιν, ἐνδέοντος δὲ, ἀτελῶς ἕξει τὰ τοῦ λόγου κατά τε σύνταξιν καὶ ἔννοιαν. ἔννοιαν μὲν διὰ τὸ ἄδηλον τῆς τῶν χρόνων ἀποδόσεως, σύνταξιν δὲ, διὰ τὸ κατ' αὐτὴν ἀναντιπόδοτον. ἀφηγηματικῶς γὰρ, γνωστικῶς τε καὶ δοξαστικῶς ἀποδόντες τῷ ἀπαρεμφάτῳ τὰ τοῦ χρόνου κατὰ τὸ τριμερὲς, ἐπαγγελτικῶς καὶ πρὸς τὸ μέλλον παρωνύμως, κατὰ τίνα χρόνον ἀποδώσομεν, διαγράψαντες καὶ ὡς εἰπεῖν ἀθετήσαντες τὸ ἑξῆς μέλλον; τὰ γὰρ τοῦ κώλου διασταλτέον, στίξαντας μετὰ τὸ, πρὸς τὸ μέλλον, οὐχὶ πρὸ αὐτοῦ, ἵν' ᾖ παρωνύμως πρὸς τὸ μέλλον. τί δὲ βούλεται τὸ παρωνύμως πρὸς τὸ μέλλον, ῥᾷον συνιδεῖν, ἀναλαβόντας τὴν τῶν παρωνύμων διαίρεσιν. ὧν τὰ μὲν, ἐκ τοῦ ἀφ' οὗ, τὰ δὲ, ἐκ τοῦ πρὸς ὃ παρωνόμασται. ὅ ἐστι τὰ μὲν, ἐκ τῆς ἀρχῆς, τὰ δὲ, ἀπὸ τοῦ τέλους. ἀρχῆς μὲν, ὡς τὰ ἀπὸ τῆς ἰατρικῆς παρωνυμούμενα ἰατρικὰ βιβλία καὶ ἐργαλεῖα, τέλους δὲ, ὡς τὰ ἀπὸ τῆς ὑγείας παρωνυμούμενα ὑγιεινὰ φάρμακα, ποτὰ, δίαιται. τὸ δὲ τέλος, ᾗ τοιοῦτο, μέλλον ἐστὶ, μήπω ἐνεστηκός. τὰ ἄρα ἀπὸ τοῦ τέλους, ἀπὸ τοῦ μέλλοντος παρωνομάζεται. τὰ αὐτὰ δὲ καὶ πρὸς ὃ λέγεται, ὡς πρὸς τὸ τέλος ἀφορῶντα. οἷον, ὑγιεινὸν φάρμακον. ἀπὸ γὰρ τῆς τελικῆς ὑγείας παρονομασθὲν, πρὸς αὐτὴν αὖθις ἀφορᾷ. κατὰ ταὐτὰ δὴ καὶ τὰ ἀπὸ τοῦ μέλλοντος παρωνυμούμενα, ἔτι καὶ πρὸς τὸ μέλλον παρώνυμα τὰ αὐτὰ λέγεται, ὡς πρὸς αὐτὸ ἀφορῶντα. ὅθεν καὶ τὸ ἐλπίζω ἀπὸ τῆς ἐλπίδος παρονομασθὲν, τοῦ μέλλοτος οὔσης κατὰ τὸν Ἀριστλ'. βιβλ'. β', τῆς ῥητορ'. πρὸς τὸ μέλλον παρώνυμον λέγεται, ὡς πρὸς αὐτὸ ἀποτεινόμενον, εἰς διαστολὴν τῶν πρὸς οὐδ' ὁ, τιοῦν τοῦ χρόνου μέρος, ἢ καὶ πρὸς μόνον τὸ ἐνιστάμενον παρωνύμων ῥημάτων, καὶ δι' αὐτὸ τοῦτο μηδὲ κατὰ τὸ μέλλον συντασσομένων. οἷα τὸ βασανίζω, κολακεύω, οἰκῶ, χρυσῶ, καὶ ἄλλα μυρία. ταὐτὸ δέ ἐστιν εἰπεῖν παρώνυμα πρὸς τὸ μέλλον, καὶ ἀπὸ τοῦ μέλλοντος, ἐν τούτῳ τῆς διαφορᾶς οὔσης, ᾗ τὸ μὲν ἀφ' οὗ, ἐστὶν ἁπλοῦν, τὸ δὲ πρὸς ὃ, σύνθετον, ὅ ἐστι τὸ μὲν, δηλοῦν τὴν παραγωγὴν μόνον, τὸ δὲ, καὶ τὴν πρὸς τὸ πρωτότυπον ἀνακύκλησίν τε καὶ ἀναφοράν. τῶν τοίνυν ἀπαρεμφάτων, ὅσα ἐπαγγελτικοῖς τε καὶ τοῖς ἀπὸ τοῦ μέλλοντος παρωνυμουμένοις συντάσσεται ῥήμασι, κατὰ τὸ μέλλον ἀποδοτέον τούτοις τὰ τοῦ χρόνου. εἴγε τῶν μορίων τὰ εἰς τὰς αὐτὰς ἀναμερισθέντα ἀκολουθίας, κατὰ τὴν τούτων ταυτότητα ἀλλήλοις συνενεχθήσεται. καὶ ἐπαγγελτικὸν μὲν, τὸ ὑπισχνοῦμαι. Θουκδ'. β', περδίκας ὑποσχόμενος ἀδελφὴν ἑαυτοῦ δώσειν. παρώνυμα δὲ, τὸ ἐλπίζω καὶ μέλλω, τὸ μὲν, παρὰ τὸ ἐλπὶς, (καθ' ὅ, τι τὰ εἰς ἴζω ῥήματα, ἀπὸ τῶν εἰς ἴς, ὀνομάτων παρώνυμα, εἰ καί τις κανὼν τἀναντία βούλεται.) τὸ δὲ, παρὰ τὸ μέλλον, ὅπερ μετοχὴ μέν ἐστιν, ἐπεὶ δὲ τὸ ὄνομα ἡγεῖται φύσει τοῦ ῥήματος, ἐκ τοῦ προηγουμένου παρώνυμον ἤκουσεν. ὥσπερ καὶ τὸ ὑπαρκτικὸν εἰμὶ ῥῆμα, ἀπὸ τοῦ ὄντος παρώνυμον κατὰ Ἀμμώνιον. Θουκυδ'. δ', οἳ ἔτυχον τῷ περδίκᾳ μισθοῦ μέλλοντες ἥξειν. κἀν τῇ ς', τὰς δ' ἐντειχισάμενοι, ῥᾳδίως ἠλπίζομεν καταπολεμήσειν. ὅπου δὲ τὸ μέλλω, ἢ καὶ τὸ ἐλπίζω μετὰ ἀορίστου κεῖται, προσθετέον ἐστὶ τὸν δυνητικὸν ἄν, ἵνα τῇ τούτου δυνάμει ὡς μέλλων ληφθῇ ὁ ἀόριστος. Θουκυδ'. γ', ἐλπίζω μετὰ τῶν ἔνδον καταληφθῆναι ἂν τὰ πράγματα. κἀν τῇ ε', ἐλπίζοντες οἱ λακεδαιμόνιοι κομίσασθαι ἂν αὐτοὶ πύλον, ἦλθον εἰς τοὺς βοιωτούς.

Κατάλ-

Κατάλληλός γε μὴν καὶ ὁ ἐνεστὼς τῷ μέλλοντι. μέλλω δρᾶν.

Τοῦτ' ἔστι τῶν εἰδικῶν τὰ τῷ μέλλοντι συμφερόμενα, ἔτι καὶ τῷ ἐνεστῶτι καταλλήλως συντάσσεται, τὸ μέλλον γίγνεσθαι ἐπιπλέον πιστοποιοῦντι, ἢ καὶ τὴν ἐν τῷ μέλλοντι παράτασιν τῆς ἐνεργείας ὑπεμφαίνοντι, Θουκδ': α'. πελοποννήσιοι μέλλουσιν ἐσβάλλειν εἰς τὴν ἀττικήν. ἰσοκρ': πρὸς δημόν: μὴ κατόκνει μακρὰν ὁδὸν πορεύεσθαι πρὸς τοὺς διδάσκειν τι χρήσιμον ἐπαγγελλομένους. τὸ δὲ παρὰ τῷ μεγάλ. βασιλ'. τῷ μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς κατορωρύχθαι μέλλοντι. κἀν τοῖς κατὰ πλ'τ: ὅροις. τῷ μέλλοντι σώματι καλῶς συνηρμόσθαι. αὐτὶ ἐνεστῶτος εἴληπται. διὰ τὸ μὴ πολὺ ἀφεστηκέναι τούτου τὸν παρακείμ, μᾶλλον δὲ συντετελεσμένον ὄντα ἐνεστῶτα. τὸ δὲ ἐλπίζω καὶ τὸ τούτῳ ἰσοδυναμοῦν προσδοκῶ, ἀναλυτικῶς τιθέμενα, καὶ παρήκοντι ἔτι συντάσσεται. οἷον, ἐλπὶς γὰρ μάλιστα αὐτοὺς φοβηθῆναι. τοῖς δὲ τῷ μέλλω συμφερομένοις ἀπαρεμφάτοις δυσχερῶς συναρμόσει τὸ ὅτι, ἐν τῇ μεταλήψει. τὸ γὰρ μέλλω δράσειν, ἐν ἴσῳ ὂν τῷ δράσω, οὐκ ἂν μεταληφθείη εἰς τὸ μέλλω ὅτι δράσω. Παρασημειοῦνται δέ τινες, ὡς ἐπεὶ ἡ μὲν γνῶσις διήκει κατὰ τὸ τριμερὲς τοῦ χρόνου, ἡ δὲ προαίρεσις ἐπὶ μόνου τοῦ κατὰ τὸ ὕστερον ἐνδεχομένου, διὰ τοῦτο τὰ μὲν εἰδικὰ τῶν ἀπαρεμφάτων, ὡς τοῖς γνωστικοῖς τῶν ῥημάτων συμφερόμενα, κατὰ τὸ τριμερὲς τοῦ χρόνου συντάσσεται. τὰ δὲ τελικὰ, ὡς τοῖς προαιρετικοῖς, κατὰ μόνον τὸ ὕστερον. ᾔπου Κάλχας τις ἂν εἴη, ὁ τὰ τοιαῦτα ἀποφοιβάζων, εἰδὼς τάτ' ἐόντα πρότ' ἐόντα τάτ' ἐσόμενα. πῶς γὰρ ἂν εἴη γνῶσις τῶν ἐφήμιν κατὰ τὸ ὕστερον; ἀλλὰ γὰρ δοθὲν ἐπιστήμην εἶναι καὶ τῶν μελλόντων, ὡς Ἀριστοτέλει β', τῶν τοπκ: δοκεῖ. καθ' ὃν ἐπίστασθαι λεγόμεθα καὶ τὰ μέλλοντα. οἷον, ὅτι ἔσται ἡλίου ἔκλειψις, εἰκάζουσί τε ἐκ τῶν ἀρχαίων τὰ μέλλοντα, οἱ τὴν σοφίαν νυμφευσάμενοι. εἴγε καὶ κατὰ τὸν φῖφον, πᾶσα διανοητικὴ μάθησις ἐκ προϋπαρχούσης ἐστὶ γνώσεως. δῆλον ὅτι δώσουσι τὰ τελικὰ ἐπὶ τοῦ ἐσομένου, τοῦ ἀναγκαίως δηλονότι ἐκ βησομένου κατὰ τὸ μέλλον συντάσσεσθαι, οἱ διὰ τὸ ἐκ τῆς προαιρέσεως ἐνδεχόμενον μὴ συντάσσεσθαι λέγοντες μέλλοντι τὰ τελικά. φήσουσι γοῦν, ἀνάγκη ἔσται ἄυριον ἀναπνεύσειν τὸν ζῶντα. εἴγε τῆς τῶν φρενῶν ἐπιβολῆς. καὶ μὴν οὐ πᾶν τελικὸν ἀπαρέμφατον προαιρετικοῖς τῶν ῥημάτων συντάσσεται. πᾶντά γε μὴν τὰ τελικὰ οὐ μόνον τὸ μέλλον, ἀλλὰ καὶ τὸ ἐσόμενον ὡς ἐκ συνθήματος ἀπεώσαντο, ὑπεξαιρουμένης τῆς τινων παραχρήσεως. τὸ γὰρ ὀρθὸν ὡς ἐπιτοπολὺ. φασὶ δὲ καὶ τὰ προαιρετικὰ ἔκβασιν ζητεῖν, καὶ οἷον συντέλειαν καὶ πέρας τοῦ πράγματος. οὐκ εὐστοχοῦσι δὲ οὐδ' ἐν τούτῳ. τὰ γάρ τοι τῶν προαιρετικῶν ἀναπληρωτικὰ ἀπαρέμφατα, συντάσσεται καὶ ἐνεστῶτι. ὁ δὲ, οὐ συντέλειαν, ἀτελῆ δὲ παράτασιν τοῦ μέλλοντος σημαίνει. Ἐπὶ τούτοις, καὶ τὰ ἀπαρέμφατά φασιν ἀναλύεσθαι. ἀλλὰ γὰρ συνθέτων, οὐχ ἁπλῶν ἡ ἀνάλυσις. τὸ δ' ἀπαρέμφατον γενικώτατον καθεστὼς ῥῆμα, ἁπλοῦν δὴ καὶ αὐτὸ κατὰ τὰ γένη, ἀλλ' οὐ σύνθετον. ὅθεν οὐδ' ἀναλύεται. μάλλον μὲν οὖν αἱ ἐγκλίσεις εἰς αὐτὸ ἀναλύονται, ἐξ οὗ καὶ συνετέθησαν.

Ἀποδοθήσεται δὲ καὶ τοῖς ἀπροσώποις.

Τῷ δηλονότι τοῖς ἀπροσώποις συντασσομένῳ ἀπαρεμφάτῳ, ἢ τὸ ἀπαρέμφατον ἀποδοθήσεται τοῖς ἀπροσώποις κατὰ τὰ περὶ τὸν χρόνον, κτ'.

Τὰ περὶ τὸν χρόνον ὁμοίως τοῖς τελικοῖς,

Κατά τε δηλαδὴ ἀόριστον καὶ ἐνεστῶτα.

Ὡς εἴρηται.

Ἐν τοῖς ἐπιβατικοῖς τῶν ἀπροσώπων. ἐν οἷς ἐλέγετο, ἢ παρῳχημένου, ἢ ἐνεστῶτος, μέλλοντος δὲ οὐδέποτε. κοινὸν μὲν οὖν καὶ τοῖς ἀπροσώποις τὸ ἀπαρέμφατον, ἀλλὰ τοῖς μὲν ὡς ἐνεργητικοῖς, τελικὸν μόνον, τοῖς δὲ ὡς παθητικοῖς, καὶ εἰδικόν. πέφυκε γὰρ ἔσθ' ὅτε καὶ ταῦτα πρὸς ἀπαρέμφατον φέρεσθαι. τελικὸν μὲν, ὡς ἐν τῷ, λείπεται δὲ ἡμῖν περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν εἰπεῖν. καὶ, προσετάγη τοῖς στρατιώταις μηδὲν παρὰ τὸ διατεταγμένον αὐτοῖς πράσσειν. εἰδικὸν δὲ, ὡς ἐν τοῖς ἀφηγηματικοῖς. λέγεται, εἴρηται τοὺς περὶ τὸν βασιλέα ἐληλυθέναι. ἠκούσθη τοὺς πολεμίους παρεῖναι. Ἑξῆς δὲ ἐπαπορητέον, εἰ ἡ Ἀπαρέμφατος, ἔγκλισις. καὶ εἰ ὅλως ῥήματα τὰ ἀπαρέμφατα. τί γὰρ μὴ μᾶλλον ἐπιῤῥήματα, ἐκ τῶν ῥημάτων γιγνόμενα; καὶ εἴη ἂν τὰ συνηγοροῦντα τῷ λόγῳ τοσαῦτά τε καὶ τοιαῦτα οὑτωσί. Τοῖς ῥήμασιν ἐξαιρέτως παράκειται ἡ ψυχικὴ διάθεσις. ὅπερ οὐ σύνεστι τοῖς ἀπαρεμφάτοις. καὶ τὸ ἐν ἀριθμοῖς καὶ προσώποις καταγίνεσθαι. ὧν τῆς διαφορᾶς οὐκ ἔτυχε τὸ ἀπαρέμφατον. οὐκ ἄρα ῥῆμα. αὐτὸ τοῦτο κἀκ τῆς μετοχῆς δῆλον. καὶ γὰρ καὶ αὐτὴ ὁμοίως τοῖς ἀπαρεμφάτοις ἐκ τῶν ῥημάτων μεταληφθεῖσα, στερουμένη ὅμως τῶν προσόντων τῷ ῥήματι, καὶ τῆς τῶν ῥημάτων ἰδέας ἀπεβλήθη. οὐ γὰρ δήγε ὁ μεταχηματισμὸς τοῦ χρόνου ἐν τῷ γράφειν, ἢ γράψαι, καὶ ἔτι ἡ συνοῦσα διάθεσις τῶν ῥημάτων, συνάξει τὸ ῥήματα αὐτὰ πάντως καλεῖσθαι. ἐπεὶ ταὐτὰ σύνεστι καὶ τῇ μετοχῇ. ἀλλ' οὐ ῥήματα αἱ μετοχαὶ, ψυχικὴν διάθεσιν μὴ παρεμφαίνουσαι. καὶ οὕτω μὲν τῶν ῥημάτων διαγράφεσθαι δοκεῖ τὰ ἀπαρέμφατα. Πόθεν δ' ὅτι ἐπιῤῥήματα; καθ' ὅ, τι ἔγκλισις μὲν διάφορος κατὰ σύνταξιν τοῦ αὐτοῦ προσώπου οὐ παραλαμβάνεται, ἀπαρέμφατα δὲ καὶ μάλα. οὐ γάρ φαμεν, γράφεις λέξαις, ἢ τι τῶν τοιούτων μὴ δυναμένων παραλαμβάνεσθαι. φαμὲν δὲ, θέλεις γράφειν, ἀναγινώσκειν βούλει. ἴδιον δὲ ἦν ἐπιῤῥημάτων οὐ ῥημάτων τὸ σὺν ῥήμασι λαμβάνεσθαι προτακτικῶς, ἢ ὑποτακτικῶς. ὅπερ παρέπεται τῷ, γράφειν θέλω, θέλω γράφειν. ὡσεὶ καὶ ἑλληνιστὶ λέγω, λέγω ἑλληνιστί. καὶ ὥσπερ τὸ ἑλληνιστὶ, προσλαβὸν τὸ λέγω, ἀπαρτίζει τὸν λόγον, οὕτω καὶ τὸ γράφειν, προσλαβὸν τὸ θέλω. καὶ ὥσπερ ἀδιαφορεῖ κατὰ παντὸς ἀριθμοῦ τὰ ἐπιῤῥήματα. καλῶς γράφω, γράφετον, γράφομεν, οὕτω καὶ τὸ γράφειν θέλω, ἢ θέλομεν. καὶ ὡς ἀδιαφορεῖ κατὰ τὰ πρόσωπα τὰ ἐπιῤῥήματα, ἑλληνιστὶ λέγω, λέγεις, λέγει, οὕτω καὶ τὰ ἀπαρέμφατα, γράφειν θέλω, θέλεις, θέλει. τὸ δὲ ἀπὸ ῥημάτων παράγεσθαι τὰ ἀπαρέμφατα, οὐ προσίσταται τῷ μὴ ἐπιῤῥήματα εἶναι. καθ' ὅ, τι καὶ αὐτῶν ἔστιν ἃ τῶν ἐπιῤῥημάτων ἀπὸ ῥημάτων παράγεται. ὡς γὰρ τὸ ἑλληνιστὶ παρὰ τὸ ἑλληνίζω, οὕτω καὶ παρὰ τὸ γράφω τὸ γράφειν, μὴ μαχομένου τοῦ διαφόρου χρόνου. δύναται γὰρ καὶ κατὰ χρόνον τὸ ἐπίῤῥημα ἀποτελεῖσθαι. καθ' ὅ ἐστιν ἐπινοῆσαι κἀπὶ τῶν μετοχῶν. εἴγε τῷ μὲν γράφω ἡ γράφων παράκειται μετοχὴ, τῷ δὲ ἔγραψα ἡ γράψας. τῷ δ' αὐτῷ λόγῳ καὶ τῷ γράφω τὸ γράφειν πακείσεται, τῷ δὲ ἔγραψα τὸ γράψαι. οὕτω μὲν οὖν συνωθεῖται τὰ ἀπαρέμφατα εἰς τὸ ῥήματα μὲν οὔ, ἀλλ' ἐπιῤῥήματα εἶναι. Ἀλλ' ἔστιν ἀπαντῆσαι πρὸς ταῦτα. καὶ πρὸς μὲν τὸ ἀπὸ τῆς κατὰ τὴν ἔγκλισιν συντάξεως, τοῦ θέλω γράφειν καὶ τῶν τοιούτων, πρῶτον, ὡς

τον, ὡς οὐκ ἐν τῷ καθόλου δίδοται τὸ κατὰ σύνταξιν τοῦ αὐτοῦ προσώπου διαφόρους ἐγκλίσεις μὴ παραλαμβάνεσθαι. φαμὲν γὰρ, ἐὰν γράφω, τελειῶ. ἐὰν περιπατῶ, ὑγιαίνω. κἀπὶ τῶν λοιπῶν προσώπων ὁμοίως. οὐ μὴν ἀλλὰ καὶ, προαιροῦμαι ἀναγινώσκειν. καὶ, φιλῶ γράφειν. οὐ μὴν, γελῶ γράφειν. οὐδὲ σκάλλω λέγειν, ἢ περιπατῶ νήχεσθαι. ἅπερ εἰ κατὰ λόγον ἦν τῶν ἐπιρρημάτων, ἐπὶ πᾶν ῥῆμα φέρεσθαι ἤμελλε, διαφόροις ἀδιαφόρως συντασσομένων ῥήμασιν.

Ἔστιν οὖν τῆς τῶν ἀπαρεμφάτων πρὸς τὰ ῥήματα συντάξεως αἰτία ἥδε. τῶν ῥημάτων ἃ μέν ἐστιν ἐμπεριεκτικὰ πραγμάτων, ἐφ' ἃ καὶ ἡ ὁριστικὴ ἔγκλισις ἐπερείδεται καὶ αἱ ὑπόλοιποι, ὡς τὸ γράφω. ἐρέσσω, τύπτω καὶ τὰ τοιαῦτα. ἃ δὲ, αὐτὸ μόνον προαίρεσιν ψυχῆς ὁρίζεται, οὐ μὴν δὲ καὶ πρᾶγμα, ἐλλείποντα τούτῳ. ὡς τὸ θέλω. βούλομαι. προαιροῦμαι. ἔνθεν καὶ προαιρετικὰ ἤκουσε. τὰ δὴ τοιαῦτα ἐν τῇ συντάξει ὥσπερεὶ κενὰ ὄντα πραγμάτων, ἀναπληροῦται τῇ τοῦ πράγματος παραθέσει, καὶ ῥήματος ἐκπληροῖ χρῆσιν. ὅπερ πρᾶγμα οὐκ ἄλλο τί ἐστιν, ἢ τὸ προκείμενον ἀπαρέμφατον, γενικώτατον καθεστὼς τῶν ἄλλων ῥημάτων, καὶ πρᾶγμα μόνον σημαῖνον, ὡς δέδεικται, καὶ μόνον ἐπιτήδειον ὂν εἰς ἀναπλήρωσιν παραλαμβανόμενον τῶν τοιούτων ῥημάτων. τῶν δὲ κατὰ τὰς ἄλλας ἐγκλίσεις παραλαμβανομένων οὐδὲν, ὅτι μὴ, τὰ ἐκ τῶν ἀπαρεμφάτων πάλιν μεταλαμβανόμενα ὑποτακτικά. θέλω περιπατεῖν. βούλομαι γράφειν. τά γε μὴν ἀπειληφότα διὰ τοῦ ἐπακολουθοῦντος ὁρισμοῦ τὸ πρᾶγμα, ἀπροσδεῆ καθειστήκει ὡς πρὸς τὴν σύνταξιν τῶν ἀπαρεμφάτων. ἐγκειμένου γὰρ τοῦ τύπτειν πράγματος ἐν τῷ τύπτω, περισσὸν τὸ ἐπάγειν ἕτερον πρᾶγμα, φέρε τὸ γράφειν. ὡς εἶναι λέγειν, τύπτω γράφειν. οὐ μὴν κἀντῷ, ὡς εἴρηται, θέλω γράφειν. Πρὸς δὲ τὸ ἀπὸ τῆς τῶν ἀριθμῶν καὶ προσώπων διακρίσεως ῥητέον, ὡς γενικωτάτη οὖσα ἡ τῶν ἀπαρεμφάτων ἔγκλισις, ἀναγκαίως λείπεται τοῖς προσδιαπορηθεῖσι, τῇ τε ψυχικῇ λέγω διαθέσει καὶ τῷ παρεπομένῳ ἀριθμῷ, καθ' ὅ, τι καὶ τὰ γένη ἐλλείπεται τοῖς συνιστῶσι τὰ εἴδη. οὐδὲ γὰρ φύσει παρέπεται τῷ ῥήματι ὁ ἀριθμὸς, παρακολούθημα δὲ γίγνεται τῶν μετειληφότων τοῦ πράγματος προσώπων. αὐτὸ γὰρ τὸ πρᾶγμα ἐν ἔστι καθ' αὑτό. οἷον, τὸ γράφειν, τὸ περιπατεῖν, καὶ τὰ λοιπὰ τῶν ῥημάτων. ἐγγενόμενον δ' ἐν προσώποις τοῖς καὶ ἀριθμοῦ δεκτικοῖς, ἤδη συνυποδύεται καὶ διάκρισιν ἀριθμῶν. καὶ οὕτω ποιεῖ τὸ περιπατῶ τὸ περιπατεῖτον, τὸ περιπατοῦμεν. οὐδὲ γὰρ ἐκεῖνο ἀληθεύει, ὡς τὸ ῥῆμα δεκτικόν ἐστι προσώπων. πάλιν γὰρ ἐκ τοῦ παρεπομένου τὸ τοιοῦτο ἐπεγένετο. τὰ γὰρ μετειληφότα τοῦ πράγματος, λέγω τοῦ ῥήματος ὑποκείμενα, εἰς πρόσωπα ἀνεμερίσθη. περιπατῶ, περιπατεῖς, περιπατεῖ. αὐτό γε μὴν τὸ πρᾶγμα ἐκτὸς ὂν προσώπων καὶ ἀριθμῶν, συμφέρεται ἅπασιν ἀριθμοῖς καὶ προσώποις. Πρὸς δὲ τὸ ἀπὸ τῆς ψυχικῆς διαθέσεως, φανερὸν ἐκ τῶν εἰρημένων, ὅτι οὐδὲ ψυχικὴν διάθεσιν τὸ ἀπαρέμφατον ῥῆμα καθ' ἑαυτὸ ἐπιδέχεται. πάλιν γὰρ αὐτὰ τὰ μετειληφότα τοῦ πράγματος πρόσωπα, ἔμψυχα ὄντα, τὴν ἐν ἑαυτοῖς ψυχικὴν διάθεσιν ὁμολογεῖ διὰ τοῦ ῥήματος. τὰ δὲ ἀπαρέμφατα ὡς μήπω ἐγγενόμενα ἐν προσώποις, οὐδὲ τὸ ἐν τούτοις ἐπιγενόμενον ἐν διάθετον τῆς ψυχῆς ὁμολογεῖ. καὶ ταῦτα μὲν, εἰς ἀνασκευὴν τῶν ἀντιφερομένων. Εἰς δὲ κατασκευὴν τοῦ ὅτι ῥῆμα τὸ ἀπαρέμφατον, πρὸς τοῖς ἄλλοις κἀντεῦθεν δῆλον. αὐτίκα καὶ γὰρ ἴδιον ῥήματος ἐν ἰδίοις μετασχηματισμοῖς διάφορος χρόνος, διάθεσις τε ἡ ἐνεργητικὴ, ἡ παθητικὴ,

καὶ ἔτι

καὶ ἔτι ἡ μέση. ὧν ἁπάντων μετέλαβε τὸ γενικώτατον ῥῆμα, λέγω τὸ ἀπαρέμφατον. ἐπεὶ εἴγε τῇ φύσει ἦν ἀπαρέμφατον, πῶς ταῦτα παρεμφαίνει; καὶ ἡ μετοχὴ δὲ κατὰ τὸν αὐτὸν λόγον, εἰ μὴ καὶ τοῦ ὀνόματος, μόνου δὲ μετεῖχε τοῦ ῥήματος, ῥῆμα πάντως ἂν ἦν, ὡς χρόνων διαφόρων προσημαντικὴ καὶ αὐτὴ οὖσα. νῦν δὲ ἀμφοῖν μετέχουσα, οὐδέτερόν ἐστι καθ' αὑτό. τοῦτο δὲ κἀκτῶν ὁμογενῶν ἐστι παραστῆσαι, τοῦ ὀνόματός φημι καὶ τοῦ ῥήματος. (μέρη γὰρ λόγου ταῦτα) ὧν ἑκάτερον καὶ κατ' ἰδίαν τινὰ θέσιν ἐστὶ θεωρῆσαι, καὶ ἐν οἷς πρώτως τε καὶ καθ' αὑτὸ θεωρεῖται κοινότερον. ὡς οὖν τοὔνομα καὶ καθ' αὑτὸ θεωρεῖται ὡς γενικώτατον. ὅτι δηλαδή ἐστι μέρος λόγου, ἐν θέσει εἴτ' οὖν σημασίᾳ καταγινόμενον φύσεως κοινῆς τινος, ἢ ἰδίας ἄνευ χρόνου, οὐ μὴν δὲ καὶ ἐν γένει τῷ παρεπομένῳ, ἐν δὲ τῇ δεούσῃ πτώσει. ἔστι γάρ φησι, τοὔνομα πτωτικὸν σημαντικὸν ἄνευ χρόνου. μὴ προσθεὶς τὸ, καὶ γενῶν διαφόρων διακριτικόν. καὶ οὐ παρὰ τοῦτο οὐκ ἔστιν ὄνομα, ὃ οὐκ ἐν γένει καταγίνεται. (οἷα πάντα τὰ οὐδέτερα) οὐ γὰρ ἴδιον ὀνόματος γένος. τὰ γὰρ γένη ἐπιγίνεται τοῖς ὀνομαζομένοις ὑποκειμένοις, κατὰ γένος διακρινομένοις. πάλιν θεωρεῖται τοὔνομα καὶ κατ' εἶδος εἰδικώτατον, τὸ κατὰ κυρίων φέρε, κατηγορούμενον. ὃ δὴ ἔστιν οὗ καταγίνεται ἐν πατρωνυμικῇ ἐννοίᾳ, ἢ κτητικῇ, ἤ τινι τῶν τοιούτων, εἰδικωτάτων οὐσῶν καὶ αὐτῶν. οὐ μὴν παρὰ τοῦτο φαίη ἄν τις μὴ εἶναι εἰδικώτατον ὄνομα, ὃ οὐκ ἔστι πρωνυμικὸν, ἢ κτητικὸν, ἤτι τῶν ὑπὸ τὸ αὐτὸ εἶδος τοῦ ὀνόματος πιπτόντων. ἰδοὺ γὰρ τὸ ἄνθρωπος, ἢ τὸ ἵππος, ἤτι τοιοῦτο, οὔτε πρωνυμικόν ἐστιν, οὔτε κτητικὸν, ἢ ἄλλοτι τῶν διαφοράν τινα προσλαμβανόντων. οὐδὲν ἧττον μέν τοι ἐστί τε καὶ λέγεται καὶ ὄνομα, ὡς σημαντικὸν, καὶ εἰδικώτατον, ὡς κυρίων κατηγορούμενον. οὐ γὰρ ἴδιον ὀνόματος τὸ πατρωνυμικὸν, ἢ κτητικόν. ταῦτα γὰρ παρὰ τὰ ὑποκείμενα τοῖς ὀνόμασιν ἐπακολουθεῖ. ἀλλὰ τὸ σημαντικὸν ἄνευ χρόνου, τὸ κοινῇ πᾶσι παρεπόμενον τοῖς ὀνόμασι.

Κατὰ ταὐτὰ δὴ καὶ τὸ ῥῆμα, καὶ εἰδικώτερον θεωρεῖται. οἷαι αἱ κυρίως ἐγκλίσεις, καὶ γενικώτερον. οἷον, τὸ ἐν ἀπαρεμφάτῳ ἐγκλίσει νοούμενον. ὃ δὴ καὶ αὐτὸ οὐδὲν ἧττόν ἐστι ῥῆμα, κἂν μὴ συναγορεύῃ τὴν εἰδικὴν σημασίαν, ὁριστικῆς φημι καὶ τῶν λοιπῶν. ὡς γὰρ διώρισται καὶ αἱ ἐγκλίσεις, δι' ὅ, τι μετέχε τοῦ ῥήματος τὰ πρόσωπα, τῷ ῥήματι ἐπακολουθοῦσιν. οὗπερ ἴδιον μόνον τὸ ὡς εἴρηται, προσημαντικὸν τοῦ χρόνου. οὗ τινος μετέλαβε τὸ γενικώτατον ῥῆμα, λέγω τὸ ἀπαρέμφατον. ἔστι καὶ οὕτως ἐπιδεῖξαι, ὅτι ῥῆμα τὸ ἀπαρέμφατον. Καθόλου πᾶν παρηγμένον ἀπό τινος, ἀνάλυσιν ἔχει τὴν πρὸς τὸ ἀφ' οὗ παρῆκται πρωτότυπον, μετὰ λέξεως ταὐτὸ σημαινούσης τῇ παραγωγῇ. ὡς παρὰ τὴν τοῦ ἕκτορος γενικὴν ἀποτελεῖται τὸ ἑκτορίδης. ᾧ προστιθεμένου τοῦ υἱὸς, ἀναλύεται εἰς τὸ ἕκτορος υἱός. παρὰ τὸ γοργὸς ἀποτελεῖται τὸ γοργότερος, προσγινομένου τοῦ μᾶλλον. (δυνάμει γὰρ συνέχει, ὥσπερ τὸ πατρωνυμικὸν τὸ υἱὸς, οὕτω καὶ τὸ συγκριτικὸν τὸ μᾶλλον) ὃ δὴ πάλιν ἀνάλυσιν ἔχει εἰς τὸ γοργὸς μᾶλλον. παρὰ τὸ τοὺς ἵππους ἐμπεριεκτικόν τι, ἀποτελεῖται τὸ ἱππών. ὃ δὴ πάλιν ἀναλύεται εἰς τὸ τοὺς ἵππους συνέχον. ὁ δὲ αὐτὸς λόγος κἀπὶ τῶν ὁμοίων. καὶ περισσὸν ἂν εἴη εἰς τὸ τοιοῦτο πλείονα παρατίθεσθαι. δῆλον γὰρ τὸ εἰρημένον. Φανερὸν οὖν ἐντεῦθεν κἀπὶ τῶν ῥημάτων, ὡς ἐκεῖνο ἂν εἴη προγενέστερόν τε καὶ συνεκτικὸν τῶν αὐτῶν, εἰς ὅπερ ἂν αἱ ἐγκλίσεις μεταληφθήσωνται μετὰ λέξεως ταὐτὸ σημαινούσης τῇ ἐγκλίσει. Ἀλλὰ μὴν πᾶσα ἔγκλισις

κλισις οὐκ εἰς ἄλλο τι μεταλαμβάνεται, ἢ εἰς ἀπαρέμφατον, μετὰ λέξεως ταὐτὸ σημαινούσης τῇ ἐγκλίσει, ὅτε οὕτω φαμὲν, περιπατῶ, ὡρισάμην περιπατεῖν. περιπατοῖμι, ηὐξάμην περιπατεῖν. περιπάτει, προσέταξά σοι περιπατεῖν. πρόδηλον ἄρα ὅτι παντὸς ἐπέκεινα λόγου καὶ βιαιότατον, τὸ τὰ τῶν ῥημάτων ἁπάντων συνεκτικώτατα, λέγω δὴ τὰ ἀπαρέμφατα, τῆς τῶν ῥημάτων ἐννοίας διαγράφειν. Ἀλλ' οὐδ' ἐκεῖνό ἐστιν ἀντιφέρειν, ὡς ἐν ἑτέροις τὴν ὁριστικὴν ἔγκλισιν ὡς πρωτεύουσαν τῶν ἄλλων παρεδεχόμεθα, συμφερόμενοι τοῖς οὕτως αὐτὴν διατάξασιν. ἡ γὰρ ἀκριβὴς ἐξέτασις τοῦ λόγου κατηνάγκασε τὸ μεταθέσθαι ταύτην κατὰ τὴν ἀρχὴν, συγχωρουμένου ἐκείνου, ὡς δεόντος ἀπὸ τῆς ὁριστικῆς ἐγκλίσεως ἀρχόμεθα, οὐχ ὡς πρώτης, ὡς δὲ ἐκφανεστάτης καὶ πολλῆς καὶ δυναμένης διδάξαι καὶ τὰς ἐγγινομένας ἐν ταῖς ἄλλαις συνεμπτώσεις κατὰ τοὺς χρόνους. ὅπερ ἐπὶ τῶν ἄλλων ἐγκλίσεων οὐκ ἔστιν εὑρεῖν. συνερχόμενοι γὰρ ἐπ' αὐτῶν οἱ διάφοροι χρόνοι, συγχέουσι τῇ συνελεύσει καὶ τὰς ἰδιαζούσας διαθέσεις καὶ τὰ πάθη. Οὐκ ἔστι δὲ φάναι τὴν ἀπαρέμφατον, ὡς ἐπειδὴ ἐλλείπεται τούτοις, ὡς καὶ αἱ λοιπαὶ, παρὰ τοῦτο μηδὲ ταύτην εἶναι πρώτην, ἀλλὰ τὴν ὁριστικὴν μόνην. αὐτὸ γὰρ τοῦτό ἐστι τὸ πρώτην αὐτὴν ποιοῦν. εἴγε καὶ τὰ πρωτότυπα τῶν λέξεων ἐν ἐλάττονι καταγίνεται ὕλῃ τῶν παραγώγων, καὶ τὰ γένη τῶν εἰδῶν, καὶ ἁπλῶς τὰ καθόλου τῶν μερικῶν. Ταῦτ' ἄρα καὶ τὸ ὁμηρικὸν ἔθος ἐκστὰν τῆς τῶν προστακτικῶν σκληρᾶς συντάξεως, δεόντος ἀνθυπήλλαξε διὰ τὸ μετριώτερον τὴν ἀπαρέμφατον ἔγκλισιν, οὖσαν ὡς εἴρηται γενικήν. εἰς ἣν καὶ ἐδείχθη ἅπαντα τὰ εἰδικὰ μεταλαμβανόμενα. ὡς ἐν τῷ, χειρὸς ἀγέμεν. ἰλ: ᾱ, ἀντὶ ἄγε. κἀν τῷ, ἀθηναίῃ ἐπιτεῖλαι.

ἰλ: δ, ἀντὶ ἐπίτειλαι. τοιοῦτο καὶ τὸ, αὖθι μένειν, ἰλ: ᾱ. ἀντὶ τοῦ μένε. καὶ πολλαχοῦ ἡ τοιαύτη τῷ ποιητῇ χρῆσις. οἷον καὶ τὸ ἐπὶ δυοῖν κειμένων ἀδελφῶν ἐπιγεγραμμένον. ὦ ξεῖν', ἀγγέλλειν λακεδαιμονίοις, ὅτι τῇ δ' ἐγκείμεθα. καὶ γρηγορίου ἐν τοῖς τετραστίχοις, ἢ μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ. οὐ μόνον δὲ, ἀλλὰ καὶ παρὰ τοῖς πεζοῖς. ὡς ἐν τοῖς κατ' ἐναλλαγὴν σχήμασιν εἴρηται. Ἡ δὲ ἐπιστελτικὴ σύνταξις οὐχ οὕτως ἔχει. τρύφων θέωνι χαίρειν. διαφέρει δὲ τῆς ὁμηρικῆς συνηθείας. καθ' ὃ ἡ μὲν ὁμηρικὴ τοῦ ἀπαρεμφάτου χρῆσις ἐπὶ τὸ προστακτικὸν φύσει καταφέρεται. καὶ οἷόν τέ ἐστιν ἐπ' αὐτῆς τὰ προστακτικὰ παραλαμβάνειν ἀντὶ τῶν προκειμένων ἀπαρεμφάτων. οὐ προσῆκε μέν τοι τῷ ποιητικῷ σχήματι τὰ τοῦ λόγου, τὸ δὲ ἐν τῇ ἐπιστελτικῇ συντάξει, ἀδυνατεῖ τὸ τοιοῦτο παραδέξασθαι, τὴν εἰς τὸ προστακτικὸν λέγω τοῦ ἀπαρεμφάτου καταφορὰν, ὥστε τὸ, διονυσίῳ χαίρειν, εἶναι ἐν ἴσῳ τῷ, διονύσιε, χαῖρε. ἐπεὶ ἡ προστακτικὴ ἔγκλισις, καὶ ἔτι ἡ κλητικὴ πτῶσις ἐπὶ παροῦσι τοῖς προσώποις σύνεστιν, ᾧ δὲ τὰ τοῦ λόγου ἐπιστέλλεται, πρόσωπον ἄπεστι. καὶ αὐτὸς δὲ ὁ ἐπιστέλλων, κἂν τύχῃ παρὼν, ἀλλ' οὖν ἀπόντος σύνταξιν ποιεῖται. καθ' ὅ, τι ἡ εὐθεῖα τῶν ὀνομάτων, καὶ ἁπλῶς τὰ ὀνόματα πλὴν τῆς κλητικῆς δέδεικται ὡς γ', ἐστὶ προσώπου. ἀλλ' οὐδ' ἡ ἐν εὐθείαις ἀντωνυμικὴ σύνταξις παραστατικὴ οὖσα α', καὶ β', προσώπου, ὡς δέδεικται, παραληφθῆναι ἠδύνατο. ἐνδείξει γὰρ οὖσα τῶν παρόντων προσώπων, οὐκ ἐνεχώρει πάλιν τῷ ἐπιστελτικῷ λόγῳ. εἴ γ' ἑκάτερα τὰ ἐν αὐτῷ πρόσωπα ἀπόντα τυγχάνουσι, μὴ ὁρώμενα δηλαδὴ, τό, τε τοῦ ἐπιστέλλοντος καὶ τὸ πρὸς ὃ τὰ τοῦ λόγου. ἀλλ' οὐδ' ἀντὶ τοῦ ἐν γ', προσώπῳ προστακτικοῦ δύνατο

ληφθῆναι τὸ ἀπαρέμφατον. ἀνάγκη γὰρ πᾶσα πτώσεως κατηγορεῖσθαι οὐκ ἄλλης, ὅτι μὴ, μόνης τῆς συνούσης εὐθείας τοῦ ἐπιστέλλοντος, οὐκ ἐπὶ τὴν τοῦ πρὸς ὃ ὁ λόγος δοτικὴν, ἐπὶ δὲ τὴν τοῦ ἐπιστέλλοντος ἀπονεῦον εὐθεῖαν. ἀπολλώνιος δυονυσίῳ χαιρέτω. καὶ ἵνα δῶμεν τὰ τοῦ λόγου κατάλληλα εἶναι, ἐκεῖνο σαφέστατόν ἐστιν, ὅτι τὸ κατὰ τὴν εὐθεῖαν μετέλαβε τοῦ χαίρειν, οὐχὶ τὸ κατὰ τὴν δοτικήν. ὁ ἀπολλώνιος δηλαδὴ, οὐχ ὁ διονύσιος. ἦν γε μὴν τὸ ἐναντίον, τὸ προσχωρεῖν οὐ τῷ ἐπιστέλλοντι, τῷ δὲ πρὸς ὃν ἡ ἐπιστολὴ διονυσίῳ τὸ χαίρειν. ὡσεὶ καὶ τοῖς ὑπ' ὄψιν, φαμὲν τὸ χαῖρε, οὐχ ἑαυτοῖς, ἐκείνοις δὲ προστιθέντες τὸ χαίρειν. ταῦτ' ἄρα μὴ δυναμένη ἡ ἐπισταλτικὴ σύνταξις εἰς τὸ προσακτικὸν καταφέρεσθαι, δῆλον ὡς οὐδ' ἐκ τοῦ προσακτικοῦ εἰς τὸ ἀπαρέμφατον μετείληπται. (εἰ καὶ τῷ Ἀπολλωνίῳ τοῦτο οὐ ξυνδοκεῖ.) ἀλλ' ἔξωθεν ἔχει συνήθως ὑπακουόμενον ῥῆμα τὸ λέγει, ἢ εὔχεται. τρύφων θέωνι λέγει χαίρειν. ὥσπερ συνήθως καὶ ἄλλα ἐν ἄλλοις ἔξωθεν ὑπακούεται. ὡς κόπτων ἀμφοτέρῃσιν. ὕει. βροντᾷ. ὅτι δὲ συνυπακούεται τὰ τοιαῦτα ῥήματα, δῆλον καὶ ἐκ τῆς αὐτοτελείας τοῦ λόγου. οὐ γὰρ ἡ ἐξ ἀπαρεμφάτου σύνταξις συγκλείει λόγον, μὴ ἀναπληρωθεῖσα δι' ὧν ἐστιν ἀπαρέμφατος. τὸ οὖν δὴ τρύφων θέωνι χαίρειν, οὐκ ἂν εἴη αὐτοτελὲς, εἰ μὴ, ὡς εἴρηται, τὸ συνυπάρχον ἐγκέοιτο ῥῆμα, φημὶ τὸ λέγει. καὶ τοιαῦτα μὲν τὰ τῆς ἐπισταλτικῆς συντάξεως, Ἐχομένως δὲ ῥητέον καὶ περὶ τῆς ὑπολοίπου συντάξεως τῶν ἀπαρεμφάτων. τὸ δεῖ γράφειν, χρὴ ἀναγινώσκειν, καὶ τὰ τούτοις ὅμοια, σαφὲς ὅτι τῆς ἐπισταλτικῆς συντάξεως διαφέρει. καθ' ὅ, τι ἐκείνη μὲν συνυπακουόμενον, ὡς εἴρηται, ἔχουσα τὸ λέγει, ἢ εὔχεται, ἀπροσδεὴς ἦν τῶν προκειμένων μορίων, τοῦ χρὴ καὶ τοῦ δεῖ, μήτε ἐνεργείᾳ προσλαμβάνουσα ταῦτα, μήτε δυνάμει συνυπακουόμενα ἔχουσα. ἡ δὲ, οὐ συγκλείει διάνοιαν χωρὶς τούτων. δεῖ ἀναγινώσκειν τρύφωνα. χρὴ ἀκούειν σοῦ. χρὴ ὁμιλεῖν Θεοδώρῳ. καὶ τί ποτέ ἐστι τούτου τὸ αἴτιον, ἄξιον διαλαβεῖν, προευκρινηθέντος πρότερον τοῦ τίνι μέρει λόγου ὑπαχθήσεται τὸ χρὴ καὶ τὸ δεῖ. Ἡ μὲν οὖν συνηγορία τοῦ τὰ προκείμενα μόρια ἐπιρρήματα μᾶλλον εἶναι, ἢ ῥήματα, γένοιτ' ἂν τοιαύτη. καθάπερ τῆς εὐκτικῆς ἐγκλίσεως, ἔστιν οὗ τῆς συντάξεως προηγεῖται ἐπίρρημα τὸ εἴθε. αἴθε. κἀπὶ τῆς προσακτικῆς τὸ ἄγε, τοῦτον δὴ τὸν τρόπον κἀπὶ τῆς ἀπαρεμφάτου ἡγήσεται τὸ χρὴ καὶ δεῖ. ἐπιρρήματα ἄρα. συνδέσμους μὲν γὰρ οὐκ ἔστι λέγειν. καθ' ὃ οὐ συνδέουσιν ἐπιφορὰν ἑτέρου λόγου, ὅπερ ἴδιον συνδέσμου. ἐπιρρήματα δὲ, ἐπιτατικὰ μάλιστα, ὡς ἐμφαίνοντά τινα ἐπίτασιν, ὡς καὶ τὸ μάλα, ἢ ἄγαν. πρὸς δὲ καὶ ἐν συνθέσει τοιαύτῃ καταγίνεται, ἢ οὐ παρακολουθεῖ συνδέσμοις, ῥήμασι δέ, ἢ ἐπιρρήμασιν. ὡς γάρ φαμεν ἐπιρρηματικῶς μὲν, ἀποδὶς, ἀπεχθὲς, ῥηματικῶς δὲ, ἀπῆλθεν, ἄπεστιν. οὕτως ἔχει καὶ τὸ ἀποδεῖ, ἀπόχρη. ὁμόλογον δὲ κἀκεῖνο, ὡς τὰ μὲν ἐπιρρήματα σύνεστι διαφόροις προσώποις καὶ ἀριθμοῖς. καλῶς γράφω, ἢ καὶ γράφομεν, καὶ ἔτι ἐπὶ τῶν ἑξῆς προσώπων, τὰ δὲ ῥήματα συμπληθύνεται, οἷς συμπαραλαμβάνεται προσώποις. ἡμεῖς γράφομεν. ὑμεῖς γράφετε. τὸ δὲ χρὴ καὶ τὸ δεῖ, τοῖς μὲν διαφόροις ἀριθμοῖς οὐ συμπληθύνεται κατὰ τὰ ῥήματα, συμπαραλαβάνεται δὲ τοῖς προσώποις ἀδιαφόρως κατὰ τὰ ἐπιρρήματα. χρὴ γὰρ ἡμᾶς γράφειν. χρὴ ἐμὲ γράφειν, καὶ δεῖ σὲ ἀναγινώσκειν. δεῖ ὑμᾶς διαλέγεσθαι. ἐπιρρήματα ἄρα ἐστίν. οὐ γὰρ ἑνὸν φάναι, ὡς ῥήματα μέν ἐστιν, ἀπαρέμφατα δὲ, προβαλλομένους τὸ μὴ παρακολουθεῖν καὶ τούτοις

τοις ὡς δὴ καὶ τοῖς ἀπαρεμφάτοις, ἀριθμῶν διαφόρων, ἢ προσώπων διάκρισιν, ὡς κἀν τοῖς προκειμένοις ἐκτεθείμεθα. ἰδοὺ γὰρ οὔτε τὰ τῆς φωνῆς ἰδιώματα ὑπακούει, οὔτε τὰ τῆς συντάξεως. ποῖον γὰρ ἀπαρέμφατον εἰς εῖ, δίφθογγον καταλήγει, ἢ εἰς ἦτα, μονόφθογγον, ὥσπερ τὸ δεῖ, ἢ χρή; ἢ πότε ἀπαρέμφατα δύω καθ' ἑαυτὰ μετὰ πτωτικοῦ τινος λόγον παρίστησι; φαμὲν δέγε, δεῖ περιπατεῖν διονύσιον. χρὴ ὑγιαίνειν τὸν ἀσθενῆ, ὁμολογουμένως ὄντων ἀπαρεμφάτων τοῦ περιπατεῖν καὶ ὑγιαίνειν. καὶ ἕνεκα τούτου ἀποστήσεται τοῦ τῶν ἀπαρεμφάτων καταλόγου τὸ δεῖ καὶ χρή. οὐ μὴν πάλιν συνταγήσεται ταῖς λοιπαῖς ἐγκλίσεσι. καθ' ὃ πάλιν ἀντίκειται τὸ ἀδιάκριτον τῶν προσώπων, καὶ ἔτι ὁ μὴ παρακολουθῶν ἀριθμὸς, κοινῇ πᾶσι παρακολουθοῦντα τοῖς ῥήμασιν. Ἀλλ' ἔστιν ἀπαντῆσαι πρὸς ταῦτα. ὡς εἴπερ ἐστὶν ἐπιρρήματα αὐτὰ, συμφερόμενα τοῖς ἀπαρεμφάτοις, ὡς τὸ εἴθε τοῖς εὐκτικοῖς, καὶ τὸ ἄγε τοῖς προστακτικοῖς, τί ὅτι μὴ οὐχὶ καὶ τοῖς κατ' εὐθεῖαν συμφέρεται προσώποις κατὰ τὰ ἐπιρρήματα. ὡς ἔχει τὸ εἴθε ἐγὼ γράφοιμι. εἴθε ἡμεῖς γράφοιμεν. ἄγε γράφετον, ἢ γράφετε ὑμεῖς; οὐ δὲ γάρ ἐστι φάναι. δεῖ ἐγὼ γράφειν, οὐδὲ, δεῖ ἡμεῖς γράφειν. τῆς τῶν ῥημάτων συντάξως τῷ τοιούτῳ μὴ ἐμποδιζούσης. φαμὲν γὰρ, εἴθε ὑμεῖς ἀκούοιτε. εἴθε ὑμᾶς θεάσαιτο. εἴθε ἡμῶν ἀκούοι. ὁ αὐτὸς λόγος κἀπὶ τῶν ὁμοίων. πρὸς δὲ τούτοις, ῥήματος ἴδιον ἐν παρῳχημένοις καὶ αὔξησιν ἔξωθεν προσλαμβάνειν ὁποιανδήτινα. οὔγε μὴν ἐπιρρήματος. φαμὲν γὰρ, σήμερον γράφω. σήμερον γέγραφα, τοῦ μὲν ῥήματος προσλαβόντος κατ' ἀρχὴν χρόνον, τοῦ δ' ἐπιρρήματος ἥκιστα. φαμὲν δέγε, δεῖ γράφειν. καὶ, ἔδει γράφειν, καὶ, ἐχρῆν. καὶ τὸ μὲν ἔδει, χρόνον προσέλαβεν, ὁμοίως τῷ ἔπνει, καὶ ἔπλει, τὸ δὲ γράφειν, οὐ προσέλαβε. καὶ τάχα εἶπεν ἄντις, ὡς τὸ παρακινδυνευόμενον εἶναι ἐπίρρημα, φημὶ δὴ τὸ δεῖ, ἔνδειξιν ἱκανὴν τοῦ εἶναι ῥῆμα παρίστησιν ἡ ἔξωθεν αὔξησις. τὸ δέγε γράφειν ἀπαρέμφατον, παρακινδυνεύεται μὴ εἶναι ῥῆμα, μὴ αὐξηθὲν ἐν τῷ ἔδει γράφειν. περὶ οὗ πᾶσαν ἀκρίβειαν εἰσηνεγκάμεθα, ὡς ἔστι γενικώτατον τῶν ἄλλων ῥημάτων. ἀλλὰ γὰρ καὶ τοῦτο διπλασιάζεται. ὅπερ ἴδιον ῥημάτων, ὡς ἐν τῷ, γεγραφέναι καὶ τοῖς ὁμοίοις. οὐ δὲ γὰρ ἀληθεύει τὸ τὰ μὴ προσειληφότα αὔξησιν κατὰ τοὺς παρῳχημένους τῶν χρόνων, μὴ εἶναι ῥήματα. ἐπεὶ καὶ αἱ παρὰ τὴν ὁριστικὴν ἐγκλίσεις ἅπασαι οὐ προσλαμβάνουσιν, ὅτι μὴ κατὰ τὸν παρακείμενον καὶ τὸν μετ' ὀλίγον μέλλοντα, οὐ μὴν παρὰ τοῦτο οὐκ εἰσὶ ῥήματα. ἀλλ' ἐκεῖνό ἐστιν ἀληθὲς ὅτι τὰ προσλαβόντα, ῥήματος μερισμὸν ὑπαγορεύει. λέγω, ἔλεγον, λέλεχα. ἀπεδείκνυτο δὲ καὶ τὸ ἐχρῆν καὶ τὸ ἔδει προσειληφότα. ἄρα. πρὸς οἷς ἔτι, τοῖς ῥήμασι σύνεστιν ἀπαρέμφατα μεταχηματιζομένοις εἰς αὐτά. σύνεστι καὶ τῷ ἐχρῆν τὸ χρῆναι, καὶ τῷ ἔδει τὸ δεῖσθαι. καθ' ὅ, τι καὶ τῷ ἔστη τὸ στῆναι, καὶ τῷ ἔπνει τὸ πνεῖσθαι. ἄρα. ἀλλὰ καὶ ἐκ τῶν τόνων αὐτὸ τοῦτο συνάγεται. περισπᾶται τὸ δεῖ, ὁμοίως τῷ πλεῖ, ἐκ συναιρέσεως ἑκάτερα. Οὐχὶ οὖν φασι, καὶ ἐπιρρήματα περισπᾶται, ὡς τὸ πῇ; Ἢ ὅτι τοπρῶτον, δώριον. ὅπερ οὐ παρέπεται τῷ δεῖ, (τὸ δώριον εἶναι δηλονότι.) τοδεύτερον, οὐκ ἐκ συναιρέσεως τὸ πῇ, ὥσπερ οὐδὲ τὰ ἀντιπαρακείμενα τούτῳ, τὸ ποῦ λέγω καὶ οὗ καὶ αὐτοῦ τοπικά. ὧν κατὰ συνεξακολούθησιν περισπᾶται καὶ τὸ πῇ. τὸ δὲ δεῖ, ἦν κατὰ πάθος συναιρέσεως ἐκ τοῦ δέει, ὁμοίως τῷ πλέει, καὶ ῥέει, καὶ χέει. ά, δὲ πρόσωπον ἔχει τὸ δέω, πλέω, τί δαὶ μὴ καὶ τὸ χρὴ περισπᾶται; Ἢ ὅτι οὐκ ἐκ συναιρέσεως, ἀλλὰ κατὰ πάθος ἀποκοπῆς πα-

πῆς παρεπόμενον. ὅπερ ἐστὶν εὑρέσθαι καὶ ἐπὶ ἑτέρου ῥήματος τοῦ δέω, σημαίνοντος τὸ ἐνδέομαι. συνωνυμεῖ τῷ χρῶ καὶ χρέω. ἀφ' οὗ καὶ τὸ δέον καὶ τὸ χρέος. καὶ δὴ παρείπετο τῷ χρῶ παραγωγὴ τοῦ χρῆμι. ὡς φῶ, φημί. ἀφ' οὗ γ', πρόσωπον χρῆσιν, ὡς φησίν. ἐξ οὗ ἐν ἀποκοπῇ ἀποτελεῖται τὸ χρῆ, διαστέλλον τὴν χρῆσιν. ὡς τὸ φὴ παρὰ τὸ ἔφην, ὁμοίως τῷ παρ' ἀνακρέοντι. σὲ γὰρ ταργήλιος ἐμμελῶς δισκεῖ. ἀντὶ τοῦ διδάσκει. καὶ τὰ μὲν τῆς φωνῆς οὕτως ἔχει, Τὰ δὲ τῆς συντάξεως, δι' ἣν αἰτίαν τοῖς ἀπαρεμφάτοις συντάσσεται, τῇδ' ἀναπληρωθείη. τῶν διὰ τῶν προκειμένων ῥημάτων, λέγω τοῦ δεῖ καὶ χρῆ, νοουμένων πραγμάτων ἐλλειπέστερον ἀποτελουμένων, ἡ ἐγγινομένη παράθεσις τῶν ἀπαρεμφάτων, παραλαμβάνεται εἰς ἐντέλειαν τῶν προσηκόντων. ταῦτ' ἄρα καὶ τοῖς ἀπαρεμφάτοις, οὐ τοῖς προσώποις συμφέρεται τὰ προκείμενα μόρια. ἔστι γὰρ τὸ δεῖ ἡμᾶς γράφειν, ἔχον σύνταξιν τοῦ δεῖ πρὸς τὸ γράφειν, οὐ πρὸς τὸ ἡμᾶς. καὶ διὰ τὴν πρὸς τὸ ἀπαρέμφατον σύνταξιν οὔτε πρόσωπα διακρίνει οὔτε ἀριθμοὺς, ἀδιαφόρως τούτοις κατὰ τὸ ἀπαρέμφατον καὶ αὐτὰ συντασσόμενα, μὴ συμμετατιθέμενα τῷ μὴ συμμετατιθεμένῳ. λέγω τῷ ᾧ συμφέρεται ἀπαρεμφάτῳ. Ἑξῆς ῥητέον καὶ περὶ τῶν συντασσομένων δυοῖν αἰτιατικῶν πτώσεων τοῖς ἀπαρεμφάτοις, ὁπηνίκα φημὶ τύχοι τάτε ἀπαρέμφατα καὶ τὰ ἐγκείμενα εἴτ' οὖν προσκείμενα τοῖς ἀπαρεμφάτοις προσωπικὰ ῥήματα, ἐπ' αἰτιατικὴν φύσει φερόμενα, εἴτ' οὖν τῶν κατ' ἐκπομπήν. ἐφ' οἷς ἂν συντάξεως γένοιτο, ἀνάγκασον τρύφωνα φιλεῖν ἀπολλώνιον. ἐκ δὴ τῶν τοιούτων συντάξεων καὶ τὰ ἀμφίβολα γίγνεται. γενικῆς μὲν γὰρ συνούσης, ἢ δοτικῆς, εὔληπτα τὰ τοῦ λόγου ἐστί. λέγουσι τρύφωνα ἀκούειν ἀπολλωνίου. ποίησον τρύφωνα χαρίζεσθαι ἀπολλωνίῳ. οὐμὴν ἐν τῷ, δὸς δέτ' ἔμ' ἄνδρα ἑλεῖν τόνδε. συνέβη ἐμὲ φιλεῖν τρύφωνα. προσνεῦον γὰρ τὸ ἀπαρέμφατον ἀμφοτέραις ταῖς αἰτιατικαῖς, οὐκ ἐμφανῆ καθίστησι τὸν ἐνεργοῦντα καὶ τὸν πάσχοντα, ὡς κἀν τῷ ι, τῆς ιλ: οὔτε ἐμὲ ἀγαμέμνονα πείσειν οἴω, οὔτ' ἄλλους δαναούς. ὅπερ ὀρθῶς μὲν, μίαν ἔννοιαν ἔχει. ὡς οὔτε ὁ ἀγαμέμνων οὔτε οἱ ἄλλοι πείσουσί με. ἀναφαίνεται δὲ διὰ τὰς συχνὰς αἰτιατικὰς καὶ ἑτέρα τις ἔννοια ἀπεμφαίνουσα. οἷον, ὅτι οὔτε ἐγὼ, οὔτε ἄλλοι πείσομεν τὸν βασιλέα· καὶ ἄλλη δὲ τοιαύτη, ὡς οὔτε ἐμὲ οὔτε τοὺς ἄλλους ἀχαιοὺς ἰσχύσει πείσειν ὁ ἀγαμέμνων. καινὸν δὲ οὐδὲν τοιαύτας ἐν σχεδιασμῷ ἀμφιβολίας παρεισσίπτειν, ὅπου γε καὶ ἄλλως τοιαῦτα συγκυροῦσι. τὸ γοῦν, ὦ ζεῦ, γένοιτο καταβαλεῖν τὸν σὺν ἐμέ. παράγεταί τισιν εἰς παράδειγμα τοιοῦτον, ὡς δῆθέν τινος εὐξαμένου ἢ τὸν σὺν καταβλητικὸν αὐτοῦ γενέσθαι, ἢ ἀνάπαλιν, αὐτὸν τοῦ σύος. οὕτω κἀν τῷ, θεοῖσι δὲ θῦσαι ἀνώγει Πάτροκλον Ἀχιλεύς. οἱ καθ' ὁμήρου ἀστεϊζόμενοι, ἔσχισαν διχῇ τὸ νόημα τοῦ ῥητοῦ. ἔστι γάρ φασι, νοῆσαι, ὡς ἀνώγει ἀχιλεὺς θεοῖς θῦσαι τὸν πάτροκλον, αὐτὸν θύτην γενόμενον. καὶ αὖ, ὅτι ἐκέλευσέ τισι τὸν πάτροκλον εἰς θῦμα θεοῖς ἀνενεγκεῖν. τὰ μέντοι τῆς κατὰ σύνταξιν ἀμφιβολίας, (τὰ γὰρ τῆς κατ' ἔννοιαν μένει.) οὕτως ἂν διαλύοιτο. εἴπερ ἐπὶ τῶν ἀμεταβάτων ἐκ τοῦ πλουτεῖ, ἢ ὑγιαίνει τρύφων, γίνεται μετάληψις, φασὶν, ἢ λέγουσι τρύφωνα πλουτεῖν, ἢ ὑγιαίνειν, δῆλον ὡς κἀπὶ τῶν ὁμοίων ταὐτὸ γενήσεται. εἰ γὰρ ἐπὶ τῶν ἀμεταβάτων τὰ τῆς διαθέσεως ἐπὶ τοῦ αὐτοῦ προσώπου μεμένηκεν ἐν τῇ μεταλήψει, ἐφ' οὗ καὶ πρότερον, εὔδηλον ὅτι κἀπὶ τῶν μεταβατικῶν ἐπὶ τοῦ αὐτοῦ μενεῖ. ἔστω γάρ τι, θέων ὕβρισε δίωνα, προδήλου τοῦ ὑβρίσαντος καὶ τοῦ ὑβρισθέντος. ἐνεργεῖ μὲν γὰρ

θέων

θέων, πάσχει δὲ δίων. φανερὸν ὅτι κατὰ τὴν αὐτὴν διάθεσιν μεταληφθήσεται. λέγουσι θέωνα ὑβρίσαι δίωνα. ἐφ' οὗ πάλιν ὁ θέων ἔσται ὁ ἐνεργῶν, καὶ πάσχων ὁ δίων. καὶ δῆλόν ἐστιν, ὡς τὸ ἀπαρέμφατον ῥῆμα τῆς προτέρας κατηγορεῖται αἰτιατικῆς, ἣ προσέκειτο κατ' εὐθεῖαν ἐνεργοῦσα. τρύφων ὕβρισε. λέγουσι τρύφωνα ὑβρίσαι, ἐπιφερομένου τοῦ διατιθεμένου εἴτ' οὖν πάσχοντος προσώπου, φέρ' εἰπεῖν, δίωνα, ἢ θέωνα. ἐκ δὴ τούτου ἡ πρωτεύουσα αἰτιατικὴ μετὰ τοῦ ἀπαρεμφάτου προσχωρήσει τῇ ἐνεργητικῇ διαθέσει. καὶ εἰ ᾧδέτις ἀποφαίνοιτο. περιέχει ὁ οὐνὸς τὴν γῆν. ἐξ οὗ γενήσεται, λέγουσι περιέχειν τὸν οὐνὸν τὴν γῆν. δῆλον γὰρ, ὡς ὁ οὐνὸς τὸ περιέχον, καὶ ἡ γῆ τὸ περιεχόμενον. κἂν δὲ ἀνάπαλιν ἔχῃ τὰ πράγματα, οὐχ ἧττον ἔρρωται τὰ τοῦ λόγου. οἷον, ἡ γῆ περιέχει τὸν οὐνὸν, φασὶ τὴν γῆν περιέχειν τὸν οὐνόν. παρὰ γὰρ τὰ πράγματα οὐδὲν ἄλλο τοῖς λόγοις ἐπισυμβαίνει, ὅτι μὴ, τὸ ἀληθὲς ἢ ψεῦδος. τὸ δὲ κατάλληλόν τε καὶ μὴ, παρὰ τὴν συνταξιν ἐπισυμβαίνει τῷ λόγῳ, ὡς εἴρηται. καὶ δὴ κἀπὶ τοῦ, φασὶ τὴν γῆν περιέχειν τὸν οὐνόν. ἡ γῆ τὸ περιέχον ἐστὶ, κἂν ἀνάπαλιν ἔχῃ τὰ πράγματα. καθ' ὅ, τι πεφώραται καὶ ἐπὶ τοῦ, ἡ γῆ περιέχει τὸν οὐνόν. ᾧ γὰρ προσώπῳ τὸ ῥῆμα κατ' εὐθεῖαν προσέκειτο, τούτῳ πάντως προσκείσεται καὶ κατὰ πλαγίαν. πρόσκειται δὴ τῇ γῇ κατ' εὐθεῖαν. ἡ γῆ περιέχει τὸν οὐνόν. ταύτῃ ἄρα καὶ κατὰ πλαγίαν. φασὶ τὴν γῆν περιέχειν τὸν οὐνόν. ἔστι δὲ καὶ προτέρα ἡ τὸ ῥῆμα συνέχουσα πτῶσις, συμπροηγουμένη ἀεὶ, ὥσπερ κατ' εὐθεῖαν, οὕτω καὶ κατὰ πλαγίαν. ἡ γῆ περιέχει τὸν οὐνόν, φασὶ τὴν γῆν περιέχειν τὸν οὐνόν. εἰ δέ τι που καὶ μετάκειται, τοῦτο πάντως καθ' ὑπερβατὸν εἴρηται. ὡς τὸ παρὰ τῷ ποιητῇ, δὸς δέτ' ἔμ' ἄνδρα ἑλεῖν τόνδε. ἀντὶ τοῦ, δὸς ἐμὲ ἑλεῖν ἄνδρα τόνδε. κἀκεῖνο γὰρ ὁμολογόν ἐστιν, ὅτι ἡ ἐνεργητικὴ διάθεσις προηγεῖται τῆς παθητικῆς, ὡς ταύτης προτέρα τάξει. πάσχει γὰρ ὁ πάσχων, μετὰ τὸ ἀναδεδέχθαι τὴν ἐνεργητικὴν διάθεσιν. νοσεῖ γὰρ ὁ νοσῶν, μετὰ τὸ ἀναδεδέχθαι τὴν νόσον, καὶ ὑγιαίνει ὁμοίως, μετὰ τὸ ἀναδεδέχθαι τὴν ὑγείαν. ὃ καὶ ἀπὸ τῶν ἀποφατικῶν τῶν αὐτῶν δῆλον. ὁ γὰρ λέγων οὐκ ἔδειρά σε, ἀναιρεῖ τὴν προκατάρξασαν ἐνεργητικὴν διάθεσιν τοῦ ὁμολογήσαντος προσώπου τὴν παθητικὴν διάθεσιν ἐν τῷ δαρῆναι. εἰ δὲ τῶν πρός τι ἡ ἐνέργεια καὶ τὸ πάθος. (μία γὰρ καὶ ἡ αὐτὴ κίνησίς ἐστιν. ἥτις παρὰ μὲν τοῦ ποιοῦντος προϊοῦσα, ἐνέργεια λέγεται, ὑπὸ δὲ τοῦ πάσχοντος ὑποδεχομένη, πάθος.) εὔδηλον ἂν εἴη τὸ ῥῆμα παραχωροῦν τῶν πτώσεων τῇ μὲν προτέρᾳ, τῆς ἐνεργητικῆς διαθέσεως, τῇ δὲ β', τοῦ ἐν πάθει καταγίνεσθαι. ἐπεὶ καὶ δεύτερα τὰ πάθη τῶν ἐνεργειῶν. συνέβη ἐμὲ φιλεῖν ἀπολλώνιον. τοιοῦτο γὰρ ἂν εἴη, ἐγὼ φιλῶ ἀπολλώνιον. καὶ τοσαῦτα μὲν περὶ τῆς τῶν ἀπαρεμφάτων συντάξεως. Ὧν τὰ καθ' ἑαυτὰ καὶ ἀνεξαρτήτως συντεταγμένα, ἤτοι ἀντὶ προστακτικῶν κεῖται, ὡς εἴρηται, συνήθως μὲν ἀντὶ β', προσώπου τιθέμενα, ἐνίοτε δὲ καὶ ἀντὶ γ', ὡς ἐν τῷ, θεῖναι ἀθηναίης ἐπὶ γούνασιν, ἀντὶ τοῦ, θέσθω ἑκάβη. ἢ ἔλλειψιν ἔχει κατάτινας προαιρετικοῦ ῥήματος.

Πρόσωπα.

Τῶν δὲ παρεπομένων τῷ ῥήματι τὰ πρόσωπα τρία ὄντα,

Δεόντως μετὰ τὸ ἀπαρέμφατον καὶ οὐ πρὸ αὐτοῦ συνέταξε τὰ πρόσωπα, ὡς παρακολούθημα τυγχάνοντα τοῦ γενικωτάτου ῥήματος, ὕστερον αὐτῷ, ὡς εἴρηται, ἐπιγεγονότα. Τὸ δὲ πρόσωπον τὴν τῶν καθ' ἕκαστα λογικῶν ὑπό-

κῶν ὑπόστασιν, τὴν ἐξ οὐσίας καὶ ἰδιοτήτων συνισταμένην δηλοῦν βούλεται. (μόνος γὰρ ὁ ἄνος διὰ τὸ μόνος ὀρθὸς εἶναι τῶν ζῴων, μόνος πρόσωθεν ὄπωπε, καὶ τὴν φωνὴν εἰς τὸ πρόσῳ διαπέμπει. Ἀριστοτέλ: περὶ ζῴων μορίων γ'.) κατὰ σχῆμα συνεκδοχῆς, τῷ μέρει τὸ ὅλον συνεκφωνούσης. οὐκ ἔστι δὲ καθόλου ἄλλως ἀπὸ τοῦ μέρους καλέσαι τὸ ὅλον, εἰ μὴ εἴη τὸ μέρος ἐκεῖνο λόγου ἄξιον, κατὰ τὸν βαθὺν Εὐστάθειον. κἀπειδὴ τοῦ μὲν ὅλου σώματος ἡ κεφαλή ἐστι διαφέρουσα, τῶν δὲ ἐν τῇ κεφαλῇ αἰσθήσεων οἱ ὦπες, τοῦτ' ἔστιν οἱ ὀφθαλμοὶ, τούτου χάριν ἀπὸ τοῦ ἀξιολογωτέρου μέρους τῶν ὀφθαλμῶν τὸ ὅλον ἄτομον πρόσωπον κατωνόμασται. τοιοῦτο καὶ τὸ, ὤνησας κραδίην διός. ἰλ: ᾱ. ἤγουν αὐτὸν τὸν δία. οὕτω καὶ κώπη ναυτικὴ, μέρους ὄνομα, ἡ λαβή. ἀφ' ἧς καὶ τὸ ὅλον ὠνόμασται. καὶ ὁ εἰπὼν δὲ, φίλην κεφαλὴν, τὸν ὅλον ἄνθρωπον ἐδήλωσεν ἀπὸ τοῦ καιριωτάτου μέρους. τούτῳ δὲ τῷ λόγῳ καὶ ὁ ἄνθρωπος λέγεται λογικὸς, καί τοι καὶ ζῷον ὢν καὶ ὄν, ἀλλ' ἐκ τοῦ κρείττονος. καὶ αἱ θεῖαι δυνάμεις ὁμοίως νοεραὶ, καί τοι καὶ ὄντα οὖσαι καὶ ζῷα καὶ λογικά. ὡς καὶ ἡ τὸν θεάνθρωπον Ἰοῦν Χριστὸν γεννήσασα Μαριὰμ, οὐκ ἰησουτόκος, οὐδὲ χριστοτόκος, ἀλλ' ἐκ τοῦ κρείττονος μέρους θεοτόκος καὶ ἔστι καὶ ἀκούει. ἔστι δὲ ἴδιον τῆς τοιαύτης συνεκδοχῆς εἴτ' οὖν συλλήψεως τὸ συνεκδέχεσθαι καὶ συλλαμβάνεσθαι εἴτ' οὖν συνεννοεῖσθαι τῷ μέρει τὸ ὅλον. ὡς κἀντῷ, κϋανέαις ἐπ' ὀφρῦσιν. ἡ ὅλη ἐννοεῖται κεφαλή. κἀν τῷ ποιμένι, οὐ μόνον τὸ κυριολεκτούμενον αἱ ὄϊες, ἀλλὰ καὶ βόες καὶ αἶγες συνεισάγονται καταχρηστικῶς, ἤδη δὲ καὶ συνεκδοχικῶς, εἴτ' οὖν κατὰ σύλληψιν, ὡς τῇ ποιμάνσει συλλαμβανομένου καὶ τοῦ βουκολεῖν καὶ αἰπολεῖν. πᾶν μὲν οὖν τὸ ὑφεστὼς, ἐφ' ὅσον ἵσταται, πρόσωπον ἔχειν λέγεται τῆς οἰκείας φύσεως, ἤτοι σχῆμα. ὡς καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ. φησὶ γὰρ ὁ Κ'ς, ὑποκριταὶ, τὸ πρόσωπον τοῦ οὐρανοῦ καὶ τῆς γῆς οἴδατε δοκιμάζειν, κτ': πρακτικ: τῆς α', συνόδ: κφ': κ'. παρὰ δὲ τοῖς γραμματικοῖς λαμβάνεται τὸ πρόσωπον κἀπὶ τῆς ἀλόγου ὑποστάσεως, καὶ ἁπλῶς ἐπὶ ἀτόμου. ὅπερ ἐστὶν ἐξ οὐσίας καὶ ἰδιοτήτων συγκείμενον. ὧν τὸ ἄθροισμα οὐκ ἂν ὀφθείη ἐπὶ ἑτέρου ποτέ. οὐ μόνον δὲ, ἀλλὰ κἀπὶ τῆς ποιότητος. οἷον, τοῦ σοφία. λευκότης. ἀλήθεια, καὶ τῶν τοιούτων. κἀπὶ ποσότητος δὲ καὶ σχέσεως, καὶ ἁπλῶς ἐπὶ παντὸς πτωτικοῦ μορίου. τί μὲν οὖν ἐστι πρόσωπον, εἴρηται, ὁ δὲ, αὐτοῦ οὐχὶ τὸ τί ἦν εἶναι, τὴν δὲ τάξιν ἐκτίθεται. ἣν συνεμφαίνει τὰ ἀντωνυμικὰ μάλιστα μόρια. κἀπεὶ τάξει πρῶτος μέν ἐστιν ὁ λέγων, δεύτερος δὲ, ὁ πρὸς ὃν ὁ λόγος. τρίτος δὲ, ὁ παρὰ τούτους, διὰ τοῦτο καὶ α', μέν ἐστι προσώπου ἐμφαντικὴ ἀντωνυμία, ᾗ χρώμενος ὁ λέγων, περὶ ἑαυτοῦ φράζει. οἵα ἐστὶν ἡ ἐγώ. δευτέρου δὲ, ἐν ᾗ περὶ τοῦ πρὸς ὃν ὁ λόγος. οἵα ἡ σύ. καὶ τρίτου, ἐν ᾗ περὶ ἄλλου. οἵα ἡ οὗτος, ἐκεῖνος, αὐτός, πέτρος, Παῦλος.

Πρῶτον, ᾧ

Ὅ ἐστι δι' οὗ,

Περὶ ἑαυτοῦ φράζει ὁ λέγων.

Οἷον, ἐγώ.

Δεύτερον, ᾧ περὶ τοῦ πρὸς ὃν ὁ λόγος.

Οἷον, σύ. κατὰ κοινοῦ δὲ τὸ, φράζει ὁ λέγων, κἀπὶ τοῦ β', καὶ γ'. ὁ Ἀπολλ': ἐπιμέμφεται τοὺς ὁρισαμένους τὸ β', πρόσωπον, πρὸς ὃν ὁ λόγος μόνον. ὅτι οὐ προστιθέασι καὶ τὸ περὶ αὐτοῦ προσφωνουμένου. φράζομεν γάρ φησι, πολλάκις πρός τινας, οὐ γεμὴν περὶ αὐτῶν τούτων,

τούτων, περὶ δὲ ἑτέρων τινῶν. οἷον, τρύφων διαλέγεται. ἡμέρα ἐστί. καὶ οὐ πάντως τὰ τοιαῦτα, δι' ὅ, τι πρός τινά ἐστιν, ἤδη καὶ δεύτερά ἐστιν. οἷς περ τὸν ἐντυγχάνοντα, ἀκόλουθον διαπορεῖν, πῶς διέλαθε τὸν Θεόδωρον. οὐ δὲ γὰρ οὐδ' αὐτὸς προσέθετο τὸ, περὶ αὐτοῦ προσφωνουμένου, καὶ ταῦτα ἠκριβωκὼς τὰ τοῦ Ἀπολλωνίου. Ἢ ὅτι οὐ συνοίδεν Ἀπολλώνιος τὸ πρὸς αὐτοῦ εἰρημένον. πᾶς γὰρ λόγος πρὸς β', ἀποτείνεται πρόσωπον. οὗ οὐκ ἄνευ. οἱ ἄρα τὸ πρὸς ὃ ὁ λόγος ἀποτείνεται πρόσωπον, δεύτερον εἶναι ὁρισάμενοι, οὐκ ἂν εἶεν ἐπίμεμπτοι. Ἀλλ' ἐρεῖς, καὶ τὸ, τρύφων διαλέγεται, ἔτι δὲ καὶ τὸ, ἐγὼ διαλέγομαι, πρός τινά ἐστι λεγόμενον. Τί δαὶ παρὰ τοῦτο; καὶ μὴν οὐ τὸν πρός τινα λόγον β', προσώπου εἶναι ὡρίσαντο, ἀλλ' ἐκεῖνο εἶναι β', πρόσωπον, πρὸς ὃ ὁ λόγος ἀποτείνεται. ἀποτείνεται δὲ πᾶς λόγος πρὸς δεύτερον. δεύτερον ἄρα ἐστὶ, πρὸς ὃ ὁ λόγος ἀποτείνεται. καὶ γὰρ ὁ περὶ τοῦ πρὸς ὃν ὁ λόγος φράζων, περὶ τοῦ β', φράζει, οὐ μὴν ἤδη καὶ προσφωνουμένου. εἴγε κατὰ πᾶσαν μὲν πτῶσιν φράζει τις περὶ τοῦ πρὸς ὃν ὁ λόγος, τοῦ β', λέγω, οὐ μὴν δὲ καὶ κατὰ πᾶσαν, κατὰ δὲ μόνην κλητικὴν προσφωνεῖ αὐτὸ, εἴτ' οὖν προσκαλεῖ.

Τρίτον, ᾧ περὶ ἑτέρου.

Οἷον, οὗτος, ἐκεῖνος, σωκράτης. Ἄπορον δὲ, πῶς τὸ ἕτερον ἐπὶ δυοῖν κυριολεκτούμενον, ἐπὶ πολλῶν ὁ Θεόδωρος τέθεικεν. οἱ δὲ παλαιοὶ γράφοντες περὶ τῶν ἐπιμεριζομένων, λέγεσθαί φασι τὸ ἕτερος καὶ ἐπὶ πολλῶν. Δημοσθ': γοῦν ἐν τῷ κατὰ Ἀριστοκρ': φησὶ τρίτον δ' ἕτερον δικαστήριον πρὸς τούτοις. οὕτω δὲ καὶ τὸ ἄλλος, οὐ μόνον ἐπὶ πολλῶν, ἀλλὰ καὶ ἐπὶ δυοῖν. καὶ ὅλως ἀδιαφόρως ἀττικοὶ χρῶνται ἀμφοῖν. ὥστε καὶ ἐκ παραλλήλου λέγουσιν ἀμφότερα. Πλάτων οὖν ἐν πολιτείαις φησὶν, ἄλλη μὲν ἡ ἀπωθοῦσα χεὶρ, ἑτέρα δὲ ἡ προσαγομένη. καὶ οὕτω μὲν αὐτοὶ, ἀφανίζοντες τὴν περὶ τοῦ ἕτερος παλαιὰν παρατήρησιν. ἥτις ἐπὶ δυοῖν τίθεσθαι τὸ ἕτερον παραδιδοῦσα, τὸ ἐν ἐκ δυοῖν λέγει δηλοῦν.

Οὐκ ἰσοδύναμα ἀλλήλοις ἐστὶν;

Εἰς λόγου γένεσιν.

Ἀλλὰ πολὺ τὸ γ', λείπεται τοῦ α', τε καὶ β'.

Διὰ τὸν ἑξῆς λόγον.

Τὸ δὲ β', ἔτι τοῦ α'.

Καὶ οὖν α', καὶ β', λαμβανομένου δίχα τοῦ γ', λόγος ἂν γίνοιτο. οἷον τὸ, τοὶ γὰρ ἐγὼν ἐρέω.

Τὸ πρῶτον. ἰλ: α.

Σὺ δὲ σύνθεο, καίμοι ὄμοσσον.

Τὸ δεύτερον.

Τρίτον δ' οὐκ ἂν λέγοιτο, μὴ καὶ πρώτου, ἢ β', λεγομένου, ἢ συνυπακουομένου.

Ὁ λόγος. δι' ὃν τὸ γ', λείπεται τοῦ α', τε καὶ β'. τρίτου γὰρ μόνου παραληφθέντος, λόγος οὐκ ἂν γίγνοιτο, ὅτι μὴ συνυπακουομένου καὶ τοῦ α', τε καὶ β'. οἷον, κρείσσων γὰρ βασιλεὺς, ὅτε χώσεται ἀνδρὶ χερηΐ. ἰλ: α. ᾧ τινι τρίτῳ συνυπακούεται τό, τε λαλοῦν α', ὁ τῶν κακῶν μάντις Κάλχας, καὶ τὸ β', πρὸς ὃν λαλεῖ Ἀχιλλέα. ὡσαύτως καὶ αἱ μονῳδίαι εἰσάγουσι τὸ α', πρόσωπον λαλοῦν δίχαγε τοῦ β'. ὡς εὐριπ': δείκνυσι. συνεννοεῖται ὅμως καὶ τὸ β'. ὅθεν ὁ ἢ, σύνδεσμος ἐν τῷ, μὴ καὶ πρώτου, ἢ β', λεγομένου, ἀντὶ τοῦ καὶ, κεῖ-

τοῦ καὶ, κεῖται. ὁ γὰρ λόγος δι' οὐδὲν ἕτερον προφέρεται, ἢ ὅτι εἰς τὸ ἑρμηνεῦσαι τὰς ἐν τῇ ψυχῇ διαθέσεις τοῖς προσεχῶς ἀκροωμένοις. Ταῦτ' ἄρα καὶ χρῄζει πάντως τὸ μὲν α', πρόσωπον, τοῦ β', πρὸς ὃ τὰ τῆς ἑρμηνείας, ἀμφοῖν δὲ, τὸ γ'. εἴ γ' ὁ περὶ αὐτοῦ λόγος ἔκ τινός τέ ἐστι καὶ πρός τινα. ὁ δ' Ἀριστ'λ: ἐν α', τῆς ῥητορ'. ἐκ τριῶν συγκεῖσθαι λέγων τὸν λόγον, ἔκ τε τοῦ λέγοντος, καὶ περὶ οὗ λέγει, καὶ πρὸς ὅν. δοκεῖ μὲν συνεισάγειν τῷ α', καὶ β', καὶ τὸ γ', πρόσωπον, οὔγε μὴν ἀνάγκη πρόσωπον εἶναι τὸ περὶ οὗ ὁ λόγος, ἀλλὰ καὶ πρᾶγμα. δῆλον δ' ἐντεῦθεν, ὡς πᾶς λόγος κλητικὴν ἔχει προσυπακουομένην. εἴ γε πρὸς β', ἀποτείνεται.

Σύλληψις Προσώπων.

Σύλληψις γίνεται Γενῶν, Ἀριθμῶν καὶ Προσώπων. τῶν μὲν γενῶν, ἐν πτωτικοῖς, τῶν δ' ἀριθμῶν καὶ προσώπων, ἐν ῥήμασιν ἐξεταζομένη. ἐνταῦθα γοῦν τὴν τῶν προσώπων παραδίδωσι, (περὶ γὰρ τούτων πρόκειται λέγειν.) συνεισαγόντων πάντως καὶ τὴν τῶν ἀριθμῶν. εἴγε ἡ ἐν ὕλος οὐσία παρυφιστάμενον ἔχει πανταχοῦ τὸ ποσόν. τὴν δὲ τῶν γενῶν, ἐν τῷ περὶ μετοχῆς ἐρεῖ.

Ἔτι τὸ μὲν α', καὶ β', δυνατὸν συλλαμβάνειν τὸ γ', εἰς πληθυντικὸν ἴδιον.

Τῶν προσώπων κρεῖττον καὶ ἐπικρατέστερον τῇ τάξει τὸ μὲν α', τοῦ β', τε καὶ γ'. καὶ τὸ β', ἔτι τοῦ γ'. τὸ γοῦν ἐπικρατέστερον πέφυκε συλλαμβάνειν ἐν ἰδίῳ πληθυντικῷ ἀριθμῷ τὸ ἐπικρατούμενον. ἴδιον δέ φημι τοῦ συλλαμβάνοντος, οὐ τοῦ συλλαμβανομένου.

Τὸ δὲ γ', οὐδέτερον τούτων.

Οἷα δὴ πολὺ τούτων ἑκατέρου ἀπολειπόμενον, ὡς εἴρηται. οὐδὲ γὰρ δι' ὅ, τι οὐδέτερον τούτων συλλαμβάνει, διὰ τοῦτο πολὺ τούτων ἀπολείπεται, δι' ὅ, τι δὲ μᾶλλον τούτων ἀπολείπεται, διὰ τοῦτο οὐδέτερον τούτων συλλαμβάνει. ἀπολείπετο δὲ τούτων διὰ τὸν προληφθέντα λόγον καὶ μόνον.

Καὶ γὰρ, ἐγὼ μὲν κἀκεῖνος περιπατοῦμεν, φαμὲν, καὶ, σὺ κἀκεῖνος περιπατεῖτε. οὐκ ἔτι δὲ καὶ, ἐκεῖνος κἀγὼ περιπατοῦσιν. ἢ ἐκεῖνος καὶ σὺ περιπατοῦσιν.

Ἡ γὰρ, ὡς εἴρητο, σύλληψις εἰς τὰ ἐπικρατοῦντα γίγνετο, οὐκ εἰς τὰ ἐπικρατούμενα.

Ὡς δὲ τὸ γ', πρὸς τὸ α', καὶ β', ἔχει, οὕτω καὶ τὸ β', πρὸς τὸ πρῶτον.

Τοῦτ' ἔστιν, ὥσπερ τὸ γ', συλλαμβάνετο ὑπὸ τοῦ α', τε καὶ β', οὕτω καὶ τὸ β', ὑπὸ τοῦ πρώτου.

Τὸ μὲν γὰρ α', συλλαμβάνει τὸ β', ἀνάπαλιν δ', οὔ. ἐγὼ οὖν καὶ σὺ περιπατοῦμεν, φαμὲν, περιπατεῖτε δ', οὔ.

Ὅθεν τὸ ἐν τῇ πρὸς Νεκτάριον κωνσταντινουπόλεως ἐπιστολῇ Γρηγορ': τοῦ θεολόγου ἐμφερόμενον, σημειωτέον. τὴν σὺν σοὶ γάρ φησιν, ἀδελφότητα ἐγώ τε καὶ οἱ σὺν ἐμοὶ πάντες προσαγορεύουσι. δέον εἰπεῖν προσαγορεύομεν. εἰ μή τί γε κατ' ἐπικράτειαν τοῦ πληθυντικοῦ. δῆλον δ' ὅτι τῶν προσώπων ἡ σύλληψις ὁμοιοπτώτως γίνεται, μονόπτωτος οὖσα. καθ' ὅ, τι πρὸς τὸ αὐτὸ ῥῆμα φέρονται. καὶ εἴ τι ἐκ διαφόρων, ἢ ἐξ ὁμοειδῶν, διαφόρων μὲν, πρώτου δηλαδὴ, δευτέρου καὶ τρίτου. ἢ δευτέρου καὶ τρίτου

τρίτου. οἷον, ἐμοῦ, σοῦ, κἀκείνου ἀκούει, σοὶ κἀκείνῳ ἐλάλησεν. ὃ γενήσεται κατὰ σύλληψιν, ἡμῶν ἀκούει, ὑμῖν ἐλάλησε. ὁμοειδῶν δὲ, τῶν τοῦ αὐτοῦ δηλονότι προσώπου, σὲ καὶ σὲ καὶ σὲ ἐθεάσατο. τούτῳ, καὶ τούτῳ κἀκείνῳ ὡμίλησεν. ὃ γενήσεται πάλιν κατὰ σύλληψιν, ὑμᾶς ἐθεάσατο. τούτοις ὡμίλησε. πρόσκειται δὲ τὸ μονόπτωτος, διὰ τὰς παραγώγους εἴτ' οὖν κτητικὰς τῶν ἀντωνυμιῶν. ἐν αἷς πολύπτωτος οὖσα ἡ τῶν προσώπων σύλληψις, ἀνομοιόπτωτός ἐστιν. ἐν γὰρ τῷ, ἡμέτεροι, δύω, ταὐτὸν εἰπεῖν πλείους τῆς μιᾶς ἔγκεινται πτώσεις, γενικὴ μὲν τῶν κτητόρων, εὐθεῖα δὲ, ἢ κλητικὴ τῶν κτημάτων.



Περὶ Μετοχῆς.

Μετοχὴ δὲ, ὡς καὶ τοὔνομα δηλοῖ, μέρος ἐστὶ λόγου, μετέχον τοῦ ὀνόματος καὶ τοῦ ῥήματος.

Καὶ ἡ μετοχὴ κατὰ τὴν δέουσαν ἀκολουθίαν κατηλέχθη μετὰ τὸ ῥῆμα, τῆς τάξεως ἐμφαινούσης τὴν τοῦ ῥήματος εἰς αὐτὴν μετάπτωσιν. ἀναγκαίως γὰρ αἱ τῶν ῥημάτων εἰς πτωτικὰ σχήματα μεταλήψεις ἐγένοντο μετὰ τῶν παρεπομένων τοῖς πτωτικοῖς γενῶν, μὴ δυναμένων καθ' ἑαυτὰ τῶν ῥημάτων τὴν τούτων παραστῆσαι καταλληλότητα, τῶν πτωτικῶν λέγω καὶ τῶν παρεπομένων γενῶν. ἐπειδὴ γὰρ τὰ μὲν ὀνόματα, ὑποκειμένων εἰσὶ παραστατικὰ, τὰ δὲ ῥήματα, τῶν περὶ ἐκεῖνα συμβεβηκότων, ἐνεργειῶν φημι καὶ παθῶν, πέφυκε δὲ τὰ μὲν, ὑποκεῖσθαι, τὰ δὲ, κατηγορεῖσθαι, ἔπειτα τοῖς μὲν ὑποκειμένοις ὡς πτωτικοῖς ἡ τῶν γενῶν παρέπεται διάκρισις, ἐχρῆν δὲ μὴ ἀδιαφόρως, ἀλλὰ καὶ κατὰ γένος κατηγορεῖσθαι τῶν ὑποκειμένων τὰ ῥήματα, τοῦτο δ' αὐτοῖς οὐκ ἐνεχώρει, ἀπτώτοις οὖσι, διὰ τοῦτο ἄρα εἰς πτωτικὰ σχήματα μετέπεσε τὰ ἄπτωτα ῥήματα, ὡς ἂν ἔχοι καὶ κατὰ γένη τὴν τῶν ὑποκειμένων παρισταῦ γνῶσιν, ὡς εἴρηται. προφανὲς δ' ὅ, τι ἡ ἐγγινομένη θέσις τοῦ ὀνόματος, (τῆς μετοχῆς φημι. ἐπεὶ παῦ μέρος λόγου ὄνομα κοινότερον ἀκούει.) οὐκ ἄλλως ἂν ἐφυλάχθη, εἰ μὴ μετὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα, τὸ ἐκ τούτων ἐκ καταφάσεως ἠρτημένον μόριον ἀμέσως παρελαμβάνετο, φημὶ δὴ τὴν μετοχήν. καθὰ δὴ καὶ μετὰ τὸ ἀρσενικὸν καὶ θηλυκὸν τὸ τούτων ἀποφατικὸν οὐδέτερον. εἰ γὰρ μὴ παραδεξόμεθα τὴν τῶν προκειμένων μορίων προτέραν θέσιν, καταλελείψεται τὸ μήτε μετοχὴν καλεῖν, μήτε μὴν οὐδέτερον.

δύοιν

δῦοῖν γάρ τινων προϋφεστώτων γένοιτ' ἂν ἀποφατικὸν τὸ οὐδέτερον. τινῶν δὲ μεθέξει καὶ ἡ μετοχή. ἀλλ' οὐδ' ἄλλου μορίου δύναιτ' ἄν τις παρέμπτωσιν ποιήσασθαι, λέγω ἀντωνυμίας, ἢ ἐπιρρήματος, ἢ συνδέσμου, ἢ ἄρθρου, ἢ ἄλλου τοῦ. οὐδὲ γὰρ τῆς τούτων ἰδιότητος μετέχεν ἡ μετοχή.

Μετέχει δὲ τοῦ μὲν, γένος καὶ πτῶσιν, τοῦ δὲ, διάθεσιν καὶ χρόνον καὶ συζυγίαν.

Τῷ μὲν κατὰ τὰ ῥήματα χρόνῳ, ἡ κατὰ τὰ ὀνόματα πτῶσις ἀναλογεῖ. εἴγε καὶ κατὰ τὸν φίφον ῥῆμα μέν ἐστι, τὸ κατ' ἐνεστῶτα, τὸ δὲ κατὰ τοὺς λοιποὺς χρόνους, οὐ ῥῆμα, πτῶσις δὲ ῥήματος. τῇ δὲ διαθέσει, τὸ γένος. τῇ δὲ συζυγίᾳ, ἡ κλίσις. ὡς οὖν κατὰ συζυγίαν μετέχει τοῦ ῥήματος, οὕτω καὶ κατὰ κλίσιν τοῦ ὀνόματος. ἄξιον δὲ θαυμάσαι τὴν τῶν ἀντιδιαιρουμένων ἰδιοτήτων κατὰ μίαν φωνὴν ἀσύγχυτον συνέλευσιν, πτώσεως λέγω καὶ χρόνου, γένους καὶ διαθέσεως, κλίσεως καὶ συζυγίας.

Δι' ὃ καὶ τῇ μὲν, τῆς ἀμφὶ τ' οὔνομα συντάξεως ἔχεται, τῇ δὲ, τῆς ἀμφὶ τὸ ῥῆμα.

Ἐπειδὴ γὰρ ἑκατέρων μετέχει, εὔδηλον ὅτι καὶ τῆς ἑκατέρων ἔχεται συντάξεως, τοῦ μὲν ὀνόματος, τοῖς οὐσιαστικοῖς εἴτ' οὖν ὑποκειμένοις ὁμοιογενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως κατὰ τὰ ἐπίθετα συντασσομένη, καὶ κατ' ἐκεῖνα τῷ ῥήματι συμπλεκομένη, τοῦ δὲ ῥήματος, μεταβατικῶς πρὸς τὰς τρεῖς τῶν πλαγίων πτώσεων φερομένη κατὰ τὸ συστοιχοῦν αὐτῇ ῥῆμα κατὰ πάντας τοὺς προκατειλεγμένους τρόπους τῆς τοῦ ῥήματος μεταβατικῆς συντάξεως, ἁπλοῦς τέφημι καὶ συνθέτους, κατὰ διάθεσιν καὶ χρόνον καὶ συζυγίαν τοῦ συζυγοῦντος οἱ ῥήματος.

Ὥστε καὶ ὡς ἔχει συντάξεως τὰ ῥήματα πρὸς ἄλληλά τε

Οἷον, θέλω γράφειν. περιπατῶ, ἵνα ὑγιαίνω.

Καὶ πρὸς τὰ ὀνόματα,

Μεταβατικῶς μὲν, τοῦ λέγοντος ἐφίεμαι. δίδωμι σωκράτει. φιλῶ τὸν σρᾶ. θεῶμαι τοὺς γυμναστάς. ἀμεταβάτως δὲ, σωκράτης περιπατεῖ. δίων ἀναγινώσκει.

Οὕτω καὶ αἱ μετοχαὶ πρὸς ἀλλήλας τε

Οἷον, θεώμενος τοὺς γυμναζομένους. φιλῶν τὸν σῴζοντα.

Καὶ πρὸς τὰ ῥήματα.

Θέλων γράφειν, ἢ ἵνα γράφω.

Καὶ ὀνόματα.

Μεταβατικῶς μὲν, διδοὺς σωκράτει, θεώμενος τοὺς γυμναστὰς, φιλῶν τὸν σρᾶ. ἀμεταβάτως δὲ, σωκράτης περιπατῶν, δίων ἀναγινώσκων.

Ὡς γάρ φαμεν, γράφειν ἐθέλω καὶ, τοῦ λέγειν ἐφίεμαι, οὕτω, καὶ, γράφειν ἐθέλων, καὶ, τοῦ λέγειν ἐφιέμενος. καὶ βέλτιόν γε ἐπὶ μέλλοντος τὸ μετοχικόν. ἥκω ἐρῶν. πέμπω σε ἀγγελοῦντα.

Εἴρηται ἐν τοῖς φθάσασιν, ὅτι τῶν μορίων τὰ εἰς θέσεις ἰδίας, μᾶλλον δὲ κοινὰς ἀναμεμερισμένα, κατὰ ταυτότητα τῶν σφίσι προσόντων ἀλλήλοις συνενεχθήσεται. παρὰ γὰρ τὴν τούτων ἐναλλαγὴν τὸ ἀκατάλληλον ἐμφανίζει. ὅθεν καὶ ἡ μετοχὴ δεκτικὴ οὖσα, ἧς καὶ τὸ ῥῆμα παραδέχεται χρόνων ἀκολουθίας, δῆλον ὡς κατὰ τὸν αὐτὸν χρόνον συνοδεύσει τῷ ῥή-

τῷ ῥήματι. ὅτε γε μὴν καὶ ἐπὶ ταύτης ἐν μέρει γενηταίτις διαφορὰ, ἀφίσταται τοῦ κοινῇ παρακολουθοῦντος. τῶν γὰρ ῥημάτων τὰ κίνησιν σημαίνοντα, τὸ οὗ ἕνεκα ἀπαιτεῖ. εἴγε κίνησις πᾶσα ἕνεκά του γίγνεται. τοῦτο δὲ μέλλοντος τυγχάνει. τὸ ἄρα τοῖς τοιούτοις ῥήμασι συμφερόμενον μετοχικὸν μόριον, καὶ ἁπλῶς πᾶσα μετοχὴ τὸ οὗ ἕνεκα αἰτιολογοῦσα, ἐπὶ μέλλοντος συνενεχθήσεται. Θουκδ': α', δεκάτῳ δὲ ἔτει ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν ἑλλάδα δουλωσόμενος ἦλθε. Λουκιαν': ἐν τῷ ἀλεξ': καὶ φιλίπ. πῶς λέγεις; χρήσιμον ἐδόκει σοι τὸ παρέχειν σεαυτὸν ἐξαπατηθησόμενον ὑπὸ τῶν προφητῶν; ὁ δὲ Θεόδωρος ῥημάτων ὥσπερεὶ φειδόμενος, τὸ μετοχικὸν ἁπλῶς εἶπε, μὴ προσδιορισάμενος καὶ ὁποῖον μετοχικόν. δῆλον δ' ὅτι οὐχὶ τὸ ἐκ πρώτου, τῶν δὲ ἐκ τρίτου τὸ ἀντὶ τελικοῦ εἰλημμένον ἀπαρεμφάτου. Ἀλλ' ἐνσταίης, τὰ μετοχικὰ ἐπὶ τοῦ ἐγώ σε τρέφω μαχούμενον, οὐχὶ λοιδορούμενον ἀλεξάνδρῳ, οὐχ ἥκιστα τὸ οὗ ἕνεκα αἰτιολογεῖ. οὐμὴν ἑκάτερα ἐπὶ μέλλοντος. Ἢ μέλλοντος δὴ καὶ αὐτά. τὸ γὰρ μέλλον, ὡς πολλάκις εἴρηται, ἤτοι εἰς παράτασιν, ἢ εἰς συντέλειαν θεωρεῖται. τὸ μὲν οὖν τρέφω σε μαχούμενον, τὴν συντέλειαν, τὸ δὲ λοιδορούμενον, τὴν παράτασιν ὑπεμφαίνει τοῦ μέλλοντος. Ἔτι ἀπορήσ: Τῶν μετοχῶν αἱ τὸ οὗ ἕνεκα αἰτιολογοῦσαι, ἐκ τῆς ὑποτακτικῆς δι' εὐφράδειαν μετελήφθησαν. τὸ γὰρ πέμπω σε ἀγγελοῦντα, ἐκτοῦ ἵνα ἀγγείλῃς μετείληπται, εἰς αὐτὸ πάλιν μεθερμηνευόμενον. τῆς δὲ ὑποτακτικῆς ἀγνοούσης τὸν μέλλοντα, πῶς τὸ ἐξ αὐτῆς μετοχικὸν ἐπὶ μέλλοντος; δέον ἤτοι κατὰ ἐνεστῶτα, ἢ κατὰ ἀόριστον μεταλαμβάνεσθαι; Ἢ ὅτι οὐ κατὰ τὴν ὑποτακτικὴν καὶ ἡ μετοχὴ καθ' ἕκαστον χρόνον ὑπαγορεύει τὸ μέλλον, κατὰ δὲ μόνον τὸν μέλλοντα. ἄλλως τε οὐκ ἐν τῷ καθόλου ληπτέον τὸ ἐπὶ μέλλοντος. ἐδείχθη γὰρ κἀπὶ ἐνεστῶτος τὸ τοιοῦτο μετοχικόν. δῆλον δὲ ὡς τῶν μετοχῶν αἱ τὸ τελικὸν αἰτιολογοῦσαι, ἀντὶ τελικῶν ἀπαρεμφάτων εἰσὶν εἰλημμέναι. εἴγε τῶν ἀπαρεμφάτων τὰ εἰς τὴν ὑποτακτικὴν μεταλαμβανόμενα, εἰσὶ τελικά. Ἐς δὲ τὸ πτωτικὸν τῆς μετοχῆς σχῆμα μεταλαμβάνεται ἔτι τῶν ἀπαρεμφάτων ὅσα τὸ εἰδικὸν αἰτιολογοῦντα, συμφέρεται τῶν κατ' αἴσθησιν ἀναληπτικῶν ῥημάτων τοῖς τε κατ' ἐκπομπὴν, οἷον, τοῖς τῆς ὁράσεως, καὶ ὅσα προείρηται. ἔτι καὶ τοῖς λῆξιν, ἢ παῦσιν δηλοῦσιν. οἷον, ἄρτι μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν, καὶ, παῦσαι λαλῶν.

Ἔτι ὡς δίδωμι σωκράτει, οὕτω καὶ, διδοὺς σωκράτει. ἔτι ὡς φιλῶ τὸν σρᾶ, οὕτω, φιλῶν τὸν σῴζοντα. καὶ, ὡς θεῶμαι τοὺς γυμναστὰς, οὕτω, θεώμενος τοὺς γυμναζομένους.

Ἀπὸ κοινοῦ τὸ, φαμὲν, εἴτ' οὖν συντάττομεν.

Τὸ δὲ, τόξων εὖ εἰδὼς, ποιητικὸν κατὰ ἀντιμέρειαν. ὡς ἂν εἰ ἐλέγετο, τόξων εἰδήμων.

Εἰρήκει, ὡς ἔχει πρὸς τὰ ὀνόματα τὰ ῥήματα, οὕτω τοι καὶ αἱ μετοχαὶ, πρὸς τὰς αὐτὰς δηλαδὴ πτώσεις συμφερόμεναι τῷ συστοίχῳ ῥήματι. ἐπεὶ δὲ ἐπὶ τοῦ προκειμένου ἡ μετοχὴ οὐχ ὁμοιοπτώτως τῷ συστοίχῳ συνετάγη ῥήματι, αἰτιατικὴν ἀπαιτοῦντι κατὰ τὸν τόπον τῶν γνωστικῶν, εἶδόν σε γὰρ, οὐ μὴν, εἶδόν σου. τούτου χάριν εἰλῆφθαί φησι τὴν μετοχὴν κατὰ ἀντιμέρειαν. περὶ ἧς εἴρηται ἐν τοῖς κατ' ἐναλλαγὴν τρόποις τοῦ σολοικισμοῦ. εἴληπται γὰρ ἡ μετοχὴ ἀντὶ ὀνόματος τοῦ εἰδήμων, ἢ τὸ ὄνομα ἀντὶ ἀπαρεμφάτου, ὡς ἄντις εἴποι, τοξεύειν εὖ εἰδὼς. τόξα

δώς. τόξα γὰρ ἐνταῦθα τὴν τοξείαν δηλοῖ. κατὰ Ἀντιμέρειαν μὲν οὖν τὸ σχῆμα λέλεται, ὁπηνίκα μέρη λόγου ἄλλα ἀντ' ἄλλων λαμβάνεται. κατ' ἐναλλαγὴν δὲ, ὅτε τι τῶν τοῖς μέρεσι παρεπομένων ἐναλλάττεται. ἔστι δὲ κοινότερον ἡ ἐναλλαγὴ, λεγομένη καὶ κατὰ τῆς ἀντιμερείας.

Φέρονται δὲ αἱ μετοχαὶ,

Τοῦτ' ἔστι συντάσσονται. ὁ δὲ δὲ, ἀντὶ τοῦ γάρ.

Ἐπὶ τὰς αὐτὰς πτώσεις τῷ ῥήματι,

Τῷ τῇ μετοχῇ συστοιχοῦντι. ὅ ἐστι ταῖς αὐταῖς πτώσεσι συντάσσονται, αἷς δὴ καὶ τὸ συστοιχοῦν αὐταῖς ῥῆμα συντάσσεται. φθάνει γὰρ εἰρηκὼς, ὅτι ὡς ἔχουσι συντάξεως τὰ ῥήματα πρὸς τὰ ὀνόματα, οὕτω τοι καὶ αἱ μετοχαί. ἐπαναλαμβάνει δὲ τὰ εἰρημένα διὰ τὰ ἄλλα πτωτικά.

Καί τοι τῶν ἄλλων πτωτικῶν, λέγω δὴ τῶν ἀπὸ ῥήματος γινομένων.

Πάντα γὰρ τὰ εἰς πτώσεις ἀπὸ ῥήματος μεταχηματιζόμενα, πτωτικὰ ἀκούει ῥήματα, καὶ δὴ καὶ ῥηματικὰ ὀνόματα. ὅθεν καὶ ἡ μετοχὴ πτωτικόν ἐστι ῥῆμα.

Οὐκ εἰς τὸ αὐτὸ τῆς συντάξεως φερομένων.

Ἀντὶ τοῦ οὐ κατὰ ταὐτὰ, οὔτε μὴν ἐπὶ τὰς αὐτὰς πτώσεις τῷ συστοίχῳ ῥήματι συντασσομένων. καὶ γὰρ αἰτιατικῇ μὲν τὸ,

Κόπτω τοῦτον,

Τὸ δὲ ἀπὸ τοῦ κόπτω γινόμενον ῥηματικὸν πτωτικὸν, οὐκ ἔτι κοπεὺς τοῦτον, ἀλλὰ γενικῇ.

Κοπεὺς τούτου, ὅθεν καὶ δῆλον ὅτι πάντα τὰ πτωτικά.

Ῥήματα δηλαδὴ πτωτικὰ, ταῦτα δὴ τὰ εἰς πτωτικὸν σχῆμα μετενεχθέντα. ἃ ἐν τῇ τῶν ὀνομάτων διαιρέσει ὡς κτητικὰ ἤκουσεν.

Ἐπὶ γενικήν,

Φέρεται δηλ: οἷον, ποιῶ λόγους. ποιητὴς δὲ λόγων. πορίζομαι τὰ ἐπιτήδεια, πορισικὸς δὲ τῶν ἐπιτηδείων. καὶ, τέμνω μὲν τὸν κύκλον, τομεὺς δὲ κύκλου. Ἀλλ' ἀπορήσεις, πάντα φησι τὰ πτωτικά. τὸ δὲ λόγος, καὶ πόνος καὶ φόνος, καὶ ἔτι τὰ ἀπὸ τοῦ κατὰ τὸ β', πρόσωπον παθητικοῦ παρακειμ', εἰς ῖς, γινόμενα θηλυκὰ ὀνόματα, δῆλον ὡς ἀπὸ ῥήματος μὲν, οὐ μὴν ἐπὶ γενικὴν, οὐδ' ἐπὶ πτῶσιν ὅλως φέρεται. Ἢ ὅτι οὐ συγκέκραται, καθ' ἑαυτὰ ἔτι νοούμενά τε καὶ λεγόμενα. τὰ γάρ τοι ἐπὶ γενικὴν φερόμενα ῥηματικὰ, τῶν ἐν ὑποκειμένῳ ἐστίν. οἷόν ἐστι τὸ κοπεὺς κτ'.

Πλὴν τῶν Μετοχῶν.

Κἂν γὰρ ἀπεβάλλοντο τῶν τε προσώπων τὸν μερισμὸν καὶ τὰς παρεπομένας ψυχικὰς διαθέσεις τοῖς ῥήμασιν, ἀλλ' οὐκ ἀποκλίνουσι καὶ τὴν αὐτὴν τοῖς ῥήμασι σύνταξιν, κατὰ τὰ ἄλλα πτωτικὰ ῥήματα, διὰ τὸ τὰς μὲν, μετέχειν ἔτι τῆς, ὡς εἴρηται, τοῦ ῥήματος ἰδιότητος, τοῦ χρόνων δηλαδὴ προσημαντικοῦ, ἐνεργητικῆς λέγω καὶ παθητικῆς διαθέσεως ἐν χρόνῳ γινομένης, κατὰ τὴν αὐτὴν ἔννοιαν. γυμνάζων γὰρ τοῦτον, ὅτι καὶ γυμνάζω τοῦτον. τὰ δὲ ῥηματικὰ ὀνόματα, μηκέτι σῴζειν τὸ τοῦ χρόνου προσημαντικόν. μόνον γὰρ τὸ εἶδος σημαίνει τοῦ ῥήματος, ὡς ἐν ὑποκειμένῳ, μετεχόμενον δηλ: ὑπὸ τοῦ ὑποκειμένου. οὐ μὴν δὲ καὶ ὡς ἐνεργοῦν φασιν, ἢ πάσχον αὐτὸ σημαίνει.

ναθ' ὅ,

καθ' ὅ, τι τῶν ὀνομάτων ἴδιον τὰ πράγματα αὐτὰ καθ' ἑαυτὰ σημαίνειν καὶ τὸ εἶναι, ἃ μὲν ὡς κινοῦντα, ἢ κινούμενα, ἃ δὲ χρόνα δηλ:, κἂν αὐτὸν φαίης τὸν ῥῆν. καὶ δὴ καὶ αὐτὸς τὸ εἶδος σημαίνει τῆς ῥοῆς, ὅ ἐστιν αὐτὴν καθ' ἑαυτὴν τὴν ῥοὴν, οὐκ αὐτὸ τὸ ῥεῖν. ἄλλο γὰρ κίνησις, καὶ ἕτερον κινεῖσθαι. εἰ γε ἡ μὲν κίνησις, ὥσπερ καὶ ποίησις καὶ πάθησις τὴν φύσιν αὐτὴν σημαίνει τῆς ῥοῆς, ὡς πρᾶγμά τι καθ' ἑαυτὸ θεωρούμενον, καὶ οὐχ ὡς ἐν γενέσει εἴτ' ἐν κινήσει καὶ διεξόδῳ γιγνόμενον. τὸ δὲ κινεῖσθαι, τὴν ῥοὴν ἐν χρόνῳ γιγνομένην καὶ κατὰ διέξοδον. ὃ καὶ ἀπὸ τῶν λόγων αὐτῶν δῆλον. ἡ μὲν δὴ κίνησις μεταβολή ἐστιν ἔκ τινος εἴς τι, τὸ δὲ κινεῖν, τὸ μεταβάλλειν ἄλλο εἰς ἄλλο. οὐ ταὐτὸ δὲ μεταβολὴ καὶ μεταβάλλειν, ἢ μεταβάλλον. κατὰ ταυτὰ δὴ ἐκλιπτέον καὶ τὰ ῥηματικά. ὡς δὲ ἔχει ἡ ῥοὴ πρὸς τὸ ῥεῖν, ἕτω καὶ ταῦτα πρὸς τὰ ἀφ' ὧν παρῆκται ῥήματα. καὶ ἕτω μὲν τινες τὰ συγκεκριμένα τῶν ῥηματικῶν ὀνομάτων, μόνα μετέχειν βέλονται τοῦ εἴδους τοῦ ῥήματος, ἀδιαθέσεως. εἶδος δ' ἐννοοῦσι τὴν συσχεθεῖσαν τῷ ῥήματι ποιότητα καθ' ἑαυτὴν, τὸ τύπτω φέρε τὴν τύψιν, τὸ γράφω τὴν γραφὴν, τὸ λύω τὴν λύσιν, καὶ τὰ τοιαῦτα. καὶ τοι οὐχὶ εἶδος, ὕλη δὲ μᾶλλον τοῦ ῥήματος ἡ τοιαύτη τυγχάνει ποιότης. ἤτις τὸ προσημαντικὸν τοῦ χρόνου προσλαβοῦσα, εἰδοποιὸς τυγχάνει τοῦ ῥήματος διαφορά. Ἀλλὰ γάρ ἐστιν ἁπαντήσαντας πρὸς ταῦτα, φάναι, τὸ πάθος καὶ ἡ ἐνέργεια τῶν πρός τί εἰσιν. ἀλλὰ μὲν τοῦ, γραφοῦς γραφομένου. καὶ, κόπτης κοπτοῦ. καὶ ἀναξοποδὸς ἀναξεπτοῦ, καὶ ὅλως τῶν ὡς πτικῶν λεγομένων καθ' ὑπεροχὴν πτικῶν τὸ καθ' ὑποπαγὴν προδηλότατα πάθος ὑπαγορεύει, αἰτιατὸν ὄν, καὶ πρὸς δοτικὴν τοῦ καθ' ὑπεροχὴν φερόμενον, τὸ ποιητικὸν αἰτιολογοῦσαν ὡς εἴρηται). (τὸ δὲ κοπτόμενον, κοπεῖς ἐστι κοπτμὸν.) τὸ ἄρα καθ' ὑπεροχὴν, ἐνέργειαν σημαίνει. πάσχει δέ ἐστι τὸ ἀπορήματος παρηγμένον, καὶ μετέχον τοῦ εἴδους τοῦ ῥήματος. τὰ ἄρα ὡς πτητικὰ ἐνέργειαν σημαίνει. ἐκ ἄρα καθόλου ἐστὶ λέγειν τῶν πραγμάτων καθ' ἑαυτὰ εἶναι σημαντικὰ τὰ ὀνόματα καὶ τὸ εἶναι μόνον. δέδεικται δὲ σημαντικὰ ὄντα τῶν μὲν, καὶ τὸ κινεῖν, τῶν δὲ, καὶ τὸ κινεῖσθαι. ἀλλὰ καὶ Θεόδωρος αὐτὸς τῶν ξιφοκλίπων ὀνομάτων τὰ παρὰ τὸ κτείνω, καὶ ξίφω ξοχαϊκὰ σωθέντα, παθητικὰ μὲν ὄντα φησὶ, προπαροξυνθῆναι, ἐνεργητικὰ δὲ, παροξυνθῆναι. καὶ Μιχαὴλ δὲ ὁ σύγγελος, παρ' ἃ καὶ ταῦτα παρέξεσαι, καὶ ὅσα ἐσί φησιν, ὀνόματα ῥηματικὰ σημαίνοντα ἐνέργειαν, γενικῶ ἀπαιτεῖ. οἷον, ποιητικὸς ὁ δεῖ τὸ δεῖ, κτ. τὸν γὰρ φιλόσοφον παρήσειν μοι δοκῶ, λέγοντα τὸ πρός τι τὸ μὲν, καθ' ὑπεροχὴν καὶ ἔλλειψιν λέγεται, τὸ δὲ, καὶ τὸ ποιητικὸν καὶ παθητικὸν, καὶ ἄλλως κινητικόν τε καὶ κινητόν. τὸ δὲ κινητικὸν κινητικοῦ τοῦ κινητοῦ, καὶ τὸ κινητὸν, κινητὸν ὑπὸ τοῦ κινητικοῦ. φυσικ: ἀκροά: γ'. ὃς καὶ αὐτὸς τῶν ὀνομάτων τὰ μὲν ὡς πτητικὰ, ἐνέργειαν, πάθος δὲ τὰ τούτων αὐτιστρεπτικὰ δηλοῦν φησι. τὰ δὴ προκείμενα τῶν ὀνομάτων μετὰ διαθέσεως μετέχοντα τοῦ εἴδους τοῦ ῥήματος, ἐσωμφαίνει τὴν διαθέσει καὶ χρόνον, (τὴν ἄλλως ἐν χρόνῳ γινομένην.) εἰσὶν δὲ αὖ, εἴπερ, μετοχαὶ καὶ αὐτά. Ἀντιφέρεσι δὲ πρὸς ταῦτα ἐκεῖνοι, τὰ τοῦ λόγου μὴ προανασκοπήσαντες, ὡς ἡ ἐνέργεια εἴτε μεῖζον εἴη, εἴτε ἐλάσσων, αἰτιατικῶ, καὶ γενικῶ ἀπαιτεῖ, ὡς εἴρηται. καὶ τὰ ὡς πτητικὰ ἄρα, εἴπερ ἐνεργείας ὅλως ἐστὶν σημαντικά. Εἴποι δ' ἄν τις πρὸς ἐκείνους τὸ πρῶτον, ὡς ταὐτὸν ὄνομα καὶ ῥῆμα, ἵνα καὶ τὰ τῆς συντάξεως εἰς ταὐτὸ συμέλθῃ. εἶτα δὲ, καὶ τὰ πτητικὰ τῶν ῥημάτων μεταβατικὰ καὶ αὐτὰ ὄντα, καὶ ἐνέργειαν ἐκ ἧττον σημαίνοντα,

διά γε μὴν τὴν κτητικὴν σημασίαν γενικῇ συντάσσεται. οὐδὴ οὖν ἀπεμφαῖνον, εἰ καὶ τῶν πτωτικῶν τὰ ὡς κτητικὰ διὰ τὸν αὐτὸν λόγον τὴν γενικὴν ἀπῄτησεν. ὅτι μὲν γὰρ ὑπεμφαίνει καὶ αὐτὰ κτῆσιν καὶ ἐνέργειαν, τὸ μὲν, πρότερον, τὸ δὲ, νῦν δέδεικται. εἰ δέ που φησὶν Ἀπολλώνιος, ὅτι τὸ ποιητὴς ἀπήλλακται τῶν τοῦ ῥήματος, καθ' ὃ οὐκ ἐν ἀκολουθίᾳ ἐνέργειαν καὶ πάθος ἔχει, τὴν μετὰ χρόνου ἐκληπτέον. καὶ γὰρ ὁ αὐτός φησιν ἀλλαχοῦ. ἅπερ ἐνεργείᾳ τὰ ῥήματα, ταῦτα δυνάμει παρίστησι τὰ ἐξ αὐτῶν ὀνόματα. Ἐφ' οἷς ἰστέον ὡς τὰ ἀντισχετικὰ τῶν προκειμένων πτωτικῶν, φημὶ δὴ τὰ ἀπὸ τοῦ κατὰ τὸ γ', πρόσωπον παθητικοῦ παρακειμένου παρηγμένα εἰς τῶς, τρίγενῆ ὀνόματα, πτωτικὰ μέν εἰσι καὶ αὐτὰ ῥήματα, οὐ μὴν πρὸς γενικὴν, πρὸς δὲ δοτικὴν κατὰ τὰ σύστοιχα αὐτῶν ῥήματα φέρεται, τὰ μὲν, αἰτιολογοῦσαν τὸ ποιητικὸν, οἷον, τὸ κοπτὸν, κοπεῖ ἐστι κοπτόν. ὅτι καὶ κοπεῖ κέκοπται. τὰ δὲ, περιποιολογοῦσαν τὸ ὑπουργικόν. οἷον τὸ, δουλωτὸς, ἢ ἀδούλωτος πάθεσιν. ὅτι καὶ δεδούλωται πάθεσιν. οἷόν τι καὶ τὸ ἀκολουθητικὸς ὁ νέος τοῖς πάθεσιν. ὅτι καὶ ἀκολουθεῖ πάθεσιν. ὥστε διαιρετέον τὰ πτωτικὰ ῥήματα, εἴ γε οὐχ ἁπλῶς ἐπὶ γενικὴν ἅπαντα. ἔστι γὰρ ἃ τούτων κἀπὶ δοτικὴν τυγχάνει φερόμενα.

Ἔτι ὡς ἀπολελυμένως φαμὲν, ἀναπνέω, καὶ ζῶ, καὶ γράφω, καὶ χαίρω. οὕτω καὶ ἀναπνέων, ζῶ. καὶ γράφων, χαίρω.

Καὶ ὥσπερ τῶν ῥημάτων τὰ τέλεια, εἴτ' οὖν τὰ ἀμετάβατα, ἀπολελυμένως συντάσσεται, μὴ ἐπιζητοῦντα, ἐκ γ', πτωτικόν. οὕτω τοι καὶ αἱ σύστοιχοι τούτοις μετοχαὶ, ἀπολελυμένως συντάσσονται, ἄν τινὸς δηλονότι ἐπεκφορᾶς πτωτικῆς. ὅλως τε αἱ μετοχαὶ εἰς τὸ αὐτὸ τῆς συντάξεως τοῖς ῥήμασι φέρονται μεταβατικῶς τε καὶ ἀμεταβάτως.

Διὰ τί εὕρηται ἡ μετοχή.

Ὅθεν καὶ δῆλον,

Πόθεν; ἢ ὅτι ἐκ τῶν προσεχῶς εἰρημένων, τοῦ τε ἀναπνέων ζῶ. καὶ τοῦ γράφων, χαίρω.

Ὅτι πολύ τι εἰς βραχυλογίαν καὶ ἑλληνισμὸν συμβάλλονται αἱ μετοχαί.

Δυοῖν ἕνεκα εὕρηται ἡ μετοχὴ τοῦ μὲν, εὐφραδείας, ταὐτὸν εἰπεῖν ἑλληνισμοῦ χάριν, καθά που τὸ εὐφραδὲς καὶ εὐανάγνωστον εἰς τὸν ἑλληνισμὸν ὁ Ἀριστοτέλης ἀνάγει, καὶ αὐτὸς δὲ ὁ Θεόδωρος τὴν βραχυλογίαν καὶ τὸν ἑλληνισμὸν εἰς τὴν εὐφράδειαν ἑξῆς ἄμφω μετέλαβε, τοῦ δὲ, δι' ἀναγκαίαν χρείαν. ποιεῖ δὲ τὸν μὲν ἑλληνισμὸν, ἡ ἐκ τεχνικῆς συνηθείας βραχυλογία, πρὸς ἑρμηνείαν καὶ δήλωσιν τοῦ πράγματος αὐτὰ τὰ ἀναγκαῖα περιέχουσα λέξις, τὴν ἀνάγκην δὲ, ἡ τῆς αἰτίας δήλωσις, τῇ μετοχῇ ἀλλ' οὐχὶ τῷ ῥήματι καὶ τῇ συνδεσμικῇ παρεμπτώσει ἐμφανίζεσθαι πεφυκυίας.

Πολὺ γάρ τοι διαφέρει εἰς εὐφράδειαν τὸ, γράφων ἔλεγον, τοῦ, ἔγραφον καὶ ἔλεγον. καὶ τὸ, γράψας ὠφέλησα, τοῦ, ἔγραψα καὶ ὠφέλησα.

Εἰ γὰρ ἡ βραχυλογία ἐστὶν εὐφράδεια, τῶν δὲ προκειμένων δυοῖν λόγων βραχυλογώτερος ὁ ἐκ δυοῖν τοῦ λόγου μερῶν ἢ ὁ ἐκ τριῶν συγκείμενος, καὶ εὐφραδέστερος ἄρα. Ἰστέον δὲ ὡς οὐ μόνον ἡ βραχυλογία, ἀλλὰ καὶ ἡ ταύτῃ ἀντίθετος μακρολογία, εἰς ἑλληνισμὸν τείνει πολλαχοῦ. εἴ γε καὶ τὸ τοῖς στενολόγως καὶ ὡς εἰ-

καὶ ὡς εἰπεῖν ἀσαφῶς πεφρασμένοις ἐπεντιθέναι τι ἐπὶ τὸ σαφέστερον, εὖ ἔχον ἐστὶν ἑλληνισμοῦ, ὡς εἴρηται.

Καί τοι σημασίας ὂν τῆς αὐτῆς.

Ἑκάτερον, τό, τε διὰ τῆς μετοχῆς καὶ τὸ διὰ τοῦ συστοίχου ῥήματος συμφραζόμενον. Θουκδ΄: α΄. καὶ πέμψαντες εἰς δελφοὺς, τὸν θὲν ἐπηρώτων. Λουκιαν΄: ἐν τῷ ἀφρδ΄: καὶ ἔρωτ: καὶ νῦν ἐκείνη μέμηνεν ὑπὸ σοῦ. καὶ ζευξαμένη τοὺς λέοντας, παραλαβοῦσα καὶ τοὺς κορύβαντας, ἄνω καὶ κάτω τὴν ἴδην περιπολοῦσιν. Ἐν οἷς ἰστέον, ὡς δύοιν συνελθουσῶν μετοχῶν ἀπ' εὐθείας πρὸς ῥῆμα, ἢ ἀπὸ αἰτιατικῆς πρὸς ἀπαρέμφατον, οὐχὶ παραλλήλους, ἀλλὰ τὴν μὲν, πρὸ τοῦ ῥήματος, τὴν ἑτέραν δὲ, μετὰ τὸ ῥῆμα τακτέον εἰς ἀποφυγὴν ἐπεισάκτου συνδέσμου, τοῦ ῥήματος αὐτὰς ἐπισυνάπτοντος. ὡς ἐπὶ τοῦ, ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες. ἔστι δ' οὗ καὶ ἀσυνδέτως παράλληλοι τίθενται, ὡς κἂν τῷ, εὐχαριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας, ἔδωκε, κτ΄.

Εἰ δὲ καὶ ἑτέρας, δεόντως καὶ δὴ τὸ ῥῆμα εἰς τὸ πτωτικὸν μετηνέχθη σχῆμα. ἡ γὰρ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα συνταξις, δήλωμα ἂν εἴη αἰτίας. ὥστ' ἴσον γίνεσθαι τὸ, γράψας ὠφέλησα, τῷ, ἐκ τοῦ γράψαι ὠφέλησα.

Τῆς αὐτῆς μὲν οὖσα σημασίας ἡ μετοχὴ τῷ συζύγῳ ῥήματι. διὰ μόνην εὐφράδειαν παραλαμβάνεται. εἰ δὲ καὶ ἑτέρας ἐστὶ σημασίας δηλωτική, τοτηνικαῦτα δεόντως, τοῦτ' ἔστι καὶ δι' ἀναγκαίαν χρείαν καθ' Ἡρῳδιανὸν, καὶ οὐ μόνον δι' εὐφράδειαν εἰς πτωτικὸν σχῆμα τοῦτ' ἔστιν εἰς μετοχὴν τὸ ῥῆμα μεταπίπτει. ἡ γὰρ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα συνόδος, ποιητικὴν αἰτίαν δηλοῦν ὧδε βούλεται. ἥτις οὐκ ἂν εἶχε παραδηλοῦσθαι διὰ τοῦ ῥήματος, τοῦ ἔγραψα λέγω καὶ ὠφέλησα. τὸ γὰρ γράψας ὠφέλησα, ταὐτὸ δύναται τῷ δι' ὅ, τι, ἐπειδὴ ἔγραψα, διὰ τοῦτο ὠφέλησα. οὐ γὰρ ἄν, εἴπερ μή. καὶ ἔστι τὸ γράψαι, ποιητικὸν αἴτιον τῆς ὠφελείας, μᾶλλον δὲ ὀργανικὸν. διὰ γὰρ τοῦ γράψαι ὠφέλησα. καὶ σημείωσαι ὡς τὸ ἐξ οὗ οὐ μόνον τὸ ποιητικὸν, ἀλλὰ καὶ τὸ ὀργανικὸν δηλοῖ, λαμβανόμενον ἀντὶ τοῦ δι' οὗ. ὥσπερ ἄρα καὶ τὸ δι' οὗ ἀντὶ τοῦ ἐξ οὗ εἴτ' οὖν ὑφ' οὗ εἰλημμένον ἐδείχθη, τε καὶ δειχθήσεται διὰ τὴν πρὸς τὸ αἰτιατὸν τοῦτε ποιητικοῦ καὶ ὀργανικοῦ αἰτίου εἴτ' οὖν συναιτίου ποιητικὴν συγγένειαν. Θουκδ΄. α΄, ὥστε τὰ μὲν, σπενδόμενοι, τὰ δὲ, πολεμοῦντες, τὰ πολέμια ἐμπειρότατοι ἐγένοντο μετὰ κινδύνων τὰς μελέτας ποιούμενοι. ἀντὶ τοῦ, ἐκ τοῦ σπένδεσθαι καὶ πολεμεῖν καὶ ποιεῖσθαι. κατὰ γὰρ τὸν Ἀριστ΄λ: ἐν β΄ τῆς ῥητορ΄: εὐδοκιμοῦσι μάλιστα τῶν λόγων, οἱ διὰ τῶν μετοχῶν ἐμφαίνοντες τοῦ λεγομένου τὸ αἴτιον. οἷον καὶ τόδε, ἀθάνατον ὀργὴν μὴ φύλαττε, θνητὸς ὤν. τὸ γὰρ προσκείμενον μετοχικὸν τὸ δι' ὅ, τί φησι δηλοῖ. καὶ τὸ, ἑάλω δὲ κλέπτων, τὸ ποιητικὸν δοκεῖ δηλοῦν. ὡς καὶ χρυσός: ὁμλ΄, λζ΄. τοῦ κατὰ Ἰω΄: οἱ μὲν γὰρ βάρβαροι (σαμαρεῖται) ἵνα λεόντων πεῖραν λάβωσι μόνον, πρὸς τὴν ἰουδαϊκὴν εὐσέβειαν ἐπανῆλθον εὐθέως, ἐκεῖνοι δὲ (οἱ ἰουδαῖοι) τοσαῦτας ὑπομένοντες τιμωρίας, οὐδὲ οὕτως ἐσωφρονίσθησαν. τοῦ γὰρ ἵνα λάβωσιν, αἰτιῳδῶς εἰλημμένου, δῆλον ὅτι καὶ τὸ ὑπομένοντες, ὡσαύτως εἴληπται. Ἐν δὲ τῷ κειμένῳ, εἰ δὲ καὶ ἑτέρας, στικτέον, τὸ δὲ ἑξῆς κατὰ συνέχειαν ἀναγνωστέον οὑτωσί, δεόντως καὶ δὴ εἰς τὸ πτωτικὸν κτ΄. ἵν' ᾖ, εἰ δὲ καὶ ἑτέρας ἐστὶ σημασίας, δεόντως καὶ δὴ εἰς τὸ πτωτικὸν κτ΄. τὸ γὰρ δὴ, ἀντὶ τοῦ εὐθὺς, παραχρῆμα χρῶνται. ὡς παρὰ

τῷ θεο-

τῷ θεολόγῳ. ἐπ' αὐτὸν καὶ δὴ τρέψομαι. τὸν μέγαν δηλ: Βασίλ: καὶ τῷ Ἀριστείδῃ ἐν τῷ παναθηναϊκῷ. παρεὶς ἅπαν τὸ μέσον, καὶ δὴ πρὸς αὐτὰ τὰ καίρια τοῦ λόγου τρέψομαι. Ἐφεῦρε τοίνυν τὴν μετοχὴν ἥτε τοῦ λόγου εὐφράδεια, καὶ ἡ χρειώδης τοῦ αἰτίου δήλωσις. προσθείη δ' ἄν τις καὶ γ', αἴτιον τῆς τοῦ ῥήματος εἰς τὸ πτωτικὸν σχῆμα μεταπτώσεως, τὴν αὐτοῦ τούτου κατὰ πάσης πτώσεως ἀμετάβατον σύνταξιν. ἐκδέχονται μὲν γὰρ αἱ πλάγιαι τὰ, ὡς εἴρηται, ῥήματα μεταβατικῶς, ὡς τὸ δέομαί σου, δίδωμί σοι, διδάσκω σε. χρεία δ' ἦν καὶ ταυτοπροσωπικῶς, τοῦτ' ἔστιν ἀμεταβάτως ταῖς τρισὶ τῶν πλαγίων τὸ ῥῆμα συμφέρεσθαι. τοῦτο δ' ἦν ἀνέφικτον, τούτου χάριν ἐδέησε καὶ αὐτὸ πτωτικὸν ἀναλαβεῖν σχῆμα, ὡς ἂν μὴ μόνον τῇ εὐθείᾳ, ἀλλὰ καὶ ταῖς πλαγίαις ἀμεταβάτως ἔχῃ συντάσσεσθαι, κλινόμενον κατὰ πᾶσαν πτῶσιν διὰ τῆς μετοχῆς, δίκην ὀνόματος, οὑτωσίν. ἐγὼ δέομαι. ἐμοῦ δεομένου. ἐμοὶ δεομένῳ. ἐμὲ δεόμενον. πρὸς δὲ καὶ τέταρτον, διὰ τὴν τῶν ὡς εἴρηται ῥημάτων πρὸς τὰ ὑποκείμενα καὶ κατὰ γένος κατηγορίαν. δι' ὃ καὶ εἴη ἂν ἡ μετοχὴ καθ' Ἡρῳδιανὸν φάναι, ῥῆμα πτωτικὸν καὶ διαφόρων γενῶν διακριτικόν.

Πλαγίως.

Πολλὴ δὲ χρῆσις καὶ τοῦ πλαγίου τῶν μετοχῶν. οἷον, ἐμοῦ διδάσκοντος, ἥκει σωκράτης. καὶ ἐμοῦ διδάσκοντος, σὺ μανθάνεις. τό, τε πλάγιον τῆς συντάξεως τοῦτο, ὡς ἐκεῖνο τὸ ὀρθὸν, ἤτοι αἰτιῳδῶς, ἢ κατὰ συμβεβηκός.

Εἰσηγησάμενος τὴν χρῆσιν τῶν μετοχῶν κατὰ τὸ ὀρθὸν, ἤδη καὶ τὴν κατὰ τὸ πλάγιον ἐκτίθεται, φάσκων, ὡς καὶ τοῦτο τὸ πλάγιον κατ' ἐκεῖνο τὸ ὀρθὸν ἤτοι αἰτίας ἂν εἴη δήλωμα, ἢ συμβεβηκότος. ὅ ἐστιν ἤτοι διὰ μόνην εὐφράδειαν, ὡς εἴρηται, καὶ ἑλληνισμὸν, (τοῦτο γὰρ βούλεται τὸ κατὰ συμβεβηκός.) ἢ καὶ διὰ δήλωσιν αἰτίας παραλαμβάνεται. καὶ αἰτιῳδῶς μὲν, ὡς ἐπὶ τοῦ, ἐμοῦ διδάσκοντος, σὺ μανθάνεις. τοῦ γὰρ μανθάνειν τὸν διδασκόμενον, ποιητικὸν αἴτιον καθ' ἑαυτὸ ὁ διδάσκων. δι' ὅ, τι γὰρ, ἢ ἐπειδὴ ἐγὼ διδάσκω, διὰ τοῦτο σὺ μανθάνεις. Θουκδ': α', καὶ μεγάλου κινδύνου ἐπικρεμασθέντος, (παρὰ τοῦ βαρβάρου τῇ ἑλλάδι) οἵτε λακεδαιμόνιοι τῶν ἑλλήνων ἡγήσαντο, καὶ οἱ ἀθηναῖοι, ἐπιόντων τῶν μήδων, ναυτικοὶ ἐγένοντο. κατὰ συμβεβηκός δὲ, ὡς ἐπὶ τοῦ, ἐμοῦ διδάσκοντος, ἥκει σωκράτης. τοιοῦτο καὶ τὸ, σκάπτων τις, περιέτυχε θησαυρῷ. ὅτι δὲ διὰ τοῦ κατὰ συμβεβηκὸς, τὰ τῆς εὐφραδείας δηλοῦν βούλεται, ἐντεῦθεν δῆλον. εἰρήκει γὰρ τὸ πλάγιον, ὡς καὶ τὸ ὀρθὸν, ἐκλαμβάνεσθαι. ἦν δὲ τὸ ὀρθὸν εἰλημμένον ἤτοι αἰτιῳδῶς, ἢ διὰ μόνην εὐφράδειαν ἄνευ αἰτίας, καὶ τὸ πλάγιον ἄρα ἤτοι αἰτιῳδῶς, ἢ δι' εὐφράδειαν. τοῦ δὴ κατὰ συμβεβηκὸς πρὸς τὸ καθ' αὐτὸ ἀντιδιαστελλομένου, δῆλον ὅτι τὸ αἰτιῳδῶς ἀντὶ τοῦ καθ' αὑτὸ εἴληπται. ἔστι δὲ καθ' αὑτὸ τὸ δι' ἑαυτὸ ὑπάρχον ἑκάστῳ, τὸ δὲ μὴ δι' ἑαυτὸ, κατὰ συμβεβηκός. ὡς παρὰ τῷ φιλοσόφῳ ἐν τῷ α', τῶν ὑστέρων ἀναλυτικ. ἐστὶν ἰδεῖν. οἷον, ἐν μὲν τῷ, βαδίζοντός τινος, ἤστραψε. συμβεβηκός. οὐ γὰρ διὰ τὸ βαδίζειν ἤστραψεν, ἀλλὰ συνέβη φαμὲν τοῦτο. ἐν δὲ τῷ, σφαττόμενός τις, ἀπέθανε. δῆλον ὅτι κατὰ τὴν σφαγὴν καὶ διὰ τὸ σφάττεσθαι, ἀλλ' οὐ συνέβη σφαττόμενον ἀποθανεῖν. οὐ μόνον δὲ τὸ προκείμενον τουτὶ πλάγιον, τὸ ἀπὸ γενικῆς δηλαδὴ ἀπολύτου, ἀλλ' ἁπλῶς τὸ ἀφ' οἱασοῦν πλαγίας, ἑκατέρως δύναται προσ-

λαμβάνεσθαι. οἷον, αἰτιῳδῶς μὲν, Θουκδ': β', ἔν τε οὐδὲν κατέστη ἴαμα, ὅ, τι χρὴ προσφέροντας ὠφελεῖν. ἀντὶ τοῦ ἐκ τοῦ προσφέρειν. Δημοσθ': συμβέβηκε τοῖς προεστηκόσι, πρώτους αὐτοὺς πεπρακόσιν ἡσθέσθαι. ἀντὶ τοῦ ἐκ τοῦ πεπρακέναι. κατὰ συμβεβηκὸς δὲ, Θουκδ': α', Περδίκας πείθει χαλκιδέας τὰς ἐπὶ θαλάσσης πόλεις ἐκλιπόντας καὶ καταβαλόντας, ἀνοικίσασθαι ἐς ὄλυνθον. ἀντὶ τοῦ ἐκλιπεῖν τε καὶ καταβαλεῖν. ἀντὶ ῥήματος οὖν ἡ χρῆσις, ὧν ἡ σημασία οὐθέν τι πλέον τοῦ ῥήματος δηλοῦν βούλεται. καὶ ὁ μὲν δεινὸς Θεόδωρος δύω μόνον εἶπεν εὑρετικὰ αἴτια τῆς μετοχῆς τὰ εἰρημένα, τό, τε καθ' αὑτὸ καὶ τὸ κατὰ συμβεβηκὸς, ἡμᾶς δὲ καὶ πλείω ἄττα τῶν προκειμένων ἐνθυμηθέντας προσθεῖναι, εὖ ἂν ἔχοι, ὡς αὐτὸς οὗτος τοῦτ' αὐτό που παρακελεύεται, ἐν τῷ γ', περὶ τόνου καὶ χρόνου καὶ συνδέσμου. εἰσὶν οὖν καὶ ἄλλα τῆς μετοχῆς σημαινόμενα πρὸς τοῖς δύοιν εἰρημένοις. δηλοῖ γάρ που, ὡς εἴρηται, καὶ τὸ Εἰδικὸν αἴτιον, ἔστι δὲ οὗ, καὶ τὸ Τελικὸν, συμφερομένη ἔνθα μὲν, γνωστικοῖς, ἔνθα δὲ, κινήσεως σημαντικοῖς ῥήμασιν. ἐφ' οἷς καὶ τὸ Ὀργανικόν. οἷον, γράψας ὠφέλησα, ὡς εἴρηται. καὶ Πλούταρχ. σωφρονίζειν τοὺς μειρακίσκους, διδάσκοντας, ἀπειλοῦντας. ἀντὶ τοῦ διδαχαῖς, ἀπειλαῖς. καὶ Χρυσόστ: ψαλμ: ριγ', ὁ μὲν ἰατρὸς τῇ τέχνῃ τὴν σρίαν περιποιεῖται, ὁ δὲ ἄρχων καὶ ἐν τοῖς ἰδίοις κινδύνοις. ὅπερ καὶ ὁ Χρὸς ἐποίησε, ῥαπισθεὶς, σταυρωθεὶς, τὰ μυρία παθών. Ἀλλαχοῦ δὲ καὶ Ὑπόθεσιν, διὰ τοῦ διστακτικοῦ ἐὰν, εἴτ' οὖν συναπτικοῦ τοῦ εἰ, ἑρμηνευομένη. ὡς τὸ Σοφοκλ': δυσάλγητος ἂν εἴην, μὴ κατοικτείρων σε. εἰ μὴ κατοικτείρω σε δηλ: καὶ Μενάνδρου τὸ, Θεοῦ θέλοντος, κἂν ἐπὶ ῥιπὸς πλέοις. εἰ θέλοι Θεὸς δηλ: τοιοῦτο καὶ τὸ ὁμηρικὸν ἐκεῖνο, ἴση μοίρα μένοντι, καὶ εἰ μάλα τις πολεμίζει. κατὰ γὰρ τὸ εἰ πολεμίζει εἴληπται καὶ τὸ μένοντι. Θουκδ': α', λακεδαιμονίων γὰρ εἰ ἡ πόλις ἐρημωθείη, πολλὴν ἂν οἶμαι εἶναι ἀπιστίαν τῆς αὐτῶν δυνάμεως, ἀθηναίων δὲ τοῦτ' αὐτὸ παθόντων, διπλασίαν ἂν τὴν δύναμιν εἰκάζεσθαι. κατὰ γὰρ τὸ εἰ ἐρημωθείη, καὶ τὸ παθόντων. κἀντῇ γ', εἰ μὲν ὡς πολεμίους (ἡμᾶς) ἐρωτᾶτε, οὐκ ἀδικεῖσθαι ὑμᾶς, (φαμὲν.) φίλους δὲ νομίζοντας, αὐτοὺς ἁμαρτάνειν. ἀντὶ τοῦ, εἰ δὲ νομίζετε, κατὰ τὸ εἰ μὲν ἐρωτᾶτε. καὶ, ἀνδρῶν γὰρ σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν. ἀγαθῶν δὲ, ἀδικουμένους, ἐκ μὲν εἰρήνης πολεμεῖν, ἐκ δὲ πολέμου πάλιν ξυμβῆναι. ἀντὶ τοῦ εἰ ἀδικοῖντο, κατὰ τὸ πρότερον. ἡ δὲ ἐκ, ἀντὶ τῆς μετὰ, τὸ ὑστερόχρονον δηλοῦσα. καὶ, κρατήσαντες γὰρ, οὐκ ἐλάσσοσι μαχούμεθα. καὶ ἦν σφαλῶμεν, τὰ τῶν συμμάχων προσαπόλλυται. ἀντὶ τοῦ, ἦν κρατήσωμεν, κατὰ τὸ ἦν σφαλῶμεν. Λουκιαν': ἐν τῷ ἐνυπν': ἡλίκα μὲν οὖν ποριῇ τὰ ἀγαθὰ, λιθοξόος γενόμενος, αὐτὴ προείρηκε. Συνέσ: ἐν τῷ περὶ βασιλ'. καὶ εἰ μὲν πεινῷεν, ἐφεῖναι (φασὶν εἰπεῖν) συμβαλεῖν τῇ χύτρᾳ, μὴ δεομένους δὲ, κελεύειν αὐθωρὶ ἀπηλλάχθαι. κατὰ γὰρ τὸ, εἰ πεινῷεν, καὶ τὸ μὴ δεομένους. καὶ ἐν ἐπιστλ'. 78. ἀχρεῖοι γὰρ ἂν (οἱ στρατιῶται) ἑαυτοῖς τε καὶ ἡμῖν γένοιντο, τῶν βασιλικῶν δωρεῶν ἀφῃρημένοι, εἰ μή τε ἵππων ἕξουσι διαδοχὴν, μήτε ὅπλων παρασκευὴν, μήτε δαπάνην ἀγωνισταῖς ἀνδράσιν ἀρκοῦσαν. τὸ γὰρ εἰ μὴ ἕξουσιν, ἐξηγηματικόν ἐστι τοῦ ἀφῃρημένοι. ἀντὶ τοῦ, εἰ ἀφαιρεθήσονται. ἀλλὰ καὶ Χρονικὴν ἀναφορὰν, ὅ ἐστι τὸ ὑστερόχρονον. Θουκδ'. α', ἐλθόντες δ' οἱ ἐπιδάμνιοι εἰς τὴν κόρινθον, παρέδωσαν τὴν ἀποικίαν. ἤτοι ὅτε ἦλθον, ἢ μετὰ τὸ ἐλθεῖν. οἷον καὶ τὸ, ὁπαῖς δειπνήσας, κοιμάσθω. Λουκιαν'. ἐν τῷ μενίππου διαλ'. ἐπειδὰν ἡμεῖς οἱ μῴζωμεν, μεμνημένοι τῶν ἄνω. ἢ καὶ αἰτιῳδῶς ἔχει ληφθῆναι.

Σωάρθρος δ' ἔσα, ἢ ἀσύναρθρος μέν, προηγουμένως δέ τε ὀνόματος, ἢ ἐπιφερομένη, ἔστι μὴν ὅτε αὐαφορικῶς εἴληπται σὺν μοίρᾳ Ῥήματος κατὰ μετάληψιν. οἷον, σωκράτης, ὁ πολλὰ πεποιηκὼς ἀγαθά. τοῦτ' ἔστιν, ὃς πεποίηκεν. ὁ Θεὸς, ὁ κτίσας τὸν κόσμον. ὃς ἔκτισε. Θεὸς δ'; ἀ., Σθενελαΐδας πελασγιώτης, εἷς τῶν ἐφόρων τότε ὤν, ἔλεξεν ὧδε. αὐτὶ τοῦ ὅστις ἦν. κἂν τῇ β', σὺν ἴσῳ δὲ οἱ ἄνοι δικαίως τῆς τε ὑπαρχούσης δόξης αἰτιᾶσθαι, ὅστις μαλακίᾳ ἐλλείπει, καὶ τῆς μὴ προσηκούσης μισεῖν τὸν θρασύτητι ὀργόμενον. κατὰ δὲ τὸ, ὅστις, ἐλλείπει καὶ τὸ, τὸν ὀργόμενον. Λεκιανὸς συνυπ: παρὴν δὲ ὁ προσπρὸς θεὸς, ἄειτος ἑρμογλύφος εἶναι δοκῶν. Ἔστι δ' ὅτε, δηλοῖ Ἀοριστίαν. ὃ δὲ πόρρω πέπτωκε τὸ, ὁ περιπατῶν, κινεῖται, τοῦ, εἴτις περιπατεῖ. κατὰ ἀπολ'. ἀλλαχοῦ δὲ καὶ Ἐπιρρηματικῶς λαμβάνεται. ὡς Δημοσθ: τὸ, ἐρεξιεῖς πελασγιῶντες, ἐπείθησαν. αὐτὶ τοῦ πελασγιῶν. καὶ Λεκιανοῦ τὸ, ἄσμενος τοῦτο ποιῶ. αὐτὶ τοῦ, ἀσμένως. ἀλλὰ δὴ καὶ, ὡς εἰρήσεται, σὺν μοίρᾳ Ὀνόματος, ῥήματι συμπαραμένη. Καὶ αὖθις σὺν μοίρᾳ Ῥήματος, ὀνόματι συμπαγεῖσα. τὰς δὲ τῶν ῥημάτων τοῖς λήξεσιν, ἢ παύσεσιν σημαίνουσι συμπαρομένας, δι' ἀπαρεμφάτου προθετοπτώτου ὁμοῦ ἄρθρῳ ἑρμηνευτέον. ὡς τὸ ἄρτι μὲν ἐπεπαύμην εἰς τὰ διδασκαλεῖα φοιτῶν. αὐτὶ ἀπὸ τοῦ φοιτᾶν. καὶ, μὴ ἐλλείπῃς πρεσβεύων. ἀπὸ τοῦ πρεσβεύειν δηλαδή. Καὶ αὗται μέν εἰσιν αἱ σημασίαι τῆς μετοχῆς, καθ' ἃς ταύτην ἑρμηνευτέον, ἐκκλίνοντας παντὶ τρόπῳ τὸ βαρβαρικὸν ἐκεῖνο καὶ συγχυτὸν τοῖς Ἕλλησιν, ἐμὴν ἀλλὰ καὶ ὅλως ἄσημον, Ἔσοντας. Ἔνθα δ' ἡ μετοχὴ δι' ἀφάδειαν καὶ μόνην μετείληπται, μηδὲν τῶν εἰρημένων προσσημαίνουσα, τοτὲ μὲν τοῦτο αὐτὶ τοῦ συσσήχου ῥήματος ἁπλῶς ταύτην ἑρμηνευτέον, καθ' ἣν ἐγκλισιν καὶ χρόνον τὸ ἐπιφερόμενον ὄξενηνεκὲς ῥῆμα. (ὡς κατὰ τὴν διάλεξιν, ποίησον τὸν μὲν ἄρτον τοῦτον, κτ': μεταβαλὼν τῷ πνίσας κτ'. αὐτὶ τοῦ μεταβαλὲ καὶ ποίησον. κτ':) ἀποπεμπομένους ὅλως τὴν ἀποφάδα ἐκείνην καὶ τοῖς πολλοῖς περιιστάδαστον λέξιν. Δηλοῦται δὲ σωμεμιγμένην ἀλλήλοις ἐπ' ἐνίων μετοχῶν τὰ διάφορα τύπων σημαινόμενα. ὡς καὶ Ἀμμώνιος τὸ, τοῦ ἡλίου ὑπὲρ γῆν ὄντος, ἡμέρα ἐστὶ, καὶ τὰ τοιαῦτα δηλοῦμεν λέγων ἐμπεριέχειν συναπτικόν τινα συνδεσμον τὸν εἰ, ἢ τὸν ἐπεὶ, παρασυναπτικὸν, ἢ τὸ ὅτε ἐπίρρημα, τὴν τοιαύτην συμπτωσιν ὑπονοοῦντα.

Δύο μὲν τοίνυν τρόποι τῆς πρὸς τὸ ῥῆμα μετοχῆς συντάξεως, οἱ εἰρημένοι.

Ἐπανάληψις τῶν δυοῖν εἰρημένων τρόπων τῆς συντάξεως μετοχῆς πρὸς τὸ ῥῆμα. Ἰσέον δὲ ὡς ἡ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα σύνταξις, εἰς δύο γένη τὸ πρῶτον διαιρεῖται, εἴς τε τὸ ταυτοπροσωπικὸν καὶ τὸ ἑτεροπροσωπικὸν, τοῦτ' ἔστι τὸ ὀρθὸν καὶ τὸ πλάγιον. τὸ δ' αὖθις ἑτεροπροσωπικὸν ὑποδιαιρεῖται εἴς τε τὸ ἀμετάβατον, ὃ καὶ ἀπόλυτον ἀκούει κατὰ μόνην γενικὴν, καὶ εἰς τὸ μεταβατικὸν, ἢ εἰς γενικὴν, ἢ εἰς δοτικὴν, ἢ εἰς αἰτιατικὴν καὶ τὴν τοῦ ῥήματος ἰδιότητα. καὶ ταῦθεν σωάγονται ἕξοποι τῷ μὲν λόγῳ, ἓξ. (δύο μὲν, ἀμετάβατοι. ταυτοπροσωπικός τε καὶ ἑτεροπροσωπικός. εἷς δὲ, μεταβατικὸς, ὁ ἑτεροπροσωπικός.) τῇ δὲ συντάξει, τέσσαρες καὶ ἀειμόνων τῶν πτώσεων, ἐξηρημένης τῆς κλητικῆς. μᾶλλον δὲ, πέντε, οἷον.

Ὁ μὲν.

Ὁ κατὰ τὸ ὀρθὸν.

Κατὰ

Κατὰ ἀκολούθησιν ἀπ' εὐθείας εἰς ῥῆμα.

Εἶτα ἑρμηνεύων τὸ κατὰ ἀκολούθησιν, ἐπάγει.

Ὁμοιοπροσωποῦν τῇ εὐθείᾳ.

Ἀπ' εὐθείας μὲν οὖν πρὸς ῥῆμά φησι. καθ' ὅ, τι πᾶν εὐθυλεκτούμενον πτωτικὸν πρὸς ῥῆμα φέρεται. οὗ οὐκ ἄνευ. πρὸς ὁμοιοπροσωποῦν δὲ τῇ εὐθείᾳ ῥῆμα. καθ' ὅ, τι τὰ κατὰ τὸ αὐτὸ πρόσωπον ἀμεταβάτως συμπίπτοντα, ὁμοιοπροσωπεῖν ὀφείλει. μὴ ὁμοιοπροσωποῦσα δὲ ἡ εὐθεῖα τῷ ῥήματι, ὡς ἂν μὴ ἐλέγχηται ἀκαταλληλίας, ἐπιδιορθοῦται ὑπὸ τοῦ ἐφεξῆς β', τρόπου.

Ἡ γάρ τοι παραλλαγὴ τοῦ προσώπου, ἐν ταῦθα,

Ἐπὶ τοῦ α', δηλ: τρόπου. οὐκ ἔτι δὲ καὶ ἐπὶ τῶν ἑξῆς τρόπων.

Σολοικισμὸς, ὡς εἴρηται πρότερον.

Ἐν τῇ τῶν λέξεων κατὰ τὰ σφίσι παρεπόμενα ἀκολουθίᾳ. ἔνθα ἐλέγετο, ἐκεῖνος πατὴρ ὤν, ἐπιμελήσεται. οὐ μὴν, ἐπιμελήσομαι, ἢ ἐπιμελήσῃ.

Σωκράτης περιπατῶν, διαλέγεται. καλείσθω δ' ὁ τοιοῦτος, ταυτοπροσωπικός.

Εἰς ἀντιδιαστολὴν τῶν ἑξῆς τρόπων, ἑτεροπροσωπικῶν ὄντων. ὅθεν κἀντῷ, σύνοιδα ἐμαυτῷ, καὶ τοῖς τοιούτοις, τὸ ἐφεξῆς μετοχικὸν πτωτικὸν, ὁμοιοπτώτως τῇ ἐκ α', εὐθείᾳ, οὐ τῇ ἐκ γ', προθετικῇ δοτικῇ καταλληλότερον ἐπιφέρεσθαι. οἷον, σύνοιδα ἐμαυτῷ πεποιηκὼς, οὐ, πεποιηκότι. ἡ γὰρ μετοχὴ ταυτοπροσωποῦσα τῷ ῥήματι, ἀπ' εὐθείας ἂν εἴη κατὰ τὸν προκείμενον α', τρόπον, οὐκ ἀπὸ τῆς τυχούσης πτώσεως. Ἔνθεν τοι καὶ Βασίλ: ὁ σελευκείας, οἶδα ἐμαυτὸν χειρογραφήσας, ἐξήνεγκεν, οὐχὶ, χειρογραφήσαντα. Εἴποι δ' ἄν τις, ὡς τὰ ταυτοπροσωποῦντα πτωτικὰ, καὶ ὁμοιοπτωτεῖν ἀλλήλοις ἀνάγκη κατὰ Θεόδωρον. ταυτοπροσωπεῖ δὲ ἡ μετοχὴ οὐχ ἧττον τῇ ἐκ α', εὐθείᾳ, ἢ τῇ ἐκ γ', προθετικῇ δοτικῇ. καθ' ὁποτέραν ἄρα ἂν ἐπάγηται πτῶσιν, εὖ ἂν ἔχοι συντάξεως. Ἀλλὰ γὰρ προτέρα ἡ ἐκ α', εὐθεῖα τῆς ἐκ γ', προθετικῆς δοτικῆς. εἴ γε καὶ τὰ ὑποκείμενα πρότερα τῶν συγκατηγορημάτων, προθέσεως λέγω καὶ ἐπιρρημάτων. καὶ τὴν ἀμφοῖν ἄρα ταυτοπροσωποῦσαν μετοχὴν, τῇ προτέρᾳ οὐ τῇ ὑστέρᾳ πτώσει ὁμοιοπτωτεῖν δέον.

Ὁ δὲ,

Ὁ κατὰ τὸ πλάγιον, ὁ β', τρόπος.

Ἀπὸ γενικῆς ἀδιαφόρως ἑτεροπροσωποῦντος τοῦ ῥήματος.

Τὸ ἑτεροπροσωποῦντος, ἀντιδιέσταλται πρὸς τὸ κατὰ ἀκολούθησιν. τὸ δὲ ἀδιαφόρως, ἀντὶ τοῦ ἀδιορίστως τοῖς προσώποις. ὀφείλει μὲν γὰρ ἑτεροπροσωπεῖν τὸ ῥῆμα, τὸ δὲ κατὰ ῥῆμα πρόσωπον, ἀδιάφορον ἔστω, εἴ τε α', εἴ τε β', εἴ τε τρίτον.

Σωκράτους διαλεγομένου, δίων, ἢ σὺ γράφεις. προσαγορευέσθω δὲ ἑτεροπροσωπικὸς ἀμετάβατος.

Ὁ δεύτερος τρόπος ἀντιδιαστέλλεται τῷ μὲν ἑτεροπροσωπικῷ, τοῦ α', ταυτοπροσωπικοῦ ὄντος, τῷ δὲ ἀμεταβάτῳ, τῶν ἑξῆς τρόπων, ἑτεροπροσωπικῶν μὲν ὄντων, μεταβατικῶν δέ. εἰ μὴ εἶεν κατ' ἐπιστροφήν. ὡς τὸ, ἐμαυτὸν ἀσθενοῦντα ὁρῶ. ἐμαυτῷ πταίσαν-

πταίσαντι μέμφομαι. σαυτοῦ ἀτακτήσαντος κατηγόρει. δῆλον δ' ὅτι αὐτός ἐστιν ὁ θέμενος, ὥστε τῆς μετοχικῆς συντάξεως τὴν μὲν τοῦ α', τρόπου, καλεῖσθαι ταυτοπροσωπικὴν, τὴν δὲ τοῦ β', ἑτεροπροσωπικὴν, ἄμφω δ' ἀμεταβάτους. εἰ γὰρ ἐπὶ τοῦ α', τρόπου οὐ πρόσκειται τὸ ἀμετάβατον, ἀλλὰ φθάνει δηλώσας, ὡς ἡ εὐθεῖα τοῖς ῥήμασιν ἀμεταβάτως συνέστι. Περὶ δὲ τῆς ἑτεροπροσωπούσης ἀμεταβάτως μετοχικῆς γενικῆς ἠπόρηται, τί ποτ' ἂν εἴη τὸ τὴν μετοχὴν ἀπ' εὐθείας εἰς γενικὴν πλαγιάζον; μὴ γὰρ ἐκδεχομένη μετάβασιν ῥήματος, πῶς κατηνέχθη εἰς πτῶσιν; εἶναι γάρ φησιν αὐτὴν ἑτεροπροσωπικὴν ἀμετάβατον. τὸ δὲ μὴ ἐκδεχόμενον ἐφ' ἑαυτὸ ἑτεροπροσωπικὴν μετάβασιν, οὐκ ἂν εἰς πλαγιασμὸν μεταπέσοι. Εἶτα, τῆς πρὸς τὸ ῥῆμα πτωτικῆς ἀποστάσα ἀκολουθίας, τί μὴ καὶ τὰς λοιπὰς ἐπιτρέχει τῶν πτώσεων; ἔνθα γὰρ ἂν μετάβασις θεωρῆται ῥήματος, ἐκεῖ πάντως καὶ τὴν πτῶσιν ὡρισμένην εἶναι χρεὼν, γενικὴν τυχὸν, ἢ δοτικὴν, ἢ αἰτιατικὴν, ὅπως ἂν ἡ τοῦ ῥήματος ἰδιότης ἀπαιτῇ, τὴν δὲ ἀπόλυτον αὐτὸ τοῦτο ἄσχετόν τε καὶ ἀπολελυμένην οὖσαν τῆς ἑτεροπροσωπικῆς τοῦ ῥήματος μεταβάσεως, οὐθὲν ἂν κωλύοι κἀπὶ τῶν τριῶν ἀδιαφόρως λαμβάνεσθαι πτώσεων. φησὶ γὰρ καὶ ὁ Θεόδωρος μετὰ τοῦ Ἀπολλωνίου μηθὲν συμβαίνειν ἁμάρτημα περὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα. ὥστε καὶ ἡ ἀπόλυτος, καθ' ἑαυτὴν οὖσα, καὶ μὴ ὑπό τοῦ ἑτεροπροσωποῦντος ῥήματος εἰς μίαν τινὰ ὡρισμένην πτῶσιν ὁριζομένη, ἀπόλυτον ἕξει καὶ τὸν ἐπὶ πασῶν τῶν πτώσεων μετασχηματισμόν. Τί δὲ καὶ τὸ ἐλέγχον τὰς ἔστιν οὗ κἂν ταῖς ὑπολοίποις τῶν πτώσεων ἐξενηνεγμένας; φαίη ἄν τις, ἡ τῆς γενικῆς ἀποκλήρωσις, Τίς ὁ περὶ αὐτὴς λόγος; ἢ γάρ τοι λόγον ἕξει τὰ κατ' αὐτὴν, ἢ καὶ αἱ κατὰ τὰς λοιπὰς τῶν πτώσεων, ἀνεξέλεγκτοι καταστήσονται. Ἢ ὅτι τὴν τοῦ ῥήματος εἰς τὸ πτωτικὸν σχῆμα μετάπτωσιν μία τις πάντως ὑπελεύσεται τῶν πτώσεων. εἴη δ' ἂν αὕτη οὐκ ἄλλη τις, ὅτι μὴ ἡ εὐθεῖα, ὡς φύσει προτέρα τῶν ἀπ' αὐτῆς κεκινημένων ὑπολοίπων. ἡ δ' αὖ τοιαύτη εὐθεῖα, ἀκολούθησιν μὲν ποιουμένη πρὸς τὸ ῥῆμα, ἀκίνητος μένει τῆς εὐθείας στάσεως, ἐκδεχομένη δὲ ῥήματος μετάβασιν ἐφ' ἑαυτὴν, μετασχηματισθήσεται, κινηθεῖσα εἰς ἣν ἂν πτῶσιν ἀπαιτῇ τὸ ῥῆμα. ἡ γοῦν ἀπολελυμένη εὐθεῖα, εἰ καὶ μὴ ῥήματος μετάβασιν δέχεται, ὡς γεμὴν μὴ ποιουμένη πρὸς ταυτοπροσωπικόντι ῥῆμα τὴν ἀκολούθησιν, ἀκίνητος μένειν οὐχ οἵατε. κινουμένη δὲ, οὐκ εἰς ἄλλην τινὰ τῶν πτώσεων, ἢ τὴν προσεχῆ μετασχηματισθήσεται. ἔστι δὲ προσεχῶς μετὰ τὴν εὐθεῖαν ἡ γενική. κινηθεῖσα γοῦν ἀπ' εὐθείας εἰς γενικὴν, μέχρις αὐτῆς ἔστη. καθ' ὅ, τι οὐδὲ πάσας ἁπλῶς, μόνην δὲ τὴν εὐθεῖαν ὑπελθεῖν ἦν πρὸ ἔργου. ἧς ᾧδε ἀποπεσοῦσα, διὰ τὸ ὡς εἴρηται ἑτεροπροσωπικὸν τοῦ ῥήματος, ἀναδραμεῖται πάλιν εἰς αὐτὴν ἐν ταῖς ἐξ ἀπροσώπων μετοχαῖς ὡς εἰρήσεται. Δῆλον δὲ, ὡς τρία τινὰ ἀναγκαίως ἐπακολουθεῖ τῷ β', τρόπῳ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα συντάξεως, τὸ κατὰ Γενικὴν ἀεὶ, Ἑτεροπροσωποῦσαν, καὶ Ἀμετάβατον. τοῦτ' ἔστιν οὐχὶ μὴ μεταβιβάζουσαν καὶ αὐτὴν ἐπί τι τὴν ἰδίαν ἐνέργειαν, ἀλλὰ μὴ ἐκδεχομένην εἰς ἑαυτὴν τὴν τοῦ ἑτεροπροσωπικοῦ ῥήματος μετάβασιν. λανθάνει γὰρ πολλαχοῦ ἀπόλυτος μὲν δοκοῦσα τοῦ ἑτεροπροσωποῦντος ῥήματος, μὴ οὖσα δὲ, ἀλλ' ἐκδεχομένη τὴν ἀπ' αὐτοῦ μετάβασιν, ἤτοι ὁμοιοπτώτως τῷ ἐκ γ', πτωτικῷ τοῦ ῥήματος. οἷον τὸ, τούτου μὲν προειδότος, ἀπέσχοντο. ἢ ἀνομοιοπτώτως,

πτώτως, ὡς Θουκυδίδης ζ', προϊόντων δὲ τῶν ἀθηναίων ἐν ἀταξίᾳ, οἱ βοιωτοὶ αὐτοῖς ἀντέσχον. Ἡρόδ: δ', κρεμαμένης δὲ τῆς κεφαλῆς, καὶ οὔσης ἤδη κοίλης, ἐσμὸς μελισέων ἐσδὺς ἐς αὐτὴν, κηρίων μὶν ἐπλήρωσεν. ἡ γὰρ μετοχὴ ὤφειλεν ὁμοιοπτώτως ἐξενεχθῆναι τοῖς ταυτοπροσωποῦσι τῶν πτωτικῶν. εἴγε τὰ ταυτοπροσωποῦντα καὶ ὁμοιοπτωτεῖν ἀνάγκη. τὸ δὲ, ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ πατὴρ αὐτοῦ, τῆς μὲν τοῦ ῥήματος σχέσεως ἀπολέλυται, οὐ μὴν δὲ καὶ τῆς τοῦ καθ' ὑπεροχὴν σχετικοῦ ὀνόματος. ὅπερ ὡς τοῦ ῥήματος προϋπάρχον, προκατείληφε τὴν μετοχήν. Εἰσὶ δὲ οἱ οὐκ ὀλίγα ἐκτίθενται περὶ τῆς ἀπολύτου μετοχῆς, ἅπαντά γε μὴν ἐν τοῖς τρισὶ παρατηρήμασι περιείληπται. Ἐφ' οἷς ἰστέον, ὅτι ἡ αἰτιῳδῶς εἰλημμένη μετοχὴ ἐπὶ τοῦ β', τρόπου, κατ' ἔννοιαν οὐκ ἀπολέλυται τῆς τοῦ ῥήματος σχέσεως. εἴγε τὸ αἴτιον αἰτιατοῦ ἐστιν αἴτιον. ταῦτα δὲ τῶν πρός τί εἰσι. τὰ δὲ, εἰσὶν ἀλλήλων ἐχόμενα. Οἱ ἀττικοὶ δὲ καὶ κατὰ τὰς λοιπὰς πτώσεις χρῶνται τῇ ἀπολύτῳ μετοχῇ. κατ' Εὐθεῖαν μὲν, ὡς Θουκδ': γ', καὶ οἱ ἀθηναῖοι καταπλεύσαντες, ἀπήγγειλαν μὲν οἱ στρατηγοὶ τὰ ἀπεσταλμένα, οὐκ εἰσακουόντων δὲ τῶν μιτυληναίων, ἐς πόλεμον καθίσταντο. κἀν τῇ α', αἱ ἀττικαὶ νῆες παραγενόμεναι τοῖς κερκυραίοις, φόβον μὲν παρεῖχον τοῖς ἐναντίοις, μάχης δ' οὐκ ἦρχον, δεδιότες οἱ στρατηγοὶ τὴν πρόρρησιν τῶν ἀθηναίων. ἀλλὰ γὰρ τῶν ἀπ' εὐθείας τουτωνὶ μετοχῶν, ἡ μὲν, ἀποδοθείη ἂν εἰς τὸ, φόβον παρεῖχον, διὰ τὸ μηδὲν εἶναι κατὰ τὸν τραγικὸν μήτε νῆα μήτε πόλιν, ἔρημον ἀνδρῶν τῶν ὄντων ἔσω. ἡ δὲ, εἰς τὸ καθίσταντο εἰς πόλεμον. ἥγε μὴν ἐν τῷ, μέλλων δὲ πέμπειν με οἰδοίπου κλεινὸς γόνος, ἐν τῷ δ' ἐπεστράτευσαν ἀργεῖοι. οὐκ ἔχει κατὰ ἀκολούθησιν ῥῆμα. κατὰ δὲ Δοτικὴν, Θουκδ': δ', τοῖς δ' ἀθηναίοις τότε τὴν παραθαλάσσιον δῃοῦσι, τὰ μὲν πολλὰ ἡσύχασαν. (οἱ λακεδαιμόνιοι) κἀν τῇ η', εἰργομένοις οὖν αὐτοῖς τῆς θαλάσσης, καὶ κατὰ γῆν πορθουμένοις, ἐνεχείρισάν τινες πρὸς Ἀθηναίους ἀγαγεῖν τὴν πόλιν. κἀν τῇ δ', ὃ, μενόντων μὲν ἡμῶν, ξύμμαχον γίγνεται, ὑποχωρήσασι δὲ, ἄπορον ἔσται. (τὸ χωρίον) ἐκ τούτου δῆλον, ὡς καὶ αἱ κατὰ περιποίησιν μετοχαὶ, ἀπολελυμέναι τυγχάνουσι. καθ' ὅ, τι εἴρηται καὶ τὴν δοτικὴν περιποιητικὴν ἀπολελυμένην εἶναι. κατὰ γὰρ τὸ μενόντων, πάντως καὶ τὸ, ὑποχωρήσασιν. ἀπολελυμένον δ' ἐκεῖνο, καὶ τοῦτο ἄρα. ἄλλως τε τῶν μετοχῶν αἱ ἑτεροπροσωπικαὶ καὶ ἀμετάβατοι, ἐδείχθησαν ἀπολελυμέναι τῆς τοῦ ῥήματος σχέσεως, ἐν δὴ τῷ ὑποχωρήσασιν ἡμῖν ἄπορον ἔσται. ἡ μετοχὴ καὶ ὅλως ἡ κατὰ περιποίησιν δοτικὴ, ἑτεροπροσωπική τέ ἐστιν ἡ αὐτὴ καὶ δὴ καὶ ἀμετάβατος ὡς δέδεικται, καὶ ἀπολελυμένη ἄρα, ταύτῃ μόνον τῆς γενικῆς ἀπολύτου διενηνοχυῖα, ᾗ περιποίησιν τυγχάνει δηλοῦσα. ὅτι δὲ ἡ κατὰ περιποίησιν δοτικὴ ἀπολέλυται τῆς ἀπὸ τοῦ ῥήματος μεταβατικῆς σχέσεως, δῆλον κἀκτούτου. Θουκυδ'. η', μελλόντων δὲ αὐτῶν ἐπιπλεῖν τῇ σάμῳ, ἀγγέλλεται ὁ Στρομβιχίδης ἀφιγμένος. ταὐτὸν γάρ ἐστιν, ὡς εἰ ἔλεγε, μέλλουσιν αὐτοῖς ἐπιπλεῖν, ἀγγέλλεται. κἀν τῇ α', καὶ ἐς αὐτὴν (τὴν εὔβοιαν) διαβεβηκότος ἤδη Περικλέους, ἠγγέλθη αὐτῷ ὅτι μέγαρα ἀφέστηκεν. ἐν ᾧ ἡ γενικὴ, εἰ καὶ διὰ τὸ πρὸς τὴν ταυτοπροσωποῦσαν δοτικὴν ἀνομοιόπτωτον, ἀκαταλλήλως δοκεῖ ἔχειν, εἰς ἔνδειξιν

ἔνδειξιν ὅμως κεῖται τοῦ καὶ τὴν κατὰ περιποίησιν δοτικὴν ἀπολελυμένην εἶναι. ἐν δὲ τῷ, ἐπίδαμνός ἐστι πόλις ἐν δεξιᾷ ἐσπλέοντι ἐς τὸν ἰόνιον κόλπον. Θουκυδ'. β', καὶ Ἡρόδ. γ', ἀπὸ δὲ τῶν ἑλλησποντίων τῶν ἐπὶ τὰ δεξιὰ ἐσπλέοντι, καὶ τῶν, καὶ τῶν, τοσάδε ἦν τάλαντα φόρος. ἐν δὴ τοῖς τοιούτοις ἡ δοτικὴ ἀντὶ γενικῆς δοκεῖ κεῖσθαι, οὐκ ἀπολύτως, ἀλλὰ κατὰ σχέσιν τὴν πρὸς τὰ δεξιὰ καὶ ἀριστερὰ, τοπικὰ ὄντα ἐπιρρήματα, γενικὴν, οὐ δοτικὴν ἀπαιτοῦντα. κατὰ δὲ Αἰτιατικὴν, Θουκδ', δ', ἐκκλησίαν δὲ ποιήσαντας τοὺς στρατηγοὺς καὶ τοὺς πρυτάνεις, πρῶτον περὶ τῆς εἰρήνης βουλεύσασθαι ἀθηναίους. (εἶπε λάχης) εἰ μή τις λέγοι τοὺς ἐκκλησίαν ποιήσαντας, αὐτοὺς εἶναι καὶ ἀθηναίους. κἀντῇ ς', δημοσίᾳ κράτιστα διατιθέντα (τὸν Κλεινίαν) τὰ τοῦ πολέμου, ἔσφηλαν τὴν πόλιν, (οἱ ἀθηναῖοι) Ἡρόδ. η', ἥδεσθε τοῦδε ἕνεκα, ὡς περιεσομένους ἡμέας τῶν ἑλλήνων. Ἀριστ'λ. α', τῶν μεταφ. καὶ σοφωτέρους τοὺς τεχνίτας τῶν ἐμπείρων ὑπολαμβάνομεν, ὡς κατὰ τὸ εἰδέναι μᾶλλον ἀκολουθήσασαν τὴν σοφίαν. καὶ Θεόφρ. ἐν β', περὶ αἰτίας, ἅτε τῆς μὲν γῆς διακόρου οὔσης, αὐτά τε ξυνεστῶτα καὶ ἐναπειληφότα οἰκεῖον θερμόν. μετὰ τῆς γενικῆς ἀπολύτου συνῆψε καὶ τὴν ἀπόλυτον αἰτιατικὴν. τὸ δὲ, πολλῶν πειραθῆναι συνέβη μοι, ἁμαρτωλοῦ ὄντος. παντάπασι κακόζηλον, τῶν ταυτοπροσωπούντων πτωτικῶν ἀνομοιοπτώτως ἐξενηνεγμένων, εἰ καί τινες θεραπεύειν πειρῶνται. καὶ γὰρ οὐδὲν ἧττον καὶ ἡ δοτικὴ αἰτιολογεῖν ἔχει τὸ ποιητικὸν τῆς τῶν κακῶν πείρας τοῦ ἁμαρτωλοῦ. τίς οὖν ἡ τῆς ἀνακολούθου γενικῆς ἀπολογία; ἀλλὰ γὰρ καὶ ταῦτα μετὰ πολλῶν ἄλλων, εἰ καὶ τοῖς ἀττικοῖς ἐφεῖται, ἡμῖν γε μὴν, ὡς εἴρηται, ὑποδείγματα κείσθω τοῦ κατὰ τὸν πεζὸν λόγον σολοικισμοῦ. πρὸς δὲ τοὺς τὴν τοῦ β', τρόπου μετοχὴν ἑτερόσχετον ὀνομάσαντας, μετὰ τὸ τέλος ἀπαντήσομεν.

Τρίτος δὲ,

Ἀπὸ κοινοῦ τὸ, τρόπος τῆς μετοχικῆς πρὸς τὸ ῥῆμα συντάξεως.

Ὁ ἀπὸ δοτικῆς,

Πρὸς τὸ ῥῆμα φερόμενος.

Κατ' ἀδιάφορον καὶ οὗτος ἐπαγωγὴν τοῦ ῥήματος.

Τὴν κατὰ τὰ πρόσωπα. ὥσπερ καὶ ὁ β', καὶ ὁ δ'. τὸ δὲ κατ' ἀδιάφορον, ἐν ἐκθλίψει εἴτ' οὖν ἀφαιρέσει φωνήεντος ἀναγνωστέον, ἵνα ᾖ τὸ πλῆρες, κατὰ ἀδιάφορον. φησὶ γὰρ, καὶ οὗτος. δῆλον δ' ὅτι ὡς καὶ ὁ β'. ἦν δὲ ἐκεῖνος ἀδιαφόρως εἴτ' οὖν ἀορίστως τοῖς προσώποις τὸ ἑτεροπροσωπικὸν ῥῆμα τῇ μετοχῇ ἐπαγόμενος, καὶ οὗτος ἄρα, ὡς καὶ ὁ δ', ὡσαύτως ἔσται.

Διαλεγομένῳ,

Ἐμοὶ δηλ: ἢ σοὶ, ἢ τῷ δίωνι.

Σωκράτης παρῆν. Τέταρτος δ' ὁ ἀπὸ αἰτιατικῆς, ἀδιαφόρως καὶ οὗτος.

Τοῖς προσώποις, τῷ τε μετοχικῷ καὶ τῷ τοῦ ῥήματος. ὁποίου γὰρ ἂν ᾖ προσώπου τὸ ῥῆμα, ἢ καὶ ἀριθμοῦ, ἀδιάφορόν ἐστιν. οἷον,

Διαλεγόμενον ὁρᾷς. καὶ, ἑώρα. Καθόλου δὲ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς ἐκ πρώτου πτωτικοῖς συντασσομένη ἡ μετοχὴ, τὴν τοῦ ῥήματος ποιήσεται ἀκλούθησιν.

Ἐπὶ πάσης συντάξεως πρώτην μὲν εἴληφε χώραν τὸ ὑποκείμενον πτωτικὸν, ἡ εὐθεῖα δηλ. ἢ καὶ ἐκ α', πᾶσι συμφέρεσθαι τοῖς ῥή-

τοῖς ῥήμασιν εἴρηται, πλὴν τῶν ἀπαρεμφάτων. δευτέραν δὲ, τὸ κατηγορούμενον ῥῆμα. τρίτην δὲ, τὸ ἤτοι πρὸς ὃ, ἢ ὑφ' οὗ τὰ τῆς ἐνεργείας, τὸ ἐκ γ', λεγόμενον πτωτικόν. συντασσομένη τοίνυν ἡ μετοχὴ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως τοῖς μὲν ἐκ α', πτωτικοῖς, ἀπ' εὐθείας ἂν εἴη πρὸς ῥῆμα κατ' ἀκολούθησιν, ὡς εἴρηται, ὁμοιοπροσωπῶν δηλ: τῇ εὐθείᾳ. τοῖς δὲ ἐκ γ', ὡσαύτως συντασσομένη, (ὁμοιογενῶς δηλ: καὶ ὁμοιοπτώτως.) τὴν τοῦ ῥήματος ἀκόλουθησιν οὐ πάντως κατὰ πρόσωπον ποιήσεται. (καθ' ὅ, τι τὰ ἐν διαβάσει τοῦ προσώπου, ἀδιαφορεῖ κατά τε πρόσωπον καὶ ἀριθμὸν, ὅτι μὴ ἐπ' αὐτοπαθείας.) ἀλλὰ καθ' ἣν ἀπαιτεῖ τὸ μεταβατικὸν ῥῆμα ἐκ γ', πτῶσιν. ὡς καὶ τὰ ἐπιφερόμενα παραδείγματα δείκνυσιν, οὐχὶ τοῦ α', εἴτ' οὖν τοῦ ἀμεταβάτου, ἀλλὰ τῶν μετὰ τὸν β', εἴτ' οὖν τῶν μεταβατικῶν ὄντα τρόπων. ὡς εἶναι τὸ, τοῖς ἐκ πρώτου πτωτικοῖς, παρεφθαρμένον, τοῦ τύπου ἀντὶ τοῦ τοῖς ἐκ τρίτου, τοῖς ἐκ πρώτου ἐκδεδωκότος. οὐδὲ γὰρ περὶ τῶν ἐκ α', περὶ δὲ τῶν ἐκ γ', πτωτικῶν ᾧδε τῷ Θεοδώρῳ ὁ λόγος. Εἰ μή τί γε ἐκ α', πτωτικὰ τὰ ἐκ γ', λέγοι, ὡς πρὸς τὴν μετοχὴν οὐ πρὸς τὸ ῥῆμα. δύοιν γὰρ ὄντων εἴτε ἐκ α', εἴτε ἐκ γ', πτωτικῶν ὁμοιοπτώτων, τοῦ μὲν, οὐσιώδους, τοῦ δὲ, ἐπουσιώδους, εἴτ' οὖν τοῦ μὲν, ὑποκειμένου, τοῦ δὲ, ἐπιθετικῶς κατηγορουμένου, τὸ ὑποκείμενον, ἐκ α', ἐστὶν, ὡς πρὸς τὸ κατηγορούμενον, εἰ καὶ ἑκάτερα τούτων ἀνθ' ἑνὸς ὡς πρὸς τὸ ῥῆμα λαμβάνεται. ἡ τοίνυν μετοχὴ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως εἴτε τοῖς ἐκ α', εἴτε τοῖς ἐκ γ', τοῦ ῥήματος πτωτικοῖς συντασσομένη, τὴν τοῦ ῥήματος πάντως ποιήσεται ἀκολούθησιν, ἀκολουθοῦσα ἡ μὲν ἐκ α', ἀπ' εὐθείας, (εἴγε καὶ ἔχει πάντα τὰ ῥήματα πτῶσιν προϋφισταμένην ἐκ α', ὀρθήν.) ἡ δὲ ἐκ γ', ἀφ' ἧς, ὡς εἴρηται, ἀπαιτεῖ τὸ μεταβατικὸν ῥῆμα ἐκ γ', πλαγίας, ἐκδεχομένη τὸ ῥῆμα μεταβατικῶς ἐφ' ἑαυτήν.

Ὁρῶσε κρύπτοντα. ἐμοὶ βουλομένῳ ἦν. τοῦ μὲν,

Τοῦ Ἱππία.

Ἀπέσχοντο,

Ἁρμόδιός τε καὶ Ἀριστογείτων. Θουκδ'. α'.

Ὡς προειδότος.

Ἰστέον δὲ, ὡς οὐκ ἔστιν ἀνεπιλήπτως διελεῖν τοὺς τῆς μετοχῆς τρόπους εἰς ταυτοπροσωπικόν τε καὶ ἑτεροπροσωπικὸν, τὸν δ' αὖ ἑτεροπροσωπικὸν εἰς μεταβατικόν τε καὶ ἀμετάβατον. ἀμετάβατος γάρ τοι καὶ ὁ ταυτοπροσωπικός. ἢ εἰς μεταβατικόν τε καὶ ἀμετάβατον, τὸν δ' αὖ ἀμετάβατον, εἰς ταυτοπροσωπικόν τε καὶ ἑτεροπροσωπικόν. ἑτεροπροσωπικὸς γάρ τοι καὶ ὁ μεταβατικός. Εἴγε τῶν τριῶν τῆς μετοχῆς τρόπων, (τὸν γὰρ, γ', καὶ δ', ὡς ἑκατέρους μεταβατικούς τε καὶ ἑροπροσωπικοὺς ἀνθ' ἑνὸς ἐν γένει ληπτέον.) ὁ μὲν α', καὶ γ', ἄκρως εἰσὶν ἀλλήλοις ἐναντίοι. (καθ' ὅ, τι ὁ μὲν αὐτῶν ἐστι ταυτοπροσωπικός τε καὶ ἀμετάβατος, ὁ δὲ, μεταβατικός τε καὶ ἑτεροπροσωπικός.) ὁ δὲ β', μέσος τίς ἐστιν ἑκατέρων, μετέχων τοῦ μὲν α', ὡς ἀμετάβατος, τοῦ δὲ γ', ὡς ἑτεροπροσωπικός. ἀντιδιαιρούμενος δὲ πάλιν τῷ μὲν α', ὡς ἑτεροπροσωπικὸς, τῷ δὲ γ', ὡς ἀμετάβατος, καὶ ἁπλῶς ὅτῳ θατέρου ἐπικοινωνεῖ, τούτῳ τοῦ ἑτέρου ἀντιδιαστελλόμενος. Ἀλλ' ἀπορήσεις, ἐπειδὴ κατὰ τὸν μερισμὸν τῶν πτώσεων ἐξέθετο τοὺς τρόπους τῆς μετοχικῆς πρὸς τὸ ῥῆμα συντάξεως, αὗται δὲ εἰς πέντε, ὡς εἴρηται, ἀριθμοῦνται τί ὅτι καὶ ἀπὸ κλητικῆς σύνταξιν μετοχῆς οὐ παρέ-

ὑπαρέδωκε; φησὶ δὲ καὶ ὁ Ἀπολλώνιος ἐν κφ: κϛ', τοῦ γ', βιβλ'. μετοχὴ μετὰ κλητικῶν οὐ συνίσταται, μετὰ μέν τοι τῶν εὐθειῶν. Ἢ ὅτι ἐπεὶ καὶ ἡ κλητικὴ οὐχὶ καθ' ἑαυτὴν, τοῖς δὲ τῶν ῥημάτων β', προσώποις ἀμεταβάτως, ὡς εἴρηται, συντάσσεται, τὰ δὲ προσωπικὰ τῶν ῥημάτων, ὥσπερ κατὰ τὸ α', καὶ γ', πρόσωπον, οὕτω καὶ κατὰ τὸ β', πτῶσιν ἔχει προϋφισταμένην ἐκ α', ὡς εἴρηται, ὀρθὴν πρὸ τῆς κλητικῆς, εἴτ' οὖν μετὰ τὴν κλητικὴν, δῆλον ὡς καὶ ἡ ἀπὸ κλητικῆς σύνταξις τῆς μετοχῆς κατὰ τὸν α', ἂν εἴη τρόπον, φημὶ δὴ τὸν ταυτοπροσωπικὸν, κατὰ ἀκολούθησιν εἰς ῥῆμα δηλονότι ὁμοιοπροσωποῦν τῇ κλητικῇ εἴτε οὖν τῇ εὐθείᾳ. ὅπερ ἔστιν οὗ ἐλλείπει, συνυπακουόμενον. μετὰ δὲ κλητικῶν μὴ συνίστασθαι μετοχὴν εἰρήκει ὁ ἀπολλ': τὴν τοῦ ὑπαρκτικοῦ, ὡς κατὰ τὸ σύστοιχον αὐτῆς ῥῆμα εὐθείᾳ καὶ αὐτὴν ἐκ γ', ἀλλ' οὐχὶ κλητικῇ συντασσομένην. κατὰ δὴ τὸ ἀπαρέμφατον οὐ δ', ἡ μετοχὴ λέγοιτ' ἂν ἀναλύεσθαι, μὴ οὖσα σύνθετος, ὡς ἀπρόσωπος, (τῆς κατὰ τὰς ἐγκλίσεις συνθέσεως ἐκ πράγματος καὶ ψυχικῆς γιγνομένης διαθέσεως, ταὐτὸν εἰπεῖν προσώπου.) μεταλαμβάνεται δὲ, οὐμὴν αὕτη μᾶλλον κατάτινας εἰς ῥῆμα, ἢ τὸ ῥῆμα εἰς αὐτήν. τὸ γὰρ γράψας, ὠφέλησα. μετείληπται παρὰ τὸ, δι' ὅ,τι ἔγραψα, ὠφέλησα.

Ἀπροσώπως.

Ταῖς δὲ τῶν ἀπροσώπων.

Ῥημάτων. οἷα τὸ μέτεστι. δεῖ. μέλει. προσήκει. πρέπει. διαφέρει. συμβαίνει. δοκεῖ. ἔνεστι. καὶ τῶν παθητικῶν ἔσθ' ὅτε τὰ ἑνικὰ τρίτα πρόσωπα.

Μετοχαῖς ἴδιον μάλιστα.

Ὁλόγος κατὰ ἀντίπτωσιν. δέον γὰρ εἰπεῖν, τῶν δὲ τῶν ἀπροσώπων ῥημάτων μετοχῶν ἴδιον. διὰ τὴν τοῦ ἴδιον σύνταξιν πρὸς γενικὴν κτητικῶς ἀποδιδομένου, ὁ δὲ, εἰς δοτικὴν τὴν ἡγουμένην τῶν γενικῶν μετέλαβεν, εἰς ἀποφυγὴν τῆς τῶν δύοιν ὁμοιοπτώτου παραλληλίας, τὸ εὐφραδὲς τοῦ λόγου λυμαινομένης, ὡς εἰρήσεται.

Τὸ τὴν εὐθεῖαν τῶν οὐδετέρων

Μετοχῶν.

Πρὸς ἀναπλήρωσιν γίνεσθαι τοῦ δευτέρου τρόπου.

Τοῦ ἐπὶ τῶν προσωπικῶν ἀπὸ γενικῆς ἑτεροπροσωπικοῦ καὶ ἀμεταβάτου προσαγορευθέντος. Τί δ', ὅτι μὴ καὶ αἱ τῶν ἀπροσώπων μετοχαὶ κατὰ τὸν β', τῶν προσωπικῶν τρόπον κατὰ γενικὴν, κατὰ δὲ εὐθεῖαν παραλαμβάνονται, καὶ ταύτην τῶν οὐδετέρων; Ἢ ὅτι τὸ μὲν πρόσωπον κατὰ τὴν παλαιὰν παρατήρησιν κυρίως ἐπὶ ἀνοῦ λαμβάνεται, ῥύγχος δ' ἐπὶ τετραπόδων, ῥάμφος δ' ἐπὶ πτηνῶν. (εἰ καὶ αἱ καταχρήσεις ἔστιν ὅτε καὶ τὰ τοιαῦτα ἐναλλάσσουσιν. ὡς ὁ εἰπὼν μέγα γλαύκου ἰχθύος πρόσωπον) τὸ δὲ γένος κατάτε προσώπου καὶ ῥύγχους καὶ ῥάμφους λέγεται, καὶ ἁπλῶς ἐπὶ τοῦ ζῴου. δηλοῖ γὰρ ἀῤῥενικὸν, ἢ θηλυκὸν τόκον εἴτ' οὖν γονήν. μερικώτερον ἄρα τοῦ τοιούτου γένους καὶ ἡγούμενον τὸ πρόσωπον, καθολικώτερον δὲ τὸ γένος τοῦ προσώπου καὶ ἑπόμενον. καθὰ δὴ καὶ τὸ ζῷον τοῦ ἀνοῦ καθολικώτερον. τὰ δὲ ἑπόμενα συνεισάγεται τοῖς ἡγουμένοις, καὶ τὰ ἡγούμενα συναναιρεῖται τοῖς ἑπομένοις. ἐν ἄρα ταῖς μὲν τῶν προσωπικῶν, συνεισήγετο τοῖς προσώποις καὶ τὰ γένη, ἐν δὲ ταῖς τῶν ἀπροσώπων, συναναιρεῖται τοῖς γένεσι καὶ τὰ πρόσωπα. αἰγοῦν τῶν ἀπροσώπων εἰς ἀναίρεσιν τῆς τῶν προσώ-

τῶν προσώπων ἐμφάσεως ὑπεισῆλθον τὸ ἑκατέρων τῶν γενῶν ἀναιρετικὸν ὂν οὐδέτερον. δι' ὃν δὴ λόγον καὶ πρὸς ἀπαρέμφατον φέρεται ἡ τούτων συνταξις, ἵνα μὴ, ἐπί τι τῶν προσωπικῶν φερομένη, προσώπου ἔμφασιν καὶ ἀκολούθως καὶ γένους ἕξει. συγκροτεῖ δὲ τὸν λόγον καὶ ἡ τοῦ, ὡς εἴρηται, οὐδετέρου ἄρθρου πρὸς τὸ ἀπαρέμφατον σύνοδος. ἀπρόσωπον γὰρ ὂν καὶ τὸ ἀπαρέμφατον, τὸ οὐδέτερον τῶν ἄρθρων προσῳκειώσατο, ἵνα κἀκεῖ τῇ τῶν γενῶν ἀναιρέσει συναναιρεθῇ καὶ τὰ πρόσωπα. Ἀλλ' ἐρεῖς ὡς καὶ αἱ τῶν προσωπικῶν οὐ διακρίνουσι πρόσωπα. ληφθήσεται ἄρα καὶ τούτων ἡ εὐθεῖα τῶν οὐδετέρων κατὰ τὸν β', τρόπον τῆς μετοχικῆς πρὸς τὸ ῥῆμα συντάξεως, Ἢ ὅτι καθ' ἑαυτάς. καθ' ὑποκειμένου γε μὴν λεγόμεναι καὶ αὐταὶ κατὰ τὰ σφίσι συστοιχοῦντα προσωπικὰ ῥήματα, διακρίνουσι δι' αὐτοῦ κατὰ πᾶν γένος πρόσωπα. ταῦτ' ἄρα καὶ ἀπ' εὐθείας πρὸς ἑτεροπροσωπικὸν ῥῆμα οὐκ ἂν συνταγεῖεν. Κατ' εὐθεῖαν δὲ πάλιν φησὶ, καὶ οὐ κατὰ γενικὴν, διὰ τὴν τοῦ β', τρόπου ἀναπλήρωσιν, ὡς ἑξῆς ἐροῦμεν. Ἀλλ' ἀπορήσεις, τοῖς προσώποις ἐλέγετο συνεισάγεσθαι τὰ γένη, καὶ τοῖς γένεσι συναναιρεῖσθαι τὰ πρόσωπα. ἔσοιτ' ἄρα τὸ μὲν τιμὴ, τρίτου ὂν προσώπου, ἀρσενικὸν τυχὸν, ἢ θηλυκὸν, καὶ ζῷον ἀκολούθως, τὸ δὲ γυναῖον, οὐδετέρου γένους ὂν, οὔτε πρόσωπον ἔχον οὔτε ῥύγχος ἢ ῥάμφος. καὶ ἑπομένως οὐδὲ ζῷον. Ἢ ὅτι κατὰ μεταχηματισμὸν μόνον φωνῆς, οὐ μὴν καὶ κατὰ σημασίαν εἰσὶν, ὅπερ εἰσὶ, συνεξακολουθήσαντα τὸ μὲν, τοῖς προσώπων καὶ γενῶν ἐμφαντικοῖς ὀνόμασι, τὸ δὲ, τοῖς ἀμφοῖν ἀποφατικοῖς, τὸ μὲν λέγω τιμὴ, τῷ γυνὴ, τὸ δὲ γυναῖον, τῷ ξύλον. εἴρηται γὰρ τὸ μὲν πρόσωπον κατ' ἀνοῦ μόνον, τὸ δὲ γένος λέγω δὴ τὸ τῶν γραμματικῶν, κατὰ μόνου τοῦ ζῴου κυριολεκτεῖσθαι. Πᾶσα μὲν οὖν ἡ εἰς

εὐθεῖαν, ἡ αὐτὴ πάντως καὶ εἰς οὐδέτερον, φημὶ δὴ ἐπὶ τῶν ἐξ ἀπροσώπων. οὐ πᾶσα δὲ ἡ εἰς οὐδέτερον, ἤδη καὶ εἰς εὐθεῖαν ἡ αὐτὴ, μόναι δὲ αἱ ἐξ ἀπροσώπων ῥημάτων ληφθεῖσαι. αἱ δὲ ἐκ τῶν προσωπικῶν καθ' ὁ, τιοῦν γένος οὐκ εἰς εὐθεῖαν, εἰς δὲ γενικὴν ἐπὶ τοῦ β', τρόπου παραλαμβάνονται. οἷον καὶ Θουκυδ'. τὸ, νοσήματος ἐπισκήψαντος, οὐκ ὀλίγοι κατὰ πόλεις ἀπέθνησκον. Ἀναπληροῦν δέ φησι τὴν εὐθεῖαν τῶν ἐξ ἀπροσώπων ῥημάτων οὐδετέρων μετοχῶν τὸν β', τρόπον τῶν προσωπικῶν. καθ' ὅ, τι πᾶσα γενικὴ ἀπ' εὐθείας κεκίνηται. ἧς οὐκ ἄνευ. τῆς ἄρα ἀπολύτου γενικῆς προϋπάρχειν δέον εὐθεῖαν ἀπόλυτον. συνεισάγεται γὰρ τῇ φύσει ὑστέρᾳ γενικῇ ἡ φύσει προτέρα εὐθεῖα. οὔσης γὰρ γενικῆς, ἔσται πάντως καὶ εὐθεῖα. εἴγε τὸ ἀμετάβατον εὐθείας οὐ πλαγίας. ἐφ' ὧν γε μὴν αἱ γενικαὶ διά τινα λόγον οἱονεὶ γνησίων μρῶν τῶν εὐθειῶν ἀπορφανισθεῖσαι, ἐμόνασαν, τούτων τὴν ὀρφανίαν οἱ παλαιοὶ ὀνοματοθέται παραμυθούμενοι, ταῖς μοναζούσαις τῶν εὐθειῶν οἱονεὶ στειρευούσαις μρᾶσι τὰς νόθους ὑποβαλόντες πλαγίας, εἰσεποιήσαντο, τὸ ἐνδέον ἀναπληρώσαντες. αὐτίκα ἡ τοῦ μάρτυρος γενικὴ εὐθεῖαν μὴ ἔχουσα κοινὴν ἀνάλογον λήγουσαν εἰς ρ̃, ᾠκειώσατο τὴν μάρτυς ἑτερόκλιτον εὐθεῖαν, μηδ' αὐτὴν ἔχουσαν ὅλως ἀναλόγως εἰς οἰκείαν κλίσιν μεταπεσεῖν. οὐ δὲ ἡ γυναικὸς γενικὴ εὐθεῖαν ἔχουσα ἐκφωνουμένην τὴν γύναιξ, τὴν γυνὴ ἑτερόζυγον εὐθεῖαν οἱονεὶ ἐπείσακτον μητέρα ἐφιλιώσατο, στερίφην μὲν οὖσαν καὶ αὐτὴν οἷα παίδων γνησίων τῶν οἰκείων πλαγίων, εἰσποιουμένην δὲ καὶ ὑποβάλλουσαν ἑαυτῇ ἄνευ ἀναλογίας κανονικῆς, οἷα νόθα παιδία τὴν γυναικὸς γενικὴν καὶ τὰς ἑξῆς πλαγίας. ὁ δ' αὐτὸς λόγος κἀπὶ τοῦ ὕδωρ, ὕδατος. φρέαρ φρέατος. καὶ τῶν ἄλλων ἑτεροκλίτων ὀνομάτων.

καὶ ἡ διὸς δὲ γενικὴ ἀπὸ τῆς δὶς εὐθείας, σεσιγημένης διὰ τὴν πρὸς τὸ δὶς ἐπίρρημα συνέμπτωσιν, ἀποτεχθεῖσα, (δὶς γὰρ διός. ὡς κὶς κιός, ὁ σκώληξ.) τὴν ζεὺς εὐθεῖαν ἐπεισήγαγεν, ἀτεκνωθεῖσαν καὶ αὐτὴν στάσει δυοῖν πρὸς ἀλλήλους κανόνων, ἀξιούντων τοῦ μὲν, διὰ τοῦ ἕως, κλείνεσθαι αὐτὴν τῷ λόγῳ τῶν εἰς εὖς, ἵνα τοῦ ὑποτακτικοῦ φωνήεντος, ἤγουν τοῦ υ, ἐκπεσόντος, κληθείη ζεὺς, ζέως. τοῦ δὲ, φυλάττεσθαι κἀν τῇ γενικῇ τὴν τῆς μονοσυλλάβου εὐθείας δίφθογγον. ὡς κἀν τῷ κλεὶς κλειδός. δαὶς, δαιτός. παῖς παιδός. Κἀπὶ ῥημάτων δὲ τὸ αὐτό ποτε γίγνεται. οἷον, τοῦ ὀμβρίζω καὶ σταθμίζω κίνησις εἰς τοὺς ἑξῆς χρόνους οὐχ εὕρηται παρὰ τοῖς παλαιοῖς. τὸ δὲ ὤμβρησε καὶ τὸ ἐστάθμησε, διὰ τοῦ η, ὡς ἀπὸ θεμάτων τοῦ ὀμβρῶ καὶ σταθμῶ. κατὰ ταὐτὰ δὴ κἀπὶ τῶν μετοχῶν, τὴν εὐθείας ἀπορφανισθεῖσαν ἀπολύτου γενικὴν ἀπόλυτον ἐν ταῖς τῶν προσωπικῶν, ἐπεισαχθεῖσα ἡ ἐν ταῖς τῶν ἀπροσώπων εὐθεῖα τῶν οὐδετέρων ἀπόλυτος, εἰσεποιήσατο, τὸ ἐκείνης ἐν δέον ἀναπληρώσασα, καὶ τὴν αὐτῆς οἱονεὶ ὀρφανίαν παραμυθησαμένη. οὐκ ἀνάγκη δὲ, οὔσης εὐθείας τε καὶ γενικῆς ἀπολύτου, εἶναι καὶ δοτικὴν καὶ αἰτιατικὴν ἀπόλυτον. συνεισαγόμεναι γὰρ, οὐ συνεισάγουσι τὰς ἑξῆς πτώσεις, φύσει πρότεραι οὖσαι. Δῆλον δὲ κἀντεῦθεν ὡς τὸ ἑτεροπροσωπικὸν τῆς συντάξεως ἐπλαγίασεν ἐν ταῖς τῶν προσωπικῶν τὴν μετοχὴν ἀπ' εὐθείας εἰς γενικήν. διὰ γὰρ τὸ ἀπρόσωπον ᾧδε ἀπ' εὐθείας συντέτακται ἡ μετοχὴ, οὐκ ἀπὸ γενικῆς. Εὐθεῖαν δ' εἰπὼν, οὐ προσδιωρίσατο καὶ τὸν ἀριθμόν. καὶ ἐκ μὲν τῆς τῶν παραδειγμάτων ἐπαγωγῆς ἐνικὴν εὐθεῖαν παραδηλῶν φαίνεται. ζητητέον δὲ εἰ ἄρα καὶ εὐθεῖα τῶν πληθυντικῶν οὐδετέρων κατὰ τὴν τῶν ἐνικῶν εὐθεῖαν ἔχει ἀπολύτως παραλαμβάνεσθαι. Ἢ ὅτι οὐχί. δι' ὅ, τι συμπίπτουσα τῇ ἐνικῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ, συγχέει τὰ γένη.

Οἷον, ἄδηλον ὂν, ὁπότε τις ἐπελθὼν ἄλλος, ἀφαιρήσεται.

Θουκδ': ἐν προοιμίοις τῆς α', συγγραφῆς. κἀν τῇ δ', ὥστε ἤδη ἀμφοτέροις μὲν δοκοῦν ἀναχωρεῖν, κυρωθὲν δὲ οὐδὲν, νυκτός τε ἐπιγενομένης, οἱ μὲν, ἐχώρουν ἐπ' οἴκου. Λουκιαν': ἐν τῷ περὶ ἀληθ: ἱστορ': δόξαν δὲ ἡμῖν καὶ ἔτι πορρωτέρῳ προελθεῖν, συνελήφθημεν. ἐν δὴ τοῖς τοιούτοις ἡ εὐθεῖα οὐκ ἀντὶ γενικῆς ἀπολύτου κεῖται κατά τινας, ἀλλὰ μᾶλλον ἑαυτῆς τυγχάνει γε οὖσα. ἀντὶ γὰρ γενικῆς ληφθεῖσα, οὐκ ἂν ἀναπληρώσοι τὸν δεύτερον τρόπον τῶν προσωπικῶν τὸν, ἧς ἐξέπεσεν εὐθείας, ἐν χήτει τυγχάνοντα.

Καὶ, ἰδιώτης ὢν, ὡς οὐ μετὸν, ἢ προσῆκον αὐτῷ τῆς ἀρχῆς. καὶ, ἔπρασσον ταῦτα, δέον ἕτερα.

Ἐπὶ τοῦ μετὸν, προσῆκον, δέον, κἀπὶ πασῶν τῶν τοιούτων μετοχῶν οὐ συνεξακούεται, ὥστισιν ἔδοξεν, ἡ ὂν μετοχή. οἷον, δέον ὂν, ἢ πρέπον ὄν. οὐ γὰρ οἷόν τε συμφέρεσθαι ἀσυνδέτως δύω ὁμοειδεῖς μετοχάς. ἄμφω γὰρ τό, τε ὂν καὶ τὸ δέον, μετοχαὶ ἀπροσώπων ῥημάτων. Λουκιαν'. ἐν τῷ νιγρίνῳ. τοσούτου δέον ὀρέγεσθαι τῶν οὐδὲν προσηκόντων, ὥστε κτ'. Ἐπὶ δὲ τοῦ ἄδηλον, δεόντος συνεξακούεται ἡ τοῦ ὑπαρκτικοῦ μετοχή. πτωτικὸν γὰρ ὂν τὸ ἄδηλον ἐκ γ', τῆς ὂν μετοχῆς, ἀδύνατον δίχα τοῦ, οὗπερ τυγχάνει ὂν πτωτικὸν, εἰ μὴ συνεξακούοιτο, συνίστασθαι. Τοῦ δὲ προκειμένου τρόπου εἰσὶ καὶ τὸ ὀλίγου δεῖν. μικροῦ δεῖν. τοσούτου δεῖν. οὐ γὰρ ἀπαρέμφατά εἰσιν, ἀλλ', ὥσπερ ἀπὸ

ἀπὸ τοῦ πλέον γίνεται κατὰ κρᾶσιν τοῦ ε, καὶ ο, εἰς εῖ, δίφθογγον πλεῖν. οἷον, πλεῖν σταδίου λαλίστεραι, τοῦτ' ἔστι πλέον σταδίου φλυαρώτεραι. οὕτω καὶ ἀπὸ τοῦ δέον γίνεται δεῖν, κατὰ τὸ αὐτὸ πάθος. ὡς κἀν τῷ πρὸς τοὺς νέους λόγ, τοῦ μεγάλου Βασιλ': ἐν οἷς τὸν στρατηγὸν τῶν κεφαλληνίων πεποίκεν (ὁ ποιητὴς) γυμνὸν ἐκ ναυαγίου περισωθέντα, πρῶτον μὲν αἰδέσαι τὴν βασιλίδα, φανέντα μόνον. τοσούτου δεῖν αἰσχύνην ὀφλῆσαι, γυμνὸν ὀφθέντα μόνον. ὅπερ ἀπολύτως μετὰ θαύματος ἑρμηνευτέον. ἀντὶ τοῦ, τοσούτου δέον, ὅ ἐστι πολλοῦ γε δεῖ, σχολῇ γ' ἂν, καὶ ὡς εἰπεῖν, οὐ μόνον οὐκ ὤφλησεν αἰσχύνην, ἀλλὰ καὶ τὴν βασιλίδα ἤδεσε. καὶ παρ' ἀριστείδῃ δὲ τὸ δεῖν ἀντὶ τοῦ δέον εὕρηται. οἷον, ἀλλ' οὐκ αὐτοὺς δεῖν παρ' ἑτέρων μισθὸν τῆς ἀρετῆς λαμβάνειν.

Καὶ, ἀκουσθὲν αὐτῷ τοὺς πολεμίους παρεῖναι, ἀντεπεξῄει εἰς μάχην.

Φασί τινες τὸ ἀκουσθὲν, εἰρῆσθαι μὲν ἀπρόσωπον, διὰ τὸ μὴ προφανῶς προσκεῖσθαι τὸ τούτου οὐσιαστικὸν, ἐννοεῖσθαι δ' ὅμως ἐν τῷ ἑπομένῳ ῥήματι. οἷον, τὸ τοὺς πολεμίους παρεῖναι. ὁποῖον καὶ τὸ προληφθὲν τοῦ Θουκδ': κυρωθὲν δὲ οὐδὲν. καὶ πανταχοῦ ἐπὶ τῶν τοιούτων συνεννοεῖσθαι τὸ τῆς μετοχῆς ὑποκείμενον. Ἀλλὰ γὰρ τοῦ ἑπομένου ἀπαρεμφάτου, ὀνοματικοῦ γενομένου, καὶ οἷον, οὐσιῴδους κατ' αὐτοὺς ὑποκειμένου τῆς ἐξ ἀπροσώπων μετοχῆς, τῆς ἀκουσθέν φημι, οὐκ ἔτι ἂν εἴη τὸ ἀκουσθὲν, ἀπρόσωπον, προσωπικὸν δὲ, σχὸν ἤδη ὑποκείμενον. εὐθείας δὲ τὸ κατηγορούμενον, (τὴν εὐθεῖαν γάρ φησι τῶν οὐδετέρων.) τῆς αὐτῆς ἄρα καὶ τὸ κατ' αὐτοὺς ὑποκείμενον, φημὶ τὸ ἀπαρέμφατον. ἀπ' εὐθείας δ' ὂν, ἤδη εἰς ῥῆμα κατὰ ἀκολούθησιν ἀποδοθήσεται, ὁμοιοπροσωποῦν τῇ εὐθείᾳ. τὸ δὲ ἐγκείμενον ῥῆμα, οὐ τῇ εὐθείᾳ ὁμοιοπροσωπεῖ. (οὐ γὰρ τὸ παρεῖναι τοὺς πολεμίους, εἴτ' οὖν ἡ τούτων παρουσία, ἀντεπεξῄει εἰς μάχην, ἀλλ' ὁ στρατηγός. ᾧ ἐκείνη ἠκούσθη παροῦσα.) σόλοικος ἄρ' ἡ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα σύνταξις, ἑτεροπροσωπικὴ μὲν, ἀπ' εὐθείας δὲ, δέον ἀπὸ γενικῆς ἀμεταβάτου. ἀλλὰ μὴν οὐκ ἔστι σόλοικος, τὸ ἄρα παρεῖναι, οὐκ ἔστιν ὑποκείμενον τῆς ἐξ ἀπροσώπων μετοχῆς. εἴποιεν δὰν ἴσως ἐκεῖνοι, ὡς οὐ πᾶν τὸ σχὸν ὑποκείμενον, ἤδη καὶ προσωπικὸν ἐγένετο. καὶ γάρ τοι καὶ τῶν ἀπαρεμφάτων ἡ ἐκ α', αἰτιατικὴ, πρὸς ὕπαρξιν αὐτῶν ὑπόκειται. οὐ μὴν παρὰ τοῦτο καὶ προσωπικὰ τὰ ἀπαρέμφατα. ἀκούσουσι δ' οἱ τοιτοῦτοι, ὡς τὸ μὲν ἀπαρέμφατον οὐ συνδιατίθεται τῷ ἐκ α', πτωτικῷ κατὰ πτῶσιν, ἢ γένος, ἢ ἀριθμὸν, ἢ ὁ, τιοῦν τῶν ὅσα τοῖς πτωτικοῖς πρόσεστιν, ἡ δὲ μετοχὴ συνδιατιθεμένη τῷ ὑποκειμένῳ κατὰ τὰ λοιπὰ, συνενεχθήσεται πάντως καὶ κατὰ πρόσωπον. Τίνος οὖν πτωτικοῦ, φαῖεν ἂν, ἡ ἀκουσθὲν μετοχὴ κατηγορηθήσεται; οὐδὲ γὰρ ἂν συσταίη καθ' ἑαυτὴν, ἐπίθετον οὖσα. Ἢ ὅτι οὗ τινος καὶ τὸ συστοιχοῦν αὐτῇ ῥῆμα. οὐδενὸς δὲ τοῦτο, ἀπρόσωπον γάρ. καὶ αὐτὴ ἄρ' οὐδενός. τὸ δ' ἀπαρέμφατον ἐν τοῖς ἀπροσώποις τὸ τελικὸν αἰτιολογεῖ, ὡς εἴρηται. τὸ δὲ τελικὸν αἴτιον οὐ δὲ ποτέ ἐστιν ὑποκείμενον.

Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Μετοχῶν τῶν ἀπροσώπων ῥημάτων.

Προσωπικῶς.

Αἱ δὲ τῶν προσωπικῶν,

Ῥημάτων μετοχαί.

Καὶ εὐθυλογούμεναι, ἀδιαφόρως τοῖς

ρως τοῖς τῶν ῥημάτων προσώποις συνταάσονται.

Οὐ μόνον δηλ. ἀπὸ πλαγίας, ὡς ἐν τοῖς παρὰ τὸν α', ἔμπροσθεν εἴρηται, ἀλλὰ καὶ ἀπὸ εὐθείας ἀδιαφόρως καθ' ἑαυτὰς πρὸς τὴν σύνταξιν τῶν διαφόρων προσώπων. οἷον.

Γράφων, ὠφελῶ. ὠφελεῖς. ὠφελεῖ.

Τὸ γράφων, ἀπὸ κοινοῦ καὶ ἐπὶ τῶν λοιπῶν προσώπων λυπτέον.

Διὰ τὸ μὴ διακριτικὰς εἶναι προσώπων.

Ἡ μετοχὴ, ἢ μὲν πρωτικόν, γ', ἐστὶ προσώπου, ὡς ἐν τῷ γ', εἴρηται. ἢ δὲ μετέχει τοῦ ῥήματος, ἐν οἷσι προσώποις καταγινομένου, ἐπὶ ἑκαστοσωπίας λαμβανέσθω. ἐν θεντοῖς δὲ πρόσωπα διακρίνει. ἔξ δὴ χάριν ἐν δὲ ψυχικήν τινα διάθεσιν. εἴγε προσώπων αἱ τῆς ψυχῆς διαθέσεις.

Καὶ ὀνόμασι μὲν συνταγόμεναι, ἐν ῥήματος μοίρᾳ λαμβάνονται. τοὺς λόγους ἐπαινῶν. ῥήμασι δὲ, ἐν μοίρᾳ ὀνόματος. τοὺς λέγοντας ἐπαινῶ.

Τῆς ἀμφ' ἑκάτερα δὲ ἐχόμεθα συνταξέως, πρὸς μὲν τὰ ὀνόματα φερόμεναι, ῥήματος, πρὸς δὲ τὰ ῥήματα, ὀνόματος ἔχουσι χρῆσιν. Θεκδ'. β'. οἱ μὲν πολλοὶ τῶν ἐνθάδε εἰρηκότων, ἐπαινέσει τὸν προθέντα τῷ νόμῳ τόνδε τὸν λόγον. ἐν ᾧ τὸ μὲν εἰρηκότων, ἀντὶ τοῦ ῥητόρων, τὸ δὲ τὸν προθέντα, πρὸς μὲν τὸ ἐπαινέσει, ὀνόματος ἔχει χώραν, ἀντὶ τοῦ τὸν νομοθέτην, πρὸς δὲ τὸ τὸν λόγον, ῥήματος. Ισοκρ'. πρὸς Δημ'. μίσει τοὺς κολακεύοντας, ὥσπερ τοὺς ἐξαπατῶντας. καὶ συμβόλοντι πρὸς μὲν τὰς αὐτὰς πτώσεις τῷ συνοίχῳ οἱ ῥήματι φερομένη, ἐν μοίρᾳ ῥήματος κειμένη, ὡς δὲ πάλιν πτωτικὸν πρὸς ῥῆμα ἐκ α', ἢ ἐκ γ' φερομένη, ἐν μοίρᾳ ἐστὶν ὀνόματος. ὥστε λαμβάνεσθαι τὴν αὐτὴν ἁπαναχοῦ ἐν μοίρᾳ καὶ ὀνόματος, ὡς πρὸς ὃ φέρεται ἐκ α', ἢ ἐκ γ', ῥῆμα, καὶ ῥήματος, ὡς πρὸς τὰ ἑαυτῆς ἐκ α', ἢ ἐκ γ', πτωτικά.

Σύλληψις Γενῶν.

Κἂν ὁμοῦ ἀρσενικὰ ἄττα καὶ θηλυκά,

Πτωτικά.

Προτάσσηται μετοχῆς, τὴν τοῦ ἐπικρατεστέρου γένους, τοῦτ' ἔστι τοῦ ἀρσενικοῦ ἐπάγειν.

Κατ' ἀττικὸν ἔθος συνεξακούεται τὸ χρὴ εἰς ἐξάρτησιν τοῦ ἀπαρεμφάτου. ὡς καὶ Θεκδ'. α'. ἀλλ' ἢ καὶ ἐκείνων κωλύειν τοὺς ἐκ τῆς ὑμετέρας μισθοφόρους, ἢ καὶ ἡμῖν πέμπειν καθ' ὅ, τι ἂν πεισθῆτε, ὠφέλειαν. μάλιστα δὲ ἀπὸ τοῦ προφανοῦς δεξαμένους, βοηθεῖν. καὶ τούτοις δὲ λείπει τὸ χρή. Ἐντεῦθεν δ' ἐπιλύεται καὶ τὸ ἀπορηθὲν ἐν γ', κφ. τοῦ α', βιβλ'. παρὰ τῷ Ἀπολλ: τί ὅτι ἐν γνώσιν ἡγεῖται μὲν τὸ ἀρσενικὸν, μεθ' ὃ τὸ θηλυκὸν, καὶ ξίπον τὸ ἐκ τούτων ἀποφασκόμενον ἑκάτερον; Ἢ ὅτι ἐπικρατέστερον τὸ α', τοῦ β', τε καὶ γ'. καὶ ἔτι τὸ β', τοῦ γ' ὡς καὶ ἐπὶ τῶν προσώπων δηλοῦται. ὧν καθ' ὁμοιότητα καὶ ἐπὶ τῶν μετοχῶν συλλαμβάνει τὸ μὲν ἀρσενικὸν ὡς πρότερόν τε καὶ ἐπικρατέστερον τό, τε θηλυκὸν καὶ ἑκάτερον.

Οἷον, Ἄνδρες καὶ γυναῖκες καθήμενοι, διαλέγονται.

Ὅμηρος,


Η΄ Μετοχή.
Εὕρηται μὲν
διχῶ βραχυλογίαν ἐλλιπισμοῦ.
καὶ πρὸς δήλωσιν
αἰτίας.
ἢ χρόνου.
καπί τε τὸ ὀρθὸν καὶ τὸ πλάγιον.
Ὡς μὴ διακρίνουσα δὲ πρόσωπα, ἀδιαφόρως τοῖς προσώποις συμπάσεται.
Ὡς δὲ τοῦ τε ὀνόματος μετέχουσα καὶ τοῦ ῥήματος, καὶ τῆς ἑκατέρων συντάξεως ἔχεται, φερομένη
ἤτοι ῥῆμα, πρὸς τὰς αὐτὰς πτώσεις τῷ συνοίκῳ οἱ ῥήματι. ἐνθα καὶ ἐν μοίρᾳ ῥήματος λαμβάνεται.
ἢ δὲ πτωτικόν, πρὸς ῥῆμα. ἐνθα καὶ ἐν μοίρᾳ ὀνόματος κεῖται.
ἀπ' ἀρθείας
ἀπὸ γενικῆς
ἀπὸ τῶν ἄλλων πλαγίων.
πανσυνπροσωπικῶς
ἀμεταβάτως.
ἑτεροπροσωπικῶς.
μεταβατικῶς.
διαφορὰ τοῦ α΄, πρὸς τὸν β΄, καὶ γ΄.
κοινωνία τοῦ β΄, ἔνθεν μὲν, πρὸς τὸν α΄, ἔνθεν δὲ, πρὸς τὸν γ΄.
διαφορὰ τοῦ γ΄, πρὸς τὸν β΄, καὶ α΄.

Ὅμηρος, παρθενικαί τε καὶ ἠΐθεοι, ἁπαλὰ φρονέοντες. ἐκνικᾷ γὰρ ἡ τοῦ ἀρσενικοῦ ἀξίᾳ σύνταξις. οὐκ ἀπέοικεν οὐδὲ τὸ, οἵ δ' ἰύξοντες ἕποντο ἀνέρες, ἡ δὲ γυναῖκες. ὡς γὰρ ἐκεῖ πρὸς τὸ ἑνικὸν ἀρσενικὸν, οὕτω κἀνταῦθα πρὸς τὸ ἀνέρες ἡ σύνταξις, γέγονε. Λουκιαν. ἐν τῷ ἄρεως καὶ ἑρμοῦ διαλό. μέμνημαι γὰρ οὐ πρὸ πολλοῦ ὁπότε ὁ ποσειδὼν καὶ ὁ ἄρης καὶ ἡ ἥρα καὶ ἡ ἀθηνὰ ἐπαναστάντες, ἐπεβούλευσαν ξυνδῆσαι αὐτὸν λαβόντες. συνεννοεῖται δὲ τῷ ἐπικρατεστέρῳ γένει καὶ τὸ ἐπικρατούμενον. αὐτὰ ταῦτα κρατεῖ κἀπὶ τῶν ἀναφορικῶν ἄρθρων λεγόμενα. οἷον, μοῦσαι καὶ ἀπόλλων. οἷς ἐγὼ σπένδομαι.

Δῆλον οὖν ὅτι

Διὰ τὸν τῆς ἐπικρατείας λόγον,

Καὶ θηλυκῶν προτασσομένων σὺν οὐδετέροις, τὴν τοῦ θηλυκοῦ

Μετοχὴν,

Ἐποίσομεν, ἅτε προτέρου. οἷον τὸ Ὁμήρου. αἱ δέπου ἡμέτεραί τ' ἄλοχοι, καὶ νήπια τέκνα, εἴατ' ἐνὶ μεγάροις ποτιδέγμεναι.

Ἰλ. β. τὸ δὲ ἐν σ, τῆς αὐτῆς. τεῖχος μὲν ἄλοχοί τε φίλαι καὶ νήπια τέκνα ῥύατ' ἐφεστάωτες. ἐν θηλυκῷ σημαινομένῳ ἀρρενόφωνον προήχθη, κατὰ τὸ κλυτὸς ἱπποδάμεια. θῆλυς ἀήτμη. ὀδμὴ ὀλοώτατος. ὄπα χάλκεον, ἁλὸς πολιοῖο. κἀπὶ δυϊκῶν δὲ, πληγέντε κεραυνῷ, ἀντὶ τοῦ πληγείσα. καὶ ἄλλως δέφασιν οἱ παλαιοὶ, τῷ νήπια τέκνα συνεξακούεται τὸ ἄρρεν, οἱ παῖδες. ὡς καὶ ἐν ἄλλοις γίγνεται. τοιοῦτο καὶ τὸ, νεφέλη δέ μιν ἀμφιβέβηκε. τὸ μὲν οὔποτ' ἐρωεῖ. πρὸς τὸ νέφος γὰρ ἡ ἀπόδοσις, τῇ νεφέλῃ ἀντιφωνούμενον.

Τδ.

καὶ πάλιν, βοῦν ἀζαλέην. τί, μοί ἐστι. πρὸς γὰρ τὸ σάκκος ἡ ἀναφορά. καὶ, εἰροπόκοις οἴεσσι, τὰ δ' ἐρῆμα φοβεῖται. πρὸς τὰ πρόβατα γὰρ, ἢ τὰ πώεα ἀναφέρει τὸ σχῆμα. τοιοῦτο καὶ τὸ, δίχα πάντα δάσασθαι, κτῆσιν ὅσην πόλις ἐντὸς ἐέργει. Τὸ δὲ εἴαται, ψιλῶς καθ' Ἡρακλείδην προενεκτέον. ἵν' ᾖ, ἦσαν, ἀπὸ τοῦ εἰμί. καὶ ἔστι κρεῖττον τοῦτο ἢ τὸ ἐκάθηντο δασυνόμενον. οὐ γὰρ κάθηνταί φησιν, ἀλλ' ὑπάρχουσιν, ἤγουν εἰσὶ προσδεχόμεναι. Ἴωνες γὰρ τοῖς παρακειμένοις ἀντὶ ἐνεστώτων χρῶνται. οἷον, διανενόημαι ἀντὶ τοῦ διανοοῦμαι καὶ τὰ ὅμοια. πλατύνων δ' ὁ Ἡρακλείδης τὸν περὶ τοῦ εἴαται λόγον, γράφει τοιαῦτα. ὡς ἡχεῖται, ἥχηται. οἰκεῖται ᾤκηται. οὕτως ἀπὸ τῆς ᾧ, πρώτης συζυγίας τῶν περισσωμένων παθητικοῦ ἐνεστῶτος τρίτον εἶται. οὗ εἴη ἂν παρακείμενος ἦται, μεταπεσούσης κἀνταῦθα τῆς εἰ διφθόγγου εἰς ἦτα. πληθυντικὸν δὲ αὐτοῦ προσθέσει τοῦ ν, ἀναλόγως ἦνται, κατὰ τὸ πεποίηνται καὶ τὰ ὅμοια. εἶτα ἰωνικῇ τμήσει τοῦ η, εἰς ε, καὶ α, ὡς νενόηνται νενοέαται, οὕτω καὶ ἦνται ἔαται. Ὅμηρος δὲ κατὰ ἰάδα προσθεὶς ἰῶτα, ἔφη, εἴαται ἐν μεγάροις. εἶτα λέγει ὅτι καὶ τὸ δασυνόμενον καὶ διὰ τῶν αὐτῶν στοιχείων ἐκφερόμενον, οὕτως ἔχει.

Ἢν δ' ἀρσενικὰ καὶ θηλυκὰ ὁμοῦ προταχθῇ,

Ἢ ἔτι ἀρσενικὰ καὶ οὐδέτερα, ἢ θηλυκὰ καὶ οὐδέτερα,

Κατὰ μετασχηματισμὸν φωνῆς, ἀλλὰ μὴ κατὰ σημασίαν,

Κατὰ μόνην δηλ: τὴν φωνὴν, μὴ ὄντα δὲ καὶ κατὰ τὸ σημαινόμενον τοιαῦτα, ἀλλ' οὐδέτερα, δῆλον, ὡς

Τὴν οὐδε-

Τὴν ἑτέραν ἀποδώσομεν μετοχήν.

Ὡς ἑτέροις.

Οἷον δὴ καὶ τό, νῆες μὲν ἔνθα ἠδὴ κῆ αἰθῆσις ἀπ' ἀλλήλων διακεκριθέντα.

Ἀριστοτ: περὶ ψυχῆς. ὧν ἑκάτερα τῷ μὲν δηλουμένῳ οὐδέτερα, μόνῳ δὲ τῷ τῆς φωνῆς σχηματισμῷ τὸ μὲν, ἄρρεν, τὸ δὲ, θῆλυ. Καὶ ἐπὶ τῶν ὑποκριτικῶν δὲ ἄρθρων ὁμοίως. σελήνην καὶ ἀστέρας. ἃ σὺ ἐθεμελίωσας. Θεσπ: γ', κῆ ἐπὶ πολὺ τοιαύτη ἡ μάχη, διώξεις τε καὶ ὑπαγωγαί. ἐν οἷς ἀμφοτέροις ἦσαν οἱ Ἀθηναῖοι. καὶ τῇ β', ἥτε φάρυξ κῆ ἡ γλῶττα δι' ὧν αἱ ματώδη ἰῶ. ἀὴρ κῆ ὕδωρ καθ' ἑαυτὰ τῇ φύσει λευκά. Ἀριστοτ: περὶ χρωμάτων. κῆ δυνασεία καὶ πλῆτος ἀφ' τῶν τιμίων εἰσὶν αἱρεταί. ἠθ: νικομαχ: βιβλ' δ'. ἐλπὶς κῆ πλῆτος ἐν φίλοις ὠφελιμαία. βρῆτος εἰς τὰς ἐπιτολάς. κῆ Γρηγόριος ἐν τῷ περὶ ἱερωσύνης. ἥτε νοσεράτις ἕτως εὐκόλως ἀναχεῖ εἰς τὸν ἀέρα, κῆ ἀφ' τῆ ἀέρος ὁμιλεῖ τοῖς ζῴοις ἀτμίς. ὃ δὴ λοιμός ἐστί τε κῆ ὀνομάζε).

Ἔτι ἐὰν διάφορα προτάσσηται

Μετοχῆς,

Γένη χωρὶς,

Μὴ κῆ συμπλοκῆ δηλ: κατὰ τὰ ἀφορισμένα, ἀλλὰ κεχωρισμένα ἀλλήλων ἀφ' τὰ ἀποφατικῆ μορίε, τὸ ε. ὅπερ ὡς διαιρῶν τὸ κατηγορούμενον ἀπὸ τῆ ὑποκειμένε, διαιρετικὸν ἀκέει. ὁ γὰρ εἰπὼν, σωκράτης κὰ αὐαγινώσκει, διεχώρισε τὸ αὐαγινώσκειν ἀπὸ τῆ σωκράτες. ὥσπερ συνῆψε πάλιν, ὁ εἰπὼν, σωκράτης αὐαγινώσκει. παῦτ' ἄρα καὶ τὰ μὲν αὐτερῳ γενῆ, ὡς ὁμῆ ὄντα, συνελαμβάνετο ἐν πληθυντικῷ ἀριθμῷ, ᾧ δὲ χωρὶς ὄντα, οὐδὲ συλλαμβάνεται.

Ἡ μετοχὴ τῆ ἐγγυτέρω ἔσαι.

Τῇ προσεχεστέρᾳ τῇ μετοχῇ γενῆς, ἐκ ποίου πότ' αὖ ἦ. οἷον

Οὐδέ κ' ἄρης λαοσσόος, ἐδέ κ' ἀθήνη τόν δ' ἰδοῦσα, ὀνόσαιτο.

Πρόσκεται γὰρ τῇ τῆ πορρωτέρω γενῆς συλλήψει ἡ τῆ ἀποφατικῆ παρουθήκη. οἷον κῆ τό, ἔτε αὖ ἄρες, ἔτε γυναῖκες καθήμεναι διαλέγονται. ἐκ ἀλόχοι ἔτε τέκνα εἰσὶ προσδεχόμενα. Καὶ ἐπὶ τῶν ὑποκριτικῶν δέτι ἄρθρων ὁμοίως. οἷον, ἐκ εἰσὶ δεινόν, οὐδὲ πάθος ἐδὲ ξυμφορὰ, ἧς οὐκ αὖ ἄροιτ' ἄχθος ἀνθρώπων φύσις. σωσινοεῖ) δὲ καὶ ἐπὶ πάντων τὸ πόρρω γενῆς.

Συναπτονται δὲ

Αἱ Μετοχαί.

Καὶ τοῖς ὑπαρκτικοῖς ῥήμασι, μηδὲν πλέον δηλοῦσαι ἄλλως τῆ συνοικείων ῥημάτων. οἷον, γράφων εἰμὶ, κῆ γέγραφώς. ἴσον γὰρ τῷ γράφω, καὶ γέγραφα.

Παραπαίουσιν ἄρα οἱ διαφορὰν τιθέντες τῆ καθηρημένω πρὸς τὸ ἑστῶ καθηρημένος, ταὐτὸ δυναμένων ἑκατέρων. τοῖς γὰρ τοῖς ὑπαρκτικοῖς τῆ ῥημάτων σωναπτομένας μετοχὰς αὐτὶ τῆ συνοικείντων αὐταῖς ῥημάτων ἐκλαμβάνοντες, τὸ ὑπαρκτικὸν παραιτεμεθα ῥῆμα. συνοικεῖντα δὲ ταῖς μετοχαῖς εἰσι ῥήματα, τὰ αὐταῖς ταύταις ἐγκείμενα, εἴτ' ἔν μετεχόμενα. οἷον, τῇ γράφων τὸ γράφω, κῆ τῇ τύπτων τὸ τύπτω. μηδὲν δὲ πλέον δηλοῦν φησι τῆ συνοικείων ῥημάτων, τῆ μετοχῶν τὰς ὑπαρκτικοῖς σωναπτομένας.

πτομένας, πρὸς ἀντιδιαστολὴν τῶν τοῖς παρὰ τὰ ὑπαρκτικὰ ῥήμασι συναπτομένων. ὧν αἱ πλείους πλέον τι τῶν συστοίχων ῥημάτων δηλοῦσαι ἐδείχθησαν. τὸ δὲ ἄλλως, δηλοῖ μὲν καὶ τὸ μάτην, ὡς παρὰ Πλουτάρχῳ ἐν τῷ περὶ ὑγιεινῶν παραγγελμάτων. ἂν οὐδιψῶντες, ἄλλως δὲ θερμὸν ὕδωρ πίωμεν. καὶ τὰ μὴ κατὰ γνώμην δὲ, ἢ εὐχὴν συμβάντα, ἄλλως συμβεβηκέναι λέγεται, ὑπακουομένου τοῦ, ἢ ὡς ἤλπιζέ τις. ἐνταῦθα δὲ ἀργῶς κεῖσθαι δοκεῖ. παρὰ γὰρ ἄλλοις οὐδὲ κεῖται ὅλως. Τὸ δὲ συνάπτεσθαι τὰς μετοχὰς τοῖς ὑπακτικοῖς τῶν ῥημάτων, μηθὲν πλέον τῶν συστοίχων δηλούσας ῥημάτων, τῇ μὲν τοῦ ἑλληνισμοῦ βραχυλογίᾳ ἐστὶν ἐναντίον, ξυντελεῖ δὲ, ὡς ἐν τῇ ἀναλύσει τοῦ ῥήματος εἴρηται, ταῖς ἐξ ἀορίστου καταφατικαῖς προτάσεσιν. εἴ γε οὐ ταὐτὸν εἰπεῖν, οὐ γράφω, καὶ εἰμὶ μὴ γράφων. ἡ μὲν γὰρ αὐτῶν ἐστιν ἀποφατικὴ, ἡ δὲ, ἐξ ἀορίστου κατηγορουμένου καταφατική.

Περὶ Ἄρθρου.

Οὐχ ὡς ἔτυχε δὲ καὶ ἡ τοῦ ἄρθρου τάξις προσερρίφη, ὑπαγορεύουσα μὲν τὸ συναρτᾶσθαι μόνοις τοῖς προειλημμένοις πτωτικοῖς, τῷ τε ὀνόματι καὶ τῇ μετοχῇ, ἐκκλίνασα δὲ τὴν ἀπαράδεκτον τῶν ἄρθρων ἀντωνυμίαν, οὐ μὴν τὸ ῥῆμα. καὶ μέχρι γὰρ ῥήματος ἡ τούτου συνάρτησίς ἐστι. τὸ φιλολογεῖν καλόν ἐστι. τῷ περιπατεῖν ἥδομαι. οὐκ ἄρα δεήσεται ἐπιστάσεως ἡ ὑποῦσα, τοῦτ' ἔστιν ὑποτεταγμένη, εἴ τ' οὖν ἐπιτεταγμένη τῷ ἄρθρῳ ἀντωνυμία, διὰ τί μὴ προετάγη τοῦ ἄρθρου. ὅπου καὶ παρεκινδύνευε μετὰ τὴν τοῦ ὀνόματος θέσιν παραλαμβάνεσθαι. πρόδηλον γὰρ ὡς τὸ ἀντί τινος παραλαμβανόμενον, μεταγενεστέραν θέσιν ὁμολογεῖ. ἀλλὰ μὴν τὸ ἄρθρον μετὰ τοῦ ὀνόματος. ἡ δὲ ἀντωνυμία ἀντὶ ὀνόματος. δέδοται ἄρα, ὅτι τὸ συνυπάρχον τῷ ὀνόματι ἄρθρον, πρεσβύτερόν ἐστι τῆς ἀντωνυμίας. καὶ γὰρ καὶ αἱ ἀναφορικαὶ ἀντωνυμίαι, ἀντὶ συνάρθρων ὀνομάτων εἰσίν. οὐ γὰρ δήγε τὰ ὀνόματα αὐτόθεν ἀναφορὰν παρίστησιν, ὅτι μὴ, συμπαραλαβόντα τὸ ἄρθρον. οὗ ἐξαίρετός ἐστιν ἡ ἀναφορά. αὐτὰ δὲ τὰ ἄρθρα τῆς πρὸς τὰ ὀνόματα συναρτήσεως ἀποστάντα, εἰς τὴν ὑποτεταγμένην φημὶ δὴ μετατεταγμένην ἀντωνυμίαν μεταπίπτει. ὡς ἐν τῷ, ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας ἀχαιῶν. ὃς γὰρ ῥὰ μάλιστα ἤνδανε κηρύκων. τόνδ' ἀπαμειβόμενος. Ὠήθησαν δέ τινες τὴν τῶν ἄρθρων παράθεσιν εἰς γένους διάκρισιν παρατίθεσθαι τοῖς ὀνόμασιν. οὐχ ὑποδύσκολον δὲ τὴν τούτων διελέγξαι διεψευσμένην δόξαν. Α', ὡς οὐ δὲν μέρος λόγου ἐπενοήθη εἰς διάκρισιν ἀμφιβολίας ἑτέρου μέρους λόγου. ἕκαστον δὲ αὐτῶν ἐξ ἰδίας ἐννοίας ἀνάγεται. ἐπιλύεται γὰρ ἡ τοῦ γένους σύνοδος, ἐκ τῶν συμπαρατιθεμένων ἑτέρων μορίων. καθ' ὅ, τι

θ' ὅ, τι καὶ τῶν ἄλλων μορίων τὰ ἐν πλείοσι σημαινομένοις γινόμενα, διὰ μιᾶς φωνῆς τῆς προκειμένης τῇ συντάξει ἀπολύεται τῆς ἀμφιβόλου προφορᾶς. μὴ συνόντος γοῦν τοῦ ἄρθρου ἐν τῷ, σώφρων οὖσα ἑλένη, ἡρπάσθη ὑπ' Ἀλεξάνδρου. τὸ κατὰ γένος ἀμφίβολον τοῦ σώφρων, ἐκ τῶν παρατιθεμένων ἀπέβαλε. τὸ μέντοι ἐκ τῶν θεῶν ἐπεκλώσθη τῷ ὀδυσσεῖ τὸ μὴ παθεῖν κατὰ θάλασσαν, κἂν μετὰ ἄρθρου λέγηται, ἀλλ' ὅμως ἐπικρατεῖται πρὸς τῆς ἀμφιβολίας τοῦ γένους, πότερον, οἱ θεοὶ, ἢ αἱ θεαὶ, τοῦτ' ἔστιν αἱ μοῖραι; πῶς οὖν οὐ γελοῖον εἰς διάκρισιν γένους τὰ ἄρθρα λέγειν παραλαμβάνεσθαι, ὅπουγε ἄρθρου μὲν ὄντος, ἀμφιβάλλεται τὸ γένος, μὴ ὄντος δὲ, ἀπολύεται τῆς ἀμφιβολίας; Β', οὐκ ὤφειλε τὸ εἰς διάκρισιν γένους παραλαμβανόμενον, εἰς τὸ αὐτὸ ἐμπίπειν τῷ δι' ὃ καὶ αὐτὸ ἐπενοήθη, λέγω δὴ τὴν τοῦ γένους σύγχυσιν. ὅπουγε τὸ τῶν, ἢ τοῖν, ἢ ἄλλοτι τοιοῦτο τῷ γένει κοινολεκτούμενον, ἄδηλον ὁποίου γένους κατηγορεῖται. καὶ εἰ μὴ παραδεξώμεθα τὸ τῶν, ἢ τοῖν, ἄρθρον ἁπάντων τῶν γενῶν μετὰ τῶν συνόντων ἀριθμῶν, διὰ τὴν τῶν γενῶν δῆθεν σύγχυσιν, ἐπινοηθήσεται ἄλλα ἄρθρα εἰς τὴν τῶν ἐν τοῖς τοιούτοις ἄρθροις γενῶν διάκρισιν. ἢ, εἴπερ ἔσθ' ὅτε ταῦτα ἐκ τῶν συνόντων ὀνομάτων τῆς κατὰ τὸ γένος ἀμφιβολίας ἀπολύεται, ὅτε φαμὲν, τῶν μουσῶν, τῶν ἀνδρῶν, οὐδὲν κωλύει φάναι, ὡς τὰ ὀνόματα ἐπενοήθη εἰς διάκρισιν τῶν ἐν τοῖς ἄρθροις γενῶν. ὅπερ εὔηθες λέγειν, τὸ εἰς διάκρισιν γένους ἐπινοηθὲν, ἑτέρωθεν, οἵου γένους ἐστὶ, διακρίνεσθαι. ἀπολύεται οὖν, ὡς εἴρηται, αὐτὰ τῆς τῶν γενῶν ἀμφιβολίας ἐκ τῶν συμπαρατιθεμένων. ὅπερ γὰρ ἔμελλε διακρίνειν τὸ ἄρθρον παρατεθὲν, τοῦτο ἐκ τοῦ παρεπομένου μορίου ἀφηγεῖται. κἀκ Γ', δὲ ἐκεῖνό ἐστι προσθεῖναι. ὡς ἐχρῆν μόνον τοῖς ἀμφιβολίαν τοῦ γένους προβαλλομένοις παρατίθεσθαι τὰ ἄρθρα, ὡς ἐπὶ τοῦ θεός. ὅτε φαμὲν, ὁ θὲς καὶ ἡ θεός. ὁ ἵππος, καὶ ἡ ἵππος, καὶ ἁπλῶς τοῖς διγενέσιν, οὐ μὴν δὲ καὶ τοῖς δυναμένοις δι' ἑαυτῶν τὸ γένος ἐνδείξασθαι μονογενέσιν. οὔκουν τῷ γυνὴ προσκείσεται. σχεδὸν γὰρ τὸ ὄνομα τοῦ γενικωτάτου γένους ἔγκειται. τῶν γὰρ εἰς ἢ, ληγόντων θηλυκῶν ὀνομάτων, γενικώτατον γένος θηλυκὸν ἡ γυνὴ τυγχάνει. κἀπὶ τῶν λοιπῶν γενῶν ὁμοίως. τῶν τε ἰδικῶς ἀρσενικῶν καὶ ἰδικῶς οὐδετέρων. νυνὶ δὲ τῷ μὲν γυνὴ προσκείσεται ἔστιν οὗ μετὰ τῆς δεούσης συντάξεως τὸ ἄρθρον. οἷον, πῶς ἡ γυνήσε ὕβρισε; τὸ γὰρ δίχα τοῦ ἄρθρου, ἀσύνετον. τῷ δὲ θεὸς, ἢ ἵππος, ἢ τινι τῶν τοιούτων ἔστιν οὗ πάλιν κατ' οὐδένα τρόπον παρατεθήσεται, οὔτε εἰς διαστολὴν γένους, οὔτε ἄλλου τοῦ ἕνεκα. ὡς ἐπὶ τοῦ, θεός τίς σε ἠλέησεν. ἵππος ἐστὶ τὸ προσιόν. ἄνος τὸ φαινόμενον. ἀδύνατον γὰρ ἐπὶ τούτων τὸ ἄρθρον προστεθῆναι, ἀοριστουμένου τοῦ λόγου. Εἶπε δ' ἄντις, οὐχὶ οὖν καὶ ἐν ἄλλοις ἐλλειπτική ἐστι τῶν ἄρθρων ἡ σύνταξις; πρὸς ὃν ῥητέον, ὡς δυνάμει τὰ ἐλλείποντα παράκειται, ἐμφανιζόμενα διὰ τοῦ ἐπιζητοῦντος αὐτὰ λόγου. ἐπὶ μέντοι τῆς προκειμένης συντάξεως τὸ τοῦ λόγου κατάλληλον οὐκ ἐπιζητεῖ τ' ἄρθρον.

Τὸ δὲ Ἄρθρον, ἔστι μὲν λόγου πτωτικὸν μέρος, προτασσόμενον τοῖς ὀνόμασι.

Τὸ σχῆμα ἀντίπτωσις, ἀντὶ τοῦ, τῶν ὀνομάτων. ἐρεῖ γὰρ ἐν τοῖς ἑξῆς, τῶν ὀνομάτων προτίθεται.

Διαιρεῖται δὲ εἰς προτακτικόν τε καὶ ὑποτακτικόν.

Τὰ ἔχοντα εἰς τὰ ἐχόμενα διαιρεῖται. καὶ τὰ διαιρούμενα ἄρ', οὐκ εἰς ἄλλα, ἀλλ' εἰς τὰ ἐμπε-

τὰ ἐμπεριεχόμενα διαιρεθήσε). τὸ δ' ὑποτακτικὸν ἄρθρον καὶ ἐμπεριέχε) τῷ τὲ ἄρθρε ὅρῳ. πῶς ἓν τὸ ἄρθρον καὶ εἰς τὸ ὑποτακτικὸν διῄρηται; Ἢ ὅτι ὡς μὴ ἐμπεριεχόμενον, ἐ κυρίως ἄρθρον ῥηθήσε). ὥς γε μὴν σὺς τὲ τις ἀορίστε ὀνόματος προπαρασόμενον, εἰη αὖ ταύτην ἐμπεριεχόμενον καὶ αὐτὸ τῷ ὅρῳ.

Ὡς διώρισαι πρότερον.

Ἐν ἀρχῇ τὲ α', βιβλίε.

Κυρίως γε μὴν ἄρθρον τὸ προτακτικόν.

Ὡς πτωτικῶν καὶ τὸν ὅρον προηγέμενον, τὲ ὑποτακτικὲ ῥημάτων προηγεμένε, τῶν μὴ πεφυκότων ἄρθροις συνάπτεσθαι. σὺ τοίνυν δὲ ἐλέγχονται οἱ πρὸ τὲ διελεῖν τὸ ἄρθρον, προπαρόμενον τῶν ὀνομάτων καὶ ὑποπαρόμβον αὐτὸ σωμμεμιγμένως ἀλλ' ἐ διεζδυγμένως ὁρισάμενοι. ἔτε γὰρ τὸ προτακτικὸν ὑποπάσεται, ἔτ' αὖ τὸ ὑποτακτικὸν προπάσε). ὅθεν ὁ κατ' αὐτὰς ὁρισμὸς μὴ συμπαρεκτεινόμενος τῷ ὁριζομένῳ, μᾶλλον δὲ πλεονάζον, ἐκ ὀρθῶς ἔχειν δοκεῖ. Προτακτικὸν δὲ ἄρθρον καὶ Ὑποτακτικόν, ἀπὸ τῆς σωτάξεως, ἢ περ ἀπὸ τὲ δηλεμένε τὴν ὀνομασίαν ἔλαβον, καθὰ δὴ καὶ ἡ πρόθεσις καὶ τὰ ἐπιῤῥήματα.

Ποιεῖ δ' ἀναπόλησιν προεγνωσμένε τε ἐν τῇ σωτάξει. οἷον, εἰ μὲν λέγοι τις, αὐτὸς ἦκεν, ἄδηλον, τίνα αὐτὸν λέγει, εἰδὲ, ὁ αὐτὸς,

Λέγοι,

Δῆλον.

Τίνα λέγει.

Προεγνωσμένον γάρ τινα τῷ ἀνθρώπων.

Λέγει. Ἀνάπόλησις δέ ἐσι, μνήμης ὑπόλήθης ἀποκομιδὴ ἀνάκτησις. Ἔσιν ἓν, ὡς καὶ ἐν τοῖς πολυσικοῖς τῷ ὀνομάτων κατείλεκται, ἴδιον ἄρθρε ὁ διορισμὸς, εἴτ' ἓν ἡ ἀναφορὰ, προκατειλεγμένε προσώπε τινὸς, ἢ πράγματος ἅσα παρασατική. ἦν αὖς ἦκεν. ὁ σωκράτης φιλοσοφεῖ. Ταῖς δὲ μετοχαῖς συμφερόμενον, δηλοῖ, τῇ μὲν, Ἀναφοράν. φέρε γάρ τινα δειπνῆσαι τῶν παίδων καὶ μὴ τὸτο γενέσθαι τὲ τῆς προσάξεως. ὁ δειπνήσας παῖς, κοιμάσθω. καθὼς εἰ ἐν παισὶν, ἀπακτήσαντός τινος, φαίη ἂν ἐπ' αὐτὲ ὁ διδάσκαλος. ὁ ἀπακτήσας παῖς, τυπτέσθω. δηλαδὴ ὃς ἠπάκτησε. τῇ δὲ, Ἀορισίαν. εἰ τῇ δέ τις ἀποφαίνοιτο, ὁ γυμνασιαρχήσας προλεμαῖος, τιμηθήσεται. ὁ δειπνήσας παῖς, κοιμάσθω. οὐ γὰρ ἕνα δηλοῖ προλεμαῖον, ἀλλ' ἀορίσως πολλές. ἐξ ὧν ὃ εἰς μεταλήψε) τῆς τιμῆς. τὸ γὰρ ὡς ἐσόμενον πρόσωπον ἀνεπόλησεν. ὅπερ ἀντίκειται τῷ προεγνωσμένῳ. ὥσε ἐκ ἀπιθάνως ἐσὶ φάναι, ὡς τὰ σύνεκα τῷ ἄρθρων σημαίνει καὶ πλῆθος, ταῖς μετοχαῖς συναρτώμενα. σύνθετοι καὶ οἱ ἀπὸ τῆς σοᾶς, ἀορισῳδὴ μόρια τὰ τοιαῦτα ἐκάλεσαν. τὲ δὲ ἀορισῳδῶς νοεῖσθαι τὴν σωίταξιν τοῦ ἄρθρου καὶ τῆς μετοχῆς, αἰτία γίνεται ἡ προσακτικὴ ἐκφορὰ τῷ ῥημάτων. ὁ τυραννοκτονήσας, τιμάσθω. καθ' ὅ, τι ἡ ὁριστικὴ ἔγκλισις κατὰ μὲν τὸ παρῆκον καὶ ἐνεστὼς, ἀναφορικωτέραν καὶ γνωριμωτέραν τὴν σωίταξιν ποιεῖται. ὁ τυραννοκτονήσας, τιμᾶ), ἢ ἐτιμήθη. καὶ δὲ τὸ μέλλον, ἀορισῳδῶς πάλιν νοεῖ) καὶ τὴν προληφθεῖσαν πρησιν. ὁ τυραννοκτονήσας, τιμηθήσετα). πάνυ δ' λόγως. εἴγε τὰ μὲν γιγνόμενα καὶ γεγονό-

γεγονότα, ὁμολογουμένως πρόδηλα, τὰ δὲ ἐσόμενα, ἀδηλότερα. κἀτεῦθεν ἀοριστοῦται τὰ τῆς συντάξεως. δείκνυται δὲ προφανῶς κἀκτοῦτο, ὡς εἴπερ τὸ ἀόριστον ἐπὶ μέλλοντος, ἀοριστοῦται δὲ καὶ τὰ προστακτικά, ὡς εἴδη εἴρηται, ἅπαντα ἄρα τὰ προστακτικὰ ἐγκειμένην ἔχει τὴν τοῦ μέλλοντος διάθεσιν, ὡς προείρηται. Μετὰ δὲ τῶν ὀνομάτων συσσημαίνει ἔτι τὸ ἄρθρον καὶ ἐπισημότητα, ἐπὶ τῶν κατ' ἐξοχὴν λαμβανόμενον, ὅ ἐστιν ἐπὶ τοῦ ὑπερέχοντος τῶν ὁμοστοίχων, εἴτ' οὖν ὁμοτέχνων, ἢ ὁμοτίμων. ἐν ᾧ τὰ τῇ κοινότητι προσαρμοζόμενα, ἐνὶ χαρακτῆρι ἰδιοκτήτως καὶ μιᾷ ὑποστάσει προσδίδοται. ὅτε φαμὲν, οὗτός ἐστιν ὁ γραμματικὸς, ἢ ὁ ῥήτωρ. τοιοῦτό τι ἐμφαίνοντες, ὁ πάντων τῶν ὁμοτέχνων προήκων. καὶ ὡς εἰπεῖν, ὁ γενναιότατος. τῇδε γὰρ καὶ ὡς συλλαβὴν τὸ ἄρθρον ἀπηνέγκατο τὸ, ὁ ποιητὴς, καθ' Ὁμήρου λεγόμενον. καὶ τὸ, ὁ ῥήτωρ, κατὰ Δημοσθένους, ἀπενεγκάμενα καὶ τὴν πάντων τῶν ὁμοστοίχων ἐξοχὴν καὶ τὴν πρὸς ἁπάντων πεπερασμένην, εἴτ' οὖν προϋφεστῶσαν γνῶσιν. Ἰστέον δὲ, ὡς τοῦ θείου Χρυσοστόμου λέγοντος ἐν κφ'. δ', τῶν εἰς τὸν προφήτην Ἡσαΐαν, ἐπίσημον οὐκ ἂν γένοιτο, εἰ μέλλοι κρύπτεσθαι τῇ κοινωνίᾳ τῶν ἄλλων πραγμάτων, οὐκ ἂν εἴη ἐπισημότητος ἐμφαντικὸν τὸ ἄρθρον, ἐν τῷ, ὁ ῥήτωρ, ὁ ποιητής. οὐδὲ γὰρ μόνος ὁ Δημοσθένης ῥήτωρ, ἢ ὁ Ὅμηρος ποιητής. τὸ δὲ ἐπίσημον μοναδικόν φησιν, ἐθέλει εἶναι, ἐκβαῖνον τὴν κοινὴν ἀκολουθίαν, καὶ τὴν τῆς φύσεως ὑπερβαῖνον συνήθειαν. ὡς ἐν τῷ, ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει. καὶ, ἐν ἀρχῇ ἦν ὁ Λόγος. καὶ, εἰ σὺ εἶ ὁ Χ̅ς̅. εἰ σὺ ὁ Προφήτης. ὧν ἐφ' ἑκάστου ἐπίσημόν τι καὶ μοναδικὸν ἐξῃρημένως τὸ ἄρθρον ὑπαινίττεται. κἀντῷ περὶ Ἀκαταλήπ. δ', λόγῳ πρὸς τοὺς ἀνομοίους, ἐν τῷ, Ὁμονογενὴς υἱὸς, καὶ ἡ τοῦ ἄρθρου φησὶ, προσθήκη ἱκανὴ τὸ ἐξαίρετον δεῖξαι τοῦ Μονογενοῦς. Τὸ δὲ κατ' ἐξοχὴν λεγόμενον Ἐπίθετον ὄνομα καὶ ἀντὶ τοῦ Κυρίου ἤρκεσεν ἂν διὰ τὴν ὑπεροχήν. ὡς τὸ Πονηρὸς, ἐπὶ τοῦ Διαβόλου ἁπλῶς λεγόμενον. Χρσμ: ψαλμ: ρλθ'. Ἢ καὶ κατὰ Μοναδικὴν κτῆσιν. ὁ γὰρ ἀσυνάρθρως ἀποφαινόμενος, δοῦλός σου ταῦτα ἐποίησε, πλῆθος ὑπαγορεύει δούλων. ὁ δὲ μετὰ τοῦ ἄρθρου, ὁ δοῦλός σου, μοναδικὴν καὶ ἰδίαν κτῆσιν, ἑνὸς δηλ: δούλου καὶ μόνου ὑπαγορεύει. μοναδικαὶ γὰρ οὖσαι αἱ κτήσεις, ἀπαιτοῦσι τὸ ἄρθρον, οἷον, ἡ ψυχή μου ἀγαθή ἐστιν. ἡ μοῖρα νέστορος πολυχρόνιος ἦν. (καθ' ὃ τὰ τοιαῦτα λείπει ἄρθροις, νῦν δ' ᾧδε ξὺν νηῒ κατήλυθον. ὑπαγορεύει γὰρ ξὺν μιᾷ νηί. ξυμφανὲς κἀκτοῦ ᾧδε, σημαίνοντος τὸ, οὕτως. ὡς ὁρᾷς. ἀτίμως δηλ: καὶ οὐχ ὡς ἐπιβάλλει βασιλεῖ ἦλθον. καὶ, μῆνιν ἄειδε θεά. ἐν γὰρ τὸ πάθος, ὡς μοῖρα, ὡς ψυχή.) μὴ τῇδε δὲ ἔχουσαι, ἀνάρθρως λέγονται. θεράπαινά σου ἧκε. γνώριμος ἀριστάρχου διελέξατό μοι. ἅπερ εἰ θέλοι τις πάλιν μοναδικῶς ἐκθέσθαι, προσθήσει τὸ ἄρθρον. ἡ θεράπαινά σου. ὁ γνώριμος ἀριστάρχου. καὶ πολλῶν ὑπουσῶν νεῶν, φαίη τις ἂν, ναῦς σου κατέπλευσε. ναῦς σου ἕστηκεν ἐν τῷ λιμένι. μοναδικῆς δὲ πάλιν τῆς κτήσεως, ἢ τῆς νηός νοουμένης, προσθήσει τις τὸ ἄρθρον. Δηλοῖ δέ ποτε κατὰ Νικηφόρον τὸν βλεμμύδην, ἔστι μὲν οὗ, τὸ ἐνιαῖον τῆς τοῦ ὑποκειμένου, μεθ' οὗ τάττεται, φύσεως. οἷον, ὁ ἄνθρωπος εἶδός ἐστι. τὸ ἐνιαῖον γὰρ τοῦ καθόλου ἀνοῦ σημαίνομεν, τὸ πάντων τῶν ἐν τῷ ὑποκειμένῳ καθ' ἕκαστα, εἴτ' οὖν κατὰ μέρος ἀνθρώπων συλληπτικόν. Ἔστι δ' οὗ, τὰ ἐμπεριεχόμενα τῷ τοιούτῳ ὑποκειμένῳ μερικά. ὅτε καὶ τῷ πᾶς προσδιοριστμῷ ἰσοδυναμεῖ. οἷον, ὁ ἀνὸς ζῷόν ἐστι. δηλοῦμεν γὰρ πάντα τὰ ὑπὸ τὸν ἀνὸν, ἤτοι τὸ ἀνεῖον εἶδος καθ' ἕ-

δος καθ' ἕκαστα ἄτομα. ὥστε ἐν μὲν ἀναγκαίᾳ ὕλῃ καὶ ἀδυνάτῳ, ταὐτόν ἐστι τῷ Πᾶς. εἷον, ὁ ἄνός ἐστι λογικὸς, ἢ οὐκ ἔστι λίθος. ἐν δὲ ἐνδεχομένῃ, τῷ Τὶς μερικῷ προσδιορισμῷ. οἷον, ἡ ἡδονὴ ἀγαθόν ἐστιν. οὐ γὰρ πᾶσα, ἀλλὰ μόνη ἡ ἐκγνώσεως καὶ τῆς τοῦ καλοῦ ἐργασίας ἐπιγιγνομένη. κατὰ δὴ τὸ ἐνικὸν καὶ τὸ πληθυντικὸν ἀναλόγως τῇ ὕλῃ μερικὸν, ἢ καθόλου ὡρισμένως σημαίνει. ὅθεν καὶ ὁ Δημοσθ'. εὔχομαι, εἰπὼν τοῖς θεοῖς, προσέθηκε τὸ, πᾶσι καὶ πᾶσαις. λέγονται δὲ καὶ οἱ ἀθηναῖοι ἔμφρονες, οὐ μὴν πάντες. κατὰ δὲ τὸν Κύριλλον, ι', εἰς τὸν Ἰω': 4) καὶ τὸ διωρισμένον καὶ Κύριον. ὡς τὸ, τοῦτό ἐστι τὸ σῶμά μου. πρὸς ἀντιδιαστολὴν τοῦ τῶν πιστῶν πληρώματος. περὶ οὗ εἴρηται, ὑμεῖς ἐστε οὐχὶ τὸ σῶμα, ἀλλὰ, σῶμα Χῦ. κἀν τῷ, λέγω ἐγὼ τὰ ἔργα μου τῷ βασιλεῖ. ψαλμ'. μδ'. οὐκ εἶπέ φησιν ὄχρυσμ: βασιλεῖ, ἀλλὰ τῷ βασιλεῖ, τῇ προσθήκῃ τοῦ ἄρθρου τὴν κυριότητα παριστάς. κατὰ δὲ τὸν τῆς ἐν σικελίᾳ ταυρομενίου ἀρχιεπίσκοπον Νικόλαον, τοῦ πίκλην κεραμέα, καὶ τὸ φύσει, καὶ τῆς οὐσίας ταὐτὸν καὶ ὁμότιμον. ὡς ἐν τῷ, οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητός. κἀν τῷ πράξ, η'. πιστεύω τὸν υἱὸν τοῦ Θοῦ εἶναι τὸν Ἰησοῦν Χν'. Τοσαῦτα δὴ τοῦ ἄρθρου δηλοῦν πεφυκότος, καὶ ἀλλήλοις ἐναντία (ἐναντία γὰρ ἀναφοράτε καὶ ἀοριστία. πλῆθός τε καὶ μοναδικὴ κτῆσις.) ἰδιαίτατόν γε μήν ἐστιν αὐτοῦ ἡ ἀναφορά. τὸ δὲ ἴδιον κἀνταῦθα οὐ κατὰ τὸ δ', κατὰ δὲ τὸ β', τοῦ ἰδίου σημαινόμενον εἴληπται. οὐ γὰρ δὴ μόνου τοῦ ἄρθρου ἡ ἀναφορὰ, ἀλλὰ καὶ τῆς ἀντωνυμίας, καί τινων ὀνομάτων τε καὶ ἐπιρρημάτων.

Τοῦτο δ' αὐτὸ

Τὸ ποιεῖν ἀναπόλησιν προεγνωσμένου τινός.

Βούλονται,

Δηλοῦν, ἢ λέγειν.

Καὶ οἱ φάσκοντες τ' Ἄρθρον σημαντικὸν οὐ πρώτης γνώσεως, ἀλλὰ δευτέρας.

Οὕτω γραπτέον, ὡς καὶ ἐν ἄλλοις ἀντιγράφοις κεῖται, καὶ ὁ λόγος δείκνυσι. τοῦ γὰρ προεγνωσμένου ἡ ἀναπόλλησις, δευτέραν οὐ α', γνῶσιν ὑπαγορεύει. καὶ τὸ ἄρθρον ἄρα προεγνωσμένου τοῦ ποιοῦν ἀναπόλησιν, σημαντικόν ἐστιν οὐ α', γνώσεως, ἀλλὰ δευτέρας. φησὶ δὲ καὶ ὁ Ἀπολλώνιος ἐν Ἀντωνυμίαις, ἰδίωμα ἀναφορᾶς, προκατειλεγμένου προσώπου δευτέρα γνῶσις. ἀλλὰ μὴν ἴδιον ἄρθρου ἡ ἀναφορὰ, οὐκ ἄρα, ὡς διημαρτημένως ἔν τισι κεῖται, Α', γνώσεως καὶ Β', ἀλλὰ δευτέρας μόνης ἐστὶ σημαντικὸν, καὶ οὐ πρώτης. Πρώτης μὲν γὰρ γνώσεως σημαντικαὶ τυγχάνουσιν αἱ δεικτικαὶ τῶν ἀντωνυμιῶν, ὑπ' ὄψιν παριστῶσαι τὰ πράγματα. (εἰ μή τι γε κατὰ νοῦν ἐστιν ἡ δεῖξις.) εἴ γε τοῦ ἐν τῷ νῷ πρότερον τὸ ἐν τῇ αἰσθήσει. τὸ δ' ἄρθρον ὡς ἀναφέρον τὰ ἀπόντα, μάχεται τῇ προκειμένῃ δείξει, καὶ τῇ α', ἄρα γνώσει. οὐκ ἄρα α', β', δὲ γνώσεώς ἐστι σημαντικόν. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὡς πρώτης μὲν γνώσεως, ὡς πρὸς τὴν φύσιν οὐ πρὸς τὴν αἴσθησίν εἰσι τὰ καθόλου τε καὶ ἁπλᾶ, τὰ οἱονεὶ ἄπλαστα καὶ ἀμόρφωτα, καὶ ταὐτὸν εἰπεῖν ἀόριστα. τὸ δὲ ἄρθρον ὡς ἀναφορικὸν μάχεται τῇ ἀοριστίᾳ, καὶ τῇ α', ἄρα γνώσει. τρίτης δὲ πάλιν, αἱ σύναρθροι τῶν ἀναφορικῶν ἀντωνυμιῶν. τρίτης δὲ λέγω κατὰ τὸ δισσὸν τῆς ἀναπολήσεως κατὰ Ἀπολλ'. Ἐντεῦθεν δὲ δῆλον, ὡς τὰ λεγόμενα Κύρια τῶν ὀνομάτων, ἀναφορὰν μὴ ὑπεμφαίνοντα, β', γνώσεως οὐκ ἔστιν αὐτόθεν σημαντικά. οὐ δὲ γὰρ παραδεκτέος ἐν τῷ μέρει τούτῳ ὁ Ἀπολλ'.

πολλώνιος τὰ κύρια τῶν ὀνομάτων εἰπὼν, ἐξ ἰδίας ποιότητος εἴτ' οὖν σημασίας ἀναπολούμενα, μὴ προσδεῖσθαι τοῦ ἄρθρου. καὶ γὰρ ὁ αὐτὸς ἐν ἀντωνυμίαις φησὶ, τὸ ἀναφέρεσθαι μὴ εἶναι ἁπλῶς ὀνομάτων, ὅτι μὴ, τῶν προσλαβόντων τὰ ἄρθρα. οὔκουν καὶ κατ' αὐτὸν οἴκοθεν ἀναπολεῖται τὰ ὀνόματα. ἀλλ' οὐδὲ α', γνώσεώς εἰσι σημαντικά. εἴ γε κατ' αὐτὸν πάλιν δεικτικῶς ἐξενεχθῆναι οὐ δύνατο τὰ ὀνόματα. μηδεμιᾶς τοίνυν ὄντα γνώσεως, ἀόριστά ἐστι, παρὰ τὸ μὴ δηλοῦν δηλονότι ὡρισμένως μηθὲν τῶν τοῦ αὐτοῦ ὀνόματος μετειληφότων ἀτόμων. ἀκούσας γάρ τις, σωκράτης, οὐδένα ξυμβαλεῖν ἔχει ὡρισμένως τῶν ἐγνωσμένων αὐτῷ σωκρατῶν. Ἔνθεν τοι τῶν ἀτομικῶν δοκούντων ὀνομάτων εὑρεῖν κύριον, φημὶ δὴ τῆς α', καὶ κατὰ μέρος οὐσίας σημαντικὸν, ἤτοι τῶν ἀμηχάνων, ἢ τῶν πάνυ χαλεπῶν, ὅτι μὴ, συνάρθρως, ἢ μετ' ἐπιθετικῆς ἐπεκφορᾶς. καθ' ἑαυτὰ γὰρ τῶν ὁμωνύμων τυγχάνει σχεδὸν ξύμπαντα. ὡς καὶ τῷ Θεοδώρῳ ἐν τοῖς πευστικοῖς τῶν ὀνομάτων δεικοῖ. Πῶς οὖν, εἴποι ἄν τις, ἄρθρον προσλαμβάνει, τῶν ἀορίστων μὴ συντασσομένων ἄρθροις, ὡς εἴρηται; Ἢ ὅτι οὐχ ᾗ ἀόριστα, ᾗ δ' ὁρισθέντα. ἀπολύεται γὰρ τῆς ἀοριστίας, πεσόντα πρῶτον ὑπὸ τὴν αἴσθησιν, ἤτοι τὴν ὀπτικὴν, ἢ τὴν ἀκουστικήν. καὶ οὕτως ἐν α', γνώσει γενόμενα, ἐν τῇ β', εἴτ' οὖν ἀναπολούμενα, προσλαμβάνει τὸ ἄρθρον. γνῶσιν δὲ ἐνταῦθα ἐκληπτέον τὴν κατὰ ποιὸν, οὐ τὴν κατ' οὐσίαν. φημὶ δὴ τὴν κατὰ τὸ ὁποῖόν τί ἐστιν, οὐ τὴν κατὰ τὸ τί ἐστιν. εἴ γε τὰ μὲν ὀνόματα, εἰ καὶ ἀδιακρίτως, ὡς εἴρηται, φύσιν γε μὴν καὶ αὐτὰ δηλοῦσι πράγματος, ὁ δέ γέ φησιν, ἄδηλον, τίνα ἂν ὂν λέγει, ὁ εἰπὼν, ἄνθρωπος ἧκε. τὸ ἄρα ἄδηλον, ἢ τὸ δῆλον, οὐ τῆς οὐσίας ἐστὶ τοῦ πράγματος, τῆς δὲ ἐν αὐτῷ ποιότητος μόνης, ἤτοι τῆς οὐσιώδους, ὡς ἐν τῷ, ζῷον ἧκεν. ἄδηλον γὰρ, πότερον, λογικὸν ἢ ἄλογον. ἢ τῆς ἐπουσιώδους, ὡς ἐν τῷ, αἴας ἧκεν. οὐ γὰρ δῆλον πότερος, ὁ ἐκ σαλαμῖνος, ἢ ὁ λοκρός;

Τὰ μὲν οὖν προτακτικὰ πάντων τῶν ὀνομάτων προτίθεται.

Προδήλως ᾧδε δοκεῖ ἑαυτῷ ὁ Θεόδωρος διαμάχεσθαι, τῶν πευστικῶν τε καὶ τῶν ἀορίστων, τῶν ἀναφορικῶν τε καὶ τῶν κατὰ κτῆσιν ἐπιμεριζομένων τοῦ ἄρθρου, ὡς εἴρηται, μὴ πεφυκότος προτίθεσθαι. τῶν γοῦν τοῦ Θεοδώρου ὑπεραπολογουμένων οἱ μὲν, καὶ ἐπ' ἐρωτήσει φασὶν, ἀρκτικῇ λόγου τὸ ἄρθρον ἔστιν εὑρεῖν τῶν πευστικῶν προτιθέμενον. ὡς Δημοσθένης ἐν τῷ περὶ Στεφ': ἀλλὰ τὸν ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν; καὶ Θεόφρ: ἐν γ', τῶν αἰτίων. ἐπεὶ δὲ καὶ τὰ γένη διαφέρει καὶ αἱ χῶραι, τοῦτο χρὴ πειρᾶσθαι διαιρεῖν, τὰ ποῖα, καὶ ταῖς ποίαις οἰκεῖα; Ἀριστοφ': εἰπὲ δὴ νῦν ἐμοὶ, σώκρατες, τὸ τί; Ξενοφ': ἐν τυραν'. ἴθι δὴ, ἐπαινεσάντων ἀμφοτέρων (τοῦτε ἄρχοντος καὶ τοῦ ἰδιώτου) τὸν αὐτὸν, τὸν πότερον δοκεῖς ἔπαινον ἐξικνεῖσθαι μᾶλλον εἰς εὐφροσύνην; ὡσαύτως δὲ καὶ πρὸ τῶν ἀορίστων. ὡς ἐν β', τῶν μεταφ': οὐ γάρ ἐστι γένος ἀν' ὃς τῶν τινων ἀνῶν. ἀντὶ τοῦ τῶν καθ' ἕκαστα. κἀντῷ περὶ ἰδεῶν. οὐ γὰρ ἂν θείημεν εἶναί τινα οἰκίαν, παρὰ τάς τινας οἰκίας. ὅ ἐστι τὰς καθ' ἕκαστα. οὕτω μὲν οὖν τινες καὶ τοῦ κατάρχοντος ἐν λόγῳ πύσματος τὸ ἄρθρον προτάττεσθαι παραδειγματίζοντες, εἶτα τὸ ἐκ τῆς ἀρθρικῆς ἀναφορᾶς πρὸς τὴν πυσματικὴν ἄγνοιαν ξυνιδόντες ἀσύμβατον, μᾶλλον οἴεσθαι δεῖν φασι τὸ ἄρθρον, τοῦ ὑποκειμένου τῶν πτωτικῶν οὐ τοῦ κατηγορουμένου εἶναι. οἷον, τῆς ποίας μερίδος; ἀντὶ τοῦ, ποίας τῆς μερίδος; καὶ, τὸν πότερον

πότερον ἔπαινον; ἀντὶ τοῦ, πότερον τὸν ἔπαινον; καὶ πὶ τῶν ἄλλων ὁμοίως. οἱ δὲ τοιοῦτοι τὸ ἄρθρον ὑπερβιβάζοντες, τὸν μὲν Θεόδωρον ἐῶσι πόνον τε πάλιν ἐχέμεν καὶ ἐϊζὺν νολεμέως, αὐτοὶ δὲ πάλιν ἐμπίπτοντες εἰς ὅπερ ἐδόκουν φυγεῖν, οὐ ξυνορῶσιν. ἡ γὰρ ὀνοματικὴ πεῦσις ἐπιθετικόν τι οὖσα, δῆλον ὡς οὐχ ἑαυτῆς, καθ' οὗ δὲ λέγεται ὑποκειμένου κατηγορεῖ τὴν ἄγνοιαν. ἔνθεντοι ἐν τῷ, ποῖος ἔπαινος εὐφραίνει; οὐδέτερον τῶν πτωτικῶν ἄρθρον οἷόν τ' ἐστὶ παραδέξασθαι, (ὅτι μὴ, τῇ τοῦ λέγοντος αὐθεντείᾳ) οὔτε τὸ πυσματικὸν, ὡς οἱονεὶ αὐτόχρημα ὂν ἄγνοια, οὔτε τὸ προσηγορικὸν ὡς ἀγνοούμενον. περὶ αὐτοῦ γὰρ ἡ ζήτησις. τί δαὶ φήσουσι καὶ περὶ τῶν κατὰ κτῆσιν μεριζομένων. ἢ τῶν ἀπὸ φωνήεντος ἀρχομένων ἀναφορικῶν; Δι' ὃν μὲν οὖν λόγον οὐ πάντων ἁπλῶς τῶν ὀνομάτων τὸ ἄρθρον προτίθεται, εἴρηται ἐν τοῖς καθ' ἕκαστα. (τὸ γὰρ ὀρθὸν ὡς ἐπὶ τὸ πολὺ, οὐχ ὡς ἐπὶ τὸ ἔλαττον.) σύνηθες ὅμως τοῖς παλαιοῖς, κατὰ τὸν βαθὺν Εὐστάθειον, ἐξ ἐλάττονος ἀριθμοῦ εἰς τὸ καὶ πλεῖον καὶ πλῆρες ἀναστέχειν. ὡς ὅτε, φησὶ, τὴν Κρήτην ἐνενήκοντα τυχὸν πόλεις ἔχουσαν, ἐρεῖ τις ἑκατόνπολιν, ἢ τὰ ἁπλῶς πολλὰ, μυρία εἴποι. τούτῳ τῷ λόγῳ καὶ ἡ τοῦ πέλοπος ἐπικράτεια πελοπόννησος ἐκλήθη, καὶ ταῦτα μὴ νῆσος ἀκριβῶς, ἀλλὰ χερσόννησος οὖσα. ὡς γὰρ ὁ πελοπόννησον εἰπὼν τὴν ῥηθεῖσαν ἡμετέραν χερσόννησον, οὐκ ἐξέκλινε τὸ παραβραχὺ ἀκριβώσασθαι, μὴ προσλογισάμενος τῶν μ', σταδίων τὸν ἀριθμὸν, ἀλλὰ διὰ τὴν πέριξ πολλὴν θάλασσαν, ὡς ὅλην νησιζομένην θεωρήσας τὴν τοῦ πέλοπος, οὕτω καὶ ὁ Θεόδωρος πάντων εἰπὼν τῶν ὀνομάτων τὸ ἄρθρον προτίθεσθαι, εἰ καὶ βραχύ τι πρὸς τὸ ἀκριβὲς καὶ εἰς τὸ πᾶν ἀληθὲς ἐλλείψας, οὐκ ἠγνόησε, προέκρινεν

ὅμως στενολογῆσαι διὰ τοῦ καθόλου προσδιορισμοῦ, ἀφεὶς σιγᾶσθαι, ὅσα τοῦ ἄρθρου εἰσὶν ἀνεπίδεκτα. καθ' ὃν δὴ λόγον καὶ τὴν πρόθεσιν πάντων ἐρεῖ τῶν τοῦ λόγου μερῶν προτίθεσθαι, τὴν ἐπιῤῥήματός τε καὶ μάλιστα συνδέσμου μηδόλως προτιθεμένην. τοιοῦτο καὶ τὸ παροιμιῶδες, ὑπὸ παντὶ λίθῳ σκορπίος εὕδει. καὶ Βασίλ: δὲ ὁ μέγ. ἐν τῷ περὶ εὐχαριστίας, ὅταν ἴδῃς, φησὶ, πᾶσαν φύσιν ζῴων ὕπνῳ κατεχομένην, πάλιν προσκύνει τὸν ἀκουσίως ἡμᾶς διὰ τοῦ ὕπνου τῆς συνεχείας τῶν πόνων λύοντα. καὶ μὴν οὐ πᾶσα φύσις ζῴων ἐν τῇ νυκτὶ ὕπνῳ κατέχεται. ἐν αὐτῇ γὰρ κατὰ τὸν Δίδ διελεύσονται πᾶντα τὰ θηρία τοῦ δρυμοῦ, τροφὴν ἐπιζητῆσαι παρὰ τοῦ τροφοδότου. καὶ ἡ Θεία δὲ γραφὴ καθολικὸν πολλάκις τύπον σχηματίζουσα, οὐ καθολικὴν ἀπαιτεῖ τὴν ἔννοιαν ἐκλαμβάνεσθαι, εἰς ὡρισμένα δέ τινα καὶ προειλημμένα συνάγουσα τὴν διήγησιν, μερικὴν ἐνδείκνυται τὴν ἀπόφασιν. ὡς τὸ, ματαιότης ματαιοτήτων τὰ πᾶντα ματαιότης. οὐδὲ γὰρ οὐδ' ἡ ἀρετὴ τῶν ματαίων, οὐδ' ἡ σοφία, οὐδ' ἡ εὐσέβεια. καὶ, πᾶντες ἐξέκλιναν, ἅμα ἠχρειώθησαν. οὐδὲ γὰρ καὶ οἱ παρὰ θεῷ καθ' ἑκάστην γενεὰν κατὰ παθῶν καὶ δαιμόνων στεφανῖται δεικνύμενοι. καὶ πρὸς ἑβραίους ια'. κατὰ πίστιν ἀπέθανον οὗτοι πᾶντες. τοῦ Ἐν ὠχ ἑνὸς μὲν τῶν πάντων ὄντος. μὴ μέντοι γ' ἀποθανόντος, μετατεθέντος δέ. καὶ ὁ χρυσόστομος ἐν ψαλμῷ ιγ', τὸ πᾶντες πολλάκις καὶ ἐπὶ τοῦ πλείονος μέρους λαμβάνεταί φησιν, ὡς τὸ πᾶντές με ἐγκατέλιπον. καὶ μὴν οἱ γνήσιοι μαθηταὶ τὸν παῦλον οὐκ ἐγκατέλιπον. ἔθος γὰρ ἡμῖν φησι Χρυσόστομος πρὸς κορινθίους α', κφ': α', ὁμλ'. μβ'. λέγειν τὸ πλέον ἅπαν.

Τὰ δὲ ὑποτακτικὰ, ἑνὸς ἀορίστου τοῦ τὶς

Καὶ τούτου

Ἐγκλινομένου. ὅς τις.

Πρὸς ἀντιδιαστολὴν τοῦ πυσματικοῦ τις, ὀρθοτονουμένου.

Προτίθεται δὲ ταὐτὸ ὁμοίως

Κατὰ ἔγκλισιν δηλαδὴ τόνου.

Καὶ συνδέσμου τοῦ περ. ὅς περ. καὶ τοῦ γε, ὅς γε. καὶ τοῦ που, ὅς που.

Τῶν κοινῶν τουτωνί.

Ποιηταὶ δὲ καὶ, ὅς ρα, καὶ ὅς νυ, λέγουσιν. ἀλλ' ὅταν ἁπλῶς οὕτω λαμβάνηται, τῷ τὶς, συντάσσεται μόνον, ἢ τῶν εἰρημένων τῳ.

Τινὶ τῶν Συνδέσμων δηλονότι. τὸ δὲ Ἁπλῶς, Βαρῖνος μὲν εἰς τὸ ἀναφορικῶς μετέλαβεν. οἱ δὲ, ἀντὶ τοῦ ἁπλοῦ ὅς, οὐ μὴν ἀντὶ συνθέτου τοῦ, ὅς τις, ὅς περ. δοκεῖ δὲ μᾶλλον εἰλῆφθαι ἀντὶ τοῦ, ἀπροσδιορίστως καὶ οὐχ ὡρισμένως κατὰ ἀναφοραν, ἢ ἀοριστίαν. κατὰ γὰρ θάτερον τούτων ληφθὲν, πῇ λέγεται λαμβάνεσθαι, οὐ μὴν ἁπλῶς, ἁπλῶς δὲ, τὸ καθ' ἑκάτερα δυνάμενον λαμβάνεσθαι. τὸ γὰρ Ἁπλῶς πρὸς τὸ Κατά τι ἀντιδιαστελλόμενον, λέγεταί φησιν Ἀριστ'λ: ἐν τῷ τέλει τοῦ γ', τῶν τοπκ: μηδενὸς προστεθέντος. οἷον, τὸ τὸν πράθυειν, καλὸν μὲν ἐρεῖς, οὐ μὴν ἁπλῶς. ἀλλὰ τισὶν, ἤγουν ἐν τριβαλοῖς. τὸ δὲ τὸν Θ'ν τιμᾶν, ἐρεῖς καλὸν, μηδὲν προστιθείς. ἁπλῶς γὰρ καλόν ἐστιν. ὥστε ὃ αἴ, μηδενὸς προστιθεμένου, δοκῇ τοιοῦτον εἶναι, ἁπλῶς ῥηθήσεται. ἐν δὲ τῷ α', περὶ γεν: καὶ φθορ, τὸ ἁπλῶς φησιν, ἤτοι τὸ πρῶτον σημαίνει καθ' ἑκάστην κατηγορίαν τοῦ ὄντος, ἢ τὸ καθόλου καὶ τὸ πᾶντα περιέχον. ἐν δὲ τῷ δ', περὶ ἀνθρώπου, τὸ φύσει. λέγω γάρ φησιν ἁπλῶς κοῦφον, (στοιχεῖον) ὃ ἀεὶ ἄνω. καὶ βαρὺ, ὃ ἀεὶ κάτω πέφυκε φέρεσθαι μὴ κωλυόμενον. Τὰ οὖν ὑποτακτικὰ, τοῦ τὶς καθ' ὁ, τιοῦν γένος προτασσόμενα, ὁτὲ μὲν, ὡρισμένως εἴ τ' οὖν ἀναφορικῶς, ὁτὲ δὲ, ἀορίστως λαμβάνεται. ἔστι δ' οὗ καὶ ἐρωτηματικῶς. πολλαχοῦ δὲ καὶ ἀντὶ τῶν ἀναφορικῶν ὀνομάτων. Συνέσ: ἐπιστλ: α', τὰ δὲ ἀλλήλων ὁρῶσιν, ἅπερ ἐστι, πιθήκων παιδία. ἀντὶ τοῦ, οἷά περ ἐστι. τάδε καὶ τάδε γέγονεν. ὅς περ νόμος θῦ. Εὐστάθ. ἀντὶ τοῦ, οἷος ὁ τοῦ θῦ νόμος. καὶ, τόδε καὶ τόδε συνέβη. ἤ τις δίκη προνοίας ἐστίν. ἀντὶ τοῦ οἷα.

Ὅταν δ' ἑαυτόν τις ἀγνοοῦντα δηλῶσαι βούληται, καὶ τὸ ποτὲ, ἐπιπλέκει τῷ τις ἐγκλινόμενον. οἷον, ὅς τίς ποτε ἦν ἐκεῖνος.

Τὸ αὐτὸν, ἐν ἐνίοις τῶν ἀντιγράφων ψιλούμενον ἀγνοίᾳ τοῦ γραφέως, ἐκίνησέ τινας λέγειν κατ' ἔθος ἀττικὸν ψιλῶς πνευματίζεσθαι, χαιρόντων ἀντὶ συνθέτων ἁπλαῖς χρῆσθαι ἀντωνυμίαις, καὶ ἀνάπαλιν. τά γε μὴν ἀκριβέστερα τῶν ἀντιγράφων τὸν μὲν σύνδεσμον ἔχει πεπονθότα ἀφαίρεσιν τοῦ οἰκείου φωνήεντος, τὸ δὲ ε, δασυνόμενον ὡς μέρος τῆς ἀντωνυμικῆς λέξεως. παρὰ γὰρ τῷ Βαρίνῳ οὕτως ἐκφέρεται, ὅταν δὲ βούλωμαι δηλῶσαι ἐμαυτὸν ἀγνοοῦντα τὸ ὑποκείμενον, κτ. συνάγεται δὲ ἐντεῦθεν, ὡς ἐπιπλεκομένου μὲν τῷ τις τοῦ ποτὲ, ὁ λέγων μόνον εἰσάγεται ἀγνοῶν, οὐ μὴν πάντως καὶ ὁ πρὸς ὃν ὁ λόγος. (ὅταν γάρ φησιν, ἑαυτόν τις, οὐ μὴν, καὶ ἑαυτόν τις) μὴ ἐπιπλεκομένου δὲ, τοὐναντίον, ὁ πρὸς ὃν ὁ λόγος μόνον, οὐ μὴν πάντως καὶ ὁ λέγων. σκεπτέον γε μὴν καὶ περὶ τούτου βέλτιον.

προσκεί-

προσκείσθω δὲ τούτοις

Τοῖς ἄρθροις.

Καὶ τὸ ἅττα,

Καθ' ὅ, τι καὶ αὐτὸ ἔστι μὲν ἔξ, προπάσχει, ἔστι δ' ἔξ, ὑποπάσχεται καὶ τὰ ἄρθρα, ὡρισμένως, ἢ ἀορίστως κατ' ἐκεῖνα καὶ αὐτὸ λαμβανόμενον.

Ὡς μὲν τὸ ἅττινα, προταγορεύμενον. ἅττ' ἂν εἴπῃς. ὡς δὲ τὸ τινὰ, ὑποταγορεύμενον, ὁποῖ' ἅττ' ἂν ᾖ.

Ἡ σωμάτωξις δὲ ἔστω, προσκείσθω δὲ τοῖς ἄρθροις καὶ τὸ ἅττα, προπαγορεύμενον μὲν τότε, ὅταν τὸ ἅττινα δηλοῖ. οἷον, ἅττα ἂν εἴπῃς. ὑποπαγορεύμενον δὲ τότε, ὅταν τὸ τινὰ σημαίνῃ. οἷον, ὁποῖ' ἅττ' ἂν ᾖ. Δημοσθ: ὁλωσθ: γ', καὶ ἄλλ' ἅττα χωρία. πολλῶν δὲ ὄντων τῶν τοιούτων, σημαινομένων, δηλοῖ ποτε καὶ τὸ ὅταν, ἢ ἡνίκα, καὶ τὸν βαθμὸν Εὐσάθ: παρὰ δὲ Πλάτ: ἐν τῷ φαίδ: εὕρηται προπαγορεύμενον, τὸ τινὰ δηλοῦν. οἷον, ἦν δὲ δὴ ἅττα τοιαῦτα. ἀντὶ τοῦ τοιαῦτ' ἄττα. ἰστέον δὲ ὡς βασιλεύεται μὲν, τὸ ἅττινα δηλοῦν, φιλοῦται δὲ, τὸ τινά.

Εἴτι τὰ μὲν προτακτικὰ ὀνομάτων καὶ μετοχῶν καθόλου προτίθεται, ἀντωνυμιῶν δὲ ὑπασῶν.

Καὶ ἁπλῶς πάντων τῶν πτωτικῶν. ὅτι μὴ, ἐν ἀντωνυμίαις τῶν δεικτικῶν μόνων, ὡς ὀφόμεθα. τὸ δὲ καθόλου, ὡς καὶ τὸν πᾶς προσδιορισμὸν ἐκλιπτέον ἐν ταύθα.

Τὰ δὲ ὑποτακτικὰ καθόλου ὀνόματί τε καὶ μετοχαῖς καὶ ἀντωνυμίαις.

Καὶ ἁπλῶς τοῖς πτωτικοῖς.

Τυγχάνει ἐπόμενα. ἀκολουθητικὸν ἄρα τὸ ὑποτακτικὸν πάντων τῶν πτωτικῶν, προηγητικὸν δὲ

Καθ' ἑνιναῦν πτῶσιν.

Τῶν ῥημάτων.

Τῶν προσωπικῶν, ἐμὲν ἀπαρεμφάτου, ἢ μετοχῆς καθ' ἑαυτήν,

Οἷον, εἰ λέγοι τις, σώφρων. ὃς τῶν φαύλων κρατεῖ ἐπιθυμιῶν.

Ἐντεῦθεν δῆλον, ὅτι τὰ τῇ φωνῇ προπτικὰ ἄρθρα μὴ πτωτικὰ, ῥήματος δὲ προηγούμενα, ἀνθ' ὑποτακτικῶν ἐστι, δι' ὃ καὶ ἔστιν εἰπεῖν, ὡς τὰ μὲν προπτικὰ, λαμβάνεται ἀνθ' ὑποτακτικῶν, ἐπὶ ῥήματα φερόμενα. ἀνάπαλιν δὲ, ἔχοι ὄντε. φησὶ γὰρ καὶ Ἀπολλ: κφ: α', τὰ δ', βιβλ', ἐγὰρ παραδεκτέος ὁ τοῦ Τρύφωνος λόγος, ἐν τῷ περὶ ἄρθρων εἰρημένος, ὡς τὰ ὑποπτικὰ ποτὲ ἄρθρα προπτικὰ γίνεται. ὡς ἐν τῷ, ὃς ἂν ἔλθῃ, μενάπτομαι. τίνος γὰρ πτωτικὸν προεπάγει, καὶ ἐγένετο προπτικὸν τὸ ὅς; πῶς δὲ καὶ ὑποπτικὸν ἐνταῦθα τὸ τοιοῦτον ἄρθρον, μὴ ἀναπολῶν προκείμενον ὄνομα; τἐναντίον δὲ, ἀορίστως μενον, καὶ ἄρχον τε τῶν λόγων, τῶν ὑποπτικῶν ἑπομένων τοῖς ἡγεμόνοις; εἰδ' εἴποι τις καὶ τὸ προπτικὸν εἶναι πτωτικὸν τὸ τις, ὡς ἐν τῷ, ὅς τις, ἀλλὰ δὲ ἐχρῆν καὶ τῶν ἄλλων πτωτικῶν προπάσχεσθαι, καὶ μὴ μόνων τῶν ἀορίστων. ἐν οἷς καὶ αὐτὸ συναορίστεται πλέον τὸ τις. ὅπερ ἐναντιώπατόν ἐστι τοῖς ἄρθροις, λέγω δὴ τὸ τῆς ἀορίστου. τὰ δὲ ἀορίστως ποτὲ νοήματα, ἢ τῷ ἄρθρῳ παράθεσις ὑφ' ὁρισμὸν τὸ δηλουμένου προσώπου ἄγει. ὁ δ' ἐνὸς παρεγγέγετο. ὁ προεγνωσμένος δηλαδὴ, τὸν ποιητὴν ἐθαύμασα, δηλα-

σα, δηλονότι τὸν Ὅμηρον. ἄρθρου γὰρ ἴδιον, ὡς εἴρηται, ἡ πρός τι ὡρισμένον ἀναφορά. τὸ δὲ προκείμενον, ὃς ἂν ἔλθῃ. ἀοριστῳδῶς νοεῖται. οὐκ ἄρα ἄρθρον. ἀόριστον δὲ ὄνομα. καὶ ὁ Λουκιαν. δὲ ἐν τῷ ψευδοσοφιστῇ σολοικίζειν προσποιούμενος ἐν τῷ λέγειν, ἃ μὲν, οἶσθα. ἃ δ', οὐκ οἶσθα, ὑπονοεῖν τε διδοὺς, ὡς ἀντὶ προτακτικῶν κεῖται τὰ ὑποτακτικὰ, οὐκ ἀποδεκτέος οὐδ' αὐτὸς ἐν τῷ μέρει τούτῳ. τοὐναντίον γὰρ ἂν ἦν σολοικίζων, εἴπερ ἦν προτακτικοῖς χρώμενος, οὕτωσι, τὰ μὲν, οἶσθα. τὰ δ', οὔ. τοῖς μὴ ῥημάτων, πτωτικῶν δ' ἡγεῖσθαι πεφυκόσι. τὰ δ' ὑποτακτικὰ ῥημάτων ἡγούμενα, ἀνεξέλεγκτά εἰσιν. εἰ καὶ ἐνταῦθα οὐκ ἀναφορικῶς, ἀοριστῳδῶς δὲ εἴληπται.

Ὅθεν δὴ καὶ οὐ κυρίως ἂν εἴη ἄρθρον τουτί. ῥημάτων γὰρ προηγεῖται, τῶν μὴ πεφυκότων ἄρθροις συνάπτεσθαι.

Ἀπορήσεις, ὅτι κυρίως ἄρθρον καὶ τὸ ὑποτακτικόν. εἴγε καὶ αὐτὸ οὐδὲν ἧττον ποιεῖ ἀναπόλησιν προεγνωσμένου τινός. Ἢ ὅτι οὔτε τὸ β', τοῦ συλλογισμοῦ σχῆμα συνάγει τι, τῶν προτάσεων ὁμοιοσχημόνων οὐσῶν, οὔτε τὸ α', τῆς μείζονος μερικῆς οὔσης. οὐ γὰρ πᾶν τὸ ποιοῦν ἀναπόλησιν προεγνωσμένου τινὸς, ἤδη καὶ ἄρθρον ἐστίν. ὡς οὐδ' ἡ ἀναφορικὴ ἀντωνυμία, ἢ τῶν ὀνομάτων τὰ ἀναφορικά. δέον δὲ, εἴπερ ἄρα, ἐκ τοῦ κατὰ τὸ ἄρθρον ὁρισμοῦ πειρᾶσθαι δεικνύναι ἄρθρον καὶ τὸ ὑποτακτικόν. καθ' ὃν ὡς μὴ πτωτικῶν προηγούμενον, οὐκ ἔστιν ἄρθρον. Τί δ' ὅτι τῶν ἄρθρων καὶ τὰ ὑποτακτικὰ οὐχὶ πτωτικῶν, ῥημάτων δὲ ἡγεῖται; Ἢ ὅτι τῶν ἄρθρων ἑκάτερα ἀναφέρεται, οὐ μὴν πρὸς ῥήματα πάντως, πρὸς δὲ πτωτικά. καθ' ὅ, τι οὐ συμβεβηκότων, οὐσιῶν δέ εἰσιν ἀναφορικὰ τὰ ἄρθρα προηγουμένως. τὰ δὲ πτωτικὰ, πρὸς ἃ ἑκάτερα ἀναφέρεται, τοῦ μὲν ὑποτακτικοῦ τυγχάνει προηγητικὰ, ἀκολουθητικὰ δὲ τοῦ προτακτικοῦ. ὅθεν δὴ καὶ τὸ μὲν ὑποτακτικὸν διὰ τῆς πρὸς τὸ προηγούμενον πτωτικὸν ἀναφορᾶς αὐτὸ ἐκεῖνο δυνάμει τυγχάνον, τῶν πτωτικῶν ἐπὶ ῥῆμα φερομένων, οὐ πτωτικὸν ἕτερον ἐπιζητήσει εἰς λόγου συμπλήρωσιν, ῥῆμα δέ. Τὸ δὲ προτακτικὸν ἐπιφερόμενον ἔχον τὸ πρὸς ὃ ἀναφέρεται, αὐτοῦ δίχα οὐ κατακλείει λόγον, ῥήματι συνταγέν. ταῦτ' ἄρα καὶ τοῦτο μὲν, πτωτικοῦ, ῥήματος δὲ, τὸ ὑποτακτικὸν ἡγεῖται. Τὰ μὲν οὖν προτακτικὰ τῶν ἄρθρων συνοδεύει τοῖς ὀνόμασιν εἰς τὸ αὐτὸ ῥῆμα καὶ τὴν αὐτὴν μετοχήν. ὁ ἄνος περιπατεῖ. τοῦ ἀνοῦ ἄδοντος ἤκουσα, κατὰ ἀναπόλησιν. ἐν δὲ ὑποτακτικοῖς τοῦτο Ἀδύνατον ἐγχωρῆσαι, λέγω κατὰ ἀμετάβατον συνταξιν. ἑτέρου γὰρ πάντως ῥήματος παρέμπτωσιν ἀπαιτεῖ τὰ ὑποτακτικά. ἦλθε γραμματικός. ὃς διελέξατο. ὃς ἀνέγνω. κἂν ἐν μεταβάσει γένηται τὰ τοῦ ῥήματος, λέγω ἐν ἑτέρῳ προσώπῳ. ἀνῷ ὡμίλησα, ᾧ παρέσχον ξενίαν. εἰ μέντοι τις τῇ προκειμένῃ συντάξει προσδῷ τὰ προτακτικὰ ἄρθρα, ἀφελόμενος τὰ ὑποτακτικὰ, ἀσύστατος ὁ λόγος γενήσεται. ὁ γραμματικὸς ἦλθε, διελέξατο. τῷ ἀνῷ ὡμίλησα. παρέσχον ξενίαν. μὴ δυναμένων δυοῖν ἀσυνδέτων ῥημάτων μιᾶς πτώσεως κατηγορεῖσθαι, χωρὶς εἰ μὴ συμπλεκτικὸν σύνδεσμον λάβοιεν, δυνάμενον εἰς κοινότητα τὸ πτωτικὸν παραλαμβάνεσθαι, ὥστε δύω πάλιν συνίστασθαι λόγους συμπεπλεγμένους ἀλλήλοις. καὶ πρῶτον ὅτι τὸν καὶ, ἥτινα τῶν τούτῳ ἰσοδυναμούντων. καθίσταται γοῦν οὕτως, ὁ γραμματικὸς παρεγένετο καὶ διελέξατο. τῷ ἀνῷ ὡμίλησα, καὶ παρέ-

παρέσχον ξενίαν. καὶ φυσικώτερόν πως ἐστὶν ἐπινοῆσαι τὸ τοῦτο ποιοῦν. ὡς ἔφαμεν τὸ ὑποτακτικὸν ἄρθρον ἐπὶ ῥῆμα ἴδιον φέρεται, συνδεδεμένον διὰ τῆς ἀναφορᾶς τῷ προκειμένῳ ὀνόματι. κἀτεῦθεν ἁπλοῦν λόγον οὐ παριστάνει κατὰ τὴν τῶν δύοιν ῥημάτων σύνταξιν, λέγω τὴν ἐν τῷ ὀνόματι καὶ τὴν ἐν αὐτῷ τῷ ἄρθρῳ, διπλοῦν δὲ καὶ συμπεπλεγμένον διὰ τῆς ἀναφορᾶς. ὥσπερ πάλιν παρείπετο καὶ τῷ καὶ, συνδέσμῳ. ὃς κοινὸν μὲν παρελάμβανε τὸ προκείμενον ὄνομα, συμπλέκων δὲ ἕτερον λόγον, πάντως καὶ ἕτερον ῥῆμα παρελάμβανε. καὶ οὕτω τὸ, παρεγένετο γραμματικὸς, ὃς διελέξατο. δυνάμει τὸν αὐτὸν ἀποτελεῖ τῷ, γραμματικὸς παρεγένετο καὶ διελέξατο, ἐγγιζούσης καὶ τῆς ὀνομασίας τῶν μορίων, τοῦ συνδέσμου λέγω καὶ τοῦ ἄρθρου. τὸ γὰρ συνηρτῆσθαι καὶ συνδεδέσθαι, οὐ μακρὰν τῆς συνωνυμίας πέπτωκεν. Ἔστι δὲ καὶ ἄλλη σύνταξις παρὰ τὴν τοῦ συνδέσμου, ἰσοδυναμοῦσα τῇ ὑποτακτικῇ συντάξει τῶν ἄρθρων, ἡ διὰ τῶν ἀναφορικῶν ἀντωνυμιῶν συμπλεκτικόν τινα πάλιν προσλαβοῦσα σύνδεσμον. ἀνῷ ὡμίλησα, καὶ αὐτῷ παρέσχον ξενίαν. ὁ γραμματικὸς παρεγένετο, καὶ αὐτὸς διελέξατο. ἡ γὰρ ἐγκειμένη ἀναφορὰ τῷ ἄρθρῳ, συνυπῆρχε ταῖς τοιαύταις ἀντωνυμίαις, λέγω δὴ ταῖς ἀναφορικαῖς. καὶ ἔνθεν τῶν λόγων ἑκάτεροι ἀλλήλοις ἐγγίζοντες, ἐν ταὐτῷ καθίστανται. Οὐχὶ οὖν ὑπολάβοι τις ὑφ' ἓν μέρος λόγου πίπτειν τὰ μόρια, τοὺς αὐτοὺς ποιοῦντα λόγους ἑκάτερα; οὐ πάντως. οὐ γὰρ, διὸ, τι τὸ παρεπόμενον τοῖς ἄρθροις ἀπηνέγκαντο αἱ ἀντωνυμίαι, λέγω δὴ τὴν ἀναφορὰν, ἤδη καὶ ἄρθρα ἐστίν. εἴγε καὶ ἄλλοις διαφόροις διέστηκε τὰ μόρια. καὶ γὰρ καὶ τὰ ῥήματα τὸ εὔχρηστον τῶν κατ' εὐθείαν ἀντωνυμιῶν ἀπηνέγκαντο, τὴν τῶν προσώπων λέγω διάκρισιν, συνέχοντα ἐπὶ μὲν α', προσώπου, τὴν ἐγώ. ἐπὶ δὲ τοῦ β', τὴν σύ. καὶ τὴν ὃς ἐπὶ τοῦ γ', ἀντωνυμίαν. καὶ οὐ πάντως ἓν μέρος λόγου ἑκάτερα, τά τε ῥήματα λέγω, καὶ τὰ τούτοις συνεννοούμενα ἀντωνυμικὰ πρόσωπα. πάλιν γὰρ τὰ αὐτὰ πολλοῖς διέστηκεν ἰδιώμασιν. οὐ γὰρ τὰ κατά τι, τὰ δὲ κατὰ πάντα ταὐτὰ, ταῦτα μόνα καὶ ἀλλήλοις εἰσὶ ταὐτά. ἀλλὰ καὶ προεκτεθείμεθα, ὅτι ἀντὶ τῶν ὑποτακτικῶν ἄρθρων ἀθροιστικὸς σύνδεσμος παραλαμβάνεται. καὶ οὐχὶ ἓν μέρος λόγου οἱ ἀθροιστικοὶ σύνδεσμοι καὶ τὰ ἄρθρα. ἀλλ' οὐδὲ κατὰ τὴν αὐτὴν τοῖς ἄρθροις σύνταξιν φέρονται αἱ ἀντωνυμίαι. τὰ μὲν γὰρ, ἀσυνδέτως συνέχει τὸν λόγον, αἱ δὲ, αἰτοῦσι πάλιν τὸν σύνδεσμον. γραμματικὸς παρεγένετο καὶ αὐτὸς διελέξατο. προῦπτον οὖν, ὅτι εἰ ὑφέλοι τις τὸν σύνδεσμον, ἀσύνετα τὰ τοῦ λόγου γίνεται. πρὸς οἷς, δύναται καὶ δεικτικώτερον αὐτὸ τὸ πρόσωπον νοεῖσθαι. γραμματικὸς παρεγένετο, καὶ οὗτος διελέξατο. καὶ ἔτι ἐπὶ τῆς αὐτὸς ἀναφορικῆς τὸ πρόσωπον κατ' ἐξοχὴν νοεῖσθαι. γραμματικὸς παρεγένετο, καὶ αὐτὸς διελέξατο. ὡς εἴ τις οὕτως εἴποι. ὁ δεσπότης, ὁ κύριος. εἰ μέν τοι τῇ ἀρθρικῇ συντάξει ἐπενθείη τις τὸν σύνδεσμον, ὃν αἱ ἀντωνυμίαι προσλαμβάνουσι, σαφὲς ὅτι ἀφιστάμενον τὸ ἄρθρον τῆς εἰς τὸ προκείμενον ὄνομα συναρτήσεως, οὐκ ἐπ' ἐκεῖνο, ἐπ' ἄλλο δέ τι καὶ ἀοριστῳδῶς νοούμενον ἀπονεύσει. ἀνῷ ὡμίλησα, καὶ ᾧ ξενίαν παρέσχον. πῶς οὖν τοσαύτης διαφορᾶς οὔσης, παραδέξεταί τις τὸ ὑφ' ἓν μέρος λόγου ὑπάγειν τὰ ἄρθρα καὶ τὰς ἀντωνυμίας; Τὰ δὲ τῇ φωνῇ προτακτικὰ ἄρθρα, οὐκ ἄλλως ἐπινοηθήσεται, ὅτι ἀνθ' ὑποτακτικῶν ἐστιν, εἰ μὴ ἐπὶ ῥῆμα φέροιτο. ὅπερ ἴδιον ὑποτακτικῶν, ἤδη καὶ τῆς συντάξεως καὶ τῆς φωνῆς τὸ τοιοῦτο ἐνδεικνυμένης. ὡς ἔχει τὸ, τῷ δ' οὐδὲ κρείων ἀχελώϊος ἰσοφαρίζει. καὶ γὰρ προτακτικὸν μὲν δείκνυται ἀπὸ τῆς φωνῆς. καθ' ὅ, τι ἀπὸ τοῦ τ', ἤρξατο, δίχα τούτου τῶν ὑποτακτι-

ποτακτικῶν λεγομένων, ὑποτακτικὸν δὲ, ἀπὸ τῆς συντάξεως. καθ' ὅ, τι μετὰ τὸ ὄνομα τέθειται, τῶν προτακτικῶν τοῦ ὀνόματος προτιθεμένων. καὶ καθ' ὅ, τι φέρεται ἐπὶ τὸ ἰσοφαρίζει ῥῆμα. ὃ οὐκ ἔτ' ἄλλο τι ἀπαιτήσει, ἢ ὑποτακτικὸν ἄρθρον. οὐ γὰρ μετὰ προτακτικὸν ἄρθρον ῥῆμά ποτε ἐπιφέρεται. Οἱ δὲ Ἴωνες ψιλωτικοὶ ὄντες, ὡς ἐπὶ τοπλεῖστον ἀγνοοῦσι τὴν τοῦ ὑποτακτικοῦ χρῆσιν, προτακτικοῖς αὐτ' αὐτοῦ χρώμενοι. Ἡρόδ': α', ἀνεστήσαντο πόλιν, τῇ οὔνομα ἦν ἀλαλίη. καὶ, ἡ δὲ πυθίη σφέας ἐκέλευσε ποιέειν, τὰ καὶ νῦν οἱ ἀγυλαῖοι ἔτι ἐπιτελέουσι. Πότε μέν τοι τὰ τοιαῦτα τῶν ἄρθρων οὔτε ὑποτακτικὰ ἄρθρα δύναται εἶναι, οὔτε προτακτικὰ, ἀλλ' ἤτοι ἀντωνυμικὰ, ἢ ἀοριστούμενα μόρια, ἐν τῇ τῶν ἀντωνυμιῶν συντάξει παραστήσομεν.

Χρῆσις δὲ τοῦ προτακτικοῦ, κἀπὶ τῶν ἐπιμεριζομένων πτωτικῶν τοῖς μεριστικοῖς καλουμένοις συνδέσμοις, τῷ μὲν, καὶ δέ.

Ἀντὶ τοῦ κἀπὶ τῶν πτωτικῶν τῶν ἐπιμεριζομένων διὰ τοῦ μὲν, καὶ δέ. οἵ τινες ὡς εἰς ἐπιμερισμὸν καὶ διαίρεσιν τοῦ ὅλου εἰς τὰ μέρη παραλαμβανόμενοι, ἐπιμεριστικοὶ σύνδεσμοι παρωνύμως ἤκουσαν. τὸ δὲ προτακτικὸν τοῦτι ἄρθρον, ἀντὶ ὑποτακτικοῦ κεῖται. οὐ γὰρ πτωτικῶν, ῥημάτων δὲ προηγεῖται, ὅτι μὴ, κατ' ἔλλειψιν πτωτικῶν. διὸ δὴ καὶ τοὐναντίον μᾶλλόν ἐστιν εἰπεῖν, ὡς τὰ μὲν προτακτικὰ τῶν ἄρθρων, ὡς πτωτικῶν προηγούμενα, ἐπὶ τοῦ κατὰ ἄθροισιν ὁλικοῦ πράγματος χρήσιμα αὖ εἴη μάλιστα. τὰ δ' ὑποτακτικὰ, ὡς ῥημάτων προηγούμενα ἰδίων, ἐπὶ τῶν ἐπιμεριζομένων μερῶν. εἰ δέ που κἀπὶ τῶν μερῶν προτακτικὸν παραλαμβάνεται, ὡς ἐπὶ τοῦ, νεστορίδαι, ὁ μὲν, οὔτασ' Ἀτύμνιον, προφανῶς ὅτι τὸ ὁ, ἀντὶ τοῦ ὅς ἐστί φησιν Ἀπολλώνιος. χωρὶς εἰ μὴ πτωτικόν τι λείπει, οὗ προηγήσεται πάντως τὸ ὁ, προτακτικὸν, ὧδε. τῶν νεστοριδῶν ὁ μὲν ἕτερος οὔτασ' Ἀτύμνιον. τῶν δύοιν σκοπέλων ὁ μὲν ἕτερος οὐρανὸν ἱκάνει, ὁ δὲ, ὄλυμπον.

Τριχῶς δέ.

Ἐπιμερίζεται τὰ ἐπιμεριζόμενα.

Ἢ γὰρ κατ' εὐθεῖαν. οἷον, ἀνοῖ, οἱ μὲν, ἤδη εἰσέτρεχον, οἱ δὲ, παρεσκευάζοντο. ἢ κατὰ γενικήν. τῶν ἀνῶν οἱ μὲν, ἕλληνες. οἱ δὲ, βάρβαροι. ἢ κατὰ αἰτιατικήν. τοὺς στρατηγοὺς, τοὺς μὲν, ἔλαβον, τοὺς δὲ, λαβεῖν οὐδαμῶς ἠδυνήθησαν.

Τὸν τοιοῦτον τριττὸν ἐπιμερισμὸν παρεάσαντας, τῷ ἑξῆς προσεκτέον.

Πρόληψις.

Ἡ μὲν πρόληψις, εἰδός ἐστι τοῦ ἐπιμερισμοῦ. Ἐπιμερισμὸς δέ ἐστι διανομὴ τοῦ ὅλου εἰς μέρη, ἐναντίως τῇ κατὰ πρόσωπα συλλήψει. ἡ μὲν γάρ ἐστι τῶν ἁπλῶν συλληπτικὴ, ὁ δὲ, τῶν συλληφθέντων εἴτ' οὖν συνθέτων ἀναλυτικὸς, μιμούμενοι, ἡ μὲν, φυσικὴν, ὁ δὲ, ἀναλυτικὴν ἀκολουθίαν. ἡ μὲν γὰρ σύλληψις, ἐκ τῶν ἁπλῶν ἐπὶ τὰ σύνθετα. ὁ δὲ, τἀνάπαλιν. ὃς δὴ καὶ πρόληψις ἀκούει, οὐ μὴν ἁπλῶς, ἀλλ' ἔνθα φθάνει προειληφὼς, εἴτ' οὖν προεπιζευγνὺς ἐν τῷ ὅλῳ τὸ τῶν ἑπομένων μερῶν κοινῶς κατηγορούμενον. τὸ μὲν γὰρ κατηγορούμενον κοινὸν ὂν τῶν μερῶν, δι' αὐτὸ δὲ τοῦτο καὶ τοῦ ἐκ τῶν μερῶν συνεστῶτος ὅλου, προλαμβάνεται ἐν τῷ ὅλῳ κατὰ ἀκολούθησιν τὴν κατὰ προσωπά τε καὶ ἀριθμὸν, τὰ δὲ συγκατηγορήματα

ῥήματα μὴ ὄντα κοινὰ, ἐπιμερίζουσι τὸ ὅλον. ἐπιμεριζόμενα δὲ τὰ ἐν τῇ ἀθροίσει ὑποκείμενα, ἔχουσιν ἀπὸ κοινοῦ συνεπιμεριζόμενον καὶ τὸ κατηγόρημα οὐκ ἄλλο, ὅτι μὴ τὸ προληφθέν. Τοῦ δὲ κατηγορήματος μὴ ὄντος κοινοῦ, πρόληψιν γενέσθαι οὐχ οἷόν τε, ὡς ἐπὶ τοῦ β', τρόπου, γενικῆς μόνης ἡγουμένης, καὶ μόνης αὐτῆς ἐπιμεριζομένης εἰς τὰ ἐξ ὧν συνέστηκε πρόσωπα. Εἰπὼν τοίνυν ὁ Θεόδωρος τὸ προτακτικὸν ἄρθρον πρὸς τοῖς πτωτικοῖς ἔτι καὶ τοῖς μεριστικοῖς τῶν συνδέσμων συμπλέκεσθαι, (ἃ δὴ καὶ ἀντωνυμικὰ ἐν τῷ γ', προσηγόρευσε.) τρία ἤδη ἐκτίθεται εἴδη εἴτ' οὖν τρόπους τοῦ ἐπιμερισμοῦ. εἰσὶ δὲ δύω γενικώτερον. ὁ γὰρ πρῶτος, ἑτεροπροσωπικῆς μεταβάσεως ἐν τῷ ἀθροίσματι γενομένης, συνίστησι τὸν γ'. ὡς εἶναι τὸν μὲν α', καὶ γ', κατὰ πρόληψιν, τὸν δὲ β', μὴ κατὰ πρόληψιν.

Ἔνθα δὴ,

Ἐπὶ τοῦ ἐπιμερισμοῦ.

Καὶ εἰ μὲν κατὰ πρόληψιν

Ῥήματος δηλαδή. ἔστι δὲ ὁ α', τρόπος. ταὐτὸν δέ ἐστιν εἰπεῖν κατὰ πρόληψιν, καὶ εἰ

Πληθυντικὸν ῥῆμα προτάσσεται,

Ἀποδιδόμενον ἀπὸ κοινοῦ

Πρὸς ἑκάτερον τὸ ἑπόμενον.

Ἔνθεντοι καὶ ὁμοιοπτωτεῖν ἐνταῦθα ἐθέλουσι τὰ μέρη ἀλλήλοις τε καὶ τῷ ὅλῳ, ὡς τὸ αὐτὸ ῥῆμα ἀπὸ κοινοῦ ἐφελκόμενα. εἴ γε τὸ αὐτὸ ῥῆμα τὰς αὐτὰς ἀπαιτεῖ πτώσεις.

Εὐθεῖαν δεῖ προηγεῖσθαι ἐν τῇ ἀθροίσει.

Καθ' ὅ, τι παντὸς ῥήματος φύσει προεπινοεῖται εὐθεῖα, ὡς εἴρηται.

Οἷον, ἀετοὶ διέπτησαν δύω, ὁ μὲν, ἀπ' ἀνατολῶν, ὁ δὲ, ἀπὸ δυσμῶν.

Λουκιαν, ἐν τῷ κατὰ μενίπ. ἐπειδὰν ἡμεῖς οἰμώζωμεν, μεμνημένοι τῶν ἄνω, μίδας μὲν οὑτοσὶ, τοῦ χρυσίου, σαρδανάπαλος δὲ, τῆς πολλῆς τρυφῆς, ἐγὼ δὲ, τῶν θησαυρῶν. Θουκδ'. γ', καὶ τροπαῖον στήσαντες, ἀνεχώρησαν οἱ μὲν, εἰς τὴν πόλιν, οἱ δὲ, ἐπὶ τὰς ναῦς. ἔστι δ' οὗ τὸ πληθυντικὸν μὴ ἡγούμενον, ἀλλ' ἑπόμενον, ἢ μεσοσυλλαβοῦν, οὐδὲν ἧττον ὅμως ἐστὶ κατὰ πρόληψιν. Λουκιαν. ἐν τῷ ὑπὲρ τοῦ πταίσματος. οἱ παρόντες δὲ οἱ μὲν, παραπαίειν, οἱ δὲ, ληρεῖν, οἱ δὲ, χθεσινῆς κρεπάλης ἀνάμεστον ἔτι ᾤοντό με εἶναι. Θουκδ'. α'. ἔτυχον γὰρ αἱ μὲν, ἐπὶ Καρίας οἰχόμεναι, αἱ δὲ, ἐπὶ χίου.

Εἰ δὲ πρὸς τὰ μεριζόμενα

Ὁ δεύτερος τρόπος.

Ἑνικὸν ἕπεται,

Ῥῆμα. οὐμὴν ἀλλὰ καὶ πληθυντικὸν. τοῖς γὰρ ὑποκειμένοις συνδιατεθήσεται κατ' ἀριθμὸν καὶ τὸ ῥῆμα. ὅλως γὰρ εἰπεῖν, ἐν τοῖς ἐπιμεριζομένοις κειμένου τοῦ ῥήματος καθ' ὁντιναοῦν ἀριθμὸν,

Γενικὴν δέοι ἂν ἡγεῖσθαι πληθυντικήν.

Μᾶλλον δὲ κατ' ἀριθμὸν καὶ αὐτὴν ἀδιάφορον.

Δύοιν ἀετῶν ὁ μὲν, ἀπ' ἀνατολῶν ἔπτη, ὁ δὲ, ἀπὸ δυσμῶν.

Τοῦ ἐν τοῖς

Τὰ ἐν τοῖς ἐπιμεριζομένοις ῥήματος ἑνὸς μὲν ὄντος, οἷον, δύω καὶ δέκα ἀετῶν, οἱ μὲν, ἔνθεν διέπτησαν, οἱ δ', ἐκεῖθεν. τὸν ἐν τῷ ἀθροίσματι γενικὸν εἰς δ' θεῖαν μεταλήπτεον καὶ τὸν α', ξόπον, προπάτορας τὸ ῥῆμα κατὰ πρόληψιν. κοινὸν γάρ ἐστιν, εἰ καὶ ἐν τοῖς ἐπιμεριζομένοις κεῖται. οἷον, δύω, ἢ ὁσοιδηποτοῦν ἀετοὶ διέπτησαν οἱ μὲν, ἔνθεν, οἱ δὲ, ἐκεῖθεν. δυοῖν δὲ ὄντοιν, τοσουτωνὶ γενικὸν δέοι ἂν ἡγεῖσθαι. οἷον, τοσῶν δὲ ἀετῶν, οἱ μὲν, ἔπτησαν, οἱ δὲ, ἐτοξάθησαν. ἐνταῦθα δὲ οὐκ ἔστιν ἐν ἀμφοῖν τῶν μερῶν εἴτ' ἂν κοινὸν κατηγόρημα, ἵν' ᾖ καὶ πρόληψιν. οἱ δεῖνα τὸ δέ τι ἐποίησαν. δύω δὲ ὄντα εἴτ' ἂν διάφορα, ἀδυνατεῖ προληφθῆναι. ἔνθεν τοι τὰ ἐπὶ τὸ β', ξόπα μέρη οὐκ ἀνάγκη ὁμοιοπτωτεῖν τῷ ὅλῳ, ὡς τὸ ῥήματος μὴ ἐν τῷ ὅλῳ, ἀλλ' ἐν αὐτοῖς κειμένου. ἀλλ' ἀδ' ἀλλήλοις, ὡς τῶν ἐν αὐτοῖς ῥημάτων διαφόρων ὄντων. φαμὲν γάρ, τῶν στρατηγῶν τοὺς μὲν, ἔλαβον, οἱ δὲ, διέφυγον.

Ἔξεσί γε μὴν καὶ τὸ ἑνικὸν

Τῇ μὲν φωνῇ ἑνικὸν, τῇ δὲ σημασίᾳ τῶν περιληπτικῶν εἴτ' ἂν πληθυντικῶν. καθ' ὅ, τι τὰ μεριζόμενα ἐκ προϋφεστῶτός ἐστι πλήθους.

Οὗτε μὲν, εἰς ἑνικὰ διελεῖν. ὁ τε δὲ, εἰς πληθυντικά. τ' ἀνεῖον γένος.

Κατὰ τὸν α', ξόπον.

Τῆ μὲν, ἀγαθὸν, τῆ δὲ, φαῦλον.

Ἀντὶ τοῦ ἐν μέρει μὲν, ἀγαθὸν ἐν μέρει δὲ, φαῦλον. ὕπου δὲ παρὰ τῷ Βαείνῳ ἐμφέρεται.

Τ' ἀνεῖα γένους,

Κατὰ τὸν β', ξόπον.

Οἱ μὲν, ἀγαθοὶ, οἱ δὲ, φαῦλοι.

Ὁρᾷς, ὡς πληθυντικὸν ῥήματος πρὸς τὰ μεριζόμενα ἑπόμενον, γενικὸν πάλιν ἡγεμονίαν; οὐκ ἄρα τὸ πρὸς τὰ μεριζόμενα ἑπόμενον ῥῆμα, ἀποκεκληρωμένως ἑνικὸν ὀφείλει εἶναι

Καὶ αὖ πάλιν τὸ πληθυντικὸν,

Ἄθροισμα ἔξεσι διελεῖν.

Οὗτε μὲν, εἰς πληθυντικὰ,

Μέρη,

Οὗτε δὲ, εἰς ἑνικά. τῶν αὐτῶν οἱ μὲν, ἀγαθοὶ, οἱ δὲ, φαῦλοι. δυοῖν ὀρνίθων, ὁ μὲν, πτητικὸς, ὁ δὲ, ἔ.

Τῆς δὲ ἐν τῷ ἀθροίσματι ποσότητος δυαδικῆς μὲν οὔσης, δῆλον ὡς εἰς ἑνικὰ ἔσαι ἡ διαίρεσις, ὑπερβαινούσης δὲ τὸν δυάδα, εἰς πληθυντικά. εἰ μή τι γε καὶ τὸν ἴδιόν τι τῶν μερῶν ἑκάστῳ παρέποιτο, ὡς ἐν εἰκόσι Λακιανός. ὅτοι δὲ διελόμενοι τὸ ἔργον, ὁ μὲν, χωσάτω τὸν κόμβον, ὁ δὲ, τὰς ὀφρῦς καὶ τὸν ἐθῆτα ποιησάτω. τὸ δ' ἄλλο σῶμα ὁ Ἀπελλῆς δειξάτω. τὰ χείλη δ' ὁ Ἀετίων ποιησάτω. ὁ δ' Ὄμπρος τοὺς ὀφθαλμοὺς καὶ τ' ἄλλα γραφάτω,

Εἰ μὲν οὖν δύθεῖα ἡγεῖται, κεῖσθω ἐν τῇ ἀθροίσει τὸ ῥῆμα. εἰ δὲ γενικὴ, ἐν τοῖς μεριζομένοις, ὡς δέδεικται.

Ἐπαναλαμβάνει τὰς προληφθείσας δύω ξόπας, ἀντιστρέψας αὐτῶν τὰς ὄρας. ἀνὼ μὲν δὴ εἴρηται, πληθυντικὸν ῥήματος προληφθέντος, δύθεῖαν ἡγεῖσθαι. ἐν δὲ τοῖς ἐπιμεριζομένοις κειμένου, γενικὸν, ὥς δέ, δύθείας μὲν ἡγεμονίης, ἐν τῇ ἀθροίσει κεῖσθαι τὸ ῥῆ-

σθαι τὸ ῥῆμα, γενικῆς δὲ, σὺν τοῖς ἐπιμεριζομένοις. δῆλον δὲ ἐντεῦθεν ὡς τὰ ῥήματος σὺν τοῖς ἐπιμεριζομένοις κειμένη, τὸ ἄθροισμα καθ' ἑτέραν πτῶσιν, ἀλλ' ἃ κατὰ γενικὴν προαγόμενον, τὰ τοιαῦτα καὶ ἀντιπτώσιν ἐκλιπτέον καὶ ἀπολλώνιος ἔχει τὰ προληφθέντα τῷ Θεοδώρῳ. αὐτοὶ οἱ μὲν, ἤδη εἰσέβεχον, οἱ δὲ, παρεσκευάζοντο. καὶ, τὰς στρατηγὰς τὰς μὲν, ἔλαβον, τὰς δ' ἄ. Ἡρόδ. β', αἱ δὲ σῆλαι αἱ μὲν πλοῦνες οὐκ ἔτι φαίνονται παρεοῦσαι. Θυκδ': ζ', οἱ γὰρ φίλοι οἱ μὲν, ἀπώλοντο, οἱ δὲ, ἐσώθησαν. λακιαν. σὺν τῷ ἀφρ: καὶ ἔρ: οἱ κορύβαντες δὲ, ὁ μὲν αὐτῷ τέμνεται ξίφει τὸν πῆχυν, ὁ δὲ, αὐλεῖ τὸν κόμβον, ἕεται μεμηνὼς ὄρχ' τῷ ὀρέων. ὧν ἁπάντων τὰ, ὡς εἴρηται, ἀθροίσματα εἰς γενικὴν ἀεὶ μεταληπτέον. τὰ δὲ τοιαῦτα ἃ πᾶσιν ἁπλῶς, ἀλλ' οἷοις τῷ πάλαι ἐλλογίμων ἀνδρῶν ἀττικώτερον ἀσκεῖσθαι τοῦτο, αὐτονόμῳ καὶ ἰδιάζοντι ἐθει χωμένοις μὴ καὶ ἀλλοκοτρεπῶν καὶ ξενιζόντων ἡημάτων, ἥκιστα ἡμῖν εἰς χρῆσιν αὐτοῖς, παρὰ πολὺ τῆς ἐκείνων ἀπολειπομένοις σὺν λόγῳ δυνάμεως. φθάνει γὰρ εἰρηκώς, ὡς τὰ τοιαῦτα ἡμῖν ὡς ὑποδείγματα κεῖσθω τῆς σολοικισμοῦ. Τί δήποτε δὲ, φασὶ, τῷ καινοπρεπῶν μνείαν σὺν αὐτοῖς ὁ Θεόδωρος ἐποήσατο, εἰ περ μὴ πᾶσιν ἁπλῶς εἰς χρῆσιν προὔκειντο; Ἢ ὅτι μὴ ὡς ἰδίαν ἑαυτοῦ δόξαν ἐκεῖσε περὶ τῆς κατ' ἐπιμερισμὸν σωπάξεως οἰητέον ἀποφήνασθαι τὸν Θεόδωρον, ἀλλὰ μνηθέντα τῷ ἐπιμεριζομένων πτωτικῶν, ἐκεῖ μὲν καὶ περὶ τῆς ὡς ἔτυχεν ἐμφερομένης τοῦ ἐπιμερισμοῦ σωπάξεως κατὰ πάρεργον πεποιῆσθαι τὸν λόγον, ἐπεὶ δὲ ᾔδει μὴ κατὰ λόγον ὖσαν, ᾗδε δὴ καὶ πρὸς ἀκείβειαν ἐκθέσθαι περὶ αὐτῆς, ἀπὸ τοῦ καὶ προλῆψιν σύναρξάμενον. τῷ δὲ β', ὅπῳ συχνοὶ καὶ τῷ ἀρχαίων αὐτῷ μὴ καὶ λόγον χωμένοι ἐλέγχονται φανερῶς. ὧδε δέ. σὺν τῷ, τὰς στρατηγὰς, τὰς μὲν, ἔλαβον, τὰς δ', ἄ. τῷ ἐπιφερομένων ῥημάτων διαφόρων ὄντων, πρὸς δὲ καὶ ἀντίων ἀλλήλοις, (τὸ γὰρ λαβεῖν καὶ μὴ λαβεῖν, ἀντίφασίς ἐστι.) τὸ ὅλον εἴτ' ὂν τὸ ἄθροισμα σὺν ὂν πτωτικοῖς, ἀδυνατεῖ πρὸς ἑκάτερα ἀποδοθῆναι, ὅτι μὴ, ἐπιμεριζόντων δὴ τὰ τῶν μερῶν (εἰσὶ δὲ οἱ σωρὸς μεριστικοὶ σωρισμοὶ.) εἰ πεποιημένων ἀπὸ μέρος τὰ ἐπιφερόμενα ῥήματα, δῆλον ὅτι τὸ ὅλον ἰδιάσαν, ἀπολέλυται τῆς πρὸς ἑκάτερον τῷ ῥημάτων σχέσεως. τῶν δὲ πτωτικῶν τὰ ἀπολελυμένα οὐκ εἰς τὸν τυχόντα, εἰς δὲ μόνον τὸν γενικὸν πτῶσιν διώρισαι, ἄρα. Τί δὲ δήποτε μὴ σὺν ἄλλῃ πτώσει, μόνῃ δὲ τῇ γενικῇ ἐπὶ τὸ β', ὅπου τὰ τῆς ἐπιμεριζομένης σωπάξεως προσεχώρησεν; Ἢ ὅτι τὰ ἐπιμεριζόμενα, μέρη ὄντα τοῦ ὅλου ἀθροίσματος, κτητικὸν σωπάξιν ἀπαιτεῖ, ἀπολύτου ὄντος. δι' ἄλλης δὲ πτώσεως οὐκ ἐμφανίζεται κτῆσις, ἢ ἐκ μόνης τῆς γενικῆς.

Βουλομένοις δὲ καὶ τὴν ἄθροισιν καὶ τὸν μερισμὸν πλαγίως προσενεγκεῖν, ἀνάγκη δὴ μετοχῇ χρῆσθαι πλαγίᾳ σὺν μοίρᾳ λαμβανομένῃ ῥήματος, καὶ μετάβασιν ἑτεροπροσωπικῶς ποιεῖσθαι.

Ὁ λόγος πρωθύστερος. τῷ γὰρ βουλομένῳ καὶ τὸ ἄθροισμα καὶ τὰ τῶν μέρη πλαγίως προσενεγκεῖν, ἀνάγκη πρῶτον θέσθαι ἑτεροπροσωπικόν τι ῥῆμα μεταβατικὸν, εἶθ' οὕτω μετοχῇ χρήσασθαι πλαγίᾳ. εἴγε τῶν ῥημάτων τὰ μεταβατικὰ ἡγεῖται φύσει τῶν ἐκδεχομένων τὸν τῶν μετάβασιν ἐκ βίου πτωτικῶν, καὶ ἁπλῶς ἡ ἐνέργεια τὸ πάθος. Δύω μὲν τοίνυν ὄντοιν τὸ ἐπιμε

ἐπιμερισμὸν, οἱ εἰρημένοι, φησὶν, καὶ μὲν ὀρθῶς ἑκάτερα τούτων, τό τε ἄθροισμα καὶ τὰ μεριζόμενα. ὁ δὲ β', τὸ μὲν, πλαγίως, τὰ δὲ, ὀρθῶς. Εἰδέτω πρὸς θυμοῦ αὐτισρόφως τῷ πρώτῳ ἑκατέρα πλαγίως προενεγκεῖν, τό, τε ὅλον φησὶ καὶ τὰ μέρη, ἐπ αὐτὰ δὴ τὰ κῶλα τὸν πρῶτον ζόπον ἀθροίσματος μετάβασιν ἑτεροπροσωπικοῦ τοῦ ῥήματος ποιησάτω, καὶ ἔσαι, ὃ βέλεται.

Ἀετῶν διαπταντων, τὸ μὲν, ἀπ' ἀνατολῶν, τὸ δὲ, ἀπὸ δυσμῶν, ἴσον τὸ τάχος. ἢ πρὸς δοτικὴν ἀετοῖς διαπτᾶσι, τῷ μὲν, τῷ δὲ, ἢ πρὸς αἰτιατικὴν ἀετὸς διαπταντας, τὸν μὲν, τὸν δέ.

Τὸ δὲ ἀθροίσματος ἅμα τῷ ἐκδέξασθαι ἑτεροπροσωπικόν τι ῥῆμα μεταβατικῶς ἐφ ἑαυτὸ, εἰς πλαγιασμὸν ἐκ τῆς ὀρθότητος μεταπεσόντος, ἀναγκαίως καὶ τὸ ἐν τῷ ἀθροίσματι καὶ προλῆψιν ῥῆμα εἰς τὸ συνοχικὸν πτωτικὸν μεταπεσεῖται κῶλον, καὶ ἀκολούθησιν ὁμοιοπτώπως καὶ ὁμοιαρίθμως τῷ ἀθροίσματι, ὡς μὴ εἶναι ἄλλως ταῖς πλαγίαις τὰ ῥήματα ἀμεταβάτως σωπᾶσθαι, ὅτι μὴ εἰς τὸ πτωτικὸν μεταπεσόντα κῶλον, φημὶ δὴ τὴν μετοχὴν, ὡς εἴρηται, ἡ δὲ ἀπὸ τοῦ ῥήματος μεταπεσοῦσα μετοχὴ, ἅτε πρὸς τὸ ἄθροισμα φημὶ δὴ τὸ ὄνομα σωπάζειν ἐν μοίρᾳ ῥήματος λαμβανομένη, οἷς πρὸς τὸ ὅλον, ἔτι καὶ πρὸς ἑκάτερον τῶν ἐπομένων μερῶν ἀποδιδομένη καὶ προλῆψιν κατηγορηθήσεται. ἐνθεντοι καὶ τὰ μέρη ἀπὸ κοινοῦ ἐπισωρευόμενα τοῦ ἀθροίσματος τό, τε ἑτεροπροσωπικὸν καὶ τὸ ταυτοπροσωπικὸν ῥῆμα (ταυτοπροσωπικὸν δὲ λέγω, τὸ εἰς πτωτικὸν μεταπεσὸν κῶλον) ὁμοιοπτωτῶν ὀφείλουσιν ἀλλήλοις τε καὶ τῷ ὅλῳ, καὶ θᾶττον καὶ τὰ τοῦ ἀ, ζόπος. ἢ ἐν τούτοις παραλλαγὴ τῆς πτώσεως, σολοικισμὸς αὐτίκρυς. Παραπαίουσιν ἄρα οἱ τὴν ἑτεροπροσωπικὴν τοῦ ῥήματος μετάβασιν μὴ ἐπὶ τοῦ ἀθροίσματος, ἐπὶ δὲ τῶν μερῶν ἐκδεξάμενοί τε καὶ διδάξαντες, ὑτῶσιν, αἰετοῖς διαπτᾶσι τῷ μὲν, βέλος ὑπέπτησε, τῷ δὲ, κρίας. ἢ τῷ μὲν, αἱ ἀνατολαὶ κατιλήφθησαν, τῷ δὲ, αἱ δυσμαί. καὶ, αἰετὸς διαπταντας, τὸν μὲν, αἱ ἀνατολαὶ ἐπέμψαν, τὸν δὲ, αἱ δυσμαί. ἐν δὲ τοῖς μέρεσι κειμένου τοῦ ἑτεροπροσωπικοῦ ῥήματος, ὅτε μετοχῆς ἀναγκαίως χρεία, καὶ τῇ ἀθροίσει ἐγκειμένη δέοι ἂν ἡγεῖσθαι μόνην, ὡς εἴρηται. ὧδε δὲ καὶ δοτικῆς καὶ αἰτιατικῆς ἡγεμονίας, δῆλον ὡς ἐν τοῖς μέρη, τὸ δὲ ἄθροισμα ἔσται τὸ ἐκδεχόμενον ἐφ ἑαυτὸ πᾶν τὸ ἑτεροπροσωπικὸν ῥῆμα μεταβασιν. ἥτις ἐν μέρεσι μὲν ἐστὶ. καὶ δὴ ἔγκειταί τι τῶν καθ' ἕκαστα ἑτεροπροσωπικῶν ῥημάτων, τῇ δὲ καθόλου περιγραφῇ ὠφέλησαι. ἐπεὶ καὶ τέχνη πᾶσα ἐκ τῶν καθ' ἕκαστα, τὸ δὲ καθόλου σοχάζεται, ἑκάστη γὰρ τῶν κατὰ τὸ ἄθροισμα ζητουμένων πτώσεων, ἐν ὑσέρᾳ σωπησάσῃ δυνάμει πάντως τινὸς ῥήματος, ἢ μὴν, τῶν κατ' ἐκφορὰν πάντων, ἢ δὲ, τῶν κατ' ἐκφορὰν καὶ περιποίησιν, ἢ δὲ, τῶν κατ' εἰσφορὰν μόνην. ἐνθεντοι ἐπὶ τοῦ, αἰετῶν διαπτάντων, τὸ μὲν, ἐνθεν, τὸ δὲ, ἐκεῖθεν, ἴσον ἐστὶ τὸ τάχος. ἡμεῖς σωπαξίς ἐστι κτητική; ἑτεροπροσωπικὴ μὲν, ἀμεταβάτος δὲ, ὑπαρκτικὴ ὄντος τοῦ σωπωμένου ῥήματος, εἴτ' ἂν ἀμεταβάτου, ὁ δὲ, μεταβασίν φησιν, ἑτεροπροσωπικῶς ποιητέον. ἔθεν τὸ σαφὲς, εἴτ' ἂν ἀτελὲς χάριν τοῦ κτίου ῥῆμα τῆς καθ' ὑπεροχὴν ἀντιλήπτικῶν, τοῦ β', εἴδος. οἷον, ἀντιλαβόμενος δὲ οἷν αἰετῷ, διαπτάντων τὸ μὲν, ἐνθεν, τοῦ δὲ, ἐκεῖθεν. καὶ πρὸς δοτικὴν, τοῦ γ', εἶδος. εὐτύχουν αἰετοῖς διαπτᾶσι, τῷ μὲν, ἀπ' ἀνατο-

ἀπ' ἀνατολῶν, τῷ δὲ, ἀπὸ δυσμῶν. τὸ γὰρ ὅθεν διέπτησαν, ἀπὸ κοινοῦ ἐκληπτέον κἀπὶ τῶν τριῶν πτώσεων. Λουκ: ἐν τῷ περὶ ἀστρονομ': καὶ σφίσι γενομένοισι, τῷ μὲν, ἡ ἀφροδίτη, τῷ δὲ, ὁ ζεὺς, τῷ δὲ, ὁ ἄρης ἐπέβλεψε. καὶ πρὸς αἰτιατικὴν τοῦ α', εἴδους, εἶδον, ἢ κατέλαβον δύω ἀετοὺς, διαπτάντας, τὸν μὲν, ἀπ' ἀνατολῶν, τὸν δὲ, ἀπὸ δυσμῶν. ἐν οἷς δῆλον, ὡς ἡ ἑτεροπροσωπικὴ τοῦ ῥήματος μετάβασις ἐν τῷ ἀθροίσματι ἐγένετο, τὰ δὲ ἐπιμεριζόμενα μέρη οὐχρήζουσιν ἑτεροπροσωπικοῦ ῥήματος, ὡς ἐφελκόμενα ἀπὸ κοινοῦ τό, τε ἐν τῷ ἀθροίσματι ἑτεροπροσωποῦν ῥῆμα, καὶ τὸ συστοιχοῦν τῇ κατὰ πρόληψιν μετοχῇ. ὡς εἶναι τὸ, εἶδον ἀετοὺς διαπτάντας, τὸν μὲν, ἔνθεν, τὸν δ', ἐκεῖθεν, ταὐτὸν τῷ, εἶδον ἀετοὺς, οἵτινες διέπτησαν, ὁ μὲν, ἔνθεν, ὁ δὲ, ἐκεῖθεν. κἀπὶ τῶν ἄλλων ὁμοίως πτώσεων. Ἐφ' οἷς ἰστέον, ὡς ὁ γ', τρόπος ἀπολυθεὶς τῆς τοῦ ἑτεροπροσωπικοῦ ῥήματος μεταβάσεως, εἰς τὸν α', ἀνατρέχει. ὥσπερ αὖ καὶ ὁ α', γενομένης ἐν αὐτῷ ἑτεροπροσωπικῆς ῥήματος μεταβάσεως, εἰς τὸν γ', μεθίσταται, κἀντεῦθεν δῆλον δύω εἶναι τοῦ ἐπιμερισμοῦ τοὺς τρόπους γενικώτερον, τὸν μὲν, κατὰ πρόληψιν, τὸν δ', οὔ. καὶ τοῦ κατὰ πρόληψιν τὸν μὲν, ταυτοπροσωπικὸν ἀμετάβατον, τὸν δὲ, ἑτεροπροσωπικὸν μεταβατικόν. ὥστε καὶ ὁ γ', κατὰ πρόληψίν ἐστι, τοῦ πληθυντικοῦ ῥήματος προλαμβανομένου ἐν τῇ ἐν μοίρᾳ ῥήματος εἰλημμένῃ μετοχῇ. Ἂν μὲν οὖν ᾖ ἔν τι κοινὸν ἀμφοῖν τῶν μερῶν κατηγόρημα, προληπτέον τὴν μετοχὴν ἐν τῷ ἀθροίσματι, ὡς ἐκ τῶν παραδειγμάτων δῆλον, ἂν δὲ διάφορα ᾖ τῶν μερῶν τὰ κατηγορήματα, δύοιν τότε χρηστέον καὶ μετοχαῖς διαφόροις, ὑποδηλούσαις τῇ μὲν, τοῦ ἑνὸς, τῇ δὲ, θατέρου τῶν μερῶν τὴν ἐνέργειαν. οἷον. εἶδον δύω ἀετοὺς, τὸν μὲν, τοξευθέντα, τὸν δὲ, διαπτάντα. ἐν ᾧ τὸ πτωτικὸν εἴτ' οὖν ταυτοπροσωπικὸν ῥῆμα, ὡς μὴ ἓν ὄν, οὐκ ἔστι κατὰ πρόληψιν, ἀλλὰ κατὰ τὸν β', τρόπον. ὥστε ἴσον εἶναι τῷ, εἶδον ἀετοὺς, ὧν ὁ μὲν, ἐτοξεύθη, ὁ δὲ, διέπτη. οἷόν τι καὶ παρὰ Θεμιστίῳ ἐν τῷ περὶ φιλίας, καὶ ἅμα ἀδικεῖ ἀμφοτέρους (ᾧ τε ἐπιβουλεύει ἡ διαβολὴ, καὶ ὃν ἐξαπατᾷ) τὸν μὲν, ὅτι πάσχει ὑπὲρ τὴν δίκην, τὸν δὲ, ὅτι ἐργάζεσθαι ἀναγκάζει. ταὐτὸν γάρ ἐστι τῷ, τὸν μὲν, πάσχοντα, τὸν δὲ, ἐργάζεσθαι ἀναγκαζόμενον. Λουκιαν': ἐν τῷ περὶ κάλλ. τοὺς μὲν οὖν ἢ δημοκρατουμένοις τὰ κοινὰ διοικοῦντας, ἢ τυράννοις ὑποτεταγμένους, τοὺς μὲν, δημαγωγοὺς, τοὺς δὲ, κόλακας καλοῦμεν. ἀντὶ τοῦ, τοὺς μὲν δημοκρατουμένοις τὰ κοινὰ διοικοῦντας, δημαγωγοὺς, τοὺς δὲ, τυράννοις ὑποτεταγμένους κόλακας καλοῦμεν. Ἔνθα δὲ οὔτε κοινὸν, οὔτε ἴδιον κατηγόρημα πρόσεστι τοῖς ἐπιμεριζομένοις, ἐνταῦθα οὐδὲ μετοχῆς χρῆσις παραλαμβάνεται. ὡς ἐν τῷ, συνέλαβον δύω ἀετοὺς, τὸν μὲν, τοξότης, τὸν δὲ, ἰξευτής. ἢ δύω ἄνδρας ἀπέκτεινα, τὸν μὲν, λίθῳ, τὸν δὲ, βέλει. Συνέσιος δὲ ἐν ἐπιστλ': α', τὸ, παῖδας ἐγὼ λόγους ἐγεννησάμην, τοὺς μὲν, ἀπὸ τῆς φιφίας, τοὺς δὲ, ἀπὸ τῆς ῥητορικῆς. ἔχει συνεννοουμένην μετοχὴν τὴν τεχθέντας. οἱ γὰρ παῖδες οὐκ ἐκ μόνου τοῦ γεννῶντος, ἀλλὰ καὶ διὰ τῆς τικτούσης. Ἰστέον δὲ ὅτι ἐπὶ τοῦ γ', τρόπου δυσφύλακτον τὸ σολοικίζειν καὶ αὐτοῖς τοῖς ἔσω λόγου, ἀνομοιοπτώτων τῷ ὅλῳ τῶν μερῶν παρ' αὐτοῖς προενηνεγμένων. οἷον, ἔρις ἦν στρατηλάταις, οἱ μὲν, πατάξαι τόν δε, οἱ δὲ, τόν δε. οἷον δὴ καὶ τὸ ὁμηρικὸν ἐκεῖνο, δοιοὺς δ' ἄρ' ὑπήλυθε θάμνους, ὁ μὲν, πτελαίης, ὁ δ' ἐλαίης. τοῦ τοιούτου τρόπου καὶ τὸ ἰλ. ε. ἄνδρε ὁρόω, ὁ μὲν πάνδαρος, ὁ δὲ, αἰνείας. καινοπρεπῶς καὶ αὐτὸ ἐσχημάτισται. ἐχρῆν γὰρ εἰπεῖν

γὰρ εἰπεῖν ὁμοιοπτώτως, τὸν μὲν, τὸν δέ. ὁ δὲ, τελείαν στίξας εἰς τὸ, ἄνδρε ὁρόω, ἐπήγαγεν ὡς ἀπ' ἄλλης ἀρχῆς, ὁ μὲν, ἐστὶν ὁδεῖνα, ὁ δὲ, ὁδεῖνα. ὁμοίως τῷ, φημὶ κατανεῦσαι δία, ἀστράπτων ἐπιδέξια. Ἔτι ἡ ἐν τῷ ἐπιμερισμῷ τῶν ἀθροισμάτων τριμερὴς συνταξις, ἀναλογίαν ἔχει τῇ τριμερεῖ συντάξει τῆς μετοχῆς. ἐν ἑκατέροις γὰρ τῶν μὲν δυοῖν τρόπων ὁ μὲν, κατ' εὐθεῖαν, ὁ δὲ, κατὰ γενικὴν εἰσιν ἀμετάβατοι, ὁ δὲ λοιπὸς τρίτος, μεταβατικὸς κατὰ τὰς τρεῖς πλαγίας. Ἰστέον δὲ κατὰ Ἀπολλ'. ὡς πᾶσα γενικὴ παντὸς ὀνόματος ἐπιμεριζομένη, οὐ μόνον δὲ, ἀλλὰ καὶ πᾶσα πτῶσις, ἐμπεριληπτικὴ οὖσα τοῦ ὅλου πλήθους, καὶ τὴν διαίρεσιν μερικὴν ποιουμένη, πάντως συνέχει τὸ ἄρθρον. τῶν ἀνθρώπων οἱ μὲν, εἰσὶν ἕλληνες, οἱ δὲ, βάρβαροι. τῶν δυοῖν αἰάντων, ὁ μὲν, τελαμώνιος, ὁ δὲ, λοκρὸς ἐπικαλεῖται. (ἐπεὶ οἷόν τε γενικὴν, μὴ τοιοῦτο ἐπιδεχομένην, καὶ χωρὶς ἄρθρου λέγεσθαι. φίλων προνοοῦμαι, ἀνῶν ἀκούω) καὶ ἐφ' ἑνικῶν τῶν δυναμένων τμῆσιν ἀναδέξασθαι. ὡς ἐπὶ τοῦ χρυσοῦ, ἀργύρου, καὶ τῶν οὕτω παραλαμβανομένων, φημὶ δὴ ἐπιμεριζομένων. ἔχει δὲ τὰ τῆς συντάξεως ἀπολογίαν τοιαύτην. τὰ ἐπιμεριζόμενα, ἐκ προϋφεστῶτός ἐστι πλήθους, ἐν γνώσει παραλαμβανομένου. εἴ γε τὸ μέρος τῶν πρός τι καθεστὼς, πρὸς τὸ ὅλον ἔχει τὴν ἀπότασιν. ἀνάγκη οὖν τὸ ἄρθρον τῷ ἐμπεριληπτικῷ τοῦ μέρους προσγίνεσθαι, ἵνα τὴν προϋφεστῶσαν γνῶσιν δηλώσῃ. τῶν δὴ τοιούτων συντάξεων προδήλων οὐσῶν, οἰήσονταί τινες, κἂν μὴ παραλάβωσι καὶ τὸν λόγον, διασῴζειν οὐχ ἧττον τὰ τῆς συντάξεως. οἱ δὲ τοιοῦτοι ἐοικέναι μοι δοκοῦσι τοῖς ἐκ τριβῆς τὰ σχήματα τῶν λέξεων παρειληφόσιν, οὐ μὴν ἐκ δυνάμεως τῆς κατὰ παράδοσιν τῶν ἑλλήνων, καὶ τῆς συμπαρεπομένης ἐν αὐτοῖς ἀναλογίας. οἷς καὶ παρακολουθήσει τὸ, εἰ διαμάρτοιεν ἔντινι σχήματι, μὴ δύνασθαι διορθοῦν τὸ ἁμάρτημα, διὰ τὴν παρακολουθοῦσαν αὐτοῖς ἀπειρίαν. ἀλλὰ γὰρ τὰ τοιαῦτα παρείσθω, παρολκὴν μᾶλλον, ἢ παράδοσιν πραγμάτων παρέχοντα. Ὡσαύτως καὶ τὸ Ἄλλοι, ἡνίκα τοῦ τε ὑποκειμένου πλήθους ὅλου ἐστὶν ἐμπεριληπτικὸν, καὶ τὴν διαίρεσιν πάλιν μερικὴν ποιεῖται, πάντοτε συνάξει τὸ ἄρθρον. οἷον, οἱ μὲν ἄλλοι ἕλληνες δασύνουσι τὰ ἐν τῇ λέξει φωνήεντα, αἰολεῖς δὲ μόνοι ψιλοῦσι. τμῆμα γὰρ τῶν ἑλλήνων οἱ αἰολεῖς. καὶ εἰ τῇδέ τις ἀποφαίνοιτο. οἱ μὲν ἄλλοι δωριεῖς τηροῦσι τὸ θ̃, λάκωνες δὲ καὶ εἰς σ̃, μεταβάλλουσι. πάλιν γὰρ τὸ Ἄλλοι ἐμπεριεκτικὸν γέγονε πλήθους τῶν ὑποτεμνομένων δωριέων. ἀσύνετον γὰρ τὸ δίχα τοῦ ἄρθρου λεγόμενον. ὁ αὐτὸς λόγος παρακολουθεῖ κἀπὶ πάντων τῶν τοιούτων. Ἡρόδ. ἡ, ὁ δὲ, παρ' ἑλλήνων μὲν τῶν ἄλλων ἔφησεν ἔχειν, παρ' αἰγυπτίων δ' οὔ. ὅθεν ἀπαιτήσει τὸ ἄρθρον τὸ παρὰ τῷ Ποιητῇ, ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες εὗδον παννύχιοι, ἐπιμεριζόμενον εἰς τὸν δία. δία δ' οὐκ ἔχε νήδυμος ὕπνος. καὶ τὸ, ἡ δ' ἄλλους μὲν ἔασε, θέμιστι δὲ καλλιπαρῄῳ δέκτο δέπας. ἐμπεριεκτικὰ γάρ εἰσιν ἁπάντων τῶν ἐμπεριεχομένων θεῶν. Μὴ ἔχον δὲ τῇ δε, οὐ πάντως ἕξει καὶ τὸ ἄρθρον παραλαμβανόμενον. οἷον, ἄλλοις ἀνοῖς ὡμίλει, μὴ τοῖς περὶ τρύφωνα. ἄλλοι μὲν γὰρ χαρίζονται ἡμῖν, σὺ δὲ καὶ προσαφαιρῇ. ἄλλους ὕβριζε, μὴ ἡμᾶς. ἄλλοισι ταῦτ' ἐπιτέλλεο, μὴ γὰρ ἔμοι γε. ἄλλοι μὲν χαλκῷ, ἄλλοι δ' αἴθωνι σιδήρῳ. οὐ γὰρ δή γε νῦν τὸ ἄλλοι πάντων ἀνθρώπων ἐστὶν ἐμπεριεκτικόν. οὔτε ἐκ τῶν προτέρων ἐπιμερίζεται τὸ ἐπιφερόμενον. ὅθεν οὐδὲ μία ἀνάγκη προσνέμειν τὸ ἄρθρον. ὡς ἂν εἴ τις λέγοι, ἐνίοις ἐπίτασσε, μὴ ἐμοί. καὶ ἔτι, ἄλλους ὕβριζε,

βριζε, μὴ ἐμέ. οὐ τοῦτο προστάσσων, ἅπαντας τοὺς ἐν ὑποστάσει ὑβρίζειν, ἀλλὰ τοὺς ἐπιτηδείους εἰς τοῦτο. ὡσαύτως καὶ τὸ Ἄλλοι προκείμενον τοῦ ὅσοι, ἄρθρον οὐ προσλαμβάνει. οἷον, ἄλλοι μὲν γὰρ ὅσοι θεοί εἰσιν ἐν ὀλύμπῳ. διὸ, τι τὸ ἀοριστῷδες τοῦ ὅσοι, ἐμποδίζει ταῖς τῶν ἄρθρων παρεμπτώσεσι. καὶ τοιαῦτα μὲν τὰ τοῦ Ἀπολλωνίου, ἐμοὶ δὲ δοκοῦσι μὴ ἐξηκριβῶσθαι. τοῦ γὰρ γ', τρόπου τὸ ἄθροισμα κατὰ πᾶσαν πτῶσιν, πρὸς δὲ καὶ τὸ τοῦ α', ἐμπεριεκτικόν τέ ἐστι πλήθους, καὶ τὴν διαίρεσιν μερικὴν ποιεῖται. οὐδέτερόν γε μὴν αὐτῶν συνέχει τὸ ἄρθρον, ὅτι μὴ μόνον τὸ τοῦ β', τρόπου. ἐπεὶ δὲ κατ' αὐτὸν τὸ τοῦ Ὅσοι, ἀοριστῷδες ἐμποδίζει ταῖς τῶν ἄρθρων παρεμπτώσεσιν, ἔστι δὲ καὶ τὸ Ἄλλοι οὐδὲν ἧττον ἀόριστον κατ' αὐτὸν, ἐμποδίσει ἄρα καὶ ἡ τοῦ Ἄλλοι ἀοριστία τῇ τοῦ ἄρθρου παρεμπτώσει ἐν τῷ, οἱ μὲν ἄλλοι ἕλληνες δασύνουσι τὰ ἐν τῇ λέξει φωνήεντα, αἰολεῖς δὲ μόνοι ψιλοῦσι. καὶ ἔσται ἀσυνάρθρως οὕτω λεγόμενον, ἄλλοι μὲν ἕλληνες κτ'.

Τὸ δ' Ὁμήρου, ἄμφω δ' ἑζομένῳ γεραρώτερος ἦεν ὀδυσσεύς. σολοικοφανές.

Τοῦ ῥήματος ἐν τοῖς ἐπιμεριζομένοις κειμένου, γενικὴν ἔδει ἂν ἡγεῖσθαι. οἷον, ἀμφοῖν δ' ἑζομένοιν, τοῦ τε μενελάου καὶ ὀδυσσέως, γεραρώτερος κτ'. ἰλ. γ'. εὐθείας δὲ ἡγουμένης, ἀκατάλληλα τὰ τοῦ λόγου, καθ' ὁμοιότητα τοῦ, νεστορίδαι ὁ μὲν, οὔτασ' ἀτύμνιον, κτ'. καὶ τοῦ, σύν τε δύ' ἐρχομένῳ, ὅ δε πρὸ ὃ τοῦ ἐνόησεν. ἰλ. κ'. εἴρηται δὲ σολοικοφανῆ τὰ τοιαῦτα, οὐχὶ τῷ δοκεῖν μὲν μετέχειν σολοικισμοῦ, μὴ μετέχειν δέ. τῷόντι καὶ γὰρ μετέχουσιν, αἰδοῖ δὲ μᾶλλον τοῦ οὕτω τοῖς τοιούτοις κατ' ἔθος ποιητικὸν, ἀλλ' οὐκ ἀγνοίᾳ χρωμένου. ἡμῖν δὲ καὶ ταῦτα διευλαβητέον. Ἰστέον ὅτι δύοιν ὀνόμασι προηγησαμένοις, δυοῖν ἑτέρων καὶ μερισμὸν συντάξεως ἐπαγομένων, ποτὲ μὲν τῷ πρώτῳ τῆς προηγησαμένης συζυγίας τὸ τῆς δευτέρας πρῶτον συντάσσετο, καὶ τῷ β', ἀκολούθως τὸ β'. οἷον, τῶν δύοιν ἀνδρῶν ὁ μὲν, ἤκουσεν ἀμφίμαχος, ὁ δὲ, θάλπιος. ἀμφίμαχος μὲν τοῦ δεῖνος, θάλπιος δὲ τοῦ δεῖνος. καὶ ἔστιν ἡ τοιαύτη διάθεσις τῆς συντάξεως σαφεστέρα καὶ φυσικωτέρα, πρώτῳ πρῶτον συντιθεῖσα, καὶ δευτέρῳ ἐπισυνάπτουσα δεύτερον. ποτὲ μέν τοι τὸ τῆς β', συζυγίας πρῶτον, τῷ β', τῆς α', συζυγίας ἐπάγεται συναπτῶς. καὶ τὸ β', τῆς αὐτῆς β', τῷ α', τῆς α'. ὡς ἔχει καὶ τοῦ Ποιητοῦ τὸ, οἰμωγὴ καὶ εὐχωλὴ, ὀλλύντων καὶ ὀλλυμένων, καὶ τὰ ὅμοια. καὶ ἔστι τοῦτο σαφὲς μὲν οὐ πάνυ, ἐμπερίβολον δὲ καὶ πρέπον μεγέθει ποιήσεως. οἷον, καὶ τὸ ἐν τῷ γ', τῆς ἰλ: οἴσετε ἄρνε, ἕτερον λευκὸν, ἑτέρην δὲ μέλαιναν, γῇ τε καὶ ἡλίῳ. καὶ δοκεῖ μὲν εὐκρινὲς καὶ τοῦτο, ὡς δηλοῦν οἷον μὲν ἄρνα οἰστέον τῷ ἡλίῳ, οἵαν δὲ τῇ γῇ. ἄλλως δὲ σύγχυσιν ποιεῖ. καὶ συνεστραμμένον τι σχῆμά ἐστι καὶ περινενοημένον, ὡς οἷα περιοδικὸν χιαστὸν τετράκωλον. τὸ μὲν γὰρ κατὰ φύσιν καὶ σαφέστατον, τοιοῦτόν ἐστιν, οἴσετε ἄρνε λευκὸν ἡλίῳ, καὶ μέλαιναν τῇ γῇ. ἵνα παρέκειτο τῷ ἡλίῳ μὲν, τὸ οἰκεῖον, τῇ δὲ γῇ πάλιν τὸ ἑαυτῆς, κατά τινα γραμμικὴν εὐθυωρίαν. κατὰ δεύτερον μέν τοι λόγον εἶχεν ἂν σαφήνειαν φυσικὴν, εἰ μετὰ τὸν λευκὸν καὶ τὴν μέλαιναν ἔκειτο τὸ, ἡλίῳ καὶ τὸ, γῇ, οἷον, οἴσετε ἄρνε δύω, λευκὸν καὶ μέλαιναν, ἡλίῳ καὶ γῇ. ἵν', ἀποδιδομένων πρὸς τὰ δύω πρῶτα εὐτάκτως τῶν δύοιν δευτέρων, ὑπετάσσετο ὡς ἐν τετραγώνῳ καταγραφῇ τῷ λευκῷ μὲν, ὁ ἥλιος, τῇ μελαίνῃ δὲ, ἡ γῆ. οἷον οὕτω.

λευκὸν ἡλίῳ | μέλαν γῇ

καὶ φύσιν δὲ νῦν τοῦτο ζητεῖται, ἵνα τὸ μὲν λευκὸν, διὰ γραμμῆς τινος προσαρμοθῇ τῷ ἐκ διαμέτρου κειμένῳ ἡλίῳ, τὸ δὲ μέλαν, ὁμοίως τῇ γῇ. νῦν δὲ τῷ εἰπεῖν ἕτερον λευκὸν, ἑτέρῳ δὲ μέλανα γῇ τε καὶ ἡλίῳ, ἁπλούστερον συγχέει τὸν λόγον διὰ τὸ χιάζειν τὸν ἐκτεθέντα τετραγωνισμόν, ὅπως



καὶ μὴ ὁ λόγος πεμπένοηται, καὶ οἷον συνέσραπται τῷ σχηματισμῷ καὶ συγκέχυται, μιμησάμενος τὸ Πλατωνικὸν συγκεχυμένον ἀνθρώπου, καὶ μὴ σαφῶς ἐκθέμενος φυσικὴν ὀνομάτων τάξιν. τοιοῦτον δὲ καὶ τὸ, οἰμωγὴ καὶ ἀχωλὴ, ὀλοφύρων καὶ ὀλυμένων. Δύναται δὲ ὁμοίως ζῆλος μὴ καὶ λέξεις μόνας γοργότερον, ἀλλὰ καὶ πλατύτερον κατὰ λόγους ποιαύτας τινὰς σχηματίσαι. οἷον, ἀχιλλεὺς μὲν ἡρέθη πολέμαρχος, οἱ βασιλεῖς δὲ πρεσβύτερον ἕκαστον, ἵνα οἱ μὲν, σεσοφωρωμένοις τὰς ἕξεις. ὁ δὲ, τὰ πρὸς ἕξιν λήγουσι. τὸ δὲ τοιοῦτον σχῆμα κατὰ πλειόνων συζυγιῶν νοημάτων μεθοδεύσεται κατὰ τὸν τῆς χαίροντος ἰσχύν. ἔστι δὲ τοῦτο καὶ περιβλητικὸν διὰ τὴν τῶν νοημάτων μετάθεσιν. ἔχει δέ τι καὶ σαφηνείας, τὸ τὴν μελαίνην διὰ τοῦ σωματοῦσθαι τὸ κατὰ φύσιν οἰκεῖον, ἤγουν τὴν γῆν, ὡς καὶ τὴν διὰ χωλὴν τὰ τῶν ἴσι τῷ καυχήματι τὰς ὀλισθάνας, καὶ τὰς βασιλεύσι τὸ σὺν ξοΐᾳ μένειν. καὶ φύσιν μὲν δὴ σὺ ταῦτα καὶ διὰ παντὸς καὶ σαφὲς ἡ τῶν μέσων σῶσις, αὖ πάλιν δὲ ἡ τῶν ἄκρων διάστασις, ὡς σὺ τοιαύτην καταχρῆσθαι, δι' ἧς τὸ προκείμενον σαφηνισθήσεται.

οἰμωγὴ, διχωλὴ, ὀλωίων, ὀλυμένων.

ἀχιλλεὺς, βασιλεῖς, οἱ μὲν, ὁ δὲ.

λευκὸν, μέλαν, γῆ. ἥλιος.

τοιοῦτο καὶ θουκυδ. σὺ γ', αἱ δ' ἄλλαι ξυντυχίαι ἐξάγουσιν εἰς τοὺς κινδύνους, ἢ τε ἐλπὶς καὶ ὁ ἔρως ἐπὶ πᾶσι, ὁ μὲν, ἡγεμόνος, ἡ δὲ, ἐφεπομένη. καὶ ὁ μὲν, τῷ ἐπιβολῷ ἐκφρονιζων, ἡ δὲ, τῷ δυσπορίαν τῆς τύχης ἀποτιθεῖσα.

Ἴδιον δὲ τοῦ προτακτικοῦ δευτέρου τὸ πᾶσι τοῖς τοῦ λόγου μέρεσι καὶ τῷ λόγῳ αὐτῷ συνταάσεσθαι ὁμοίως, οἷον, τὸ αὐτὸς, τὸ γιωὴ, τὸ λέγω, τὸ σωκράτης διαλέγεται.

Ὁμοιὰ ζητήματα καλεῖ Ἑρμογένης ἐν τῷ περὶ στάσεων, ἐν ᾗ καὶ ἡ τοῦ κεινομένου φανερὸν μὲν, ἀτελὴς δὲ λέγει δὲ ἀτελὲς, ᾧ προσεθέντος τινὸς ὡς λείποντος, ὁ νόμα τοῦ δι' ὃ γίνεται, καὶ ἔτι ἔχει ζήτησιν ἡμιαίαν τὸ πρᾶγμα. τὸ γὰρ τοιοῦτον ἀτελὲς ὁμοίως ποιεῖται τὴν στάσιν. ἔστι δὲ στάσις φησὶν, ὁμοίου ὀνόματος ζήτησις περὶ πράγματος, ἓ τὸ μὲν, πέπραται, τὸ δὲ, λείπει πρὸς αὐτοτέλειαν τοῦ ὀνόματος. οἷον, ὑφελών τις ἐξ ἱερᾶς ἰδιωτικὰ χρήματα, τοῦ νόμου κελεύοντος τεθνάναι μὲν τὸν ἱερόσυλον, τὸν δὲ κλέπτην διπλᾶ διδόναι, ὑπάγεται μὲν ὡς ἱερόσυλος, ὁ δὲ, κλέπτης εἶναι λέγει, οὐχ ἱερόσυλος. ὁμοιὸν τοῦτο ζήτημα. ἐὰν δὲ ἀποδειχθῇ, ἢ προσεθῇ τὸ καὶ ἱερὰ εἶναι, ἅπερ ὑφείλετο χρήματα, σαφὴς γὰρ ἔτος ἱερόσυλος. καὶ ἔτι ἔχει τὸ πρᾶγμα ζήτησιν. ὅρος δὲ τοῦτο. πάλιν, καλλωπιζόμενόν μειράκιον, πορνείας φεύγει. ὁ δὲ, καλλωπιστὴς μὲν εἶναί φησιν, οὐ μὴν ἤδη καὶ πόρνος. ὁμοιὸν ζήτημα τοῦτο. καὶ τοιούτου δ' ἀποδειχθέντος, ὅρος γίνεται. τὰ γοῦν τοιαῦτα ἀτελῆ ζητήματα, ὁμοια καὶ καλεῖται τοῖς ῥήτορσι. καὶ κατὰ τὸν Ἀριστοτέλη δὲ ἐν τοῖς τοπικοῖς, ὅρος ἐστὶ λόγος

λόγος, ὁ τὸ τί ἦν εἶναι σημαίνων τοῦ πράγματος. ἀποδίδοται δὲ ἤτοι λόγος, ἢ ὄνομα. καὶ καθ' αὑτὸ μὲν ἂν εἴη ὅρος, ὁ διὰ λόγου ἀποδιδόμενος ὁρισμός. οἷον, ἄνθρος ἐστὶ ζῷον λογικὸν θνητόν, νοῦ καὶ ἐπιστήμης δεκτικόν. τὸ δὲ διὰ μόνου ὀνόματος ἀποδιδόμενον, οὐχ ὅρος ἀλλ' ὁρικὸν παρ' αὐτῷ καλεῖται, οἷον, ὁ ἄνθρος ἐστὶ θνητός. τὸ πρέπον ἐστὶ καλόν. οὐ γὰρ, ὥσπερ ὁ λόγος ἐντελῶς, οὕτωτοι καὶ τὸ ὄνομα τὸν τοῦ πράγματος ἀποδίδωσιν ὁρισμόν. καὶ ἁπλῶς τὰ ὑπὸ τὴν αὐτὴν μὲν ὄντα μέθοδον τοῖς ὁρισμοῖς, μὴ ἀποδιδόντα δὲ ἐντελῶς τὸ τί ἦν εἶναι τοῦ πράγματος, ὁρικὰ καλεῖται τῷ φίφῳ, πρὸς ἀντιδιαστολὴν τοῦ ὡς εἴρηται ὅρου, εἴτ' οὖν τοῦ ὁρισμοῦ. ὅς τις τελείως χωρίζει τὸ πρᾶγμα. Τὸν ὅμοιον δὴ τρόπον καὶ τῶν τοῦ λόγου μερῶν ἕκαστον, (ἐπειδὴ τῇ μὲν, κατὰ φωνὴν, τῇ δὲ, κατὰ σημασίαν θεωρεῖται) κατὰ σημασίαν μὲν ὂν εἰλημμένον, ὅρος ἂν οἰκείως προσαγορεύοιτο, ὡς τὸ τί ἦν εἶναί πως σημαῖνον τοῦ ὑποκειμένου πράγματος. καθάπου καὶ ἀπολλώνιος τὰ κατὰ σημασίαν ληφθέντα, ὅρους κατονομάζει, οὐ τὴν φωνὴν, τὸ δὲ ἐξ αὐτῆς παρυφιστάμενον ὁρίζοντας. κατὰ δὲ φωνὴν μόνον, ὁρικὸν ἂν λέγοιτο, οὐχ ὅρος, ὡς ἀτελῶς ληφθὲν, καὶ μὴ τὸ σημαινόμενον αὐτὸ πρᾶγμα, τὴν δὲ τῆς λέξεως ὕλην διοριζόμενον. ἥτις ἐστὶ στοιχεῖον καὶ συλλαβὴ καὶ τὰ ταύτῃ παρεπόμενα. οἷον, τόνος καὶ χρόνος. ἔνθεντοι καὶ τὸ ἄρθρον τοῖς μὲν κατὰ σημασίαν εἰλημμένοις, ἀναφορικῶς, τοῖς δὲ κατὰ φωνὴν, ὁρικῶς κατὰ παρονομασίαν προσκεῖσθαι λέγεται, οἷα δὴ ὁρικοῖς, ἀλλ' οὐχ ὅροις προσκείμενον. διχῶς γὰρ καὶ κατὰ Ἀπολλ'. τὸ ἄρθρον πρόσεισι τοῖς τοῦ λόγου μέρεσιν, ἐπιπλεκόμενον ὁτὲ μὲν, τῷ ὑπὸ τῆς φωνῆς νοουμένῳ, ὡς τὸ γράφειν, ἐπίπονόν ἐστιν. ὁ σωκράτης ἐστὶν ἀγαθός. πρὸς γὰρ τὸ νοούμενον γένος, ἢ τὸ πρᾶγμα τὸ ἄρθρον ἀνατείνεται. ὁτὲ δὲ, αὐτῷ καθ' αὑτὸ τῷ ὀνόματι τῆς φωνῆς. ὅτε καὶ παντὶ μέρει λόγου ἐπιπλέκεται. μηθὲν πλέον σημαῖνον ἢ αὐτὸ μόνον τὸ ὄνομα τῆς φωνῆς. οἷον, τὸ γράφειν, τῆς πρώτης ἐστὶ συζυγίας. ἔστιν ἴαμβος, δισύλλαβον, τὸ σωκράτης, ἐστὶν ὄνομα, τρισύλλαβον, τῆς α', κλίσεως, ἀρσενικοῦ γένους, καὶ ὅσα οὕτω δύναται κατὰ τῆς φωνῆς λέγεσθαι. καθ' ὃν δὴ λόγον καὶ τῶν ἀντωνυμιῶν ταῖς λεγομέναις ἀσυνάρθροις τὸ ἄρθρον προστίθεται, πρὸς τὴν φωνὴν ἀποτεινόμενον, οὐ πρὸς τὸ ἐξ αὐτῆς νοούμενον πρόσωπον. ὅτε φαμὲν, ἡ ἐγὼ μόνον ὀρθοτονεῖται. ἐγὼ μὲν γὰρ λέγοντες, πρόσωπον μετὰ δείξεως παριστάνομεν. ἡ ἐγὼ δὲ, τὴν ἀντωνυμίαν οὐ πρόσωπον. ὅτε γοῦν οὐ περὶ αὐτῆς τῆς σημαινομένης διαθέσεως ποιούμεθα τὸν λόγον, ἀλλὰ περὶ τῆς σημαινούσης αὐτὴν φωνῆς, ὡς φωνὴν αὐτὴν ἐπισκεπτόμενοι, καὶ διοριζόμενοι τὸ ἐπιφημισθὲν αὐτὸ ὄνομα, ὁρικὴν τοτηνικαῦτα ποιοῦμεν τὴν ζητησιν, ἢ ἐκφορὰν καθ' ἑτέρους, ταὐτὸν εἰπεῖν, κατὰ φωνὴν, λειπομένης τῆς κατὰ σημασίαν ζητήσεως εἰς τὸ γενέσθαι ὅρον τὸ ὁρικόν. τοῦ οὐδετέρου δὲ τοῦτο ἴδιον. καθ' ὅ, τι τὰ παρὰ τοῦτο ἄρθρα, ἀρσενικά τε ὄντα καὶ θηλυκὰ, πρὸς τὸ τῆς λέξεως σημαινόμενον ἀποτείνεται ἀείποτε. Σαυτάσσεται δέποτε τοῖς ὁρικοῖς καὶ τὸ θηλυκὸν, ὡς εἴρηται. ἡ ἐγὼ, ἐστὶν ἀντωνυμία, δισύλλαβος, ἴαμβος, εὐθεῖα. πρὸς τὸ ὑπακουόμενον δὲ ἔξωθεν τὸ ἄρθρον ἀνατείνεται, ὡς εἴρηται. οἷον, ἡ ἐγὼ φωνὴ, ἢ ἀντωνυμία. τὸ γράφειν μόριον, ἢ ἀπαρέμφατον. ἐν δὲ τῷ, τὸ γὰρ ἡλικίας οὕτως ἔχειν, ἔμπειρόν με εἶναι τῶν ἀνίνων πεποίηκε. τοῦ βασιλείου εἰς τοὺς νέους. τούτῳ τέ φημι, κἂν τοῖς ὁμοίοις τὸ ἄρθρον οὐχ ὁρικῶς, ἀναφορικῶς δὲ κεῖται. οὐ γὰρ ὁρικῷ, ὅρῳ δὲ πρόσκειται. ὁρικῷ δ' ἂν εἴη προσκείμενον κἂν τῷ, τὸ σωκράτης διαλέγεται,

ἐστὶ

ἐστὶ πρόπασις, ἢ ἀπόφανσις, ἢ μέρος συλλογισμοῦ.

Ὥςθ' ἕτω ἡ εἰπὼν ὡς ἑδέτερα πάντα ἢ ἀκλιτα.

Τὰ δὲ κλιτὰ μόρια. τὸ γὲ μὴν ἄρθρον κλίνεται, ὡς καὶ τὰ τῶν στοιχείων. τὸ γράφω βραχυπαράληκτεῖ. τὸ γράφω ἠλήγυσα μακρά. τῷ γράφω παρέπεται χρόνος. τὸ γράφω βαρύνεσιν.

Ἔτι τὸ Ὅς, ὀνόματος αἰτιατικῆ ἐπιπλεκόμενον, ἀναγκη μὴ πρὸς τὸ ἡγέμενον ὄνομα μόνον, ἀλλὰ ἢ πρὸς τὸ συνημμένον αὐτῷ ἕτερον ῥῆμα ἀναφέρεσθαι. ἄνδρα μοι ἔννεπε μοῦσα πολύτροπον. ὃς μάλα πολλὰ πλάγχθη.

Μέχει τοῦ δεῦρο τὴν τῶν προπακτικῶν ἄρθρων πρὸς τὰ ἐπαγόμενα πτωτικὰ ἐνθέμενος συνάξιν, νῦν δὴ τὴν τῶν ὑποπακτικῶν πρὸς ἃ τὴν ἀναφορὰν ἴσχει ἡγέμενα πτωτικὰ συνοδον διδάσκει. τεχνῶς δὲ, Τὴν μὲν, ἐκ δύοιν δασέων ἑκατέρων, Τὼ δὲ, ἐκ πλαγίων δύοιν τῶν αὐτῶν. Τὴν δὲ τρίτην ἐξ δασείας καὶ πλαγίας ἑκατέρων. τὰ τοίνυν ὑποπακτικὰ τῶν ἄρθρων, ἐμόνον αἰτιατικῆ ὀνόματος, ἀλλ' ἁπλῶς ὀνόματι καθ' ἑνικὰν πτῶσιν ἐκφερομένῳ ἐπιπλεκόμενα, ἐ μόνον συνδεδεμένα τυγχάνει δὴ τῆς ἀναφορᾶς τῷ προκειμένῳ ὀνόματι, καὶ Ἀπολλ'. ἀλλὰ καὶ ἐπίῥημα ἴδιον φέρεται. (τὸ δὲ τοιοῦτο, κοινὸν καὶ τῶν τριῶν ζώων.) ταύτη τοι καὶ τῷ μὲν ἡγεμένῳ ὀνόματι τὴν τῆς γένους καὶ ἀριθμὸν μόνον, τὴν δὲ καὶ πτῶσιν ἀναφορὰν τῷ ἑπομένῳ ῥήματι χαριζόμενα, κατὰ λόγον συγκλείει λόγιον. (τὸ δὲ τὰ ταυτοπροσωπᾶντα πτωτικὰ ὁμοιοπτωτεῖν, περὶ τῶν πρὸς τὸ αὐτὸ ῥῆμα φερομένων εἴρηται.) ἐχέτω μὴν φίλῳ, ὃν καὶ τρύφων γινώσκει. εἰ γὰρ γινώσκει αἰτιατικὴν ἀπαιτεῖ. καὶ τοιόνδε ἁπλοῦν λόγον ἐπαρτίσανει καὶ τὴν τῶν δύοιν ῥημάτων σύνταξιν, λέγω τὴν ἐν τῷ ὀνόματι καὶ τὴν ἐν αὐτῷ τῷ ἄρθρῳ. ὅθεν τῶν πτωτικῶν τό, τε ἀναφορικὸν καὶ τὸ πρὸς ὃ ἀναφέρεται, ἐπὶ ἴδιον ῥῆμα ἑκάτερα ἐνέχθησεται καθ' ἑτέραν πτῶσιν. πρὸς γὰρ ἓν ἄμφω ἀποδιδόμενα ῥῆμα, ἀναπαλλήλοπα παρέξει τὸν λόγον. οἷον, ἐλθὼν ἀνὴρ, ὃς ἐπέστειλεν. ἦλθεν ἀνὴρ, ὃς ἐπιστείλας. Καὶ φαίνεται ὅτι δεῖ τὴν, ὡς εἴρηται, τῶν ὑποπακτικῶν ἄρθρων ἰδιότητα, προσλαβόντα τὸ ἐπιζητούμενον ῥῆμα, ἀπαρτίζειν τὸν λόγον. ἦλθεν ἀνὴρ, ὃς ἐπιστείλας ἦν. τὰ μὲν δὴ προπακτικὰ τῶν ἄρθρων ὡς καὶ πρόειρηται, συνοδεύει τοῖς ὀνόμασιν εἰς τὸ αὐτὸ ῥῆμα καὶ τὴν αὐτὴν μετοχήν. ὁ σωκρατικὸς περιπατῶν, διαλέγεται. τὰ δὲ ὑποπακτικὰ ἑτέρου ῥήματος παρέμπτωσιν ἀπαιτεῖ. Ἕνθεν τοι Ξενοφ: ἐν τῷ περὶ κυροπ'. β', ἔνιοι ἄνοσοι, εἴ τισιν εὐτυχαίοιεν τῶν ἀρμενίων, ὃς μὲν αὖ συλλαμβάνοντες αὐτῶν, κωλύοιεν τῶν ἐξαγγελιῶν, ὃς δὲ μὴ δωίαιντο λαμβάνειν, ἀποσοβοῦντες αὖ, ἐμποδὼν γίγνοιντο τοῦ μὴ ὁρᾶν αὐτοὺς τὸ ὅλον στράτευμα. ἐν ᾧ τὸ συλλαμβάνοντες, αὐτὶ ῥήματος ἐκλιπτέον. ἵν' ᾖ, τίνες κωλύοιεν τῶν ἐξαγγελιῶν, ὃς ἂν συλλαμβάνοιεν. καὶ τὸ ἑξῆς, τίνες ἀποσοβοῦντες ἂν, ἐμποδὼν γίγνοιντο, ὃς μὴ δωίαιντο λαμβάνειν. τῆς δὲ συλλαμβάνοντες μετοχῆς πρὸς τὸ κωλύοιεν ἀποδιδομένης, ὁ αὐτοτελὴς ἔτος λόγος, λόγον ἕτερον ἐπιζητεῖ εἰς ἀπόδοσιν. μὴ ἔχων δὲ, ἐκρεμὴς ἔσαι καὶ ἐλλιπὴς. καὶ θακὸ', ἐν γ', ἐπιθέμενοι δὲ παρὰ τὴν ξύμβασιν, (ὑμεῖς) ὃς μὲν ἐν χερσὶν ἀπεκτείνατε, ἐχόμοιος ἀλγεῦμεν. ὃς δὲ χείρας προῖσχομένους παρανόμως διεφθείρατε, πῶς

πῶς οὐ δεινὰ εἴργασθε, τὸ εὐθυλεκτούμενον μετοχικὸν πτωτικὸν, πρὸς μὲν τὸ ἀπεκτείνατε, ἢ διεφθείρατε, ἥκιστ' ἂν ἀποδοθείη, πρὸς δὲ μόνον τὸ εἴργασθε, βεβιασμένως δὲ καὶ πρὸς τοῦτο. ἐν δὲ τῇ αὐτῇ, εἰ τοῖς τε ἀναγκασθεῖσι καὶ τοῖς ἑκοῦσιν ἀποστᾶσι τὰς αὐτὰς ζημίας προσθήσεσθε. τίνα οἴεσθε, ὅντινα οὐ βραχείᾳ προφάσει ἀποστήσεσθαι; οἷον, καὶ τὸ, τίνα οἴεσθε, (πόλιν) ἥντινα οὐκ ἄμεινον ἢ νῦν παρασκευάσεσθαι; ἐν οἷς τὸ ὅντινα, καὶ ἥντινα ἤτοι εἰς εὐθεῖαν μεταληφθήσεται, καὶ τὸ ἀπαρέμφατον εἰς ῥῆμα προσωπικὸν, ἢ ὅλον παρέλκει. καὶ συνέσ. δὲ ἐπιστλ. ριδ', εἶτα θαυμάζεις, ὅς τις τοὺς αὐχμῴδεις φυκοῦντας οἰκῶν, εἰ ῥιγεῖς; ἤτοι ἡ μετοχὴ εἰς ῥῆμα μεταληφθήσεται, ἢ τὸ ὅς τις παραπληροῖ, ῥήματος μὴ προηγούμενον. τὰ δὴ τοιαῦτα οὐχ ὡς ἐπιτοπολύ. οἷόν τι καὶ πλουτάρχ. ἐν τῷ περὶ ὑγιεινῶν παραγγελμάτων τὸ, οὐκ οἶδα δὲ ὅντινα τρόπον ἡμῶν τὰς γυναῖκας, ὅσαι φίλτρα μηχανῶνται, καὶ γοητείας ἐπὶ τοὺς ἄνδρας, μονονοῦ μαγγανεύειν καὶ φαρμάττειν. ἀντὶ τοῦ οὐκ οἶδα ὅντινα τρόπον αἱ γυναῖκες μαγγανεύουσι καὶ φαρμάττουσι.

Μετάβασις δὲ τοῦτο

Οὐχὶ καὶ πάντα τὰ ἐφεξῆς.

Ἀπὸ προσώπου εἰς πρόσωπον.

Δύοιν ὄντων τῶν ῥημάτων, (οὗτέ φημι ἀκολουθητικόν ἐστι τὸ ἀναφορικὸν, καὶ οὗ προηγεῖται.) ἤτοι ἑκατέροις τοῖς ῥήμασι ταυτοπροσωπεῖ τὸ ἀναφορικὸν, ἢ οὐδετέροις, ἢ τῷ μὲν, τῷ δ', οὔ. ἑκατέροις μὲν οὖν ταυτοπροσωπεῖ, ἔνθα τε εὐθεῖα συντάσσεται εὐθείᾳ, (ὡς ἐπὶ τοῦ, ἧκεν ἀνὴρ, ὃς ἐπέστελλεν.) ἔτι καὶ ἔνθα δύω μὲν εἰσι πλάγιαι, κατ' ἐπιστροφὴν δὲ καὶ αὐτοπαθῶς ἡ μετάβασις τοῦ ῥήματος γίγνεται. (ὡς ἐν τῷ, θεραπεύω ἐμαυτὸν, ὃν φιλῶ.) ἐφ' ὧν καὶ ἡ τοῦ ῥήματος μετάβασις οὐκ ἔστιν ἀπὸ προσώπου εἰς πρόσωπον. οὐδετέροις δὲ πάλιν, ἔνθα δύω μὲν εἰσι πλάγιαι, ἡ δὲ τοῦ ῥήματος μετάβασις μὴ εἴη κατ' ἐπιστροφὴν, ἀλλ' ἀπὸ προσώπου εἰς ἕτερον πρόσωπον. (ὡς ἐπὶ τοῦ, τρέφω τὸν ἀνὸν, ὃν ἐλεῶ.) ἔνθα δὲ ἡ μὲν εἴη τῶν πτώσεων εὐθεῖα, ἡ δὲ, πλαγία, τηνικαῦτα τῷ μὲν, τῷ δ' οὐ ταυτοπροσωπεῖ τὸ ἄρθρον, (ὡς ἐπὶ τοῦ, φιφεῖ σωκράτης, ὃν τιμῶ.) τούτων οὕτω κειμένων, τὴν ἀπὸ προσώπου εἰς πρόσωπον τοῦ ῥήματος μετάβασιν οὐκ ἐπὶ τοῦ τυχόντος ἐκληπτέον ῥήματος, ἀλλ' ἐπὶ μόνου τοῦ μὴ ταυτοπροσωποῦντος τῷ ἄρθρῳ. ἐπὶ γὰρ τοῦ τούτῳ ταυτοπροσωποῦντος μετάβασις ἀπὸ προσώπου εἰς ὃ πρόσωπον τὸ ἄρθρον ἀναφέρεται, οὐκ ἂν γίγνοιτο. οἷον, ἐπὶ τοῦ, ἧκε σωκράτης, ὃν τιμῶ. ἡ εἰς τὸν σωκράτην μετάβασις οὐκ ἀπὸ τοῦ ἧκεν, ἀλλ' ἀπὸ τοῦ τιμῶ.

Εἰ δ' εὐθεῖα συντάττοιτο εὐθείᾳ, πρὸς τὸ αὐτὸ πρόσωπον ἄμφω τὰ ῥήματα ἀναφέρεται. ἧκεν ἀνὴρ, ὃς ἐπέστελλεν.

Ὁ α', τρόπος. καθ' ὃν τῶν πτωτικῶν τοῦτε ἀναφορικοῦ καὶ τοῦ πρὸς ὃ ἀναφέρεται, ἑκατέρων εὐθυλογουμένων, τοῦ αὐτοῦ προσώπου ἑκάτερα κατηγορεῖται τὰ ῥήματα, τό, τε προηγούμενον τοῦ ὑποτακτικοῦ ἄρθρου καὶ τὸ ἑπόμενον.

Εἰ δὲ δύω πλάγιαι εἶεν, ἤτοι πρὸς ἕτερον πρόσωπον μετάβασις γίγνοιτ' ἄν. οἷον, τὸν ἄνον, ὃν ἐλεῶ, τρέφω. ἢ κατ' ἐπιστροφήν. ἐμαυτὸν, ὃν φιλῶ, θεραπεύω.

Ὁ β', τρόπος. ἐν ᾧ δύοιν οὐσῶν ἑκατέρωθεν

ρωθεν τῶν πλαγίων, ἡ τοῦ ἀρθρικοῦ ῥήματος διάθεσις ἢ εἰς ἕτερον πρόσωπον μεταβαίνει, ἢ πρὸς τὸ αὐτὸ ἐπιστρέφει. ἔνθα δὴ καὶ πρὸς τὸ αὐτὸ πρόσωπον ἄμφω τὰ ῥήματα ἀναφέρεται.

Εἰδ' ἡ μὲν τῶν πτώσεων εἴη εὐθεῖα, ἡ δὲ, πλαγία, ἐνίοτε μὲν καὶ πρὸς τὴν εὐθεῖαν ἡ μετάβασις τοῦ ῥήματος γίνεται ἀπὸ προσώπου εἰς πρόσωπον. ἐπαινεῖ τοὺς δαναοὺς Ὅμηρος, ὃν τιμῶ. καὶ πάλιν, τέθνηκε Πάτροκλος, ὃν ἐφίλει Ἀχιλλεύς. ὡς ἐπὶ τὸ πλεῖστον δὲ πρὸς πλαγίαν. τιμῶ Ὅμηρον, ὃς τοὺς δαναοὺς ἐπαινεῖ.

Ὁ γ', τρόπος. ἐν ᾧ τῶν δύοιν πτώσεων τῆς μὲν, εὐθείας οὔσης, τῆς δὲ, πλαγίας, ἡ τοῦ ἑτεροπροσωπικοῦ ῥήματος μετάβασις γίνεται ἐπιπλέον μὲν, πρὸς πλαγίαν ὀνοματικοῦ πτωτικοῦ. ἄνδρα μοι ἔννεπε μοῦσα, ὃς πλάγχθη. ὀδ: α', μῆνιν ἄειδε θεὰ, ἣ ἔθηκεν. ἰλ. α'. ἔστι δ' ὅτε δὰ τῆς τοῦ ὑποτακτικοῦ ἀναφορᾶς καὶ πρὸς εὐθεῖαν ὀνόματος. γραμματικὸς ἦλθεν, ᾧ ὡμίλησε τρύφων. εἰπὼν δὲ πρὸς τὴν εὐθεῖαν τὴν τοῦ ῥήματος μετάβασιν γίγνεσθαι, δοκεῖ μὲν περιττῶς ἐπενεγκεῖν τὸ, ἀπὸ προσώπου εἰς πρόσωπον, τῆς μεταβάσεως προδήλως ἀπὸ προσώπου γιγνομένης εἰς πρόσωπον, οὐ μέν τοι γε ἀργῶς κεῖται, πρὸς δὲ ἀντιδιαστολὴν τῆς ἐν τῷ β', τρόπῳ μεταβάσεως τοῦ ῥήματος, τῆς γιγνομένης οὐ πάντως ἀπὸ προσώπου εἰς πρόσωπον, ἀλλὰ καὶ κατ' ἐπιστροφήν.

Καὶ αἱ πλάγιαι δὲ τοῦ Ὅς, πρὸς τὰς εὐθείας ἁπάντων τῶν πτωτικῶν ἀναφέρονται.

Εἰπὼν ἀνωτέρῳ τὸ ἀναφορικὸν εὐθυλεκτούμενον αἰτιατικῇ καὶ ἁπλῶς πλαγίᾳ ὀνόματος ἐπιπλέκεσθαι, ἐναλλὰξ ἤδη τὰ μέρη τίθησι, καὶ τὰς πλαγίας λέγων τοῦ ἀναφορικοῦ πρὸς τὰς εὐθείας τῶν πτωτικῶν ἀναφέρεσθαι.

Ὅμηρος, οὗ. ᾧ. ὅν.

Ἀπὸ κοινοῦ τὸ εὐθυλεκτούμενον πτωτικὸν ἐκληπτέον ἐπὶ πασῶν τῶν πτώσεων τοῦ ἀναφορικοῦ, ἀποδιδόντας τῶν πτωτικῶν ἑκατέροις τὴν πρόσφορον συνταξιν καὶ πᾶσαν πτῶσιν. οἷον, Ὅμηρος. οὗ λόγος ἐπ' ἀρετῇ πολὺς, ἢ ᾧ πάντες διδασκάλῳ ἐχρήσαντο, ἢ ὃν οἱ ἁλιεῖς αἰνίγμασιν ἀφωνίας βυθῷ παρέπεμψαν. οὗτος ἐποίησε τὴν ὀδύσσειαν. ἔστι δὲ καὶ ταῦτα τοῦ γ', τρόπου.

Καὶ ἀνάπαλιν τῇ ὃς εὐθείᾳ πᾶσαι αἱ τῶν ἄλλων πτώσεις καταλλήλως συντάσσονται. Ὅμηρος, ὃς τὴν ἰλιάδα συνέγραψεν.

Ταῦτα τοῦ α', τρόπου εἰσίν.

Ὁμήρου, ὅς. ὁμήρῳ, ὅς. ὅμηρον, ὅς. ὅμηρε, ὅς.

Ταῦτα τοῦ γ', τρόπου. δεῖ δὲ κἀνταῦθα πληρέστερον προσθεῖναι, οἷον, ὅμηρος, ὃς τὴν ἰλιάδα συνέγραψε, συνέγραψε καὶ τὴν ὀδύσσειαν. (τὸ γὰρ προηγούμενον τοῦ ἀναφορικοῦ πτωτικὸν, πρὸς ἕτερον πάντως ῥῆμα τὴν ἀπόδοσιν ἔχει, ὡς εἴρηται.) ὁμήρου ἐστὶν ἡ ἰλιὰς, ὃς καὶ τὴν ὀδύσσειαν, κτ': ὁμήρῳ ἐπιγράφουσι τὴν ἰλιάδα, ὃς καὶ τὴν ὀδύσσειαν κτ': τιμῶ ὅμηρον, ὡς καὶ τὴν ὀδ': κτ': ὅμηρε, ὃς τοιαῦτα συνέγραψας, τίς σε μὴ θαυμάσει τῶν ἀνθρώπων.

Καὶ ἔτι αἱ τοῦ Ὅς πλάγιαι,

Τὸ συν-

Τὸ συνταίσσονται, ἀπὸ κοινοῦ.

Ταῖς τῶν πτωτικῶν πλαγίαις ἁπάσαις.

Οὐ μόνον ὀνοματικῶν, ἀλλὰ καὶ μετοχικῶν καὶ ἀντωνυμικῶν. τοῦ β', δὲ τρόπου ταῦτα.

Ὁμήρου, οὗ. ᾧ. ὅν.

Οἷον, ὁμήρου ἐστὶν ἡ ἰλιὰς, οὗ καὶ ἡ ὀδύσσεια, ἢ ᾧ ἡδέως προσφέρομαι, ἢ ὃν τιμῶ.

Καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως.

Πλαγίων πτώσεων τῶν πτωτικῶν. οἷον, ὁμήρῳ πεποίηται ἡ ἰλιὰς, οὗ, ᾧ, ὅν. ὅμηρον φιλῶ, οὗ, ᾧ, ὅν. ὅμηρε χαῖρε. οὗ, ᾧ, ὅν.

Καὶ ὁμοῦ ταῖς προθέσεσι.

Τὸ καταλλήλως συνταίσσονται αἱ τοῦ ὅς, πλάγιαι, ἀπὸ κοινοῦ.

Ἀφ' οὗ, σὺν ᾧ, περὶ ὅν. Ἔστι δ' ὅτε καὶ μετὰ τὸ ὑποτακτικὸν εὐθὺς μετοχὴν ἐπάγομεν, ὁμοιογενῆ καὶ ὁμοιόπτωτον, καὶ ὁμοιάριθμον, ἢ πλαγιοσύντακτον κατὰ γενικὴν ἀεί. καὶ ἤτοι μόνην, ἢ σὺν ὀνόματι, ἢ ἐπιρρήματι,

Μέχρι τοῦ δὲ τὴν ἀναφορὰν τοῦ ὑποτακτικοῦ πρὸς τὰ προηγούμενα τῶν πτωτικῶν ἐδίδαξεν, ἤδη δὲ καὶ τὴν πρὸς τὰ ἑπόμενα τῶν πτωτικῶν σύνταξιν αὐτοῦ τούτου ἐκτίθεται, ἐνίοτε λέγων καὶ μετοχὴν εὐθὺς, τοῦτ' ἔστιν ἀμέσως. (τὰ γὰρ παρεμπίπτοντα, ἐπακολουθητικὰ οὐ προηγητικά ἐστι τῆς μετοχῆς.) μετὰ τὸ ὑποτακτικὸν ἄρθρον ἐπάγομεν. διχῶς δὲ, τῇ μὲν, ταυτοπροσωποῦσαν τῷ ὑποτακτικῷ, τῇ δὲ, ἑτεροπροσωποῦσαν. κἀκείνως μὲν, ὁμοιογενῆ καὶ ὁμοιόπτωτον καὶ ὁμοιάριθμον τῷ ἄρθρῳ. ἡ γάρ τοι παραλλαγή τοῦ ὧν ἑκατέροις πρόσεστι, σολοικισμὸς, ὡς εἴρηται. ἑτεροπροσωπικῶς δὲ, πλαγιοσύντακτον κατὰ γενικὴν ἀεὶ ἐπάγομεν κατὰ τὸν β', τρόπον τῆς μετοχικῆς πρὸς τὸ ῥῆμα συντάξεως. τὸ γὰρ κατὰ γενικὴν ἀεὶ, ἐπὶ τῆς ἑτεροπροσωπούσης ἐκληπτέον. ὅτινες μὴ ἐννοήσαντες, συγχέουσι τὰ τοῦ κειμένου, διαποροῦντες καὶ ἐπιδιορθοῦν, μᾶλλον δὲ διαφθείρειν πειρώμενοι. τὸ δὲ εὐθὺς, ἐπὶ τῆς ταυτοπροσωπούσης μόνον ἀκουστέον.

Οἷον, αἱροῦμαι ἀρετὴν, ἣν παροῦσαν οὐδεὶς ἄν με ἀφέλοιτο. ἐπαινῶ τὸν τρόπον σωκράτους, οὗ καθηγησαμένου, ἢ σπουδαίου γεγονότος, πλεῖστοι ὤναντο τὰ εἰς ἀρετήν. Καὶ σὺν ἐπιρρήματι. οὗ ἄριστα τὸν βίον διάγοντος.

Τῶν, ἤτοι μόνην, ἢ σὺν ὀνόματι, μὴ ἐπαναληφθέντων, οὐ δὲ τὸ, καὶ σὺν ἐπιρρήματι, ἐπαναληφθῆναι ἔδει. τί γὰρ δεῖ περιττολογεῖν ἐν οἷς σαφέστερα τὰ τῆς βραχυλογίας οὔτωσίν; ἐπαινῶ τὸν τρόπον σωκράτους. οὗ καθηγησαμένου, ἢ σπουδαίου γεγονότος, ἢ ἄριστα τὸν βίον διάγοντος, πλεῖστοι ὤναντο τὰ εἰς ἀρετήν. Μόνη μὲν οὖν ἐπήχθη τῷ ὑποτακτικῷ, ἡ παροῦσαν, καὶ ἡ καθηγησαμένου. σὺν ὀνόματι δὲ, ἡ γεγονότος, καὶ σὺν ἐπιρρήματι δὲ, ἡ διάγοντος. Ἐν δὴ τούτοις ἅπασι ταυτοπροσωποῦσα ἡ μετοχὴ τῷ ἄρθρῳ, ὁμοιογενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως τούτῳ συνηνέχθη.

Μετοχὴν δὲ ἑτεροπροσωπικῶς, ὡς καὶ τοῖς κυρίοις καὶ προσηγορικοῖς, ἐπάγομεν ὧδε. ἐπαινῶ σωκράτην, ὃν, ἀρετῆς ἐν ἑαυτῷ οὔσης τελείας,

πολλοὶ

πολλοὶ μιμησάμενοι, ἐπέδωσαν περὶ τὰ καλά.

Ἐνταῦθα καὶ γενικὴν ἀεὶ, ὡς εἴρηται, ἐπάγεται τῷ ἄρθρῳ ἡ μετοχὴ διὰ τὸ ἑτεροπροσωπικόν. ἐν γὰρ τῷ, ἐπαινῶ σωκράτην, ὃν, ἀρετῆς οὔσης, πολλοὶ μιμησάμενοι. κτ. τὸ μὲν ὃν, πρὸς τὸν σωκράτην, τὸ δὲ οὔσης, πρὸς τὴν ἀρετὴν ἔχουσι τὴν ἀναφοράν. ἡ δὲ ἀρετὴ ἕτερον οὖσα τοῦ σωκράτους, ἑτεροπροσωποῦσαν ἔχει τούτου καὶ τὴν συνοῦσαν αὐτῇ μετοχὴν, πρὸς δὲ καὶ ἀμετάτον. οὐδεμία γὰρ μετάβασις τῆς μετοχῆς τοῦ ὑπαρκτικοῦ πρὸς τὸν σωκράτην γίνεται. ἡ δὲ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα ἑτεροπροσωπικὴ καὶ ἀμετάβατος σύνταξις, ἀπὸ γενικῆς ἀπολύτου λαμβανομένη προαποδέδεικται. τὸ ἄρα καὶ γενικὴν ἀεὶ, ἐπὶ τῆς ἑτεροπροσωποῦσης τοῦ ὑποτακτικοῦ μετοχῆς ἐκλεπτέον. ὥσπερ οὖν τῶν ὀνομάτων τοῖς οὐσιαστικοῖς ἐπάγομεν ἑτεροπροσωπικὴν μετοχὴν ἀπολύτως. οἷον, πλάτων, σωκράτους διδάσκοντος, μανθάνει, ἢ σωκράτην, ἀρετῆς ἐν αὐτῷ οὔσης, πολλοὶ μιμησάμενοι, ηὐδοκίμησαν. οὕτω καὶ τῷ ὑποτακτικῷ.

Ἔτι τὸ ὑποτακτικὸν πολλάκις, οὐ πρὸς ἣν πτῶσιν ἀπαιτεῖ τὸ ἐπαγόμενον ῥῆμα, ἀποδίδοται, ἀλλὰ πρὸς ἣν τὸ ἡγούμενον. ἀττικὸν δὲ τὸ τοιοῦτο. χρῶμαι, οἷς ἔχω, βιβλίοις. καὶ, ἀπολαύω, ὧν ἔχω, ἀγαθῶν.

Εἴρηται ἤδη τὰ ὑποτακτικὰ τῶν ἄρθρων τὴν, ὧν προηγοῦνται ῥημάτων πτῶσιν μεταλαμβάνειν. καὶ γε μὴν ἔθος ἀττικὸν οὐ τοῖς ἑπομένοις, τοῖς δ' ἡγουμένοις τῶν ῥημάτων, καὶ ἁπλῶς τοῖς ἡγουμένοις πτωτικοῖς, εἴ τε ῥηματικὰ τύχοι ὄντα, εἴ τε προθετικὰ, ἢ ἐπιρρηματικὰ, ἀκολουθεῖ καὶ πτῶσιν, διὰ τὴν πρὸς αὐτὰ ἀναφοράν. Τὸ δὲ τοιοῦτον ὑποτακτικὸν, πτωτικὸν μὲν ὂν ἐκ γ', τοῦ ἐπαγομένου ῥήματος, εὖ ἂν ἔχοι ἀποδιδόμενον πρὸς ἣν πτῶσιν ἀπαιτεῖ τὸ ἡγούμενον ῥῆμα, εὐθυλεκτούμενον δὲ ἐκ α', οὐκ ἔτι. ὅθεν σημειῶδες τοῦ Χρυσοστόμου ἐν τῇ ὑποθέσει τῆς πρὸς ἑβραίους τοῦ Παύλου ἑρμηνείας τὸ, καὶ ποιεῖται τὴν παράκλησιν ἐξ ὧν ἀπόκειται τοῖς πιστεύουσιν ἀγαθῶν. καθ' ὅ, τι ἡ μὲν εὐθεῖα οὐκ ἔστι πτῶσις. ὁ δὲ, πρὸς ἣν ἀπαιτεῖ πτῶσίν φησιν. ὡς δηλοῖ τὸ ἔχω. τῶν κατ' ἐκπομπὴν γὰρ ὂν, τὸ ἴδιον ἐκ γ', πτωτικὸν ἀκολουθεῖν ἐποίησε τοῖς ἡγουμένοις τῶν πτωτικῶν, τῷ μὲν, εἰς δοτικὴν τοῦ χρῶμαι, τῷ δὲ, εἰς γενικὴν τοῦ ἀπολαύω. χιάζει δὲ ἡ τοιαύτη σύνταξις.

χρῶμαι	⊠	οἷς
ἔχω		βιβλίοις.
ἀπολαύω	⊠	ὧν
ἔχω		ἀγαθῶν.

Ἰστέον δὲ, ὡς τοῦ ἐπαγομένου ῥήματος, τῶν κατ' ἐκπομπὴν μὲν ὄντος, ἀποδίδοται τὸ ὑποτακτικὸν πρὸς ἣν τὸ ἡγούμενον ἀπαιτεῖ πτῶσιν, τῶν κατ' εἰσπομπὴν δὲ, ἢ τῶν καὶ περιποίησιν ὄντος ἐκείνου, οὐκ ἔτι. οὐ γὰρ ὅλως ἐν χρήσει τὸ, ἀπολαύω, ὧν χρῶμαι βιβλίων. ἢ ἔχω, ἃ ἀπολαύω ἀγαθά. διὰ τοῦτο προσέθηκε τὸ, πολλάκις. Ὥσπερ δὲ τὸ ὑποτακτικὸν μιμεῖται τὴν πτῶσιν τοῦ ἡγουμένου πτωτικοῦ, οὕτως ἐκ τοῦ ἐναντίου καὶ τὸ φύσει ἡγούμενον τοῦ ὑποτακτικοῦ πτωτικὸν, ἔστιν οὗ ἐπιφερόμενον, τὴν πτῶσιν μιμεῖται τοῦ ἀναφορικοῦ. οἷον, τίς ἣν εἴργαστο προδοσίαν; τοιοῦτος, ᾧ κέχρηται τρόπῳ. καὶ τὸ τοῦ Φωτίου, τίς στήσει ταῦτα; ἀλλ' ἴσως ὃν αὐτοὶ καθ' ἡμῶν ὠδίνουσι θάνατον. καὶ τὸ τοῦ Ἀριστίλ: ὅμοιον γὰρ κἂν εἴ τις, ᾧ μέλλει χρῆσθαι κανόνι, τοῦτον ποιήσειε στρεβλόν.

καὶ τὸ,

καὶ τὸ, οὐκ ἔστιν ὅν τινα εἰς μετάνοιαν οὐ καλεῖ ὁ υἱὸς τοῦ Θεοῦ ἁμαρτωλόν. καὶ τὸ, ἀπ' ἀνθέων καὶ ἐν οἷς ἄλλοις ἐστὶ γλυκύτης. καὶ τὸ παρ' Αἰσχύνῃ, οὐκ ἔστιν ἥν τινα πώποτε οὐκ ἦρξεν ἀρχήν. καὶ Ἰουστίνου τοῦ ἐν μάρτυσι φιλοσόφου τὸ, δυσαναβίβαστος ἡ ψυχὴ ἐπὶ ταῦτα, ἀφ' ὧν ὠλίσθησε καλῶν. καὶ Θουκδ'. β'. ἔστησαν δὲ καὶ οἱ πελοποννήσιοι τροπαῖον τῆς τροπῆς, ἃς πρὸς τῇ γῇ ναῦς διέφθειραν. ἀντὶ τοῦ ἕνεκα τῆς τροπῆς τῶν νεῶν, ἅς. καὶ ἰλ. ᾱ, κείνοισι δ' ἂν οὔ τις τῶν, οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι, μαχέοιτο. ἀντὶ τοῦ τῶν βροτῶν, οἵ. ἐν οἷς ἅπασι καὶ τοῖς ὁμοίοις τὸ προηγούμενον τοῦ ἀναφορικοῦ πτωτικὸν, μετ' ἐκεῖνο τεθὲν, σαυώδευσε κατὰ πτῶσιν τῷ ἀναφορικῷ. τὸ δὲ τοιοῦτο πτωτικὸν ἐν τῇ ἐξηγήσει μεταληπτέον εἰς ἣν πτῶσιν ἀπαιτεῖ τὸ ἡγούμενον ῥῆμα. οἷον, τίς ἣν εἴργαστο προδοσίαν; τίς ἡ προδοσία, ἣν κτ'. τὸ δὲ ἐν τῇ εὐχῇ τοῦ μεταφραστοῦ, συναρεῖς λόγον μετ' ἐμοῦ ὑπὲρ ὧν ἐν γνώσει ἀσύγγνωστα ἔπραξα ἁμαρτήματα. ἡμάρτηται, δέον ἁμαρτημάτων. Ἔτι πολλάκις τὸ ὑποτακτικὸν οὐ πρὸς ὃ γένος ἀπαιτεῖ τὸ ἡγούμενον πτωτικὸν, ἀλλὰ πρὸς ὃ τὸ ἑπόμενον, ἀποδιδόμενον εὕρηται. ἀττικὸν δὲ καὶ τὸ τοιοῦτο. οἷον, στυγὸς ὕδωρ. ὅς τε μέγιστος ὅρκος. ἰλ. ᾱ. καὶ, πόλεις ἐκεῖναί εἰσιν, οὓς φωλεοὺς εἶναι νομίζεις. Λουκιαν. ἐν τῷ ἐπισκοπ. Θουκυδ'. γ', καὶ μετὰ τούτους εὑρυτάσιν, (ἐπιχειρεῖν ἐκέλευον. ὅπερ μέγιστον μέρος ἐστὶ τῶν αἰτωλῶν. Γρηγόρ. ἐν τῷ περὶ ἱερωσ'. ὁ ναζιανζ. ὅσα περὶ τῆς ἀρχικῆς καὶ βασιλικῆς καὶ μακαρίας Τριάδος ὑπολη-πτέον. ὅς περ δὴ καὶ κινδύνων μέγιστος τοῖς φωτίζειν πεπιστευμένοις. κἀντῷ αὐτῷ, καὶ βραβεῦσαι δικαίως ψυχῇ τε καὶ σώματι, μὴ τῷ χείρονι τὸ κρεῖσσον δυναστεύεσθαι συγχωρήσαντας. ἥπερ ἀδικιῶν ἡ μεγίστη. τῷ δὲ ἄρχοντι καὶ ἡγεμονικῷ τὸ τῇ φύσει δεύτερον ὑποτάξαντας. ὅς περ δὴ νόμος θεῖος. κοινὸν δὲ ταὐτὸ τοῦτο καὶ πρὸς τὰς ἀντωνυμίας, ὁ αὐτὸς ἐν τῷ εἰς τὸν μέγαν Ἀθανάσιον. οἴῃ με ἄλλως σοι κεχρηματικέναι; ἢ ἵνα ἀναφανῇς δίκαιος. τοῦτο τῶν τραυμάτων τὸ φάρμακον. οὗτος τῆς ἀγωνίας ὁ στέφανος. αὕτη τῆς ὑπομονῆς ἡ ἀντίδοσις. ἐν οἷς καινοσχημόνως ὁ κατὰ γένος μεταχηματισμὸς ἐν τοῖς ἑπομένοις ἐγένετο, τῷ, ὁ στέφανος καὶ ἡ ἀντίδοσις καὶ τὸ φάρμακον. ὡς κἀντῷ εἰς Καισάριον τὸν ἀδελφόν. τοῦτό σοι, Καισάριε, παρ' ἐμοῦ τὸ ἐντάφιον. αὗται τῶν ἐμῶν λόγων αἱ ἀπαρχαί. οὗτος ὁ παρ' ἐμοῦ κόσμος. τοιοῦτο καὶ τὸ, τῷ τις νῦν ἰθὺς τετραμμένος, ἢ ἀπολέσθω, ἠὲ σαωθήτω. ἢ γὰρ πολέμου ὀαριστύς. ἐσχημάτισται δὲ καὶ οὗτος ὁ λόγος ἀττικῶς. ἀντὶ γὰρ τοῦ εἰπεῖν, τοῦτό ἐστιν ἰδιότης πολέμου, εἶπεν, αὕτη. οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν τοῦ ὑπαρκτικοῦ μετοχὴν κοινὸν τὸ τοιοῦτο, ὡς εἴρηται. οἷον, οἶδας κακίαν μὲν οὖσαν τὰ ἄκρα, ἀρετὴν δὲ τὴν μεσότητα. καὶ, φιλοσόφει τὴν ὄντως φιλοσοφίαν. ἧς ἔγνως τὸν ὅρον μελέτην οὖσαν θανάτου. ἀντὶ τοῦ ὄντα ἔνθα μὲν, τὸν ὅρον, ἔνθα δὲ, τὰ ἄκρα. Κοινῶς μὲν οὖν τὸ ὑποτακτικὸν ἄρθρον ἀναπέμπει τὴν ἀναφορὰν τὴν μὲν κατὰ γένος καὶ ἀριθμὸν, τῷ ἡγουμένῳ πτωτικῷ, τὴν δὲ κατὰ πτῶσιν, τῷ ἑπομένῳ ῥήματι, ἀττικῶς δὲ τὸ ἀνάπαλιν, τῷ μὲν ἡγουμένῳ ῥήματι, τὴν κατὰ πτῶσιν. χρῶμαι οἷς ἔχω βιβλίοις. τῷ δὲ ἑπομένῳ πτωτικῷ, τὴν κατὰ γένος, πόλεις ἐκεῖναί εἰσιν, οὓς φωλεοὺς, κτ'.

Ἔτι τὸ ὑποτακτικὸν ἔστι μὲν οὗ, πρὸς πληθυντικὸν, ἑνικὸν ἀποδιδόμενον εὕρηται. οἷον, ἀνοὺς τίννυσθον, ὅς τίς κεν ἐπίορκον ὀμόσσῃ. ἔστι δ' οὗ, τὸ ἀνά-

τὸ ἀνάπαλιν, μή τις ἀχαιῶν ἐνθάδ' ἐπέλθῃ, οἵτέμοι ἀεὶ βουλὰς βουλεύουσι.

Ἡ σύνταξις, τὸ ὑποτακτικὸν πρὸς πτωτικὸν ἀποδιδόμενον εὕρηται, ἔστι μὲν οὗ, τὸ ἐνικὸν πρὸς πληθυντικὸν, ἔστι δὲ οὗ, τἀνάπαλιν, τὸ πληθυντικὸν πρὸς ἐνικόν. ἀνοῦς τίννυσθον, ἰλ. γ. καὶ δοκεῖ μὲν ὁ ποιητὴς καὶ ὅσοι κατ' αὐτὸν τοῖς τοιούτοις χαίρουσιν, ἀπὸ πληθυντικοῦ πτωτικοῦ μεταβῆναι εἰς ἑνικὸν ἀναφορικόν. τὰ γὰρ ὡς εἴρηται ταυτοπροσωποῦντα τῶν πτωτικῶν, καὶ τὸν αὐτὸν πάντως ἀριθμὸν ἀπαιτήσει. ἔστι δὲ ὅμως καὶ τὸ τοιοῦτον ἐνικὸν ὑποτακτικὸν, δυνάμει πληθυντικὸν κατὰ τὸν βαθὺν Εὐστάθειον. ὡς γὰρ τὸ τὶς, ἀόριστον ὄνομα, τοῦτον, ἐκεῖνον, καὶ ἄλλον δηλοῖ, καὶ ὁμοῦ πλῆθος, ἤτοι πολλοὺς, οὕτω καὶ τὸ ὅς τις. ἀόριστον γὰρ καὶ τοῦτο, καθὰ καὶ τὸ τὶς. δι' ὃ καὶ πρὸς πληθυντικὸν ἀποδίδοται. τοιοῦτο σὺν ἄλλοις μυρίοις καὶ παρ' Εὐριπίδ. τῆς Ἑκάβης τὸ, δεσποτῶν ὠμῶν τύχοιμι. ὅς τις μ' ὠνήσεται. καὶ τὸ, δίκη γὰρ οὐκ ἔστιν ἐν ὀφθαλμοῖς βροτῶν. ὅς τις, πρὶν ἀνδρὸς σπλάγχνον ἐκμάθοι σαφῶς, στυγεῖ. καὶ παρὰ Σοφοκλεῖ, τὰ περισσὰ κἀνόνητα σώματα πάσχει τό δέ τι. ὅς τις ἀνοῦ φύσιν γεγὼς, ἔπειτα μὴ κατ' ἀνὸν φρονεῖ. καὶ, ὅς τις γὰρ ἢ φρονεῖν μόνος δοκεῖ, ἢ γλῶσσαν ἔχειν ὁμοίως, ἢ ψυχὴν, οὗτοι διαπτυχθέντες, ὤφθησαν κενοί. τὸ γὰρ τὶς, διὰ τὸ ἀοριστάνειν, ὡς εἴρηται, καὶ εἰς καθολικὴν σημασίαν πληθύνεται, ταὐτὸν ὂν τῷ ὅσοι, ἵνα λέγῃ, ὅσοι φρονεῖν μοι δοκοῦσι. καὶ Συνέσ. ἐπιστλ'. 67. τοὺς φανερωτάτους αὐτῶν, εἴ τις ἀνέκραγε μεῖζον, ὡς ὠνίους ἐκκυλισθῆναι τῆς ἐκκλησίας προσέταξα. τὸ γὰρ εἴ τις, ταὐτὸν τῷ ὅς τις. Ξενοφ: κυροπδ': δ', ὅς τις δ' εἰς ἐνδεόμενα πάντα κατεσκήνωσε, τούτους ὑμεῖς σκεψάμενοι, τὸ ἐλλεῖπον ἐκπληρώσατε. κἂν τῷ γ', νομίζων ὅ, τι καλὸν κἀγαθὸν ἔχει τὸ στράτευμα, τούτοις ἅπασιν αὐτὸς κεκοσμῆσθαι. Ἔστι γάρ τινα τῶν ὄντων τε καὶ λεγομένων, τῇ μὲν προφορᾷ, πολλάτε καὶ σύνθετα. τῷ δὲ σημαινομένῳ, ἁπλᾶ. ὡς ὅ, τε τοῦ πράγματος ὁρισμὸς, ἐκ πολλῶν μὲν ὅρων εἴτ' οὖν φωνῶν συνεστὼς, ἐν δὲ σημαίνων τὸ πρᾶγμα, ὅπερ ὁρίζεται, καὶ τὰ πολυώνυμα. ὥσπερ αὖ ἐκ τοῦ ἐναντίου, τῇ μὲν προφορᾷ, ἁπλᾶ. τῷ δὲ σημαινομένῳ, σύνθετα. ὡς πάντα τὰ κατὰ τὸ α', καὶ β', πρόσωπον ῥήματα, καθ' ἑαυτὰ μὲν λεγόμενα, ἔχοντα δὲ καὶ τὸ ἀντωνυμικὸν πρόσωπον συνεννοούμενον. ἔτι καὶ τὰ τῶν ὁμωνύμων ὀνόματα. ἐν οἷς καὶ τὰ ἀόριστα, ἑνικὰ μὲν ὄντα τῇ φωνῇ, πληθυντικὰ δὲ τῷ σημαινομένῳ. οἷόν τι καὶ θουκδ', δι' ὅ, τι δὲ ἔλυσαν τὰς αἰτίας, ἔγραψα. ἀντὶ τοῦ ἔγραψα τὰς αἰτίας, δι' ἅς τινας ἔλυσαν τὰς πρὸς ἀλλήλους σπονδὰς ἀθηναῖοι καὶ λακεδαιμόνιοι. ὅθεν καὶ τῆς οἰκουμενικῆς ζ', συνόδου τὸ, ὅς τις προσθήσοι, ἢ ἀφαιρέσοι. οὐχ ἑνί τινι, ὥς τισιν ἔδοξεν, ἀλλὰ πλήθει, καὶ ὡς εἰπεῖν αὐτῇ συνόδῳ ἀπαγορεύει τὸ προσθεῖναι, ἢ ἀφελεῖν. οἷς γὰρ οὐθὲν οὔτε πλεονάζον ἐστὶν, οὔτε ἐλλεῖπον, τούτοις οὐδεὶς ἔχει προσθεῖναι, ἢ ἀφελεῖν ἀπ' αὐτῶν.

Προσκείσθω δὲ

Τοῖς περὶ ἄρθρων εἰρημένοις καὶ τὸ κατὰ μετάληψιν τοῦτο, ὥστε

Καὶ λαμβάνειν ἔνθα ἂν οἷόν τε ᾖ

Τοῦτ' ἔστιν ἔνθ' ἂν ᾖ τὸ ὑποτακτικὸν ἀπ' εὐθείας πρὸς ῥῆμα φερόμενον.

Ἀντὶ τοῦ ὑποτακτικοῦ προτακτικὸν,

κτικὸν, Καὶ αὐτὶ τοῦ ἑπομένου ῥήματος μετοχὴν,

Τὸ δὲ προπακτικὸν τῶν ἄρθρων, πτωτικῶν προηγεῖσθαι πεφυκότος, ἐξ ἀνάγκης καὶ τὸ ἑπόμενον ῥῆμα εἰς πτωτικὸν μεταλαχθήσεται ῥῆμα, διὰ τοῦδε ἀλλ' ἢ ἐξ μόνων διαφράδειαν τοῦ λόγου.

Τῶν αὐτῶν τοῦ λόγου φυλάττοντας ἔννοιαν.

Οὐκ ἂν ἄλλως ἡ αὐτὴ τοῦ λόγου φυλαχθείη ἐννοια, ὅτι μὴ, τοῦ ῥήματος εἰς τὴν τυχοῦσαν, εἰς δὲ τῶν συστοιχοῦσαν ἑαυτῷ μετοχὴν μεταπεσόντος.

Εἶναί γε μὴν ὁμοιόπτωτα καὶ ὁμοιογενῆ καὶ ὁμοιάζεσθαι τὰ μεταληφθέντα ἀλλήλοις τε καὶ τοῖς ἡγεμόνοις πτωτικοῖς δεῖ.

Μεταληφθέντα μόρια εἰσὶ τό, τε προπακτικὸν ἄρθρον καὶ ἡ μετοχὴ, ἐναλλαγέντα τὸ μὲν, ἐξ ὑποπακτικοῦ, ἡ δὲ, ἐκ ῥήματος. τούτων δὴ ἑκάτερα ἀκολουθεῖν ἀνάγκη ἀλλήλοις τε καὶ τοῖς ἡγεμόνοις τῶν πτωτικῶν καὶ τὰ σχήματα προσώπα, πτώσιν λέγω καὶ γένος καὶ ἀριθμὸν, ὡς ταυτοπροσωπεῖν τε καὶ πρὸς τὸ αὐτὸ ῥῆμα φέρεσθαι.

Οἷον, σωκράτης. ὃς πολλὰ πεποίηκεν ἀγαθά.

Ἦκε τυχὸν, ἢ φέρει, ἢ τι τοιοῦτο. ἡ δὲ τοῦτο μεταλῆψις, οἷον,

Ὁ πολλὰ πεποιηκὼς ἀγαθά. Κἂν μὴ ᾖ δὲ τὸ ὑποτακτικὸν

Ἀπ' ἀθείας φερόμενον

Πρὸς τὸ ἐπαγόμενον ῥῆμα, μεταληπτέον τὸ συστοιχοῦν, ἢ συμβαίνοντι, ἢ ὅμοιον, ὧδε. σωκράτης. ὃς λόγος ἐπ' ἀρετῇ πολύς.

Τὸ τούτῳ ὅμοιον, οἷον,

Τοῦ μάλιστα δι' ἀρετὴν ἐπαινουμένου.

Ἢ τὸ συμβαῖνον, οἷον,

Τοῦ πολλὰ ἐπ' ἀρετῇ λόγον ἔχοντος. σωκράτει. ᾧ πλάτων διδασκάλῳ ἐχρήσατο.

Τὸ τούτῳ σύστοιχον, οἷον,

Τῷ διδάξαντι πλάτωνα.

Ἢ ὅμοιον, οἷον.

Ἢ καθηγησαμένῳ πλάτωνος.

Περαίνεται δέ πως τοιαύτη μεταλῆψις, ἀνακόλουθος τοῖς ἡγεμονικοῖς πτωτικοῖς, ἐὰν μὲν ἧττον δυνηθῇ ἐλληνισμοῦ. ὡς γραμματικοῖς ἐν τῷ εἰς τὴν χοῦ γένησιν. τέλος, ἰσχυροτέρου δεῖται φαρμάκου ἐπὶ δεινοτέροις τοῖς ἀρρωστήμασιν, ἀλληλοφονίαις κτ': εἰδωλολατρίαις, τὸ πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον. ὅσον δὲ πρὸς τὸ εἰδωλολατρίαις, τῷ ὄντι πάντων ἐσχάτῳ τῶν κακῶν καὶ πρώτῳ προσῆκον ἐπαγαγεῖν, ὁ δὲ, σωφρονιστικῶς κατ' εὐθεῖαν προήγαγε. τὸ δὲ τοιοῦτον ἄρθρον αὐτὶ ὑποπακτικοῦ φασιν εἰληφθαι, καὶ τοι μὴ ῥήματος, ἀλλὰ πτωτικοῦ ἡγεμόνος. οἷον, ὅ ἐστι πάντων ἔσχατον τῶν κακῶν καὶ πρῶτον. ὡς καὶ τῷ περὶ ἱερωσύνης (ὃς ἐν ὕδοθεν ἡμῖν αὐτιπολεμῶν) ἡμῖν αὐτοῖς ὅπλοις καθ' ἡμῶν χρώμενος, τὸ δεινότατον, τῷ τῆς ἁμαρτίας θανάτῳ δίδωσιν. ἔτι καὶ δημοσθ: ἐν τῷ προξεντ: ὃ, τὸ ῥᾴστον πάντων, ἐπιτιμήσω μόνον. αὐτὶ τοῦ, οὐ πίρεσθ

πέρ ἐστι ῥᾷστον. εἶτ' οὖν ἡ ἐπιτίμησις. Καὶ ἔνθα δ' ἂν μὴ ᾖ ἀπ' εὐθείας, ἀλλ' ἀπὸ πλαγίας τὸ ὑποτακτικὸν φερόμενον πρὸς τὸ ἐπαγόμενον ῥῆμα, οὐδὲν ἧττον τὰ μεταληφθέντα ἀκολουθεῖν ἀνάγκη ἀλλήλοις τε καὶ τῶν πτωτικῶν τοῖς ἡγουμένοις κατὰ τὰ κοινῇ παρεπόμενα, διὰ τὸν αὐτὸν λόγον. ἡ γὰρ καθ' ὁ, τιοῦν τῶν σφίσι προσόντων παραλλαγὴ, σολοικισμός. οἷον τὸ, ἧκε σωκράτης. οὗ λόγος πολύς. ἡ μετάληψις, τοῦ μάλιστα ἐπαινουμένου. δέον δυοῖν θάτερον, ἤτοι, ὁ μάλιστα ἐπαινούμενος, ἢ, ἀκούω σωκράτους. ἵν' ᾖ τὰ μεταληφθέντα, ἀκόλουθα οὐ μόνον ἀλλήλοις, ἀλλὰ καὶ τοῖς ἡγουμένοις πτωτικοῖς.

Ἐλλειπτικῶς.

Πολλάκις δὲ τὰ ὑποτακτικὰ καὶ σὺν ἐλλείψει ἑτέρων πτωτικῶν

Ὧν εἰσιν ἀκολουθητικὰ, καὶ πρὸς ἃ ἀναφέρεται.

Κεῖται. ἧκεν, ὃς ἐμοὶ φίλος. φείδομαι, ὧν φείδεσθαι ἄξιον. κοινὸν δὲ τὸ τοιοῦτο

Τὸ σὺν ἐλλείψει κεῖσθαι τῶν πρὸς ἃ τὴν ἀναφορὰν ἴσχει.

Πάντων τῶν ἀναφορικῶν.

Οὐ μόνον ὀνομάτων, ἀλλὰ καὶ ἐπιρρημάτων αὐτῶν. συνεξακούεται ὅμως καὶ τὰ ἐλλείποντα διὰ τῆς τῶν ἀναφορικῶν πρὸς αὐτὰ ἀναφορᾶς.

Ἐλλειποπτωτεῖ δέ τι καὶ τὰ προτακτικὰ, ἀλλὰ πρὸς γενικὴν,

Φερόμενα.

Καὶ τὴν ἀφηγουμένην πτῶσιν

Ὁποία πότ' ἂν ᾖ,

Συνεπιφέρονται νοουμένην. οἷον, λόγος μὲν οὑτοσὶ, πρῶτος. δεύτερος δὲ, ὁ τῶν φιλοσόφων.

Οὐ δὲ γὰρ ἄρθρων τὰ ἄρθρα, πτωτικῶν δὲ ὁμοιοπτώτως προηγουμένα, δῆλον ὅτι τὴν προληφθεῖσαν πτῶσιν ἀπὸ κοινοῦ λαμβάνουσιν.

Ἀποδίδοται δὲ καὶ τῷ τίς, ἐρωτηματικῷ τὸ ὃς, ὑποτακτικὸν μετὰ ῥήματος

Δυοῖν θατέρου, ἤτοι δηλαδὴ

Τοῦ αὐτοῦ τῷ προηγουμένῳ.

Ἐν τῇ ἐρωτήσει.

Ἢ καὶ ἑτέρῳ τῳ.

Τὸ σχῆμα ἀντίπτωσις. κεῖται γὰρ ἀντὶ γενικῆς κατὰ κοινὴν σύνταξιν τῆς μετὰ προθέσεως. ἀντὶ τοῦ, ἢ καὶ ἑτέρου τοῦ. ἵν' ᾖ μεθ' ἑτέρου τινὸς ῥήματος. ἔντισι δὲ τῶν ἐκδόσεων, ἑτέρου τοῦ κεῖται.

Οἷον, τίς ἐποίησε τὴν ὀδύσσειαν; ὃς καὶ τὴν ἰλιάδα ἐποίησε. καὶ ἄνευ ῥήματος ἔξωθεν ἀπὸ κοινοῦ. τίς ἐποίησε τὴν ὀδύσσειαν; ὃς καὶ τὴν ἰλιάδα. Ὅταν δὲ μεθ' ἑτέρου τοῦ,

Ὅρα τὸ ἑτέρῳ τῳ, εἰς τὸ μεθ' ἑτέρου τοῦ μεταληφθέν.

Μοναχῶς. τίς κέρβερον ἐξ ᾅδου ἀνήγαγεν; ὃς καὶ τὸν ἐν νεμέᾳ λέοντα ἀνεῖλε.

Διχῶς οὖν καὶ πρὸς τὸ πυσματικὸν τίς, ἀπαντᾶν ἔξεστιν ἐν ὑποτακτικῷ ἄρθρῳ, ὁτὲ μὲν,

Τοῦ Ἄρθρου.

- Κοινὸν μὲν,
  - ἥ τε ἀναφορὰ, συμπαραλαμβάνουσα καὶ τὸ κατ' ἐξοχὴν, καὶ τὴν μοναδικὴν κτῆσιν, ἑπομένως δὲ καὶ ἡ ἀοριστία.
  - καὶ τὸ μετὰ τῶν μεριστικῶν συνδέσμων ἀντὶ ἀντωνυμιῶν ἐκλαμβάνεσθαι ἐν ἐπιμερισμῷ, οὗ
    - ὁ μὲν ἐστι κατὰ πρόληψιν. ἧς τὸ ἄθροισμα
      - ἀμεταβάτως μὲν, ὀρθόν.
      - μεταβατικῶς δὲ, πλάγιον κατὰ τὴν ἐπαγωγὴν τοῦ ἑτεροπροσωπικοῦ ῥήματος.
        - τὰ δὲ μέρη ἑκατέρων ἀλλήλοις τε καὶ τοῖς ἡγουμένοις πτωτικοῖς εἴτ' οὖν τῷ ἀθροίσματι πάντως ὁμοιόπτωτα, ὡς καὶ αὐτὰ τοῦ προληφθέντος ὄντα ῥήματος.
    - ὁ δὲ, οὐ κατὰ πρόληψιν, οὗ
      - τὸ μὲν ἄθροισμα κατὰ γενικὴν ἀεὶ κτητικῶς.
      - τὰ δὲ μέρη οὔτε ἀλλήλοις οὔτε τῷ ὅλῳ πάντως ὁμοιόπτωτα, ὡς ἰδίου ἐχόμενα ῥήματος.
- Ἰδίον δὲ,
  - Τοῦ μὲν προτακτικοῦ
    - Τὸ προτάττεσθαι, πλὴν τινων ἀντωνυμιῶν, πάντων τῶν πτωτικῶν.
    - Τὸ ἐπιῤῥημάτων τινῶν προτασσόμενον, ἀντὶ ἐπιθέτων ὀνομάτων λαμβάνεσθαι.
    - Τὸ πρὸς μόνην γενικὴν ἐλλειποπτωτεῖν, τὴν ἀφηγουμένην πτῶσιν ἐπιφερόμενον.
    - Τὸ κατὰ γένος οὐδέτερον συντάσσεσθαι ὁρικῶς πᾶσι τοῖς τοῦ λόγου μέρεσι καὶ τῷ λόγῳ αὐτῷ.
    - Τὸ δηλοῦν.
      - ἔστι μὲν οὖ, τὸ ἐνιαῖον τῆς τοῦ ὑποκειμένου, μεθ' οὗ τάττεται, φύσεως. ὁ ἄνος ἐστὶν εἶδος.
      - ἔστι δὲ οὗ καὶ τὰ ὑπὸ τὸ τοιοῦτο εἶδος καθ' ἕκαστα ἄτομα, εἴτ' οὖν τὸν πᾶς προσδιορισμὸν, ὁ ἄνος ἐστὶ ζῷον λογικόν.
    - Τὸ ἔσθ' ὅπου μὴ τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς συνάπτεσθαι, ἀλλά τινος μεσοσυλλαβοῦντος ἑτέρου, ἐπάλληλα κεῖσθαι, ὥστε τὸ α', τῶν ἄρθρων τοῦ β', τῶν πτωτικῶν γίγνεσθαι.
  - Τοῦ δὲ ὑποτακτικοῦ
    - Τοῖς μὲν πτωτικοῖς, πλὴν ἑνὸς οὗ προηγεῖται ἀορίστου τοῦ τὶς, πᾶσιν ἕπεσθαι. προηγεῖσθαι δὲ παραπληρωματικῶν μὲν τινων συνδέσμων, ἁπλῶς δὲ τῶν ῥημάτων, τοῦ μὲν ἡγουμένου πτωτικοῦ τό, τε γένος καὶ τὸν ἀριθμὸν, οὗ δὲ προηγεῖται ἑτέρου εἴτ' οὖν ἰδίου ῥήματος τὴν πτῶσιν ὑπερχόμενον, καὶ
      - ἢ καθ' ἑαυτὸ, καὶ
        - ἤτοι ἐκ δυοῖν εὐθειῶν.
        - ἢ ἐκ δυοῖν πλαγίων.
          - ἤτοι κατ' ἐπιστροφήν.
          - ἢ πρὸς ἕτερον πρόσωπον
        - ἢ ἐξ εὐθείας καὶ πλαγίας.
          - ἀμεταβάτως εἴτ' οὖν ταυτοπροσωπικῶς.
          - μεταβατικῶς εἴτ' οὖν ἑτεροπροσωπικῶς.
      - ἢ καὶ σὺν μετοχῇ,
        - ἤτοι ταυτοπροσωπικῶς εἴτ' οὖν ὁμοιοπτώτως.
        - ἢ ἑτεροπροσωπικῶς κατὰ γενικὴν ἀεὶ κατὰ τὸν β', τρόπον τῆς μετοχῆς
    - Τὸ ἐλλειποπτωτεῖν.
    - Τὸ μεταλαμβάνεσθαι εἰς προτακτικὸν ὁμοιοπτώτως τῷ τε μεταληφθέντι καὶ τοῖς ἡγουμένοις πτωτικοῖς.
    - Καὶ τὸ ἀποδίδοσθαι.
      - τῷ μὲν τὶς, ἐρωτηματικῷ μετὰ ῥήματος
        - ἢ τοῦ αὐτοῦ τῷ προηγουμένῳ
        - ἢ ἑτέρου του.
      - ἔσθ' ὅτε δὲ,
        - καὶ πρὸς ἣν ἀπαιτεῖ πτῶσιν οὐχὶ τὸ ἑπόμενον, ἀλλὰ τὸ ἡγούμενον ῥῆμα.
        - καὶ πρὸς ὃ ἀπαιτεῖ γένος οὐχὶ τὸ ἡγούμενον, ἀλλὰ τὸ ἑπόμενον πτωτικόν.
        - καὶ
          - ἔστι μὲν οὗ ἑνικὸν πρὸς πληθυντικὸν πτωτικόν,
          - ἔστι δ' οὗ, τὸ ἀνάπαλιν.

ὁτὲ μὲν, διὰ ῥήματος τοῦ αὐτοῦ τῷ ἐν τῇ πεύσει προηγουμένῳ, ὁτὲ δὲ, δι' ἑτέρου τοῦ. ἀλλ' ὅτε μὲν διὰ τοῦ αὐτοῦ ἀπαντᾶν δέοι, διχῶς πάλιν ἀπαντῶμεν, καὶ μετὰ ῥήματος δηλ: καὶ ἄνευ ῥήματος, ἔξωθεν ἀπὸ κοινοῦ τὸ προηγούμενον συνεπινοοῦντες. ὅτε δὲ δι' ἑτέρου τοῦ ῥήματος, τό τε μοναχῶς ἀποκρινόμεθα, μετὰ ῥήματος δηλαδὴ προσκειμένου, οὐχὶ δὲ καὶ ἐλλειπτικῶς κατὰ τὸ ἀπὸ κοινοῦ σχῆμα. ὅτι οὐ συνεξακούεται ἐν τῇ ἀποδόσει τοῦ ἐρωτηματικοῦ τὸ προηγηθὲν ἐν τῇ πεύσει ῥῆμα ἀπὸ κοινοῦ ὡς ἀνωτέρῳ, μὴ ὂν τὸ αὐτό. καὶ συνελόντι, ἀποδίδοται μετὰ ῥήματος τοῦ αὐτοῦ μὲν τῷ προηγουμένῳ, καὶ ἀνελλιπῶς τε καὶ ἐλλιπῶς, μὴ τοῦ αὐτοῦ δὲ, ἀνελλιπῶς μόνον.

Καὶ σὺν προτακτικῷ δὲ ἄρθρῳ καὶ μετοχῇ γίνοιτ' ἂν ἡ ἀπόδοσις ὁμοίως. τίς ἐποίησε τὴν ὀδύσσειαν; ὁ καὶ τὴν ἰλιάδα ποιήσας. τίς ἀνήγαγε κέρβερον; ὁ καὶ τὸν λέοντα ἀνελών.

Ἡ δὲ μετάληψίς φησι, τοῦ ὑποτακτικοῦ εἰς προτακτικὸν, καὶ τοῦ ἐπαγομένου ῥήματος εἰς τὴν συστοιχοῦσαν οἱ μετοχὴν, κοινὴ ἐπ' ἀμφοῖν, τοῦ τε ἀποδιδομένου μετὰ ῥήματος τοῦ αὐτοῦ τῷ προηγουμένῳ, καὶ τοῦ μεθ' ἑτέρου τοῦ. ἐν μετοχῇ δὲ ἀποδιδόμενον τὸ ὁ, τῷ τίς, οὐκ ἂν καὶ ἐλλειπτικῶς ἀπὸ κοινοῦ ἀποδοθείη. οἷόν, τις ἐποίησε τὴν ὀδύσσειαν; ὁ καὶ τὴν ἰλιάδα. καθ' ὅ, τι τὰ ὡς εἴρηται προτακτικὰ πρὸς μόνην τὴν γενικὴν ἐλλειποπτωτεῖ. καὶ τὰ ἐλλειποπτωτοῦντα δὲ πάλιν, τὴν ἀφηγουμένην πτῶσιν συνεπιφέρεται νοουμένην. ἐν δὲ τῷ, τίς ἐποίησε τὴν ὀδύσσειαν; ὁ καὶ τὴν ἰλιάδα. τὸ ἀφηγούμενον μὴ ὂν πτωτικὸν, ἀλλ' ἄπτωτον, ἤτοι ῥῆμα, ὅπερ οὐ πέφυκε τὸ προτακτικὸν προηγεῖσθαι, οὐκ ἂν συνεπενεχθείη.

Γε.

Συνθήκη.

Βελτίων δὲ πολλάκις συνθήκη λόγου ἀποτελεῖται,

Τίς δὲ ὁ λόγος, καθ' ὃν βελτίων ἡ προκειμένη συνθήκη; ἑξῆς ἐρούμεν.

Τῶν ἄρθρων

Δῆλον ὅτι τῶν προτακτικῶν.

Τοῖς ἰδίοις πτωτικοῖς μὴ συναπτομένων, ἀλλά τινος μεσοσυλλαβοῦντος

Μεταξὺ τοῦ τε ἄρθρου καὶ τοῦ συνάρθρου πτωτικοῦ.

Ἑτέρου.

Πτωτικοῦ.

Οἷον, οἱ τὴν φροντίδα ἔχοντες. Ἔνθα δὴ,

Ἐν τῇ τοιαύτῃ συνθήκῃ.

Καὶ συμβαίνει ἐπάλληλά τε κεῖσθαι τὰ ἄρθρα, καὶ μὴ τὴν αὐτὴν σύνταξιν ἔχειν τοῖς ἰδίοις πτωτικοῖς, ἀλλ' ἀντίστροφον. τὸ γὰρ πρῶτον τῶν ἄρθρων αἰεὶ τοῦ δευτέρου τῶν πτωτικῶν γίνεται.

Ἐπὶ γὰρ τοῦ, οἱ τὴν φροντίδα ἔχοντες, ἀντιστρόφως ἔχει τὰ ἄρθρα τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς κατὰ σχῆμα χιαστὸν, ὥστε τῶν ἄρθρων τὸ μὲν α', ἀνατείνεσθαι πρὸς τὸ β', τῶν πτωτικῶν. τὸ δὲ β', πρὸς τὸ α', οὑτωσίν.

οἱ Χ τὴν
φροντίδα ἔχοντες

Ἀλλὰ

Ἀλλὰ καὶ τὰ πτωτικὰ ἀντιστρόφως ἔχει τοῖς ἰδίοις αὐτῶν ἄρθροις. οὐκ ἄρα καθόλου, ὅ φησιν Ἀπολλώνιος, ὡς τὸ ἄρθρον ἀποσταν, ἧς συνήρτηται πτώσεως, παραφθείρει τὸν λόγον.

Λέγω δὲ περὶ δύοιν ἀεὶ

Ἄρθρων,

Τελευτώντων,

Τοῦτ' ἔστιν ἐπαλλήλων. Τὸ τοῦ α', τῶν ἄρθρων τοῦ β', τῶν πτωτικῶν γινομένου, τὰ ἄρθρα μὴ τὴν αὐτὴν, ἀλλ' ἀντίστροφον ἔχειν τὴν τάξιν τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς, τοῦτό φησι συμβαίνει ἀεὶ ἐπὶ δύοιν ἐπαλλήλων ἄρθρων. τὰ γὰρ τρία ἐπάλληλα καὶ ὁμοιοτακτεῖσθαι ἔχει τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς. ὅπερ ἐπὶ δύοιν ἐπαλλήλων οὐχ οἷόν τε. τοῦ γὰρ ἐν τούτοις, λέγω δὴ τοῖς τρισὶ, πρώτου τῶν ἄρθρων, τοῦ β', μὲν τῶν πτωτικῶν γινομένου, τὴν αὐτὴν οὐχὶ τὴν ἀντίστροφον ἔχει τάξιν τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς τὰ ἄρθρα. οἷον, οἱ τὴν τῶν ἁπάντων ἀνειληφότες φροντίδα. τοῦ ἐσχάτου δὲ, τὴν ἀντίστροφον. οἷον, οἱ τὴν τῶν ἁπάντων φροντίδα ἀνειληφότες. Τελευταῖα δ' ἤκουσε τὰ ἄρθρα. καθ' ὅ, τι φύσει εἰσὶ τὰ μὲν πτωτικὰ, πρότερα, τὰ δὲ ἄρθρα, ὕστερα, τὸ γὰρ Ὄνομα συναναιροῦν τὰ ἄρθρα, οὐ συναναιρεῖται τούτοις, καὶ συνεισαγόμενον, οὐ συνεισάγει ταῦτα.

Ὥστε κἂν τρία ἐπάλληλα ᾖ, ταὐτὸ ἂν τῷ δευτέρῳ, πρὸς τὸ πρῶτον συμβαίνειν.

Ὥστε κἀπὶ τριῶν φησιν ἐπαλλήλων ἄρθρων ταὐτὸ συμβαίνει τῶν ἄρθρων τῷ δευτέρῳ πρὸς τὸ πρῶτον, ἄρθρον φημὶ, ὅπερ συνέβαινε κἀπὶ τῶν δύοιν ἐπαλλήλων ἄρθρων τῷ β', πρὸς τὸ α', ἄρθρον. (εἰπὼν γὰρ, κἂν τρία ἐπάλληλα ᾖ ἄρθρα, καὶ ἐπισυνάψας, ταὐτὸ ἂν τῷ β', πρὸς τὸ α', συμβαίνειν, δῆλός ἐστι τῶν ἄρθρων πρὸς ἄλληλα ποιούμενος τὴν παράθεσιν, οὐχ, ὥστισιν ἔδοξε, πρὸς τὰ πτωτικά.) συνέβαινε δ' ἐπ' ἐκείνων, τῶν δύοιν φημι, τὸ τῶν ἄρθρων τὸ α', τοῦ β', τῶν πτωτικῶν γίνεσθαι. τὸ αὐτὸ ἄρα συμβαίνει κἀπὶ τῶν τριῶν, ὥστε καὶ τούτων τὸ α', τοῦ β', τῶν πτωτικῶν γίνεσθαι. οἷον, οἱ τὴν τῶν ἁπάντων ἀνειληφότες φροντίδα. Ἢ καὶ οὕτως, ὥστε κἂν τρία ἐπάλληλα ᾖ, ταὐτὸ ἂν τῇ β', συνθήκῃ συμβαίνειν, τῇ ἐχούσῃ τρία ἐπάλληλα, ὅπερ συνέβαινε τῇ α', τῇ ἐχούσῃ φημὶ δύω. ὥστε κατὰ τὴν πρώτην κἀπὶ τῆς δευτέρας τὸ α', τῶν ἄρθρων τοῦ β', τῶν πτωτικῶν γίνεσθαι.

Ὡς τό γε α', καὶ β', ὁμοιοτακτεῖσθαι τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς, οὐδὲν ἂν κωλύοι. οἷον, οἱ τὴν τῶν ἁπάντων ἀνειληφότες φροντίδα.

Ἀλλ' ἐπὶ μὲν τῆς δύω ἐπάλληλα ἄρθρα ἐχούσης συνθήκης, τὰ ἄρθρα οὐ τὴν αὐτὴν τοῖς ἰδίοις πτωτικοῖς εἶχε σύνταξιν, ἀλλ' ἀντίστροφον, ἐπὶ δὲ τῆς ἐχούσης τρία ἐπάλληλα, ἧς τὸ α', τῶν ἄρθρων τοῦ β', τῶν πτωτικῶν γίνεται, συμβαίνει τὰ ἄρθρα καὶ ὁμοιοτακτεῖσθαι τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς, καὶ μὴ τὴν ἀντίστροφον ἔχειν τάξιν. οἷον, οἱ τὴν τῶν ἁπάντων ἀνειληφότες φροντίδα. τὸ γὰρ οἱ τὴν, ὁμοιοκτατεῖται τῷ, ἀνειληφότες φροντίδα, ἐν ἑκατέροις τῆς εὐθείας ἡγουμένης. βελτίων ὅμως τῶν τρία ἐπάλληλα ἐχουσῶν ξυνθηκῶν ἡ ἀντίστροφος, ἡ τὸ α', λέγω τῶν ἄρθρων, οὐχὶ τοῦ β', ἀλλὰ τοῦ ἐσχάτου τῶν πτωτικῶν ποιουμένη. οἷον, οἱ τὴν τῶν ἁπάντων φροντίδα ἀνειληφότες. ὡς καὶ τὸ, οἱ τὴν φροντίδα ἔχοντες,

κύκλος

κύκλος δὲ τοῦτο ῥητορικὸς, λήγοντος τοῦ λόγου, ὅθεν ἤρξατο, ἀπὸ διανοίας δηλονότι εἰς διάνοιαν. ἢ πάλιν λόγου ποιητικόν. ὥσπερ καὶ τὸ, οἱ τὴν φροντίδα ἔχοντες.

Ἀλλὰ τὰ μὲν τοιαῦτα, ἑτέρας ἐστὶ θεωρίας.

Τῆς ῥητορικῆς. ἔστι δὲ ἔργον ταῖς τῶν ὁμοιοτήτων μεταβολαῖς ποικίλλειν τὴν σύνθεσιν. ὥστε ἐν τῇ τῶν ὁμοιοχρόνων ποικιλίᾳ ἥσσαίτε τὴν ἀκρόασιν, καὶ ῥᾳδίως τὴν πειθὼ χειρώσασθαι. κόρον γὰρ ἔχει καὶ τὰ καλὰ πάντα, ὥσπερ καὶ τὰ ἡδέα, μιᾷ ὄντα ἐν τῇ τοῦ χρήματος ταυτότητι. ποικιλόμορφα δὲ ἐν ταῖς μεταβολαῖς, ἐξαίρει καινὰ μένει, τὸ βαρὺ τοῦ κόρου τῷ τῆς μεταβολῆς διαιρῶντα. τεκμήριον δὲ ὅτι καὶ τῆς ὀργανικῆς μούσης, καὶ τῆς ἐν ᾠδαῖς γοητείας, καὶ τῆς ἐν ὀρχήσει χάριτος, ἐν ἅπασι μὲν τοῖς ἄλλοις διυσχέρεια, μέλεσί τε φυσικοῖς καὶ ῥυθμοῖς καὶ κινήμασι, μεταβολὰς δὲ μὴ ποιησαμένοις καιρίας, ἀλλ' ἐπὶ τῆς αὐτῆς μελῳδίας καὶ τῶν αὐτῶν μουσικῆς ῥυθμῶν, ἢ κινημάτων, καὶ μηδὲν ἐξαλλαττούσης, ὅλον μὲν διαφθείρεται τὸ ἀγαθὸν, βαρὺς δὲ ὁ κόρος ἐφάνη, ἅμα πάντων ἀγανακτούντων ἐπὶ τούτῳ, ἁδὲν ἧττον, ἢ εἰ τοὺς ῥυθμοὺς ἐφαίνοντο ἐν τῷ ἢ χρῆσιν, ἢ φωνὴν, ἢ κίνησιν ἐν ἀσυμμέτροις ποιήσασθαι χρόνοις. κατὰ ταὐτὰ δὴ μετεῖναί φασι καὶ τοῖς πολιτικοῖς τῶν λόγων ἁδὲν ἧττον μεταβολῆς, εἰ καὶ λανθάνει τὴν διαφορὰν, ἢ διαλείμματος καὶ διαρθρώσεως. παρηγγύηνται γὰρ σχήμασι μὴ τοῖς αὐτοῖς ἐνδιαμένειν, ἀλλὰ διαπαύοντας τὴν ταυτότητα, μεταβολὰς διαφόρους εἰσφέρειν, μεταλαμβάνοντας ἄλλων τε πρὸς δὲ καὶ τῶν ποιητικῶν τὴν συνεχῆ ὁμοιότητα. ὥστε κἂν τῇ ἐπαλληλίᾳ τῶν δύοιν, ἢ τριῶν συνάρθρων ποιητικῶν, τῶν ἄρθρων τὰ μὲν τοῖς ἰδίοις αὐτῆς ποιητικοῖς συναρτώμενα, τῇ παραλλήλῳ τῆς πτώσεων ταυτότητι προσίσα πως ταῖς ἀκοαῖς, τὰ δ' ἐπάλληλα, τῇ τε καὶ πτώσιν χήματος μεταλήψει διατιθέασι τὴν ἀκρόασιν. Οὐκ ἀεὶ δέ φασιν, ἡδονῆς μὲν ἡ τῶν ὁμοειδῶν μετάληψις, κόρου δὲ καὶ ὀχλήσεως ἡ τούτων ταυτότης παραίτιος. πολλάκις γὰρ καὶ ἡ ταυτότης τοῦ χήματος, τοῦ καθ' ἡδονὴν ἀποσάζει νίκταρος. ἀλλ' ἐπὶ παύτων τοῦ καιροῦ φασι σοχασέον. τοῦτον γὰρ εἶναι μέτρον ἡδονῆς τε καὶ ἀηδίας κράτιστον. Καιροῦ δέ ἐστι ῥητορικὴ ἡδεῖς ἔστι φίφος ἐστόδε τοῦ χρόνου τέχνην ὠνήσατο, ἐδ' ὅ, τι λόγους αὐτῶν ἔγραψεν ἄξιον, μὴ ἐχόντος φύσιν τοῦ πράγματος καθολικῇ τέχνῃ περιληφθῆναι. ἐδὲ γὰρ θηρατέος ἐστὶν ὅλως ὁ καιρὸς ἐπιστήμῃ, ὅτι μὴ δόξῃ φασί. ταύτην δὲ ἐπὶ μὲν πολῶν καὶ πολλάκις γυμνασθεῖσαν, ῥᾴον διείσκεσθαι, ἀνάσκητον δ' ἀφεθεῖσαν, ἀσυνιώτερον, καὶ ὥσπερ ἀπὸ τύχης.

Ἐξῆς δὲ σκεπτέον, εἰ καὶ αἱ κλιτικαὶ τῶν ὀνομάτων καὶ τὴν κοινὴν δόξαν δεκτικαί εἰσιν ἄρθρα. σχολὴν γὰρ ἐξ αὐτοῦ φασι προσθεμένου γίγνεσθαι τῶν συνεμπιπτόντων διθείων τε καὶ κλιτικῶν. ὁ θέων, ὦ θέων. ὁ ἑλικών, ὦ ἑλικών. ὥστε εἰ καὶ αἱ φωναὶ συναλλαγῶσι τῶν ὀνομάτων κατὰ τὸ ἐθνικὸν ἔθος, τῆς κλιτικῆς αὐτὶ διθείας λήψεσθαι, καὶ ἀνάπαλιν, πάλιν ἡ τοῦ ἄρθρου παράθεσις διελέγξει τὸ σχῆμα. κλιτικῆς μὲν γάρ ἐστι τὸ θεῖσα, ἐν τῷ, αὐτὰρ ὁ ἄντε θεὶς ἀγαμέμνονι λίπε. προσλαβὸν δὲ τὸ ὁ, ἄρθρον, συνταξέως τῆς κατ' διθείαν τυγχάνει. καὶ εἰ διθείας εἴη, πάλιν ἡ τοῦ ἄρθρου παράθεσις κλιτικὴν σύνταξιν ἀποτελεῖ. ὦ φίλτατ' αἰᾶς. καὶ ἔτι, ὦ φίλος. Ὁ μὲν ἔν Τρύφων ἐκ τῶν τῇ φωνῇ παρεπομένων, ὡς ἔστι καὶ πολὺ ἀφεστηκὸς τῆς τῶν ἄρθρων ἀκολουθίας, διαγράφει τὸ μόριον τοῦτο τῆς τῶν ἄρθρων ἰδίας, ἔτι καὶ

ἔτι καὶ ἐκ τῆς ἐννοίας. καθ' ὅ, τι τὰ μὲν ἄρθρα τὴν ἐν τρίτοις προσώποις σύνταξιν ἀναδέχεται, τὸ δὲ ὦ, τὴν ἐν δευτέροις. ἅπερ πάλιν ἀνασκευάζει, εἰς τὸ κοινὸν τῆς δόξης προαγόμενος. καὶ πρὸς μὲν τὸν ἀπὸ τῆς Φωνῆς λόγον φησὶ, μὴ δεῖν τὰ ἄρθρα κατὰ ἀκολουθίαν εἶναι. καθ' ὅ, τι καὶ ἄλλα πολλὰ ὑπὸ τὸν αὐτὸν ὄντα μερισμὸν, ἀνακόλουθά ἐστι κατὰ πτώσεις καὶ τὰ συνόντα γένη. οὐκ εὔλογόν τε ἡγεῖται μίαν φωνὴν κλίνεσθαι τῶν ἄρθρων, ἵνα μὴ ἐν μιᾷ λέξει τῇ ὦ, μέρος λόγου, τὸ ἄρθρον λέγω, καταχωρίζηται. τῶν γὰρ ἄρθρων κλινομένων, τοῦ δὲ ὦ, μὴ συγκλινομένου τούτοις, ἄρθρου ὄντος καὶ αὐτοῦ κατ' αὐτὸν, ἀνάγκη πᾶσα καταχωρίζεσθαι τὸ ἐν τοῦ λόγου μέρος εἰς δύω, τὸ ἄρθρον φημὶ εἰς ἄρθρον καὶ μή. τὸ γὰρ ὦ, τὸ αὐτὸ καὶ ἄρθρον ἐστὶ, διασταλτικὸν ὂν εὐθείας τε καὶ κλητικῆς, καὶ πάλιν οὐκ ἄρθρον, μὴ συγκλινόμενον τοῖς ἄρθροις. ταῦτ' ἄρα οὐ δεῖ τὰ ἄρθρα κατὰ ἀκολουθίαν εἶναι πτωτικήν. πρὸς δὲ τὸν ἀπὸ τῆς Ἐννοίας, ὡς οὐκ ἐν γ', προσώπῳ καταγίνεται τὸ ὦ, ἐκεῖνό φησιν, ὡς οὐδ' ἡ κλητικὴ ἄρ' ὄνομα ἂν εἴη, ἐπειδὴ πρὸς β', πρόσωπον, τῶν ἄλλων πτώσεων τὴν ἐν τρίτοις προσώποις σύνταξιν ποιουμένων. καὶ εἰ ἀπεμφαῖνον τὴν κλητικὴν ὄνομα μὴ παραδέχεσθαι, ἀπεμφαῖνον ἄρα καὶ τὸ τῆς κλητικῆς ἄρθρον μὴ φάναι ἄρθρον. ὅτι σύνταξιν τὴν πρὸς β', πρόσωπον ποιεῖται. Ἀλλ' ἔστι καὶ πρὸς ταῦτα φάναι, ὡς τὸ πρῶτον, οὐκ ἀληθεύει τὸ μὴ ἐν ἀκολουθίᾳ εἶναι τὰ ἄρθρα. ἐν γὰρ τῇ δεούσῃ ἀκολουθίᾳ καταγίνεται, αὐτὸ μόνον τῆς εὐθείας ἐμπαθοῦς γενομένης. τὸς, γὰρ ὤφιλεν εἶναι. ὅτι δ' ὀφείλει καὶ ἐν ἀκολουθίᾳ εἶναι, δῆλον ἐκ τοῦ ἐνηρτῆσθαι αὐτὸ τοῖς κατ' εὐθεῖαν πτωτικοῖς. καὶ ἕνεκα τούτου συνελεύσεται τῇ τούτων ἀκολούθῳ, εἴτ' οὖν πτωτικῇ κλίσει. ὁ ἄρτος, τοῦ ἄρτου, τῷ ἄρτῳ. ἐπεὶ πῶς ἂν ἄρθον γένοιτο, οἷς ἂν συντάττηται πτωτικοῖς μὴ συναρτώμενον; εἴτ' οὖν συναρμοζόμενον; ἀλλ' οὐδ' ἐκεῖνό ἐστιν ἀναγκαστικὸν, τὸ μὴ πάντως ἐνθέμασιν αὐτὸ καταγίνεσθαι, ἵνα μὴ διὰ μιᾶς δῆθεν λέξεως ἀνακολούθου, μέρος λόγου καταχωρίζηται. καθ' ὅ, τι οὐκ ἐν παραθέσει λέξεων τὰ μέρη τοῦ λόγου διακρίνεται, ἐν δ' ἐννοίᾳ ἰδίᾳ. (φασὶ γὰρ, ὡς καὶ τοῖς ῥήμασι παρατίθεται τὰ ἄρθρα. τὰ δὲ ῥήματα οὐκ εἰσὶν ἐν ἀκολουθίᾳ πτωτικῇ. οὐδὲ τὰ ἄρθρα ἄρα. εἰ τοίνυν προσδῶμεν πτωτικὴν ἀκολουθίαν τοῖς ἄρθροις, τοῦ ὦ, ἄρθρου ἀνακολούθου κατὰ πτῶσιν ὄντος, ἀνάγκη τὰ ἄρθρα διὰ μιᾶς ἀνακολούθου κατὰ πτῶσιν φωνῆς τῆς τοῦ ὦ, καταχωρίζεσθαι. ἀλλ' εἰ καὶ τὸ τοιοῦτό τις δῷ, τὸ ἐν ἀκολουθίᾳ μὴ εἶναι τὰ ἄρθρα πτωτικῇ, καθ' ὃ καὶ μέρη λόγου ὄντα μὲν ἀνακόλουθα, μὴ διαφεύγοντα ὅμως τὸν αὐτὸν μερισμὸν τῆς ἐννοίας, ὑπὸ τὴν αὐτὴν ἰδέαν τοῦ μερισμοῦ ὑπάγεται, ὅ ἐστιν ὑπὸ τὸ αὐτὸ μέρος τοῦ λόγου. εἴγε τὸ ἐγὼ τοῦ νῶϊ διέστηκε κατὰ πολὺ, καὶ ἔτι τὸ ἡμεῖς. οὔτε γὰρ τὸ ἐγὼ, εἰς δϋικὸν, ἢ πληθυντικὸν, οὔτε τὸ ἡμεῖς, εἰς ἑνικὸν, ἢ δϋικὸν ἀριθμὸν μεταχηματίζεται. μενούσης ὅμως τῆς αὐτῆς ἐννοίας, μένει καὶ ἡ ταυτότης τοῦ μερισμοῦ. (καὶ τὸ σῶμα τυχὸν οὐκ ἀκόλουθον τῷ χρύσῃ κατὰ τὸ παρεπόμενον τοῖς ὀνόμασι γένος. οὐδὲν ὅμως ἧττόν εἰσιν ἑκάτερα ὀνόματα, παραστατικὰ πραγμάτων τυγχάνοντα.) ἐκεῖνο ἀληθεύει, ὡς τὰ ἐκτὸς γινόμενα τῆς ἰδίας ἐννοίας, κἂν πάνυ τῆς δεούσης ἀκολουθίας ἔχηται κατὰ φωνὴν, ὡς ἔχει τὰ τῆς ὁμοφωνίας, οὐκ εἰς τὸν αὐτὸν μερισμὸν παραληφθήσεται. τὰ γὰρ εἰς ὦν, περισπώμενα τῶν ὀνομάτων, ταῖς εἰς ὦν, μετοχαῖς ὁμοτόνως ἀκολουθοῦντα, εἴτ' οὖν ὁμοφωνοῦντα, ὡς ἔχει τὸ ξενοφῶν τῷ βοῶν. καὶ τὸ ἑλικὼν τῷ τυπών. οὐ μὴν παρὰ τὸ ἀκόλουθον τῆς φωνῆς ἤδη καὶ τοῦ αὐτοῦ μέρους εἰσί. πῶς οὖν οὐ μᾶλλον διαγραφήσεται τοῦ εἶναι ἄρθρον τὸ ὦ,

τὸ ὦ, ἀπονεῦσαν καὶ τὴν πτωτικὴν ἀκολουθίαν τῶν φωνῶν κατὰ πάντα τρόπον, καὶ ἔτι τὴν τοῦ ἄρθρου ἔννοιαν; ὑποτεμνέσθω δὲ ὁ λόγος εἰς τὸ τοιοῦτον. ὡς οὔτε παρὰ τὸ ἀκόλουθον τῶν φωνῶν, οὔτε μὴν παρὰ τὸ ἀνακόλουθον τὰ τοῦ λόγου καταστήσεται μέρη, ἀλλ', ὡς προείρηται, ἐκ τῆς παρεπομένης αὐτοῖς ἰδιότητος. Φησὶ γοῦν ὁ Τρύφων, ὡς καθάπερ ἡ κλητικὴ, καί τοι δευτεροπροσωποῦσα, οὐδὲν ἧττον ὅμως ὄνομα τυγχάνει, τῶν ὀνομάτων τριτοπροσωπούντων, κατὰ τὰ αὐτὰ δὴ καὶ τὸ ὦ, εἰ καὶ διαφεύγει τὴν πτωτικὴν ἀκολουθίαν, συνοδεῦον ὅμως τῇ συνηρτημένῃ κλητικῇ, οὐδὲν ἧττον ἄρθρον ἐστίν. Ἀλλὰ γὰρ τὸ μὲν ὄνομα διασῴζει τὸ ἴδιον κατὰ πᾶσαν πτῶσιν. κατὰ πᾶσαν δὲ πτῶσίν φημι, καὶ οὐχὶ κατὰ πᾶν πρόσωπον. εἴ γ' οὐκ ἴδιον αὐτῷ παρέπεται τὸ κατὰ πρόσωπα ἐγγίνεσθαι. ὅπου γε τὸ αὐτὸ καὶ ἐν α', καὶ β', παραλαμβανόμενον, συνοῦσαν πάλιν ἔχει τὴν ἰδίαν ποιότητα. εἰμὶ ὀδυσσεύς. κἀπὶ β', ὀδυσσεὺς εἶ. ἤγε μὴν τοῦ ἄρθρου παράθεσις ἐν ἰδίωμα ἔχει οὐ τὴν τῶν β', τὴν δὲ τῶν γ', προσώπων ἀναπόλησιν. ἐναντιώτατα δ' ἔχει τὸ ὑπ' ὄψιν παραλαμβανόμενον τῷ ἀναπολουμένῳ. τὸ β', φημι τῷ γ', ὅ ἐστι τὸ παρὸν τῷ ἀπόντι. ὅπου γε καὶ τὸ ἐμός ἐστι, προσλαμβάνον τὸ ἄρθρον κατὰ τὸ γ', πρόσωπον, οἷον, ἐμός ἐστιν ὁ ἀγρὸς, ἢ ὁ ἐμὸς ἀγρός. οὐκ ἔτι προσλαμβάνει ἐν τῷ ἐμὸς εἶ, διὰ τὴν πρὸς τὸ β', πρόσωπον συνταξιν, τῶν ἄρθρων οὐ τοῖς β', ἢ τοῖς α', τοῖς δὲ τρίτοις προσώποις συνταισομένων. εἴ περ οὖν τὸ αὐτὸ μόριον, τὸ ἐμὸς, παρὰ τὸ διάφορον πρόσωπον καὶ προσλαμβάνει ἄρθρον κατὰ τὸ γ', καὶ οὐ προσλαμβάνει κατὰ τὸ β', ὡς εἴρηται, πῶς οὐ μᾶλλον τὸ καὶ τῇ φωνῇ παραλλάξαν τῶν ἄρθρων, ἐκστήσεται τῆς τῶν ἄρθρων παραθέσεως, μάλιστά γε τῆς φωνῆς ἐνδειξαμένης διὰ τοῦ πάμπαν ἀνακολούθου τὸ ἀκοινώνητον τῶν ἄρθρων;

Δε.

ζητούσης ἄρα τῆς κλητικῆς β', πρόσωπον, περισσὸν ζητεῖν, εἰ τὸ ταύτῃ συμφερόμενον ὦ, ἄρθρον ἐστὶ, μὴ ἐνὸν ὡς δέδεικται τὰ ἄρθρα τοῖς β', προσώποις συνοδεύειν. οὐκ ἄρα ὀρθῶς κατηλέχθη πρός τινων ἐν τοῖς ἄρθροις τὸ ὦ, συνεκδρομῇ δῆθεν τῶν ἄλλων πτώσεων. οὐδὲ γὰρ, ἐπεὶ τὰ ταύταις συνιδιάσαντα, ἄρθρα καλεῖται, παρὰ τοῦτο καὶ τῶν ἐπιρρημάτων τε καὶ συνδέσμων τὰ πτωτικοῖς συνοδεύοντα, ἐν τοῖς ἄρθροις καταταγήσεται. οὐ παρέλκον δέ ἐστι καὶ διὰ τῆς φωνῆς παρασῆσαι τὸ ἀκόλουθον τῶν ἄρθρων, ὡς πρὸς τὴν ἀντιπαράθεσιν τοῦ ὦ. τὸ μὲν γὰρ τῆς εὐθείας ὁ, ἀποβαλὸν τὸ τ', ἀναγκαίως καὶ ἕτερον πάθος ἀνεδέξατο, λέγω τὴν ἀποβολὴν τοῦ ς'. ἔμελλε γὰρ ἂν ταὐτὸ γίγνεσθαι τῷ ὃς, ὑποτακτικῷ. οὐ τὰ τῆς συντάξεως οὐ ταὐτὰ ἀπαιτεῖ τῷ προτακτικῷ. κἀντεῦθεν ἔμελλε τὰ τοῦ λόγου ἀκαταλληλότερα φαίνεσθαι. ὅτι γὰρ καὶ τὸ ς', λείπει, σαφὲς ἐκ τοῦ τὴν αὐτὴν εἶναι κατάληξιν προτακτικῶν καὶ ὑποτακτικῶν. ἔστι δὲ τὸ ὑποτακτικὸν ὃς, καὶ τὸ προτακτικὸν ἄρα. καθ' ὅ, τι καὶ ἐπὶ τοῦ οὗ, καὶ τοῦ, καὶ ᾧ, καὶ τῷ, καὶ ὃν, καὶ τόν. σαφὲς κἀκτοῦ πληθυντικοῦ. τῶν γὰρ εἰς οἱ, πληθυντικῶν τὰ ἑνικὰ εἰς ὃς, λήγει, κἂν ἐκ συνῃρημένων ᾖ, ὡς ἐπὶ τοῦ χρυσοῦς καὶ τῶν ὁμοίων. συμφανὲς κἀκτῶν πλαγίων πτώσεων. εἴ γ' ἅπασαι αἱ τῶν τριτοκλίτων, τῶν εἰς ὃς εὐθειῶν εἰσι. καὶ ἔτι ἡ κατὰ γενικὴν θεσσαλικὴ διαίρεσις τῶν εἰς ὃς καὶ αὕτη ἐστί. λέγω ἐπὶ τῆς τοῖο, ὡς καλοῖο. καὶ ἐκ θηλυκοῦ δὲ τοῦ ἡ, ταὐτὸ τοῦτο δῆλον. πάλιν γὰρ τοῖς εἰς ὃς, λήγουσι τὸ τοιοῦτο γένος παράκειται, οὐ γὰρ εἰς ἡ, ἔληξεν, εἰ μὴ συντάξεως εἴχετο τῆς τοῦ τ'. καθ' ὅ, τι καὶ τῷ νοητὸς τὸ νοητὴ παράκειται. ὅτι δὲ καὶ τὸ τ', ἐλλείπει, δωριεῖς παριστῶσι, μὴ πλεονάσαντες, ἀλλ' ἀποδόντες τὸ προοφειλόμενον. ἰδοὺ γὰρ καὶ τὸ λεῖπον τ', ἀνεπλή-

ἀνεπλήρωσε τὸ δώριον ἔθος, λεγόντων, προτί. λέγοντι. φατί. τοὶ ἄνοι. ταὶ γυναῖκες. πέρυτι. τύ. ἄλλα μυρία, οὐκ ἀπιθάνως. ἡ γὰρ διάλεκτος φύσει κατάφορος οὖσα ἐπὶ τὴν τοῦ τ, χρῆσιν, εἴπερ ἐπὶ τοῦ περυτι. τύ. προτί. τῷ τ, ἐκ μεταπτώσεως τῆς τοῦ σ, εἰς αὐτὸ χρῆται, πολλῷ μᾶλλον ἐφελκύσεται τοῦτο ἐλλεῖπον. Σαφὲς κἀκ τοῦ πνεύματος. οὐ γὰρ ἄλλως δασύνεται τὰ ἄρθρα, εἰ μὴ ἀποβάλοι τὸ τ. Ἔστι πιστώσασθαι κἀκ τοῦ οὐδετέρου τῶν προτακτικῶν, ἀρξαμένου μὲν ἀπὸ τοῦ τ, λήξαντος δὲ εἰς ὁ μόνον, οὐκ ἀθὼς ἀπῄτει ὁ ἐπὶ τοῦ οὐδετέρου παρασχηματισμὸς τῶν εἰς ὃς, ληγόντων ἀρσενικῶν. καὶ τοῦτο οὐκ ἀπιθάνως, ἀλλ' εἰς διαστολὴν τῆς κατὰ τὴν αἰτιατικὴν συγχύσεως τοῦ ἀρσενικοῦ γένους πρὸς τὸ οὐδέτερον, τὴν τοῦ ν, ἀφαίρεσιν ἔπαθε τὸ οὐδέτερον. ὁπότε καὶ τῶν ἀντωνυμιῶν αἱ μὲν ἀσύναρθροι, ὡς δι' αὐτὸ τοῦτο μὴ βοηθούμεναι τῇ τοῦ ἄρθρου παραθέσει, ἐμιμήσαντο κατὰ τὸ οὐδέτερον τὴν λήγουσαν τοῦ οὐδετέρου ἄρθρου. τοῦτο, ἐκεῖνο. ἡ δὲ σύναρθρος, αὐτὸς, ἀπέβαλε μὲν καὶ αὐτὴ κατὰ συνεκδρομὴν τῶν ἀσυνάρθρων τὸ ν, κατὰ τὸ οὐδέτερον. ὅτε φαμὲν αὐτό. ὥς γε μὴν κατὰ παρολκὴν καὶ περιττῶς τὴν τοῦ ν, παθούσῃ ἀποβολὴν, ταύτην τὴν τοῦ πάθους παρολκὴν ἀποπληροῦντες οἱ Ἀττικοὶ, τῇ τοῦ ἄρθρου ἀποδόσει συναπέδοντο ἀναλόγως τῇ ἀντωνυμίᾳ καὶ τὸ ν, ἐν τῷ ταὐτόν. Ἔστιν οὖν ἐκεῖνο φάναι, ὅτι δι' ὅσων συνάγεται λόγων ἡ ἀκολουθία τῶν ἄρθρων, διὰ τοσούτων ἀνθίσταται τῷ εἶναι ἄρθρον ἡ τοῦ ὦ, φωνή. εἴπερ αἱ τῶν ἄρθρων κλίσεις μιμοῦνται τὴν ἐν τοῖς ὀνόμασι κλίσιν, κλητικὴ δὲ οὐδέποτε πλείονι χρόνῳ χρῆται τῆς συστοίχου εὐθείας, πῶς τὸ ὦ, εἴπερ ἦν ἄρθρον, πλεῖόν ἐστι τοῦ ὅ; τί γὰρ μὴ μᾶλλον οὐκ εἰς ὃ, ἔληξεν, ὡς πρὸς ἀκολουθίαν γενικῆς τῆς τοῦ, καὶ αἰτιατικῆς τῆς τόν; καὶ ἐν θηλυκοῖς τε διὰ τί οὐχ ὁμοφωνεῖ ἡ εὐθεῖα τῇ κλητικῇ; (ἡ τιμὴ, ὦ τιμή.) καὶ ἔτι ἐν οὐδετέροις, ἐν οἷς τρεῖς πτώσεις εἰσὶν ὅμοιαι, πῶς οὐ κατὰ τὴν πληθυντικὴν προφορὰν αἱ εὐθεῖαι ταῖς κλητικαῖς ὁμοφωνοῦσιν; ὅπερ ἐστὶν ἐπὶ παντὸς πτωτικοῦ παραδέξασθαι, τοῦ συνέχοντος τὴν κλητικήν; (τὰ ξύλα, ὦ ξύλα.) πῶς ἁπάντων δασυνομένων τῶν δίχα τοῦ τ, ἐκφερομένων ἄρθρων, αὐτὸ μόνον ψιλοῦται; πῶς δὲ τῶν κλητικῶν ὁμοτονουσῶν ταῖς εὐθείαις, αὐτὸ οὐχ ὁμοτονεῖ; οὐ γὰρ ἀνέφικτον τὸ ὦ, εἰς ὀξεῖαν τάσιν. καθ' ὅ, τι ἐπ' ἐνίων συλλαβῶν ὀξύνεται. ὁ ἑλικών, ὦ ἑλικών. τί δαὶ, εἰ περισπᾶται, οὐκ ἐνεκλίνθη, πλαγία οὖσα κατὰ τὰς αἰολικὰς ἀναγνώσεις; καθ' ὃ καὶ τὰ ἄλλα τῶν περισπωμένων ἄρθρων ἐγκλίνεται κατὰ τὰς πλαγίας; ὅτου, ὅτων. διὰ τί οὐκ ἀπὸ τοῦ τ, ἤρξατο; ὡς τ' ἄλλα τῶν προτακτικῶν; οὐ γὰρ ἀφορμὴ τῆς ἀποβολῆς τοῦ τ, δι' ὅ, τι ὑποτακτικὸν οὐκ ἔχει. ἢ δῆλον ὅτι οὐδὲ προτακτικὸν ἄρθρον ἐστί. Πρὸς τὴν συνέμπτωσιν τῶν γενῶν φησι Τρύφων μηδὲ τὸ τῶν, ἄρθρον χρὴ παραδέχεσθαι. δι' ὅ, τι ξιγενές. εἰ δὲ τὸ τῶν, ἄρθρον, καὶ τὸ ὦ ἄρα ἄρθρον, τὴν αὐτὴν συνέμπωσιν τῶν γενῶν παραδεξάμενον. Ληρῷδες δὲ τὸ τοιοῦτο. πάνυ γὰρ ἄρθρον τὸ τῶν. εἴ γε συναπήχθη τῷ πρὸς ὃ ἤρτηται. μεμίμηται γὰρ τὸ φίλων, τὸ καλῶν. τῶν πτωτικῶν λέγω τὰ συνέμπτωσιν γενῶν παραδεξάμενα. καὶ σχεδὸν πᾶσα ἡ ἐν τοῖς ἄρθροις τῶν γενῶν συνέμπτωσις, μίμημά ἐστιν ὀνοματικῆς συνεμπτώσεως κατὰ γένη, κἂν ἐν σχήματι ἐνηλλαγμένῳ ἀττικῶς καταγένηται, ὡς ἐν τῷ, μὰ τὼ θεώ. ἐν ἀρσενικῷ σχήματι κατὰ δύοιν θηλείων δημήτερος καὶ κόρης εἰρημένῳ παρ' Ἀριστοφ: ἐν ἐκκλ. ὅμοιον γάρ ἐστι τῷ, καλυψαμένω. παρ' Ἡσιόδῳ. καὶ τοσούτῳ μᾶλλον ἐπιτέταται τὸ τῶν, ἄρθρον εἶναι. καὶ εἰ τὸ τοιοῦτον, ἀληθὲς,

ληθὲς, κατὰ πολὺ διώκετο ἐκ τῶν ἄρθρων τὸ ὦ, κατὰ μηδένα τρόπον συνέμπτωσιν ὀνοματικὴν ἀναδεδεγμένον. Ἐπὶ τούτοις τὰ ἀδιαφόρως παντὶ ἀριθμῷ καὶ γένει συμφερόμενα, ἄρθρα μὲν οὐδέ ποτέ ἐστιν, ἄκλιτα δὲ μόρια, σύνδεσμοι, ἐπιρρήματα καὶ προθέσεις. καὶ σαφὲς ὅτι ὃ οὐ σύνδεσμος, οὐ πρόθεσις, τοῦτο ἐπίρρημα. τοιοῦτο δὲ τὸ ὦ, ἄρα. Ἀλλὰ διὰ τί, φαίη τις ἄν, συμφέρεται ὀνόματι; ἢ ὅτι κλητικόν ἐστιν ἐπίφθεγμα, ὡς τὰ ὁμοτικὰ, λέγω τὸ νὴ, ἢ μὰ, πτωτικοῖς συμφερόμενα, καὶ οὐ πάντως ἄρθρα. ὧν καὶ ἡ σύνταξις ἐπὶ τὰ συγκεχυμένα τοῦ ὦ, συντείνει. παντὶ γὰρ ἀριθμῷ καὶ αὐτὰ συμφέρεται, παντὶ γένει. καὶ γὰρ καὶ συνδέσμων τινὲς ἐπὶ πτώσεις φέρονται. ἕνεκεν ἀπολλωνίου. καὶ οὐ τοῦτο τὸ ἐξαίρετον τῶν συνδέσμων, ὅτι μὴ μόνου τοῦ ἕνεκα. οὐκ ἄρα παρὰ τὰς ἐξαιρέτους αὐτῶν συντάξεις ἀποστήσεται τὰ μόρια τῆς ἰδίας ἐννοίας. οὐκ ἄρα οὐδὲ τὸ ὦ, ἐπίρρημα, δι' ὅ, τι πτωτικοῖς συναρτᾶται, ἤδη καὶ ἄρθρον ἐστί.



Περὶ Ἀντωνυμίας.

Ἀντωνυμία δὲ κατὰ τοὔνομα λέξις ἐστὶ, λαμβανομένη ἀντὶ ὀνόματος.

Τῇ τῶν ἄρθρων συντάξει ἀκόλουθον καὶ περὶ τῆς τῶν ἀντωνυμιῶν συντάξεως διαλαβεῖν. ἐκεῖνα μὲν γὰρ μετ' ὀνομάτων ἐν τοῖς δέουσι λόγοις παρελαμβάνετο, αὗται δὲ τὴν μὲν τῶν ἄρθρων προτακτικὴν σύνταξιν οὐ παραδέχονται, καθ' ἃς ἐκθησόμεθα αἰτίας, ἀντ' ὀνομάτων δὲ παραλαμβανόμεναι, ἕνεκα τούτου καὶ πτώσεως ἀναγκαίως ἐγένοντο δεκτικαὶ, ἵνα κατὰ παντὸς ὀνόματος ἀνθυπέλθωσι. καὶ προσώπων ἁπάντων εἰσὶ διακριτικαὶ, ἵνα τὸ ἐλλειπὲς τοῦ ὀνόματος, τὴν τῶν προσώπων λέγω διάκρισιν, αὗται ἀνθυπαχθεῖσαι, ἀναπληρώσωσι. καὶ τοῦ μὲν ὀνόματος ἔχουσι τὴν πτῶσιν, τοῦ δὲ ῥήματος, τὸ πρόσωπον. ἔνθεν καὶ καθ' ἑκάτερα κλίνονται, δύω τὰς γενικωτάτας κλίσεις ἀποσπάσασαι, τῶν μὲν ῥημάτων, τὴν προσωπικὴν, τῶν δὲ ὀνομάτων, τὴν πτωτικήν. καὶ οὐ κατὰ σύγχυσιν, κατὰ δὲ μερισμὸν τὸν δέοντα. τῷ μὲν γὰρ τέλει δηλοῖ τὴν πτωτικὴν κλίσιν, τῷ δὲ ἄρχοντι, φημὶ δὴ τῇ ἀρχῇ, τὸν τῶν προσώπων ἐπιμερισμόν. σαφὲς γὰρ ὅτι εἰ καθ' ἓν καὶ τὸ αὐτὸ μέρος αἱ δύω κλίσεις ἐνεγένοντο, συνέβη ἂν ἐν τῇ ἑτέρου κλίσει τὸ ἴδιον φθείρεσθαι τοῦ ἑτέρου. καὶ τῆς μὲν πτώσεως κλινομένης, τὸ ἕτερον νοούμενον ἀποτρίβεσθαι, τὸ τοῦ προσώπου λέγω διακριτικὸν, ἀκλίτου μένοντος ἐν τῇ πτωτικῇ κλίσει, ὡς περὶ τὸ αὐτὸ στρεφομένων πρόσωπον τῶν πτώσεων, καὶ ἔμπαλιν, τοῦ προσώπου μεταλαμβανομένου, εἴ τ' οὖν μεταβάλλοντος, παραφθείρεσθαι τὸ τῆς πτώσεως ἰδίωμα, ἀκλίτου μενούσης ἐν τῇ προσωπικῇ μεταβάσει. τῶν γὰρ ῥημάτων κατὰ πρόσωπα κλινομένων, ἡ τούτων προϋφεστῶσα εὐθεῖα,

τοῖς μὲν

τοῖς μὲν προσώποις συγκλίνεται, τῆς δὲ εὐθείας στάσεως οὐδόλως μεταπίπτει. δι' ὃ πτῶσιν μὲν διακρίνουσα, ἀπὸ τελεῖ τὸ ἐμοῦ, καὶ ἐμοὶ, καὶ ἐμέ, τοῦ αὐτοῦ σῳζομένου προσώπου, πρόσωπον δὲ, τὸ ἐμοῦ, σοῦ, οὗ, τῆς αὐτῆς σῳζομένης πτώσεως. πρόσωπον δὲ καὶ πτῶσιν. τὸ, ἐμοὶ, σὲ, οὗ, ἑκατέρων ὁμοῦ κλινομένων. ἐπὶ μὲν οὖν τῆς ἀντωνυμίας οὐ κατὰ τὸ αὐτὸ μέρος ἑκάτεραι, ὡς εἴρηται, γίγνονται αἱ κλίσεις, ἐπὶ δὲ τὰ ἴδια ἀποστάσαι μόρια, τὸ ὄνομα λέγω καὶ τὸ ῥῆμα, τῷ αὐτῷ μέρει συγχρῶνται ἑκάτεραι κατὰ τὴν ἤτοι πτωτικὴν, ἢ προσωπικὴν κλίσιν, φημὶ δὴ τῷ τέλει. καλὸς, καλοῦ, καλῷ, καλόν. γράφω, γράφεις, γράφει. οὐκ ἀπιθάνως κατὰ τὸ ῥῆμα καὶ τῆς ἀντωνυμίας χρησαμένης ἐν τῇ τοῦ προσώπου κλίσει, τῇ ὑποστολῇ τοῦ ς, οὔσῃ διακριτικῇ τοῦ προσώπου. σοὶ, οἷ. ὡσεὶ καὶ λέγεις, λέγει. ὥσπερ γὰρ τὸ γ', γράφει, παρὰ τὸ β', ἐγένετο, ὑποστολῇ τοῦ σ, οὕτω κἀπὶ τῆς ἀντωνυμίας σοὶ, οἷ. πλὴν ὅτι ἀντεστραμμένως, τοῦ μὲν, κατὰ τὸ τέλος ὑπάρχον ὑπεστάλη τὸ σ, τῆς δὲ, κατὰ τὴν ἀρχὴν, πάνυ εὐλόγως. μιμεῖται καὶ γὰρ, ὡς εἴρηται, κατὰ μὲν τὴν ἀρχὴν, τὴν τῶν προσώπων διάκρισιν, κατὰ δὲ τὸ τέλος, τὴν τῶν πτώσεων. εὔηθες μέντοι ὑπολαμβάνω, εἰ ἐξεργάσεταί τις, διὰ τί μὴ τῷ προσώπῳ τὰ τοῦ τέλους προσεχώρησε, καθάπερ ἐπὶ τῶν ῥημάτων, ἀλλὰ τῇ πτώσει; ἔδει γὰρ ἅπαξ ἐν ἑνὶ μέρει προσχωρῆσαι τὸ τέλος. καὶ εἴ ἐστιν εἰπεῖν, εὐλόγως τῷ πτωτικῷ. εἴγε καὶ πρότερον τοῦ ῥήματος, καθὼς ἀπεδείξαμεν. δῆλον ἄρα ὅτι καὶ τὸ τούτου μᾶλλον, ἢ τὸ τοῦ ῥήματος ἰδίωμα ἐπικρατήσει τοῦ τέλους, ἡ πτῶσις λέγω, ἤπερ τὸ πρόσωπον. ἐπεὶ δὲ καὶ τῶν μερῶν τοῦ λόγου τὰ τέλη ἐπικρατεῖ, τὸ δὲ τέλος τῆς ἀντωνυμίας πτῶσίς ἐστι, κἂν καὶ ῥήματος ἀναγκαίως ἰδίωμα κατὰ τὴν ἀρχὴν παρεισδύηται, λέγω τὸ πρόσωπον, δι' ὃ καὶ ἐπινένοηται; ὡς προείρηται, ἐπικρατήσει ἄρα διὰ τὸ τέλος μᾶλλον τὸ καλεῖσθαι ἀντωνυμίαν. Οὕτω μὲν οὖν ταῦτα, ἐν δὲ τῷ ὅρῳ τῆς ἀντωνυμίας ἕτερός τις προστίθησιν, ὅτι καὶ προσώπων ὡρισμένων ἐστὶ παραστατική. οὐ καθόλου δὲ τὸ τοιοῦτο, κατὰ δὲ μόνων τῶν ὀρθοτονουμένων. αἱ γὰρ ἐγκλινόμεναι, προσώπων μὲν, οὐ μὴν ὡρισμένων εἰσὶ παραστατικαὶ, οἷα, ὡς εἰρήσεται, ἀφιεῖσαι συνεννοεῖσθαι, ᾧ παριστάσι προσώπῳ, καὶ τὰ παρὰ τοῦτο.

Τῶν γὰρ ὀνομάτων πρώτου καὶ δευτέρου ἀμοιρούντων προσώπου, ἥδε πρόσεισι, δυναμένη πᾶν πρόσωπον παρέχειν τοῖς ῥήμασιν εἰς λόγου τελείωσιν. ἐγὼ γράφω. σὺ γράφεις. ἐκεῖνος γράφει.

Τὴν τῶν ὀνομάτων πρὸς τὰ ῥήματα σύνταξιν ἀνθυπῆλθον αἱ ἀντωνυμίαι, οὐχ, ὥς τινες ᾠήθησαν, δι' ἄγνοιαν τῶν ὀνομάτων. ποία γὰρ ἄγνοια τῶν ὀνομάτων ἐν τῷ, σοὶ μὲν, ἐγὼ γράφω. σὺ δ', ἐμοὶ γράφεις; ἀλλὰ σαφὲς ὅτι μὴ δυναμένων τῶν ὀνομάτων ἐν πρώτοις καὶ δευτέροις προσώποις καταγίνεσθαι, αὗται ἀντεισήχθησαν, δυνάμεναι πᾶν πρόσωπον παρέχειν τοῖς ῥήμασιν εἰς λόγου τελείωσιν. οὐχὶ οὖν, φήσοι τις, καὶ ἀγνουμένων τῶν ὀνομάτων, φαμὲν σὺ, ἢ σέ, χρώμενοι ταύταις ἀντ' αὐτῶν; ἢ ὅτι ἐκ παρεπομένου τὸ τοιοῦτο ἐγένετο. εἴγε καὶ ἐγνώσει ὄντα τὰ ὀνόματα, πάλιν προσαπαιτεῖ τὴν ἀντωνυμικὴν σύνταξιν. δυνάμει δὲ κύριον ὄνομα νοεῖται διὰ τῆς ἀντωνυμίας, οὔφημι τὸ τῆς φωνῆς ὄνομα, τὸ δὲ ἐξ αὐτῆς δεικνύμενον, εἴτ' οὖν ἀντονομαζόμενον πρόσωπον. τοῦτ' ἔστιν ἡ ἰδία ποιότης τοῦ ὑποκειμένου. Τοῦ δὲ μὴ δύνασθαι τὰ ὀνόματα παραλαμβάνεσθαι κατὰ τὸ α', καὶ β', πρόσωπον, ἐστὶν

ἐστὶν αἴτιον, τὸ τὰς θέσεις τῶν ὀνομάτων, καθ' ἃς πρώτως αὐτὰ τιθέαμεν τοῖς ὀνομαζομένοις, μήτε ἐν α', μήτε ἐν δευτέρῳ προσώπῳ δύνασθαι καταγίνεσθαι. οὔτε γὰρ πρὸς οὓς λέγομεν, ἡ ἀπότασις γίνεται τοῦ ὀνόματος ὑπὲρ τῆς αὐτοῦ θέσεως. ὅπερ ἴδιον β', προσώπου, οὔτε μὴν ἑαυτοῖς τιθέμεθα. ὅπερ ἴδιον πάλιν τοῦ α', προσώπου. ἀνάγκη οὖν πᾶσα εἰς τὰ τρίτα πρόσωπα χωρεῖν τὰ ὀνόματα κατὰ πᾶσαν πτῶσιν, χωρὶς τῆς κλητικῆς. αὕτη γὰρ πρώτη ἐπιστρέφει τὴν ἐκ τῶν τρίτων προσώπων θέσιν εἰς τὸ β', διὰ τὴν ἐξ αὐτῆς γενομένην ἀντίληψιν τοῦ ἀναδεξαμένου προσώπου τὸ ὄνομα, φέρε τοῦ σωκράτους. Προφανὲς δ' ἐκεῖνό ἐστιν, ὡς ἐξ αὐτῆς τῆς κλητικῆς ποιούμενοι τοὺς λόγους πρός τινα, ὀφείλομεν ἀναμερίσαι τὰ πρόσωπα, τό, τε ἀφ' οὗ ὁ λόγος καὶ τὸ πρὸς ὃ, τοῦτ' ἔστι τὸ α', καὶ β', οὕτω. γεώργιε, ἐγώ σοι ἔγραψα. καὶ φαίνεται ὡς οὐκ ἐνὸν τοῖς ὀνόμασι συγχρῆσθαι ἐπὶ α', καὶ δευτέρου. καθ' ὅ, τι τρίτα ἦν ταῦτα. ὁ δὲ λόγος ἀπαιτεῖ τὸ ἐκ α', προσώπου δεύτερον. καὶ ἔνθεν παρεισέδυσαν αἱ ἀντωνυμίαι, τὸ ἀδύνατον τοῦ ὀνόματος ἀναπληροῦσαι, ἡνίκα φαμὲν, ἐγώ σοι ἔγραψα. Οὐκ ἂν δέ τις εὐλόγως ὑπολάβοι, ὡς ἐπειδὴ ἀντ' ὀνομάτων εἰσὶ, πρὸς οὐδὲν ἄρα χρειώδεις αἱ κατὰ τὸ γ', πρόσωπον ἀντωνυμίαι, δυναμένων τῶν ὀνομάτων κατὰ τὸ γ', παραλαμβάνεσθαι. καὶ γὰρ εἰ ἐνεχώρει καὶ κατὰ τὸ α', καὶ β', πρόσωπον παραλαμβάνεσθαι τὰ ὀνόματα, ἴσως ἂν ἐγένετο (φασὶ) μηδὲ τὴν ἀντωνυμίαν προσκυροῦσθαι. Ἀλλ' ἔστιγε πρὸς τὸ τοιοῦτο φάναι, ὡς αἱ ἀντωνυμίαι ἅπαξ ἀντὶ ὀνομάτων γενόμεναι, ἐκ παρεπομένου ἔσχον καὶ τὴν δεῖξιν. ὑπ' ὄψιν γὰρ πίπτοντα τὰ ἐξ αὐτῶν τῶν ὀνομάτων σημαινόμενα πρόσωπα, ἑωρᾶτο, καὶ ὁρώμενα, δείξεως ἀμοιρεῖ, μὴ δυνάμενα καὶ δεῖξιν ὁμοῦ καὶ ἰδιότητα παραστῆσαι. καὶ

οὕτω τὸ ἀντωνυμικὸν μόριον ἐξαιρέτως ἀπηνέγκατο τὴν δεῖξιν τῆς ἰδιότητος. ἥτις συνώδευσε κατὰ συζυγίαν τοῦ α', καὶ β', προσώπου, ἄχρι τοῦ γ'. οὐ καθ' ὃ οὖν τὰ ὀνόματα ἀνέφικτα ἐν τρισὶ προσώποις, διὰ τοῦτο καὶ μόνον ἐγένοντο αἱ ἀντωνυμίαι, ἀλλὰ καὶ καθ' ὃ ἀμοιρεῖ δείξεως, ἥτις ἐστὶν ἐν ἀντωνυμίαις. ἔνθεντοι κἀπὶ γ', ἐπινενόηται ἡ ἀντωνυμία, οὐδὶ ἄλλο, ἢ δείξεως ἕνεκα. καὶ διὰ τοῦτο ἀπόντων μὲν τῶν προσώπων, μόνα τὰ ὀνόματα παραλαμβάνεται, εἰς παράστασιν τῶν σημαινομένων. (ἡ γὰρ δεῖξις, τῶν παρόντων.) ἐπὶ δὲ τῶν ὑπ' ὄψιν κειμένων καὶ δείξεως δεομένων, ἐγνωσμένων μὲν τῶν ὀνομάτων, μόναι αἱ ἀντωνυμίαι παραλαμβάνονται, ἀγνοουμένων δὲ, ἀμφότερα συμπαραλαμβάνεται. σύνεστι γοῦν ἀμφότερα ἐν τῷ, οὗτος δ' αἴας ἐστὶ πελώριος. πάνυ ἀναγκαίως. ἕνεκα μὲν γὰρ τοῦ ὁρᾶσθαι τὸν αἴαντα, ἡ δεῖξις παρείληπται. ἕνεκα δὲ τῆς ἰδίας ποιότητος, ὑπὲρ ἧς καὶ ἠρώτησε, τὸ αἴας. Σημείωσαι δὲ ὅτι αἱ τοῦ α', καὶ β', οὐχ ἁπλῶς ἀντὶ πάντων, ἀντὶ δὲ μόνων τῶν λόγῳ κεχρῆσθαι δυναμένων ὀνομάτων ἐλήφθησαν. οὔτε γὰρ τὸ σὺ πρὸς ἄμοιρόν τι λόγου εἴποιτις ἂν ἀποτεινόμενος, οὔτ' αὖ τὸ ἐγὼ εἴποι τι, ὅτι μὴ τὸ λόγου μετέχον.

Διαίρεσις.

Διαιρεῖται δὲ εἰς πρωτότυπον, καὶ δεικτικὴν, καὶ ἐπιταγματικὴν, καὶ ὅσα ἄλλα διώρισται πρότερον.

Ἐν τῷ α', βιβλ'. ἀλλὰ γὰρ τῆς ἀντωνυμίας ἡ ἐμφερομένη διαίρεσις οὐκ ἔῤῥωται, μὴ γενομένη εἰς ἀντιδιαιρούμενά τε καὶ προσεχῆ εἴδη. ἀντιδιαιρεῖται καὶ γὰρ τῇ μὲν

Δεικτικῇ, ἡ Ἀναφορική. τῇ δὲ Συνθέτῳ, ἡ Ἁπλῇ. καὶ τῇ Παραγώγῳ, ἡ Πρωτότυπος. ὥσπερ αὖ πάλιν ἡ Ἐντελὴς, εἴτ' οὖν ὀρθοτονουμένη τῇ ἐγκλιτικῇ, λέγω δὴ τῇ ἀπολύτῳ, ἡ ἀντιδιασταλτική. καὶ ἡ Αὐτοπαθὴς, τῇ Ἑτεροπαθεῖ. κατὰ γὰρ Ἀπολλώνιον ἡ Ἀντωνυμία ἤτοι προλεχθέντων τινῶν ὀνομάτων ἀνθυπήχθη, ἢ τῶν δεικτικῶς ἐξενεχθῆναι μὴ δυναμένων. καὶ οὕτω μερίζεταί φησιν εἰς τὰς δεικτικὰς καὶ ἀναφορικὰς, εἰς μίαν ὀνομασίαν συνελθούσας. ὥστε διαιρετέον τὴν Ἀντωνυμίαν τὸ α', εἰς Δεικτικὴν καὶ Ἀναφορικήν. τὴν δὲ Δεικτικὴν, εἰς Ἁπλῆν καὶ σύνθετον. τὴν δ' αὖ Ἁπλῆν εἰς Πρωτότυπον καὶ Παράγωγον. τὴν δὲ Πρωτότυπον, εἰς Ἐντελῆ καὶ Ἐγκλιτικήν. ὡς εἶναι πλὴν τῆς Ἀναφορικῆς τὰς λοιπὰς ἁπάσας Δεικτικάς. ὁ δὲ Θεόδωρος φίφου λέγων εἶναι ἐν ἄλλοις, ὥσπερ τὰ μὴ ὑπάρχοντα ὀνοματοθετεῖν, οὕτω καὶ τὰ μοχθηρῶς ὠνομασμένα τοῖς πολλοῖς διορθοῦσθαι, εἶτα τὴν μοχθηρῶς γενομένην ταύτην διαίρεσιν οὐ διωρθώσατο. Περὶ δὲ τῆς Ἐπιταγματικῆς προείρηται, ὅτι διὰ τὸ ὡς ἐπὶ τὸ πλεῖστον ἐπιτάσσεσθαι ταῖς Πρωτοτύποις, οὕτως ἤκουσαν. οἷον, ἐγὼ αὐτὸς, σὺ αὐτὸς, ἑτέρα οὖσα παρὰ τὴν ἀναφορικήν. εἴ γ' ἡ μὲν, ἀναφέρει, δείκνυσι δ', αὕτη. καὶ ἡ μὲν, ἐπὶ γ', μόνον, αὕτη δὲ, κἀπὶ α', τε καὶ β', προσώπου λαμβάνεται, τὴν δεῖξιν ἄκρως ἐπιτείνουσα. ὡς εἶναι τὴν ἐπιταγματικήν τε καὶ ἀναφορικὴν τῷ μὲν ὑποκειμένῳ, εἴτ' οὖν τῇ φωνῇ ταὐτὰς, τῷ δὲ λόγῳ διαφόρους. τῶν δὴ παρὰ τὴν ἐπιταγματικὴν εἰδῶν τῆς ἀντωνυμίας κατὰ συζυγίαν ἀλλήλοις ἀντιδιαιρουμένων, μόνη παραλελεῖφθαι δοκεῖ ἡ ἐπιταγματική, μὴ ἔχουσα εἶδος ἀντιδιαιρούμενον. πῶς οὖν εἴρηται τὴν ἀντωνυμίαν διαιρεῖσθαι καὶ εἰς ἐπιταγματικήν; Ἢ ὅτι ἐν τῷ ἐμὲ αὐτὸν ὠφελεῖ, ἡ αὐτὸς, ἡ μὲν ἐπιταγματικὴ, δῆλον ὅτι πρὸς τὴν ἐμὲ, προταγματικὴν ἀντιδιήρηται, ἡ δὲ πάλιν ἐπιτατικὴ δείξεως, πρὸς τὴν ἐμὲ, ὑφετικήν.

Ἔστι δὲ καὶ ἡ μὲν, ἐντελής.

Κατά τε γραφὴν καὶ τόνον. οἷον,

Ταῦτα ἐμοί. ἡ δὲ, ἐγκλιτική.

Ἡ τὸν ἴδιον τόνον τῇ πρὸ αὐτῆς ἀναπέμπουσα λέξει, ἀπὸ μεταφορᾶς τῶν ἀχθοφορούντων ἀγεληδὸν ζῴων, καὶ ἐγκλινόντων τῶν ἔμπροσθεν ἐπὶ τοῖς ὄπισθεν τὰ σώματα αὐτῶν.

Ταῦτά μοι.

Πρόκειται μὲν οὖν, ὡς εἴρηται, ἡ ἐξαίρετος κλίσις κατὰ ἀμφότερα τὰ μέρη, σύνεστι δὲ δεῖξις διττὴ, ἡ μὲν, κατὰ ἀπόλυτον ἐκφορὰν, καθ' ἣν καὶ ἐγκλίνονται. οἷον, ἔπαισέ με. φανερὸν γὰρ ὅτι δεῖξις, ἀλλ' οὐκ ἐπιτεταμένη, οὐδὲ πρός τι ἀνατεινομένη. ἡ δὲ, ἀντιδιαστελλομένη. δι' ὃ καὶ ὀρθοτονεῖται. ἐμὲ αὐτὸν ἔπαισε. πρόδηλον γὰρ ὅτι ἐπιτέταται τὰ τῆς δείξεως. καὶ αἱ μὲν ἀπολύτως ἐκφερόμεναι, εἴτ' οὖν ἐγκλινόμεναι, θετικὸν ἐσχήκασι λόγον, αἱ δὲ ἐν ἀντιδιαστολῇ, αἱ ὀρθοτονούμεναί φημι, συγκριτικόν. καθάπερ καὶ τῶν ἐν τῇ ποιότητι νοουμένων, τὸ μὲν λευκὸς, ἀπολελυμένην ἔχει τὴν ποιότητα. ἐπιτεταμένην δὲ, τὸ λευκότερος. πρὸς ἕτερον γὰρ πρόσωπον ἀνατείνεται. ὃ πάντως ἐπιζητοῦμεν. ᾧ λόγῳ καὶ τὸ ἐμὲ, πρός τινος ἑτέρου διαστολὴν τὴν δεῖξιν ἀπῄτησε. πρὸς ὃν καὶ τὴν ἐπίτασιν ἀνεδέξατο. δι' ὅ, τι μέντοι ἐν ἁπάσαις τὸ τῆς ἐπιτάσεως οὐκ ἐγχωρεῖ, ἐν τοῖς κατὰ μέρος εἰρήσεται. καλοῦνται οὖν αἱ μὲν ἐν τελεῖς οὖσαι κατὰ τὴν φωνὴν καὶ τὸν διεγηγερμένον τόνον, ὀρθοτονούμεναι, καὶ οἷον εἰπεῖν, ὑγιεῖς, τάχα

πάχα σωιωνυμοῦντος τοῦ ὀρθοῦ καὶ τοῦ ὑγιοῦς. οἷον, σοὶ μὲν, ἐγώ. σὺ δ', ἐμοί. αἱ δὲ τὸν τόνον μεταθεῖσαι, ὡσπερεὶ ἀπὸ τοῦ ἐγκλινόντων τὰ βάρη ἐφ' ἕτερον σῶμα, καὶ χραφὴν ἤδη παρεῖσαι, ἐγκλιτικαί. εἶγε τὸ, σοὶ μὲν, ἐγὼ, σὺ δ', ἐμοὶ, μετὰ τῆς ὀξείας χραφῆς, καὶ τὸν ἴδιον τόνον ἔχει, τὸ δὲ, ναί μοι ταῦτ' ἀγόρευσον, παρῆκε μὲν τὸ ὀξεῖς τῆς χραφῆς, μετέθηκε δὲ καὶ τὸν τόνον.

Πρωτότυποι.

Τῶν μὲν ἓν πρωτοτύπων αἱ δύθειαι πρὸς αὐτιδιασολὴν αἰεὶ ἑτέρων λαμβάνονται.

Τὸ ἀεὶ προσκειται διὰ τὰς πλαγίας. αἳ ὡς ἀποβάλλειν ἔχουσαι τὸ καπάρχον φωνῆεν, καὶ διὰ τοῦτο ἐγκλίνεσθαι, καὶ ἀεὶ προσωπα διασέλλουσιν. αἱ δὲ δύθειαι ὡς ἀεὶ ὀρθοτονούμεναι. (ὃ δὲ διόλου τε αὐτὰς ἐγκλίνεσθαι. πρὸς τί διὰ καὶ ἀναπέμψουσι τὸν οἰκεῖον τόνον, αὗται τῶν ῥημάτων προκαπάρχουσαι;) ἀεὶ δήπου καὶ πρὸς αὐτιδιασολὴν καὶ διάκρισιν ἑτέρων προσώπων λαμβάνουσι, μὴ προσκειμένων μὲν, νοουμένων δὲ ὅμως. οἷον,

Ἡμεῖς εἴπομεν, καὶ ἐχ ἕτεροι. ἐγὼ γέγραφα, καὶ ἐχ ἕτερός τις.

Ὅτε καὶ εἰς ἐπίτασιν πλείονος δείξεως παραλαμβάνονται. αὐτιδιασέλλουσι δὲ αἱ μὲν ἐπὶ α, τὰ β, καὶ ξ ἴπα. αἱ δὲ ἐπὶ β, τὰ α, καὶ γ, αἱ δὲ ἐπὶ γ, τὰ τε α, καὶ δεύτερα καὶ τὰ παρὰ τὸ αὐτονομαζόμενον ξ ἴπα. οἷον, ἕτος φιφεῖ, μόνος ὁ σωκράτης τυχὸν καὶ ἐκ ἄλλος παρ' αὐτόν. ἐνθυντοι καὶ τῷ, ἡμεῖς εἴπομεν, τὸ ἐπιφερόμενον, καὶ ἐχ ἕτεροι, τῷ σαφὲς ἐπηνέχθη χάειν. καὶ διὰ καὶ μὴ προσκείμενον, ὅ δυνάμει ἔστιν ἐγκειται συνεκφωνούμενον. ὅθεν καὶ ὁ εἰπὼν, ἐγὼ γέγραφα, ὅθεν ἕτερον λέγει, ὅτι μὴ, ἐγὼ μόνος, καὶ ἐχ ἕτερός τις. καὶ τῇ ἐπιμεριστικῇ δὲ, εἴτ' ἂν διαιρετικῇ συνοίᾳ ὅδεν ἧττον αὐτιδιασέλλει τὰ πρόσωπα, οἷον, ἐγὼ εἰμι τῶν τιὼ σάσιν πεποιηκότων. ὅ δὲ διὰ οἱ ξύμπαντες, ἀλλὰ τῶν ἀπάντων μόνος ἐγὼ εἰμι.

Αἱ δὲ πλάγιαι,

Τῶν πρωτοτύπων δηλονότι.

Ἢν μὲν ὀρθοτονῶνται, καὶ αὗται δὴ πρόσωπα διασέλλουσι.

Τότε καὶ προηγούμεναι τῶν ῥημάτων προτίθενται κατ' Ἀπολλ. πρὸς αὐτιδιασολὴν τῶν ἐφεπομένων τοῖς ῥήμασιν ἐγκλιτικῶν.

Ἐμέ ἤκουσας, καὶ ἑκάλλυ.

Ἐπόμεναι δὲ τοῖς ῥήμασιν, ἀναστρεπτέαι εἰσίν.

Ἢν δὲ τὸ ἀρκτικὸν ἀποβάλλωσι φωνῆεν, ἀπολύτως λέγονται ἐγκλινόμεναι. ἤκουσάς μου. καὶ, ἔδωκάς μοι. καὶ, σύφρανάς με.

Μηδεμίαν δὲ τότε διασολὴν τῶν νοουμένων προσώπων σημαίνουσαι, ἀπολύουσι καὶ αὐτὰ σωιωνοεῖσθαι, τῶν ὀρθοτονουμένων οἱονεὶ ἐν δεσμῷ κατεχόντων αὐτὰ τὸ μὴ συνεννοεῖσθαι. τὸ δὲ δέδωκέ σοι, πιὸ τόν ἐστιν, ἢ μόνον σοὶ, ἀλλὰ καὶ ἄλλῳ. καμοὶ δηλ: καὶ τούτῳ, κἀκείνῳ. καὶ ὅλως εἰπεῖν καὶ ἑτέρῳ. ὅθεν δὲ τὸ δώσωσοι, ταὐτὸν τῷ, σοὶ δώσω τὰς κλεῖς. ἀλλὰ τοσοῦτον διαφέρουσιν ἀλλήλων, καθ' ὅσον τὸ ἐμέ ἤκουσας, καὶ ἤκουσάς μου. Ἀλλ' ἀπορήσεις, τῶν πρωτοτύπων τὰς μὲν πρωτοπροσωπούσας πλαγίας ῥᾴδιον ἐστι καταμαθεῖν, πότε πρὸς διασολὴν ἑτέρων

ἑτέρων λαμβάνονται, ὀρθοτονούμεναι, καὶ πότε ἀπολύτως, ἐγκλινόμεναι, ἔκ τε τῆς δισυλλαβίας καὶ τῆς τοῦ ἀρκτικοῦ φωνήεντος ἀποβολῆς. τὰς δὲ τοῦ β', καὶ γ', προσώπου μὴ εἰς δισυλλαβίαν ἐκτεινομένας, πῶς ἂν ἔχοι τις καὶ ταύτας διαγνῶναι, πότε μὲν οὕτω, πότε δ' ἐκείνως λαμβάνονται; Ἢ ὅτι καὶ τούτων αἱ πλάγιαι προηγούμεναι μὲν τῶν ῥημάτων, ἀντιδιαστέλλουσι τὰ πρόσωπα, ἐπιτασσόμεναι δὲ, καὶ τὸν τόνον ἀποβάλλουσαι, ἀπολύτως λαμβάνονται. Ἀντιστρέφει δὲ τὰ τοῦ λόγου οὕτωσιν, αἱ δὲ πλάγιαι, ἢν μὲν διαστέλλωσι πρόσωπα, ὀρθοτονοῦνται, ἢν δὲ ἀπολύτως λαμβάνωνται, ἐγκλίνονται. ἔνθεντοι, τὸ ἕνεκα σοῦ θανατούμεθα. καὶ, πλὴν σοῦ Θ'ν οὐκ ἔγνωμεν, κατ' ὀρθὴν τάσιν ἀναγνωστέον, ἵνα διαστέλλωμεν τὰ πρόσωπα, καὶ μὴ φανῶμεν ἔνθα μὲν, καὶ ἄλλον παρὰ τὸν ἕνα καὶ μόνον Θ'ν γινώσκοντες, ἔνθα δὲ, καὶ ἄλλου ἕνεκα θανατούμενοι. Κατὰ δὲ τὸν αὐτὸν λόγον ὀρθοτονητέον, καὶ τὰ πτωτικὸν ὁμοιόπτωτον ἐπιφερόμενα ἀντωνυμικὰ, διασταλτικὰ οὐδὲν ἧττον καὶ αὐτὰ προσώπων ὄντα, δι' οὗ ἐπιφέρονται ὁμοιοπτώτου πτωτικοῦ. οἷον, καὶ δὸς ἡμῖν, δέσποτα, τολμᾶν ἐπικαλεῖσθαι σὲ τὸν ἐπουράνιον Θ'ν Πρά. καὶ, σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πρὶ, κτ: καὶ, ὅτι εὐλόγηται καὶ δεδόξασται σοῦ ἡ βασιλεία τοῦ Πρὸς, κτ': τῶν γὰρ ἐπιθέτων πρὸς ἀντιδιαστολὴν τῆς τῶν ὑποκειμένων ὁμωνυμίας ἐπινοηθέντων κτ. Ἀπολλ': δῆλον ὅτι καὶ τὰ ταῖς ἀντωνυμίαις ἐπιθετικῶς ἐπιφερόμενα πτωτικὰ, ἀντιδιασταλτικά εἰσι προσώπων. καὶ ἡ τοῖς διασταλτικοῖς ἄρα μορίοις συμφερομένη ἀντωνυμία, συνδιαστέλλει δὴ καὶ αὐτή. ὡς μὲν οὖν ἀναγκαίως αἱ τῆς εὐθείας ὀρθοτονοῦνται μόνον, ἐδείχθη. Ἀκολούθως δὲ χωρητέον καὶ ἐπὶ τὰς ἑξῆς πτώσεις. αἷς τὸ δισσὸν τοῦ τόνου παρεπόμενόν ἐστι παρὰ τὰς ὑπούσας συντάξεις τοῦ λόγου.

εἰ γὰρ μή τις τὸ τῆς φωνῆς ἰδίωμα ἐπεξεργάσοιτο, τὸ διττὸν τῆς τάσεως οὐ νοηθήσεται. τῆς μὲν οὖν ἐν αὐταῖς ὀρθῆς τάσεως γενικώτατός ἐστιν, ὡς εἴρηται, τρόπος, ἐὰν παρέμφασις ἑτέρου προσώπου παραλαμβάνηται. Τὸ γὰρ παῖδα δ' ἐμοὶ λύσατε, εἴρηται πρὸς τὸ, ὑμῖν μὲν θεοὶ δοῖεν. καὶ σαφὲς ὅτι τὸ ὑμῖν μὲν θεοὶ δοῖεν, διὰ τῆς συνούσης ὀρθῆς τάσεως προσυνίστησι τὸ ἀνθυπαχθησόμενον πρόσωπον, τὸ παῖδα δ' ἐμοὶ, κτ': τὸν δὴ προειρημένον κοινὸν τρόπον εἰσὶν οἵ τινες εἰς πλείονας τρόπους πάλιν τέμνουσιν. ἐξ ὧν πάλιν ταὐτὸν συναγόμενον παρίσταται τῷ προειρημένῳ. πᾶσα γάρ φασιν, ἀντωνυμία συμπλεκομένη, ἐν τάσει ὀρθῇ ἐστιν. οἷον, διονυσίῳ ἐλάλησε καὶ ἐμοί. διονύσιον τιμᾷ καὶ ἐμέ. εἴγε μὴν ἐκτὸς τοῦ συνδέσμου γένοιτο ἡ ἀντωνυμία, οὐ πάντως ὀρθοτονηθήσεται. ἐχαρίσατό σοι καὶ διονυσίῳ. ἐτίμησέ σε καὶ διονύσιον. Τῷ δὴ τοιούτῳ λόγῳ παρακολουθοῦντες τινες, φασὶ τὰ τοιαῦτα καίμ' ἐφίλησε. καί μοι ὑποστήτω. ὡς ἐγκλινόμενα, μὴ συμπεπλέχθαι ἐν τῇ ἀντωνυμίᾳ, ὡς καὶ τὰ προσεχῶς εἰρημένα. καὶ δῆλον ὡς εἰ μή τις τὰ τοιαῦτα ἀναγκαίως ἐπεξεργάσοιτο, δόξει αὐτὸ μόνον τοῖς ἀναγνώσμασιν ἠκολουθηκέναι. ἀφορμὴν τε δώσει τοῖς ἐθέλουσι διαταράσσειν τὰ ἀναγνώσματα, ἑκάστου, ὡς ἂν ἐθέλῃ, ἀναγινώσκοντος. καθ' ὃ οὐκ ἐπέχονται διὰ λόγου δυναμένου ἐπιδεῖξαι τὸ δέον τοῦ τε καταλλήλου καὶ τοῦ ὑπερβατοῦ. οἱ δὴ καλούμενοι ἀθροιστικοὶ σύνδεσμοι οἱ καὶ συμπλεκτικοὶ, ἐκ τῶν προκειμένων λόγων ἀπὸ κοινοῦ λαμβάνουσιν ἤτοι ὄνομα ἢ ῥῆμα. ἐντεῦθεν καὶ στιγμῆς πάμπαν ἀπροσδεεῖς εἰσιν, ὡς ἂν ἔτι ἐχομένου τοῦ προϊόντος λόγου ὡς πρὸς τὸ ὑποκείμενον, καὶ μὴ διακοπτομένου. ἐγκείσθω δὲ ὑπόδειγμα ἐκ μὲν τοῦ συνήθους λόγου, καὶ διονύσιος περιπατεῖ καὶ ἀπολλώνιος,

κοινοῦ

κοινοῦ λαμβανομένου τοῦ περιπατεῖ. ἐκ δὲ τοῦ ποιητικοῦ. βιωτῶν μὲν πηνέλεως καὶ λήϊτος ἦρχον, ἰλ. β. ἀρκεσίλαός τε προθήνωρ τε κλόνιός τε. κοινοῦ πάλιν παραλαμβανομένου τοῦ ἦρχον. οὐ τοῦτο δέ φημι, ὡς πάντως ἐν τῷ καθόλου δηλαδὴ ἐν κοινότητι τὰ τοιαῦτα (ἐν οἷς ὁ σύνδεσμος) παραλαμβάνεται. δείξομεν γὰρ ὅτι ὁ δὲ, καὶ πάλιν οἱ τούτῳ ἰσοδυναμοῦντες, παραιτοῦνται τὰς κοινότητας, μετάβασιν ποιούμενοι καὶ τῶν πτωτικῶν καὶ ἔτι τῶν ῥημάτων. ἔνθεν ἀπροσδεεῖς ὄντες τοῦ προκειμένου λόγου, στιγμῆς αἴτιοι καθεστῶσιν, ὡς ἔχει τὸ, διονύσιος ἔγραψε. Τρύφων δὲ ἀνέγνω, καὶ τὰ τοιαῦτα, χωρὶς εἰ μὴ ἐπιμεριζόμενα εἴη ἐκ πλήθους, ὡς ἔχει τὸ φιλολογήσωμεν σήμερον σὺ μὲν, καὶ σχολὴν, ἐγὼ δὲ, κατ' οἶκον. καὶ, ἀλλ' ἤτοι μὲν, ταῦτ' ὑποείξομεν ἀλλήλοισι, σοὶ μὲν, ἐγὼ, σὺ δ' ἐμοί. κἂν τούτοις τῶν ἀπὸ κοινοῦ λαμβάνουσιν οἱ μεριστικοὶ τῶν συνδέσμων ἔνθα μὲν, τὸ φιλολογήσωμεν. ἔνθα δὲ, τὸ ὑποείξομεν) οὔκουν ἁπλῶς ἐν κοινότητι τὰ τοιαῦτα παραλαμβάνεται, ἀλλ' ὡς τὰ ἐκ κοινοῦ παραλαμβανόμενα, ἐν τοιαύτῃ συμπλοκῇ καθέστηκε, λέγω τῇ ἐκ τοῦ καὶ, τῶν τε τούτῳ ἰσοδυναμούντων. τὴν δὴ τοιαύτην τήρησιν ἀκριβεστάτην οὖσαν ἐνταῦθα μὲν, προληπτικώτερον, ἐν δὲ τῇ ἐπιβαλλούσῃ τάξει πάλιν ἐπιμελέστερον ἐκθησόμεθα. ἀνιτέον οὖν ἐπὶ τὸ προκείμενον. Ἐφ' οἱασοῦν συντάξεως, ἐὰν πτωτικὸν συμπλακῇ, οὔποτε καὶ τὸν ἑξῆς λόγον δύναται κοινὸν παραληφθῆναι τὸ προληφθὲν πτωτικὸν, τό γε μὴν ῥῆμα. καὶ ἀνάπαλιν, ἐὰν ῥῆμα συμπλακῇ, οὔποτε κατὰ τὸν ἑξῆς λόγον κοινὸν παραλαμβάνεται τὸ προληφθὲν ῥῆμα, τό γε μὴν συνὸν πτωτικόν. ἐκκείσθω δὲ ὑποδείγματα, τοῦ μὲν α', καὶ Τρύφων διελέξατο καὶ ἀπολλώνιος. κοινοῦ παραλαμβανομένου, οὐ τοῦ Τρύφωνος, τοῦ γε μὴν διελέξατο. καὶ ἀνάπαλιν, τοῦ β', καὶ διελέξατο Τρύφων καὶ ἀνέγνω, νῦν πάλιν τοῦ Τρύφωνος κοινοῦ παραλαμβανομένου, οὐ τοῦ διελέξατο. τὴν αὐτὴν σύνταξιν ποιήσουσιν οἱ τοιοῦτοι σύνδεσμοι κἀπὶ τῶν ἀντωνυμιῶν, ἢν καὶ ἐπὶ τῶν ὀνομάτων. εἰ μέντοι γε τῶν συμπλεκομένων λόγων οὐχ ὁ προκείμενος, μόνος δ' ὁ ἑπόμενος ἀναδέξοιτο τὸν σύνδεσμον, τοτηνικαῦτα ἀδιαφόρως ἔχει τὸ ἐπιφερόμενον τοῦ κοινοῦ. Τρύφων περιπατεῖ καὶ ἀπολλώνιος. περιπατεῖ Τρύφων καὶ διαλέγεται, ἀμφοτέρων ἀπὸ κοινοῦ δυναμένων παραλαμβάνεσθαι, τοῦ τε ὀνόματος καὶ τοῦ ῥήματος. εἰ δὲ πάλιν τῷ προκειμένῳ λόγῳ προσδῶμεν τὸν σύνδεσμον, περὶ τὴν σύνταξιν αὖθις τοῦ προληφθέντος συνδεδεμένου λόγου τὰ τοῦ ἑπομένου καταστήσεται λόγου. καὶ Τρύφων περιπατεῖ καὶ ἀπολλώνιος, κοινοῦ πάλιν παραλαμβανομένου τοῦ ῥήματος, οὐ τοῦ πτωτικοῦ. καὶ ἀνάπαλιν, καὶ περιπατεῖ Τρύφων καὶ διαλέγεται. κοινοῦ πάλιν τοῦ πτωτικοῦ, οὐ τοῦ ῥήματος. οὐ γὰρ ἐν ὑγιεῖ λόγῳ ἡ τῶν τοιούτων συμπλοκὴ, καὶ περιπατεῖ Τρύφων καὶ ἀπολλώνιος. ἀμφότερα γὰρ κατὰ τοῦ Τρύφωνος κατηγορηθήσεται. καὶ τὸ, περιπατεῖ καὶ τὸ, ἀπολλώνιος. καὶ ἔσται ὁ Τρύφων καὶ περιπατῶν καὶ ἀπολλώνιος. ὃ καὶ γελοῖον εἰπεῖν. τὸ αὐτὸ καὶ ἀνάπαλιν συναχθήσεται. Τρύφων καὶ περιπατεῖ καὶ ἀπολλώνιος. Ὁμόλογον οὖν ἐκ τῶν προκειμένων, ὡς τὸ συνδεδεμένον πτωτικὸν, ἀπαιτεῖ ἕτερον πτωτικὸν, πάντως καὶ τῆς αὐτῆς πτώσεως, (καθ' ὅ, τι οἱ σύνδεσμοι τὰ ὅμοια τοῖς προειλημμένοις συνάπτειν ἐθέλουσιν.) ὃ δὴ προῦπτόν ἐστι καὶ ἐξ ἐκείνου. εἰπὲ καὶ ἡμῖν. καὶ τῶν ὁ τοῦ πτωτικοῦ προκείμενος σύνδεσμος, δίδωσιν ἐννοεῖν, ὅτι καὶ ἄλλοις εἰπέ. ἂν δ' ἀφέλῃς τὸν σύνδεσμον, συναφεῖλες πάντως καὶ τὸ ὑπακουόμενον ὁμοιόπτωτον πτωτικόν.

ἔνθεν

ἔνθεν οὖν ὀρθοτονοῦνται τὰ συμπλεκόμενα πτωτικὰ, διὰ τὸ ἐπιπλεκόμενον ὁμοιόπτωτον πτωτικόν. καὶ ἐμοὶ ἐλάλησε καὶ διονυσίῳ. καὶ ἐμὲ τιμᾷ καὶ διονύσιον. Κἀτεῦθεν δῆλον ὡς τὰ τοιαῦτα, καίμοι ὑποστήτω καί μ' ἐφίλησεν. οὐ συμπλέκεται κατὰ τὸ ἀντωνυμικὸν, κατὰ δὲ τὸ ῥῆμα. καὶ ἔστι τὰ τοῦ λόγου ἐν ὑπερβατῷ. ἰδοὺ γὰρ ἡ συμπλοκὴ οὐκ ἐπήγαγεν ὁμοιόπτωτον πρόσωπον πρὸς τὸ συμπεπλεγμένον ἀντωνυμικὸν πτωτικόν. οὗ δὴ χάριν ἀνεθεῖσαι τῆς διαστολῆς αἱ ἀντωνυμίαι ἐπὶ τῆς τοιαύτης συντάξεως, παρῆκαν τὸν ἴδιον τόνον, ἀνεχόμεναι ὑπὸ τοῦ συνδέσμου, ὅ ἐστιν ἐγκλινόμεναι. Τὸν αὐτὸν δὴ συντακτικὸν λόγον ποιήσει τις καὶ ἐπὶ τῶν κατὰ διάζευξιν παραλαμβανομένων, καὶ καθόλου τῶν δυναμένων εἰς σύνταξιν πτωτικὴν παραλαμβάνεσθαι συνδέσμων. φημὶ δὴ τὸ τοιοῦτο, καθ' ὅ, τι ὁ ἐπὶ ῥῆμα μόνον φερόμενος σύνδεσμος, εἰ μὴ τὰ τοῦ λόγου ἀπαιτήσει, οὐκ ἀναγκαίως διεγείρει τὰς ἀντωνυμίας. οἷοι οἵ τε αἰτιολογικοὶ καὶ οἱ διαβεβαιωτικοὶ, εἰς ῥήματος σύνταξιν μόνον παραλαμβανόμενοι. οἷόν τε γὰρ φάναι ἀπολύτως μὲν, ἐν ὑπερβατῷ δὲ, ὅτι σε ἐτίμησα, ὑβρίσθην, ἀντὶ τοῦ ὅτι ἐτίμησά σε. καὶ καθόλου ὁ ὅτι, οὐκ οἶδε διεγείρειν τὴν ἀντωνυμίαν πτωτικὴν οὖσαν, ἐπὶ ῥῆμα φερόμενος. εἰ δὲ κατ' ὀρθὴν τάσιν φαίημεν, ὅτι σε ἐτίμησα, δῆλον ὡς οὐ διὰ τὸν σύνδεσμον, διὰ δὲ τὴν ἐπακολουθήσασαν ἀντιδιαστολὴν τὰ τοῦ τόνου διεγήγερται τῆς ἀντωνυμίας. σὲ γὰρ μόνον, οὐκ ἄλλον. τἀνάπαλιν πάλιν ὁ ἕνεκα σύνδεσμος. φερόμενος γὰρ πάντοτε ἐπὶ πτωτικὸν κατὰ γενικὴν μόνως, ὀρθοτονεῖ μὲν τὴν ἀντωνυμίαν ὁμοιόπτωτον πτωτικὸν ἐπιφερομένην. εἵνεκ' ἐμεῖο κυνός. ἕνεκα ἐμοῦ τοῦ τάλανος. τίς γὰρ ἂν θαρρήσειεν ἑλλήνων ἐγκλίνειν τῶν ἀντωνυμιῶν ἁπλῶς τὰς ὁμοιοπτώτοις πτωτικοῖς συνημμένας; μονάζουσαν δὲ, οὐκ ἔτι κατὰ Ἀπολλώνιον, ὡς μὴ ἔχουσάν τι τῶν ἀντιδιαστέλλειν πρόσωπα πεφυκότων. τοιοῦτο γὰρ, ὡς εἴρηται, τὸ ἐπίθετον. ἕνεκά του πάντα κινεῖται. Ἀλλὰ γὰρ καὶ μονάζουσα ἡ τῷ ἕνεκα συνημμένη ἀντωνυμικὴ γενικὴ, πρὸς ἀντιδιαστολὴν προσώπων λαμβανομένη, οὐδὲν ἧττον ὀρθοτονηθήσεται. πάντα μὲν γὰρ ἕνεκά του κινεῖται. οὐμὴν δὲ καὶ, ἕνεκά σου θανατούμεθα. εἴγε τὸ μὲν τέλος, οὗ ἕνεκα πάντα κινεῖται, οὐ μοναδικὸν, μοναδικὸν δὲ τὸ θεῖον, οὗ ἕνεκα θανατούμεθα. ὅθεν ὀρθοτόνως ἀναγνωστέον, ἕνεκα σοῦ θανατούμεθα. δῆλον οὖν ὡς τῶν ἀντωνυμιῶν ὅσαι συνδεθεῖσαι, πρός τι πτωτικὸν ὁμοιόπτωτον τὸν λόγον ἀνέχουσιν, ὀρθοτονοῦνται ἅπασαι. καθ' ὅ, τι διαστέλλουσι τὸ ἐπιπλεκόμενον ὁμοιόπτωτον πρόσωπον. φησὶ δέ που καὶ ὁ Ἄβρων οὐ δεόντως ἐγκεκλίνθαι τὸ, ἤμ' ἀνάειρον. (ἢ ἐγώσε.) καθ' ὃ διέζευκται ἡ ἀντωνυμία. (κεῖται γὰρ τὰς συνημμένας ὁμοιοπτώτως, ἤτοι κατὰ σύζευξιν ἢ κατὰ διάζευξιν ὀρθοτονεῖσθαι.) καὶ οὐκ ἔστι καὶ πρὸς αὐτὸ τὰ τοῦ ὑπερβατοῦ φάναι, ὅτι τὸ δέον ἐστὶν, ἢ ἀνάειρόν με, κατὰ τὸ καίμ' ἐφίλησε. καίμοι ὑποστήτω. ἐπὶ τούτων γὰρ τοῦ λόγου μονάζοντος, πτωτικὸν ὁμοιόπτωτον οὐκ ἐπιφέρεται ἕτερον, καθάπερ ἐπὶ τοῦ προκειμένου ἐπιπλέκεται ὁμοιοπτώτως τὸ, ἢ ἐγὼ σε, ὅτι μὴ κατ' ἔλλειψιν εἴποι τις ἂν εἰρῆσθαι τοῦ ἐπιφερομένου λόγου τοῦ, ἢ ἐγὼ σέ. (ὃν ἡμεῖς μὲν προσεθήκαμεν, ὁ δ' Ἄβρων παρῃτήσατο.) καὶ διὰ τοῦτο ἐγκλίνεσθαι. ἀλλὰ γὰρ ὄντως οὐ τὸ ῥῆμα διέζευκται ἐκ τοῦ κατὰ διάζευξιν ἐπιφερομένου λόγου τοῦ, ἢ ἐγὼ σέ, (ῥῆμα γὰρ ἂν, εἴπερ, καὶ οὐκ ἂν πτωτικὸν ἐπηνέχθη, καθάπερ ἐπεδείξαμεν ἐπὶ τῆς συμπλοκῆς.) ἀλλ' ἡ ἀντωνυμία. εἴ γ' ἐπιφέρεται, ἢ ἐγὼ σέ. εἴρηται γὰρ τῶν συνδέσμων τοὺς ἀθροιστικούς τε καὶ διαζευκτικοὺς τὰ ὅμοια

μοια συνάπτειν ἐθέλοντας, τὰ μὴ συνημμένα ἐν κοινότητι παραλαμβάνειν. ἀλλὰ μὴν τὸ ῥῆμα ἐν κοινότητι παραλαμβάνεται ἐν τῷ ἢ μ' ἀνάειρον, ἢ ἐγὼ σέ. οὐκ ἄρα τὸ ῥῆμα, τὸ δὲ πτωτικὸν συνήνωται. τοὺς μέν τοι περὶ τὸν Ἄβρωνα ὑπαναγνόντας παρεκρούσατο ἡ μονοσύλλαβος με, ἀντωνυμία. ἢν δεόντως δισύλλαβον παρεδεξάμεθα, πείσαντες ὡς οὐ κατὰ ἀποβολὴν τοῦ ἀρκτικοῦ φωνήεντος ἐνεκλίνθη, ὡς τοῖς περὶ τὸν Ἄβρωνα ἔδοξεν, ἀλλ' ὑποσυνηλείφθη κατὰ τὸν τρόπον τῆς κράσεως, ὁμοίως τῷ, μῷ κεχαρισμένε θυμῷ. τῇ, μῇ κλισίῃ. κἀτεῦθεν δῆλον, ὅτι οὐ μεταθήσει τὸν ἴδιον τόνον, ἀναπέμψασα ἐπὶ τὸν ἢ, σύνδεσμον, σῳζομένου, ὡς δέδεικται, τοῦ ε, ἐν τῇ συναλιφῇ. συνάξει δὲ ἐν αὐτῇ, ὡς ἐπὶ τοῦ προκειμένου, ἢ μ' ἀνάειρον, ἢ ἐγὼ σέ. καθάπερ κἀπὶ τοῦ διασαφητικοῦ ἐκείνου. ὑμῖν παρπροτέροισι μελίφρονα πυρὸν ἔθηκεν, οἶνόν τ' ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγει, ἢ ἐμοί. ὅς περ οἷ θαλερὸς πόσις εὔχομαι εἶναι. οὐχ ἧττον γὰρ ὀρθοτονεῖται τὸ ἢ μ' ἀνάειρον τοῦ ἢ ἐμοί. εἴγε καὶ τὸ ἀντιδιεζευμένον ὀρθοτονεῖται, φημὶ τὸ σέ. καθάπερ καὶ τὸ ὑμῖν. προφανὲς ἄρα ὡς ἐπὶ πάντων τῶν τοιούτων ὁ προειλημμένος λόγος καταστήσει τὸ δέον τῆς συντάξεως. Καὶ αἱ Προθέσεις δὲ παρατιθέμεναι ταῖς ἀντωνυμίαις, ταὐτὸ ἀποτελοῦσιν, ὅπερ καὶ οἱ σύνδεσμοι. παρ' ἐμοῦ. ἐπὶ σέ. κατὰ σοῦ. διὰ σέ. ἀφικνεῖται παρὰ σέ. (σεσημείωται τὸ πρός με παρά τε μενάνδρῳ καὶ ἁπλῶς ἐγκλῖνον.) καὶ ἕνεκα τούτου περισσὸν ἡγοῦμαι, τῆς συντάξεως προδήλου οὔσης, πλείοσιν ὑποδείγμασι χρῆσθαι. ἐκεῖνο γάρ ἐστιν ἐπεξεργάσασθαι ἀναγκαῖον, εἰ κατά τινα φυσικὴν ἀκολουθίαν τὸ τοιοῦτο παρεπόμενόν ἐστι καὶ ταῖς προθέσεσιν. οὐ γὰρ οὕτω κατεπείγει τὸ τῆς συντάξεως, πρόδηλον ὄν. τὸ δὲ τοῦ λόγου τοῖς πᾶσιν οὐκ εὐσύνοπτον. Αἱ πλάγιαι τῶν ἀντωνυμιῶν συντασσόμαι τοῖς ῥήμασι, καὶ προσώπων δυοῖν παρμφαντικαὶ ἤδη γεγενημέναι, τοῦ τε διατιθέντος καὶ τοῦ διατιθεμένου, τοῦ τε ἐνεργοῦντός φημι καὶ τοῦ πάσχοντος, διὰ μὲν τῆς ὀρθῆς τάσεως παρεμφαντικαὶ γίνονται καὶ γ', προσώπου. εἴγε διαφέρει τὸ, τύπτω σε, τοῦ σὲ τύπτω. διὰ δὲ τῆς ἐγκλιτικῆς, οὐκ ἔτι. καὶ ἕνεκα τούτου τὰ τῆς συντάξεως διεμερίσθη. καθ' ὃ ἡ μὲν ἀπολελυμένη σύνταξις, ὑποτκτικὴν ἀντωνυμίαν αὐτοῦσα, μετατίθησι καὶ τὴν τάσιν, τοῦτ' ἔστιν ἐγκλιτικὰς αὐτὰς καθίστησι, συναφαιροῦσα, ἐν οἷς ἐστι, καὶ τὸ κατάρχον ε, ὡς εἴρηται. ἡ δὲ πρός τι, μετὰ σχέσεως εἰς ἀντιδιαστολὴν ἑτέρου παραλαμβανομένη προσώπου, τὸ ἀνάπαλιν ἐν ἀρχῇ τοῦ λόγου παραδέχεται τὴν ἀντωνυμίαν, ὀρθοτονοῦσα, ᾗ σύνεστι καὶ ἡ ὁλόκληρος φωνὴ, καὶ ἡ παρεπομένη γραφὴ, σῳζούσῃ δηλαδὴ τὸ κατάρχον ε, ἐν οἷς ἐστι. πρόδηλον ἐκ τοῦ δός μοι καὶ ἐμοὶ δός. ἀλλὰ κἀκεῖνος ὁ λόγος ἐστὶν ἀληθὴς, ὡς αἱ προθέσεις καθόλου συντίθενται μὲν κατ' εὐθεῖαν καὶ κατὰ τὰ ῥήματα, κατὰ δὲ τὰς πλαγίας παρατίθενται. κἀπὶ μὲν τῶν ἀντωνυμιῶν προφανὲς, ἐπὶ δὲ τῶν ὀνομάτων δόξει τὰ τοῦ λόγου διαψεύδεσθαι. λέγομεν γὰρ ὑπέρβολον, ἐπίκουρον, ἐν αἰτιατικῇ πτώσει. ὅπερ εἴ τις ἂν ἀκριβῶς ἐξετάσῃ, οὐχ εὕροι ἂν τὴν πλαγίαν συντεθειμένην, συνθέτου δὲ εὐθείας κλίσιν γεγενημένην. ἰδιάζουσαι γοῦν αἱ τῶν ἀντωνυμιῶν πλάγιαι ἐν ταῖς προθέσεσι, πρόδηλον ποιοῦνται τὴν παράθεσιν. κατὰ κτησιφῶντος, πρὸ ἀριστάρχου. καὶ δι' ὅ, τι τὸ τοιοῦτο παρεπόμενόν ἐστιν, ἐν τῇ περὶ αὐτῶν συντάξει εἰρήσεται. αἱ γοῦν παρατιθέμεναι ταῖς πλαγίαις τῶν ἀντωνυμιῶν, ἀναγκαίως ἀρκτικὰς αὐτὰς ποιοῦσι. προθετικαὶ γὰρ οὖσαι, συμπροτιθέασι καὶ τὰς πλαγίας, αἷς καὶ συντάσσονται καὶ οὕτω.

καὶ οὕτω τῶν ῥημάτων δευτέρων γινομένων μετὰ τὰς ἀντωνυμίας, ἀνάγκη πᾶσα ἐγγίνεσθαι ὀρθὴν τάσιν ταῖς ἀντωνυμίαις, καθὼς ἀπεδείξαμεν, προκειμέναις τῶν ῥημάτων. καθ' ὅ, τι ἀδύνατόν ἐστιν ἐπινοῆσαι ἐγκλιτικὴν πρὸ ῥήματος τοῦ πρὸς ὃ ποιεῖται τὴν σύνταξιν. φαμὲν γὰρ, ἔγραψά σοι λαλῆσαι ἀπολλωνίῳ, τῆς ἀντωνυμίας συνταπομένης οὐ τῷ λαλῆσαι, τῷ δὲ ἔγραψα. πρὸς ὃ καὶ τὴν ἰδίαν τάσιν ἀνεπέμψατο. ἔνθεν μοι δοκεῖ ἡ μετὰ τὰ ῥήματα τῶν ὀρθοτονουμένων ἀντωνυμιῶν σύνταξις ἀνεστράφθαι, εἰ οὕτω τις φαίη, ἐλάλησας ἐμοί. τὸ γὰρ δέον ἐστὶν, ἐμοὶ ἐλάλησας. εἰ γὰρ τὸ ἀπολελυμένον πρόσωπον τῆς τοῦ ὀρθοτονουμένου μὴ τυχὸν θέσεως, τοῦτ' ἔστιν ἡ ἐγκλιτικὴ ἀντωνυμία οὐ δέποτ' ἂν εἴη προτακτικὴ, οὐ δὲ ἡ ὀρθοτονουμένη ἄρα, ὑποτακτικὴ δεόντως παραληφθήσεται. ὁπότε καὶ αἱ ὑποτακτικαὶ, ὡς ἐν τῷ, ἔγνω γὰρ ψυχήμε ποδώκεος αἰακίδαο. ἐν ἀρχῇ γενόμεναι, προτακτικαὶ δηλονότι, παρῆκαν μὲν τὴν ἰδίαν φωνὴν, λέγω τὴν ἐγκλιτικὴν, μετέλαβον δὲ τὴν τῆς ὀρθῆς τάσεως. ἐμὲ δ' ἔγνω καὶ προσέειπεν. ἐν ᾧ νῦν οὐκ ἔστι δηλουμένη ἡ ὀρθὴ τάσις, τάξεως γε μὴν ἐναλλαγὴ, ἐλεγχομένης ἐκ τοῦ, ἔγνω γὰρ ψυχήμε. συνεπισχύει καὶ ὁ ἀπὸ τῆς φωνῆς λόγος. ὑπὲρ γὰρ τοῦ εὔληπτα τὰ τῆς συντάξεως γίνεσθαι, τὸ ἀπόλυτον πρόσωπον καὶ ὑποτακτικὸν παρῆκε τὸ ε, ἐν τῷ ἔγνω γὰρ ψυχήμε. κἀπεὶ τοῖς μονοσυλλάβοις οὐκ ἠδύνατο παρέπεσθαι τὸ τοιοῦτο, λέγω τὸ συλλαβὴν ἀποβάλλειν, τόνου γε ἀποβολὴν ἐποιήσαντο. ἔνθεν καὶ ἐγκλιτικαὶ ἐγένοντο. Οἰήσεταί τις ἀντικεῖσθαι τὰς πληθυντικάς. καθ' ὃ εἰς ἔγκλισιν παραλαμβανόμεναι, οὐ παραφθείρουσι τὸν ἐν ἀρχῇ χρόνον. ἤκουσεν ἥμων διονύσιος. εἴπομεν κατ' ἀρχὴν, ὡς ἰδίωμα φωνῶν ἐλλειπεστέρας καθίστησι διηνεκεῖς τηρήσεις, ὥσπερ κἀντοῖς τριγενέσι τῶν ὀνομάτων, πάλιν ἰδίωμα φωνῆς ἐκκόπτει τριγένειαν. πρῶτον μὲν γὰρ ἡ δασεῖα τοῦ ἡμῶν οὐκ ἐθέλει ἀφαιρεῖσθαι. δείκνυμεν δὲ ὅτι ἀναγκαίως αἱ πληθυντικαὶ ἀπὸ δασείας ἀπήρξαντο ὡς μακροχρονοῦσαι. εἰ γὰρ καὶ χρόνος ἀφῃρεῖτο τοῦ η, πάντως ἂν καὶ ἡ ἄρχουσα ψιλὴ ἐγένετο. αἱ γὰρ ἀπὸ βραχείας ἀρχόμεναι ἀντωνυμίαι, ψιλοῦνται. ἔνθεν ὁ αἰολεὺς ψιλωτικὸς ὢν, συνέστειλεν εἰς βρυχὺ α, τὸ ἀμῶν. Ἔτι τε συνεχῶς τὸ ε, ἐν ταῖς κατὰ πρόσωπον κλίσεσι καὶ προστίθεται καὶ ἀφαιρεῖται. ἑώρων. ἕηκα. ἔειπα. ἀλλὰ καὶ τὸ ἔβη, βῆ. ἔφη, φῆ. καὶ ἐν ἀντωνυμίαις τὸ ἔοι, οἷ. ἔου, οὗ. καὶ διὰ τοῦτο τῶν ἑνικῶν ἀντωνυμιῶν αἱ ἀπὸ τοῦ ε, ἀρξάμεναι, ἀναγκαίως τὸ ε, διαφθείρουσιν ἐγκλινόμεναι. ἐπὶ δὲ τῶν πληθυντικῶν ἐγκλινομένων ἠρκέσθη ἡ ἔγκλισις μόνῃ τῇ μεταθέσει τοῦ τόνου, ἤκουσεν ἥμων, λέγω ἀπολύτως, τῆς τάσεως μετατιθεμένης ἀπὸ τῆς ληγούσης κατὰ τὴν ἄρχουσαν, κατὰ τὴν χρῆσιν τῶν παλαιῶν. ἀδυνατεῖ γὰρ ἐπὶ τὸ προκείμενον μόριον, λέγω τὴν πρὸ αὐτῆς λέξιν προελθεῖν ἡ τάσις, ὡς εἶναι λέγειν, ἤκουσέν ἡμῶν. καθ' ὅ, τι μέχρι τριῶν χρόνων τὰ τῆς ἀμοιβῆς τοῦ τόνου ἐγγίνεται. ὡς τοῦ, τινῶν, ὧν τινων. καὶ τοῦ φημὶ, ἐγώ φημι. καὶ ἕνεκα τούτου τὸ καίσφεας, ἐξ ὅλης τῆς ἀντωνυμίας μετέθηκε τὸν τόνον, οὐμὴν δὲ καὶ τὸ ἥμας. φησὶ γάρπου καὶ ὁβαθὺς Εὐστάθ: ὅτι τὸ ἡμῖν, καὶ ἡμῶν, καὶ ἡμᾶς, ἐγκλίνονται μὲν παρὰ τοῖς παλαιοῖς, ἑτέρᾳ γε μὴν λέξει τὸν τόνον οὐκ ἀνακλίνουσιν, ἀλλ' εἰς τὴν οἰκείαν παραλήγουσαν ἀναπέμπουσιν. οἷον, ἥμιν, ἥμων, ἥμας. μονόχρονος μὲν οὖν ποτε λέξις ἐγκλιθήσεται. οἷον, τὸ τὶς, καὶ δίχρονος. οἷον τὸ τινὲς. καὶ τρίχρονος. οἷον τὸ φημί. τετράχρονος δὲ λέξις οὐκ ἂν ἀπαλλαγείη

γείη παντελῶς τοῦ οἰκείου τόνου. ὡς διὰ τὸ βριθὺ τῆς τετραχρονίας κωλυομένης τῆς προπαροξυτονήσεως. Κἀκεῖνο δὲ ἔτι ἐστὶ παραστῆσαι, ὡς ταῖς μὲν ὀρθοτονουμέναις ἀρκτικαῖς εἴτ' οὖν προτακτικαῖς οὔσαις παρείπετο καὶ μετατίθεσθαι τοῦ ἰδίου τόπου. καθ' ὃ καὶ ἐν τάσει καὶ ἐν τῇ παρεπομένῃ γραφῇ ἀνελλειπεῖς οὖσαι καθ' ἑαυτὰς, οὐ κωλύονται τῆς μεταθέσεως, μηδὲν ὑπ' αὐτῆς λυμαινόμεναι, αἵ γε μὴν ἐγκλιτικαὶ, ὡς καὶ ἀπὸ τῆς φωνῆς δῆλον, προσαπειρισμέναι προκειμένῳ τινὶ μορίῳ, ἐφ' ᾧ καὶ τὴν τάσιν μετέθηκαν, οὐκ εἶχον ἐν δέοντι τὰ τῆς μεταθέσεως παραδέξασθαι. ἐστεροῦντο γὰρ ἂν, εἴπερ, τοῦ παρεπομένου αὐταῖς ἰδιώματος, λέγω τοῦ ἐγκλιτικοῦ. πρὸς οὐδὲν γὰρ εἶχον ἔτι τὰ τῆς τάσεως ἐγκλῖναι, προταττόμεναι. ταύτῃ τοι κἄν που τύχωσι προταττόμεναι, ὀρθοτονοῦνται, συνάμα τῇ ἐγκλίσει καὶ τὸ ἀπόλυτον παραιτούμεναι, ὅτι μὴ αἱ καθ' ὑπερβατὸν προκείμεναι. καί μοι ὑποστήτω. καί μ' ἐφίλησεν. ἐντεῦθεν καὶ μόνως ἐγκλιτικαὶ ἐπενοήθησαν τῶν κατὰ τὸ γ', δυϊκῶν αἵ τε ἀπαθεῖς σφωὲ, σφωΐν, καὶ αἱ ἐμπαθεῖς ἡ σφῶ, καὶ σφῖν, καὶ ἔτι ἡμῖν καὶ ἡ τοι, διὰ τοῦ τ, γραφομένη, καὶ ἡ παρὰ δωριεῦσι τῦ, κατ' αἰτιατικὴν πτῶσιν. καθ' ὅ, τι ῥημάτων οὐδέποτε προηγήσαντο, καθάπερ αἱ λοιπαὶ τῶν πρωτοτύπων ἐνικαί τε καὶ πληθυντικαί. Πάνυ μέν τοι εὔηθές ἐστι πειρᾶσθαι τοὺς λόγους διακρούεσθαι, ὑποθεμένου τινὸς τἀναντία, ὡς ἔστιν εὑρεῖν καὶ ἐγκλιτικὰς πρὸ ῥημάτων, καὶ ὀρθοτονουμένας ἐν ταῖς προθέσεσι μετὰ τὰ ῥήματα τιθεμένας, εἰ οὕτω τις φαίη, σήμερον ἐλάλησα κατὰ σοῦ, σήμερόν σε ἐθεασάμην. καί τυ φίλιππον ἔθηκε. τούτου γὰρ ἕνεκα τὰ τῆς συντάξεως ἀπεδείχθη, ἵνα καὶ τὰ λανθάνοντα τῶν ὑπερβατῶν κατὰ τὸ σύνηθες ἔχηται τοῦ ἀκολούθου λόγου, καὶ μὴ μόνον τὰ παρὰ ποιηταῖς ὡς ἐξαίρετά τις ὑπολαμβάνῃ. ἡ γὰρ δέουσα τοῦ λόγου κατάστασις τοῦθ' ὑπαγορεύει, ὅτι κἂν μετατάττωνται κατὰ λόγον ὑπερβατοῦ, ὁ οἰκεῖός γε μὴν ἑκάστου λόγος, τὸ κατάλληλον ἀπαιτήσει, ὡς ἐπὶ τοῦ σήμερόν σε ἐθεασάμην. τὸ γὰρ δέον, σήμερον ἐθεασάμην σε. καθ' ὅ, τι τοῦ ἐπιῤῥήματος ἐπὶ τὸ ῥῆμα φερομένου, ἡ ἀντωνυμία τὴν δέουσαν θέσιν τῆς ἐγκλίσεως τὴν ὑποτακτικὴν ἀπαιτήσει τοῦ ῥήματος, πρὸς ὃ ἀναφέρεται. ὡσαύτως κἀπὶ τῆς ὀρθοτονουμένης μὲν, ὑποταττομένης δέ. οἷον, ἐλάλησα κατὰ σοῦ. τὸ γὰρ δέον, κατὰ σοῦ ἐλάλησα. καθ' ὅ, τι αἱ προθέσεις προθετικαὶ ὡς εἴρηται οὖσαι, συμπροτιθέασι καὶ τὰς ἀντωνυμίας. καὶ ἔτι ἐπὶ τοῦ, καί τυ φίλιππον ἔθηκεν. οὗ τὸ δέον, καὶ ἔθηκέ σε. Ὡσεὶ καὶ ἐπὶ συναπτικῶν τις ὑπολάβοι, ἢ καὶ ἐπὶ παρασυναπτικῶν, μὴ ἵσταθαι τὰ τῆς ἐννοίας, διὰ τὸ ἀρκτικοὺς αὐτοὺς ὄντας, ἐνίοτε μετατίθεσθαι. ὡς εἰ καὶ φαίημεν, φῶς ἐστίν, εἰ ἡμέρα ἐστίν. αὐτὸ γὰρ μόνον τῇ συντάξει τὸ εἰ ἡμέρα ἐστὶ, δευτερεύει, οὐ μὴν καὶ τῇ διεξοδικῇ ἀπαγγελίᾳ. ἐπὶ γὰρ τῶν συνημμένων πρῶτον ἐπιδέχεται ἡ διάνοια τὸ φύσει ἡγούμενον, εἰ ἡμέρα ἐστὶ, καὶ τό τε τὸ φύσει ἑπόμενον, φῶς ἐστι, μηδὲν παρὰ τὴν τούτων μετάθεσιν λυμαινομένου τοῦ λόγου. καὶ οὐχὶ οὐ πάντως προτακτικὸς ὁ εἶ, συναπτικὸς, εἰ καὶ ὑποτακτικὸς κατὰ ἀντιστροφὴν ἐνίοτε γένοιτο. Αἵ τε περὶ τοῦτον, καὶ ἁπλῶς περί τινας τῶν τοῦ λόγου προτακτικῶν συνδέσμων ἐσχηματισμέναι ἀντωνυμίαι, ὀρθοτονοῦνται, ὡς τοῦ λόγου καὶ αὐταὶ συμπροταττόμεναι. εἰ ἐμὲ ἐδίωξαν. καὶ ὅσαι ἐκ προϋπηργμένης χάριτος τὴν ἐναντίαν διάθεσιν ὁμολογοῦσιν, ὕβριν λέγω, ἢ ἀχαριστίαν. ἐμοὶ ἐτόλμησε ταῦτα ποιῆσαι; ἐμὲ ὑπέμεινεν ὑβρίσαι; καὶ σαφὲς ὅ τι συντείνει πάλιν ἐπὶ τὸν προκείμενον λόγον,

γον, τὸν τῆς τῶν προσώπων λέγω ἀντιδιαστολῆς. τοιοῦτο γάρ ἐστιν, ὡς εἰ λέγοιμεν, ἄλλον ὤφειλεν ὑβρίσαι, οὐκ ἐμὲ τὸν παρ' αὐτῷ τίμιον. ὁ αὐτὸς λόγος κἀπὶ τῶν παραλαμβανομένων ἐκ προὐπηργμένης ἀδικίας. δεῖ, ἐμοῦ ὁρῶντος, ἐκεῖνον αἰκίζεσθαι. οὐκ ἄλλου γὰρ, ἢ ἐμοῦ τοῦ προαδικηθέντος. Ὀρθοτονεῖσθαί φασι καὶ τὰς πεπλεονακυίας, λέγω τὴν ἐμεῖο καὶ τὰς ὁμοίας, πάνυ εὐλόγως. πρῶτον μὲν διὰ τὴν ἐνοῦσαν, ὡς εἴρηται, διαστολήν. εἵνεκ' ἐμοῖο κυνός. δι' ἣν καὶ μὴ πεπλεονεκυῖαι, ὀρθοτονοῦνται. σέο δ' εἵνεκα αὐτή τε πόλεμός τε. οὐ μὴν ἑτέρου τοῦ δηλαδὴ ἕνεκα. δεύτερον δὲ, ἐπειδὴ πλεονασμὸς καὶ ἔνδεια τῇ ὁλοκλήρῳ ἐπισυμβαίνει λέξει, οὐκ ἂν ἄλλως οὔτε πλεόνασμά τις ἐπινοήσειεν, οὔτε ἔνδειαν, εἰ μὴ πρότερον ἡ φωνὴ ἐπιδειχθείη ἐντελής τε καὶ ὁλόκληρος. ἵνα τὸ ἐγγινόμενον πάθος τὸ ἕτερον ἀποτρίψηται, λέγω τὴν ἔνδειαν, ἢ τὸν πλεονασμόν. καὶ περισσὸν εἰς τὸ τοιοῦτο παραθέσθαι. ὁ γὰρ λόγος προφανής. οὐκ ἂν οὖν πλεονασμὸς ἐγγενήσεται ἐν ἀντωνυμίᾳ, μὴ οὐχὶ αὐτῆς πρότερον ἐντελοῦς οὔσης. ἐντελὴς δὲ καθεστῶσα, μόνως ὀρθοτονουμένη ἐστίν. ὑγιῶς ἄρα τὸ ἐγγινόμενον πάθος τοῦ πλεονασμοῦ, ὁμολογεῖ ὁλόκληρον τὸ ἐφ' ᾧ ἐγένετο. ἦσαν δὲ ἐντελεῖς καὶ ὁλόκληροι, αἱ σὺν τῷ ε λεγόμεναι, καὶ ὀρθοτονούμεναι. οἷον, ἐμέο, σέο, καὶ αἱ πλεονάζουσαι ἄρα τῷ ι, μόνως ὀρθοτονοῦνται. οἷον, ἐμοῖο σεῖο, Γ', Τὸ μέγιστον μέγεθος τῶν ἐγκλικῶν τρίχρονον ἐστι. πῶς οὖν ἡ ἐμεῖο ἐγκλινθήσεται, τετράχρονος οὖσα; ἀλλ' οὐδὲ κἂν τρίχρονος ᾖ, οὐδ' οὕτως ἐγκλινθήσεται ἡ λέξις. οἷον τὸ σεῖο. εἰ γὰρ τὰ ἐγκλιτικὰ μόρια τῶν ἀντωνυμιῶν ἐπὶ τοὺς ἐλάττονας τυγχάνει κατάφορα χρόνους, πῶς οὐχὶ αἱ πλεονάσασαι χρόνῳ ἀντωνυμίαι, εἰς τὸ ἐναντίον τῆς ἐγκλίσεως μεταστήσονται; εἰς τὸ ὀρθοτονεῖσθαι δηλαδή; οὐ μόνον δ' ὁ τοῦ ι, ἀλλὰ καὶ ὁ τοῦ ε, πλεονασμὸς ἐν τῷ ἔε, ἔοι, καὶ ἔτι ἐν ταῖς συζύγοις ἐγγινόμενος, πολλῷ μᾶλλον ἐπισπᾶται τὴν ὀρθὴν τάσιν. εἰ γὰρ αἱ ἀπὸ τοῦ ε, ἀρχόμεναι ἀντωνυμίαι, ἐγκλινόμεναι παραφθείρουσι τὸ ε, ὡς ἐν τῷ δός μοι. ἄκουσόν μου. πῶς αἱ τούτῳ πλεονάσασαι, διά τε τὸν τούτου πλεονασμὸν, πρὸς δὲ καὶ τὴν βαρεῖαν τάσιν οὐ τὰ ἐναντία τῆς ἐγκλίσεως ἀπαιτήσουσι, τὸ ὀρθοτονεῖσθαι δηλαδὴ, καθάπερ καὶ ἐν τοῖς προκειμένοις ἐδείξαμεν; Ἀλλὰ καὶ αἱ δυϊκαὶ τοῦ α', καὶ β', προσώπου μόνως ὀρθοτονοῦνται διὰ τὸν ἐν τῇ παραληγούσῃ τῆς βαρείας τόνον. προηυθέτισται γὰρ τὰ ἐγκλιτικὰ μόρια ἐπὶ τέλους ἔχειν οὐ τὴν βαρεῖαν, τὴν δὲ ὀξεῖαν, ἤτοι φύσει, ἐμέ. ἢ δυνάμει διὰ τὰ περισπώμενα, οἷον, ἐμοῦ. (καθ' ὅ, τι ἡ περισπωμένη ἐξ ὀξείας καὶ βαρείας σύγκειται) ἵνα ἡ τοῦ τόνου ὑποστροφὴ τὸ μὲν προκείμενον ὀξύνῃ, αὐτὸ δὲ μεταστήσῃ εἰς βαρεῖαν τάσιν. οἷον, δός μοι, ἄκουσόν μου. ὅπερ ἐπὶ τῶν κατὰ τὸ α', καὶ β', πρόσωπον δυϊκῶν οὐκ ἠδύνατο ἐγγενέσθαι, τῆς νῶϊ λέγω καὶ σφῶϊ καὶ σφῶϊν, διὰ τὸν ἐπὶ τέλους συλλαβικὸν τόνον, λέγω τὴν βαρεῖαν. αἱ γοῦν κατὰ τὸ γ', πρόσωπον μόνως οὖσαι ἐγκλιτικαὶ, δι' αὐτὸ τοῦτο μόνως καὶ ὀξύνονται, ἥτε σφωέ. ἐπ' αἰτιατικῆς μόνης, καὶ ἡ σφωΐν ἐπὶ δοτικῆς. Ἐπεὶ τίς ἡ αἰτία τοῦ μὴ βαρύνεσθαι αὐτάς; εἰ γὰρ ἐβαρύνοντο καὶ αὐταὶ, οὐκ ἂν ἐνεκλίνοντο κατὰ τὰς ἐπὶ α', τε καὶ β'. ὅθεν τὸ εἰμὶ, καὶ φημὶ ὠξύνθη διὰ τὴν ἐνοῦσαν αὐτοῖς ἔγκλισιν. ἐγώ εἰμι. καλῶς φημι. καί τοι τῶν ῥημάτων καταφερομένων εἰς τὴν ἐπὶ τέλους βαρεῖαν, ὡς καὶ αὐτῶν τούτων τὰ πρωτότυπα. ἐὼ γὰρ εἰμὶ, καὶ φάω φημὶ ποιοῦσι. Τὰ πύσματα οὐκ ἔστιν ἐγκλιτικὰ διὰ τὸ βαρύνεσθαι. τάγε μὴν παρακείμενα αὐτοῖς ἀόριστα. ὡς ἐν τῷ τέλει χόντα τὴν

τα τὴν ὀξεῖαν. οὐ τοῦτο δέ φημι ὅτι τὰ ἀόριστα μόνως ἐγκλιτικά ἐστιν. ἔστι γὰρ καὶ τὸ ὁπόσος, ὁπόθεν, ἀόριστα, οὐ μὴν ἤδη καὶ ἐγκλιτικά. ἀλλ' εἴ τι τῶν τοιούτων μορίων ἐγκλιτικόν ἐστι, τοῦτο καὶ ἀόριστον πάντως, καὶ ὀξύτονον δή. ὡς τὸ, ἦλθέ ποτε. ἄλλοθέν ποθεν. καὶ ἔνθεν δείκνυται, ὅτι τὸ τις ἀοριστούμενον μὲν, ὀξύτονόν ἐστιν, ὑποταττόμενον, πευστικὸν δὲ καθεστὼς, τῷ λόγῳ τῆς ἀρχούσης βαρύνεται προταττόμενον. τίς ἦλθε; πρῶπτον οὖν ὅτι καὶ ἡ ἐκεῖνος καὶ ἡ οὗτος ἀνέγκλιτοί εἰσι διὰ τὸν αὐτὸν λόγον. καθ' ὅ, τι βαρύνονται δηλονότι. οὐ μὴν ἀλλ' οὐδὲ τοῦ ἵ, προστιθεμένου, καὶ ἐπὶ τέλους χοῦσαι τὴν ὀξεῖαν ἐπεκτεινόμεναι εἰς πλείονα δεῖξιν, οὐδ' οὕτως ἐγκλίνονται, καὶ καθ' ὅ, τι ὑπερβαίνουσι τήν τε δισυλλαβίαν καὶ τὴν τριχρονίαν, καὶ καθ' ὅ, τι δεικτικαί. ἦν γὰρ παρεπόμενον ταῖς ἐπιτεταμέναις κατὰ δεῖξιν τὸ μὴ παραφθείρειν τοὺς τόνους, καθώς ἐστι τηρῆσαι ἐπὶ τῶν προειρημένων. Ὁ δὴ προκείμενος λόγος ἀναγκαίως διδάσκει, ὡς ἀναλόγως ἡ αὐτὸς, ὠξύνθη, πρὸς ἀντιδιαστολὴν δηλ. τῶν δεικτικῶν βαρυνομένων. τῆς τε γὰρ δείξεως ἀπέρρηται, καὶ δι' ὅ, τι κατὰ τὸ γ', παραλαμβάνεται τῶν προσώπων. οἷς παρακολουθεῖ ὀξυνομένοις καὶ τὸ ἐγκλίνεσθαι. ἀλλὰ οἱ αὐτῷ ζεὺς ὀλέσειε βίην. Ἀλλὰ διὰ τί ἐπὶ τῆς ὀνομαστικῆς οὐκ ἐγκλίνεται; Σαφὲς ὅτι δι' αὐτὴν ταύτην τὴν πτῶσιν. καθ' ὅ, τι οὐδ' ἡ ἐγώ τε καὶ σὺ καὶ αἱ σύζυγοι. εὐθεῖαι γάρ. ὅθεν καὶ ἀνένδεκτοι ἐγκλίσεως κατὰ πάντα ἀριθμόν. καθ' ὅ, τι πρὸς ἀντιδιαστολὴν αἰεὶ ἑτέρων λαμβάνονται. Τί οὖν οὐχὶ ἐπὶ γενικῆς καὶ δοτικῆς; Φαίημεν ἂν διὰ τὸ τετραχρονεῖν, τριχρόνου ὄντος ὡς εἴρηται τοῦ τῶν ἐγκλιτικῶν μεγέθους. Τί δὲ ἐπὶ τῆς ἡμῶν κἀπὶ τῶν τετραχρόνων, οὐχὶ προδήλως τὰ τοῦ λόγου μάχεται; καὶ γὰρ τὴν τάσιν, εἰ καὶ οὐκ ἀποβάλλουσιν, ἀλλά γε μετατιθέασιν αὐτὴν ἐγκλινόμεναι κατὰ τὴν ἄρχουσαν, ὡς ἐν τῷ ἄκουσον ἡμῶν. κἀν ταῖς λοιπαῖς πληθυντικαῖς πλαγίαις τῶν πρωτοτύπων. ὅπερ οὐ παρηκολούθει κἀπὶ τῆς αὐτῶν, ἢ αὐτοῦ. Ἔχει δὲ καὶ τὸ τοιοῦτον ἀπολογίαν· εἰς γὰρ ὑποστολὴν τῶν ὕστερον ἐγκλινομένων αἰολικῶν. ἃ καὶ αὐτὰ τοῖς ἀρχαίοις ὠρθοτονοῦντο, ἄκουσον ἀμμέων. τὰ τοῦ τόνου παρεπέμφθη. διὰ τοῦτο καὶ ἡ αἰτιατικὴ πτῶσις ἀπολυθεῖσα τῶν ἐμποδιζόντων, λέγω τῆς τριχρονίας, ἀναγκαίως τὴν ἔγκλισιν παρεδέξατο, καίσφεας, διχρονοῦσα. παραπεμπτέον δὲ τὸν ἀξιοῦντα λόγον τὰς γένους παρεμφαντικὰς μὴ ἐγκλίνεσθαι, καὶ τὴν αὐτὸς ἄρα, τοιαύτην οὖσαν. γένος γὰρ οὐκ ἐπίσταται ἡ ἔγκλισις, ἀλλ' οὐδ' ἄλλο τι τῶν ἐν τοῖς ὀνόμασι παρεπομένων. ὅπου γε καὶ ἐν συνδέσμοις καὶ ῥήμασι καὶ ἔτι ἐν ἐπιῤῥήμασιν ἐγκλιτικὰ γίνεται, καὶ ἐν τριγενεῖ τῷ τις, ὅς τις. ἴδιον γὰρ τῆς ἐγκλίσεως τὸ ἀπόλυτόν τε καὶ ἀόριστον. εἴρηται οὖν διὰ τί ἡ ἐκεῖνος, καὶ ἡ οὗτος οὐκ ἐνεκλίνθησαν; Ἀλλ' οὐδὲ τὰ Ἄρθρα, ὅτε εἰς σύνταξιν ἀντωνυμίας παραλαμβάνεται, ἔγκλισιν ἀναδέχεται. ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας. τόν δ' ἀπαμειβόμενος. ὡς Ἡρύμφα θέουσα. οὐ καθ' ὃ γένους εἰσὶ παρεμφαντικὰ, ἀλλὰ καθ' ὃ ἄρθρα ὄντα τῇ φύσει, ἀδυνατεῖ εἰς ἔγκλισιν παραλαμβάνεσθαι. τόπον γὰρ ἐπέχει ἐν συντάξει ἐν ἀντίον τῇ ἐγκλίσει, λέγω τὸν προτακτικὸν, μὴ μαχομένων τῶν ὑποτακτικῶν. (ἐφ' ὧν δόξειεν ἂν μὴ ἐμποδίζεσθαι τὰ τῆς ἐγκλίσεως, ὑποτακτικῶν ὄντων.) καὶ γὰρ καὶ αὐτὰ προτακτικὰ τυγχάνει τῶν μετ' αὐτὰ, τὴν μὲν ἀναφορὰν ἐπιστρέφοντα εἰς τὰ προκείμενα, οἷς ὑποτέτακται, ἐν ἀρχῇ δὲ λόγου παραλαμβανόμενα εἰς σύνταξιν ῥηματικήν. ὃς μάλα πολλὰ πλάγχθη. ἢ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκε.

καὶ τῆς

καὶ τῆς ἐγγινομένης στιγμῆς συνεπιμαρτυρούσης τῇ ἀρκτικῇ συντάξει τῶν ἄρθρων. πρὸ αὐτῶν γὰρ πίπτουσιν αἱ στιγμαί. Διὰ δὲ τὸν αὐτὸν τοῖς ἄρθροις λόγον οὐδ' αἱ Προθέσεις ἐγκλίνονται. Ὀρθοτονοῦνται καὶ ὅσαι συντάσσονται τῇ αὐτὸς ἐπιταγματικῇ κατὰ τὰ τὸ α', καὶ β', ἐμοὶ αὐτῷ. σοὶ δ' αὐτῷ. οὐδὲ σεῦ αὐτῆς. οὐδ' ἐμοὶ αὐτῷ. καθ' ὅ,τι κἀν ταῦθα προτακτικαί. Τάγε μὴν κατὰ τὸ γ', ἐγκλίνεται, εἰ καὶ μὴ ἐξωμάλισται. καθ' ὅ,τι οὐδ' ἀληθὴς ὁ λόγος ἀπεδείχθη, ψευδὴς δέ ἐστιν ὑπόληψις, τὸ τὰς κατὰ τὸ γ', πρόσωπον ὀρθοτονηθείσας, πάντως μεταλαμβάνεσθαι εἰς συνθέτους. τόνου γὰρ μᾶλλον ἐναλλαγὴ, αἰτία γίνεται συνθέτου μεταλήψεως. ἐντεῦθεν οὖν ἐνεκλίνθη τὸ, ἀλλά οἱ αὐτῷ ζεὺς ὀλέσειε βίην. ἐπ' αὐτοπαθείας ληφθέν.

Πάντῃ δὲ αὗταί τε

Αἱ καλούμεναι πρωτότυποι.

Καὶ αἱ καλούμεναι δεικτικαὶ καὶ ἀναφορικαὶ, οὐκ ἐπιδέχονται ἄρθρον.

Ἡ ἀντωνυμία διῄρηται προσεχῶς τε καὶ ἀμέσως εἰς δεικτικήν τε καὶ ἀναφορικήν. ἡ ἄρα ἀντωνυμία ὅλως οὐκ ἐπιδέχεται ἄρθρον τὸ τῇ μὲν δείξει μαχόμενον, τῇ δὲ ἀναφορᾷ ἐγκείμενον. ἐπεὶ δὲ αἱ κτιτικαὶ εἴτ' οὖν παράγωγοι, καί τοι δεικτικαὶ οὖσαι, οὐχ ἧττον μέν τοι ἄρθρον τῷ δοκεῖν ἐπιδέχονται, ταύτας μὲν συνάρθους, ἀσυνάρθρους δὲ τὰς μὴ παραδεχομένας τινὲς ἀπεκάλεσαν. Ἀποροῦσι δὲ πρὸς τοῦτό τινες, ὅτι ὥσπερ τὰ κατὰ στέρησίν τινος λεγόμενα, ἐν τῇ τοῦ ἐπιβάλλοντος ἀταξίᾳ νοεῖται. (ἡνίκα γὰρ λέγομεν ἄτεχνον αὐλητὴν, ἐπιβαλλούσης τῆς τέχνης, ἀταξίαν παριστῶμεν. καὶ ὅτε φαμὲν, οὗτος ἄφιλος, ἀταξίαν τῆς ἐπιβαλλούσης παριστῶμεν φιλίας. δέον γὰρ τοῦτον μὲν, φιλικὸν, ἐκεῖνον δὲ, τεχνικὸν εἶναι) οὕτω καὶ τοῖς ὀνόμασι συμπαρεπομένων τῶν ἄρθων, αἱ ἀντὶ τούτων παραλαμβανόμεναι ἀντωνυμίαι, καὶ ἀσύναρθροι καλούμεναι, πρόδηλον ὅτι ἐν στερήσει τοῦ ἄρθρου νοούμεναι, ἐπιβαλλούσης τῆς τούτου προθέσεως, ἀταξίαν παριστῶσιν, ὡς ἀτακτήσασαι. δέον γὰρ συνάρθρους εἶναι. Ἢ ὅτι τὸ ἀσύναρθον ἐπὶ τῆς ἀντωνυμίας, ὥσπερ καὶ τὸ ἄλογον ἐπὶ τοῦ ζῴου, οὐχὶ κατὰ στέρησιν, κατὰ δὲ ἀπόφασιν εἴρηται. εἴγ' ἡ μὲν στέρησις, δευτέρα ἐστὶ τῆς ἕξεως, ἡ δὲ ἀσύναρθρος ἀντωνυμία οὐδέποτε ἑκτικὴ ἄρθρου ἐγένετο, ὡς οὐδὲ λόγου τὸ ἄλογον. Οὐχὶ δὲ πάλιν ἄπορόν ἐστι, πῶς τὰ μὲν ὀνόματα μετὰ ἄρθρων ἐκφέρεται, αἱ δὲ ἀντὶ τούτων παραλαμβανόμεναι ἀντωνυμίαι, ἀπεώσαντο τὴν τῶν ἄρθρων παράθεσιν, καὶ τῆς φωνῆς ἐπιζητούσης τὴν τῶν ἄρθρων σύνταξιν ἕνεκα τοῦ συγκεχυμένου κατὰ τὴν φωνὴν γένους; Πρὸς ὃ ῥητέον, ὅτι ὥσπερ αὐτὰ τὰ ὀνόματα διά τινα παρεπόμενα, οὐδόλως δύναται ἄρθρον παραδέξασθαι, ὡς ἐδείχθη, ἤτοι ἀναφερόμενα, ἢ ἀοριστούμενα, ἢ προσφωνούμενα, ἢ κατὰ πεῦσιν προαγόμενα, ἢ κτητικῶς ἐπιμεριζόμενα, τὸν αὐτὸν ἄρα τρόπον καὶ τὰ ἀντὶ τούτων παραλαμβανόμενα μόρια, ὑφέξει αἰτίαν τῆς τῶν ἄρθρων ὑποστολῆς. τοιαύτης δὲ. Προσώπων ἀοριστουμένων διακριτικά ἐστι τὰ ἀντωνυμικὰ μόρια. δι' ὃ καὶ τὰ ἐξ αὐτῶν νοούμενα πρόσωπα, ἐν ὁρισμῷ εἴτ' οὖν γνώσει πρώτως παραλαμβάνεται. οἷα οὐκ εἰσὶ τὰ ὀνόματα. καὶ σαφὲς ὅτι ἡ ἐξ αὐτῶν δεῖξις πρώτη ἔφοδος εἴτ' οὖν θέσις οὖσα τῶν ὑποκειμένων προσώπων, οὐδέεται τῆς τῶν ἄρθρων συντάξεως, προεγνωσμένων ὄντων παραστατικῶν. οὐ γὰρ ἀναφέρει τὰ ἀντωνυμικὰ πρόσωπα, ὑπ' ὄψιν δὲ δείκνυ-

δὲ δείκνυται. ἀναγκαίως ἄρα κεκέλυται ἡ τῶν ἄρθρων παράθεσις ταῖς ἀντωνυμίαις, τόπον ἔχουσα τὸν ἀντεστραμμένον ἐπ' αὐταῖς. τῶν γὰρ ὀνομάτων προτιθέμενα, ταῖς ἀντωνυμίαις ὑποτάσσεται. ὃν γὰρ τρόπον κἀπὶ τῶν στοιχείων τὰ ὑποτακτικὰ οὐδέποτε προτάσσεται τῶν, οἷς ὑπετάγη, τὸν αὐτὸν τρόπον καὶ τὰ τοῦ λόγου μέρη, Στοιχείου λόγον ἐπέχοντα, τὸ τοιοῦτον ἐπιδείκνυται. προτακτικὴ γάρ ἐστιν ἡ ἀντωνυμία, ὡς πρώτην θέσιν εἴτ' οὖν γνῶσιν τῶν προσώπων ἐπαγγελλομένη. ἡ δὲ τῶν ἄρθρων παράθεσις ἀναπολοῦσα ταύτην, ἐν δευτέρᾳ τάξει παραλαμβάνεται, ὑποταγέντων ταῖς ἀντωνυμίαις. οἷον, ἐγὼ ὁ λαλῶν σοι. σὺ ὁ παῦλος. τὴν γὰρ πρώτην θέσιν τοῦ ἐγὼ, φημὶ δὴ τὴν προτεθεῖσαν ἀντωνυμίαν ἀνεπόλησε τὸ ἄρθρον. ὑπεξαιρείσθω ἡ ἀττικὴ χρῆσις, εὐεπίφορος οὖσα πρὸς τὴν τοῦ ἄρθρου σύνταξιν κατὰ μόνην αἰτιατικήν. ὡς ἐν τῷ, τὸν ἐμὲ, τὸν σὲ κροτοπιάδην, ὡς παρὰ Καλλιμάχῳ. ἡ δὲ τοῦ ἄρθρου σύνταξις οὐκ ἔστι τοῦ ἀντωνυμικοῦ προσώπου, τοῦ δὲ ὀνόματος καθ' ὑπεροχὴν καὶ ὑπέρβασιν. ὡς κἀντῷ, τὴν αὐτὸς ἐμαυτοῦ δυστυχίαν. προείρηται γὰρ, ὡς καὶ ἐξοχῆς ἕνεκα τὰ ἄρθρα παραλαμβάνεται. Εἰκὸς δέ τινα ἐπειπεῖν, ὡς ἐπεὶ πρὸ τῶν δεικτικῶν μορίων τὰ ἄρθρα οὐ τίθεται, ἐχρῆν αὐτὰ μόναις ταῖς δεικτικαῖς ἀντωνυμίαις μὴ συνεῖναι, τῇ γε μὴν ἀναφορικῇ ἀκολούθως προσαρτᾶσθαι, οἷα δὴ μὴ οὔσῃ δεικτικῇ. Ἢ οὐδ' αὕτη δέεται τοῦ ἄρθρου, δι' αὐτῆς γάρ ἐστιν ἀναφορική. Ἀλλὰ πῶς πάλιν ἡ αὐτὸς ἄρθρον προσλαμβάνει εἴγ' αἱ ἀναφορικαὶ οὐ προσλαμβάνουσι; Καὶ πρὸς τοῦτο δέ ἐστι φάναι, ὡς καὶ ἐν ἄλλοις μυρίοις ὅσοις μορίοις τὸ τοιοῦτόν ἐστιν εὑρεῖν. εἴ γε ἔγκειται μὲν ἐν τῷ πριαμίδης, συνυπακουόμενος ὁ υἱός, καὶ ἀναγκαίως πρόσκειται ἐν τῷ πριαμίδην νόθον υἱόν. κἀντοῖς συγριτικοῖς δὲ ἔγκειται τὸ μᾶλλον, καὶ πολλάκις συμπαραλαμβάνεται ἡ τοῦ μᾶλλον σύνταξις. ῥηΐτεροι γὰρ μᾶλλον ἀχαιοῖσι δὴ ἔσεσθε. τὸν αὐτὸν δὴ τρόπον ἔγκειται μὲν ἐν τῇ αὐτὸς ἡ ἀναφορὰ, τῇ δὲ ἐγκειμένῃ συμπαραλαμβάνεται καὶ ἑτέρα διὰ τοῦ ὁ, ἄρθρου δηλοῦντος καὶ αὐτοῦ ἀναφοράν. καὶ οὕτω δὶς ἀναφέρεται, ὡς δὶς καὶ τὸ, ῥηΐτεροι γὰρ μᾶλλον, ἐπιτέταται. προφανὲς δ' ὅτι κατὰ τὸ τρίτον τῇ συνηθεστέρᾳ ἀντωνυμίᾳ προσεχώρησε τὰ τῆς συντάξεως, τῇ οὗτος φημι καὶ ἐκεῖνος. καθ' ὅ, τι ἡ οὗ, καὶ οἱ, καὶ ἓ καὶ ἡ, μῖν, καὶ αἱ σύζυγοι, οὐδὲ ῥηταὶ, ὅτι μὴ παρὰ ποιηταῖς.

Παράγωγοι.

Τῶν γε μὴν παραγώγων τὰ ἄρθρα προτίθεται, ὥσπερ δὴ καὶ τῶν ἐπιθέτων ὀνομάτων.

Οὕτω γραπτέον, ὥσπερ δὴ καὶ τῶν ἐπιθέτων ὀνομάτων. ἢν γάρ φησιν οὐχ ἁπλῶς τὰ ὀνόματα, ἀλλὰ μόνα τὰ ἐπίθετα σύνταξιν ἔχει, τὴν αὐτὴν ἔχουσι καὶ αὗται. τὸ ἄρα ἄρθρον, ὥσπερ τῶν ἐπιθέτων προτίθεται, οὕτω καὶ τῶν παραγώγων. καὶ αὗται γὰρ κατ' ἐκεῖνα ἐπιθετικὴν σχοῦσαι τὴν σύνταξιν πρός τε τὰ κύρια καὶ τὰ προσηγορικὰ, κατὰ τὴν τῶν κοινῇ παρεπομένων ταυτότητα ἐκείνων κατηγοροῦνται.

Ταὐτὸν γάρ πως ἐκείνοις

Τοῖς ἐπιθέτοις,

Δύνανται.

Ταῦτ' ἄρα καὶ τὴν τοῦ ἄρθου σύνταξιν ὁμοίως ἔξουσι τοῖς ἐπιθέτοις, ἐν ἄρθως μὲν προφερόμεναι, ἔνθα ἡ τοῦ ὑπαρκτικοῦ μετοχὴ

τοχὴ ἀπῶσα, ὅμως ἐπινοεῖται. ὁ ἐμὸς δοῦλος. ἀνάρθρως δὲ, ἔνθα τὸ ὑπαρκτικὸν αὐτὸ ῥῆμα ἤτοι λεγόμενον, ἢ νοούμενόν ἐστιν. ἐμὸς ὁ δοῦλος.

Ὅλως τε συνταξιν ἔχουσιν, ἣν τὰ ἐπίθετα καὶ αἱμετοχαὶ πρὸς τὰ κύριά τε καὶ προσηγορικά. ὁμοιογενῶς δὲ καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως τοῖς κυρίοις τε καὶ προσηγορικοῖς συντάσσονται. ὁ ἐμὸς οἶκος, ἡ ἐμὴ οἰκία. τὸ ἐμὸν οἴκημα. ὁ ἡμέτερος πῆρ. ἡ ἡμετέρα μῆρ. τὸ ἡμέτερον τέκνον.

Τὸ ὁμοιογενῶς καὶ ἑξῆς, περιττῶς εἰρῆσθαι δοκεῖ. Οἰήσεται δέ τις τῶν ἀντωνυμιῶν τὰς καλουμένας συνάρθρους, φημὶ δὴ τὰς κτητικὰς, ἐν α', καὶ β', προσώπῳ δεικτικῶς παραλαμβανομένας, αὐτὰς παραδέχεσθαι τὰ ἄρθρα, ὡς ἐν τῷ, ὁ ἐμὸς, ὁ σὸς, ἢ ὁ ἡμέτερος. ἔστι δὲ ἡ τοῦ ἄρθρου συνταξις οὐ τοῦ ἀντωνυμικοῦ προσώπου, τοῦ κατὰ τὸν κτήτορα, τοῦ δὲ ὑπακουομένου καὶ τὸ κτῆμα, λέγω τοῦ δοῦλος, ἢ τοῦ οἶκος, ἤτου τῶν τοιούτων. Ἄβρων μέν τοι ἐν τῷ περὶ Ἀντωνυμίας μὴ εἶναί φησι τὰ ἄρθρα τῶν ὑπακουομένων κτημάτων, λόγῳ τοιούτῳ. εἴπερ τὰ ἄρθρα ἐπὶ τὰ ὑπακουόμενα φέρεται, πάντως ἂν τὴν αὐτὴν καταλληλότητα ἐφύλασσον, ὑπερβιβασθέντα πρὸ τῶν ὀνομάτων. οὐ ταὐτὸ δέ ἐστι τὸ, ὁ ἐμὸς πῆρ, τῷ, ἐμὸς ὁ πῆρ. καὶ εἰ ἐν τῷ, ὁ πῆρ, καὶ τοῖς τοιούτοις ἀνεπληρώθη τὸ ἄρθρον τοῦ ὀνόματος, πῶς ἔτι τὸ ἐμὸς, ἄρθρον προσλαμβάνει; ὁ πῆρ ὁ ἐμὸς φῑφεῖ. εἰ μὴ ἡ ἀντωνυμία ἄρθρου εἴχετο; καὶ ἕνεκα τῆς τοιαύτης συντάξεως ἔδοξε καὶ τῇ τοιαύτῃ ἀντωνυμίᾳ ἄρθρον προσνέμειν καὶ τῷ ὑπακουομένῳ κτήματι.

Ἔστι δὲ παραπέμψασθαι τὴν τοιαύτην πιθανότητα. Α', εἰ ἑκατέρῳ μορίῳ πρόσεστιν ἄρθρον, τί ὅτι οὐκ ἤρξατο ἀπὸ τοῦ ἀντωνυμικοῦ, καὶ ἐπήνεγκε τὸ ὀνοματικὸν ἐν ἑκατέροις συνάρθρως; οἷον, ὁ ἐμὸς ὁ πῆρ; καὶ φαίνεται ὅτι οὐκ ἐν ἴσῳ τὰ τοῦ λόγου ἐγένετο. ἐπὶ μὲν γὰρ τῆς προτέρας, δύω ἦν τὰ ἄρθρα. ἐπὶ δὲ τῆς δευτέρας, ἀδύνατος ἡ τῶν δυοῖν ἄρθρων παράθεσις. Β', οὐ παρὰ τὰς μεταθέσεις τῶν ἄρθρων καὶ τὰς ἐξ αὐτῶν γινομένας τῆς φράσεως διαφορὰς ἀποστήσεται τοῦ μὴ συμφέρεσθαι τοῖς ὀνόμασι τὰ ἄρθρα. εἴγε διαφέρει μὲν τὸ, οἱ νῦν ἀνοῖ ἀγαθοί εἰσι, τοῦ νῦν οἱ ἀνοῖ ἀγαθοί εἰσιν. οὐκ ἔστι δ' ὅς τις τολμήσοι φάναι, ὅτι τὸ οἱ, οὐκ ἔστι τοῦ ἀνοῖ ἄρθρον, μὴ πεφυκὸς συνδέσμοις συντάσσεσθαι. οὐκ ἄρα παρὰ τὴν ἐξαλγὴν τῆς φράσεως καὶ τὴν μετάθεσιν οὐχὶ τοῦ κτήματός ἐστι τὸ ἄρθον, ἐν τῷ, ὁ ἐμὸς πῆρ, κἀν τῷ ἐμὸς ὁ πῆρ. ἡ δὲ τούτων διαφορὰ καὶ τὸ δέον ἠκρίβωται μὲν ἐν τῇ τῶν ἐπιθέτων συντάξει, κἀν ταῦθα δὲ ῥητέον, ὡς δύω ἄρθρα κατὰ μιᾶς πτώσεως φέρεσθαι, οὐκ ἔστιν ἀσύστατον. ἔστι γοῦν φάναι, ὁ πῆρ ὁ ἐκείνου. καὶ προφανὲς ὅτι τῷ πῆρ τὰ δύω ἄρθρα συντείνει. οὐ γὰρ ἡ ἀπαράδεκτος τῶν ἄρθρων ἀντωνυμία, ἐν γενικῇ πτώσει εὐθείας ἄρθρον παραδέχεται. κἀπὶ ὀνομάτων. ὁ δοῦλος ὁ τοῦ ἀριστάρχου ἧκεν. ἰδοὺ γὰρ ἡ τε γενικὴ συνέχει τὸ ἴδιον ἄρθρον, καθ' ὅ, τι τῶν κτήσεων αἱμοναδικαὶ οὖσαι, τὸ ἄρθρον ἀπαιτοῦσι, καὶ τὰ λειπόμενα δύω ἄρθρα εἰς μίαν τὴν εὐθεῖαν ἀναφέρεται. οὐκ ἄρα ἐν τῷ, ὁ πῆρ ὁ ἐμὸς, κατηνάγκασται τὸ ἕτερον τῶν ἄρθρων ἐπὶ τὴν ἀντωνυμίαν φέρεσθαι, ἀλλ' ἐπὶ τὴν, ὡς εἴρηται, ὑπακουομένην τοῦ ὑπαρκτικοῦ μετοχήν. οἷον, ὁ πῆρ ὁ ὢν ἐμός. ὅπερ ἴσον ἐστὶ τῷ, ὁ προεγνωσμένος, ὁ ὢν ἐμός. ἡ οὖν παράγωγος ἐμοῦ, δὶς οὖσα γενικὴ, τὸ μὲν πρόσωπον τοῦ κτήτορος

τορος ἔσχεν ἀντωνυμικόν. ἐξ οὗ καὶ τὴν ὀνομασίαν ἔχει τὸ ἀντωνυμία καλεῖσθαι, ὅπερ ὁμολογεῖ τὴν δεῖξιν τοῦ ὡρισμένου προσώπου, καὶ ἔτι τὴν ἐπὶ τὸ β', καὶ γ', μετάβασιν. οἷον, ἐπιμελοῦμαι τοῦ ἐμοῦ, ἢ τοῦ σοῦ, ἢ τοῦ ἑοῦ παιδός. τὸ δὲ ἕτερον, τοῦ ὑπακουομένου κτήματος. ὃ κλίσιν ποιεῖται τὴν εἰς τὰς πτώσεις, μετάθεσίν τε τὴν εἰς τὰ γένη, ἀριθμούς τε τοὺς κατὰ ἀκολουθίαν τοῖς ὀνόμασι. τὸ γὰρ ἀντωνυμικὸν πρόσωπον καθ' ἑαυτὸ ἐν γενικῇ μόνῃ νοούμενον, λέγω δὴ τὸ τοῦ κτήτορος, ἄκλιτόν ἐστιν εἰς τὰς πτώσεις. καθ' ὅ, τι μόνη ἡ γενικὴ πτῶσις κρατεῖ τὴν κτητικὴν ἔννοιαν. διὰ τοῦτο καὶ πᾶσα κτητικὴ ἀντωνυμία μετὰ τοῦ κτήματος εἰς τὴν ἐγκειμένην γενικὴν ἀναλύεται. καὶ φαίνεται, ὅτι ὥσπερ αἱ πρωτότυποι οὐ κλίνονται εἰς τὰς πτώσεις, θεματικὴν σχοῦσαι τὴν κλίσιν, οὕτω τοι καὶ αἱ ἐξ ἐκείνων παρηγμέναι κτητικαὶ, καθ' ἑαυτὰς μὲν ἄκλιτοί εἰσι, συγκλίνονται δὲ τοῖς προκειμένοις κτήμασιν οὐκ εἰς ἄλλο τι, καθ' ὃ τὰ κτήματα οὐ δύναται κλίνεσθαι, οἷον εἰπεῖν κατὰ πρόσωπον, τρίτου μόνου καθεστῶτα, ὅτι μὴ εἰς πτώσεις καὶ γένη καὶ ἀριθμούς. καὶ ἕνεκα τούτων τοῖς δύοιν προσώποις κτήτορός τε καὶ κτήματος ἴδια μόρια ὁμοιαρίθμως παρίσταται, τῷ μὲν ὀνοματικῷ, φημὶ δὴ τῷ κτήματι, τὸ ἄρθρον, συγκλινόμενον τούτῳ κατὰ τὰ παρεπόμενα, τῷ δὲ ἀντωνυμικῷ ἡ συνήθως ἐπιτασσομένη ἐπιταγματικὴ ἀντωνυμία κατὰ μίαν πτῶσιν τὴν γενικὴν, τὴν ὡς εἴρηται μόνην ἐγκειμένην ἐν τῇ κτητικῇ ἀντωνυμίᾳ, εἰς ἔνδειξιν τῆς ἐγκειμένης πρωτοτύπου γενικῆς. οἷον, τὸν ἐμὸν μὲν αὐτοῦ βίον. ἀλλ' ἑὸν αὐτοῦ χρεῖος. καὶ, αὐτῶν γὰρ σφετέρῃσιν ἀτασθαλίῃσιν ὤλοντο. ὀδ. ᾱ. ἐν ἁπάσαις δὲ ταῖς πτώσεσι τὸ ἄρθρον συγκλίνεται τῇ τοῦ κτήματος πτώσει κλινομένῃ. ὁ ἐμὸς, τοῦ ἐμοῦ, τῷ ἐμῷ. συμμεταπίπτει τε καὶ κατὰ γένος, ἡ ἐμὴ, τὸ ἐμόν. κἀντεῦθεν προφανὲς, ὅτι τὸ μὲν τοῦ κτήτορος πρόσωπον, ἓν καὶ τὸ αὐτὸ, τὰ δὲ κτήματα, διάφορα ἐν γένει. καὶ ἐν ἀριθμῷ δέ. ἔστι γὰρ πάλιν, εἷς μὲν, ὁ κτήτωρ, πλείονα δὲ, τὰ κτήματα κατὰ πᾶν γένος. οἱ ἐμοὶ, αἱ ἐμαὶ, τὰ ἐμά. πρὸς δὲ, καὶ ἐν πτώσει. ἔστι γὰρ πάλιν ἐν γενικῇ μὲν μόνῃ ὁ κτήτωρ, ἐν δ' ἁπάσαις τὰ κτήματα. ὁ ἐμὸς, τοῦ ἐμοῦ, τῷ ἐμῷ, τὸν ἐμόν. κἂν εἰ δὲ ἀμειφθῇ τὰ τοῦ ἀριθμοῦ, ἢ ἑτέρου τοῦ τῶν παρεπομένων τῷ κτήματι, γένους λέγω καὶ πτώσεως, καὶ τὰ τοῦ ἄρθρου συναμείβεται, σῴζοντος κατὰ πᾶντα τὸ ἐνιαῖον τοῦ ἀντωνυμικοῦ. φέρε δὲ καὶ πλείονας δεσπότας ἑνὸς ἀγροῦ ἐπικρατεῖν. ἐφ' οὗ φαίης ἂν, ὁ ἡμέτερος ἀγρὸς σκάπτεται. τοῦ ἄρθρου ἑνουμένου πρὸς τὸ ὑποκείμενον κτῆμα. ὡς οὖν προείρηται. οὐδ' ἐν ταῖς τοιαύταις συντάξεσιν ἐπὶ τὴν δεῖξιν τῶν ἀντωνυμιῶν φέρεται τὰ συναρτώμενα αὐταῖς ἄρθρα, ἐπὶ δὲ τὰ ὑπακουόμενα κτήματα. συνεπληθύνετο γὰρ ἂν, εἴπερ, ἐν τῷ, ὁ ἡμέτερος ἀγρός. πολλῶν ὄντων τῶν ἐπικρατούντων. καὶ αὕτη δέ ἐστιν ἀπόδειξις τοῦ τὸ ὦ, μὴ εἶναι ἄρθρον. καθ' ὅ, τι προτίθεται ἔσθ' ὅτε δεικτικῶς τῆς οὗτος. Αἱ γοῦν κτητικαὶ προτασσόμεναι τῶν κτητικῶς νοουμένων ὀνομάτων, ἀνάρθρως μὲν, πλῆθος κτημάτων παρεμφαίνουσιν. ἐμὸς οἰκέτης προσῆλθεν. ἐνάρθρως δὲ, μοναδικὴν, ὡς εἴρηται, κτῆσιν. ὁ ἐμὸς οἰκέτης παρεγένετο. δι' ὃ καὶ λείπει τὰ τοιαῦτα ἄρθροις, Ἀχιλλέως οὐλομένην μῆνιν. ἰλ. ᾱ. ἓν γὰρ τὸ τῆς μήνιδος πάθος, ὡς μοῖρα, ὡς ψυχή. προδήλως οὖν κἀκεῖνο λείπει ἄρθρῳ, πὴρ δ' ἐμὸς αὐτίκ' ὀϊσθείς. μία γὰρ ἡ τῶν πρῶν κτῆσις. οὗ τὸ ἑξῆς ἐστιν, ὁ δ' ἐμὸς πὴρ ὀϊσθείς. εἰ δὲ προστεθείη μὲν συνάρθρως τὸ ὑπὸ κτῆσιν ὂν ὄνομα, ἐπενεχθείη δ' ἀσυνάρθρως ἡ κτητικὴ ἀντωνυμία, πάντως καὶ τὸ τῆς ὑπάρξεως ῥῆμα ἐπενεχθήσεται

χθήσεται, βεβαίωσιν τῷ κτήτορι δηλοῦν. ὁ πὴρ ἐμός ἐστιν. ὁ ἀγρὸς σός ἐστιν. εἰ μέν τοι ἀναστραφείη ἡ ἀντωνυμία συνάρθρως, ἡ ὑπόλοιπος χρῆσις τῶν ῥημάτων εὐπαράδεκτος. ὁ ἐμὸς πὴρ τρέχει, νικᾷ, ὑβρίζει, ὑβρίζεται. εἰ δὲ ἀμφοῖν τοῖς πτωτικοῖς προσθείημεν ἄρθρον, ἡγουμένου μὲν, τοῦ ὀνοματικοῦ, ἑπομένου δὲ, τοῦ ἀντωνυμικοῦ, ἔχοι ἂν τὴν αὐτὴν σύνταξιν ταῖς προειρημέναις, παντὶ ῥήματι συντάσσεσθαι δυνάμενα. τοῦ μὲν α', ὁ ἐμὸς πὴρ φῑφεῖ. κατὰ μοναδικὴν κτῆσιν. τοῦ δὲ β', ὁ πὴρ ἐμός ἐστι. κατὰ βεβαίωσιν. τοῦ δὲ γ', ὁ πὴρ ὁ ἐμός ἐστι, φῑφεῖ, νικᾷ, ὑβρίζει. ἐνγοῦν τῷ, πὴρ δ' ἐμὸς αὐτίκ' ὀϊσθείς. ἢ δώσει τις, ὡς ἔφημεν, τὸ ἑξῆς εἶναι, ὁ δ' ἐμὸς πὴρ ὀϊσθεὶς, ἢ πρόσθεσιν καὶ ἑτέρου ἄρθρου πρὸ τοῦ ἐμὸς, πάλιν τοῦ δὲ, ὑπερβιβαζομένου. ὁ δὲ πὴρ ὁ ἐμὸς ὀϊσθείς. ὥς γε μὴν προείρηται, ἡ ἀντωνυμικὴ σύνταξις προεναρξαμένη, ἀπαράδεκτός ἐστι δῦοῖν ἄρθρων, ὡς κἂν τῇ τοῦ ἐπιθέτου συντάξει ἐλέγετο. ὁ ἐμὸς ἀγρός. ὁ ἐμὸς δοῦλος. ἡ δὲ τοῦ ὀνόματος προκατάρξασα, δῦοῖν ἄρθρων ἐστὶ δεκτική. ὁ δοῦλος ὁ ἐμός. ὁ πὴρ ὁ ἐμὸς, ἢ ὁ ἐκείνου, τῶν δῦοῖν ἄρθρων δύω ἀναφορὰς διαφόρους δηλούντων. ἐν μὲν γὰρ τῷ, ὁ δοῦλος, τοιοῦτόν ἐστιν, οὐκ ἄλλος ἢ ὁ πάλαι νοούμενος. ἐν δὲ τῷ, ὁ ἐκείνου, ὃς οὐκ ἦν ἄλλου, ἢ τοῦ ἔκπαλαι νοουμένου δεσπότου, καθὼς ἀπεδείξαμεν ἐν τῷ ὁ πὴρ ὁ ἐκείνου. ἔνθατοι καὶ τρία ἄρθρα παραλαμβάνεται ἐπὶ δῦοῖν ὀνομάτων κατὰ τὴν προειρημένην τήρησιν. ὁ φίλος ὁ τοῦ ἀνοῦ. διὰ μὲν τοῦ α', οὐκ ἄλλος, ἢ ὁ προεγνωσμένος. διὰ δὲ τοῦ β', οὐκ ἄλλου ἢ τοῦ προεγνωσμένου ἀνοῦ. οὗ καὶ τὸ γ', ἐστὶν ἄρθρον. ἐν μέντοι τῷ, ὁ πὴρ ὁ τούτου, ἢ ὁ ἐκείνου, οὐ προστίθεται γ', ἄρθρον, τῶν δεικτικῶν ὡς εἴρηται ἀντωνυμιῶν μὴ δυναμένων ἄρθρον παραδέξασθαι, ὡς ἂν μαχόμενον τῇ δείξει.

ὁμοίως δὲ καὶ τὸ, ὁ πὴρ ὁ ἐμὸς, τῆς αὐτῆς συντάξεως ἔχεται τῇ, ὁ πὴρ ὁ ἐκείνου, διὰ τὸν αὐτὸν λόγον. τὸ γὰρ ὡς εἴρηται ἀντωνυμικὸν πρόσωπον, γενικῆς τυγχάνει. εἰς ἣν καὶ μεταλαμβάνεται ἡ καθ' ἡντιναοῦν πτῶσιν κτητικὴ ἀντωνυμία. ὁ πὴρ ὁ ἐμὸς, ὁ πήρμου. τῷ ἐμῷ πρί, τῷ πρίμου. τὸν ἐμὸν πρά, τὸν πράμου.

Ἀνάγκη δὲ ταῖς κτητικαῖς ταῖς δε,

Ταῖς τοῦ α', καὶ β', μόνον, οὐ μὴν δὲ καὶ ταῖς τοῦ γ'. τοῦτο γὰρ βούλεται ἡ δεῖξις τοῦ ταῖς δε.

Ῥήματι πρώτου, ἢ δευτέρου προσώπου συναπτομέναις, τὰς πρωτοτύπους συντάττειν, καθάπερ καὶ τοῖς ὀνόμασιν.

Ἀπὸ κοινοῦ τὸ, ῥήματι πρώτου, ἢ δευτέρου προσώπου συναπτομένοις τὰς πρωτοτύπους συντάττομεν. Τὸ δ' αἴτιον, τοιοῦτον. αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν ὀνόματος ἤδη τέλος εἴτ' οὖν κατάληξιν ἀναδεξάμεναι κατά τε τὸν Ἀπολλ': ἐντῷ ζ'. κφ': τοῦ γ', βιβλ'. καὶ τὸν Θεόδωρον ἐντῷ β', βιβλ': περὶ ἀντωνυμίας, εἰς τὰ τρίτα πρόσωπα, καθὰ δὴ καὶ τὰ ὀνόματα, κατὰ πᾶσαν πτῶσιν προσεχώρησαν. ἡ γὰρ ἐμὸς, πρώτου μέν ἐστι, καὶ δευτέρου ἡ σὸς, κτητορολογοῦσαι, κτηματολογοῦσαι δὲ, τρίτου εἰσὶν ἑκάτεραι. μὴ δυναμέναις οὖν παραλαμβάνεσθαι κατὰ τὸ α', καὶ β', πρόσωπον, διὰ τὸ τὰς θέσεις αὐτῶν, ὥσπερ δὴ καὶ τῶν ὀνομάτων μήτε ἐν πρώτῳ, μήτε ἐν β', προσώπῳ δύνασθαι καταγίνεσθαι, ἀναγκαίως ῥήματι πρώτου, ἢ δευτέρου προσώπου συναπτομέναις συντακτέον ἐστὶ τὰς πρωτοτύπους ἀντωνυμίας, ὡς ἂν ἀπὸ τοῦ γ', ἐπὶ τὸ α', καὶ β', αὐτὰς

αὐτάς τε καὶ τὰ ὀνόματα ἐπισπάσωνται αἱ πρωτότυποι.

Οἷον, σὺ ὁ ἐμὸς παῖς μανθάνεις. ἐγὼ δὲ ὁ σός γε πὴρ διδάσκω.

Τρίτου δὲ προσώπου ῥήματι συνταστόμεναι αἱ κτητικαὶ, τῶν συζύγων πρωτοτύπων οὐκ ἐπιδέονται, τρίτου καὶ αὐταὶ καθεστῶσαι. οἷον, ὁ ἐμὸς, ἢ ὁ σὸς παῖς ἀκοῦει.

Ὥσπερ

Καὶ τοῖς ὡς εἴρηται ὀνόμασι.

Σὺ μὲν ὁ πλάτων, διδάσκῃ. ἐγὼ δὲ ὁ σωκράτης, διδάσκω.

Σαφὲς γὰρ, ὅτι τὸ ἀπολλώνιος χράφω, καὶ τὰ τούτοις ὅμοια, προφανῶς ἀκατάλληλα, καὶ οὐδὶ ἄλλο τι, ἢ διὰ τὴν τῶν προσώπων ἀκαταλληλότητα. εἴγε τρίτου μὲν προσώπου τὸ ὄνομα, πρώτου δὲ τὸ ῥῆμα. κατάλληλον δὲ, τὸ ἐν δυοῖν τρίτοις. ἀπολλώνιος χράφει. Ἀλλ' οὐκ ἐν τῷ καθόλου πάλιν τὸ τοιοῦτό φησιν Ἀπολλώνιος. τῶν γὰρ ῥημάτων τὰ ἰδίας ποιότητος θέσιν σημαίνοντα, ὡς τὰ καλούμενα κλητικὰ, προσίεται τὸ δοκοῦν ἀκατάλληλον, ταυτοπροσώπως τοῖς ὑποκειμένοις ὀνόμασι συνταστόμενα. ὀδυσεὺς ὀνομάζομαι. τρύφων κληΐζομαι. καὶ τὰ τούτοις σύζυγα. τὸ μὲν γὰρ, ἐγώ εἰμι. ἐγχωρεῖ ἐγγίνεσθαι. εἴ γ' οὐκ ἰδίας ποιότητος θέσιν σημαίνει τὸ εἰμὶ, ὕπαρξιν δὲ καὶ ἁπλῶς κοινὴν θέσιν, ἐφ' ἣν συντείνει καὶ τὸ, ἐγώ. τὰ δὲ κλητικὰ τῶν ῥημάτων οὐκ ἐγχωρεῖ τὴν ἰδίαν θέσιν κοινῇ φωνῇ προσχαρίζεσθαι, φημὶ δὴ τῇ ἀντωνυμικῇ ἐπὶ πᾶν συντεινούσῃ. εἰφαίημεν, ἐγὼ ὀνομάζομαι, ἐγὼ κληΐζομαι. ὁ αὐτὸς λόγος κἀπὶ τῶν ἑξῆς δευτέρων προσώπων. σαφὲς οὖν ὅτι μὴ δυνάμενα παραβάντα διαψεύσασθαι τὴν ἰδίαν θέσιν τῶν ὀνομάτων τὰ κλητικὰ ῥήματα, ἰδίας θέσεως ὄντα καὶ αὐτὰ δηλωτικὰ, ἀναγκαίως ἐπισπᾶται αὐτὰ ἐκ τοῦ τρίτου καὶ τὸ α', ὅτε φαμὲν, τρύφων ὀνομάζομαι. οὐμὴν κἀντῷ, τρύφων βιάζομαι. τὸ γὰρ βιάζεσθαι οὐκ ἔστιν ἴδιον τρύφωνος, καθάπερ ἡ ἐπ' αὐτοῦ ὀνομασία. δι' ὃ καὶ τὴν κοινὴν καὶ παντὸς ὀνόματος ἀντωνυμίαν παραλαμβάνει τὴν ἐγώ. οἷον, ἐγὼ βιάζομαι, σὺ βιάζῃ. Ὁ μὲν οὖν Ἀπολλώνιος οὐκ ἀξιοῖ συμπαραλαμβάνεσθαι ἀλλήλοις καὶ τὸ α', καὶ β', πρόσωπον τάς τε ἀντωνυμίας καὶ τὰ ἀντονομαζόμενα, ἀλλὰ τῶν ῥημάτων τοῖς μὲν κλητικοῖς παρατίθεσθαι μόνα τὰ ὀνόματα, τοῖς δὲ παρὰ ταῦτα, ὕπαρξιν καὶ ἁπλῶς κοινὴν ἐπαγγελλομένοις ποιότητα, μόνας τὰς ἀντωνυμίας, καθ' ὃν ἐπ' ἀμφοῖν ἐξέθετο λόγον οὐκ ἀφῦῆ. Τοῦ δὲ θεοδώρου ἑκάτερα συμπαραλαμβάνοντος, διαπορήσειεν ἄντις, τὸ Α', τῶν ἀντωνυμιῶν ἀντὶ ὡρισμένων εἴτ' οὖν ἐγνωσμένων ὀνομάτων παρειλημμένων, οὐ μόνον οὐκ ἀναγκαῖον, ἀλλὰ καὶ περιττὸν συμπαραλαμβάνεσθαι ταύταις καὶ τὰ ἀντονομαζόμενα. τὸ Β', τῶν ὀνομάτων οὐδὲν μᾶλλον ἐκ τῶν συναπτομένων αὐτοῖς πρωτοτύπων ἀντωνυμιῶν, ἢ τῶν παρακειμένων ῥημάτων ἀπὸ τοῦ γ', εἰς τὸ α', καὶ β', πρόσωπον ἐπισπωμένων, περιττὸν συμπαραλαμβάνεσθαι τούτοις καὶ τὰς ἀντωνυμίας. εἰ γάρ τοι τὸ, τρύφων ἀναγινώσκω, διὰ τὸ τῶν προσώπων ἀκατάλληλον σόλοικον, σόλοικον ἄρ' οὐχ ἧττον διὰ τὸν αὐτὸν λόγον καὶ τὸ, ἐγὼ τρύφων. εἰ δὲ τὸ τρύφων, ἀνατρέχει εἰς τὸ α', διὰ τὴν ἐγὼ, καὶ διὰ τὸ παρακείμενον ἄρα ῥῆμα τὸ τούτου ὑπελθὸν πρόσωπον, περιττὴν ἐλέγξει τὴν τῆς ἀντωνυμίας παράθεσιν. Ἢ ὅτι τοῖς μὲν ὀνόμασι προειλημμένοις συμπαραληπτέον καὶ τὰς ἀντωνυμίας οὐδενὸς,

οὐδενὸς, ὅτι μὴ δείξεως ἕνεκα, ἢ καὶ διαστολῆς, ἑκατέρων ἀμοιροῦντος τοῦ ὀνόματος. ταῖς δ' αὖ ἀντωνυμίαις προειλημμέναις, τὰ ἀντονομαζόμενα ἐγνωσμένα μὲν, οὐ, ἀγνοούμενα δὲ, συμπαραληπτέον ἐνταῖς γραφαῖς μάλιστα. τὸ γὰρ, ἐγώ σοι ἔγραψα, ἐν μὲν ἀπαγγελίᾳ, ἥκιστα προσδεές ἐστι τῆς οἰκείας αὐτοῦ ὕλης, ὡς αὐτόθεν ἐνδεικνυμένης. ἐγγραφόμενον δὲ τῶν ἀνθ' ὧν παρελήφθη ὀνομάτων χωρὶς, ἀόριστον γίγνεται. πρὸς γοῦν ἀποφυγὴν τῆς ἀοριστίας συμπαραληπτέον ταῖς ἀντωνυμίαις καὶ τὰ καθ' ὧν ἡ δεῖξις ὀνόματα. ὡς ἂν ἔχοι δείκνυσθαι διὰ μὲν τῆς ἐγὼ, ἡ προκειμένη εὐθεῖα, οἷον, ἐγὼ ὁ σωκράτης. διὰ δὲ τῆς σοὶ, ἡ ἀνθυπαγομένη δοτική. οἷον, σοὶ τῷ πλάτωνι. Ἐφ' οἷς ἰστέον ὡς τῶν ὀνομάτων τὰ ταῖς ἀντωνυμίαις συμπαραλαμβανόμενα, ἀγνοούμενα λέγων εἶναι Ἀπολλώνιος, ὡς ἐπὶ τοῦ, ὡς εἴρηται, ἐγὼ ὁ σωκράτης σοὶ τῷ πλάτωνι γέγραφα, εἶτα τὴν ἐν τούτοις τοῦ ἄρθρου σύνταξιν αἰτιολογῶν ἀλλαχοῦ, αὐτὸς ἑαυτῷ περιπίπτει. εἰπὼν γὰρ, ὡς τὰ ἀντωνυμικὰ πρόσωπα οὐκ ἀναφέρεται, ὑπ' ὄψιν δὲ δείκνυται, εἶθ' ὥσπερ ἐπιλαθόμενος, φησὶ μικρὸν ὑποκαταβὰς;

Τῆς προτεταγμένης ἀντωνυμίας πρώτην γνῶσιν τῶν προσώπων ὑπαγορευούσης, ἡ ἐνδευτέρᾳ τάξει παραλαμβανομένη τῶν ἄρθρων παράθεσις, ἀναπολεῖ ταύτην. καὶ μὴν τὰ προτακτικὰ τῶν ἄρθρων οὐχὶ τῆς μὴ πεφυκύας ἄρθροις συντάττεσθαι ἀντωνυμίας, ὧν δὲ προτάσσεται πτωτικῶν εἰσιν ἀναπολητικά. τὸ ἄρα ἄρθρον ἐν τῷ, ἐγὼ ὁ σωκράτης, οὐ τὴν ἀντωνυμίαν, τὸ δὲ προκείμενον ὄνομα ἔσται ἀναπολοῦν. ἀλλὰ μὴν τὸ ταῖς ἀντωνυμίαις συμπαραλαμβανόμενον ὄνομα, ὅλως ὡς εἴρηται ἀγνοούμενον, τότε πρῶτον ἐν γνώσει καθίσταται. τὸ δὲ ἄρθρον οὐ τοῖς ἐν πρώτῃ, τοῖς δὲ ἐν β', γνώσει παραλαμβανομένοις πέφυκε συντάσσεσθαι, τὸ ἄρα ἐν τούτοις ἄρθρον ἤτοι παρέλκει. ἐν γὰρ τοῖς τοιούτοις οὐ πρόσκειται. ἴδε ἐγὼ παῦλος λέγω ὑμῖν. πρὸς γαλ' τ. ε'. κἀν τῇ πρὸς φιλήμ: ἐγὼ παῦλος ἔγραψα. ἢ τὸ μοναδικὸν ὑπεμφαίνει τοῦ προσώπου. καὶ γὰρ καὶ αἱ προκείμεναι ἀντωνυμίαι, τῶν διασταλτικῶν οὖσαι, μόνα τε καὶ καθ' ἑαυτὰ λαμβάνουσι τὰ πρόσωπα. εἴγε τὸ διαστέλλεσθαι, οὐδὲν ἀλλ' ἢ ἰδιάζειν ἐστὶ, καὶ οἷον μονάζειν. καὶ τὸ ἄρθρον ἄρα αὐτὸ τοῦτο βούλεται. οὗ τῇ προσθέσει τὰ διὰ πλείονος ὕλης καὶ σημασίας χωροῦντα ὀνόματα, τῆς ἀμφιβολίας ὑπεκλύεται, εἰς τὸ μοναδικὸν καὶ κατ' αὐτὸν Ἀπολλώνιον συστελλόμενα. τὸ γὰρ λέγειν τῆς προτεταγμένης ἀντωνυμίας ἀναπολητικὰ εἶναι τὰ ἑξῆς ἄρθρα, κλώθοντός ἐστι τὰ ἀσύγκλωστα, δεῖξιν λέγω καὶ ἀναφορὰν, τὰ μὴ πεφυκότα ἀλλήλοις συνέρχεσθαι κατὰ τοῦ αὐτοῦ. καινὸν δὲ οὐδὲν ἄνον ὄντα καὶ τὸν Ἀπολλώνιον, ἔστιν οὗ μὴ ἐφιστάνειν. τῶν γὰρ ἄρθρων τὰ ταῖς ἀντωνυμίαις ὑποταττόμενα, ᾧδε μὲν ἀναπολητικὰ τῆς ἀντωνυμίας τυγχάνειν, ἀλλαχοῦ δὲ, ἐξοχῆς ἕνεκά φησι τὰ αὐτὰ παραλαμβάνεσθαι. ὡς ἐν τῷ, τὸν ἐμὲ κροτοπιάδην. κατὰ γὰρ ὑπέρβασιν τὸ ἄρθρον πρὸς τὸ ὄνομα ἀποτεινόμενον, δῆλον ὡς ὑποτακτικόν ἐστι τῆς ἀντωνυμίας.

Ἔτι αἱ μὲν τοῦ α', καὶ β', προσώπου κτητικαὶ, τοῖς ἔξωθεν

Ἑτέροις δηλαδή.

Εὖ μάλα προσώποις συντάσσονται.

Καθ' ἑαυτὰς δίχα ἑτέρου τινὸς, τοῦ κτητορολογοῦντός φημι ἀντωνυμικοῦ πτωτικοῦ. οἷον,

Ὁ ἐμὸς

Ὁ ἐμὸς παῖς σε, ἢ ἐκεῖνον φιλεῖ.

Αἱ τὰ α. αἱ δὲ τὰ β, οἷον, ὁ σὸς πῦρ ἐμὲ, ἢ ἐκεῖνον φιλεῖ. καθ' ὁντιναοῦν ἀριθμόν.

Αἱ δὲ τὰ τρία

Καθ' ὁντιναοῦν καὶ αὗται ἀριθμόν.

Δίχα τὰ

Ἀντὶ τὰ τινός

Ἑτέρα

Ἀντωνυμικὰ πτωτικά.

Τὸν κεκτημένον δηλοῦντος αὐτόν,

Τὸν κτῆτορα δηλονότι.

Συντάχθῆναι πρὸς ἕτερον πρόσωπον οὐκ ἐθέλουσι

Παρὰ ἀφελῶς καὶ γλυκέως εἴρηται τὸ οὐκ ἐθέλουσιν, ἐπὶ ἀφαιρέτων, ὡς ἐπὶ οἰονεὶ ἐμψύχων τινῶν.

Σολοικισμὸς γὰρ τὸ φαίνει, ὁ σὸς ἕτερος παῖς φιλεῖ ἐμέ. καὶ ἓν, ὁ σὸς ἕτερος αὐτῷ παῖς ῥητέον, ἢ, ὁ παῖς αὐτῷ, οὐδὲ τὰ κτητικά.

Ἀλλ' ἐὰν αὐτὰ χρεὼν, ὅμοι κακὸν ἔμπεσον οἴκῳ. Ἀλλ' ἀπορήσεις, τὰ τῆς ἀντωνυμίας πρόσωπα ὧδε εἶσαι καὶ Ἀρίσταρχον κατὰ παῦ πρόσωπον, α', δηλ: β', καὶ γ'. ὥσπερ καὶ τὰ τῆς ῥημάτων πρῶτα καὶ δεύτερα. καὶ οὐκ ἔστιν, ὥσπερ τὰ ξίπα τῆς ῥημάτων, οὕτω καὶ ταύτας ἐπὶ γ', ἀορίστα ἴνειν. ἐδεμία ἄρα χρεία ἐπὶ τὰ γ', τῆς παραγώγων τῆς προθήκης τὰ τὸν κεκτημένον δηλοῦντος ἀντωνυμικὰ, ὥσπερ καὶ ἐπὶ τὰ α, τε καὶ β', ὡς ταῖς παραγώγοις ἐγκείμενον. καὶ γὰρ Ἀπολλώνιον τῆς ἀντωνυμιῶν αἱ παράγωγοι ἐκ καὶ πάντα ἀριθμὸν καὶ πτῶσιν μόνον, ἀλλὰ καὶ καὶ παῦ πρόσωπον ἐμπερέχουσι τὸν πρωτότυπον κτητορολογοῦσαν γενικὴν. ὅθεν καὶ ἔστιν δύρειν πολλαχῆ παρὰ τοῖς λογίοις τῆς συγγραφέων μοναχῶς τὸ σφέτερος κείμενον. Θουκυδ': α', πρὸς τὰ ναυάγια καὶ τὰς νεκρὰς τὰς σφετέρας ἐξάποστο. καὶ, αἱ σφέτεραι δέκα νῆες. καὶ Ἀριστ'λ: πολιτικ. ε', ὡς τῆς σφετέρας χώρας ἐξέπεσον. καὶ αὐτὸς δὲ ὁ Θεόδωρος μοναδικὸν ἐξήνεγκε τὸ σφέτερος ἐν τοῖς περὶ τῆς μηνῶν, λέγων, ὅτι οἱ Ἕλληνες τῆς ῥωμαϊκῶν ὀνομάτων ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ταῖς τῆς μηνῶν προσηγορίαις τοῖς σφετέροις ἀναμιγνύτες, ἐχρῶντο. (ἐνθα σημείωσαι τὸ κτητικὸν ἐπ' αὐτοπαθείας αὐτὶ σωθέτε κείμενον.) αὐτὸ δὲ τὸ σφέτερος ξίπα ὅσα ἀντωνυμία, καὶ περὶ πολλῶν λεγομένη κτητόρων, ἔστιν ὅ καὶ ἐπὶ ἑνὸς κτήσεως παραλαμβάνεται. Ἀριστ'λ: τὸ χερσαῖον ζῷον εἰς τὰ σφέτερα ἤθη καὶ νόμους διεξερπύσει. Ἡσιόδ: προλιπὼν σφέτερόν τε δόμον. καὶ ἐπὶ β', ὁ αὐτός. σφέτερον πρὰ ὑμνήσαι. αὐτὶ τὰ ὑμέτερον. Εἴποι δ' ἄν τις πρὸς τὰ διηπορημένα, ὡς ἐκ παραλλήλου κεῖται ἐπὶ τὰ γ', τῆς κτητικῶν ἢ τὸν κεκτημένον δηλοῦσα ἐπιπασομένη ἐπιπαγματικὴ ἀντωνυμία, εἰς ὃν δείξιν τῆς ἐγκειμένης προτότυπα γενικῆς, καθὰ δὴ καὶ ἐπὶ τὰ α', καὶ β'. οἷον, πισεύομεν εἰς τὸ πνᾶ, καὶ ταῖς ἡμετέραις αὐτῆς ὁμολογίαις ζυγομαχοῦμεν. Βασίλ. καθ' ὅ, τι πολλάκις καὶ Ἀπολλ': τὰ ἰσοδυναμοῦντα παραλλήλως τίθενται εἰς πλείονα ἔμφασιν. Ἡρόδ. ἀποπλέετε εἰς τὴν ὑμετέρην αὐτέων. Θουκυδ'. β', νεμόμενοι τὰ ὑμέτερα αὐτῆς. Λυσιαν. ἐν τῇ ἀπολογ'. τῆς ὑγείας τῆς ὑμετέρας αὐτῶν ἐπιμελεῖσθε. καίτοι Φάλαρις β', λόγῳ. τὰ ἡμέτερα αὐτῶν εἰδέναι. ἄλλως δ', ὥσπερ ἐπὶ τὰ α', τε καὶ β', ὡς δ' ἐπὶ τὰ γ', ἀναγκαία, ὅτι μὴ, πρὸς ἐπί-

πρὸς ἐπίτασιν ὡς εἴρηται δείξεως, καθὰ δὴ καὶ ἐπὶ τοῦ, ἐμὲ αὐτὸν ὠφελεῖ. τὰ δὲ ἐπιτατικῶς κείμενα, οὐδὲν ἧττον καὶ μὴ προσκείμενα, ὀρθότητος ἔχεται. εἰ δὲ, τοῦ Ἀπολλωνίου ἐν κφ', κβ', βιβλ'. β', τὸ πληθυντικὸν γ', ἐν ἀντωνυμίαις οὐκ ἐξ ἑνὸς ὡρισμένου, ἐκ δὲ πλειόνων τριῶν καὶ ἀοριστουμένων νοεῖσθαι λέγοντος, (καί τοι τὸ ὡρισμένον καὶ τὸ ἀόριστον οὐχὶ τοῦ Ἀπολλωνίου, τοῦ δὲ τοῦτον παραφράσαντός ἐστι προσθήκη.) ἐντεῦθεν προήχθησάν τινες ἐν τοῖς τρίτοις προστιθέναι τὴν τὸν κεκτημένον δηλοῦσαν ἐπιταγματικὴν, εἰς ἀποφυγὴν δῆθεν ἀοριστίας, ἀλλ' αὐτὸς οὗτος ἐν κφ'. γ', τοῦ αὐτοῦ βιβλ'. φησὶ, τῶν ἀντονομαζομένων προσώπων τὸν ὁρισμὸν ἄχρι τρίτου διελθεῖν. καὶ τὰ ἐπὶ γ', ἄρα ὡρισμένα εἰσὶν, ὡς εἴρηται. εἰ δὲ δοίημεν τὰ ἐπὶ γ', ἀόριστα εἶναι, καὶ αὕτη ἄρα ἡ εἰς διάκρισιν ἀοριστίας παραλαμβανομένη ἐπιταγματικὴ, εἰς αὐτὸ τοῦτο ἐμπεσεῖται, τὸ δι' ὃ καὶ αὐτὴ ἐπενοήθη, φημὶ δὴ τὴν ἀοριστίαν, τρίτου καὶ αὐτὴ καθεστῶσα. καὶ οὕτως ἐπινοηθήσεται ἄλλα εἰς τὴν διάκρισιν τῆς τοῦ προστιθεμένου ἀοριστίας. καὶ τοῦτο ἐπ' ἄπειρον. ὅπερ εὔηθες. οὐ ποιεῖ δὲ τὸ τρίτον, ἐθνικὴν παραγωγὴν, οὐ διὰ τὸ ἐξ ἀοριστουμένων νοεῖσθαι, διὰ δὲ τὸ μὴ, ὥσπερ ἐν πρώτοις τε καὶ δευτέροις, οὕτω κἀν τοῖς τρίτοις ἐνικὴν ἐπικράτειαν εἶναι τῶν πληθυντικῶν, ἵνα κἀν τούτοις ἐξ ἑνὸς τοῦ ἐπικρατοῦντος μία καὶ ἡ ἐθνικὴ παραγωγὴ νοηθῇ. μοναρχικὸν γὰρ, τὸ ἐν πρώτοις τε καὶ δευτέροις. τὸ δὲ ἐν τρίτοις, πολύαρχον, καὶ τοσοῦτον, ὅσα καὶ τὰ ἐμπεριειλημμένα ἐν αὐτῷ πληθυντικά. ὧν ἕκαστον πρὸς ἑαυτὸ τὴν ἐθνικὴν παραγωγὴν ἐπισσώμενον, ἴδιον συνίστησιν ἔθνος. Ἄλλως τε αἱ κτητικαὶ τῶν ἀντωνυμιῶν, ὡς ἀπὸ τῶν πρωτοτύπων δεικτικῶν παρηγμέναι, δεικτικαί εἰσι καὶ αὐταὶ, δεικνύουσαι οὐ τὰ κτήματα, τοὺς δὲ ἐγκειμένους κτήτορας. οἱ δὴ καὶ ὡς ὑπ' ὄψιν κείμενοι, ἐγνωσμένοι εἰσὶ δηλονότι. καὶ ἡ κατὰ τὸ γ', ἄρα κτητικὴ ὡρισμένους ἔχουσα, οὓς ἐνδείξει ἀντονομάζει κτήτορας, οὐ χρῄζει τῆς ἐπιταγματικῆς ἀντωνυμίας, ὅτι μὴ, φαίη τις ἂν, τὴν τοῦ Θεοδώρου συναρπαγὴν θεραπεύειν βουλόμενος, εἰς ἐπίτασιν δείξεως.

Ἀντιμετάβασις.

Κατὰ μέν τοι γε ἀντιμετάβασιν εὖ ἔχει συντάξεως τὸ σφέτερον μόνον, ὡς καὶ τὰ τοῦ α', καὶ β', προσώπου.

Ἐν μὲν ἁπλῇ μεταβάσει οὐκ ἂν εὖ σχείη συντάξεως τὸ σφέτερον μόνον κατὰ τὸ δοκοῦν τῷ Θεοδώρῳ, πρὸς ἕτερον πρόσωπον συντασσόμενον, ἐν μέν τοι γ' ἀντιμεταβάσει, ὥσπερ τὰ τοῦ α', καὶ β', προσώπου τῶν κτητικῶν μόνα τοῖς ἔξωθεν προσώποις συντάσσεται, οὕτω καὶ τὰ τοῦ γ', καθ' ὁντιναοῦν ἀριθμόν, ἄνευ ἑτέρου τινὸς τὸν κεκτημένον δηλοῦντος συντάσσεται. τί δέ ἐστιν ἀντιμετάβασις, ἄκουε.

Καλῶ δὲ ἀντιμετάβασιν, ἵνα ἑκατέρωθεν ἐπὶ θάτερα μετάβασις θεωρεῖται ῥήματος.

Ὅπου δηλδ': δύοιν ὄντων οὐχ ὁμοειδῶν, διαφόρων δὲ προσώπων, ἡ ἐξ ἑκατέρων τούτων διάθεσις ἐπὶ τὸ οὐχὶ τῇ ποιότητι, τῇ δὲ συντάξει πρῶτον ἀντιμεταβιβάζεται.

Οἷον, δέονταί σου τοῖς σφετέροις ἐπικουρῆσαι.

Ἐν ᾧ ἡ τοῦ ῥήματος διάθεσις μεταβαίνει μὲν ἐκ τοῦ ἡγουμένου προσώπου εἰς τὸ ἑπόμενον, ἤτοι ἐκ τῶν δεομένων, εἰς σέ.

εἶτα πάλιν

εἶτα πάλιν ἐκ τοῦ ἑπομένου εἰς τὸ ἡγούμενον ἀντεπιστρέφει, οἷον, ἐκ σοῦ τοῦ ἐπικουρήσοντος ἐπὶ τοὺς τῶν δεομένων, παῖδας τυχόν, ἢ οἰκέτας, ἢ ἄνδρας; καὶ ὅλως ἐπὶ τοὺς καθ' ὧν ἡ παράγωγος ἐπιθετικῶς λέγεται, κυρίων ἢ προσηγορικῶν. πολλαχοῦ γὰρ αἱ κτητικαὶ ἀπολύτως χωρὶς τῆς τῶν κτημάτων προσθήκης λαμβάνονται. οἷον, ὁ ἐμὸς, ὁ σὸς. τὰ ἐμὰ, τὰ σά. ἦλθον οἱ ἐμοὶ. (φίλοι τυχὸν ἢ συγγενεῖς.) ὡς ἔχει καὶ τὸ, ἐκ τοῦ ἐμοῦ λήψεται καὶ ἀναγγελεῖ ὑμῖν. κἀπὶ θηλυκῶν ὡσαύτως. ἡ ἐμὴ, ἡ σὴ, ἡ ἡμετέρα. Ἀλλ' ἀπορήσεις, πῶς ἂν εἴη ἀντιμετάβασις, τῆς ἑκατέρωθεν μεταβάσεως μὴ ἐπὶ θάτερον, ἐπὶ δὲ ἄλλο θεωρουμένης; οὐδὲ γὰρ ἐπὶ τοὺς δεομένους αὐτοὺς, ἀλλ' ἐπὶ τὰ τούτων κτήματα ἡ ἐπικουρία τυγχάνει ἀντιμεταβαίνουσα. Ἢ ὅτι τῷ λόγῳ τῆς κατὰ κτῆσιν σχέσεως καὶ ἀπὸ τῶν κτημάτων ἐπὶ τοὺς κτήτορας μεταβαίνει.

Καὶ, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν.

Θεωρεῖται ἡ ἀντιμετάβασις κἀπὶ τῶν τρωτοτύπων. Θουκυδ'. ε', καὶ ἐδέοντο σφίσι πανάκτόν τε καὶ τοὺς ἀθηναίους δεσμῶτας παραδοῦναι. κἀντῇ γ', οἱ γὰρ ἐν σικελίᾳ ξύμμαχοι, ἔπεισαν τοὺς ἀθηναίους βοηθεῖν σφίσιν. ὡς καὶ παρὰ Δημοσθένει ἐν τῷ περὶ Στεφ'. εὔχομαι ὑπάρξαι μοι παρ' ὑμῶν. Ἐν δὲ τῷ δεόμεθά σου βοηθεῖν σαυτῷ, ἢ σφίσιν, ἢ τοῖς σφετέροις, οὐκ ἔστιν ἀντιμετάβασις, ἀλλ' ἔνθα μὲν, αὐτοπάθεια, ἔνθα δὲ, ἑτεροπάθεια. ἔνθεν τοι τὸ ἕτερον, εἰ καὶ τῶν δυοῖν ὁπότερον ἔτυχε δηλοῖ, οὔγε μὴν ἀορίστως ἐκληπτέον, ἐν τῷ, ἵνα ἑκατέρωθεν ἐπὶ θάτερον, ἀλλ' ὡρισμένως ἐπὶ τὸ

τῇ τάξει πρότερον τῶν δυοῖν ῥημάτων. ἐπὶ γὰρ τὸ δεύτερον, εἴτ' οὖν τὸ προσεχὲς γινομένης τῆς μεταβάσεως, αὐτοπάθειά ἐστιν, ὡς εἴρηται, οὐκ ἀντιμετάβασις. κἀντῇ συνθέσει δὲ εἴτ' οὖν μεταλήψει τοῦ ἀπαρεμφάτου εἰς τὴν ὑποτακτικὴν, οὐδὲν ἧττον τὰ τῆς μεταβάσεως σῴζεται. οἷον, δέοντί σου, ἵνα τοῖς σφετέροις ἐπικουρήσῃς. τὸ δὲ θάτερα, κατ' ἀττικὸν ἔθος εἴρηται, ὧν ἐνίζειν μὲν τὰ πληθυντικὰ, ὡς ἐν τῷ, τὰ παιδία παίζει, πληθύνειν δὲ τὰ ἑνικά. ὡς τὸ, τὰ πρῶτα. τὰ ἀρχαῖα. τὰ μάλιστα. τὰ ὕστατα. τὰ τελευταῖα. ἰτητέα. πρὸς δὲ καὶ Ὁμήρου ἐν πολλοῖς πληθύνειν τὰ ἑνικὰ, ὡς ὅτε τὸ ἅρμα λέγει ἅρματα. καὶ τὸ τοῦ αἴαντος πρόσωπον πρόσωπα. οὕτω καὶ τὸ τοῦ ἀπόλλωνος τόξον τόξα φησὶν ἐν τῷ, τόξ' ὤμοισιν ἔχων. ἰλ. α. οὐ μόνον δ' ἐν τοῖς προσηγορικοῖς, ἀλλὰ κἀντοῖς ἐπιθέτοις τὸ αὐτό ἐστιν ἰδεῖν. τὸ γοῦν ἀεί σοι φίλα ἐστὶ τὰ κακὰ μαντεύεσθαι. τὸ φίλα, ἀττικῶς ἀντὶ τοῦ φίλον, ὡς καὶ παρὰ Σοφοκλεῖ. οὕτως ἀμυντέα ἐστὶ τοῖς κοσμουμένοις, ἀντὶ τοῦ ἀμυντέον. καὶ σχέτλια ἐμέ γε τάδε πάσχειν, ἀντὶ τοῦ σχέτλιόν ἐστι. καὶ παρ' Ἡροδότῳ, νομιζόμενα, ἀντὶ τοῦ νομιζόμενον. καὶ παρὰ τῷ Κύρῳ, συνεκποτέα ἐστί σοι καὶ τὴν τρύγα. καὶ οὐ μόνον Ὁμήρου ἀλλὰ καὶ Ἀττικῶν, ὡς εἴρηται, πληθύνειν τὰ ἑνικά. χαίρουσι γὰρ καὶ οἱ ἀττικοὶ τῷ τοιούτῳ σχήματι. παρ' οἷς καὶ ἀφύαι μὲν, τὸ ἰχθύδιον, σπανιώτατα δὲ, ἀφύη, ὡς παρασημειοῦνται οἱ παλαιοί. τοιοῦτο καὶ τὸ, τὴν (ἤγουν τὴν αἴθην) ἀγαμνένονι δῶρα δῶκεν ἑλέπολος. ἰλ. ψ. πεπλήθυται δὲ κἀνταῦθα τὸ ἑνικὸν συνήθως, ἵνα ἐνδειχθῇ τὸ τοῦ δώρου τίμιον. ὥσπερ ἐν τῷ ἀφύαι, ἡ τοῦ ἰχθυδίου σμικρότης. οὐδεὶς γὰρ ἂν πρίαιτο ἀφύην μίαν, οὐδ' εἰς βρῶσιν παραθείη, ἀλλ' ἀφύας. τοῦτο δὲ καὶ ἄλλως ἁπλοϊκῶς ποτε γίνεται. ἤγουν τὸ πληθυῦαι τὸ ἑνικόν.

ὡς ἔχει καὶ τὸ, δῶμεν ἀέθλιον δεύτερα. ἰλ: ψ. ἀντὶ δεύτερον. τοιοῦτο δὲ καὶ τὸ, ἵνα μή σε παρεκτροφύγησιν ἄεθλα. τὸ γὰρ σύνηθες ἦν εἰπεῖν, ἄεθλον. καθ' ὅ, τι ἐν ἄεθλον πάντως ἐνὶ δίδοται. ἰστέον δ' ὅτι διὰ τὴν τῶν παραγώγων πρὸς τὰς γενικὰς τῶν πρωτοτύπων ταυτοδυναμίαν, ἀδιάφορος ἑκατέρων ἡ χρῆσις. ταὐτὸν γὰρ εἰπεῖν, ὁ ἐμὸς πὴρ, ὁ σὸς υἱὸς, καὶ, ὁ πήρ μου, ὁ υἱός σου.

Ἔτοι αἱ κτητικαὶ

Συμφέρονται, ἢ ἀποδίδονται.

Ὡς ἁπλῶς εἰπεῖν, πρὸς τὰ ἔχοντα, οὐ πρὸς τὰ ἐχόμενα.

Οὐχὶ πρὸς τὸ κτῆμα δηλαδὴ, πρὸς δὲ τὸν κεκτημένον.

Οἷον, τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν.

Ἐν ᾧ ἐχόμενον μέν ἐστι τὸ φῶς, ἔχον δὲ, οἱ ὀφθαλμοί.

Ἐνίοτε μέντοι καὶ πρὸς τὰ ἐχόμενα. τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν. ὅμοιον δὲ καὶ τὸ, ἔγνως, ἐννοσίγαιε, ἐμὴν ἐνὶ στήθεσι βουλήν.

Ἐν ᾧ ἐχόμενον μέν ἐστιν ἡ βουλὴ, ἔχον δὲ, τὰ στήθη. Ἀλλ' ἀπορήσεις. ἡ παράγωγος ἐγκειμένην ἔχει τὴν τοῦ κτήτορος γενικὴν, ταὐτὸν εἰπεῖν τὴν τοῦ ἔχοντος. τὸ δὲ ἔχον, τῶν πρός τι καθεστὼς, πρὸς τὸ ἐχόμενον φέρεται. καὶ ἡ παράγωγος ἄρα τὸν ἔχοντα ὑπεμφαίνουσα, πρὸς τὰ ἐχόμενα ἀποδίδοται. τῶν γὰρ ὑποκειμένων κτημάτων ἐπιθετικῶς κατηγορουμένη, δῆλον ὡς πρὸς τὰ ἐχόμενα, οὐχὶ πρὸς τὰ ἔχοντα φέρεται. ὥστε κἀντῷ, τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν, πρὸς τὰ ἐχόμενα ἀποδεδομένον τυγχάνει τὸ κτητικόν. εἰγ' ἔχων μέν εἰμι ἐγὼ, ἐχόμενοι δὲ, οἱ ἐμοὶ ὀφθαλμοί. εἰ δὲ οἱ ὀφθαλμοὶ καὶ ἔχοντές εἰσι πρὸς τὸ φῶς, ἀλλ' οὐκ ἤδη καὶ πρὸς ἐμὲ τὸν ἔχοντα αὐτούς. τὰ γὰρ πρός τι οὐ πρὸς ἄλλα, πρὸς δὲ ἄλληλα ἀναφέρεται. καὶ οἱ ἐμοὶ ἄρ' ὀφθαλμοὶ οὐ πρὸς τὸ φῶς, πρὸς δὲ ἐμὲ τὸν ἔχοντα αὐτοὺς ἀναφερόμενοι, ἐχόμενοι δηλονότι εἰσί. καὶ οὕτως αἱ κτητικαὶ πρὸς τὰ ἔχοντα μὲν, οὐ πρὸς δὲ τὰ ἐχόμενα ἁπλῶς ἀποδίδονται. Ἔνθα δὲ ὑφ' ἑνὶ ἔχοντι δύω τινὰ τύχοι ἐχόμενα, οὐ παράλληλα ἑκάτερα, ἀλλ' ὑπάλληλα, τὸ μὲν, προσεχὲς καὶ ἄμεσον, τὸ δὲ, πόρρω καὶ ἔμμεσον, τό τε τὸ ἀντωνυμικὸν κτητικὸν πρὸς τὸ προσεχῶς ἐχόμενον ἀποδοτέον ἐστίν. ὅπερ ἦν ἔχον, ὡς εἴρηται, τοῦ πόρρω ἐχομένου. πρὸς γὰρ τὸ πόρρω ἀποδιδομένου τοῦ κτητικοῦ, τὸ προσεχὲς ἀσύντακτον μένει. οἷον ἐν τῷ, τὸ φῶς τῶν ἐμῶν ὀφθαλμῶν. τό, τε φῶς καὶ οἱ ὀφθαλμοὶ ἐμά εἰσι τοῦ ἔχοντος ἑκάτερα, τὸ μὲν, πόρρω, οἱ δὲ, προσεχῶς, ἐχόμενοι μὲν ὑπ' ἐμοῦ, ἔχοντες δὲ τὸ φῶς. τὸ τοίνυν κτητικὸν ἀποδοθὲν πρὸς τὸ προσεχὲς ἐχόμενον τὸ καὶ ἔχον, φημὶ δὴ τοὺς ὀφθαλμοὺς, ἀποδοθείη ἂν δι' αὐτῶν καὶ πρὸς τὸ πόρρω, τὸ φῶς. καθ' ὅ, τι ἐγὼ ἔχω τοὺς ὀφθαλμούς. οἱ δὲ ὀφθαλμοὶ ἔχουσι τὸ φῶς. ἔχω ἄρα κἀγὼ τὸ φῶς. ἢ καὶ οὕτω, τὸ φῶς ἐστι τῶν ὀφθαλμῶν. οἱ δὲ ὀφθαλμοί εἰσιν ἐμοί. ἐμὸν ἄρα καὶ τὸ φῶς. πρὸς δὲ τὸ πόρρω ἀποδοθὲν, οὐκ ἂν ἕξοι καὶ πρὸς τὸ προσεχὲς ἀποδοθῆναι. ὡς ἐν τῷ, τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν, τὸ γὰρ φῶς οὐκ ἔχει τοὺς ὀφθαλμοὺς, ἐχόμενον μόνον ὂν, ἐγὼ δὲ ἔχω τὸ φῶς, οὐκ ἄρα τοὺς ὀφθαλμοὺς ὅσον κατά γε τὸ λεγόμενον, ἤτοι ἐκφερόμενον. ἐνδὴ τῷ, τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν, τοῦ τοῖς ὀφθαλμοῖς ἐχομένου φωτὸς προκατειλημμένου ἀμέσως ὑπ' ἐμοῦ, ἡ τῶν ὀφθαλμῶν γενικὴ πα-

κὴ παρέλκει. μὴ γὰρ ἔχουσά τι ἐχόμενον, οὐδὲ κτητορολογεῖ, ὅτι μὴ συνδεσμική τις παρέμπτωσις ἐπισυνάψοι καὶ ταύτην τῇ κτητικῇ. οἷον, τὸ ἐμὸν φῶς καὶ τῶν ὀφθαλμῶν. Οἰηθείη δ' ἄν τις τὸ, τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν, ὅμοιον εἶναι τῷ, ἐμὸς ὁ κίνδυνος τοῦ τῆς σῆς ψυχῆς οἰκονόμου. καὶ τοῖς ὁμοίοις. οὐκ ἔστι δέ. ἡ γὰρ ἐπιφερομένη γενικὴ ἐν μὲν τοῖς τοιούτοις οὐδένα ἀλλ' ἢ τὸν κατὰ γενικὴν ἐγκείμενον τῇ κτητικῇ ἔχοντα εἴτ' οὖν κτήτορα παρεμφαίνει, ἐνδὲ τῷ, τὸ ἐμὸν φῶς τῶν ὀφθαλμῶν, ἕτερον παρὰ τὸν ἐγκείμενον. οὐ γὰρ τοὺς ὀφθαλμοὺς, ἐμὲ δ' ἐγκείμενον ἔχει τὸ κτητικόν. ἄλλως τε ἢ τὸν ἐγκείμενον κτήτορα ὑποδηλοῦσα γενικὴ, ὁμοιαρίθμως τῷ κτητικῷ ὀφείλει ἐπάγεσθαι, ὡς δηλοῖ τὸ, σόν ἐστι τοῦ εἰδότος. καὶ, ὦ ἐμαὶ τοῦ ἀπιόντος ἄγκυραι. ἐν δὲ τῷ προκειμένῳ ἀνόμοια τὰ τοῦ ἀριθμοῦ τυγχάνει. εἴγ' οἱ μὲν ὀφθαλμοὶ, πληθυντικοῦ. ὁ δ' ἐγκείμενος τῇ κτητικῇ ἔχων, ἑνικοῦ ἐστιν. ὅπερ πρὸς τῷ ἀδιανοήτῳ καὶ σόλοικόν ἐστι.

Διαφορά.

Διαφέρει δὲ τὰ περὶ τὴν συνταξιν ἡ παράγωγος ἀντωνυμία τῆς πρωτοτύπου. ᾗ δὴ ἡ μὲν πρωτότυπος συντάσσεται ῥήματι καὶ ὀνόματι καὶ μετοχῇ. παῖδα δέ μοι λύσατε φίλην.

Ἰλ: ᾶ, τοῦ ῥήματος παράδειγμα. ἱκετηρία χρύσου τοῦ ἱερέως πρὸς τοὺς περὶ τὸν Ἀγαμέμνονα περὶ Χρυσηΐδος τῆς θυγατρὸς αὐτοῦ, τοῦ Χρύσου φημί.

Καὶ μέν μου βουλέων ξυνίον

Τοῦ ὀνόματος. ἀντὶ τῶν βουλῶν μου δωρικῶς. λόγοι τοῦ Νέστορος πρὸς τοὺς περὶ τὸν Ἀχιλλέα καὶ τὸν Ἀγαμέμνονα περὶ ἀνδρῶν καρτίστων. οἵτινες τῶν λόγων ἤκουον τοῦ Νέστορος.

Καὶ ἀέκοντος ἐμεῖο

Τῆς μετοχῆς, ἰωνικῶς. λόγοι τοῦ Ἀχιλλέως πρὸς τοὺς ἀμφὶ τὸν Ἀγαμέμνονα, ἐπαπειλοῦντος αὐτῷ, ὡς τῶν ἄλλων (τῶν παρὰ τὴν κούρην Χρυσηΐδα, ἣν ἀέκοντος ἐκείνου, ὁ Ἀγαμέμνων ἀνεῖλεν) ἃ οἱ ἐστι θοῇ παρὰ νηὶ μελαίνῃ, τῶν οὐκ ἄν τι φέροι ἀνελὼν ἀέκοντος ἐκείνου.

Καὶ ταυτοπρωσωπικῶς τε καὶ ἑτεροπροσωπικῶς.

Ταυτοπροσωπικῶς μὲν, εἴτ' οὖν ἀμεταβάτως, ὡς ἐν τῷ,

Ἐκεῖνος τῆς ἀρχῆς λαβόμενος, παρ' οὐδὲν ἦγε τοὺς ἄλλους.

Δημοσθ': κατὰ Ἀδρωτ'. καὶ γὰρ καὶ ἡ ἐκεῖνος καὶ ἡ αὐτὸς, τῶν πρωτοτύπων εἰσὶν, ὡς μηδαμόθεν παρηγμέναι. Ἑτεροπροσωπικῶς δὲ, ὅ ἐστι μεταβατικῶς, ὡς ἐν τῷ,

Ὁ δὲ, μεγίστης περὶ αὐτὸν συνειλεγμένης δυνάμεως, ᾔει ἐπὶ τοὺς πολεμίους. οἷον δὴ καὶ τὸ δημοσθένους. κατασκευάσας γραφὴν οὐκ ἐπ' ἐμὲ, ἀλλ' ἐπὶ τὸν θεῖόν μου.

Ἐχομένως τινὰ τῶν ἀντιγράφων ἀναλαμβάνει τὰ προκατειλεγμένα τῶν ὁμηρικῶν τὰ, καὶ μέν μου βουλέων ξυνίον. οὐκ ἐχρῆν δέ.

Ἡ δὲ παράγωγος ὀνόμασι μόνοις.

Ἀπὸ κοινοῦ τὸ, συντάσσεται. ἐπιθετικῶς

τικῶς δὲ, ὡς εἴρηται, λαμβανομένη, καθ' ὑποκειμένων μόνων τῶν ὀνομάτων λέγεται, καὶ μόνως πανταχοῦ προσωπικῶς. οἷον,

Τίσειαν δαναοὶ ἐμὰ δάκρυα.

Ἰλ. α'. σοῖσι βέλεσι. Σωτὰρ δὲ καὶ ἐν ταῖς Προθέσεσιν ἑκάτερα, ἀλλ' ἡ μὲν πρωτότυπος, ἀσωμάτως· καὶ σὺ. ἡ δὲ παράγωγος, σωματικῶς. καὶ τὰ σὺ· καὶ ταῦθα δέ τινα τῶν ἀντιγραφέων ἐπισωματικά τινα· ἆρα συνταῦθα μὲν, ὃ, συνδὲ τοῖς τὸ δημοσθενικὸν ἀνήκει. Εἰ δ' αὖ καὶ ἑτέρα διαφορὰ τῆς καὶ φωνὴ σωματικῆς πρὸς τὰς παραγώγους; τοιαύτη. πρωτικῶν μὲν σωμάτων ὁμοιοπαθῶν, ὁμοιομερῶν καὶ ὁμοιογενῶν, ἡ ἀρθρικὴ ἀναδέξασθαι σωματικὴν; κτητικὴ ἐστὶ, πρωτότυπος δὲ, ῥήματος ἐπιφερομένου. πρόδηλός τε ἐστὶ καὶ ἐμοὶ, καὶ ἡμῖν τοῖς ἀντωνυμίαν σωματικὴν διαθεῖναι πλήθει σωματικῇ σωματικῇ; εἶτ' οὖν κτητικῇ, καὶ δοτικῇ κτητικῇ σωματικῇ; εἶτ' οὖν πρωτοτύπῳ; καὶ τὸ α', καὶ β'. ἐμοὶ ἡ καὶ τὸ γ'; ἀρθρικῆς διαφορᾶς δεῖται; καθ' ἑαυτὸ ἐστὶ πρόδηλος· ὀρθοτονουμένη δὲ ἡ ἐνικὴ δοτικὴ; περισπᾶται. ἔγε μοὶ κτητικὴ πληθωτικὴ διαθεῖναι ἐξωσται· σαφὲς δ' ὅτι καὶ ἐγκλιθεῖσαι αἱ πρωτότυποι; ἀποβάλλουσι τοῦ πρὸς τὰς κτητικὰς συμπλοκὰς, ὀρθοτονουμένων τῶν κτητικῶν· διὸ κἀκεῖνο τὸ ἀναγνωσθὲν μὴ ἐγκλινόμενον; τοῦ κτητικοῦ ἀντωνυμίαν σημαίνει· οἱ δὲ οἱ ἐβλάφθησαν· ἐγκλιτικῶς γε μοὶ ἀναγνωσθὲν; ὀξυνομένης τῆς δὲ, συλλαβῆς; εἶον; οἱ δέ οἱ, ἔθος πρεπὲς ὁμηρικὸν; τὸ δοτικοῦ ἀντὶ γενικῆς παρειλῆφθαι πρωτοτύπως. Καὶ τὰ ὑποπτικὰ δὲ τῶν ἄρθρων ταῖς κτητικαῖς καὶ τὸ γ', πρόσωπον ὁμοφωνοῦντα; συνεμπίπτει. τὰ γὰρ τοιαῦτα, πτωτικῶν μὲν πάλιν ὁμοιοπαθῶν σωμάτων, κτητικὰ καὶ εἰσιν ἀντωνυμίαι· ὃ γέγονε. ἕνεκ' ἀρ'. ἐχ ᾧ παιδί. ᾧ θυμῷ εἴξασα. ἢ κεφαλῇ φόρτον. ἢ ἐὸν αὐτῷ χρεῖος. ἰῷ δὲ μαντοσύνην· ῥημάτων δ' ἐπιφερομένων; πάλιν καταλλήλως τὰ χήματα γίνεται, ἀρθρικῶν ἀναδεξαμένων σωμάτων· καθ' ὃ; τι δεῖχθη τὰ ὑποπτικὰ τῶν ἄρθρων ἐπὶ ῥῆμα φερόμενα· ἢ μυρί' ἀχαιοῖς ἄλγε' ἔθηκεν· ὅς ποτ' ἐμὶ εἰρόμενος· ὅς εἰρόμεθα νόῳ μὲ· δυσέφικτον ἐστὶ τοῦ ἐν ἅπασι τοῖς τῶν λόγων μέρεσι σωμάτων παραθέσθαι· ἀρκεῖ γὰρ ἐστὶ καὶ ἡ προειλημμένη παράθεσις τοῦ ὑπολοίπου σώματος· Φέρε δὲ εἰς συντέλειαν τὸν λόγον καὶ περὶ τὸ ἡμεδαπὸς καὶ ὑμεδαπὸς λαμβάνωμεν. Ἐπί τινες; παράγωγα ὄντων τῶν χημάτων; σωθέντα ὑπολαμβάνοντες; ἃ δὲ κατ' ὀλίγον συνδοιάζουσιν; ὡς παρὰ τὸ ἡμῶν καὶ τὸ ἐδαφος τὰ τῆς σωθέσεως ἀπεπελέσθη· φησὶ γὰρ καὶ ὁ Εὐσάθειος; ὅτι τὸ ἡμεδαπὸς ἀπὸ τοῦ ἡμῶν καὶ τοῦ ἔδαφος γίνεται· ἐπικύρωσιν δὲ παραγωγὴν ἔχει καὶ τὸ ἡμεδαπὸς καὶ ἀλλοδαπὸς, ὁμοίως καὶ ὁ ποδαπὸς ὀξύνω, ἦγον ποίᾳ ἐδάφει, ἤτοι χώρᾳ ἢ γῆς· εἰ δὲ τῷ ὅπως ἔχει, ἄπορος Καισαρεὺς Θάλλος φησὶν; ἡ ὀξυτόνησις; ὡς καὶ ἐπὶ τοῦ ἀσκληπιός· εἰ γὰρ τὸ ἔδαφος προπαροξύνεται αὐτὸ καθ' αὑτό; ἀποδοσίαν ἔχει πῶς πρὸς ὡς εἴρηται; ἀπ' αὐτοῦ ὀξύνεται; οἷς ἄν τις συνηγορήσοι, μαρτυρόμενος καὶ τὸν ἀπὸ τῆς φωνῆς λόγον καὶ τὸν ἀπὸ τοῦ δηλουμένου· εἰ γε παντὶ συνθέτῳ τὸ τοιοῦτο παρακολουθεῖ; πόθεν ἀπὸ τῆς φωνῆς καὶ τὸ ἀπὸ τοῦ δηλουμένου σωθὲν χῆμα. σὺ γὰρ τῷ μισογύνης; καὶ τὸ μισεῖν ἐγκειται καὶ ἡ γυνή· καὶ τῷ φιλόπονος, τὸ φιλεῖν καὶ ἐπόνος· τὰ γὰρ σὺ μιᾷ λέξει ἁπλῇ πλείονα σημαίνοντα, οὐκ ἔστι σωθέντα. ὡς ἐπὶ τοῦ ὁμωνύμων. καὶ ἐπὶ τοῦ τοξότης. σκυτοδύς; καὶ συνεργείαν σημαίνῃ τοῦ τέμνειν, εἰμὴ καὶ τοῦ φω-

καὶ τὴν φωνὴν προσλάβοι, ὡς ἐν τῷ σκυτοτόμος. ὥσπερ οὐδὲ ἐκ τοῦ ἐναντίου τὰ ἐν συνθέτῳ λέξει ἁπλοῦν, τι σημαίνοντα καὶ ἐν, σύνθετά ἐστιν. ὡς ἔχει τὸ ἀρίσταρχος, καὶ τὰ τούτοις ὅμοια. κύρια γὰρ ὄντα, πρός τινων οὐκ ἀριθμεῖται ἐν τοῖς συνθέτοις, ὅτι οὐκ ἐν συνθέσει καὶ τοῖς δηλουμένοις ἐκέχρητο. ἐφ' ὧν δὴ κυρίων ἡ πρώτη εἴτ' οὖν ἁπλῆ θέσις ἐπικρατεῖ. ὡς ἔχει τὸ βακχυλίδης, καὶ οὐχ ἡ ἐξ ὑστέρου γενομένη συμβολικὴ μετάθεσις. ἐγκειμένων οὖν καὶ τῶν φωνῶν καὶ τῶν σημαινομένων συνθέτων, ἀκόλουθον τὸ φάναι σύνθετα τὰ σχήματα τοῦ ἡμεδαπὸς καὶ ὑμεδαπός. Ἀλλ' ἔδει φησὶν ἡ ἔνστασις, αὐτὰ βαρύνεσθαι, συντιθέμενα. ὡς ἔχει τὸ εὔψυχος, εὔτυχος. Τὸ τοιοῦτο δ' οὐ συνεκτικόν. ἰδοὺ γὰρ καὶ ἐπ' ἄλλων συνθέσεων διάφοροι τόνοι ἐγένοντο. ὀξύνεται γὰρ τὸ ἐντελής, εὐειδής. οὐκ ἔτι δὲ καὶ τὸ εὐμήκης, μεγακήτης. καθ' ὃ τὸ ἤ, ἔχει παρεδρευόμενον, εἴτ' οὖν ληκτικόν. τί οὖν ἐμποδίζει φάναι, ὡς τὰ παρὰ τὸ ἔδαφος συντιθέμενα, ὀξύνεται. καθ' ὃ καὶ τὰ παρὰ τὸ ἔργον, ἐν τῷ ἰσουργὸς, ὑπουργὸς, λειτουργός; Ἀλλὰ κοινά φησιν, αὐτὰ ἔδει εἶναι. Πρὸς ὅ ἐστι πάλιν φάναι, ὡς ἅπαξ εἰ δέδοται ἡ ὀξεῖα τάσις, συνδοθήσεται καὶ ἡ τοῦ γένους παραλλαγή. εἴγε τὰ κοινὰ καὶ ἐν βαρείᾳ ἐστὶ τάσει. κακόπαστος, δύσριγος, κακόβουλος, κακόποθος, καὶ τοιαῦτα μὲν τὰ τῆς κατασκευῆς τοῦ ὅτι σύνθετα τὰ σχήματα τῶν φωνῶν. Εἴη δ' ἂν καὶ τὰ τῆς ἀνασκευῆς ἀκριβέστερα, εἰ τῇ δέτις ἀποφαίνοιτο. ὡς οὐδέποτε ἀντωνυμία πρώτου, ἢ β', προσώπου μετ' ἄλλου μέρους λόγου συντίθεται, οὔτε ἑνικὴ, οὔτε πληθυντική. παράγονται γὰρ μᾶλλον αἱ ἀντωνυμίαι, ἤπερ συντίθεντο μετ' ἄλλου μέρους λόγου. ὡς παρὰ τὸ ἐμοῦ τὸ ἐμός. παρὰ τὸ νωΐν τὸ νωΐτερος. παρὰ τὸ ἡμῶν τὸ ἡμέτερος. εἰ γὰρ δοθείη τὰ τῆς συνθέσεως, ὥστε συγκεῖσθαι δηλ: τὸ ἡμεδαπὸς καὶ τὰ ὅμοια, οὐ συστήσεται οὔτε ἐν ἀντωνυμίαις τὰ τοιαῦτα σχήματα, οὔτε ἐν ὀνόμασιν. εἰ γὰρ ἐν ταῖς συνθέσεσι τὰ τέλη ἐπικρατεῖ, (εἴγε τὸ μισάνος, ὄνομα, κἂν τὸ μισεῖν ῥῆμα ἐνυπάρχῃ. καὶ τὸ εὐσεβῶ, ῥῆμα, κἂν τὸ εὖ ἐπίρρημα ἐγκέηται. ὁμοίως καὶ τὸ χειρογραφῶ, ῥῆμα, κἂν ἡ χεὶρ συνπάρχῃ, καὶ τὰ τοιαῦτα. καὶ ἕνεκα τοῦ τοιούτου πᾶν μέρος λόγου ἐστὶν ἐπινοῆσαι τὸ αὐτὸ καὶ ἁπλοῦν καὶ σύνθετον, λέγω τὸ δυνάμενον συντεθεῖναι, οὐμὴν τὴν πρόθεσιν, καίτοι ἀπειράκις τοῦ μορίου συντιθεμένου. καθ' ὃ ἡ σύνθεσις αὐτῆς ἁπάντοτε ἐν ἀρχῇ ἐστιν. ἡ δ' ἀρχὴ οὐκ ἐπικρατεῖ.) εἰδὴ τοῦτο ἀληθὲς, πῶς ὄνομα τὸ ἡμεδαπός; ᾗ τὸ ἔδαφος ἔγκειται; ἀλλὰ πῶς ὄνομα τὸ ἀντ' ὀνόματος παραλαμβανόμενον; πῶς ὄνομα, ὡρισμένου προσώπου διάκρισιν ποιεῖται; φαμὲν γὰρ ἡμεδαπὸς, καὶ ὑμεδαπὸς, ἑαυτούς τε κατονομάζοντες καὶ πρὸς οὓς ἡ τοῦ λόγου ἀπότασις. εἰδὲ πάλιν ὄνομα κατ' αὐτοὺς, οὐκ ἄρα ἀντωνυμία. Ἀλλὰ φήσει τις πρὸς ταῦτα, καὶ αἱ παραγωγαὶ οὐκ ἐπικρατοῦσιν, ὥσπερ καὶ τὰ σύνθετα. εἴγε παρὰ τὸ ὀψὲ ἐπίρρημα, ὀψινὸς, οὐκ ἐπίρρημα, ὄνομα δὲ. καὶ παρὰ τὸ ποιῶ ῥῆμα, τὸ ποιητὴς ὄνομα. οὕτως, εἰ παράγωγον καὶ τὸ ἡμεδαπὸς, δοθείη ἂν οὐδὲν ἧττον τὸ πᾶν ὄνομα εἶναι, ἐπεὶ οὐ σύνθετον. Πρὸς ὃν φήσομεν, τὸ ὀψινὸς ἀπέστησε τὸ ἐπίρρημα, οὐκ ἄλλως, ὅτι μὴ πτῶσιν καὶ γένος ἐπιδεξάμενον, ἐπιθετικῶς ἐπὶ ὄνομα φερόμενον. καὶ διὰ τοῦτο οὐκ ἔστιν ἐπίρρημα. εἴγε διαφέρει τὸ ὀψὲ ἦλθε τοῦ ὀψινὸς ὁ διονύσιος ἦλθεν. ὁμοίως δὲ καὶ τὸ ὁ ποιητὴς, ἀπήλλακτο μὲν τῶν τοῦ ῥήματος. καθ' ὅ, τι οὐκ ἐν ἀκολουθίᾳ ἐνέργειαν καὶ πάθος ἔχει, οὐ προσώπου διάκρισιν, οὐ χρόνου μεταχηματισμὸν, ἀνεδέ-

ἀνεδέξατο δὲ τὰ τοῦ ὀνόματος. τὸ μέν τοι ἡμεδαπὸς, ἐπεὶ αὐτ' ὀνόματός ἐστιν, ἔτι καὶ τὰ πρόσωπα διακρίνει. τοῦτο δὲ ἀντωνυμίας οὐκ ὀνόματος. δῆλον οὖν ὡς οὐκ ἀπέστη τοῦ ἀντωνυμικοῦ ἰδιώματος. καὶ ἕνεκα τούτου οὐ δὲ τῆς ἀντωνυμικῆς ὀνομασίας συναποστήσεται, ἀλλ' ἔστι καὶ λέγεται παράγωγος μόνον ἀντωνυμία. ᾧ λόγῳ καὶ τὸ ἡμέτερος μένει ἔτι ἀντωνυμία, κἂν ἡ κατὰ τὸ τέλος παραγωγὴ ὀνοματικὴ καθεστήκῃ. καὶ γὰρ καὶ παραχθὲν, ἅπαντα πάλιν οὐχ ἧττον διασῴζει τὰ τῆς ἀντωνυμίας. τοῦ τοιούτου δ' ἀποδειχθέντος καὶ τὰ προειρημένα ἐπὶ τῆς ἀνασκευῆς ὅτι οὐ σύνθετα τὰ σχήματα, συλλήψεται τῷ λόγῳ, οὐ μὴν συνεκτικὰ γενήσεται, καθὼς πρόκειται, ἔτι καὶ τῆς γραφῆς ὁμολογούσης τὸ μὴ ἔχειν τὸ ἔδαφος. οὐ γὰρ ἡμεδαφὸς λέγεται. μάλιστα δέ τινες παρὰ τὸ δάπεδον τὸ τοιοῦτο παράγουσιν, ἀλλ' ὡς ἔοικεν ἐκ τῆς ὁμοιότητος ἡ τινῶν περὶ τούτου ψευδὴς ἀνεφάνη δόξα, νομίσασα κατὰ τροπὴν τοῦ φ, εἰς π, συντεθεῖσθαι. ψευδὴς οὖν ἡ ὑπόληψις ἐγένετο, ἐκ τοῦ τὴν παραγωγὴν ὁμοίαν καθίστασθαι τῇ τοῦ ἔδαφος φωνῇ. καθ' ὅ, τι καὶ ἄλλαι πλεῖσταί εἰσι δόξαι, τῆς ἀληθείας μὴ εὐστοχοῦσαι. εἴ γε τὸ χαλκήρης, οὐκ ἔχει τὸ ἀρηρέναι, ὥς τισιν ἔδοξεν. ὅμοιον δέ ἐστι τῷ φανίας, καὶ ἀρχίας, καὶ γοργίας, τοῖς παραγώγοις δηλ. καὶ οὐ συνθέτοις. οὔτε μὴν τὸ τηρεῖν ἔγκειται ἐν τῷ μελιτήριον, ἀγγεῖον μελιτοδοχεῖον, ἀπὸ γενικῆς δὲ τῆς μέλιτος παρῆκται, καὶ τῆς χαλκοῦ. ὡς καὶ παρὰ τὸ δείματος τὸ δειματηρός. παρὰ τὸ καμάτου τὸ καματηρός. ὀλίσθου ὀλισθηρός. ἔστιν εἰς τὸ τοιοῦτο πάμπολλα παραθέσθαι. ὃν τρόπον καὶ ἄλλαι παραγωγαὶ, λέξεως ἄλλης σημαινόμενον ἀποτελοῦσιν, εἰς ἣν καὶ μεταλαμβάνονται. κρονίδης γὰρ ὁ κρόνου υἱὸς, εἰς ὃν καὶ μεταλαμβάνεται ἐν τῇ ἐξηγήσει. φαμὲν γὰρ, κρονίδης ὁ ζεὺς. καὶ πηλείδης ὁ ἀχιλλεύς. καὶ γοργότερος ὁ μᾶλλόν τινος γοργός. καὶ ἐν ἐπιρρήμασιν, οἴκοθι, ἀντὶ τοῦ ἐν οἴκῳ. ἀθήναζε καὶ ἀθήνηθεν, τὸ μὲν, εἰς ἀθήνας. τὸ δὲ, ἐξ ἀθηνῶν. οὐνόθεν, ἐξ οὐνοῦ. τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ ἡμεδαπὸς ἔσχε συντρέχουσαν τῇ μεταλήψει τοῦ ὀνόματος τὴν παραγωγήν. ἀνθ' οὗ γὰρ μετείληπται, πάλιν εἰς ἐκεῖνο μεταλαμβάνεται ἐν τῇ ἐξηγήσει. ἡμεδαπὸς γὰρ λέγοντες οὗτός ἐστιν ὁ ἀνὸς, ταὐτόν φαμεν ὡς ἐκ τῆς ἡμετέρας πρίδος, εἴτ' οὖν δαπέδου, εἰς ὃ καὶ μεταλαμβάνεται. Χρὴ δὲ κἀκεῖνο ἐπιστῆσαι, δι' ἣν αἰτίαν ἀπὸ μόνων πληθυντικῶν ἡ τούτου παραγωγὴ ἐγένετο, τῶν κτητικῶν ἀντωνυμιῶν καθ' ἕκαστον ἀριθμὸν παρηγμένων; καὶ διὰ τί μέχρι γ', ἡ παραγωγὴ οὐκ ἐνέτεινεν; ἀντὶ γὰρ τῆς σφεδαπὸς τὸ ἀλλοδαπὸς παρήχθη. καὶ οὐ τολμῶ τοῦτο φάναι, ὅτι ὥσπερ τὸ ἡμεδαπὸς, οὕτω καὶ τὸ ἄλλος ἐστὶν ἀντωνυμία, ἀφ' οὗ τὸ ἀλλοδαπός. ἐπεὶ καὶ μάχεται τῇ ἐννοίᾳ τῶν ἀντωνυμιῶν. ἃ γὰρ ὁρίζει ἡ ἀντωνυμία, ταῦτα ὑπὸ τοῦ ἄλλος ἀοριστούμενα, ἀναιρεῖται. ἄλλος, οὐκ ἐγώ. ἄλλος, οὐ σύ. Καὶ πρὸς μὲν τὸ πρότερόν ἐστι φάναι, ὡς ἀνέφικτον ἦν ἐξ ἑνικῶν, ἢ δυϊκῶν ἐθνικὴν παραγωγὴν γενέσθαι. οὐ γὰρ δή τις ἐπινοήσειεν ἔθνος ἐπὶ ἑνὶ ἀνθρώπῳ, ἢ δυοῖν, ἐν μέν τοι ἀπείροις. οἷον, ὁ φάμενος, οὗτος ἡμεδαπός ἐστι, συλλαμβάνει ἑαυτόν τε καὶ τοὺς σὺν αὐτῷ πολίτας. τῶν γε μὴν κτητικῶν τὸ ἐμὸς, ἢ ἡμέτερος, οἷα δὴ φερόμενα ἐπὶ πάντα τὰ δυνάμενα ὑπὸ κτῆσιν πίπτειν, ἀδιάφορον ἔσχε τὸ ἀπὸ παντὸς ἀριθμοῦ τὴν παραγωγὴν ἀνεδέξασθαι. δι' ὃ τὸ πολίτης ἐν μὲν τῷ ἡμέτερος, ὑπακούεται, ὡς ἐπὶ πάντα φερομένῳ τὰ κτήματα, ἐν δὲ τῷ ἡμεδαπὸς, οὐκ ἔτι. τὸ μὲν γὰρ ἡμέτερος ἀναλυόμενον εἰς τὸ ἡμῶν, οἷα δὴ

κτητικὸν

κτητικὸν, ἔχει προσυπακουόμενόν τι κτῆμα, τὸ πολίτης τυχόν. τὸ δὲ ἡμεδαπὸς, εἰς τὸ ἡμῶν πολίτης μεταλαμβανόμενον, οὐκ ἔτι πάλιν ἔχει προσυπακουόμενον τὸ πολίτης. ὅθεν εἰς τὸ τοιοῦτον ἐμόνασεν ἡ ἀντωνυμικὴ παραγωγὴ, ἄνευ δηλονότι κτητικῆς ἐννοίας. Τοῦ δὲ τὴν ἐν γ', προσώπῳ παραγωγὴν μὴ παραδεχθῆναι, οἰήσεταί τις αἴτιον τὸ ἀσύνηθες τῆς ἀντωνυμίας. ὅπερ οὐ πιθανόν. ἔστι γὰρ ἄττα, ἐξ ἀσυνήθων παραγόμενα, ὡς καὶ τὸ σφετερίζεσθαι παρηγμένον ἀπὸ ἀσυνήθους τῆς σφε ἐγκλιτικῆς. ἀπὸ γὰρ ὀρθοτονουμένων καὶ προτακτικῶν αἱ παραγωγαί. καὶ ἔτι τὸ μὲν μῆλον ἀσύνηθες πρὸς τὴν τοῦ προβάτου ὀνομασίαν, διὰ τὸ τοῦ φυτοῦ οἶμαι μῆλον, οὐ μὴν τὸ ἀπ' αὐτοῦ παράγωγον, λέγω τὸ μηλωτή. καὶ ἔτι τὸ δέρκεσθαι ἀσύνηθες, οὐ μὴν τὸ ἐξ αὐτοῦ παράγωγον δορκὰς, ἢ τὸ ὀξυδερκεῖν σύνθετον. φαίνεται δ' ὅτι φυσικώτερόν πως τὰ τῆς ἐλλείψεως τοῦ γ', ἐγένετο. ὃν γὰρ τρόπον, ἐγγινομένης οὐκ ἀπιθάνως συνθέσεως ταῖς κατὰ τὸ γ', πληθυντικαῖς, οὐκ ἐξηκολούθει καὶ τὰς ἐπὶ πρώτου καὶ β', συντίθεσθαι, δι' ἃς ἐροῦμεν αἰτίας, οὕτως, ἐγγινομένης ἐθνικῆς παραγωγῆς ταῖς κατὰ τὸ πρῶτον καὶ β', οὐ πάντως ἐξακολουθήσει τὸ τὴν παραγωγὴν γενέσθαι καὶ κατὰ τὸ γ', διὰ τὴν ὑποῦσαν αἰτίαν. Ὁμόλογόν ἐστιν ὡς τὰ α', καὶ β', πληθυντικὰ, ἐνικὴν σύλληψιν ἑκάτερον εἰς ἑαυτὸ ποιεῖται τῶν κατὰ τὸ γ', διαφόρων προσώπων. ὁ γὰρ λέγων, ἡμᾶς, ἑαυτόν τε λέγει, καὶ τὰ συνόντα ἔξωθεν αὐτοῦ πρόσωπα. οἷον, σὲ, τοῦτον, κἀκεῖνον. καὶ ἀποτεινόμενός τις, ἐρεῖ, πρὸς ὑμᾶς, συλλαμβάνων πάλιν καὶ τὸ παρὸν πρόσωπον, τὸ σὲ, καὶ τὰ ἀπόντα, τὰ τοῦτον κἀκεῖνον. ἀπὸ δὴ τούτων ἐθνικὴ παραγωγὴ γιγνομένη, τῇ ἐπικρατείᾳ τῶν ἐγκειμένων ἐνικῶν κατὰ τὸ α', καὶ τὸ β', ἐν καὶ τὸ αὐτὸ ἔθνος παραστήσει. τό γε μὴν γ', φημὶ δὴ τὸ κατὰ τὸ γ', πληθυντικὸν, οὐκ ἐξ ἑνὸς, ἐκ δὲ πλειόνων τριῶν νοούμενον, οὐ ποιήσεται ἐθνικὴν παραγωγήν. δηλώσει γὰρ οὐχ ἓν ἔθνος, πάντα δὲ τὰ ἐμπεριλαμβάνεσθαι δυνάμενα κατὰ τὸ γ', πληθυντικὰ, μᾶλλον δὲ ἑνικά. οὐ γὰρ, ὡς ἔφημεν, ἐξ ἑνικῆς ἐπικρατείας γ', ἐστὶν, ἵν' οὕτω καὶ ἐθνικὴ παραγωγὴ μία νοηθῇ, ὡς ἐπὶ τοῦ ἡμεδαπός. οἷόν τι λέγω, ἐπὶ τοῦ γ', τῶν πληθυντικῶν οὐδὲν τῶν ἑνικῶν ἐπικρατέστερόν ἐστι τῶν λοιπῶν ὁμοειδῶν, ὥσπερ ἐπὶ τοῦ α', τῶν πληθυντικῶν ἐπικρατεῖ τὸ α', τῶν ἑνικῶν, κἀπὶ τοῦ β', τὸ β', πάντα γάρ εἰσι τρίτου. ὥστε μὴ ὑπότου ἐπικρατούμενα, ἴδιον ἕκαστον συνίστησιν ἔθνος, πρὸς ἑαυτὸ τὴν ἐθνικὴν παραγωγὴν ἐπιστώμενον. καὶ οὕτω τοσαῦτα δηλώσει τὰ ἔθνη, ὅσα καὶ τρίτα συλλαμβάνει πρόσωπα. ἄλλως τε ἐγχωροῦν τὰ ἐθνικὰ ὀνόματα κατὰ τὸ γ', παραλαμβάνεσθαι, δι' αὐτῶν τὰ τοῦ ἐπιμερισμοῦ τῶν ἐθνικῶν γίνεται, ἀναπληρουμένης τῆς χρείας τῶν κατὰ τὸ γ', ἐθνικῶν δι' ὀνόματος, ὅτε φαμὲν, περγαμηνὸς, αἰδεσηνὸς, ἀλεξανδρεύς. ὅπερ οὐκ ἐγχωρεῖ ἐπὶ τῆς παραγωγῆς τῶν κατὰ τὸ α', καὶ β', λέγω τὰ ὀνόματα παραλαμβάνεσθαι, τρίτου καθεστῶτα. καὶ δῆλον ἐντεῦθεν. εἰ γάρ τις ὢν ἀθηναῖος, ἀφορῶν εἰς ἀθηναῖον, εἴποι, ὅδε ἀθηναίων πολίτης ἐστὶν, ἑαυτὸν ἀποστήσει τοῦ ἔθνους. καθ' ὃ οὐ συνείληπται τοῖς ἀθηναίοις, κατὰ τὸ τρίτον εἰλημμένοις τῷ λόγῳ τῶν ὀνομάτων, αὐτὸς κατὰ τὸ α', ὤν. τὰ γὰρ πρῶτα οὐ συλλαμβάνεται τοῖς τρίτοις, τοὐναντίον δέ. συλλαμβανόμενος δὲ τοῖς ἀθηναίοις, ἐν α', γενήσεται προσώπῳ. ὃ παραλαμβανόμενον, ὄνομα μὲν οὐδύναται εἶναι. καθ' ὅ, τι τὰ ὀνόματα τρίτου εἰσὶν ἅπαντα. ἀντωνυμία δὲ καὶ σαφὲς ὅτι ἀντονομάσει ἑαυτόν. κἀπεὶ τὸ α', ἐπικρατεῖ τῶν διαφόρων προσώπων, οὐκ

ἄλλοτε

ἄλλο τι ἐπιγενήσεται, ἢ τὸ ἡμεδαπός. ὅπερ τὴν ἀνάλυσιν ἕξει εἰς τὸ ἡμῶν πολίτης. καθ' ὅ, τι καὶ τὸ κρονίδης εἰς τὸ τοῦ κρόνου υἱός. καὶ τὰ τούτοις ὅμοια. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ β'. καθ' ὅ, τι καὶ αὐτὸ ἐπικρατεῖ τοῦ γ'. εἰ γάρ τις κἀπὶ τούτου συνδεσμολεγόμενός τινι ἀθηναίῳ, εἴποι πρὸς σὲ ἀθηναῖον ὄντα, οὗτος ἀθηναίων πολίτης, εὔδηλον ὅτι ἀπέστησέ σε τοῦ τῶν ἀθηναίων ἔθνους, ὡς μὴ συμπαραληφθέντα τοῖς ἀθηναίοις. συλλαμβανόμενος δὲ, ἐν β', γενήσῃ προσώπῳ ἀντονομαζόμενος. οἷον, ὅδε ὑμεδαπός ἐστιν. Ἐπὶ δὲ τοῦ γ', γινωσκόμενα μὲν τὰ ἔθνη, παραληφθήσεται αὐτοῖς τοῖς ὀνόμασιν, ὡς εἴρηται. ἀγνοούμενα δὲ, τοτηνικαῦτα παραγωγὴν ἀναδέξεται ἐξ ὀνόματος τοῦ ἀναιροῦντος τὰς θέσεις τῶν ὀνομάτων, λέγω τοῦ ἄλλος. οἷον, ἀλλοδαπὸς. ἀποφατικὸν γάρ ἐστι τῶν προσώπων. καὶ ἴσον ἐστὶ λέγειν, ἀλλοδαπὸς, τῷ οὐχ ἡμεδαπὸς, οὐχ ὑμεδαπὸς, οὐκ ἀθηναίων ἐστὶ πολίτης. κατ' οὐδένα ἄρα λόγον τὸ ἀλλοδαπὸς συζυγοῖ τῶν ἀντωνυμιῶν τῷ τε ἡμεδαπὸς καὶ ὑμεδαπὸς, κατὰ δὲ ἀναίρεσιν τῶν προειρημένων ἐθνῶν. ὁ γὰρ λέγων ἀλλοδαπὸς, ἀνεῖλε καὶ τὸ περγαμηνὸς, καὶ τὸ ἀθηναῖος, καὶ τὰ λοιπά.

Αὐτοπάθεια.

Ἐπ' αὐτοπαθείας γε μὴν οὔτ' οὖν πρωτοτύπῳ, ὅταν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ, οὔτ' αὖ παραγώγῳ χρώμεθα, ἀλλὰ ταῖς συνθέτοις. ἑαυτοῖς βοηθοῦμεν. καὶ, ὅρα σαυτόν.

Αὐτοπάθεια μέν ἐστιν, ἐνέργεια τοῦ εἰς ἑαυτὸ ἐνεργοῦντος, ἑτεροπάθεια δὲ, τοῦ εἰς ἕτερον. ἐπὶ μὲν οὖν ἑτεροπαθείας, ταῖς ἁπλαῖς. ἐπὶ δὲ αὐτοπαθείας, μόναις ταῖς συνθέτοις χρώμεθα, ὡς δι' αὐτῶν τῆς αὐτοπαθείας ἐνδεικνυμένης. οἷον, ἐγὼ μὲν, ἐμαυτῷ βοηθῶ. σὺ δὲ, σαυτὸν ἀδικεῖς. κἀκεῖνος, ἑαυτὸν ὠφελεῖ. Παρασημειοῦνται δέ τινες χρήσεις τινῶν, ἐπὶ μὲν αὐτοπαθείας ἁπλαῖς, ἐπὶ δὲ ἑτεροπαθείας συνθέτοις κεχρημένων. ἥγε μὴν γραμματικὴ θεωρία καὶ μέθοδος οὐκ ἐκ τῶν τοιούτων, ἐκ δὲ τῶν ὡς ἐπὶ τὸ πολὺ λεγομένων, καὶ τῇ τοῦ λόγου μάλιστα δυνάμει συγκροτουμένων. τῆς γὰρ ἐνεργείας ἐν μὲν αὐτοπαθείᾳ, τῇ πρὸς τὸν ἐνεργοῦντα ἀνακλάσει ἐξ ἁπλῆς εἰς διπλῆν συντιθεμένης, κατὰ τῶν ἡλιακῶν ἀκτίνων τὰς κατὰ κάθετον προσβαλλούσας ἐν ἐπιπέδῳ, ἢ μᾶλλον κατὰ τὴν τῆς γραμμῆς κυκλικὴν περιαγωγὴν, ἐν δὲ ἑτεροπαθείᾳ, ἁπλῆς συντηρουμένης, πρόδηλον ὡς οὐ κατὰ γραμματικόν ἐστι λόγον ἢ ἁπλαῖς ἐν τῇ τῆς ἐνεργείας συνθέσει χρῆσθαι, ἢ συνθέτοις ἐν τῇ τῆς ἐνεργείας ἁπλότητι. ἡ δὲ οἷ, πρωτότυπος, καθ' ἑκατέρας τὰς ἐνεργείας λαμβανομένη, ἐπὶ μὲν αὐτοπαθείας ἐγκλίνεται κατὰ Ἀπολλ. ναζιανζ. Γρηγόρ: τοιαῦτα γὰρ οἱ συνεγνωκέναι κακά. ἐπὶ δὲ ἑτεροπαθείας ὀρθοτονεῖται παρὰ τῷ αὐτῷ. ἐπειδὴ οἷ φανῆναι πλῆθος πολύ. τὸ δὲ ταῖς συνθέτοις τὰς πρωτοτύπους ἐπισυνάπτειν, ἡμᾶς ἑαυτοὺς, καὶ ὑμᾶς ἑαυτοὺς, λέγοντα, λῆρός ἐστι πλατὺς, τὴν ἐκ τῶν ἁπλῶν δεῖξιν οὐχ ἥκιστα τῶν συνθέτων αὐτόθεν ἐνδεικνυμένων. φασὶ δὲ τὴν ἑαυτοὺς τρίτου οὖσαν, ἐπὶ μὲν τρίτου, καθ' ἑαυτὴν λαμβάνεσθαι, ἐπὶ δὲ πρώτου, καὶ β', προσλαμβάνειν ἔσθ' ὅτε καὶ τὴν σύζυγον ἁπλῆν εἰς διαστολὴν τῶν τρίτων. οἷον, ἡμᾶς ἑαυτοὺς ὠφελοῦμεν. καὶ, ὑμῖν ἑαυτοῖς βοηθεῖτε. φροῦδος δ' ὁ λόγος οὗτος. τῆς γὰρ κατὰ τὸ α', καὶ β', πληθυντικῆς συνθέσεως τέλεον ἐκλιπούσης, οὐδὲ τὸ ἑαυτοὺς τρίτου ἂν εἴη καθ' αὑτό. ὅθεν μεταλαμβανόμενον ἐπὶ πρώτου τε καὶ β', ἀνεξελέγ-

ἀνεξελέγκτως ὡς εἴρηται, οὐ χρῄζει διαστολῆς, ὑπὸ τοῦ συνόντος ῥήματος διαστελλόμενον. Κἀπὶ αὐτοπαθοῦς δὲ κτήσεως, ὡς εἰρήσεται, ταῖς συνθέτοις οὐ ταῖς παραγώγοις χρηστέον. ὅθεν σημειῷδες Ἀριστάλους ἐν τῷ περὶ κόσμου τὸ, τὸ δὲ χερσαῖον εἰς τὰ σφέτερα ἤθη καὶ νομοὺς διεξερπύσει. ὅπερ οὐ μόνον κατὰ σχῆμα, ἀλλὰ καὶ κατὰ ἀριθμὸν ἐνήλλακται. τὸ δὲ οὔτου, ἀνθ' ἑνὸς ἀναγνωστέον, ταὐτὸν ὂν τῷ οὔτε δή.

Ἐπαναφορά

Συμβαίνει δὲ τῇ ἀντωνυμίᾳ καὶ ἐπαναφορὰ.

Ὁ δ' Ἀπολλώνιος παρέπεταί φησι, καὶ ἀναφορὰ κατὰ τὸ γ', πρόσωπον. δι' ἧς τὰ προκατειλεγμένα ὀνόματα ἀναπολούμενα ἀντονομάζεται.

Ἐν τρίτῳ προσώπῳ.

Καθ' ὅ, τι τῶν ἐν α', καὶ β', οὐθὲν ἀναπολεῖται, ὡς παρὸν καὶ δεικνυόμενον.

Δι' ἧς προκατειλεγμένα ἄττα

Ἀντὶ τοῦ προληφθέντα προλεχθέντα ὀνόματα, εἴτ' οὖν ὑποκείμενα.

Σὺν ἀναμνήσει ἀντονομάζοιτ' ἀν,

Τὰ γὰρ ὑποκείμενα πρόσωπα, ἢ πράγματα ἀντὶ τοῦ ἰδίου ὀνόματος διὰ τῆς ἀντωνυμίας δηλούμενα, ἀντονομάζεσθαι δι' αὐτῆς λέγεται, σὺν ἀναμνήσει μὲν εἴτ' οὖν ἀναπολήσει, τῆς ἀναφορικῆς, σὺν δείξει δὲ, τῆς δεικτικῆς.

Ληφθῆναί γε

Ἀντὶ τοῦ ἐπαναληφθῆναι, πάλιν ῥηθῆναι.

Με.

Μὴ δυνάμενα ἔτι.

Διὰ τί; κατωτέρῳ δηλοῦται. ὡς εἴ γε πάλιν ῥηθείη τὸ αὐτὸ ὄνομα, οὐ συνάγονται αἱ δύω ἔννοιαι κατὰ τοῦ αὐτοῦ ὑποκειμένου.

Ζεὺς δ' ἐπείων Τρῷάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσεν, τοὺς μὲν, ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν, καὶ ὀϊζὺν νωλεμέως, αὐτὸς δὲ, πάλιν τρέπεν ὄσσε φαεινώ.

Κατ' ἀρχὴν τοῦ ν, τῆς ἰλ. ἐν ᾧ ὁ ποιητὴς δύω ἐννοίας τοῦ Διὸς κατηγορῶν διὰ τῆς ἀναφορικῆς ἀντωνυμίας, τὴν μὲν, εἰς ἔριν ὑποκινήσαντος τοὺς περὶ τὸν Ἕκτορα πρὸς τοὺς ἕλληνας, τὴν δὲ, μὴ ἐπιστρεφομένου αὐτῶν. φησὶν, ὡς ὁ Ζεὺς, ἐπεὶ τοὺς περὶ τὸν Ἕκτορα ταῖς τῶν ἑλλήνων νηυσὶ προσεπέλασε, τούτους μὲν ἐκεῖσε καταπονεῖσθαι εἴασεν, αὐτὸς δ' ἀλλαχόσε τοὺς λαμπροὺς ἔστρεψεν ὀφθαλμοὺς, μηδένα λόγον αὐτῶν ποιούμενος.

Εἰ γάρ τις, Ζεὺς πάλιν λέγοι καὶ οὐκ, αὐτὸς, οὐ συνάξει ἀμφότερα πρὸς τὸν Δία, ἀλλ' ἀρχὴν ὥσπερ λόγου ἑτέρου ποιήσεται.

Εἰ γοῦν τις, φησὶν Ἀπολλ': μετὰ τοῦ Θεοδώρου ἐπὶ τῆς β', ἐννοίας μὴ τὴν αὐτὸς ἀναφορικὴν ἀντωνυμίαν, τὸ δὲ προληφθὲν τοῦ διὸς ὄνομα ἐπαναλαβὼν, εἴποι, Ζεὺς δὲ πάλιν τρέπεν ὄσσε φαεινώ, ἀντὶ τοῦ εἰπεῖν αὐτὸς δὲ, κτ'. οὐ συνάξει τοῦτ' ἔστιν οὐ συνάψει ἀμφοτέρους τοὺς λόγους κατὰ τοῦ αὐτοῦ διὸς, ἀλλ' οἷον ἀποπεράνας τὸν φθάσαντα λόγον, τῇ τοῦ ὀνόματος ἐπαναλήψει ἀρχὴν ὥσπερ ἑτέρου λόγου ποιήσεται, τὸν μὲν, τοῦ α', τὸν δὲ, ἑτέρου παρ' αὐτὸν διὸς κατηγορῶν. ὡς ἐν τοῖς ὀρφικοῖς ἐκείνοις.

Ζεὺς

Ζεὺς πρῶτος γένετο. Ζεὺς ὕστατος ἀρχικέραυνος. Ζεὺς κεφαλή. Ζεὺς μέσα Διὸς δ' ἐκ πάντα τέτυκται. Ζεὺς ἄρσην γένετο. Ζεὺς ἄφθιτος ἔπλετο νύμφα. Ζεὺς πυθμὴν γέης τε καὶ οὐνοῦ ἀστερόεντος. Ζεὺς βασιλεύς. Ζεὺς αὐτὸς ὁ πάντων ἀρχιγένεθλος. Ζεὺς γὰρ οὐ μόνος ὁ τῆς λητοῦς, οὐδὲ κύριόν ἐστι τοὔνομα, ὥς τισιν ἔδοξεν εἰποῦσι τὰ κύρια τῶν ὀνομάτων ἐπαναλαμβανόμενα πολλάκις, καὶ δύω καὶ πολλὰς ἐννοίας συνάγειν κατὰ τοῦ αὐτοῦ ὑποκειμένου, ὡς ἔχει φασὶ καὶ τὸ ὀρφικόν. προείρηται γὰρ χαλεπὸν εὑρεῖν κύριον ὄνομα διὰ τὴν ὁμωνυμίαν. καὶ γὰρ καὶ αὐτὸ τὸ Ζεὺς, τῶν ὁμωνύμων ἐστὶν, ὡς ἔστιν ἰδεῖν ἐν τοῖς τοῦ Θεοφίλου πρὸς Αὐτόλυκον λέγοντος, πεύσομαι δέ σου κἀγὼ, ὦ ἄνε, πόσοι Ζῆνες εὑρίσκονται; Ζεὺς μὲν γὰρ ἐν πρώτοις προσαγορεύεται ὀλύμπιος. καὶ Ζεὺς λατεάριος. καὶ Ζεὺς κάσσιος. καὶ Ζεὺς κεραύνιος, καὶ Ζεὺς προπάτωρ. καὶ Ζεὺς παννύχιος. καὶ Ζεὺς πολιοῦχος. καὶ Ζεὺς καπετώλιος. καὶ ὁ μὲν Ζεὺς παῖς κρόνου, βασιλεὺς κρητῶν γενόμενος, ἔχει τάφον ἐν κρήτῃ, οἱ δὲ λοιποὶ ἴσως οὐ δὲ ταφῆς κατηξιώθησαν. οὐ μὴν ἀλλὰ καὶ Ἐπιφάνειος ἐν τῷ ἀγκυρ, Ζῆνές φησιν. οὐχ εἷς, ἢ δύω, ἀλλὰ καὶ τρεῖς καὶ τέσσαρες γεγόνασι τὸν ἀριθμόν. ὁ μὲν γὰρ εἷς αὐτῶν κρονίδης, ὁ ταρταρώσας τὸν ἴδιον αὐτοῦ πρὰ ἐν τῷ καυκασίῳ ὄρει, ὁ δ' ἄλλος πατριάριος γενόμενος, ἐξ οὗπερ οἱ μονομάχοι γεγόνασιν. ἄλλος δὲ ὁ τραγῳδὸς, ὁ καὶ τὴν χεῖρα αὐτοῦ καύσας. ὥστε καὶ ὁ Ὀρφεὺς, Ζεὺς πάλιν καὶ πολλάκις εἰπὼν, οὐδ' αὐτὸς συνάζειν τὰ πάντα πρὸς τὸν αὐτὸν Δία δοκεῖ. κἀντεῦθεν δῆλον ὡς ἡ ἀναφορικὴ ἀντωνυμία τοῖς ἀθροιστικοῖς τῶν συνδέσμων ἰσοδυναμοῦσα φαίνεται, δύω ἐννοίας κατὰ τοῦ αὐτοῦ ὑποκειμένου συνάπτουσα, δι' αὐτῆς καὶ γὰρ ἡ ἀναφορὰ τοῦ προηγουμένου προσώπου ἢ πράγματος γίγνεται, ὅταν τὸ αὐτὸ καὶ οὐχ ἕτερον ἐννοεῖν βουλώμεθα. εἰ φαίη τις, φέρε, ὠνησάμην οἶκον, καὶ οἶκον δίδωμί σοι, ἄδηλον, εἰ περὶ τοῦ αὐτοῦ οἴκου ὁ λόγος. εἰ δὲ, καὶ αὐτὸν δίδωμίσοι, δῆλον ὅτι περὶ τοῦ αὐτοῦ.

Ἐγγὺς δέ τι τούτου καὶ τὸ, ὑπῆρχε τῷ Κύρῳ, αὐτὸν μᾶλλον φιλοῦσα.

Ἀντὶ τοῦ οὐ πάνυ τοι τῷ προληφθέντι ὁμηρικῷ παραδείγματι ἀνόμοιον καὶ τὸ παρὰ Ξενοφῶντι κατ' ἀρχὰς τοῦ περὶ ἀναβάσ: ὑπῆρχε τῷ Κύρῳ, αὐτὸν μᾶλλον φιλοῦσα, ἢ τὸν ἀδελφὸν αὐτοῦ βασιλέα ἀρταξέρξην. ἐν ᾧ διὰ τῆς αὐτὸς ἀντωνυμίας συνάγεται κατὰ τοῦ αὐτοῦ Κύρου ἡ τῆς μρὸς αὐτοῦ Παρυσάτιδος πρὸς αὐτὸν φιλοστοργία. ὥστε εἴ τις κἀνταῦθα Κύρον πάλιν εἴποι, καὶ οὐκ αὐτὸν, οὐ τὸν αὐτὸν ὄντα δηλώσει τὸν φιλούμενον, ἀλλ' ἄλλον μὲν, τὸν συνόντα, ἕτερον δὲ, τὸν φιλούμενον. τὸ δ' ἐπειοῦν, ταὐτόν ἐστι τῷ ἐπειδὴ, ἀργοῦντος τοῦ οὖν. τὸ δὲ τοὺς μὲν, ἔα παρὰ τῇσι, ὅ ἐστι ταῖς νηυσί, πόνον τ' ἐχέμεν καὶ οἴζυν νωλεμέως, οὐ πρόσκειται παρ' ἐνίοις τῶν ἀντιγράφων τοῦ Θεοδώρου. καὶ δέον μὲν ἐνεῖναι διὰ τὴν ἐπιφορὰν τοῦ μεταβατικοῦ δὲ, συνδέσμου ἐν τῷ, αὐτὸς δὲ πάλιν, ἐπακολουθοῦντος τῷ μὲν, μὴ συντελοῦν δ' ἐπὶ τοῦ προκειμένου παρῄτηται.

Οὐ μόνον δὴ ἀντωνόμασται, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων ἀντωνυμιῶν ἐπινοῆσαί ἐστιν, ἀλλὰ καὶ ἀναφέρεταί γε. ὅπερ οὐκ ὀνομάτων ἂν εἴη, ἀλλ' ἢ προσλαβόντων τὰ ἄρθρα.

Ἐπεὶ ἡ αὐτὸς οὐκ ἀντὶ τῶν τυχόντων ἁπλῶς, ἀλλ' ἀντὶ τῶν συνάρθρων ὀνομάτων ἐστὶ πα-

ἐστὶ παρειλημμένη, ἀλλ' ἔστω καὶ τὰ πρόσωπα ἃ μόνον ἀντωνυμάζεται δι' αὐτῆς, καθάπερ καὶ ἐπὶ τῆς δεικτικῆς ἐστιν ἐπινοῆσαι τὸ αὐτό; (καὶ γὰρ ἑκατέρων τὰς διαφορὰς σώζεται, τὸ ἀντονομάζεσθαι δι' αὐτῆς τὰ πρόσωπα) ἀλλὰ καὶ ἀναφέρῃ, ὅπερ ἴδιον ὀνόματων ἐστίν. ἃ γὰρ δή γε τὰ ὀνόματα ἐξ ἑαυτῆς ἀναφορὰν παρίστησιν, εἰ μὴ προσλάβοι τις ἄρθρον. ἔξαίρετος ἡ ἀναφορά· ἰδίωμα δὲ ἀναφορᾶς προκατειλεγμένης προσώπου δευτέρα γνῶσις. ὧν ἐπαγγέλλεται ἡ αὐτὸς αὐτωνυμία. ὥστε ἴσον εἶναι τὸ αὐτὸς ἀνέγνω, τῷ σὺ φῦφων ἀνέγνω. τὸ δέ, ὅπερ ἐκ ὀνομάτων αὖ εἴη, κτ· πῶς ἐκλιπτέον; ὅπερ, ὅ ἐστι τὸ ἀναφέρειν, ἐκ ὀνομάτων αὖ εἴη ἀλλων, ἢ τῆς προσλαβόντων τὰ ἄρθρα· ὁ δὲ ἄλλα, σύνδεσμος ἐναντία, ὡς καὶ ἀλλὰ χὴ μὴν σεσημείωται, ἀντὶ ὀνόματος κεῖται, ἐπιφερομένης τῆς ἡ. δῆλον γὰρ ὡς ἀντὶ σωτῆρων ὀνομάτων παραλαμβανομένη ἡ ἀναφορικὴ, τῆς ἀρθρικῆς σωτάξεως ἐστιν ἀπαράδεκτος, ὅτι μὴ καὶ δευτέραν ἀναφορὰν, ὡς εἴρηται. Ἡ δ' αὐτὸς ἀναφέρει ἐ πάντοτε τὸ σωματικώτερον, ἀλλὰ ποτὲ μὲν τὸ σῶμα μόνον δακτυλοδεικτεῖσθαι δυναμένου, ποτὲ δὲ, μόνην τὴν ψυχήν· εἰ γὰρ, τινὸς σωτῆρος νεκρῶν ἐρωτήσαντος, τίς ἂν εἴη ἐξ αὐτῶν πάτροκλος; ὑποδείξας τις δακτύλῳ τὸν κείμενον, ἐρεῖ ὅτι αὐτός ἐστι· πάντως τὸ αὐτὸς ἐπὶ νεκρὸς σώματος ἀφώρισε εἴρηκε· καὶ ἄπαξ μὲν τὸ αὐτὸς, ἐπὶ σώματος κεῖται· δακτυλοδεικτεῖσθαι δυναμένου· ὅτε μέντοι ἐπὶ μόνης κεῖται ψυχῆς; τότε κατ' ἐξοχὴν τινὰ κεῖται τὸ αὐτὸς, ὡς τῆς ψυχῆς κυρίως αὐτὸς τυγχάνουσα, ἣ ἐστιν ἀνάδοσις, δι' ἧς τὸ εἶναι τῷ σώματι· καὶ Χρυσίππου ἐν τῇ β', πρὸς κορδ· κφ· α', ομλ· α· ἐκ ἔστ' ἐστιν (ὁ υἱός σου) τὸ παιδίον τὸ κείμενον, ἀλλ' ἐκεῖνος ὁ ἀποπατὼν καὶ ἀναδραμὼν εἰς ὕψος ἄπειρον· κατ' ἐξοχὴν ὁμοίως εἰ-

λῆπται καὶ αὐτῷ, αὐτὸς εἶφατ', καὶ αὐτῷ, σὺ δ' αὐτὸς ἐδύσατο χαλκόν. ἰλ· β. Ὡσαύτως ἡ αὐτὸς ἀναφέρει ποτὲ καὶ μέρος ὅλου τινὸς διαλυθέντος· ὡς αὐτῷ, νηῶν μὲν κόρυβα ἀποκόψειν, αὐτὰς δὲ καύσειν· ἢ γὰρ τὰ μετὰ τοῦ κοπτοῦ συναπομείναντα. τὸ δὲ ἢ δὲ δεικτικὸν μὲν ὄν, ὀξυτόνως, ἀναφορικὸν δὲ, περισπᾶται κατὰ τοὺς παλαιούς, ὡς αὐτῷ· ναῦς δέ μοι ἥδε ἔσηκεν· ὀδυσσ·. ἃ δὲ δείκνυται νυνὶ ἡ ναῦς.

Δεικτικαί.

Οὐ καθάπερ δὴ αἱ ἀναφορικαὶ, ἔστω τοι καὶ αἱ δεικτικαὶ αὐτὶ προλεχθέντων ὀνομάτων λαμβάνονταί τινων, ἀλλ' αὐτὶ τῶν δεικτικῶς ἐξενεχθῆναι μὴ δυναμένων.

Οὐκ, ἐπειδὴ ἑκάτεραι αὐτὶ ὀνομάτων λαμβάνονται, ἤδη παρὰ τοῦτο καὶ τὰς ἀναφορικὰς καὶ αἱ δεικτικαὶ αὐτὶ τῶν, ὡς εἴρηται, προλεχθέντων μοῦ, μηκέτι δὲ δυναμένων πάλιν παραληφθῆναι, λαμβάνονται, ἀλλ' αὐτὶ τῶν ὑπ' ὄψιν μοῦ πιπτόντων, δεικτικῶς δὲ ἀδυνατούντων ἐκφωνηθῆναι· καθ' ὅ, τι ἀμοιρεῖ δείξεως τὰ ὀνόματα. ὁπηνίκα μέντοι τῶν δεικτικῶν ἡ ἐκεῖνος καὶ ὅδε ὑπ' ὄψιν δεικνύουσιν, ἀλλὰ τὰ ἀπόντα ἀναφέρουσι, δεῖ νοεῖν ὅτι ἡ ἐκ τούτων δείξις ἐπὶ τὸν νῦν φέρει· ὡς τὰς μοῦ, τῆς ὄψεως εἶναι δείξεις, ἐν θα δεικνύσι τὰ ὑπ' ὄψιν, τὰς δὲ, τὰ νῦν, ἐν θα ἀναφέρει· φύσει γοῦν ἔσαι δεικτικαὶ, τὸ τῇ δείξει αὐτικείμενον ἄρθρον ἐ παραλαμβάνουσι. Καπεῖ τῆς, ὡς εἴρηται, δείξεως ἐπιτεινομένης τε καὶ ἀνιεμένης, ἡ ἕδος καὶ ἐκεῖνος μὴ βαρυνόμενοι ἐπὶ πλεῖς, ἐκ ἠδυνάμην τὸ διαστὸν τοῦ τόνου ἀναδέξασθαι, τό, τε ἐγκλιτικὸν λέγω καὶ τὸ ὀρθοτονούμενον, καθάπερ ἥδε καὶ ἐμοί· καὶ αἱ σύζυγοι διὰ τοῦ καὶ τῷ τελέσῃ

τὸ τέλος βαρεῖαν, οἷον καὶ τὸ τῆς ἥρας πρὸς τὸν δία, σοὶ μὲν ἐγὼ, σὺ δ' ἐμοί. τούτου χάριν εἰς παραγωγὴν τὴν διὰ τοῦ ι, μετῆλθον, ἐπισσώμεναι κατὰ τὸ τέλος τὴν βαρεῖαν εἰς ἐμφανισμὸν τῆς πλείονος ἐπιτάσεως, καθάπερ αἱ κατὰ τὸ α', καὶ β', πρόσωπον, αἱ ἐμοὶ καὶ σοὶ, ἐκεινοσί. οὗτοσί. ὁδί. ἡ δὲ αὐτὸς, στερουμένη τῆς δείξεως διὰ τῆς ἀναφορᾶς, συνεστέρηται καὶ τῆς τοιαύτης παραγωγῆς, τῆς ἐπαγομένης ἐπὶ πλείονα δεῖξιν, φημὶ τῆς διὰ τοῦ ι. δοκεῖ δέ μοι μὴ δ' ἀλλοτρίως ἡ παραγωγὴ τοῦ ι, παραδεχθῆναι. ἦν γὰρ τοῦτο θεματικὸν ἐν τρίτοις προσώποις τῆς εὐθείας. οἷον, ἐγὼ, σὺ, ἵ. ὅθεν εὐθεῖα οὖσα ἡ ἵ, οἰκείως ἐπήγαγεν ἐπίτασιν, ἐπιγενομένη τῇ δεικτικῇ εὐθείᾳ.

Ἴδιον γέτοι τῶν ἀντωνυμιῶν;

Ἐντεῦθεν διδάσκειν βούλεται τὴν διαφορὰν τῶν ἐν τρίτῳ προσώπῳ ῥημάτων πρὸς τὰς ἐπὶ τρίτου ἀντωνυμίας. εἰ γάρ τοι τῶν μορίων ἑκάτερα διακριτικὰ τυγχάνει προσώπων, διαφέρει γε μὴν ἀλλήλων τά τε ἄλλα καὶ ᾗ δὴ ἐπὶ τρίτου τὰ μὲν ῥήματα, κατὰ μίαν φωνὴν πλείοσιν ἀνήκει προσώποις ἀορίστως, αἱ δὲ, ὡρισμένα ἔχουσι τὰ ἀντονομαζόμενα πρόσωπα, δεικνύμενα μὲν, αἱ δεικτικαὶ, ἀναπολούμενα δὲ, αἱ ἀναφορικαί. καὶ ἁπλῶς τά τε ῥήματα καὶ αἱ ἀντωνυμίαι ἔχουσιν ἐπὶ τρίτου ὑπακουόμενον ὄνομα εἴτ' οὖν πρόσωπον, ἀλλ' αἱ μὲν, ὡρισμένον εἴτ' οὖν ἐγνωσμένον, τὰ δὲ, ἀόριστον.

Καὶ τὸ κατὰ διαφόρους φωνὰς

Ἤτοι ἀναφορικὴν τὴν αὐτὸς, ἢ δεικτικὴν, καὶ ταύτην ἤτοι προσεχῆ, ὡς ἡ οὗτος, ἢ πόρρω, ὡς ἡ ἐκεῖνος.

Διάφορα ποιεῖν πρόσωπα τρίτα.

Δεικνύμενα μὲν, κατὰ τὴν δεικτικὴν φωνὴν, ἀναφερόμενα δὲ, κατὰ τὴν ἀναφορικήν. ἔνθεντοι καὶ ἑκάτερα ὡρισμένα.

Τὰ γάρτοι ῥήματα

Τὰ ἐπὶ γ', δηλονότι.

Κατὰ μίαν φωνὴν

Πρὸς τὸ κατὰ διαφόρους.

Πλείοσι τρίτοις ἀνήκει προσώποις.

Τοῦ ἑνὸς πλείοσιν. ἔνθεντοι οὐδὲ ὡρισμένοις.

Λέγομεν οὖν, ὅτι γράφει. σωκράτης, ἢ καλλίας, ἢ ὁστισοῦν.

Ὡς μὴ ὡρισμένων κατὰ τὸ τρίτον τῶν τοῦ ῥήματος προσώπων.

Οὐκ ἔτι δὲ καὶ ἐπὶ τῆς ἀντωνυμίας ὡσαύτως

Οὐ γὰρ δὴ καὶ ἐπ' αὐτῆς ἐστι λέγειν, ὅτι αὐτὸς, σωκράτης, ἢ καλλίας, ἢ ὁστισοῦν, ἀλλὰ μόνος ὁ προεγνωσμένος. κἀπὶ τῆς οὗτος ὁμοίως οὐχ ὁ τυχὼν, ἀλλὰ μόνος ὁ ὑπ' ὄψιν κείμενος. φησὶ δὲ καὶ ὁ Ἀπολλ': ἐξαιρέτως τὰ τρίτα πρόσωπα τῶν ἀντωνυμιῶν ἐν διαφόροις φωναῖς διάφορα τρίτα ἀποτελοῦσι, τῶν ἐπὶ τρίτου ῥημάτων τῶν αὐτῶν διὰ μιᾶς φωνῆς ἐπὶ πλείονα πρόσωπα συντεινόντων διὰ τὸ τοῦ τρίτου προσώπου ἀδιόριστον. γράφει, διονύσιος, ἢ τρύφων, ἢ ὅστι σοῦν ἄλλος τῶν δυναμένων πρᾶγμα παραδέξασθαι, οὐ μὴν ἐπὶ τῶν ἀντωνυμιῶν, εἴ γε ἀναφορικὴ μὲν, ἡ αὐτὸς, δεικτικὴ δὲ, ἡ ἐκεῖνος, καὶ ἔτι ἡ οὗτος, τῆς ἐκεῖνος διαφέρουσα τῷ διαστήματι τῆς πόρρω καὶ προσεχοῦς δείξεως. ὁ αὐτὸς λόγος κἀπὶ τῆς ὅδε. πῶς οὖν οὐκ εὐήθεις

οὐκ εὐήθεις οἱ περὶ Ἄβρωνα καταδραμόντες Ἀριστάρχου, ὡς δῆθεν οὐ δεόντως φαμένου κατὰ πρόσωπα συζύγους τὰς ἀντωνυμίας, (καθ' ὃ κοινὸς ὅρος τὸ συζυγεῖν κατὰ πρόσωπα καὶ ῥημάτων, καὶ μᾶλλον γ' αὐτῶν τῶν ῥημάτων, ἤπερ τῶν ἀντωνυμιῶν. συζυγοῦσι γὰρ αἱ φωναὶ τῶν ῥημάτων τοῖς προσώποις κατά τε ποιότητα τῶν στοιχείων καὶ ποσότητα τῶν συλλαβῶν, καὶ φαίνεται ὅτι καὶ κατὰ χρόνον καὶ τάσιν. οἷον, τύπτω, τύπτεις, τύπτει, καὶ τὰ τοιαῦτα. ταῖς γε μὴν ἀντωνυμίαις, οὐ συνῆν τὸ τοιοῦτον. εἴγε αἱ πλείους ἀσύζυγοι, αἱ παρὰ τὴν οὗτος καὶ ἐκεῖνος λέγω πρωτότυποι, ὡς σαφές ἐστι τοῖς κλίνουσι τὰς ἀντωνυμίας. οὔτε γὰρ κατὰ τὰ ῥήματα φάναι συζυγοῦσιν. οἷον, ἐγὼ, ἐγεῖς, ἐγεῖ. οὔτε μὴν κατὰ τὰ ὀνόματα. ἐγὼ, ἐγοῦ. ἐγῷ. ἀλλ' ἐγὼ, σὺ, ὅς. ἐγὼ, ἐμοῦ, ἐμοί. σὺ, σοῦ, σοί.) φαίνεται γὰρ ὅτι ὁ Ἀρίσταρχος οὐ τὴν φωνὴν τῆς ἀντωνυμίας ὡρίσατο, συζυγεῖν εἰπὼν κατὰ πρόσωπα, ὡς οἱ περὶ Ἄβρωνα ἐξεδέξαντο, ἀλλὰ τὸ ἐξ αὐτῆς παρυφιστάμενον, εἴτ' οὖν νοούμενον, καθὼς καὶ ἅπαντες οἱ ὅροι ἔχουσιν, οὐ τὴν φωνὴν, τὸ δὲ ἐξ αὐτῆς παρυφιστάμενον ὁρίζοντες. καὶ οὐκ ἔστι τὰ κατὰ φωνὴν, ὡς εἴρηται, ἀντιπαραθέσθαι. ὅτι περὶ πραγμάτων ὁ λόγος, οὐ περὶ φωνῶν. φασὶ γοῦν ἀσυνάρθρους τὰς ἀντωνυμίας. καὶ ὅσον ἐπὶ τῇ φωνῇ οὐκ εἰσὶν ἀσύνάρθροι. φαμὲν γὰρ, ἡ ἐγὼ μόνως ὀρθοτονεῖται. ἡ ἔγωγε ἀττική ἐστι. κατὰ δὲ τὸ νοούμενόν εἰσιν ἀσύνάρθροι. ἐγὼ γάρ φαμεν, οὐχ ὁ ἐγὼ, ἢ ἡ ἐγὼ, ἢ τὸ ἐγὼ, κατὰ πρόσωπον δηλαδή. οὔκουν δὴ κατὰ φωνὴν, ἀλλὰ καθ' ἣν ὑπεμφαίνουσι δεῖξιν, ἢ ἀναφορὰν αἱ ἀντωνυμίαι, ταύτῃ γε τοῖς ἀντονομαζομένοις συζυγοῦσι προσώποις, τοῖς παροῦσι μὲν αἱ δεικτικαὶ, τοῖς ἀποῦσι δὲ καὶ ἀναπολουμένοις, αἱ ἀναφορικαί. ὁρίζουσι γὰρ τὴν ἀντωνυμίαν, ὅτι ἐστὶ τὸ μετὰ δείξεως, ἢ ἀναφορᾶς ἀντονομάζον. ᾧ οὐ σύνεστι τὸ ἄρθον. ἀντονομάζον μὲν, δι', ὅτι ἀντὶ ὀνόματος παρείληπται, μετὰ δὲ δείξεως, ἢ ἀναφορᾶς, καθ' ὅ, τι ὡρισμένων ἐστὶ παραστατική, μετὰ μὲν δείξεως, τῶν παρόντων καὶ κατὰ μόνον τοὔνομα παραληφθῆναι μὴ δυναμένων, μετὰ δὲ ἀναφορᾶς, τῶν ἀπόντων καὶ κατὰ τοὔνομα προκατειλεγμένων. προεγνωσμένων γὰρ ἡ ἀναφορά. καθ' ὅ, τι αἱ ἀναφορικαὶ ἀντὶ συνάρθρων, ὡς εἴρηται, εἰσὶν ὀνομάτων. ἄρθρου δὲ ἴδιον ἡ τῶν προεγνωσμένων ἀναφορά. ᾧ οὐ σύνεστι δὲ τὸ ἄρθρον. καθ' ὃ τῇ μὲν δείξει ἀπομάχεται, ἐπὶ δὲ τῆς ἀναφορᾶς παρέλκει. ἰδοὺ γοῦν ἡ δεῖξις καὶ ὁ ὁρισμὸς τῶν ἀντονομαζομένων προσώπων ἄχρι καὶ αὐτοῦ τοῦ γ', διῆλθε. καὶ γὰρ ὁρίζονται τὰ πρόσωπα οὐ μόνον ἀναφερόμενα, καθ' ὃ ἐγνώσθη, ἀλλὰ καὶ δεικνύμενα, καθ' ὃ ὑπ' ὄψιν ἐστί. καὶ τοῦτό ἐστιν ἡ συζυγία τῶν ὑποκειμένων, εἴτ' οὖν ἀντονομαζομένων προσώπων πρὸς τὰς ἀντωνυμίας, τὰ γὰρ ῥήματα ἀσύζυγα πρὸς τὰ ἐπὶ γ', πρόσωπα, τοῦ ἐν τούτοις ὁρισμοῦ ἄχρι τοῦ β', στάντος. ὁριζόμενα γὰρ κατὰ τὸ α', καὶ β', ἀοριστοῦται κατὰ τὸ γ', τοῦ ἀστράπτει καὶ τῶν τοιούτων ὑποστελλομένων. καθ' ὃ ἡ τοιαύτη ἐνέργεια ἐξαιρέτως τε καὶ κατ' ἐξοχὴν τῷ Θῷ ἀναπεμπομένη, ὡρισμένον ἔχει τὸν ἐνεργοῦντα. τὸ γοῦν διὰ μιᾶς φωνῆς διάφορα πρόσωπα λέγεσθαι, αἴτιον ἐγένετο τοῦ καὶ τὰς ἐν τρίτοις ῥηματικὰς φωνὰς ἀοριστοῦσθαι. εἴγε μία λέξις πλείονα σημαίνουσα, ὡς ἡ τῶν ὁμωνύμων φέρε, ἀορίστου παρεμπτώσεως αἰτία γίνεται. γράφει γὰρ, καὶ διονύσιος καὶ τρύφων καὶ θέων, καὶ παρὼν καὶ ἀπών. Ἔτι τὰ μὲν ἄλλα τῶν πτωτικῶν ἀπ' εὐθείας λημματιζόμενα, τὴν γενικὴν καὶ τὰς ὑπολοίπους πτώσεις πρὸς ἀκολουθίαν τῆς εὐθείας ἀποτελεῖ, τὰς μὲν πρὸς τὴν τῆς πρωτοκλίτου, τὰς δὲ, πρὸς τὴν τῆς δευτεροκλίτου. τὰς δὲ, πρὸς τὴν τῆς τριτοκλίτου, καὶ ἑξῆς. οὐδὲ τοῦ ἄρθρου ὑποστελλομένου. εἴγε καὶ αὐτὸ ἐδείχθη ἐν τῇ δεύσῃ ἀκολουθίᾳ κεκλιμένον,

μένον, τῇ τῶν τριτοκλίτων δηλ. πτωτικῶν. τῶν δὲ πρωτοτύπων ἀντωνυμιῶν ἡ κλίσις, κατ' οὐδεμίαν πτωτικὴν ἀναλογίαν συμβαίνει, ἀλλὰ θετικῶς, ὡσαύτως δὲ καὶ ὁ κατ' αὐτὰς ἀριθμός. οὐδὲ γὰρ, ὡς ἐν τοῖς ὀνόμασιν, οὕτω κἂν ταῖς πρωτοτύποις τῶν ἀντωνυμιῶν αἱ πλάγιαι ἀπ' εὐθείας κατὰ τὸ τέλος ματαβαλλούσης κεκίνηνται, ἀλλ' ἑκάστη τούτων θεματική ἐστιν, εἴτ' οὖν πρωτόθετος, ταὐτὸν εἰπεῖν πρωτότυπος, μὴ δυναμένης τῆς ἐγὼ τὴν ἐμοῦ γενικὴν παράξαι κατὰ λόγον τῶν ἄλλων πτωτικῶν. ἦν γὰρ ἂν, εἴπερ, ἐγοῦ. οὔτε μὴν τῆς ἐμοῦ τὴν ἐμοὶ, ἢ τὴν ἐμὲ τῆς ἐμοὶ, δεόντως καὶ τῶν παρεπομένων ἀριθμῶν ἐξαλλαγέντων πάλιν θεματικῶς. οὐ γὰρ δύναται ἡ ἐμοῦ τὴν νὼ ἢ νὼν παράξαι. ἦν γὰρ ἂν, εἴπερ, ἐμὼ, καὶ ἐμών. μήτε μὴν ἡ νὼ τὴν ἡμῶν. κἀπὶ τῶν ἄλλων δὲ ὁ αὐτὸς λόγος. ἀδύνατον γὰρ τὴν μὴ κλιθεῖσαν γενικὴν ἐξ εὐθείας, ἀριθμὸν ἀκόλουθον παραστῆσαι. κλιθεῖσα γὰρ ἐξ εὐθείας, μόνη δύναται συγκλίνειν τοὺς ἀριθμοὺς καὶ τὰς ἑξῆς πτώσεις. διὰ τοῦτο κἂν τοῖς ἑτεροκλίτοις, ἐν οἷς ἡ γενικὴ τὰ λοιπὰ σχήματα ἀποδίδωσι, λέγω τοὺς ἑξῆς ἀριθμοὺς καὶ τὰς πτώσεις, εὐθεῖά τις, ἐξ ἧς ἡ γενικὴ, παρακολουθεῖ ἀναγκαίως, ὡς οὐκ ἄλλως ἐνδεχομένου τοῦ τοιούτου γενέσθαι. οἷον, ἐπειδὴ ἡ μεγάλου γενικὴ ἐποίησε τὸ μεγάλοι, διὰ τοῦτο τοῦ τοιούτου ἐγκλίματος ἡ μεγάλος εὐθεῖα ἀναγκαίως διασῴζεται. ὁμοίως καὶ ἡ ὕδατος, καὶ ἔτι ἡ γυναικὸς, καὶ ἡ πολλοῦ. πολλοὶ γὰρ, καὶ ὕδατα καὶ γυναῖκες. καὶ διὰ τοῦτο συνυπῆρχον ἀναγκαίως καὶ αἱ τούτων εὐθεῖαι, λέγω τὸ πολλὸς, τὸ γυναῖξ, τὸ ὕδας. οὐχ ὅτι ἐνχρήσει τὰ τοιαῦτα, ἀλλ' ὡς ἂν ἐντεῦθεν αἱ γενικαὶ ἀχθεῖσαι, τὰς χρησίμους ποιήσωσι, διὰ τοῦτο γοῦν καὶ ἡ ἐμοῦ μὴ κλιθεῖσα παρὰ τῆς ἐγὼ, γενομένη δὲ ἐν ἰδίῳ θέματι καὶ καθ' ἑαυτὴν, εἰκότως καὶ τὸ ἀκόλουθον τῶν πτώσεων παρῃτήσατο καὶ τοὺς ἀκολούθους ταῖς πτώσεσιν ἀριθμούς. ἥγε μὴν ἐκείνου καὶ αἱ σύζυγοι κλιθεῖσαι παρὰ τὴν ἐκεῖνος, ἔσχον ἀκόλουθα καὶ τὰ συμπαρεπόμενα γένη καὶ ἀριθμούς. σαφὲς οὖν ὅτι ληροῦσιν οἱ ἐγχειρήσαντες ἐπισκώπτειν τὰς φωνὰς τῶν ἀντωνυμιῶν, ὡς ἀνακολούθους τοῖς ὀνόμασι κατὰ πτώσεις, καὶ παραλόγους, παρατιθέμενοι τὴν ἀπὸ τῶν ὀνομάτων ἀναλογίαν, ὅπου γ' οὐδ' ἐκεῖνο αὐτοῖς δέδοται, τὸ παντὶ πτωτικῷ πᾶν πτωτικὸν ἀντιπαραβάλλειν, εἰ καὶ εἰς τὸ τοιοῦτο ἄπειρός τίς ἐστιν ἡ τοῦ ὁμοίου ἀκολουθία. ἀντιπαραβάλλονται γὰρ αἱ λέξεις, πλείστης οὔσης τῆς τοῦ ὁμοίου ἀκολουθίας, ὡς ἐπ' αὐτῶν ἤδη τῶν ὀνομάτων, ἔμπης ἐστὶν ἃ διαφεύγει ταύτην. καὶ εἰ τοῦτο, πῶς οὐ μάταιον τὸ διάφορα μέρη λόγου ἀντιπαραβάλλειν πρὸς ἄλληλα, καὶ ἀκολουθίαν ἐν τούτοις ζητεῖν; οὐδὲν δ' ἐκώλυεν αὐτοὺς, ἐπεὶ καὶ προσώπων διακριτικόν ἐστι τὸ ἀντωνυμικὸν μόριον ἀντιπαραθέσθαι τὰς φωνὰς τῶν ῥημάτων, πρόσωπα καὶ τούτων διακρινόντων, καὶ οὕτω πάλιν τὰς ἀντωνυμίας τοῦ δέοντος διαγράφειν. οὗ τί γελοιότερον; Ἴσως οὖν ἐκεῖνό τις διαπορῶν ἐπιστήσειεν, ἕνεκα τίνος τὸ ἀκόλουθον τῶν ὀνομάτων ἀπένευσαν αἱ ἀντωνυμίαι; καὶ διὰ τί μὴ πάσαις ἡ τῶν ὀνομάτων θέσις ἐπενοήθη εἰς ποιότητας, ὅ ἐστι σημασίας κοινὰς ἢ ἰδίας κατὰ τὰ ὀνόματα, ὡς ἄνος, πλάτων; καὶ ὡς ἄν τις ἐπιτείνων τὰ τῆς ἀπορίας, εἴποι, ἐπειδὴ ἀντ' ὀνομάτων εἰσὶ παρειλημμέναι, τὴν τούτων χώραν ἀναπληροῦσαι, τί ὅτι μὴ καὶ τὰ τοῖς ὀνόμασι παρεπόμενα παραδέχονται; διὰ τί γὰρ μὴ πᾶσαι ἀκόλουθον ἐσχήκασι κλίσιν, ἀλλὰ μόναι αἱ παράγωγοι, καὶ τῶν πρωτοτύπων ἡ ἐκεῖνος καὶ οὗτος, αἱ δὲ παρὰ ταύτας θεματικώτερον ἐκλίθησαν, ὡς εἴρηται, ἑκάστη κατ' ἰδίαν θέσιν συνεστηκεῖα, καὶ τὴν ἐν τοῖς ὀνό-

τοῖς ὀνόμασιν ἀκόλουθον κλίσιν παραπτσαμεν́η; πάλιν, ἐπεὶ τῶν ὀνομάτων τὰ μὲν, καὶ πλειόνων εἰσὶ κατηγορήματα. οἷον, ἄνθρωπος, ζῶον, φυτὸν, οἷα τὰ προσηγορικά, τὰ δὲ, καθ' ενὸς μόνε, οἷα τὰ κύρια, διατί μὴ καὶ αἱ αὐτὶ παύτων τύτων ἐπινοηθεῖσαι αὐτωνυμίαι, καπάλιλον ἐκείνοις ἐχήκασι θέσιν, ὡς εἶναι τὰς μὲν αὐτῆς, κοινὰς καὶ καὶ πλειόνων κατηγορεμένας, τὰς δὲ, μερικὰς καὶ καθ' ενὸς μόνε; καὶ ὡς εἰπεῖν, τὰς μὲν, καπὰ τῆν προσηγορικῶν κοινότερον, τὰς δὲ, ἰδικώτερον καὶ τῆς κυρίων, ἀλλ' ὅπως ἀδιαφόρως ἐπὶ τῶν διαφόρων φέρονται ὀνομάτων; ἢ καὶ νὴ δία τὰς μὲν αὐτῶν, περιττοσυλλάβες εἶναι, τὰς δὲ, ἰσοσυλλάβες; καὶ τὰς μὲν, πρωτοκλίτες, τὰς δὲ, δευτεροκλίτες, καὶ ἑξῆς; καὶ σωελόντι μέχρι τῆς ἀτομικῶν διαφορῶν, ἵν' ὁμοίως ἕκαστον ἑκάστη παρασήσῃ τῆς ὀνομάτων; Πρὸς δὴ τὰ τοιαῦτα οὐκ ἄπορον ἀπαντῆσαι. τὰ μὲν γὰρ ὀνόματα, τά τε κύρια λέγω καὶ τὰ προσηγορικὰ ἅτε σωδείξει, ἅτε σωαναμνήσει παραλαμβάνεται, εἴτ' ἓν τίθεται, ἀλλ' ἀμέσως παρασατικὰ ὄντα ἰδιοτρόπως τῆς σημαινομένων, φανερὸν ὅτι καὶ ἰδιάζουσαν ἑκάστῳ τῆς σημαινομένων, τῷ θέσιν ἀπῆχει ἕκαστον αὐτῶν. καὶ διὰ τῦτο πάμπολλος ἡ ἐπὶ τύτων θέσις ἐγένετο, ἵνα τὸ χαρακτηριστικὸν ἑκάστε ἀπονέμῃ, εἴτ' ἓν παρασήσῃ τῷ ἑκάστῳ τῆς σημαινομένων ἰδιάζουσαν ποιότητα. μὴ γὰρ κεμένων ἰδιαζόντως τῶν ὀνομάτων, συνεμπίπτουσαι αἱ τύτων θέσις, ἃ μεξίως ἂν ἐπεπάραττον τὰς διὰ τῆς νοημάτων νοερὰς τῆς πραγμάτων ποιότητας, ἢ καὶ τὰ πρόσωπα, ὡς τερέμνια πάντως τὰ διορισμὸς καὶ τῆς γνώσεως. ὡς ἔστιν ἰδεῖν ἐπὶ τῆς ὁμωνύμων. καὶ σ' ἕνα τύτε ἰδιάσασα ἡ διάθεσις καθ' ἕκαστον χαρακτῆρα, καπάλιλος παρῆξε καὶ τὰς πλαγίας, ἀννεύσας πρὸς τὸ ἴδιον τῆς διαθέσεως. ἄλλος γὰρ ὁ τῆς πρωτοκλίτων διαθέσεως λεκτικὸς χαρακτὴρ καὶ τῆς κατ' αὐτὴν πλαγίων, καὶ ἕτερος ὁ τῆς δευτεροκλίτων, καὶ ἄλλος ὁ τῆς τριτοκλίτων, καὶ ὁ τῆς τετραπτοκλίτων ἕτερος. καὶ πάλιν τὰ σημαινόμενα καὶ κοινωνεῖσι καὶ διαφέρεσι τὰ μὲν, κατ' ὐσίαν, τὰ δὲ, καὶ συμβεβηκός, μὴ δυναμένε τῷ ἐπὶ τῇ κοινότητι κειμένε ὀνόματος τὰ ὑπὸ τῶν κοινότητα διασέλλειν, διὰ τῦτο ἐπινενόηται τύτοις καὶ ἀ τῶν πρὸς ἄλληλα σημαίνει διαφοράν. Ἐντεῦθεν ἀναγκαίως καὶ τὰ γένη παρεισάγεται τύτοις, ἵνα μὴ τῆς ποιότητος τὸ χαρακτῆρος, τὸ τοιῦδε δηλ: σχηματισμὸ, λέγω τὸ κοινὴ παρεισῶντος τὰ σημαινόμενα, σωδιασείλῃ καὶ τὸ γένος, τὰ μὲν, καὶ τύπον ἀρσενικὸν, τὰ δὲ, καὶ θηλυκὸν, τὰ δὲ, καὶ ἀδέτερον προφερόμενα. οἷον, ἵππος, πλάτων, ἀνὴρ, γυνὴ, παιδίον. ἐντεῦθεν σωεπενοήθησαν καὶ αἱ ἐπιθετικαὶ θέσεις τῆς ὀνομάτων, ἵνα καὶ τὰ παρακολουθήσαντα τοῖς κοινῶς, ἢ ἰδίως νοερμένοις ἀναπληρωθῇ, τῷ μὲν ἵππῳ, εἰ τύχοι, τὸ λευκὸς, ἢ ταχύς, τῷ δὲ πλάτωνι, τὸ σοφὸς, τὸ ἀγαθὸς, ἄλλα τε πάμπολλα τὰ δυνάμενα παραπέμπεσθαι, ὅσα ἐπινενόηται πρὸς αὐτιδιασολλὴ τῆς συμπιπτόντων ἀλλήλοις. Ἐντεῦθεν καὶ αἱ συνθέσεις ἐπενοήθησαν. οἷον, μισάνθρωπος, φερέπονος, φιλολόγος. αἵπερ ὀξ ἐπισυμβεβηκότος ἐγένοντο, διὰ τὸ μίαν εἶναι τῶν ἑκάστε ὐσίαν καὶ μὴ δυνάσθαι σωΐστεσιν, ὀξ αὐτῆς γενέσθαι, ὅτι μὴ ἐκ συμβεβηκότων. κοινοτέρων γὰρ ὄντων τῆς ἁπλῶν, οἷον τὸ μισεῖν καὶ φιλεῖν καὶ φέρειν, (μισεῖ γάρ τις, ἢ φιλεῖ καὶ ἀρετὴν καὶ κακίαν, καὶ δικαιοσυνὴν νὴ δία καὶ ἀδικίαν, καὶ γυναῖκα καὶ γονέας καὶ τέκνα καὶ φίλυς, καὶ ἄλλα μυρία. ὥσπερ καὶ τὸ φέρειν. φέρει γάρ τις καὶ δ' τυχίαν καὶ δυσυχίαν, καὶ πληγὰς καὶ ἐπιτίμησιν, καὶ νὴ δία βάρη, καὶ ἄλλα πλεῖστα.) ὅθεν εἰ φαίνοιμεν μόνον τὸ φέρων καὶ φιλῶν καὶ μισῶν, οὐκ ἔχομεν ἰδιαίτερον

ἰδιαίτερον εἰδέναι, τίποτ' ἂν ᾖ τὸ φιλούμενον ἢ μισούμενον ἢ φερόμενον. καὶ διὰ τοῦτο ἑκάτερα συνθέντες, φαμὲν, μισάνος, φερέπονος, φιλολόγος, δηλοῦντες ὡρισμένως, ὅτι ὁ δεῖνα ἀνοὺς μισεῖ, ἢ πόνους φέρει, ἢ λόγους φιλεῖ. αἱ μέντοιγ' ἀντωνυμίαι ἀπηλλάγησαν τῶν τοιούτων. εἰς οὐδὲν γὰρ ἄλλο ἀποβλέπουσι διὰ τῆς ἐν αὐταῖς ἐγκειμένης δείξεως, ὅτι μὴ μόνον εἰς τὴν ὑποκειμένην τῇ ὄψει οὐσίαν. ἔχουσι δὲ δι' αὐτῆς ἤδη, φημὶ τῆς ὄψεως, καὶ τὰ συμβεβηκότα τῇ οὐσιῴδει ποιότητι ἐγνωσμένα τε καὶ εὔληπτα, λέγω τὰ δυνάμενα δι' ὄψεως ἐπινοηθῆναι, λευκὸν, ἢ μέλαν, μακρὸν, ἢ βραχὺ. καὶ εἴ τι τῶν τοιούτων ἐπισυμβέβηκε τῇ προκειμένῃ οὐσίᾳ. (πρόσκειται δὲ τὸ δι' ὄψεως πρὸς ἀντιδιαστολὴν τῶν τῇ ψυχῇ συμβεβηκότων. οὐχ ὑπὸ δεῖξιν γὰρ πιπτούσης τῆς ψυχῆς, οὐδὲ τὰ ταύτῃ ἐπιτρέχοντα, εὐσύνοπτα ἂν γένοιτο πρὸς τῶν ἀντωνυμιῶν. πῶς γὰρ ἂν δυνάμεθα δι' ὄψεως ἐπιγνῶναι τὸν σοφὸν, ἢ μουσικὸν; ἢ τέκτονα, ἢ γεωμέτρην; τῶν γὰρ ὀνομάτων τοῦτο, λέγω τὸ τὰ μὴ ὑπὸ τὴν ὄψιν πίπτοντα παραστῆσαι, οὐ τῶν ἀντωνυμιῶν. κεῖνται γὰρ ἀντὶ ὀνομάτων, οὐμὴν τῶν τυχόντων, τῶν κυρίων δὲ μόνων.) ἔνθεν οὖν τοὺς πολλοὺς χαρακτῆρας παρῃτήσαντο αἱ ἀντωνυμίαι, καὶ τὴν ἐν τοῖς ὀνόμασιν ἀκόλουθον κλίσιν. ἑκάστη γὰρ αὐτῶν, εἴ τε πρωτότυπος, εἴ τε κτητικὴ, εἴ τέ τις ἄλλη τῶν εἰδῶν καθ' ἑκάστην πτῶσιν ἀντὶ πάντων τῶν ὀνομάτων παραλαμβάνεται. οἷον, ἀντὶ μὲν ἁπασῶν εὐθειῶν, ἡ εὐθεῖα. καὶ ἀντὶ γενικῶν, ἡ γενική. ὁμοίως κἀπὶ τῶν ἄλλων. καὶ εἰ τοῦτο ἀληθὲς, φανερόν ἄρα, ὅτι φυσικώτερον ἀφέστηκε τῶν ἀντωνυμιῶν ἡ ἐν τοῖς ὀνόμασιν ἀκόλουθος κλίσις, ἵνα μὴ αἱ ἀντὶ παντὸς ὀνόματος παραλαμβανόμεναι, ὑστερηθῶσι τούτου τοῦ ἐξαιρέτου αὐτῶν ἰδιώματος, μιᾷτινι ὀνοματικῇ καταλήξει ὑποπεσοῦσαι, ἥτις ἐν μὲν τοῖς ὀνόμασι μεταποιουμένη, τὰ διάφορα παρίστησι γένη, σοφὸς, σοφὴ, σοφὸν, ἐν δὲ ταῖς ἀντωνυμίαις θεματικὴ οὖσα, ὅ ἐστιν ἐν ἰδίᾳ θέσει καὶ καθ' ἕνα μόνον σχηματισμὸν ἐκφερομένη, ὡς εἴρηται, οὐθ' ὁ, τιοῦν γένος παρίστησι. κἂν δέπου συνεμπέσῃ λῆξις ὀνοματικὴ τῇ ἀντωνυμίᾳ, ὡς ἡ λητὼ, τῇ ἐγὼ. ἡ καλοῦ, τῇ ἐμοῦ. ἡ λητοῖ, τῇ ἐμοὶ. ἡ ἀληθεῖς τῇ ἡμεῖς. ἡ ἀληθῶν, τῇ ἡμῶν, καὶ τὰ ὅμοια, διὰ τῆς ἑξῆς ἑκατέρων πτωτικῆς κλίσεως ἐλέγχεται τὸ ἀμφοῖν ἀνακόλουθον. ὡς ἔχει ἡ καλῷ καὶ ἐμοὶ, ἡ καλὸν καὶ ἐμέ. Αὐτὴν καὶ αἱ διάλεκτοι παριστῶσι τὴν διαφορὰν, τὸ τῆς κλίσεώς φημι ἀκατάλληλον, οὐ τὴν αὐτὴν λῆξιν ἐπιμερίσασαι ταῖς πρωτοτύποις ἀντωνυμίαις καὶ τοῖς ὀνόμασιν, ἀλλὰ τὰς φωνὰς προενεγκάμεναι εἰς παραγωγὴν, οὐχ ὥσπερ τὰς γενικὰς τῶν ὀνομάτων, ὡς ἔχει ἡ ἀτρείδεω καὶ ἡ ἀτρείδαο, ἢ ἡ καλοῖο, οὕτωτοι καὶ τὰς τῶν ἀντωνυμιῶν προηνέγκαντο. ἐμεῦ γάρ φασι, καὶ ἐμεῖο, οὐμὴν ἐμοῖο. ἥγε μὴν ὁμόφωνος τῇ πρωτοτύπῳ γενικῇ κτητικὴ ἡ ἐμοῦ, ὀνόματος ἤδη τέλος ἀναδεδεγμένη, ἐφ' ὃ καὶ φέρεται, (ἐμὸς γὰρ οἶκος, ἐμὴ παιδίσκη. ἐμὸν γεώργιον.) πάλιν τὸ δέον ἀνεδέξατο καὶ κατὰ τὰς διαλέκτους, ὀνοματικὴν σχοῦσα τὴν παραγωγήν. οἷον, ἐμοῖο, ὡς καλοῖο, ἑκατέρων τῇ οἷ, διφθόγγῳ γραφομένων. αἱ μὲν οὖν, ὡς εἴρηται, κτητικαὶ, οἷα δὴ ἐπὶ τὰ κτήματα φερόμεναι, παρεδέξαντο καὶ τὴν ἐν ἐκείνοις ἀκόλουθον κλίσιν, αἱ δὲ δεικτικαὶ ἀπροσδεεῖς εἰσι τῶν παρεπομένων τῷ ὀνόματι, ὡς ἐπὶ τῶν πρωτοτύπων δῆλον, οἷα δὴ ὑπ' ὄψιν παριστῶσαι τὰ ὑποκείμενα, καὶ τὰ ἐκείνοις ἐπισυμβεβηκότα εὐσύνοπτα διὰ τῆς ὄψεως ἔχουσαι. Ἀλλ' ἀντίκειται φαίη ἄντις, τοῖς εἰρημένοις ἥτε ἐκεῖνος, καὶ ἡ αὐτὸς, ἡ μὲν, ἰδίᾳ δεικνύσα, ἡ δὲ, ἀναφέρουσα. (ἡ γὰρ οὗτος, παραγωγῆς

κατάληξιν

καταλήξιν ἔχει οὐκ ἀντωνυμίας. ἀπὸ γὰρ τοῦ ὅς, ἄρθρου οὐκ ἀρθρικὴν ἀλλ' ἀντωνυμικὴν σημαίνοντος σύνταξιν παραχθεῖσα, εἰς τὰς ἀντωνυμίας ἐχώρησε. καθ' ὃ καὶ τὸ τημοῦτος ἐπίρρημα ὄν, παραγωγῆς τῆς αὐτῆς ἔτυχεν. ἀπὸ γὰρ τοῦ τῆμος πάλιν εἰς ὃς τὸ τημοῦτος ἐγένετο.) πῶς τοίνυν αὗται δεικτικαί τε καὶ ἀναφορικαὶ οὖσαι, τὰ παρεπόμενα τῷ ὀνόματι προσεδέξαντο, ἀκολούθως ἐκείνῳ κλινόμεναι, οὗ τοὐναντίον ἐς τόδ' ἐδείκνυτο; πρὸς ὃ ῥητέον, ὅτι οὐκ ἀπεμφαῖνον, δύω ἀντικεῖσθαι, ἁπασῶν τὸ δέον τοῦ σχήματος ἀναδεδεγμένων. Μήποτε δὲ εὐλόγως καὶ διὰ τῆς φωνῆς συνεπίσχυσαν ὁρίσαι τὸ ὑποκείμενον. ἡ γὰρ ἐξ αὐτῆς δεῖξις, πορρώτερον καὶ μᾶλλον ἀφέστηκε τῆς ἀπὸ τῆς πρωτοτύπων. ὅθεν καὶ ἡ ἐξ αὐτῆς νοουμένη ἀπόστασις, ἀμαυροτέραν τὴν δεῖξιν καθιστάνει. ἔνθεντοι ἀναγκαίως παρεισέδυ αὐταῖς τὸ γένος, οὐχ ἵνα τὴν οὐσίαν παραστήσῃ, κἂν καὶ τὸ γένος οὐσίας ἐστὶ παραστατικόν, οὐ μὴν μᾶλλον τῆς ἀντωνυμίας, ἀλλ' ἵνα τὸ γένος τοῦ δεικνυμένου διαστείλῃ. ὃ δὴ καὶ ἐπ' αὐτῆς ἤδη τῆς ὀνομάτων συμβαίνει. τὰ γοῦν κοινὰ λεγόμενα ἐν γένει, λέγω ἐπὶ τῶν προσηγορικῶν. οἷον, ἄνθρωπος, ἵππος καὶ τῆς τοιούτων, ἐξ ἀποστήματος ἐπινοηθέντα, οὐκ ἴσχυσεν αὐτόθεν τὸ γένος διαστεῖλαι τοῦ προσιόντος, πότερον ἀρσενικὸν τυγχάνει, ἢ θηλυκόν. πλησιάσασι δὲ αὐτοῖς καὶ δήλοις γενομένοις κατὰ τὸ γένος, τηνικαῦτα συνεγένετο καὶ τὸ ἄρθρον. ὅτε φαμὲν, ὁ ἄνθρωπος καὶ ἡ ἄνος, ὁ καὶ ἡ ἵππος. εἰ δὲ ἐπὶ τῆς ὀνομάτων τὸ τοιοῦτο χωρεῖ, τῆς πρώτως καὶ ἀμέσως καὶ ἰδιοτρόπως σημαινόντων τὰ πράγματα, πολλῷ δὴ μᾶλλον αὐτὸ τοῦτο πείσονται καὶ αἱ ἀντὶ τούτων ληφθεῖσαι ἀντωνυμίαι, καὶ πρό γε τούτων ἡ αὐτὸς, τὸ αὐτὸ τοῦτο παθοῦσα τῆς ἀποστάσεως. τὰ γὰρ ἀπόντα τῆς γ', προσώπων εἰς ἀντιδιαστολὴν τῆς παρόντων γ', ἀναφέρουσα, ὑπόμνησιν τῆς προεγνωσμένων καὶ διὰ τοῦ γένους ἐποιεῖτο καὶ διὰ τοῦ χαρακτῆρος, ὅτι δηλ. ὡρισμένως ἐστὶ τόδε, ἢ τόδε. Ἀλλ' ἐκεῖνο λείπεται, τίνος ἕνεκα, πολλῶν οὐσῶν ὀνοματικῶν καταλήξεων, εἰς ὃς αὗται κατέληξαν, ἥτε ἐκεῖνος καὶ ἡ αὐτός; Ἢ ὅτι διὰ τὸ γενικωτέραν εἶναι καὶ κοινοτέραν τῆς ἄλλων αὐτὴν καταλήξεων. τοῦτο γὰρ τὸν ἐνόντα τρόπον καὶ αἱ ἀντωνυμίαι διώκουσι, τὸ κοινότερον καὶ τῆς ἄλλων ἁπλούστερον. καθ' ὅ, τι ἀντὶ πάντων τῆς ὀνομάτων λαμβάνονται. διὰ γὰρ τοῦτο καὶ τὰ ἄρθρα, ὡς πᾶσιν ὀνόμασι παρατιθέμενα, ἐν ταύτῃ τῇ καταλήξει ἐγένετο. πρὸς δὲ καὶ αὐταὶ αἱ ἀπὸ τῶν πρωτοτύπων παραχθεῖσαι ἀντωνυμίαι εἰς ὀνόματος κτῆσιν, ὡς ἡ ἐμὸς καὶ αἱ σύζυγοι, ἡ σὸς λέγω καὶ ἑὸς κατὰ πᾶν γένος καὶ ἀριθμὸν, καὶ σχεδὸν ἅπασαι αἱ πτωτικαὶ πεύσεις, ἐπιζητοῦσαι πᾶν ὄνομα καὶ αὐταὶ, ποῖος, πόσος, πηλίκος, ποδαπὸς, ἐν ταύτῃ τῇ καταλήξει ἐγένοντο. πρόσκειται τὸ σχεδὸν διὰ τὸ τίς, κοινὸν ὂν καὶ αὐτὸ πευστικόν. ὅπερ οὐδ' αὐτὸ, ἐκτός ἐστι τῆς εἰς ὃς καταλήξεως. εἴ γε τὸ τίος παρ' αἰολεῦσι τῆς εἰς ὃς εὐθείας ἔτυχε, συνεπισχύοντος καὶ τοῦ ἰσοδυναμοῦντος αὐτῷ, λέγω τοῦ ὅς, ᾧ καὶ συμφέρετο. οἷον, ὅς τις. ὡς ἐν τῷ, ὅς τις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς, ἔρχετο. κἀντῷ, ὅς τις ἐμὸν παρὰ σῆμα.

Ὥρισται δὲ τὰ τῆς ἀντωνυμιῶν πρόσωπα, οὐ μόνῃ τῇ τῆς παρόντων δείξει, ἀλλὰ καὶ τῇ ἀναφορᾷ καὶ ἀναπολήσει τῆς ἀπόντων.

Ἔτι πρὸς τὰ τῆς ῥημάτων ὑποκείμενα πρόσωπα ἡ τῶν ἀντωνυμικῶν προσώπων παράθεσις. τὰ μὲν γὰρ τῆς ῥημάτων φησὶν, ὥρισται μὲν, εἴ τ' οὖν ἔγνωσται, οὐ μὴν κατὰ πᾶν, κατὰ δὲ τὸ α', καὶ τὸ β'. μόνον. τὰ δὲ τῆς ἀντωνυ-

ἀντωνυμιῶν, καὶ κατὰ τὸ γ'. ὥρισται δὲ οὕτω, τῇ δείξει μὲν, τὰ παρόντα, τῇ ἀναφορᾷ δὲ, τὰ ἀπόντα. ὅ ἐστι τὰ μὲν παρόντα, δεικνύμενα διὰ τῶν δεικτικῶν, τὰ δὲ ἀπόντα, ἀναπολούμενα καὶ ἀνακαλούμενα τῇ μνήμῃ διὰ τῶν ἀναφορικῶν. ὁ δὲ δὲ, ἀντὶ τοῦ γὰρ κεῖται, κατασκευαστικὸς ὤν, τοῦ μὴ ὡσαύτως τοῖς ἐπὶ τρίτου ῥήμασι καὶ τὰς ἐπὶ τρίτου ἀντωνυμίας κατὰ μίαν φωνὴν πλείοσι τρίτοις ἀνήκειν προσώποις. εἴγε τῶν προσώπων τὰ μὲν ἀντωνυμικὰ, πάντα, τὰ δὲ ῥηματικὰ, οὐ πάντα ὥρισται.

Ὅθεν δὴ καὶ τῷ Ἀριστάρχῳ εἴρηται συζύγους εἶναι τοῖς προσώποις τὰς ἀντωνυμίας.

Τοῖς ἤτοι κατὰ δεῖξιν, ἢ ἀναφορὰν ἀντονομαζομένοις προσώποις εἴτ' οὖν ὑποκειμένοις συνεζευγμέναι καὶ συνηνωμέναι οὖσαι αἱ ἀντωνυμίαι, καὶ οἱονεὶ ὑφ' ἕνα καὶ τὸν αὐτὸν αὐτοῖς ζυγὸν ὑπαχθεῖσαι, τὴν δεῖξιν, ἢ τὴν ἀναφορὰν, οὐχ οἷαί τέ εἰσιν ἀποστῆναι τῆς πρὸς αὐτὰς συζυγίας, καὶ ἑτέρῳ τῷ ἀορίστως συζευχθῆναι. καὶ τοῦτό ἐστιν ἡ συζυγία τῶν ἀντωνυμιῶν πρὸς τὰ ἀνθ' ὧν παρελήφθησαν πρόσωπα, φημὶ δὴ τὰ ἀντονομαζόμενα. τὰ δὲ ἐπὶ τρίτου ῥήματα μηδενὶ ὀνόματι εἴτ' οὖν ὑποκειμένῳ ἐγνωσμένῳ συζυγοῦντα, πᾶσιν ἀνήκει προσώποις ἀορίστως. καὶ ὡς εἰπεῖν, ἡ αὐτὸς, ἢ ἡ ἐκεῖνος, τὸν σωκράτην τυχὸν ἀντονομάζουσα, αὐτῷ τούτῳ συνέζευκται, οὐμὴν ἤδη καὶ τῷ πλάτωνι. τὸ δὲ τύπτει, ἢ γράφει, καὶ ὅλως τὰ ἐπὶ τρίτου, οὐ μᾶλλον πρὸς τὸν πλάτωνα, ἢ πρὸς πᾶν ὁ, τιοῦν ἀτομικὸν ἀποτείνεται ὄνομα, ὡς μήτε δεικνυμένοις μήτε ἀναπολουμένοις συνεζευγμένα. ὡρίσθαι δὲ εἴρηται τὰ τῶν ἀντωνυμιῶν πρόσωπα κατὰ μεταφορὰν, ὡς ὑπότινος οἱονεὶ ὅρου τῆς κατὰ δεῖξιν, ἢ ἀναφορὰν γνώσεως περιεχόμενα. καὶ τὸ συζυγεῖν δὲ τοῖς ἀντονομαζομένοις προσώποις τὰς ἀντωνυμίας, ὡσαύτως, ὡς ἑκατέρων ὑπὸ ἕνα οἱονεὶ ζυγὸν τὴν δεῖξιν, ἢ τὴν ἀναφορὰν ὑπαγομένων.

Ὁρίζεται γὰρ

Τὰ ἀντονομαζόμενα πρόσωπα. ἀνθ' ὧν δηλ. αἱ ἀντωνυμίαι παραλαμβάνονται.

Ὁμοίως κατὰ πᾶν πρόσωπον

Οὐ κατὰ μὲν τὸ α', καὶ β', μᾶλλον, κατὰ δὲ τὸ γ', ἧττον, ἀλλ' ὁμοίως κἀπὶ τῶν τριῶν, τῶν ῥημάτων κατὰ τὸ α', μόνον καὶ β', ὁριζομένων. Δῆλον δὲ κἀντεῦθεν ὡς καὶ τὰ πρόσωπα τοῦ κατὰ τὸ γ', κτητικοῦ τῶν ἀντωνυμιῶν, λέγω τοῦ ἑὸς καὶ τοῦ σφέτερος, ὡρισμένα ἐστὶν ὁμοίως τοῖς κατὰ τὸ α', καὶ β'. οὐκ ἄρα χρήζει τῆς προσθήκης τοῦ τὸν κεκτημένον δηλοῦντος ἀντωνυμικοῦ. πῶς οὖν οὐκ εὐήθεις οἱ φάμενοι τὸ σφέτερος διὰ τὴν ἐπὶ τρίτου δῆθεν ἀοριστίαν προσλαμβάνειν τὴν αὐτῶν ἐπιταγματικήν;

Ἤτοι ἐν δείξει, ἢ ἀναφορᾷ,

Αὗταί εἰσιν αἱ διάφοροι φωναὶ, καθ' ἃς αἱ ἀντωνυμίαι ἐρρέθησαν διάφορα ποιεῖν τρίτα πρόσωπα. ὁρίζεται γὰρ, ἀλλ' οὐχ ὡσαύτως, διαφόρως δὲ, τὰ μὲν ὡς εἴρηται παρόντα, δεικτικῶς, ἀναφορικῶς δὲ, τὰ ἀπόντα. καὶ ἕνεκα τούτου πρὸς οὐδὲν χρειώδεις εἰσὶ τῶν ἀντωνυμιῶν αἱ στερούμεναι τοῦ τε δεικνύντος προσώπου καὶ τοῦ δεικνυμένου. αἵγε καὶ ἐγγραφόμεναι, πάνυ ἀόριστοί εἰσιν. ὅτι τῆς ἰδίας ὕλης ἀπεώσθησαν, τοῦ ὡς εἴρηται δεικνύντος προσώπου καὶ τοῦ δεικνυμένου. ἔνθεν δοκεῖ πάνυ εὐλόγως κατὰ τὰς ἐντελεῖς γραφὰς, χωρὶς τῆς προσθήκης τῶν ἀντονομαζομένων τὰ τοῦ λόγου μηδόλως καθίστασθαι.

ἀπαγελ-

ἀπαγγελλόμεναι μὲν γὰρ, ἀπροσδεεῖς τῶν ἀνθ' ὧν παρελήφθησαν ὀνομάτων τυγχάνουσιν, ὡς ἐνεργείᾳ κατὰ τούτων τὰς δείξεις ποιούμεναι, ἐγγραφομένων δέ, ἀναγκαίως συμβαίνει, διὰ τὰς ἐπισυμβεβηκυίας πράξεις τῷ τε ἀποφαινομένῳ προσώπῳ ὑπὲρ αὐτοῦ καὶ τῷ πρὸς ὃ ἡ τοῦ λόγου ἀπόστασις, τὸ γράφεσθαι καὶ τὴν τῶν ὀνομάτων θέσιν, ἵνα δυνάμει καὶ τούτων τὰς δείξεις ποιήσωνται αἱ ἀντωνυμίαι. τὸ γὰρ ἐγὼ ὁ σωκράτης σοὶ τῷ πλάτωνι ἔγραψα, δείκνυσι διὰ μὲν τῆς ἐγὼ, τὴν προκειμένην εὐθεῖαν, διὰ δὲ τῆς σοὶ, τὴν ἀνθυπαγομένην δοτικήν. περιγραφομένων δὲ τῶν ὀνομάτων, ὅ ἐστιν ἐξαρθέντων, ἀθετουμένων καὶ μὴ προσκειμένων, πρόδηλον ὅτι καὶ τὰ τῶν ἀντωνυμιῶν ἀόριστα γίγνεται. τῶν γὰρ παρόντων τε καὶ ἐγνωσμένων, οὐ τῶν ἀγνοουμένων ἡ δεῖξις. ταύτης γὰρ ἕνεκα αἱ ἀντωνυμίαι παραλαμβάνονται. ἧς ἀμοιροῦσιν αἱ θέσεις τῶν ὀνομάτων, ὥσπερ καὶ αἱ ἀντωνυμίαι τῆς ἰδιότητος τῶν ὀνομάτων. ἐν οἷς οὖν τὰ τῆς ὑποκειμένης ὕλης ἔγνωσται, ἱκανὸν εἰς δεῖξιν ἡ ἀντωνυμία καθ' ἑαυτὴν, ἐκείνης δ' ἀγνοουμένης, συμπαραληπτέον ἑκάτερα, τό, τε ἀντονομάζον καὶ τὸ ἀντονομαζόμενον, ὡς εἴρηται. οἷον, ἐγὼ ὁ σωκράτης σοὶ τῷ πλάτωνι ἔγραψα.

Τῶν ῥημάτων ἐν τρίτῳ προσώπῳ ἀοριστούντων.

Ἐν γ', φησὶ μόνῳ. καθ' ὅ, τι ἐν α', τε καὶ δευτέρῳ ὥρισται καὶ τὰ ῥήματα, συζυγοῦντα καὶ αὐτὰ τοῖς προσώποις, τὸ μὲν τύπτω δηλ, τῷ ἐγὼ, τὸ δὲ τύπτεις, τῷ σύ. Ζητοῦσι δέ τινες, τί ὅτι μὴ καὶ τὰ τρίτα τῶν ῥημάτων τῷ λόγῳ τῆς ἀοριστίας εἰς συζυγίαν συνέδραμεν; Οὐκ ἔστι δὲ κατὰ λόγον τὸ ζήτημα. τοῦ γὰρ συζυγεῖν καὶ τοῦ ὡρίσθαι ταυτουμένων ἀλλήλοις, τοιοῦτό τι προτείνειν δοκοῦσι, τί ὅτι μὴ καὶ τὰ τρίτα τῶν ῥημάτων τῷ λόγῳ τῆς ἀοριστίας εἰς ὁρισμὸν συνέδραμεν; οἱ δὲ τοιοῦτοι λελήθασι τὰ τῆς ἀντιφάσεως κατὰ τοῦ αὐτοῦ συνάγειν πειρώμενοι. ταὐτὸν γάρ ἐστιν ὡς εἰ ἔλεγον, τί ὅτι μὴ καὶ τὰ ἀόριστα, ὥρισται, ἢ ἀόριστα; ὡς εἶναι τὰ αὐτὰ ἐν ὡρισμένῃ ἀοριστίᾳ, εἴτ' οὖν ἐν ἀορίστῳ ὁρισμῷ;

Εἰ μή τῳ ἐξαίρετόν τι. οἷον, βροντᾷ, καὶ ἀστράπτει, καὶ ὕει. τὸν γὰρ Θὸν ἐπινοητέον, ὡς ταῦτ' ἐνεργοῦντα.

Πλήντινων ἐπίτινος ὡρισμένου καὶ ἐγνωσμένου προσώπου, εἴτ' οὖν ὑποκειμένου λεγομένων κατ' ἐξοχὴν ῥημάτων. οἷς ἐξῃρημένον τὸ τῆς ἐνεργείας πρόσεστιν, ἢ ἐπισυμβέβηκεν. ὡς ἐπὶ τοῦ ὕει καὶ τῶν ὁμοίων. αὐτὸ γὰρ ἐκεῖνο ἐπινοητέον, καθ' οὗ ταῦτα λέγεται. τὸ ποῖον δή; Ἀπολλωνίῳ μὲν ἥρμοττε φάναι τὸν δία ὡς δὴ ἕλληνι, τῷ δὲ Θεοδώρῳ, τὸν τῶν ὅλων Θεόν.

Ἐπεὶ τόγε τρίτον οὐπάνυτι οὐδ' ἐπὶ τούτων γε ὥρισται.

Ὡς εἴγε κἀπὶ τούτων μὴ τὸν Θὸν ἐπινοήσαιμεν τὸν ἐνεργοῦντα, δῆλον ὅτι οὐδὲ ἐπὶ τῶν τοιούτων ῥημάτων, οἷς ἐξαίρετόν τι ἐπισυμβέβηκε, τὸ πρόσωπον ὥρισται. Τῶν ῥημάτων τὰ μὲν ἐπὶ α', τε καὶ β', ὥρισται, ὡς τῶν ἀντωνυμιῶν κατηγορούμενα, ὡρισμένως ἀντονομαζουσῶν τὰ πρόσωπα. τὰ δὲ ἐπὶ γ', οὐχ ὥρισται, ὡς τῶν ὀνομάτων μᾶλλον κατηγορούμενα, ἀπειροπληθῶν τε ὄντων καὶ ὁμωνύμων, ἐνθέντοι καὶ καθ' ἑκάτερα ἀορίστων. κἀν τεῦθεν δῆλον ὡς τὰ ῥήματα ὁρίζεταί τε καὶ ἀοριστοῦται οὐκ αὐτόθεν, ἐκ δὲ τῶν ὑποκειμένων. δι' ὃ καὶ εἴη ἂν ὁριστικὰ οὐ μόνον

οὐ μόνον τὰ ῥήματα τῶν ὀνομάτων, ἀλλὰ καὶ ἐν ἀλλὰξ καὶ τὰ ὀνόματα τῶν ῥημάτων. τοῦ γὰρ αὐτοτελοῦς λόγου τὰ ἄκρα, τὸ ὄνομα λέγω καὶ τὸ ῥῆμα, ὅροι καλοῦνται ὡς ἀποπερατοῦντες τὸν λόγον, ἐκ μεταφορᾶς τῶν ἐν τοῖς χωρίοις ὁροθεσίων. τὸ δὲ ὁρίζον, ὁριζόμενον ὁρίζει. καὶ τοῦ λόγου ἄρα τῶν ὅρων ἑκάτεροι ἀλλήλων εἰσὶν ὁριστικοί. οἷον, ἐγὼ γράφω. ἐν ᾧ τὸ μὲν ὑποκείμενον διορίζει, ὅ ἐστιν ἀφορίζει τὸ κατηγορούμενον ἐκ τῶν λοιπῶν προσώπων, τοῦ δευτέρου λέγω καὶ γ', ὅτι δηλ. οὐ σὺ, οὔτε μὴν ἐκεῖνος. τὸ δ' αὖ κατηγορούμενον, ἀφορίζει τὸ ὑποκείμενον ἐκ τῶν λοιπῶν αὐτοῦ ἐν ἐργειῶν, ὅτι δηλ. οὐ περιπατῶ, οὔτε μὴν καθεύδω, ἀλλ' ἰδοὺ γράφω. ἀποφαινόμενοι γὰρ διὰ τῆς ὁριστικῆς ὁριζόμεθα, τὸ ὑποκείμενον δηλαδή. ἑκάτερος ἄρα τῶν ὅρων ὡρισμένος τέ ἐστιν ὁ αὐτὸς καὶ ὁριστικὸς δή, ὅτι μὴ ἐπὶ τῶν ἐν γ', προσώπῳ. διὰ γὰρ τὸ ὡς εἴρηται ἀπειροπληθὲς τῶν ὀνομάτων καὶ τὴν τούτων ὁμωνυμίαν, μὴ ἔχοντα ἔντι ἐγνωσμένον ὑποκείμενον τὰ κατὰ τὸ γ', ῥήματα, οὐθ' ὥρισται ὑπό τοῦ, οὔτε μὴν ὁριστικά τοῦ εἰσί. τίνος γάρ; ὁ γὰρ ὅρος, ὁριστοῦ ἐστιν ὅρος, θάτερον δὲ παρὰ θάτερον οὐκ ἔστιν ὅρος. καὶ γὰρ καὶ κατὰ τὸν φίφον καθ' ἑαυτὰ καὶ μὴ κατὰ συμπλοκὴν ἐννοούμενα, τὴν μετὰ τοῦ ὑποκειμένου δηλ. οὔτε καταφάσκει οὔτε μὴν ἀποφάσκει. φάσκει δὲ μόνον δηλονότι, ὡς μὴ προσκειμένου τινὸς ὑποκειμένου, καθ' οὗ, ἢ ἀφ' οὗ φήσουσιν, ἣν φάσκουσι φάσιν. οὐδὲ ὁριστικὰ ἄρ' εἰσὶν, ὅτι μὴ κατὰ συμπλοκήν. τὰ δὲ καθ' αὑτὰ μηδενὸς ὄντα ὁριστικὰ, πολλοῦ δέει ὁριστικά τινος εἶναι, ἀποβαλόντα ἀποφατικῶς τὴν ἐγκειμένην σφίσι κατάφασιν. οἷον, οὐ γράφει. ὃ λέληθε καὶ αὐτοὺς τοὺς ἐπὶ τῇ διαλεκτικῇ μηδενὶ τῶν πρωτείων παραχωροῦντας, ἑκάτερα οἰομένους τὰ εἴδη τῆς ἀποφάνσεως ὁριστικὰ εἶναι, τό, τέ φημι σωκράτης περιπατεῖ, καὶ τὸ σωκράτης οὐ περιπατεῖ. εἰπόντος γάρτινος, ὅτι ἡ ψυχή, ἐστιν ἄϋλος, ὅτι μὲν ὑλικόν τι οὐκ ἔστιν, ἐδιδάχθημεν τῷ λόγῳ, οὔπω δὲ δῆλον ὅ, τί ποτε χρὴ νομίζειν ἐκεῖνο εἶναι τὸ μὴ ὑλικὸν, οὐδὲ ὅ, τι περὶ αὐτοῦ προσήκει λέγειν. πρόκειται δὲ τοῦτο μάλιστα μαθεῖν οὐχ ὅ, τι οὐκ ἔστιν, ἀλλ' ὅπερ ἐστι. Καὶ γὰρ καὶ κατὰ τὸν θεῖον Χρυσός. ἐν τῇ πρὸς κολσ'. κφ'. β', ὁμλ'. ε', τί ἐστι τὸ ἀσώματον; ῥῆμα ψιλὸν μόνον. ἡ γὰρ ἔννοια οὐδὲν ἐδέξατο, οὐδὲ ἐνετύπωσεν ἑαυτῇ. κἂν γὰρ ἀνατυπώσῃ, εἰς φύσιν ἔρχεται καὶ τὰ τοῦ σώματος ποιητικά. ὥστε λέγει μὲν τὸ στόμα, οὐκ οἶδε δὲ ἡδιάνοια τί λέγει, ἢ ἐν μόνον ὅτι οὐκ ἔστι σῶμα, τοῦτο μόνον οἶδεν. ὡς γὰρ οὐκ ἀρκεῖ (φησὶ καὶ ὁ θεολόγ. Γρηγόρ. λόγ. β', περὶ θεολογ') τὸ σῶμα εἰπεῖν, ἢ τὸ γεγενῆσθαι, πρὸς τὸ καὶ τὸ περὶ ὃ ταῦτα παραστῆσαί τε καὶ δηλῶσαι, ἀλλὰ δεῖ καὶ τὸ ὑποκείμενον τούτοις εἰπεῖν, εἰ μέλλοι τελείως καὶ ἀποχρώντως τὸ νοούμενον παραστήσεσθαι, (ἢ γὰρ ἄνος, ἢ βοῦς, ἵππος, τοῦτο τὸ ἐνσώματον καὶ γενησόμενον καὶ φθειρόμενον) οὕτως οὐδὲ ἐκεῖ στήσεται μέχρι τοῦ εἰπεῖν, ἃ μή ἐστιν, ὁ τὴν τοῦ ὄντος πολυπραγμονῶν φύσιν, ἀλλὰ δεῖ πρὸς τὸ εἰπεῖν, ἃ μή ἐστι, καὶ ὅ ἐστιν εἰπεῖν. ὅσῳ καὶ ῥᾷον ἔντι περιλαβεῖν, ἢ τὰ πάντα καθ' ἕκαστον ἀπειπεῖν, ἵνα ἔκ τε τῆς ἀναιρέσεως, ὧν οὐκ ἔστι, καὶ τῆς οὗ ἐστι θέσεως περιληφθῇ τὸ νοούμενον. ὁ δὲ, ἃ μὲν οὐκ ἔστι, λέγων, σιωπῶν δὲ, ὅ ἐστι, ποιεῖ παραπλήσιον, ὥσπερ ἂν, εἰ τὰ πέντε δὶς, ὅσα ἐστὶν; ἐρωτώμενος, ὅτι μὲν οὐ δύω, λέγοι, οὐδὲ τρία, οὐδὲ τέσσαρα, οὐδὲ πέντε οὐδὲ εἴκοσιν, οὐδὲ τριάκοντα, οὐδέτινα, ἵνα συνελὼν εἴπω, τῶν ἐντὸς δεκάδος, ἢ δεκαδικῶν ἀριθμῶν, ὅτι δὲ εἴη δέκα μὴ λέγοι, μὴ δὲ ἐρείδοι τὸν νοῦν τοῦ ἐρωτῶντος εἰς τὸ ζητούμενον, πολλῷ γὰρ ῥᾷον καὶ συντομώτερον ἐκ τοῦ

ρον ἐκ τοῦ ὅ ἐστιν, ὅσα οὐκ ἔστι δηλῶσαι, ἢ ἐκ τοῦ ἀνελεῖν ἃ μή ἐστιν, ὅ ἐστιν ἐνδείξασθαι. καὶ τοῦτο παντὶ δῆλον. ἐνθέντοι καὶ οἱ ἐξ ἱεροσολύμων ἀποσταλέντες ἰουδαῖοι, ἵνα ἐρωτήσωσι τὸν Ἰῶ: σὺ τίς εἶ, ἀκούσαντες παρ' αὐτοῦ, ὅτι οὐκ εἰμὶ οὔτε ὁ Χς, οὔτε Ἠλίας, οὔτε ὁ Προφήτης, οὐκ ἔστησαν μέχρι τούτου, ὡς τῆς ἀποφάσεως μηθὲν ὡρισμένως δηλωσάσης, ἀλλ' ἐπερωτῶσι, τίς οὖν εἶ σύ; ἀκούσαντες δὲ καταφατικῶς, ὅτι ἐγὼ φωνὴ βοῶντος, κτ'. οὐκ ἔτι προσέθεντο ἐρωτῆσαι. τὸ γὰρ ἐν τῷ μὴ τό δέ τι λέγειν εἶναι, αὐτὸ τὸ εἶναι τοῦ ζητουμένου, ὅ, τί ποτέ ἐστι, διερμηνεύειν, οὐκ ἐν πᾶσιν ἁπλῶς, ὥς τισιν ἔδοξεν ἐν τοῖς Μακρινίοις, (ἃ παντὸς ἂν εἴη μᾶλλον ἢ Γρηγορίου τοῦ νύσσης,) ἀλλ' ἐν τοῖς ἀμέσως ἀντικειμένοις χοίη ἂν χώραν. ἐν οἷς τῇ θατέρου ἀποφάσει θάτερον ἀναλαμβανόμεν. ἀπόνηρον γὰρ εἰπόντες, τὸν ἀγαθὸν παρεστήσαμεν, καὶ ἄνοσον ὀνομάσαντες, τὸν ὑγιεινὸν ἐγνωρίσαμεν. ἀλλ' ἡνίκα καὶ τούτων τὸ ἕτερον, ἢ καὶ ἑκάτερον πολλαχῇ διατέμνεται, τῶν ὁμωνύμων ὂν καὶ ἄλλως πολύσημον, οὐδ' ἐν τούτοις τὸ τηνικαῦτα τὸ ἀναλαμβανόμενον δῆλόν ἐστιν. ἐναντία μὲν γὰρ σῶμά τε καὶ ἀσώματον, οὐ μὴν ὁ λέγων μὴ σῶμά τι εἶναι, ἤδη καὶ αὐτὸ τὸ εἶναι τοῦ ζητουμένου ὅ, τί ποτέ ἐστι, διηρμήνευσεν. εἴγ' οὐ μοναδικὸν τὸ ἀσώματον. ἀσώματον γὰρ καὶ Ἄγγελος καὶ Ψυχὴ καὶ Δαίμων, καὶ Θς. Ἀπορήσειε δέ τις, ὡς καταφασίς τε καὶ ὁρισμὸς ταυτοδυναμοῦσιν, ὡς ἐκ τῶν ἐν τῇ ὁριστικῇ ἐγκλίσει ξυμβαλεῖν ἐστιν. (ἀποβάλλουσα γάρ φησιν, ἡ ὁριστικὴ τὴν ἐνοῦσαν κατάφασιν, οὐκ ἔτι ἂν καλοῖτο ὁριστικὴ, ὡς τῇ καταφάσει συναποβάλλουσα καὶ τὸν ὁρισμὸν δηλονότι. εἴγε καὶ ἔστι τὸ ὁρίζειν οὐθὲν ἀλλ' ἢ τὸ εἰπεῖν τί τινι ὑπάρχει.) τὸ ἄρα ἀποφατικὸν ἐπίρρημα καὶ τὰ ἑξῆτα τῶν ῥημάτων τὰ, ὡς ἐδείκνυτο, ἀοριστούμενα, ὁριστικὰ ὄντα ἐξελέγχει. τὴν γὰρ ἐγκειμένην τοῖς ῥήμασι κατάφασιν ἀφιστῶν, οὐδὲν ἀλλ' ἢ τὸν ἐγκείμενον αὐτοῖς ὁρισμὸν ἀφίστησι, προστεθέν. ἐπεὶ οὖν οὐ μᾶλλον τοῖς κατὰ τὸ α', καὶ β', ἢ τοῖς κατὰ τὸ γ', προσκεῖσθαι πέφυκε, δῆλον ὡς οὐδὲν ἀλλ' ἢ τοῦτο παρίστησιν, ὡς ἔγκειται κἂν τοῖς τρίτοις ἡ ἀντιφάσκουσα οἷ κατάφασις, ἑπομένως δὲ καὶ ὁ ὁρισμός. Ἢ ὅτι οὐ πᾶσιν ἁπλῶς τοῖς ἑξῆτοις τῶν ῥημάτων προσκεῖσθαι πέφυκε τὸ ἀποφατικὸν, ἀλλὰ μόνοις τοῖς κατὰ σύνθεσιν εἴτ' οὖν συμπλοκὴν τὴν πρὸς τὸ ὑποκείμενον λεγομένοις. οἷον, σωκράτης, ἢ οὗτος περιπατεῖ. τοῖς γὰρ τοιούτοις ἔγκειται τὰ τῆς καταφάσεως. τοῖς δὲ καθ' ἑαυτὰ καὶ δίχα τοῦ ὑποκειμένου προενηνεγμένοις οὐδαμοῦ προσκείμενον εὕρηται, ὡς μὴ καταφάσεως, ἀλλ' ἁπλῶς φάσεως αὐτοῖς ἐγκειμένης. οὐ δὲ γὰρ κατά τινος, ὃ φάσκουσι, φάσκουσι. καλοῖντο δ' ἂν ἄλλως ὁριστικὰ, ὡς μὴ ἐκ στάντα τῆς ὁριστικῆς φωνῆς. καθ' ὃν λόγον καὶ τὸ εἰ ἔγραψα, εἰ καὶ μὴ ὁρισμὸν ἐμφαίνει, ὁριστικὸν ὅμως ἀκούει καὶ αὐτό. ὁ δ' αὐτὸς λόγος συνηγορήσει ὁριστικὸν καλεῖσθαι καὶ τὸ οὐ γράφω καὶ τὰ ἑξῆς ἀποφατικὰ, καὶ ᾗ εἰ καὶ μὴ ὑποκειμένου, ἀλλ' οὖν προτάσεως ὁριστικὰ, ἀποπερατοῦντα αὐτήν.

Καθόλου δὲ, ὥσπερ τὰ ὀνόματα, οὕτω καὶ αἱ ἀντωνυμίαι τοῖς ῥήμασι κατὰ πτῶσιν ἑκάστην συντάσσονται, καὶ ταῖς μὲν εὐθείαις, ἀμεταβάτως. οἷον, οὗτος τρέχει, ταῖς δὲ πλαγίαις, μεταβατικῶς. τούτου φείδομαι. τούτῳ χαρίζομαι. τοῦτον ἐπαινῶ. ἢν μὴ τὰ ῥήματα ἀπόλυτα ἄττα καὶ ἄσχετα ᾖ. οἷον τὸ ζῶ, καὶ πλουτῶ, καὶ ὑγιαίνω.

Ἑξῆς ἐκτίθησι καὶ τὴν πρὸς τὰ ῥήματα τῶν ἀντωνυμιῶν σύνταξιν. κατὰ δὴ τὰ ὀνόματα καὶ αἱ ἀντὶ τούτων λαμβανόμεναι ἀντωνυμίαι τοῖς ῥήμασι συντάσσονται, τῆς μὲν εὐθείας συνούσης τοῖς ῥήμασιν ἀμεταβάτως, τῶν δὲ πλαγίων ἐκδεχομένων αὐτὰ μεταβατικῶς. οὐ μὴν ἀντιστρέφει τὰ τοῦ λόγου. οὐ γὰρ ἅπαντα τὰ ῥήματα πλαγίας ἀπαιτεῖ ὀνομάτων, ἢ ἀντωνυμιῶν. ἐπεὶ ἃ μὲν αὐτῶν αὐτοτελῆ ἐστι κατηγορήματα καὶ ἀπόλυτα τῆς πρός τι ἕτερον ἀναφορᾶς, εἴτ' οὖν ἀμετάβατα. ἃ δὲ, ἐλλειπῆ. τό, τε γὰρ περιπατεῖ, ἢ πλουτεῖ, ἢ ζῇ, εἴτι τῶν τοιούτων οὐκ ἐπιζητεῖ πλαγίαν πτῶσιν. περὶ ὧν ἐντελῆ τὸν λόγον παρεστήσαμεν ἐν τῇ κατ' ἰδίαν αὐτῶν συντάξει. Ἐπὶ δὲ τοῦ, περιόψει οὖν με, ὦ ἑταῖρε, καὶ ταῦτα φίλος ὤν; καὶ τῶν ὁμοίων, τὸ ταῦτα, οὐκ ἀντὶ τοῦ μάλιστα ἑρμηνευτέον. τίς γὰρ κοινωνία τοῦ ταῦτα ἀντωνυμικοῦ πρὸς τὸ μάλιστα ἐπιρρηματικόν; ἀλλ' ἐλλειπτικῶς. οἷον, παρελογίσω με, ὦ οὗτος, καὶ ταῦτα φίλος ὤν. ἀντὶ τοῦ καὶ ταῦτα τὰ τοῦ παραλογισμοῦ ἐποίησας, φίλος ὤν. ὡς ἀποδίδοσθαι τὴν μετοχὴν οὐχὶ πρὸς τὸ παρελογίσω, ἀλλὰ πρὸς τὸ συνυπακουόμενον ἐποίησας.

Διακριτικόν.

Προστίθεμεν δὲ τὴν εὐθεῖαν

Τὴν ἀντωνυμικὴν,

Τοῖς ῥήμασι

Τοῖς κατὰ τὸ α', καὶ δεύτερον.

Πολλαχῇ, οὐχ ὡς μὴ ἐνοῦσαν δυνάμει καὶ νοουμένην,

Ἅπασι γὰρ τοῖς κατὰ τὸ α', καὶ β', ῥήμασιν ὡς ἐν ὑποκειμένῳ οὖσι, συνεννοεῖται τὸ ὑποκείμενον, εἴτ' οὖν ἡ εὐθεῖα. τὸ δὲ δυνάμει, διττόν. λέγεται γὰρ τό, τε οἷόν τε γενέσθαι, μήπω μηδαμῶς γενόμενον τοῦτο, ὃ λέγεται δυνάμει. ὡς τὸ σπέρμα δυνάμει ζῷον, καὶ τὸ παιδίον δυνάμει μουσικόν. ὅτι δύναται γενέσθαι τὸ μὲν σπέρμα, ζῷον, τὸ δὲ παιδίον, μουσικόν. καὶ τὸ γενόμενον μὲν ἤδη καὶ τὴν ἕξιν τελείαν ἔχον, ἁπλῶς δὲ μὴ ἐνεργοῦν κατ' αὐτὴν, ὡς δυνάμει μουσικὸς ὁ Ἀριστόξενος, ὅτε μὴ κιθαρίζει, ἀλλ' ὑπνοῖ τυχὸν, ἢ ἄλλο τι ποιεῖ. ὧν τὸ μὲν πρῶτον, λέγεται τὴν φύσιν ἀτελὲς, τὸ δὲ δεύτερον, τέλειον. καὶ τὸ μὲν α', κατ' ἐπιτηδειότητα, τὸ δὲ β', καθ' ἕξιν. ὧδε δὲ κατὰ τὸ β', εἴληπται τὸ δυνάμει. διττὸν δὲ καὶ τὸ Ἐνεργείᾳ, τό, τε δυνάμενον ἐνεργεῖν κατ' ἐκεῖνο, ὃ λέγεται, μὴ μέν τοι ἐνεργοῦν κατ' ἐκεῖνο, ὃ λέγεται. ὡς ὁ Ἀριστόξενος λέγεται μουσικὸς, ἐνεργείᾳ ὢν μουσικός. ἐπεὶ δύναται ἄρτι κατὰ τὴν μουσικὴν ἐνεργεῖν καθ' ὃ μουσικός. ὅπερ ταὐτόν ἐστι τῷ δευτέρῳ σημαινομένῳ τοῦ δυνάμει, καὶ τὸ κατὰ τὴν ἐνεργὸν κίνησιν θεωρούμενον. οἷον, ὅταν ὁ μὲν Ἀριστόξενος κιθαρίζῃ, τὸ δὲ πῦρ καίῃ. κατὰ δὴ τὸ β', σημαινόμενον τοῦ ἐνεργείᾳ προστίθεμεν τοῖς ῥήμασι τὴν εὐθεῖαν.

Ἀλλ' ἤτοι πλείονος ἐνδείξεως ἕνεκα, ἢ διαστολῆς.

Ἐννοουμένη μὲν γὰρ, ἀπολύτων προσώπων τυγχάνει παραστατικὴ, προσκειμένη δὲ, τήν τε δεῖξιν τοῦ ῥήματος ἐπιτείνει, καὶ εἰς ἀντιδιαστολὴν παρεμπτώσεως ἑτέρου προσώπου παραλαμβάνεται, ὡς ἐν τοῖς προοιμίοις εἴρηται. πλείονος γὰρ καὶ ἐνδείξεως κατὰ ταὐτὸν καὶ διαστολῆς, λέγω δὲ προσώπων καθ' ἑκάτερα, αἱ ἀντωνυμίαι εἰσὶν ἐμφαντικαὶ, ἢ τὰ ῥήματα. Δοκοῦσι δὲ μὴ τῶν διεζευγμένων, τῶν δὲ συνερχομένων ἀλλήλαις εἶναι διαστολή τε καὶ δεῖξις, ὡς εἶναι

τὴν διαστο-

τὴν διαστολὴν τὴν αὐτὴν καὶ δεῖξιν. διαφέρει ὅμως διαστολὴ δείξεως ὡς εἶδος γένους, ἐπ' ἔλαττον οὖσα τῆς δείξεως. εἴ γ' ἡ μὲν δεῖξις κἀπὶ τῆς ἀπολελυμένης εἴ τ' οὖν ἐγκλινομένης λέγεται, ἡ δὲ διαστολὴ ἐπὶ μόνης τῆς ὀρθοτονομένης. ὡς εἶναι πᾶσαν μὲν διασταλτικὴν, καὶ δεικτικὴν δὴ, οὐ πᾶσαν δὲ δεικτικὴν, ἤδη καὶ διασταλτικὴν τὴν αὐτήν. ὡς οὐδ' ἡ ἐν τῷ ἔδωκάς μοι. ἥγε μὴν ἐπιτεταμένη δεῖξις, καὶ διασταλτική ἐστιν ἡ αὐτή. εἴ γ' ὑφειμένη μὲν δεῖξις τὸ γράφω, καὶ τὸ, ἔδωκάς μοι, καὶ ἁπλῶς τὸ τῶν προσώπων ἀπόλυτον, ἐπιτεταμένη δὲ τὸ, ἐγὼ γράφω, καὶ τὸ, ἐμοὶ ἔδωκας, καὶ ὅλως τὸ τῆς ἀντιδιαστολῆς. ὅθεν τῶν διαζευκτικῶν συνδέσμων τὸν ἕτερον παραδιαζευκτικῶς ὑπακουστέον οὑτωσὶν, ἤτοι πλείονος ἐνδείξεως ἕνεκα, ἢ καὶ διαστολῆς.

Διακριτικωτάτη γάρ τοι προσώπων ἡ ἀντωνυμία.

Τὸ κατὰ τὴν τῶν προσώπων διαστολήν τε καὶ διάκρισιν ὑπερθετικὸν τῆς ἀντωνυμίας οὐ μόνον πρὸς τὸ ῥῆμα εἴληπται, ἀλλὰ καὶ πρὸς τὸ ὄνομα. εἴ γε οὐχὶ πρὸς ἕν, πρὸς δὲ πλείω ἀεὶ τὸ ὑπερθετικόν. διακριτικὸν μὲν οὖν καὶ τὸ ὄνομα προσώπων, ἀλλὰ κατὰ μόνον τὸ γ', ἢ καὶ τὸ τῆς κλητικῆς δεύτερον, τὸ δὲ ῥῆμα, διακριτικώτερον, ὡς καὶ κατὰ τὸ α', καὶ β'. ἡ δὲ ἀντωνυμία διακριτικωτάτη, ὡς οὐχ ἁπλῶς κατά τε τὸ ὄνομα καὶ τὸ ῥῆμα, εἴ τ' οὖν ἀπολύτως τε καὶ ἀορίστως, ἀλλ' ὡρισμένως τὰ πρόσωπα διακρίνουσα. Δῆλλον δὲ ἐντεῦθεν, ὡς οὐ παντάπασιν ἄμοιρον δείξεώς τε καὶ διαστολῆς τό, τε ὄνομα καὶ τὸ ῥῆμα. εἴ γε τὴν εὐθεῖαν προστίθεμεν ἐνδείξεως ἕνεκα, ἢ διαστολῆς πλείονος, ἢ ὅσην ἔχει δηλονότι τό, τε ὄνομα καὶ τὸ ῥῆμα. ὅλως γὰρ ἐπὶ δυοῖν ἡ παράθεσις. Τῶν μὲν οὖν πρόσωπα διακρινόντων δυοῖν ἑτεροειδῶν μορίων, τοῦ ὀνόματος λέγω καὶ ῥήματος, διακριτικωτάτη ἁπλῶς ὡς εἴρηται ἡ ἀντωνυμία, ὑπαξαιρουμένης τῆς ἐγκλιτικῆς, πρὸς δὲ ἑαυτὴν παρεξεταζομένη, ἀδιάκριτος μὲν ἡ ἀπόλυτος, εἴ γ' ἀοριστῷδες τὸ τῆς ἐγκλιτικῆς τάσεως, διακριτικὴ δὲ ἥ τε δεικτικὴ καὶ ἡ ἀναφορικὴ, ἡ μὲν, κατ' ὄψιν, ἡ δὲ, κατὰ νοῦν τὴν δεικτικὴν ἀντιδιαστολὴν ποιουμένη, διακριτικωτέρα δὲ, ἡ ἐπιταγματική. Οὐπάντως δὲ οὐδὲ ἀναγκαίως ἡ ἀντωνυμικὴ δεῖξις καὶ ἑτέρου προσώπου ἐστὶν ἀντιδιασταλτική. τὸ γὰρ οὗτος ὁ Θ̀ς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. καὶ τὸ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν. καὶ τὸ ἐγὼ οὐκ εἰμὶ ἐκ τοῦ κόσμου τούτου. οὐ πρὸς ἀντιδιαστολὴν ἑτέρων τὰ μὲν, προσώπων, τὰ δὲ, πεποιημένων κόσμων εἴρηται, ἀλλ', ἵν' οὕτως εἴπω, μοναδικῶς τὸν ἤδη καὶ πρὸς τοῦτο τεθειμένον ὑποδείκνυσι. (Κύριλλ: Ἀλεξανδρ'. εἰς τὸν Ἰω̄. βιβλ', ε'. κφ, δ'.) Οἱ γοῦν πλεῖστοι ὑπέλαβον τὴν τῶν ῥημάτων σύνταξιν ἐν τελεστέραν εἶναι, εἰ προσλάβοι καὶ τὰς ἀντωνυμίας. ἐγὼ ἔγραψα. ἐγὼ λαλῶ. κἀπὶ τῶν ὁμοίων τὸ αὐτό. καὶ τούτου ἀπόδειξίν φασι τὸ μὴ δεόντως ἔχειν τὴν τοιαύτην φράσιν, εἰ μὴ προσλάβοι τις καὶ τὰς ἀντωνυμίας. ἀκατάστατα γὰρ τὰ τοῦ λόγου γενήσεται. ἐγὼ μέντοι ὑπολαμβάνω οὐκ ἐν τῷ καθόλου ἀληθὲς τὸ τοιοῦτον εἶναι, πιστούμενος οὐκ ἐκ ποιητικῶν παραθέσεων, εἴ γε τῇ ποιητικῇ συντάξει ἐφεῖται καὶ πλεονάζειν καὶ ἐλλείπειν, ἔκγε μὴν τῆς κοινῆς φράσεως ἁπάσης καὶ τῆς τῶν συγραφέων ἀκριβοῦς συνθέσεως. τὸ δὲ μεῖζον, ἐκ δυνάμεως τῆς τοῦ λόγου. ἣν καὶ δέον ἐστὶ παραθέσθαι, τῶν ἄλλων συντάξεων προδήλων οὐσῶν. ἡ δὲ δεῖξίς ἐστιν ἐξ ὁμοιότητος. παρυφίσταται ἐν τισι τοῦ λόγου μέρεσι δηλούμενον ἄττα ἐξ ἑτέρων μερῶν τοῦ λόγου παρὰ τὴν ἰδιότητα τῶν προκειμένων γνωριζόμενα.

φέρ' ἐπὶ

φέρ' ἐπὶ τῶν ὀνομάτων, ἐν μὲν τῷ αἴας τὸ εἷς. ἑνικὸν γάρ. ἐν δὲ τῷ κρονίδης γενικὴ ἑνικὴ τοῦ πρωτοτύπου καὶ τὸ υἱὸς μετ' εὐθείας ἑνικῆς. οἷον, ὁ τοῦ κρόνου υἱός. ἐν τῷ λεσβόθεν μετὰ τῆς ὀνοματικῆς ἐνοίας τῆς κατὰ τόπον καὶ ἡ ἐξ, πρόθεσις. ἐν τῷ αἴαντε τὸ δύω. δυϊκὸν γάρ. ἐν τῷ ταχύτερος, τὸ μᾶλλον. παραθετικὸν γάρ. ἐν τοῖς προστακτικοῖς καὶ εὐκτικοῖς τῶν ῥημάτων, τοῖς μὲν, τὰ παρακελευσματικὰ, τοῖς δὲ τὰ εὐκτικὰ τῶν προσρημάτων. πάμπολλος ἡ εἰς τοῦτο παράθεσις. καὶ οὐκ ἔστιν ὅς τις φήσει ἐν τῷ κρονίδῃ λείπειν τὸ υἱὸς, ἢ ἐν τῷ ταχύτερος, τὸ μᾶλλον. προστεθέντα δὲ ποιητικῶς, περισσὴν θέσιν ἐπαγγέλλεται. (ἐφιστάνομεν τοὺς ἀποφαινομένους ἐξ οὐνόθεν, ποιηταῖς χαριζόμενοι τὸ τοιοῦτο. παρ' οἷς λείπουσιν, ὥσπερ ἄρθρα, οὕτω καὶ προθέσεις, καὶ πλεονάζουσιν. ἀλλ' ὑμεῖς ἔρχεσθε. καὶ ἀγγελίην ἀπόφασθε. ἀπ' οὐνόθεν προΐαλε. ἔνθα μὲν γὰρ, ἐλλείπει τὸ προθετικὸν, ἔνθα δὲ, πλεονάζει.) ἀλλ' οὐδ' ἐν τῷ αἴας ἑνικὸν καλούμενον λείπει τὸ εἷς. Καὶ δὴ κἂν τοῖς ῥήμασι πάμπολλά εἰσι παρυφιστάμενα, ἐν μὲν τοῖς ὁριστικοῖς ὁ αὐτὸς λόγος, εἴτ' οὖν ὁ ὁριστικὸς, καὶ ἡ ἐξ αὐτοῦ νοουμένη κατάφασις, μήτε προσκειμένη, μήτε μὴν ἔξωθεν προσλαμβανομένη, οἴκοθεν δ' ὑπακουμένη. ὅπουγε καὶ πρὸς τὰς ἐρωτήσεις ἀνθυπάγομεν τὸ ναὶ, ἢ τὸ οὔ, ἢ ἀντ' αὐτοῦ τὸ ἐρωτώμενον ὁριστικὸν ῥῆμα, ὡς ἂν ἐγκειμένης τῆς καταφάσεως τοῖς ὁριστικοῖς. γράφει; λέγω κατ' ἐρώτησιν, καὶ τὸ ἀνθυπαγόμενόν ἐστιν ἤ τοι ναὶ, ἢ γράφω. ἔνθεν δὴ καὶ ἡ οὐ, ἀπόφασις τὸ ἐναντίον ἀναιροῦσα, τὴν ἐγκειμένην δηλ: τοῖς ὁριστικοῖς κατάφασιν, αὐτὸ μόνον τὰ ὁριστικὰ ἀποφάσκει, οὐ γράφω. Ἀλλ' ἔστι καὶ ὑπὲρ τούτων παραθέσθαι τὰ ἐπὶ τῶν ὀνομάτων εἰρημένα. ὡς ἔγκειται κἂν τούτοις ἀριθμὸς ἑνικὸς μὲν, ἐν τῷ γράφῳ. δυϊκὸς δὲ, ἐν τῷ γράφετον. πληθυντικὸς δὲ, ἐν τῷ γράφομεν. Καὶ πάλιν οὔτε τὸ εἷς ἐπιζητεῖ τὸ γράφω, οὔτε τὸ δύω τὸ γράφετον, ἢ τὸ γράφομεν τὰ πολλά. συνεννοεῖται γὰρ τούτοις ὁ οἰκεῖος ἑκάστου ἀριθμὸς, μὴ προσαπαιτούμενος. εἰ δὲ ταῦτα συνυπακούεται, σαφὲς ὅτι καὶ ἡ τῆς ἀντωνυμίας εὐθεῖα, τῶν ῥημάτων τοῖς ἐν ὑποκειμένῳ οὖσι συνυπακούεται. καὶ εἰ τὰ προκατειλεγμένα παραδείγματα οὐ λείπει διὰ τὰ παρυφιστάμενα, οὐδὲ τὰ ῥήματα ἄρα, φέρε τὸ γράφω, ἐλλειπές ἐστι τῆς ἀντωνυμίας. φαμὲν γὰρ, γράφω, γράφεις, δίχα τῆς προσθέσεως τοῦ ἐγὼ, καὶ σὺ, ἥκιστα τοῦ λόγου λυμαινομένου. καίτοιγ' ἄνευ τῆς εὐθείας ὁ λόγος ἐστὶν ἐλλειπής. φανερὸν γὰρ ὅτι συνεννοοῦνται τοῖς ῥήμασιν αἱ ἀντωνυμικαὶ εὐθεῖαι. οὐχὶ οὖν λέγεται ἐγὼ γράφω, καὶ οὐ κακία τὸ τοιοῦτο; Καὶ αὐτὸς προείρηκα, ὅτι οὐκ ἐν τῷ καθόλου. οὐδὲ γὰρ οὐδ' αὐτοί φαμεν ἐς τὸ παντελὲς μὴ προσκεῖσθαι τοῖς ῥήμασι τὰς ἀντωνυμίας. ἰδοὺ γὰρ καὶ τὰ προκατειλεγμένα συγκριτικὰ ὀνόματα, ἀνάγκης ποτὲ οὔσης τῆς κατὰ τὸν λόγον, συμπαραλαμβάνει τὰ παρυφιστάμενα μόρια. ῥήϊτεροι γὰρ μᾶλλον ἀχαιοῖσι. δὶς γὰρ γενομένης ἐπιτάσεως, ἀνάγκη πᾶσα τοῦ καὶ τὴν ἑτέραν παραληφθῆναι, ὡς εἰ καὶ φαίημεν, ὅτι σοφώτερος σωκράτους ἀριστοτέλης μᾶλλον, ἢ πλάτων. ἀποτεινομένης τῆς παραθέσεως τῆς μὲν ὀνοματικῆς, πρὸς τὸν σωκράτην. τῆς δ' ἐπιρρηματικῆς, πρὸς τὸν πλάτωνα. φαμὲν δὲ καὶ, ναὶ γράφω, βεβαιοτέραν ποιούμενοι τὴν ἀπόκρισιν διὰ τῆς δὶς παρειλημμένης συγκαταθέσεως. ἀλλὰ καὶ ἔνα ἀνὸν φαμὲν περιπατεῖν πρὸς ἀντιδιαστολὴν τοῦ τε ἀντιπαρακειμένου πλήθους μὴ περιπατοῦντος, καὶ τῆς τῶν πάντων ἀναιρέσεως, λέγω τῆς, οὐδεὶς περιπατεῖ, εἴγ' εἷς περιπατεῖ. οὐδένα εὗρον. Τὸν αὐτὸν δὴ τρόπον κἀπὶ τῶν ἀντωνυμιῶν, ὑπούσης ἐκφο-

σης ἐκφορᾶς ἀπολύτου μὲν, φήσομεν, φιλολογῶ, φιλολογεῖς. εἰ μέν τοι γε τὴν πρός τινα σύγκρισιν ἐθέλοιμεν διασαφῆσαι, ἐπισσώμεθα τὴν ἀντωνυμίαν, ἴδιον ἔχουσαν τὴν ἐν τοῖς προσώποις ἀντιδιαστολήν. σαφὲς γὰρ ὅτι οὐχ ἵνα τὸ α', ἢ τὸ β', πρόσωπον ἁπλῶς διαστείλωμεν, (τοῦτο γὰρ κοινὸν εἶχε καὶ τὸ ῥῆμα. δι' ὃ καὶ τὰ ἀπαρέμφατα δέεται τῆς τῶν ῥημάτων συντάξεως, ἐλλειπῆ καθεστῶτα προσώπων.) ἀλλ' ἵνα ὡς εἴρηται τὴν πρός τινα σύγκρισιν καὶ ἀντιδιαστολὴν διασαφήσωμεν. ἐγὼ γράφω. δηλονότι οὐδεὶς ἕτερος, οὐχ ὁ Τρύφων, οὐχ ὁ θέων. αὐτὸ τοῦτο καὶ ἀπὸ τῶν πλαγίων δείκνυται. ὃ γὰρ ἐπὶ τῶν εὐθειῶν ἡ παράλειψις, τοῦτο ἐπὶ τῶν πλαγίων ἡ ἔγκλισις. καὶ ὅπερ ἐπ' ἐκείνων ἡ πρόσληψις, τοῦτο ἐπὶ τῶν πλαγίων ἡ ὀρθοτόνησις.

Ἄλλως τε κἂν σύνδεσμος προσλαμβάνηται ὧδε, σὺ μὲν, ἐδίδασκες τὰ γράμματα. ἐγὼ δὲ, ἐφοίτων.

Μάλιστα τοτηνικαῦτα ταύτην προστίθεμεν, ὅταν καὶ μεριστικοῦ συνδέσμου παρέμπτωσις ᾖ, διαστέλλουσα τὸ ἐπιφερόμενον πρόσωπον. Ἄβρων μέν τοί φησιν, ὡς τὸ, ἐγὼ μὲν παρεγενόμην, οὐ συνετὸν, εἰ παραλίποι τὴν ἀντωνυμίαν. μὴ ἐπιστήσας, ὡς ὁ σύνδεσμος αἴτιος γενόμενος ἐπιπλοκῆς ἑτέρου λόγου, πάντως διήγειρε τὴν ἀντωνυμίαν, ἵνα δεόντως διαστείλῃ τὸ ἐπιφερόμενον πρόσωπον. ὅπερ ἐνέκειτο ἐν τῷ ἐπιφερομένῳ λόγῳ, τῷ, σὺ δ' οὔ. τῇ γὰρ δυνάμει, ὡς εἴρηται, τοῦ μὲν, συνδέσμου παρείληπται ἡ ἐγὼ, εἰς ἀντιδιαστολὴν τοῦ β', τοῦ, σὺ δ' οὔ. ὀρθοτονοῦμεν γοῦν τὸ ἡ δ' ἐμὲ χειρὸς ἑλοῦσα, διὰ τὸ ἀντιδιαστελλόμενον πρόσωπον τῶν ἑταίρων. Τὸ δὲ πάντων συνεκτικώτατον, αὗται αἱ ἀντωνυμικαὶ εὐθεῖαι ὑπαγορεύουσι τὸ ἕνεκα μόνον τῆς ἀντιδιαστολῆς συμπαραλαμβάνεσθαι. τοῦτο γὰρ μόνον τῶν ἄλλων πλεονεκτοῦσαι, παρῆκαν μὲν τὴν ἐγκλιτικὴν τάσιν. ἐπεὶ αὕτη ἀναπληροῦται πρὸς τῶν ῥημάτων. ἔμειναν δὲ ὀρθοτονούμεναι, διὰ τὸ ἐπακολουθοῦν αὐταῖς ἰδίωμα τῆς ἀντιδιαστολῆς. καὶ καθ' ὃ πᾶσα ἀντωνυμία ὀρθῆς πτώσεως, ἐγκλιτικῆς συντάξεως ἀπαράδεκτός ἐστιν, οὐ μόνον τῆς χρήσεως τὸ τοιοῦτον ἐπιδειξαμένης, ἀλλὰ καὶ τῆς φωνῆς συνεπισχυούσης τῇ χρήσει. εἴ γε αἱ ἀπὸ τοῦ ε, ἀρχόμεναι πλάγιαι ἀντωνυμίαι, ἅμα τῇ ἐγκλίσει καὶ τὸ κατ' ἀρχὴν ε, παραφθείρουσιν. ὅπερ οὐ παρακολουθεῖ τῇ εὐθείᾳ ἐγώ. ἐπεὶ ἀπαράδεκτός ἐστι τῆς ἐγκλιτικῆς συντάξεως. καὶ διὰ τοῦτο τῇ τοῦ ε, μονῇ αἱ παρ' αἰολεῦσιν ἀντωνυμίαι ὀρθοτονοῦνται καὶ βαρύνονται κατὰ τὸ τέλος. ἐγὼν, ἐμοῦ, ἐμοί. τὰ γὰρ παρ' ἡμῖν ὀξύτονα δισύλλαβα ὀνόματα, βαρύνουσι κατὰ τὴν ἀρχὴν ἐκεῖνοι, κάλος λέγοντες, σόφος, ὄξυς καὶ τὰ τοιαῦτα. πρὸς δὲ καὶ τὰς πληθυντικὰς τῶν ἀντωνυμιῶν. τὸ γὰρ ἡμῖν ἄμμι φασὶ, καὶ τὸ ἡμεῖς ἄμμες. πλὴν τῶν ἑνικῶν ὀρθοτονουμένων ὡς εἴρηται. πῶς οὖν οὐ γελοῖοι οἱ ὑπολαμβάνοντες τὴν ἐγὼ ἐγκλιτικὴν εἶναι, τοῦ ἰδιώματος ἔτι συντηρουμένου τῆς ὀρθῆς τάσεως; τῆς μονῆς φημὶ τοῦ τόνου καὶ τοῦ κατ' ἀρχὴν ε; ὅσου γε καὶ πλεονάσαν τὸ ε, τὰς ἐγκλινομένας τῶν ἀντωνυμιῶν εἰς τὸν ὀρθὸν τόνον μετέθεικεν; ἃς οὐκ ἄλλως τις πάλιν ἐγκλίνειεν, εἰ μὴ περιγράψειε τὸ ε, τοῦτ' ἔστι διαγράψοι, ἐξαλείψειεν. ὅπερ ἴδιον ἦν μόνης τῆς ὀρθοτονουμένης ἀντωνυμίας. ἔνθεν μοι δοκεῖ μόνως ἐγκλίνεσθαι τὴν τυ, ἀντωνυμίαν παρὰ δωριεῦσιν. οἷον, ὥς τυ. ἵνα τὸ ἀλλότριον τῆς εὐθείας ἐγγενόμενον, ἡ ἐγκλιτικὴ λέγω σύνταξις, ἀποβάλῃ μὲν τὴν εὐθεῖαν πτῶσιν, μετίῃ δὲ ἐπὶ τὴν συγγενῆ αἰτιατικὴν, ᾗ καὶ

συνυπάρχει ἡ εὐθεῖα, καὶ συνεμπίπτει ἐν δυϊκοῖς καί τισι τῶν πληθυντικῶν τῶν κατὰ τὸ κοινὸν γένος συναιρουμένων, ἀληθεῖς, ἱππεῖς, εὐηδεῖς, καὶ τῶν ὁμοίων καὶ ἐν ἅπασιν οὐδετέροις. ἐν οἷς καὶ ἡ κλητικὴ συνυπάρχει. ἐν γὰρ τοῖς οὐδετέροις τρεῖς πτώσεις εἰσὶν ὅμοιαι κατὰ πᾶντα ἀριθμόν. ἐπὶ μὲν οὖν τοῦ α', καὶ β', εἰς μόνην ἀντιδιαστολὴν αἱ ἀντωνυμίαι παραλαμβάνονται. τοῖς μέν τοι τρίτοις προσώποις ἀνάγκη πᾶσα, καὶ μηδεμιᾶς οὔσης διαστολῆς, προσεῖναι ἤτοι αὐτὰς τὰς ἀντωνυμίας, ἢ τὰ ἀνθ' ὧν αὗται παραλαμβάνονται, λέγω τὰ ἀντονομαζόμενα ὀνόματα, οὐχ ἕνεκεν πτώσεως. ἐπεὶ πάλιν παρυφίσταται τοῖς ῥήμασιν ἡ εὐθεία, ἀλλ' οὐδ' ἕνεκα προσώπου. νοεῖται γὰρ ὅτι τρίτον. ἀλλ' ἕνεκά γε τοῦ μὴ ἀοριστοῦσθαι. ἄπειρα γὰρ ὄντα τὰ γ', πρόσωπα, μιᾷ ἐπαρκεῖται συντάξει τοῦ ῥήματος. μία δὲ λέξις κατ' ἀπείρων κειμένη, σαφὲς ὅτι ἀόριστον πρόσωπον ὑπαγορεύει, εἰς πολλὰ πρόσωπα τρεπομένης τῆς διανοίας, καὶ μὴ δυναμένης διορίσαι τὸ περὶ οὗ ὁ λόγος. οὖσαι δὲ αἱ ἀντωνυμίαι ὡρισμένων προσώπων παραστατικαὶ διὰ τῆς ἐγκειμένης δείξεως, ἢ ἀναφορᾶς, ἀναγκαίως παρατίθενται τοῖς ἐπὶ τρίτου ῥήμασιν, ἔνθ' ἂν ἀδυνατῇ ληφθῆναι τὰ ὀνόματα, ἵνα ἐκ τῆς αὐτῶν παραθέσεως περιγράφηται ἡ ἀόριστος ἔννοια τῶν ἐπὶ τρίτου ῥημάτων. γράφει γὰρ ὅδε, ἢ οὗτος, ἐκεῖνος, αὐτός. Ἐν δὲ τοῖς φθάσασι διαπαροῦσί τινες, τί δήποτε ἐπὶ τῆς ἐγκλιτικῆς εἴτ' οὖν ἀπολύτου τῶν ῥημάτων συντάξεως μὴ συνεννοεῖται κατὰ τὴν εὐθεῖαν καὶ ἡ ἐγκλινομένη πλαγία, ἀλλὰ προσλαμβάνεται, ὡς ἐν τῷ ἔδωκάς μοι, ἤκουσά σου, ηὔφρανάς με; Ἄλογος δ' ἡ τοιαύτη ἀπορία. ἡ γὰρ ἐκ πρώτου εὐθεῖα ὡς ταυτοπροσωποῦσα τῷ ῥήματι, δι' αὐτὸ τοῦτο καὶ ἔγκειται. ὡς οὖν ἐγκειμένη, καὶ παραλειφθεῖσα συνυπακούεται, τὰ δὲ ἐκ τρίτου πτωτικὰ, ἑτεροπροσωποῦντα τοῦ ῥήματος, δι' αὐτὸ τοῦτο οὐδ' ἐγκείμενά ἐστιν. ὅθεν οὐδὲ συνυπακούεται παραλειφθέντα.

Σύνθετοι.

Τῶν δὲ συνθέτων χρῆσις μὲν, ὥσπερ εἴρηται, ἐπὰν τὸ αὐτὸ πρόσωπον ἐνεργῇ τε καὶ πάσχῃ.

Πανταχοῦ τὰ ἁπλᾶ τῶν συνθέτων ἡγεῖται, ὡς φύσει πρότερα. μετὰ τὰς ἁπλᾶς τοίνυν τῶν ἀντωνυμιῶν τὴν τῶν συνθέτων ἐκτίθεται σύνταξιν, ὧν ἑκάστης ἡ σύνθεσις, τοιάδε. τὰς ἐπιταγματικὰς ταῖς πρωτοτύποις ἐπὶ μὲν τῶν ἐνικῶν οὐχὶ συντάσσοντες, συντιθέντες δὲ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως κατὰ πᾶν πρόσωπον χρώμεθα. οἷον, ἐμοῦ αὐτοῦ, ἐμαυτοῦ. ἐμοὶ αὐτῷ, ἐμαυτῷ. ἐμὲ αὐτὸν, ἐμαυτόν. σοῦ αὐτοῦ, σεαυτοῦ. σοὶ αὐτῷ, σεαυτῷ. σὲ αὐτὸν, σεαυτόν. ἕου αὐτοῦ, ἑαυτοῦ. ἕοι αὐτῷ, ἑαυτῷ. ἓ αὐτὸν, ἑαυτόν. τὰ γὰρ τέλη τῶν πρωτοτύπων ἀπολείπονται ἐν τῇ συνθέσει, ἐξ ἀπολείποντος οὔσῃ καὶ τελείου, πλὴν τῆς αἰτιατικῆς τοῦ β', καὶ γ', προσώπου ἐκ δυοῖν οὔσης τελείων. ἐπὶ δὲ τῶν δυϊκῶν καὶ πληθυντικῶν, οὐχὶ συντιθέντες, συντάσσοντες δὲ, χρώμεθα. ἐκ δὲ εὐθειῶν σύνθεσιν οὐκ ἔστι γενέσθαι, δι' ὃν ἐκθήσομεν λόγον. Ἰστέον δὲ ὡς τοῦ Ἀπολλωνίου λέγοντος μὴ ἐν τῷ καθόλου κατὰ δὲ τὸ πλέον τὴν αὐτὸς ἐπιτασσομένην τοῖς ἀντωνυμικοῖς προσώποις, ἐπιταγματικὴν καλεῖσθαι, ἀληθὴς μὲν ὁ λόγος, ἡνίκα ἐπιτατικῶς ἐκλαμβάνηται, ἐπιτείνουσα δηλ. τὴν δεῖξιν. ἔστι γὰρ οὗ τότε καὶ προτάσσεται. ἐπίγε μὴν τῆς αὐτοπαθείας καθόλου ἐπιτάσσεται ἅπασι τοῖς ἀντωνυμικοῖς προσώποις, καὶ οὐχὶ κατὰ τὸ πλέον. χρώμεθα τοίνυν ταῖς συνθέτοις ἐπ' αὐτοπαθείας.

Ἑκάστη

Ἐκάστη δὲ;

Σωσθένης ἀνωνυμία. εἰπὼν γὰρ, τῶν δὲ σωσθέντων ἡ χρῆσις, εἶτα ἐπιμερίζων αὐτὰς κατὰ πρόσωπα, ἀριθμὸς ἡγεῖται, ἑκάστη τῶν φησὶ, τῶν συνθέντων δηλονότι, ὡς καὶ παρὰ Μιχαὴλ τῷ συγγέλῳ κεῖται, ὅθεν καὶ παρέξεσαι. πᾶσα γάρ φησι, σωσθένης ἀνωνυμία, πάντως εἰς τὸ αὐτὸ ὑποτρέφει πρόσωπον, ἢ εἰς τὸ κτῆμα αὐτῆς τῆς ἐνεργοῦντος κτήτορος.

Ἐπὶ τὸ ἐνεργὸν αὐτὸ ἐπιστρέφει, ἢ ἐπί τι τῶν

Κτημάτων

Αὐτῆς,

Τῆς ἐνεργοῦντος κτήτορος. ἔστι δὲ καὶ ἄπως εἰπεῖν, ὡς ἡ σωσθένης τὴν τῆς ἐνεργοῦντος ἐνέργειαν ἐπιστρέφει ἤτοι ἐπ' αὐτὸν τὸν τὸν ἐνεργοῦντα, ἢ ἐπί τι τῶν αὐτῆς.

Ὡσπερεὶ ἀνταναπλωμονή.

Ἀπὸ μεταφορᾶς εἴληπται τῶν σφαιρῶν. ὡς γὰρ ἐκεῖναι τὸν τοῖχον πρὸς ὀρθὰς γωνίας παίουσαι, ἐπὶ τὸν παίοντα πάλιν ἀνταναπλῶνται, ὅπως καὶ ἡ τῶν αὐτοπαθῶν ἐνέργεια, ἀπὸ τῆς αὐτῆς προερχομένη, ἐπὶ τὸ αὐτὸ ὑποτρέφει πρόσωπον. εἰδ' ἂν οἰκεῖον τὸ τῆς ἀνταναπλάσεως καὶ παρὰ τῆς ἀντιμεταβάσεως, ἔνθα ἡ ἔκτασις, καὶ β', ἐνέργεια ἐπί τι τῶν τᾶ, ἢν ἀντιμεταβαίνουσα. τὸ δὲ ὡσπερεὶ, μέσον τῆς καὶ τὴν ἀνταπόκλασιν μεταφορᾶς οἱονεὶ ἰαμά ἐστι. φασὶ καὶ οἱ περὶ Ἀριστοτέλην τε καὶ Θεόφραστον μεμιγμένα τινὰ τῶν θρασέων εἶναι μεταφορῶν τὰ ὡσπερεὶ, οἱονεὶ, εἰ χρὴ τὸν εἰπεῖν τὸν ξένον, εἰ δεῖ παρακινδυνωδεστικώτερον λέξαι, καὶ τὰ τοιαῦτα. ἡ δὲ ὑποστίμησις φασιν, ἴσται τὰ τολμηρά.

Σῴζω ἐμαυτόν.

Ἐπὶ τὸ ἐνεργὸν αὐτό.

Σῴζω τὰ ἐμαυτῆς.

Ἐπίτι τῶν αὐτῆς. ἔστι δὲ ἡ σωτάξις ἀπὸ τῆς κεκτημένης ἐπὶ τὸ κτῆμα. Ἀλλὰ δὴ ἡ τῆς ἐνεργοῦντος ἐπίτι τῶν αὐτῆς ἐνέργεια, πῶς ἂν εἴη ἀνταναπλωμονή, μὴ ἐπὶ τὸν ἐνεργοῦντα αὐτὸν ἐπιστρέφουσα, ἐπὶ δὲ τὸ κτῆμα ἐμβιβαζομένη, ἕτερον ὂν παρὰ τὸν ἐνεργοῦντα; ἢ πῶς ἂν εἴη αὐτοπαθὴς, ἡ ἀπὸ τῆς κεκτημένης ἐπὶ τὸ κτῆμα, ἢ πάλιν ἀνάπαλιν σωτάξις, τῆς μὲν αὐτοπαθείας ἐνεργείας ἔστης τῆς εἰς ἑαυτὸ ἐμὴν εἰς ἕτερον ἐνεργοῦντος, τῆς δὲ κτήματος ἑτέρας, ὡς εἴρηται, ὄντος παρὰ τὸν κτήτορα; Ἢ ὅτι τῷ λόγῳ τῆς καὶ τὴν κτῆσιν σχέσεως. τῇ δὲ ἑκατέρων πρὸς ἄλληλα ἀναφορᾷ συνεπαναφέρεται πρὸς τὸ ἐνεργὸν καὶ ἡ αὐτῆς πρὸς τὸ ἕτερον ἐνέργεια. οἷόν τι λέγω, τῇ τοῦ κτήματος πρὸς τὸν κτήτορα ἀναφορᾷ συναναφέρεται ἡ θυποστρέφουσα πρὸς αὐτὴν καὶ ἡ αὐτῆς πρὸς τὸ κτῆμα ἐνέργεια. καὶ αὖ τῇ τῆς κτήτορος πρὸς τὸ κτῆμα ἀναφορᾷ συναναφέρεται πρὸς αὐτὸ καὶ ἡ αὐτῆς πρὸς τὸν κτήτορα ἐνέργεια. ὁ δὲ σῴζων τὰ ἑαυτῆς, ἑαυτὴν δι' αὐτῶν σῴζει. καὶ αὖ τὰ σῴζοντα τὸν ἑαυτῶν, ἑαυτὰ δι' αὐτῆς σῴζει. ὅθεν καὶ τὸν τῆς ἀνταναπλάσεως λόγον, ὅστις ἐστὶν ἡ τῆς σώματος μετὰ τὸν πρὸς ἕτερον προσβολὴν, ἐπὶ τὸ αὐτὸ, ὅθεν πρῶτον προῆκται, ἐπιστροφὴ καὶ ἐπάνοδος, εἰ μὴ αὖ ἀκριβὴς τῆς ἀνταναπλάσεως ὁμοιότης, οὐχ ἡ ἀμέσως ἐπὶ τὸ ἐνεργὸν αὐτὸ ἐπιστρέφουσα ἐνέργεια. τίνι δὲ προσβαλοῦσα, ἀνταπεκλάσθη; ἀλλ' ἡ ἐπί τι τῶν αὐτῆς προσβάλλουσα, κἀκεῖθεν ἀνταναπλωμονὴ πρὸς τὸ ἐνεργὸν, διὰ τῆς ὡς εἴρηται κτητικῆς σχέσεως, ἐμὴν ἔχ τινος ἑτέρας

τέρου ῥήματος, ὥς τισιν ἔδοξεν, ὑπακουμένου, τὴν κτῆσιν δῆθεν ὑπεμφαίνοντος. τῆς γὰρ γενικῆς τοῦ συνθέτου αὐτόθεν αὐτὴν ὑπεμφαινούσης, λέγω τὴν κτῆσιν, οὐδενὸς ἑτέρου προσδεῖ. ἔστι καὶ γὰρ, φασὶ τὸ μὲν, ἐγὼ σῴζω τὰ ἐμαυτοῦ, οἷον τὸ, ἐγὼ σῴζω, ἅττα ἐκτησάμην ἐγὼ. τὸ δὲ, τὰ ἐμαυτοῦ ἐμὲ σῴζει, οἷον τὸ, ἐμοὶ κτητὰ, ἅττα σωστικὰ ἐμοί. Τερετιζόντων δὲ τὰ τοιαῦτα. ἐν οὐδετέρῳ γὰρ αὐτῶν αὐτοπάθεια ἀναφαίνεται, συνθέτου μὴ προκειμένης ἀντωνυμίας. τὴν δὲ τῆς ἐνεργείας ἐπὶ τὸ ἐνεργοῦν ἐπαναστροφὴν οἰητέον γίγνεσθαι, τὴν μὲν ἄμεσον, οἷον, τὴν σῴζω ἐμαυτὸν, καὶ κυκλικὴν περιαγωγὴν, ὡς μηδαμοῦ προσβάλλουσαν. τὴν δὲ σχετικὴν, εἴτ' οὖν τὴν, σῴζω τὰ ἐμαυτοῦ, καὶ γραμμικὴν εὐθυωρίαν, τὴν αὐτὴν οἱονεὶ εὐθείαν βαινούσης τῆς τοῦ ῥήματος μεταβάσεως ἔν τε τῷ προϊέναι εἴτ' οὖν προσβάλλειν τῷ κτήματι, κἂν τῷ ἐπανιέναι διὰ τῆς κτητικῆς σχέσεως, καὶ τῶν, ὡς καὶ ἀλλαχοῦ εἴρηται, ἡλιακῶν ἀκτίνων τὰς καὶ κάθετον ἐν ἐπιπέδῳ προσβαλούσας. ἡ γὰρ ἀπὸ τοῦ κεκτημένου ἐπὶ τὸ κτῆμα, ἢ τἀνάπαλιν ἐπιπίπτουσα, ὅ ἐστι προϊοῦσα, εἶτα, οὐ καὶ τὴν αὐτὴν εὐθεῖαν, διὰ δὲ γωνίας, ὥς φασί τινες, ἀντανακλωμένη, οὔ φημι τῆς τυχούσης, ἀλλὰ καὶ τῆς ἁπάσης εὐθυγράμμου ὀξείας ἐλάσσονος, (ἣν συνίστησιν ἥτε πρὸς ὀρθὰς τῇ διαμέτρῳ τοῦ κύκλου ἀπ' ἄκρας ἀγομένη καὶ ἡ περιφέρεια, ὧν μεταξὺ ἑτέρα εὐθεῖα οὐ παρεμπεσεῖται. Εὐκλείδ. βιβλ'. γ'. προτ'. ιϛ'.) οὐκ ἂν ἐπανέλθοι ἐπὶ τὸ αὐτὸ, ὅθεν προῆκται, εἰμήτιγε δύω εὐθεῖαι χωρίον περιέξουσιν. ὅπερ ἀδύνατον. Ἐν σταίη δέ τις ἐπὶ τοῖς εἰρημένος, ὡς ἐπεὶ διὰ τῆς καὶ τὴν κτῆσιν σχέσεως ἀντανακλᾶται ἐπὶ τὸ ἐνεργοῦν ἡ αὐτοῦ ἐπίτι τῶν αὐτοῦ ἐνέργεια, καὶ πῆρ ἄρα τὸν ἑαυτοῦ υἱὸν γεννῶν, ἑαυτὸν ἂν εἴη γεννῶν, καὶ ἔσται, ὥσπερ ὁ τὰ ἑαυτοῦ σῴζων, σήρ τε ἑαυτοῦ ὁ αὐτὸς καὶ σῳζόμενος, οὕτω καὶ ὁ τὸν ἑαυτοῦ υἱὸν γεννῶν, γεννήτωρ τε ἑαυτοῦ καὶ γενώμενος, ὅ ἐστι, πῆρ τε ἑαυτοῦ καὶ υἱός. οὗ τί γελοιότερον; Ἢ ὅτι, τοῦ ἑνὸς τῶν δυοῖν ἀτόπων δοθέντος, ἕπεται καὶ τὸ ἕτερον. τίς γὰρ τῶν πώποτε, τὸν ἑαυτοῦ υἱὸν ἀνεφάνη γεννῶν; ὃν ἔφθη λέγω γεννήσας, ἀναγεννῶν; υἱὸν γάρ τις ἁπλῶς ἑαυτῷ γεννᾷ, οὐμὴν τὸν ἑαυτοῦ υἱόν. πῶς γάρ; ὁ δὲ υἱὸν ἑαυτῷ γεννῶν, οὐκ ἤδη καὶ ἑαυτὸν γεννᾷ, μὴ προκειμένης αὐτοπαθείας. Ἀναπολῶν δέ τις, ὃν αὐτὸς, ἢ ἄλλος ἐγέννησεν υἱὸν, τοτηνικαῦτα λέγεται μὲν ὅτι τὸν ἑαυτοῦ υἱὸν ἐν τῷ δὲ τῷ τόπῳ, ἢ τῷ χρόνῳ, ἢ τόν δε τὸν τρόπον ἐγέννησεν, οὐμὴν παρὰ τοῦτο καὶ ἑαυτὸν γεννῆσαι ῥηθήσεται. καθ' ὅ, τι ὅτε ἐγέννησεν, οὐχὶ τὸν ἑαυτοῦ υἱὸν, ἀλλ', ὡς εἴρηται, υἱὸν ἐγέννησε.

Ἔστι δὲ φάναι.

Τἀνάπαλιν.

Καὶ τὰ ἐμαυτοῦ ἐμὲ σῴζει.

Ἀπὸ τοῦ κτήματος ἐπὶ τὸν κεκτημένον.

Ὥστε διχῶς ἡ περὶ τὸ αὐτοπαθὲς κτητικὸν σύνταξις, ἤτοι ἀπὸ τοῦ κεκτημένου ἐπὶ τὸ κτῆμα, ἢ ἀνάπαλιν.

Ὡς προεκτέθειται. ὅθεν δῆλον ὡς κἀπὶ τοῦ ἐπί τι τῶν αὐτοῦ ἐνεργοῦντος, συνθέτοις οὐ παραγώγοις, ὡς προείρηται, χρώμεθα. ἔστι δὲ αὐτοπαθὴς σύνταξις τοῦ κτητικοῦ, ἔνθα ἐνέργεια κτήτορός ἐστι πρὸς ἴδιον κτῆμα, ἢ κτήματος πρὸς ἴδιον κτήτορα. τοὺς δὲ παραγώγῳ κεχρημένους ἐπὶ τῆς τοιαύτης συντάξεως οὐ ζηλωτέον. οἷον δὴ καὶ τοῦ ξενοφ: ἐν τῷ περὶ κυροπδ'. τὸ ἐγὼ δίδωμί τε τὴν ἐμὴν καὶ λαμβάνω τὴν σὴν δεξιάν. ἀντὶ τοῦ τὴν ἐμαυτοῦ. καὶ θουκδ'. α',

πράσσε

πρᾶσσε θαρσῶν καὶ τὰ ἐμὰ καὶ τὰ σά. ἀντὶ τοῦ τὰ σαυτοῦ.

Ἔνθα δὴ,

Ἐν τῇ τοῦ αὐτοπαθοῦς κτητικοῦ συντάξει.

Καὶ μεταλαμβάνειν ἔξεστιν

Ἀντὶ τῆς συνθέτου ἀντωνυμίας.

Ὄνομα ἰσοδυναμοῦν.

Τῇ συνθέτῳ ἀντωνυμίᾳ. ὥστε κτητορολογεῖν κατ' αὐτὴν καὶ αὐτὸ ἐπ' αὐτοπαθείας.

Οἷον, τὸ ἴδιον, ἢ οἰκεῖον, ἢ τοιοῦτό τι.

Εἰ ἔστι τοιοῦτό τι παρὰ τὰ προκείμενα ἕτερον ὄνομα κτητορολογοῦν ἐπ' αὐτοπαθείας, αὐτὸς ἂν εἰδοίη Θεόδωρος.

Σωκράτης τὸν ἑαυτοῦ παῖδα παιδεύει.

Ἡ δὲ μετάληψις. οἷον,

Καὶ τὸν ἴδιον παῖδα.

Δῆλον δὲ, ὡς περὶ τὸ ἑτεροπαθὲς κτητικὸν, ὥσπερ οὐ ταῖς συνθέτοις, οὕτως οὐδὲ τῷ ταύταις ἰσοδυναμοῦντι ὀνόματι χρώμεθα. οὐ γάρ φαμεν, φιλῶ τὸν σὸν ἴδιον παῖδα, ἀλλ' ἁπλῶς τὸν σόν.

Πρός τε αὐτῷ τῷ ὀνόματι

Τῷ μεταληφθέντι

Καὶ τὴν γενικὴν τοῦ συνθέτου συντάσσειν.

Τὴν σύνθετον δηλ. ἀντωνυμίαν, κατ' οὐδεμίαν, ἀλλ' ἢ κατὰ μόνην γενικὴν διὰ τὴν κτητικὴν σχέσιν, συντακτέον. τὸ δὲ ἔξεστιν, ἀπὸ κοινοῦ.

Ρε.

Ἀφίημι κληρονόμον τὸν ἴδιον ἐμαυτοῦ υἱόν. φιλεῖ πᾶς ὁστισοῦν τὸν ἴδιον ἑαυτοῦ παῖδα.

Ὥσπερ ἐνταῦθα ἥτε σύνθετος κτητικὴ ἀντωνυμικὴ γενικὴ καὶ τὸ ταύτῃ ἰσοδυναμοῦν ὄνομα ἐκ παραλλήλου ἐλήφθησαν, οὕτως οἰητέον εἰλῆφθαι κἀπὶ τοῦ ὁσφέτερος αὐτῶν, ἑκάτερα τὰ ἀντωνυμικά. ταυτοσήμως δηλαδή.

Ὁ μήρου ἴδιον τὸ βιβλίον, τῇ ἰδίᾳ τοῦ λέγοντος ἐπιμελείᾳ.

Τί ὅτι ἔξεστιν εἰπὼν πρὸς τῷ ἴδιον ὀνόματι καὶ τὴν γενικὴν τοῦ συνθέτου συντάττειν, ᾧδε οὐκ ἀντωνυμικὴν, ὀνοματικὴν δὲ συντάττει γενικήν; Ἢ ὅτι ἐν μὲν τοῖς φθάσασι προκατειλεγμένων τῶν κεκτημένων, προσφυῶς ἐπηνέχθη ἡ ἀντονομάζουσα τούτους ἀντωνυμία. ᾧδε δὲ μὴ προκατειλεγμένων, οὐκ ἔχει χώραν ἡ ἀντωνυμία. ἄλλως τε οὐθὲν διαφέρει ὄνομα λαβεῖν ἢ ἀντωνυμίαν. καὶ προθέσεσι δὲ συντεταγμένου τοῦ κτητικοῦ, συνθέτοις ὁμοίως χρώμεθα. οἷον, τὰ κατ' ἐμαυτόν σοι ἐξήγγειλα. τοῦ δὲ ῥήματος ὑπαρκτικοῦ ὄντος, παραγώγοις ἀλλ' οὐ συνθέτοις. οἷον, ἐμόν ἐστι τὸ βιβλίον. εἴ γε τὸ μὲν τῆς ἀντωνυμικῆς συνθέσεως, ἐνέργειαν τοῦ εἰς ἑαυτὸ ἐνεργοῦντος δηλοῦν βούλεται. τὸ δὲ ὑπαρκτικὸν οὐδετέραν ὑποδηλοῖ διάθεσιν.

Κοινὸν δὲ ταυτὸ τοῦτο

Τὸ ἐξεῖναι συντάττειν γενικὴν,

Καὶ πρὸς τὰς κτητικάς.

Καὶ ἁπλῶς πρὸς πᾶν κτητικόν.

Οἷον, σὸν ἄρα ἐστὶν, ὦ σώκρατες,

καὶ τοῦ-

Καὶ τοῦτο γνῶναι, τοῦ πάντα τὰ δίκαια ἐν ἡμῖν εἰδότος.

Πλάτων ἐν Γοργίᾳ.

Καὶ, τὸν ἐμὸν μὲν αὐτοῦ τοῦ ταλαιπώρου βίον.

Ἀριστοφ: ἐν πλούτῳ. τὰ γὰρ κτητικὰ, ὀνόματά τε καὶ ἀντωνυμίαι, ἐμπεριέχοντα δυνάμει καθ' ἡντιναοῦν πτῶσιν καὶ γένος καὶ ἀριθμὸν τὴν κτητορολογοῦσαν γενικὴν, ταύτῃ ὁμοιόπτωτα καὶ ὁμοιάριθμα ἀπαιτοῦσι καὶ τῶν ἐπιφερομένων πτωτικῶν τὰ ταυτοπροσωποῦντα οἷ. ὡς καὶ παρὰ Καλλιμάχῳ, ὦ ἐμαὶ τοῦ ἀπιόντος ἄγκυραι. καὶ λουκιάν: ἐν τῷ, θεῶν κρίσις. τοῦτο μὲν σὸν ἂν εἴη τοῦ δικαστοῦ. εἴρηται δὲ περὶ τούτου κἂν τοῖς κτητικοῖς τῶν ὀνομάτων.

Τὸ δ', ἐμὲ αὐτὸν ὠφελεῖ,

Οὐκ ἔστι σύνθετον. (Εἴη γὰρ ἂν, εἴπερ, ἐμαυτὸν κατὰ σύνθεσιν) ἔνθεντοι κἀπὶ ἑτεροπαθείας κείμενον, οὐκ αὐτοπάθειαν δηλοῖ, ἀλλ'

Ἐπιτατικῶς λέγεται.

Παρατιθέμενον ὡς

Πρὸς τὸ ἐμὲ ὠφελεῖ ἀπολελυμένον.

Διέψευσται ἄρα, εἰπὼν ἐν τοῖς φθάσασι τῶν πλαγίων τὰς ὀρθοτονουμένας πρόσωπα διαστέλλειν δὴ καὶ αὐτάς. εἴγε τὸ ἐμὲ ὠφελεῖ ὀρθοτονούμενον, ἀπολελυμένως ὧδε λέγεται. Ἢ ὅτι τὰ περὶ τὴν λέξιν ἠκυρολόγηται, δέον εἰπεῖν, τὸ ἐμὲ αὐτὸν ὠφελεῖ, ἐπιτατικῶς λέγεται, πρὸς τὸ ἐμὲ ὠφελεῖ, ὑφειμένον. εἴγε καὶ ἀντιδιήρηται ἡ μὲν κατὰ δεῖξιν ἐπίτασις, πρὸς τὴν ὕφεσιν, πρὸς δὲ τὸ τῶν προσώπων ἀπόλυτον ἡ τούτων ἀντιδιαστολή. τὸ μὲν γὰρ ἀπολελυμένον, ἐστὶν ἐγκλινόμενον, ὡς εἴρηται, τὸ δὲ ἐμὲ ὠφελεῖ, οὐκ ἔστιν ἐγκλινόμενον. οὐδ' ἀπολελυμένον ἄρα, ὑφειμένον δέ. οὐ πᾶν δὲ τὸ ὑφειμένον, τὸ αὐτὸ καὶ ἀπολελυμένον. εἴγε τὸ ἐμὲ ὠφελεῖ, πρὸς τὸ ἐμὲ αὐτὸν ὠφελεῖ ἐπιτεταμένον, ὑφειμένον ὂν, ἐπιτατικόν ἐστι καὶ αὐτὸ πρὸς τὸ ὠφελεῖ με, καὶ προσώπων οὐχ ἥκιστα διασταλτικόν. ὡς εἶναι τὸ μὲν ἐμὲ, ἅπαξ, τὸ δὲ ἐμὲ αὐτὸν, δὶς, μᾶλλον δὲ ἄκρως ἐπιτεταμένον. ὁ δὲ αὐτὸς λόγος κἀπὶ τοῦ ἡμᾶς αὐτοὺς ὠφελοῦσιν. ἐν ἀριθμῷ δηλ. πληθυντικῷ.

Ὅτι δὲ τὸ σύνθετον ἐπὶ μόνων τῶν ἑνικῶν, διὰ τοῦτο τῇ ἀναφορικῇ συντάσσοντες ταῖς ἁπλαῖς χρώμεθα ἐπίτε δυϊκοῦ καὶ πληθυντικοῦ.

Ἐπεὶ δέφησιν, ἐπ' αὐτοπαθείας κατὰ μόνον τὸν ἑνικὸν ἀριθμὸν ἡ ἐπιταγματικὴ ταῖς πρωτοτύποις τῶν ἀντωνυμιῶν ὁμοιοπτώτως συντίθεται. οἷον, ἐμαυτὸν ὠφελῶ. κἀπὶ τῶν λοιπῶν πτώσεων καὶ προσώπων ὁμοίως, (τὸ γὰρ ἐμὲ αὐτὸν ὠφελῶ, αὐτοπάθειαν, ὡς μὴ συντεθὲν, δηλοῦν οὐ πέφυκεν, ὡς εἴρηται κἂν τῷ ἐμὲ αὐτὸν ὠφελεῖ.) κατὰ δὲ τοὺς λοιποὺς ἀριθμοὺς οὐ συντίθεται δι' ὃν ἑξῆς ἐκθήσομεν λόγον, διὰ τοῦτο ἐπίτε δυϊκοῦ καὶ πληθυντικοῦ συντακτέον, ἀλλ' οὐ συνθετέον αὐτὴν ταῖς ἁπλαῖς.

Οἷον, νῶϊ αὐτὼ ὠφελοῦμεν, νῶϊν αὐτοῖν ἁπτώμεθα. σφῶϊ αὐτὼ ὠφελεῖτον.

Ἀντὶ δὲ τῆς ἀναφορικῆς ἐπιταγματικὴν γραπτέον. ἡ γὰρ ταῖς ἁπλαῖς ἐπιτασσομένη αὐτὸς, τὴν τῶν παρόντων προσώπων δεῖξιν τυγχάνει ἐπιτείνουσα, ὅπερ ἀλλότριόν ἐστι τῆς



Ἀντωνυμίας -

- Κοινὸν μὲν, τὸ κατὰ πᾶν πρόσωπον ὁρίζειν τὰ ἀντονομαζόμενα, καὶ τὸ κατὰ τὰ ὀνόματα τοῖς ῥήμασι συντάσσεσθαι.
- Ἴδιον δὲ
  - δεικτική, ἀντὶ τῶν δεικτικῶς ἐξενεχθῆναι ἀδυνατούντων. - -
    - ἁπλῆ εἴτ' οὖν ἑτεροπαθής. -
      - πρωτότυπος, ἧς -
        - ἡ μὲν ἀπολύτως λεγομένη, εἴτ' οὖν ἐγκλιτική.
        - ἡ δὲ, ὀρσώπων ἀντιδιασταλτική, ἧς -
          - ἡ μὲν, ὀρθοτονουμένη,
          - ἡ δὲ, ἐπιταγματική.
      - παράγωγος ἡ καὶ σύναρθρος. αὐτῆς δὲ -
        - τὸ ἐπιθετικῶς τῶν ὑποκειμένων κατηγορεῖσθαι.
        - τὸ ῥήματι, ά, ἢ β', προσώπου συντασσομένων, τὰς πρωτοτύπους λαμβάνειν.
        - τὸ πρὸς γενικὴν κτητορολογοῦσαν φέρεσθαι τὰς μὲν τοῦ ά, καὶ β', ἐπιθετικὴν, τὰς δὲ τοῦ γ', ἀντωνυμικὴν, ἧς οὐκ ἄνευ, ὅτι μὴ ἐν ἀντιμεταβάσει.
        - τὸ ἀποδίδοσθαι ἁπλῶς μὲν, πρὸς τὸν ἔχοντα, ἐσθ' ὅτε δὲ καὶ πρὸς τὰ ἐχόμενα.
    - σύνθετος, εἴτ' οὖν αὐτοπαθὴς, παθητικὰ ῥήματα μὴ ἐπιδεχομένη. τὴν γὰρ ἐνέργειαν ὥσπερεὶ ἀνταναχλῶσα, ἐπιστρέφει. - - - - -
      - ἢ ἐπὶ τὸ ἐνεργοῦν αὐτό,
      - ἢ ἐπί τι τῶν αὐτοῦ. διχῶς δὲ, - -
        - ἢ ἀπὸ τοῦ κεκτημένου ἐπὶ τὸ κτῆμα, -
        - ἢ τὸ ἀνάπαλιν. - - - - - -
        - ἔνθα ἔξεστιν ἢ ὄνομα ἰσοδυναμοῦν μεταλαμβάνειν, ἢ πρὸς αὐτῷ καὶ τὴν γενικὴν τοῦ συνθέτου συντάττειν.
  - ἀναφορική, ἀντὶ τῶν προκατειλεγμένων, ληφθεῖναι δὲ ἔτι μὴ δυναμένων, καὶ ἁπλῶς ἀντὶ συνάρθρων ὀνομάτων.

ἐστι τῆς ἀναφορικῆς, τὰ ἀπόντα ἀναπολούσης. ἀλλὰ καὶ αὐτοπάθειαν δηλοῦν ἐθέλοντες, φησὶ Μιχαὴλ, παρ' οὗ καὶ ταῦτα παρέξεται, τὴν ἐπιταγματικὴν τάσσομεν, οὐ τὴν ἀναφορικήν. δῆλον δὲ κἀντεῦθεν, ὡς καὶ αἱ σύνθετοι τῶν ἀντωνυμιῶν δεικτικαί εἰσι. δι' ὃ οὐδὲ αὗται ἄρθρον παραδέχονται.

Οὐκ ἔτι δὲ καὶ ἐπὶ τοῦ τρίτου ὁμοίως.

Οὐκ ἔστι κατὰ τὸ α', καὶ β', οὕτω κἀπὶ τοῦ γ', τῶν δυϊκῶν τὴν ἐπιταγματικὴν ταῖς ἁπλαῖς συντάσσειν, ὡς εἶναι λέγειν, σφῶε αὐτὼ, καὶ σφὶν αὐτοῖν. καθ' ὅ, τι τῆς αὐτοπαθείας ἐς τὰ μάλιστα ἀντιδιαστελλούσης πρόσωπα, ἐπὶ μὲν τοῦ α', καὶ β', τῶν δυϊκῶν ἐξ ὀρθοτονουμένων ἦν ἡ σύνθεσις, εἴτ' οὖν προτακτικῶν, ὥσπερ δὴ κἀπὶ τῶν ἐνικῶν, τῶν ἁπλῶν προτάττομένων τῆς ἐπιταγματικῆς. αἱ δὲ τοῦ γ', ὑποτακτικαὶ ἀεὶ καθεστῶσαι, διὰ τὸ μόνως ἐγκλίνεσθαι, οὐκ ἂν δύναιντο εἰς προτακτικὰς παραληφθῆναι. καὶ ἕνεκα τούτου ἡ ἐπὶ τοῦ γ', τῶν δυϊκῶν σύνθεσις παρῄτηται. διὰ γὰρ τὸ μόνως ἐγκλιτικὰ εἶναι τὰ κατὰ τὸ γ', τῶν δυϊκῶν, καὶ μηδέποτε ὀρθοτονεῖσθαι, εἴτ' οὖν προτάττεσθαι, διὰ τοῦτο εἴρηται τῷ Θεοδώρῳ ἐν τῷ β', ὅτι τὸ σφῶε ἐπὶ αἰτιατικῆς μόνως. οὐ δηλ. ὡς τὰ τοῦ α', τε καὶ β', κἀπὶ εὐθείας. οἷα δὴ τῆς εὐθείας ὀρθοτονεῖσθαί τε καὶ προτάττεσθαι πεφυκυίας.

Κἀπὶ τῶν πληθυντικῶν δέ τοι ὡσαύτως.

Ὡς κἀπὶ τῶν κατὰ τὸ α', καὶ β', δυϊκῶν.

Ἡμῶν αὐτῶν, ἡμῖν αὐτοῖς, ἡμᾶς αὐτούς. σφῶν αὐτῶν, σφίσιν αὐτοῖς, σφᾶς αὐτούς.

Κατὰ πᾶν ἁπλῶς πρόσωπον.

Ἔστι γε μὴν πληθύνοντι λέγειν.

Κἀπὶ πληθυντικοῦ φησιν, ἔξεστί σοι παραιτησάμενον τὴν σύνταξιν, συντιθέναι ὡς κἀπὶ τοῦ ἐνικοῦ, λέγοντα

Καὶ, ἑαυτῶν, ἑαυτοῖς, ἑαυτούς. κοινῇ κατὰ πάντων προσώπων. ἑαυτοὺς ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσιν.

Οὐδὲ γὰρ, ὥσπερ τὸ ἑαυτὸν τρίτον ὑπὸ τοῦ ἐμαυτὸν καὶ σαυτὸν πρώτου τε καὶ β', οὕτω τοι καὶ τὸ ἑαυτοὺς ὑπὸ τῶν μὴ ὑφισταμένων ἐμαυτοὺς καὶ σαυτοὺς διελέγχεται.

Οὐκ ἔτι δὲ

Ἔξεστι λέγειν κατὰ τὸ ἑαυτοὺς ὠφελοῦμεν

Καὶ, ἑαυτὸν ὠφελῶ. ἢ ὠφελεῖς.

Ἑαυτόν.

Διελέγχεται γάρ τοι ἀκαταλλήλως ἔχον ὑπὸ τοῦ ἐμαυτόν.

Τὸ ἑαυτὸν ὠφελῶ.

Ἢ σαυτὸν,

Τὸ ἑαυτὸν ὠφελεῖς.

Ὡς εἴρηται.

Ἐν τῇ περὶ λόγου συντάξεως καταλλήλου θεωρίᾳ. ἔνθα αἱ λέξεις εἰς ἰδίας θέσεις ἀνεμερίζοντο. Ἐπὶ δὲ τούτοις ἀπορήσειέ τις, τί ὅτι μὴ, ὥσπερ ἐπὶ τρίτου, τὸ ἑαυτοὺς ὑπεισῆλθε τὸ σφᾶς αὐτοὺς, οὕτω κἀπὶ πρώτου τὸ ἐμαυτοὺς ὑπεισῆλθε τὸ ἡμᾶς αὐτοὺς, καὶ ἐπὶ δευτέρου τὸ σεαυτοὺς τὸ ὑμᾶς αὐτούς; καὶ διὰ τί ἐκ πληθυντικῶν πληθυντικαὶ συνθέσεις οὐκ ἐγένοντο. Ἢ ὅτι ἡ μὲν ἀντωνυμικὴ σύνθεσις αὐτοπάθειαν ἐθέλει δηλοῦν. αὐτοπάθεια δέ ἐστιν ἐνέργεια τοῦ εἰς

ἑαυτὸ

ἑαυτὸ ἐνεργοῦντος, οὐ μὴν εἰς ἕτερον. τὸ δὲ ἡμᾶς αὐτοὺς, καὶ ὅλως τὰ κατὰ τὸ α', καὶ β', σύζυγα πληθυντικὰ οὐχὶ ἑνὸς, οὔτε μὴν ὁμοειδῶν, πολλῶν δὲ καὶ διαφόρων προσώπων ὄντα συλληπτικὰ, μάχεται τῷ ἰδιώματι τῆς τῶν ἀντωνυμιῶν συνθέσεως, ἐπιμιξίαν εἴτ' οὖν σύλληψιν, ὡς εἴρηται, διαφόρων προσώπων μὴ παραδεχομένης, ὡς μὴ ἐνὸν ἐν τῇ τῶν διαφόρων προσώπων συλλήψει καθαρὰν γενέσθαι αὐτοπάθειαν. καὶ ἕνεκεν τούτου ἀπεώθησαν τῆς ἀντωνυμικῆς συνθέσεως τὰ πληθυντικά. ὃ δὲ λέγω τοιοῦτόν ἐστιν. ἐν τῷ, ἡμεῖς ὠφελοῦμεν ἡμᾶς αὐτοὺς, σύλληψις γίνεται ὁμοιόπτωτος διαφόρων προσώπων εἰς τὸ ἐπικρατοῦν, δευτέρου δηλαδὴ καὶ τρίτου εἰς τὸ α', πληθυντικὸν, καθ' ἑκατέρας τὰς πτώσεις, τήν τε ἐκ πρώτου καὶ τὴν ἐκ γ'. ἡ γοῦν κατὰ τὴν εὐθεῖαν τοῦ ἑνικοῦ α', προσώπου ἐνέργεια, ἐπιστρέφει κατὰ τὴν αἰτιατικὴν εἴς τε τὸ ἐνεργοῦν αὐτὸ α'. καὶ εἰς τὸ συνειλημμένον αὐτῷ δεύτερον καὶ τρίτον. καὶ ἡ τοῦ β', πάλιν, εἴς τε τὸ ἐνεργοῦν αὐτὸ β', καὶ εἰς τὸ α', καὶ γ'. ὁμοίως καὶ ἡ τοῦ γ', εἴς τε τὸ ἐνεργοῦν αὐτὸ γ', καὶ εἰς τὸ α', καὶ β', ὡς συνειλημμένα. κἀπεὶ ἡ ἀντωνυμικὴ σύνθεσις αὐτοπάθειαν ὡς εἴρηται δηλοῖ, εἴτ' οὖν ἐνέργειαν τοῦ εἰς ἑαυτὸ ἐνεργοῦντος, ἐν δὲ τῷ, ἡμεῖς ὠφελοῦμεν ἡμᾶς αὐτοὺς, ἔστιν ἐνέργεια ἐνεργοῦντος ἑνὸς ἑκάστου προσώπου εἴτ' οὖν ὑποκειμένου οὐ μόνον εἰς ἑαυτὸ, ἀλλὰ καὶ εἰς τὸ συνειλημμένον αὐτῷ ἕτερον, οὐκ ἄρα αὐτοπάθεια μόνον, ἀλλὰ καὶ ἑτεροπάθεια, μᾶλλον δ' ἀλληλοπάθειά ἐστιν ἐν αὐτῷ. εἴ γ' ἕκαστον τῶν συνειλημμένων προσώπων, καὶ εἰς ἑαυτὸ καὶ εἰς ἄλλο διὰ τὴν σύλληψιν ἐνεργεῖ, τε ἅμα καὶ πάσχει ὑπ' αὐτοῦ. καὶ οὕτως οὐδ' ἀντωνυμικὴ γένοιτ' ἂν σύνθεσις. ὁμοίως δὲ κἀπὶ τοῦ β', φέρε ἐν τῷ, ὑμεῖς ὠφελεῖτε ὑμᾶς αὐτοὺς. ἐνέργειά ἐστιν ἐνεργοῦντος ἑνικοῦ προσώπου δευτέρου μὲν, εἰς ἑαυτότε καὶ τρίτον, τρίτου δὲ, εἰς ἑαυτότε καὶ δεύτερον. καὶ τὸ ἑαυτοὺς δὲ, εἰ καὶ κατὰ Ἀπολλ': ἐξ ὁμοειδῶν προσώπων συνεστηκὸς, ἐκ τρίτων φημὶ, οὐκ ἀνέφικτον ἔσχε τὴν εἰς τὸ πληθυντικὸν μετάθεσιν, ἀλλ' οὐδὲν ἧττον ἐν τῷ, οὗτοι ὠφελοῦσιν ἑαυτοὺς. ἕκαστον τῶν ἐγκειμένων προσώπων εἰς ἑαυτότε ἐνεργεῖ καὶ εἰς ἕκαστον τῶν συνειλημμένων ἑτέρων τρίτων προσώπων. οὐκ ἄρα κατὰ λόγον προσεχώρησε ταῖς συνθέτοις. οἱ δὲ ἀμφὶ τὸν Σεβαστὸν, λέγοντος τοῦ Ἀπολλών. ἐκ τῶν αὐτῶν προσώπων συνεστάναι τὴν ἑαυτοὺς, ἐκ δύοιν τρίτων αὐτοὶ συνεστάναι τοῦτε ἔ, καὶ τοῦ αὐτοὺς, ταύτην ἐγγεγραφότες, καὶ τὸ ἡμᾶς αὐτοὺς, ὡς ἔοικεν, ἐκ πρώτου καὶ τρίτου συνεστάναι ἐξελάβοντο. ὁμοίως καὶ τὸ ὑμᾶς αὐτοὺς ἐκ β', καὶ γ', πρώτου μὲν, ἢ δευτέρου τὸ ἡμᾶς, ἢ ὑμᾶς, τρίτου δὲ, τὸ αὐτοὺς, τὴν ἐπιμιξίαν τῶν διαφόρων προσώπων κατὰ τὴν τῶν ἀντωνυμικῶν φωνῶν σύνθεσιν ἐκδεξάμενοι, οὐχὶ δὲ κατὰ τὴν τῶν προσώπων σύλληψιν. ὅγε μὴν Ἀπολλώνιος τὴν ἐπιμιξίαν τῶν διαφόρων προσώπων οὐκ ἐπὶ τῆς ἀντωνυμικῆς ἐκλαμβάνει συνθέσεως, ἀλλ' ἐπὶ τῆς τῶν προσώπων συλλήψεως. ὧν τὴν ἐπιμιξίαν καὶ ἀλληλοπάθειαν οὐχ ἧττον παρεμφαίνει ἡ ἡμᾶς ἁπλῆ οὖσα, ἢ ἡ ἡμαυτοὺς σύνθετος. ἐπείτοιγε τὸ ὅσον κατὰ τὴν φωνὴν καὶ τὸ ἡμαυτούς τε καὶ σαυτοὺς οὐδὲν ἧττον ἢ τὸ ἑαυτοὺς ἐξ ὁμοειδῶν συνεστήκει προσώπων, τῆς καθ' ἑαυτὴν ἀπροσώπου ἐπιταγματικῆς τῆς αὐτός φημι, τὸ ὅπερ ὑπέδυ πρόσωπον μεταμορφουμένης. ἐπεὶ καὶ τὸ ἐμαυτὸν κατ' αὐτοὺς ἐκ α', ἂν εἴη καὶ τρίτου, καὶ τὸ σαυτὸν ὡσαύτως ἐκ β', καὶ τρίτου, τὰ μὴ πλεῖν ἢ ἐν ὑπεμφαίνοντα. Ἐφοῖς σημειωτέον ὡς ἡ ἡμᾶς αὐτοὺς, καὶ ἁπλῶς αἱ διῃρημένως ἐπ' αὐτοπαθείας πληθυντικῆς τιθέμεναι, οὐχ ὡς αἱ ἑνικαὶ σύνθετοι, ἀμιγῆ ἀλληλοπαθείας δηλοῦσι τὴν αὐτοπάθειαν.

γένοιτο

γένοιτο δ' ἂν ἄκρατος αὐτοπάθεια ἐν πλη-
θυντικοῖς, τῶν ἐν τῷ, ἡμεῖς ὠφελοῦμεν ἡ-
μᾶς αὐτοὺς, συνειλημμένων ἑτεροειδῶν προ-
σώπων, ἐπιμεριθέντων οὑτωσὶν, ἡμῶν ἕ-
καστος ὠφελεῖ ἑαυτόν. ὁμοίως κἀπὶ β', καὶ
τρίτου. Τινὲς δὲ καθ' ὃν λόγον ἐξέλιπεν ἡ
κατὰ τὸ α', καὶ β', ἀντωνυμικὴ σύνθεσις καὶ ἡ
τῶν δυϊκῶν κατὰ τὸ τρίτον εὐθεῖα, ἀγνοοῦν-
τες, φασὶν, ὡς τὰ ἐν πρώτοις καὶ δευτέ-
ροις γινόμενα, οὐ πάντως καὶ ἐν τρίτοις. καὶ
γὰρ εἰσὶ μὲν τοῦ α', καὶ β', προσώπου δυϊκαὶ
ὀρθῆς πτώσεως, οὐ μὴν δὲ καὶ τοῦ τρίτου. εἰς
συνηγορίαν τοῦ λόγου κἀκεῖνο ἐκ τοῦ ἐναν-
τίου προσάγοντες, ὡς ἡ ἐκεῖνος, ἡ αὐτὸς,
ἡ οὗτος, ἡ, μὶν, εἰσὶν ἐν τρίτοις, οὐ μὴν ἔ-
χουσι συζυγοῦν αὐταῖς πρῶτον καὶ β'. καὶ τῶν
δυϊκῶν δὲ τὰ μὲν ἐν α', καὶ β', προσώπῳ
μόνως ὀρθοτονοῦνται, αἱ δὲ κατὰ τὸ γ', μόνως
ἐγκλιτικαί. οὐ μὴν ἀλλὰ καὶ τῶν κτητικῶν
πρώτου μὲν καὶ β', δυϊκαί εἰσιν, οὐ μὴν δὲ
καὶ τρίτου. φασὶ δέ που κἀκεῖνο, ὡς κατὰ τύχην,
τινὰ ἡ χρῆσις ἀπεώσατο, καὶ οὐδὲν ἐμπο-
δὼν ταὐτὸ παρηκολουθηκέναι ταῖς συνθέ-
τοις, ὅπερ καὶ ταῖς ἁπλαῖς τῶν ἀντωνυμι-
ῶν. ὥσπερ γὰρ, φασὶν, ἐξέλιπε κατὰ τύ-
χην ἡ ἐπὶ τρίτου τῶν πρωτοτύπων εὐθεῖα
τῶν δυϊκῶν, κἀπὶ τῶν κτητικῶν τὰ ἐπὶ
τρίτου δυϊκὰ, οὕτω καὶ τὴν κατὰ τὸ α', καὶ
β', τῶν πληθυντικῶν σύνθεσιν, λέγω τοῦ
ἐμαυτοὺς καὶ σαυτοὺς, κατὰ τύχην ἐκλελοιπέ-
ναι φασὶ, καὶ οὐ καθ' ἣν αἰτίαν ὁ Ἀρίσταρ-
χος βούλεται. ὃς καὶ αὐτὴν τὴν κατὰ τὸ
τρίτον σύνθετον πληθυντικὴν ἄλογον ἡ-
γούμενος, οὑτωσὶ διαπορῶν φαίνεται. εἴπερ
ἐκ δύοιν ἑνικῶν συνέστηκε τὸ ἑαυτὸν, καὶ δύ-
ω ἑνικὰ ἐπὶ ἓν πρόσωπον συντείνει, διά-
θεσιν δηλοῦν τὴν ἐξ ἑαυτοῦ εἰς ἑαυτὸ, πῶς
ἐκ τοῦ τοιούτου ἑνικοῦ, ἐξ ἑνὸς δηλ: ὑποκει-
μένου, πλήθους παρέμφασις ἂν γένοιτο,
εἰς πληθυντικὸν τὸ ἑαυτοὺς παρηγμένου, τῆς

μὲν κατ' ἀρχὴν συνθέσεως, ἑνικὸν, τῆς
δὲ κατὰ τὸ τέλος, πληθυντικὸν ἀριθμὸν
ὑπαγορευούσης; καὶ τοιαῦτα μὲν τὰ τοῦ Ἀ-
ρισταρχου. ἐν οἷς παρακινδυνεύεται καὶ τὸ ἑ-
αυτοὺς τοῖς συζύγοις τῶν προσώπων συνε-
ξωσθῆναι, λέγω τῷ ἐμαυτοὺς καὶ σαυτοὺς, τοῖς
ὡσαύτως συντεθειμένοις. Οἱ δὲ, μὴ ξυ-
νιδεῖν φασι τὸ πρὸς αὐτοῦ εἰρημένον. οὐ γὰρ
ἐν ἀγνοίᾳ ἦν, φασὶ, τοῦ ἑνδέκατοι, οὐδ' ὅ-
τι ἀπὸ ἑνικῆς συνθέσεως πληθυντικὴ
παρέμφασις γίνεται. Ἀλλὰ γὰρ, φαίη ἄν
τις πρὸς αὐτοὺς, οὐκ ἔστιν ὅμοιον τῷ ἑαυτὸν
τὸ ἑνδέκατος. οὐ γὰρ ἑνὸς, ὡς ἐπὶ τοῦ ἑ-
αυτὸν, δύοιν δὲ ὑποκειμένων ἐστὶ παρέμ-
πτωσις. μετὰ γὰρ δέκα εἷς. οὕτως ἔχει
καὶ τὸ ἑνδέκατοι. πάλιν γὰρ μετὰ δέκα
δύω, ἢ καὶ πλείους ὑπὸ τάξιν τὴν τοῦ δέκα
ἀριθμούμενοι, μετέσχον τοῦ καλεῖσθαι ἑν-
δέκατοι. Ἀντεποίσοι δέ τις πρὸς ταῦ-
τα, πῶς τοῦ ἑνὸς ἐγκειμένης ἐμφάσεως
ἐν τῷ ἑνδέκατοι, ἕτερον πληθυντικὸν γί-
νεται; Ἢ πρόσκειται ὅτι τάξεώς εἰσιν ὀ-
νόματα. καὶ οὐδὲν κωλύει κατὰ τὸν αὐ-
τὸν βαθμὸν, τὸν τοῦ δέκα δηλαδὴ, ἑνι-
κῶς μὲν, ἕνα ἐν τῷ ἑνδέκατος, πλη-
θυντικῶς δὲ, πλείους ὄντας σημαίνειν,
ὡς ἐν τῷ ἑνδέκατοι. αἱ μὲν γὰρ δύοιν προ-
σώπων ἐμφαντικαὶ συνθέσεις, καὶ ἐξ ἑ-
νικῆς συνθέσεως πλῆθος ὑπαγορεύουσιν,
ὡς ἡ τοῦ φιλάνθρωπος, διὰ τὸ προσηγορι-
κὸν κατὰ πλειόνων λεγόμενον, καὶ ἐκ πλη-
θυντικῆς ἓν παρεμφαίνουσιν, ὡς ἡ τοῦ φι-
λοπλάτωνες, διὰ τὸν ἀτομικὸν πλάτωνα.
ὥστε καὶ τὸ ἑνδέκατοι παρηγμένον ἐκ τῆς
πλῆθος ὑπαγορευούσης ἑνικῆς συνθέσε-
ως τοῦ ἑνδέκατος, πλέον, τι τοῦ ἑνὸς πα-
ραστήσει. διάφορα γὰρ ἐπὶ τούτου τὰ πρό-
σωπα. ἐπὶ δὲ τῆς ἑαυτὸν οὐκ ἐγχωρεῖ τὸ
τοιοῦτο, ἓν καὶ τὸ αὐτὸ πρόσωπον ὑπα-
γορευούσης, ὡς εἴρηται, ἐφ' ᾧ καὶ τέτακται.

ὥστε καὶ τὸ ἑαυτὸς παρημμένον ἐκ τοῦ σὺ καὶ τὸ αὐτὸ ὑπαγορεύοντος τὸ πρόσωπον τοῦ ἑαυτοῦ, πλέον, τι τάττε ἐδεῖ παρασήσει. εἶτα καὶ τὰ ἐκ πληθωτικῆς συνθέσεως, ἃ ὡς εἴρηται παρεμφαίνει καὶ ἐπὶ πολλά. Πῶς δὲ νῦν οὐκ ἀΐδηλος φαίνεται ἐλλειψιν καὶ τύχλω γεγενῆσθαι τῶν τε καὶ τῆς δυϊκῆς σὺν ξίτοις δυνάμεως; φυσικώτερον γὰρ τῆς δυϊκῶν ἢ σὺν ξίτοις δυνατὰ ἀπέστη. καθ' ὅ, τι δὲ ἕτερον τῆς τόνων οἷά τε ἰῶ παραδέχεσθαι. ὅτε γὰρ τὸν ὀρθοτονούμενον. καθ' ὅ, τι δυϊκή ἐστι τοῦ γ', προσώπου, αἷς παρέπεται τὸ μόνως ἐγκλίνεσθαι ὅτε τὸν ἐγκλιτικόν. καθ' ὅ, τι ἀδύνατον δυνατὰ πῶσιν σὺν ἀνωνυμίαις ἐγκλίνεσθαι. ταὐτὰ ἄρα καὶ ἡ βιασθεῖσα πρὸς δωρεάν τυ, ἅμα τῷ ἐγκλιθῆναι παρεῖσα τοῦ μὴ δυναμένου ἐγκλιθῆναι δυνατὰ, μετέπεσεν εἰς τοῦ συγγενοῦς αἰτιατικοῦ. καί τυ φίλιππον ἔθηκε. καὶ ἔθηκέ σε δηλαδή. κτητικὴ δὲ πάλιν γ', προσώπου δυϊκὴ ἐκ ἐγένετο. ἐχ, ὥς τινες φήθησαν, καθ' ὅ, τι δὲ γενικὴ ἐστὶ δυϊκὴ σὺν ξίτοις, ἀφ' ἧς ἔδει παρήχθαι τοῦ κτητικοῦ. ἡ γὰρ παρειλημμένη φασί, δοτικὴ ἐστιν αὐτὶ γενικῆς. ἔστι δὲ καὶ λόγον ἡ αὐτὴ καὶ γενικὴ δυϊκὴ καὶ σύνεκα τοῦ σημαινομένου καὶ σύνεκα τῆς φωνῆς. ὃ μὲν παρήχθη ἐξ αὐτῆς κτητικόν. καθ' ὅ, τι ἀποδείξαμεν ἐξ ὀρθοτονουμένων καὶ προκλιτικῶν τὰς παραγωγὰς γίνεσθαι. ἡ δὲ, οὗ μόνον ἐγκλιτικὴ τῷ λόγῳ τῆς σὺν ξίτοις δυϊκῶν. Ἀλλὰ μὴν καὶν τοῖς φθάσασιν εἴρηται, ὡς δεόντως πλείονες σὺν ξίτοις προσώποις ἐγένοντο αἱ ἀνωνυμίαι, ἅπερ σὺν πρώτῳ τε καὶ β', αἱ μὲν, ἀναφέρουσαι, αἱ δὲ, ἤτοι προσεχῶς, ἢ πόρρω δεικνύσαι τὰ πρόσωπα, τῆς τε α', καὶ β', δεικτικῶν ὄντων προσεχῶς μόνον. εἴπερ ὧν προσδῶμεν καὶ τύχλω ἐκλελοιπέναι τὰ εἰρημένα, πῶς δοθήσεται τὸ ἔλαττον ὑπὸ τοῦ πλείονος διελέγχεσθαι, τὰς καὶ τὸ γ', δηλαδὴ κτητικὰς ὑπὸ τῆς καὶ τὸ γ', πρωτοτύπων, σὺν οἷς μὲν προσώποις μειονεκτοῦσιν αἱ πρωτότυποι, πλεονεκτοῦσῶν τῆς ἀπ' αὐτῆς κτητικῶν, ἀπὸ παντὸς ἀριθμοῦ δηλαδὴ παραγομένων, σὺν οἷς δὲ πλεονεκτοῦσι, μειονεκτουσῶν; τῆς σὺν τοῖς δυϊκοῖς δηλ. παραλειφθεισῶν; δυνάμεως δὲ τοῦτο, τῆς πλειόνων σῳζομένων, κατὰ τύχλω λέγειν ἐκλιπεῖν τὰ ἐλάττω. φημὶ δὴ τῆς καὶ τὸ γ', πρωτοτύπων, τὰ κατὰ τὸ γ', παράγωγα. διὰ τί δὲ μὴ ἐκ τῆς πλειόνων, ἐκ δὲ τῆς ἐλαττόνων ἡ καὶ τύχλω ἔλλειψις ἐγένετο; ὅτι μὲν ἐν ἐξ ὀρθοτονουμένων αἱ παραγωγαὶ, πρόδηλον ἔκ τε τῆς τῆς ὁμοίων παραθέσεως καὶ τῆς ἁπάντων περὶ αὐτῆς ὁμοφωνοῦσα δόξης. οἵ τινες τὸ παραλελειμμένον πρός τινος ὡς ἁμάρτημα μὴ προσιέμενοι, καὶ δὲ τοῦ τῶν εἰρημένων παράλειψιν σωφρονοῦσαν αὖ, καὶ χεδὸν ἐπὶ ἁπάντων τὸ τοιοῦτο συμφωνεῖ. ἐκ ἄρα πιστευτέον καὶ τύχλω σεσιγῆσθαι τὰ πλείονα τῆς χημάτων, οἷα τὰ σὺν ξίτοις. δυνατὸν μὲν γάρ τινα τόπον ἐκλείπειν, ἐμοῦ καὶ ἀκολουθίαν τόπων καὶ τὸ ὁπωσδήποτε. αὐτίκα καὶ δὴ γυναῖς φαμεν, καὶ ἐκ τιμῆς, καὶ τοῦ γῆς, καὶ παῖπα τὰ τοιαῦτα τῷ γυναῖς σωνεκλείπει· ἀλλ' οὐδ' ὁ μεγάλος, καὶ ἐκ παῖπα τὰ εἰς ὃς, λήγοντα σωνεξέλιπε τόπῳ. πρὸς δὲ, καὶ αὐτὰ τῆς ἐκλειπόντων τόπων ἑτέρα θέσις ἰσοδυναμοῦσα εἰσάγεται. ἡ γυναικὸς αὐτὶ τοῦ γυναῖς. ὁ μέγας αὐτὶ τοῦ μεγάλος. ὥσπερ καὶ τὸ ὕδωρ αὐτὶ τοῦ ὕδατος. ἀλλὰ καὶ ἐπ' αὐτῆς ἤδη τῆς ἀνωνυμιῶν, ἥτε ἐμαυτὸς καὶ αἱ σύζυγοι ἐξῆς σωνθετοι δυάδες, ἡ σαυτὸς λέγω καὶ ἑαυτὸς, μὴ τῆς σωνυπακουομένων προσώπων διά τινα παντὸς καὶ αὐτὰ λόγον ἀπεώθησαν ὡς ἐξ ἐπιπάγματος καὶ τοῦ κοινοῦ ἔθους καὶ μάλιστα τοῦ παρὰ ποιηταῖς. οἷς προσφιλὲς μᾶλλον μεταδιώκειν τὸ παρηλλαγμένον τῆς σωνήθους λέξεως. οἷς δέδοται καὶ

ται καὶ τὸ σφεὰς αὐτοὺς, καὶ, ἓ μὶν, καὶ ἄλλα πλεῖστα. οὐδὴ οὖν συνεξέλιπε τούτοις καὶ τὸ ἐμὸς, σὸς, ἑὸς, καὶ τὰ εἰς ὃς ἑξῆς ἀντωνυμικά. οὕτως οὖν καὶ ἡ ἐν τρίτοις τῶν δυϊκῶν κτητικὴ, οὐχ, ὥς τινες, κατὰ τυχὴν ἐξέλιπεν, ἀλλὰ καθ' ὃν ἡμεῖς ἐξεθέμεθα λόγον, ἵνα μὴ διά τινων ἀγνοίαν ἐγκλήματι ἡ παλαιότης ἁλῷ, τὰ μὲν, ἐκλιποῦσα, τὰ δὲ, μὴ συνεκλιποῦσα. Λείπεται γοῦν ἐκεῖνο προσδιασαφῆσαι τοῖς οὑτωσὶ διαποροῦσιν. ὥσπερ ἐπὶ τοῦ γ', τῶν πληθυντικῶν τὰ διῃρημένως σύνθετα ἀναλογώτερα τῶν συνημμένων, οἷον τὸ σφεὰς αὐτοὺς τοῦ ἑαυτοὺς, οὕτω κἀπὶ τοῦ α', καὶ β', τῶν αὐτῶν, τὰ διῃρημένα, ἀναλογώτερα τῶν συντεθειμένων. οἷον τό, τε ἡμέας αὐτοὺς, τοῦ ἐμαυτοὺς, καὶ τὸ ὑμέας αὐτοὺς τοῦ σαυτοὺς. τὰ μὲν γὰρ διῃρημένα, ἐκ δυοῖν συνέστηκε πληθυντικῶν, τὰ δὲ συνημμένα, ἐξ ἑνικοῦ καὶ πληθυντικοῦ. εἰ τοίνυν ἐπὶ τοῦ τρίτου τὸ ἑαυτοὺς, καίπερ ὂν μὴ ἐν ἀναλογίᾳ, ἀλλ' ἐν ἐλάττονι λόγῳ τοῦ σφᾶς αὐτοὺς, τετόλμηται δ' οὖν κατὰ τὸ γ', ἐγγίνεσθαι πρόσωπον, ὑπεισελθὸν τὸ σφᾶς αὐτοὺς, τί ὅτι μὴ κατὰ τὸν αὐτὸν λόγον τὸ αὐτὸ ἀκόλουθον ἐνεχώρησε κἀπὶ τοῦ α', ἵνα τὸ ἐμαυτοὺς, καίπερ ὂν καὶ αὐτὸ πρὸς τὸ ἡμᾶς αὐτοὺς ἐν ἐλάττονι λόγῳ, ὑπεισέλθῃ δ' οὖν ὅμως καὶ αὐτὸ τὸ ἡμᾶς αὐτοὺς, καὶ ᾖ μᾶλλον ἐν χρήσει ἀντὶ τοῦ ἡμᾶς αὐτοὺς τὸ ἐμαυτοὺς, καθὰ δὴ καὶ ἀντὶ τοῦ σφᾶς αὐτοὺς τὸ ἑαυτοὺς; ὁ δὲ αὐτὸς λόγος κἀπὶ τοῦ β', προσώπου. Ἢ ὅτι δέδεικται ἐν τοῖς προκειμένοις, ὡς ἐπενοήθησαν αἱ σύνθετοι ἀντωνυμίαι εἰς τὸ μὴ παραδέξασθαι διαφόρων προσώπων σύνταξιν, ὅτι μὴ ὁμοειδῶν, τῶν ἁπλῶν συντασσομένων διαφόροις προσώποις πρὸς τὰ ῥήματα. οἷον, διδάσκω σε. πρώτῳ δηλαδὴ καὶ δευτέρῳ, ἢ διδάσκομεν ὑμᾶς. σὲ γὰρ κἀκεῖνον. ἦν δὲ κἀκεῖνο ἀληθὲς, ὡς ἅπαν πληθυντικὸν ἑκάστου προσώπου, πρώτου, φημὶ καὶ β', καὶ γ', σύλληψιν εἰς ἑαυτὸ ἀναδέχεται διαφόρων προσώπων. (τὸ γὰρ α', ὡς εἴρηται, συλλαμβάνει εἰς ἑαυτὸ τὸ β', καὶ τὸ γ'. τὸ γὰρ ἡμᾶς, τοιοῦτόν ἐστιν, ἐμὲ καὶ σὲ κἀκεῖνον, ἢ ἐμὲ καὶ ὑμᾶς, ἢ ἐμὲ καὶ τούτους. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ β', συλλαμβάνοντος εἰς ἑαυτὸ καὶ αὐτοῦ τὸ γ', πάλιν γὰρ τὸ ὑμᾶς, σὲ καὶ τοῦτον, ἢ καὶ τούτους ἐστί.) πῶς οὖν ἡ ἐμαυτοὺς καὶ αἱ σύζυγοι ἐπιδέξονται διαφόρων προσώπων σύλληψιν, μαχομένην τῷ ἰδιώματι τῆς ἀντωνυμικῆς συνθέσεως; διάφορα γὰρ ἂν, εἴπερ, τὰ πρόσωπα νοηθήσεται, συλλαμβανόμενα ὑπὸ μὲν τοῦ ἐμαυτοὺς, πρῶτον καὶ β', καὶ γ', ὑπὸ δὲ τοῦ σαυτοὺς, δεύτερον καὶ γ'. δι' ἣν αἰτίαν μὴ σχοῦσαι χώραν ἐν ταῖς συνθέτοις, οὐδ' ὑπεισῆλθον τὰς συζύγους διῃρημένας, τόγε μὴν γ', πρόσωπον ἀπεωσμένον εἴτ' οὖν ἀπηλλαγμένον τῆς προκειμένης τηρήσεως, τῶν διαφόρων λέγω προσώπων. (οὔτε γὰρ τὸ α', οὔτε τὸ β', ὡς εἴρηται, τῶν προσώπων εἰς ἑαυτὸ συλλαμβάνει, ὅτι μὴ τὰ ὁμοειδῆ.) οὐκ ἀνέφικτον ἔσχε τὴν εἰς πληθυντικὸν μετάθεσιν, ὑπεισελθὸν τὴν σφᾶς αὐτοὺς σύζυγον, ἦν γὰρ ἐκ τῶν αὐτῶν προσώπων εἴτ' οὖν ὁμοειδῶν συνεστηκὸς, δηλονότι ἐκ τρίτων. τὸ γὰρ αὐτοὺς, τοιοῦτόν ἐστι, τοῦτον, κἀκεῖνον, αὐτόν. Κατὰ τὸν προειρημένον δὲ λόγον οὐκ ἀπορήσει τις, δι' ἣν αἰτίαν ἐκ πληθυντικῶν πληθυντικαὶ συνθέσεις οὐκ ἐγένοντο. ὡς εἶναι λέγειν ἡμαυτοὺς, καὶ ὑμαυτοὺς, καὶ ἑξῆς. ὡς γὰρ προσεχῶς εἴρηται, ἐπιμιξίαι, εἴτ' οὖν συλλήψεις διαφόρων προσώπων εἰσὶν ἐν πληθυντικοῖς. τὰ δὲ ἐκ τῶν ἁπλῶν πληθυντικῶν ἐπινοούμενα πρόσωπα, μαχόμενα τυγχάνει ὡς πρὸς τὴν σύνθετον ἀντωνυμίαν, εἴτ' οὖν τὴν αὐτοπάθειαν, μὴ μόνην αὐτοπάθειαν, ἀλλὰ καὶ ἑτεροπάθειαν, μᾶλλον δ' ἀλληλοπάθειαν, ὡς προδέδεικται, δηλοῦντα. Περισσὸν οὖν τὸ τὰς πληθυντικὰς ἀντωνυμίας συντίθεσθαι.

θεσθαι. ὅπουγε καὶ αἱ ἐνικαὶ συντεθεῖσαι, παρέμειναν τῷ ἐνικῷ ἀριθμῷ, ὡς ἂν μὴ εἰς πληθυντικὸν ἀριθμὸν μεταχηματιζόμεναι, ἐπιμιξίαν καὶ αὗται διαφόρων προσώπων ὑπεμφήνωσι, μαχομένην, ὡς εἴρηται, τῇ τῶν ἀντωνυμιῶν συνθέσει. Τί δὲ τὸ σφεὰς αὐτοὺς οὐ συνετέθη, ὡς τὰ ἐνικὰ τοῦ α', καὶ β', ἢ καὶ τὸ ἑαυτούς; οὐ γὰρ ἐκ διαφόρων προσώπων, ὁμοειδῶν δέ. Ἢ ὅτι καθ' ὃ τὸ ἐσόμενον ἐξ αὐτοῦ εὔχρηστον ἡ προληφθεῖσα πληθυντικὴ προφορὰ τοῦ ἑαυτοὺς ἀνεπλήρωσεν, ὑπεισελθοῦσα. εἰς ἣν καὶ μεταλαμβάνεται. σφεὰς αὐτοὺς ἀρτύναντες. ἑαυτοὺς παρασκευάσαντες. τὸ γὰρ σφεὰς αὐτοὺς εἰς τὸ ἑαυτοὺς μετείληπται, τοῦ τοιούτου μὴ ἐγχωροῦντος ἐπὶ τῶν τοῦ α', καὶ β'. ὧν τὴν χρῆσιν ἀνεπλήρουν αἱ ἁπλαῖ πληθυντικαὶ, ἡμᾶς αὐτοὺς, ὑμᾶς αὐτοὺς, ἀμοιροῦσαι ὅλως εἰς ὃ καὶ μεταληφθεῖεν. τὸ γὰρ ἑαυτοὺς κοινόν ἐστι τῶν τριῶν προσώπων, ἴδιον δὲ οὐδενός. πρὸς δὲ τὸν Ἀρίσταρχον κακίζοντα τὴν τοῦ ἑαυτοὺς σύνθεσιν ἐξ ἐνικοῦ καὶ πληθυντικοῦ οὖσαν φασί τινες, ὡς τοτηνικαῦτα παρὰ λόγον ἁπλῶς ἦν ἡ ταύτης σύνθεσις, εἴπερ διάφορα ἦν συνειληφυῖα καὶ αὐτὴ τὰ πρόσωπα κατὰ τὰς ἐπὶ πρώτου καὶ δευτέρου, τὴν ἐμαυτοὺς καὶ σαυτούς. ἤδη δὲ ἐκ τρίτων ἁπάντων συνεστηκυῖα, κἂν ἐξ ἐνικοῦ καὶ πληθυντικοῦ, συγκεχώρηται ὅμως. καὶ οὐδὲ τοῦτο παρὰ λόγον. τὸ μὲν γὰρ κατ' ἀρχὴν ἐνικὸν, τὸ ἐνιαῖον τῆς διαθέσεως παρεμφαίνει, τὸ δὲ κατὰ τὸ τέλος πληθυντικὸν, τὴν κατὰ ἀριθμὸν διαφορὰν τῶν προσώπων. ἑαυτοὺς ἀγαπῶσιν. ὅτι δὲ καὶ οὐ κατὰ σύνθεσιν δύοιν ἁπλῶν, ἀλλ' ἐπιπλεονάσαντος τοῦ ε, τῇ αὐτοὺς ἁπλῇ, ἐγένετο τὸ ἑαυτοὺς, προείρηται. Ὁποτέρως γεμὴν ἂν ᾖ συνεστὼς, οὐδετέρως ἂν εἴη δηλοῦν οὐδ' αὐτὸ αὐτοπάθειαν, ὡς ἐν τοῖς φθάσασι δέδεικται.

Ἀλληλοπαθές.

Παραπλησία δέπως τουτοισὶ

Τοῖς συνθέτοις τε καὶ αὐτοπάθειαν δηλοῦσιν ἀντωνυμικοῖς μορίοις.

Καὶ ἡ τοῦ ἀλλήλων σύνταξις.

Ἡ τοῦ ἀλλήλων φωνὴ ἐκ πληθυντικῶν συνεστῶσα, τοῦ ἄλλοι ἄλλων, καθ' ἑαυτὴν μὲν οὔ, ταῖς δὲ προθέσεσι συντιθεμένη, ἐνίζεται. διάλληλος. ὑπάλληλος. ἔστι δὲ ἀόριστον ὄνομα, οὐκ ἀντωνυμία. εἴγ' ἃ ὁρίζει ἡ ἀντωνυμία, ταῦτα ὑπὸ τοῦ ἄλλος ἀναιρούμενα, ὡς εἴρηται, ἀοριστοῦται.

Δι' αὐτοπάθειαν γὰρ τοῦ ὅλου ἀθροίσματος,

Ἡ ὁμοιότης τούτου πρὸς τὰς συνθέτους τῶν ἀντωνυμιῶν. τὸ γὰρ ὅλον ἄθροισμα ὑφ' ἑνληφθὲν, πρόδηλον ὡς εἰς ἑαυτότε ἐνεργεῖ καὶ ὑφ' ἑαυτοῦ πάσχει. διὰ δὴ τὴν τῆς ὁλότητος αὐτοπάθειαν, ὥσπερ τὰς συνθέτους τῶν ἀντωνυμιῶν ἐπ' αὐτοπαθείας λαμβάνοντες λέγομεν, ἑαυτοὺς ὠφελοῦμεν, εἴτε, οὖσιν. οὕτω

Καὶ ταῦτα

Ἀντὶ τοῦ καὶ τοῦτο, τὸ ἀλλήλων φημί. τὸ γὰρ πληθυντικὸν ἀντὶ ἐνικοῦ εἴληπται, ὡς ἔστιν ἰδεῖν παρὰ τῷ Μιχαήλῳ. φησὶ γὰρ, δι' αὐτοπάθειαν δὲ καὶ αὖτ', (αἱ τρεῖς πλάγιαι ἀλλήλων, ἀλλήλοις, ἀλλήλους.) ἐπὶ τῶν συμπεπλεγμένων λαμβάνοντ'. οἷον, τληπόλεμος καὶ σαρπηδὼν ἀλλήλους ἔτρωσαν.

Ἐπὶ τῶν συμπλεκομένων λαμβάνοντες,

Οὐκ ἐπὶ τοῦ τυχόντος δηλονότι ἀθροίσματος, ἀλλ' ἐφ' οὗ τὰ μέρη ἀλλήλοις συμπλέκεται ἢ μάχῃ τε καὶ πολέμῳ, ἢ τοῖς τούτων ἐναντί-

ἐναντίοις. ὡς εἴ γε μὴ ᾖ τὰ μέρη ἀλλήλοις ὁπωσοῦν συμπεπλεγμένα, οὐχὶ τῷ ἀλλήλων ἐπὶ τῷ τούτων ἀθροίσματι, ταῖς δὲ συνθέτοις τῶν ἀντωνυμιῶν χρώμεθα.

Λέγομεν, ἀλλήλους ὠφελοῦμεν, ὠφελεῖτε, ὠφελοῦσι.

Κατὰ παντὸς προσώπου τὸ ἀλλήλους, καθὰ δὴ καὶ τὸ ἑαυτούς.

Ὅτι γε μὴν

Ἡ διαφορὰ τούτου πρὸς τὰς συνθέτους τῶν ἀντωνυμιῶν. καθ' ἣν καὶ κεκόλασται ἡ ὁμοιότης διὰ τοῦ πως. οὐ δὲ γὰρ κατὰ πάντα, κατὰ δέ τινα τρόπον ὡμοίωται, κατὰ τὸ ὅλον δηλ: οὐχὶ δὲ καὶ κατὰ τὰ μέρη.

Οὐ τὰ μέρη καθ' ἕκαστον ὑφ' ἑαυτῶν πάσχει,

Κατὰ τὰ μέρη τοῦ ἐν ταῖς συνθέτοις τῶν ἀντωνυμιῶν ἀθροίσματος. ὧν ἕκαστον ὑφ' ἑαυτοῦ πάσχει.

Ἀλλ' ὑφ' ἑτέρου ἀμοιβαδὸν,

Ἀμείβοντα ἀλλήλοις, ἣν ὑπ' ἀλλήλων ἐκδέχονται ἐνέργειαν,

Προσαγορευέσθω ἡμῖν μὴ αὐτοπαθὲς τὸ τοιοῦτον, ἀλλ' ἀλληλοπαθές.

Κατ' ἐπικράτειαν τῆς τῶν μερῶν σημασίας, ὡς τῇ γενέσει προτέρων τοῦ ὅλου. δῆλον δ' ὅτι ἡ ἀλληλοπάθεια προϋποτίθησι τὴν ἀλληλενέργειαν. Τὸ δὲ ἀλλήλων ἀνέφικτον εἰς ἄρθρου παράθεσιν, ἔκ τε τῆς παρὰ πᾶσι χρήσεως καὶ τοῦ συμπαρεπομένου λόλου. μετὰ γὰρ ῥήματος διαβατικὴν προσώπων συνταξιν σημαίνει. οἷον, ἀλλήλους τρώσοι τε. ἀλλήλων ἀλεείνοντες. αἱ δὲ τοιαῦται συντάξεις ἐν ὀρθῇ καὶ πλαγίᾳ πτώσει νοοῦνται, ὥσπερ δὴ καὶ τὸ προκείμενον ὄνομα, ἐν ὀρθῇ μὲν, κατὰ τὸ ἡγούμενον, ἐν πλαγίᾳ δὲ, κατὰ τὸ ἑπόμενον. ἄλλοι γὰρ ἄλλων, καὶ, ἄλλοι ἄλλοις, καὶ, ἄλλοι ἄλλους. ὁποτέρᾳ οὖν πτώσει ἐπειδὰν προσέλθῃ τὸ ἄρθρον, ἀκαταλληλότητα παρέξει, μὴ παραδεχόμενον ὑπὸ τῆς ἑτέρας. εἰ μὲν γὰρ τῇ λεγομένῃ ὀρθῇ, τὸ ἐγκείμενον τῆς πλαγίας οὐ παραδέξεται. εἰ δὲ τῷ τῆς πλαγίας, τὸ ἐγκείμενον τῆς ὀρθῆς ἀντικείσεται. ἐνὶ δὲ πάλιν ὀνόματι δύω προτακτικὰ ἄρθρα συντάττεσθαι ἀμήχανον. καὶ οὕτως ἡ τοῦ ἄρθρου σύνταξις ἀνέφικτος ἐγένετο. εἰ δὲ καὶ τὸ ὀρεσίτροφος, χειρίσοφος καὶ τὰ τοιαῦτα ἐν ὀρθῇ καὶ πλαγίᾳ πτώσει νοούμενα, οὐδὲν ἧττον ἄρθρον προσδέχεται, ἀλλ' οὐ κατὰ τὸ ἀλλήλων ἐν δυοῖν προσώποις καὶ ταῦτα καταγίνεται, καθ' ἑνὸς μόνου λεγόμενα. Ἔτι τὸ ἀλλήλων ἐπὶ δυοῖν καταχρηστικῶς λέγεται. ἐπὶ πολλῶν γὰρ τὸ ἄλλος. ἔνθεντοι καὶ διὰ τὸ τῶν προσώπων ἀόριστον ἀπαράδεκτον τὸ ἀλλήλων τῆς τοῦ ἄρθρου παραθέσεως.

Δῆλον δ' ἄρα καὶ ὡς αἱ τοιαῦται ἀντωνυμίαι,

Αἱ συνθετοι εἴτ' οὖν αὐτοπαθεῖς, ἐν αἷς καὶ τὸ ἀλλήλων

Ῥήματα οὐκ ἂν ἐπιδέχοιντο παθητικά. τὸ γὰρ αὐτοπαθὲς,

Ἀττικῶς ἀντὶ τοῦ ἡ αὐτοπάθεια.

Ἐνέργεια τοῦ εἰς ἑαυτὸ ἐνεργοῦντός ἐστι.

Ταὐτὸν εἰπεῖν πάθος τοῦ ὑφ' ἑαυτοῦ πάσχοντος. εἴ γε τὸ ἐμαυτὸν ὠφελῶ, ταὐτόν ἐστι τῷ ὑπ' ἐμαυτοῦ ὠφελοῦμαι.

Τε.

Ὡς εἰρη-

Ὡς εἴρηται.

Ἔντε τῇ τῶν συνθέτων χρήσει, κἀν τοῖς αὐτοπαθέσι τῶν οὐδετέρων ῥημάτων. Δῆλον δὲ ὅτι οὐδὲ εὐθείας συνθέτους ἔχουσιν αἱ τοιαῦται ἀντωνυμίαι. ἀεὶ γὰρ πρὸς ἑαυτὰς ἐκδέχονται κατ' ἐπιστροφὴν τὴν τῶν ῥημάτων μετάβασιν. ὅπερ οὐκ εὐθειῶν ἂν εἴη, ἀλλὰ πλαγίων, ἁπλῆς τῆς εὐθείας προεπινοουμένης τοῦ ῥήματος. Τῆς δ' ἀντωνυμικῆς συνθέσεως ἐκ δύοιν ὁμοιοπτώτων καὶ ὁμοιαρίθμων πτώσεων πεφυκύας, ὡς εἴρηται, γίγνεσθαι, οὐκ ἄρα οὐδὲ τὸ ἐμαυτὸς συσταίη ἀνομοιοπτώτως. (καθ' ὃν δὴ λόγον οὐδ' ἡ τοῦ ἑαυτοὺς σύνθεσις πάντῃ αἰτίας ἀπήλλακται, ἀνομοιάριθμος οὖσα.) ἀλλ' οὐδὲ ἐκ τοῦ ἐμὸς αὐτός. καθ' ὅ, τι ἡ σύνθεσις ἐξ ὁμοειδῶν μόνον, εἴτ' οὖν πρωτοτύπων. οὔτε μὴν ἡ τοῦ ἐγαυτὸς σύνθεσις ἔρρωται. καθ' ὅ, τι ἡ σύνθεσις σημαίνει αὐτοπάθειαν, ἐνέργειά οὖσα, ὡς εἴρηται, τοῦ εἰς ἑαυτὸ ἐνεργοῦντος. ἡ δὲ εἴς τι ἐνέργεια, πλαγίαν οὐκ εὐθεῖαν ἀπαιτεῖ. Ἀπορήσειε δέ τις, εἴπερ ἡ αὐτοπάθεια τοῦ εἰς ἑαυτὸ ἐνεργοῦντός ἐστιν οὐχὶ πάθος ἀλλ' ἐνέργεια, ἔστι δὲ καὶ τοῦ πάθους προτέρα ἡ ἐνέργεια, τί ὅτι ἡ τοῦ εἰς ἑαυτὸν ἐνεργοῦντος ἐνέργεια, μὴ αὐτοενέργεια, ἀλλ' αὐτοπάθεια εἴρηται; Ἢ ὅτι συνεισάγει ἡ αὐτοπάθεια καὶ τὴν αὐτοενέργειαν. Καὶ μὴν καὶ ἡ αὐτοενέργεια τὴν αὐτοπάθειαν, τῶν πρός τι οὖσα. Ἢ ὅτι οὐδαμῶς. οὐ γὰρ ἀντιστρέφει. ἡ μὲν γὰρ αὐτοπάθεια πάθος ἀφ' ἑαυτῆς τυγχάνει δηλοῦσα, ὡς ἐν τοῖς αὐτοπαθέσι τῶν ῥημάτων εἴρηται. ἡ δὲ αὐτοενέργεια τὴν εἰς ἕτερον οὐ μὴν τὴν εἰς τὸ ἐνεργοῦν ἐνέργειαν, ὥς σοι τῶν ῥημάτων τὰ αὐτοενεργητικὰ παρίστησιν, ἐνέργειαν μὲν δηλοῦντα, οὐ μὴν συνεισάγοντα καὶ τὴν αὐτοπάθειαν. καθ' ὅ, τι τὸ μὲν ποιοῦν, φασὶν, ἐν ἑαυτῷ μόνῳ τὴν αἰτίαν ἔχει, τῷ πεφυκέναι ἀλλοιοῦν. τὸ δὲ πάσχον, καὶ ἐν ἑαυτῷ μὲν, τῷ πεφυκέναι ἀλλοιοῦσθαι, καὶ ἐν ἄλλῳ δὲ, τῷ ὑπότινος ἀλλοιοῦσθαι.

Περὶ κλητικῶν τῶν μὴ δυναμένων συστῆναι ἐν ἀντωνυμίαις.

Εἴρηται ἡμῖν ἐν τῷ περὶ πτώσεων περὶ συνεμπτώσεως εὐθείας καὶ κλητικῆς ἐπὶ τῆς σὺ, ἀντωνυμίας. οὔγε μὴν δοκεῖ μοι παρέλκον καὶ ὑπὲρ τῶν ὑπολοίπων κλητικῶν λέγω ἐν ἀντωνυμίαις προσδιασαφῆσαι. ὡς κατὰ τὸν αὐτὸν μὲν λόγον τῶν ἐνικῶν καὶ ἐν δυϊκαῖς καὶ πληθυντικαῖς σύνεστι καὶ ἡ κλητικὴ, ἐν ὁμοφωνίᾳ οὖσα τῆς εὐθείας, οὔγε μὴν ἐν πρώτῳ, ἢ γ', ἐν οἷς οὐκ ἔστι συνίστασθαι κλητικήν. καθ' ὅ, τι οὔτε ἑαυτόν τις προσκαλεῖται, οὔτε τὰ ἀπόντα καὶ κεχωρισμένα τῶν προσώπων, ὡς κἀν τοῖς ἐν τῇ προστακτικῇ εἴρηται. Κλητικὴ γὰρ παρόντος προσώπου πτῶσίς ἐστι, τοσαύτην ἔχοντος ἀπόστασιν, ἐφ' ὅσην ἂν ἡ φωνὴ συντείνειεν. ὀρθῶς οὖν οὔτε ἡ αὐτὸς κλητικὴν ἔχει. ἄπεστι γάρ. οὔτε ἡ ἐκεῖνος. εἰς γὰρ ἀπόστασιν καὶ αὕτη προσώπου ἐπενοήθη, ἥ τις μάχεται τῷ τῆς κλητικῆς ἰδιώματι. ἤγε μὴν οὗτος, οὐ μόνον τοῖς ἀποῦσιν, ἀλλὰ καὶ τοῖς παροῦσι προσφωνουμένη προσώποις, δεόντως καὶ ἐπὶ κλητικῆς τίθεται. φαμὲν γὰρ, ὦ οὗτος. δι' ὃ καὶ μάτην τινὲς κατεμέμψαντο τὴν τῶν ἀρχαίων χρῆσιν, ὑπολαβόντες ὡς τὸ γ', πρόσωπον ἐν ἀντωνυμίαις ἀπαράδεκτόν ἐστι κλητικῆς πτώσεως. καὶ γὰρ τὸ οὗτος οὐχ ᾗ τρίτον, ᾗ δὲ δεύτερον, παρεπόμενον ἔχει τὸ τῆς κλητικῆς ἰδίωμα. ἐπεὶ καὶ τὰ ὀνόματα τρίτου εἰσὶ προσώπου, οὐ μὴν ἀμοιρεῖ κλητικῆς πτώσεως, δευτέρου γεγονότα. Ἀκόλουθόν ἐστι διαλαβεῖν καὶ περὶ τὸν ἐν ταῖς κτητικαῖς κλητικῶν. αἱ μὲν οὖν τοῦ α', προσώπου, καὶ ἕνεκα τοῦ παρεπομένου λόγου συνίστανται, καὶ ἕνεκα τῆς ὑπούσης χρήσεως. οἷόν τε γὰρ δι' αὐτῶν προσφωνεῖν

φωνεῖν οὐχὶ τοὺς ἐν πρώτῳ κτήτορας, τὰ δὲ ἐν β', ὑπακουόμενα κτήματα. εἰ γὰρ καὶ αὐτὸ τὸ β', πρόσωπον, οὗ ἐστιν ἡ κλητικὴ, κατὰ τὰς ὑπαρκτικὰς συντάξεις οὐκ ἐν κλητικῇ, ἀλλ' ἐν εὐθείᾳ λέγεται, ὑμέτερος ὑπάρχει φίλος. ἀλλὰ πῆρ τεός εἰμι. πολλῷ μᾶλλον τὸ α', οὐκ ἂν λέγοιτο ἐν κλητικῇ. τὰ δὲ τῆς χρήσεως, ἡνίκα ὁ Νέστωρ τοὺς ἰδίους παῖδας προσφωνεῖ, παῖδες ἐμοί. καὶ παρὰ Καλλιμάχῳ, ὦ ἐμαὶ τοῦ ἀπιόντος ἄγκυραι. καὶ ἐπὶ τῆς συλλαμβανούσης τοὺς ἄλλους παῖδας ἀθηνᾶς. ὦ πάτερ ἡμέτερε κρονίδη. Καὶ ἡ κατὰ τὸ γ', δὲ κλητικὴ ὑπὸ μὲν τοῦ λόγου συνίσταται. οἷόν τε γὰρ τὸ τινὸς ἢ τινῶν κτῆμα κλητικῶς προσφωνεῖν, ὡς ἔστιν ἐπινοῆσαι κἀπὶ τῶν κτητικῶν ὀνομάτων. καὶ ταῦτα γὰρ ἐν δυοῖν τρίτοις καταγινόμενα, τῷτ' ἐγκειμένῳ κτήτορι καὶ τῷ προσκειμένῳ κτήματι, ἔχει χρῆσιν τῆς κλητικῆς. ἀριστάρχιε. ἀνδρεῖε. αἰώνιε. ὅπερ ἂν συμβαίη κἀπὶ τῶν ἀντωνυμιῶν. συσταίη γὰρ ἂν ἡ σφέτερε. τά γε μὴν τῆς χρήσεως οὐκ ἐγένετο ἡμῖν ἐμφανῆ, μηδενὸς, ὅσα γ' ἡμᾶς εἰδέναι, χρησαμένου ταύτῃ. τὰ δὲ ἐπὶ β', προσώπου, οὐ μόνον ἡ χρῆσις παρέλειψεν, ἀλλὰ καὶ ὁ λόγος ἀδυνατεῖ ἐνέχειν, καθ' ἑκάτερα συναπωσθέντα, οὐχ ὡς οἴεται Ἄβρων, λέγων, ὅτι διάφορος ὁ ἐπ' αὐτῆς ἀριθμὸς γενήσεται. τὸ γὰρ ὑμέτερέ φησι, πληθυντικὸν μὲν ἀκουσθήσεται κατὰ τὸν ἐγκείμενον κτήτορα, ἑνικὸν δὲ κατὰ τὸ κτῆμα. καὶ σαφὲς ὅτι δώσει ὁ Ἄβρων ὑπάρξαι κλητικὴν β', προσώπου, ἰσαρίθμου καθεστώσης τῆς κτητικῆς ἀντωνυμίας τῷ ὑπακουομένῳ κτήματι, εἴ τις φαίη, ὦ ὑμέτεροι. καθ' ἑκάτερα γὰρ πληθυντικόν. ἢ ὦ σός. καθ' ἑκάτερα γὰρ ἑνικόν. Ἔστιν οὖν αἴτιον τοῦ μὴ συνίστασθαι τὴν ἀντωνυμίαν ἐν δευτέροις, τὸ διάφορον τῆς πτώσεως, ἔχοντος οὕτω τοῦ λόγου. πᾶν πρόσωπον πληθυντικὸν ἐξ ἑνικῶν ὁμοιοπτώτων συνέστηκεν, ἤ τοι διαφόρων, ἢ ὁμοειδῶν. τοῦτ' ἔστιν ἐάν τε δὴ κατὰ σύλληψιν ᾖ διαφόρων προσώπων, πρώτου, δευτέρου καὶ τρίτου. ἐάν τε καὶ ἐξ ὁμοειδῶν συνεστήκῃ, πρώτων μόνων, ἢ δευτέρων, ἢ τρίτων. διαφόρων μὲν οὖν προσώπων, ἐμὲ, σὲ, καὶ τοῦτον ἐθεάσατο τρύφων. ἐμοὶ καὶ σοὶ καὶ τοῖς περὶ διονύσιον ἐλάλησε τρύφων. ὃ γενήσεται κατὰ σύλληψιν. ἡμᾶς ἐθεάσατο. ἡμῖν ἐλάλησεν. ἐκ δὲ τῶν αὐτῶν προσώπων, σὲ καὶ σὲ καὶ σὲ ἐθεάσατο δίων. τοῦτον καὶ τοῦτον κἀκεῖνον μέμφομαι. ὃ καὶ αὐτὸ πάλιν γενήσεται κατὰ σύλληψιν, ὑμᾶς ἐθεάσατο. τούτους μέμφομαι. διδομένου δὲ τοῦ τοιούτου, δίδοται δὴ κἀκεῖνο, ὡς τὰ ἐν τῷ β', πληθυντικῷ συλλαμβανόμενα ἑνικὰ πρόσωπα, οὐχὶ τὰ μὲν, τὰ δ', οὔ, ἀλλὰ πάντα τὴν πρὸς αὐτὰ προσφώνησιν ἔχει, καὶ οὐδὲν αὐτῶν μένει ἀπροσφώνητον. ὡς ἔχει τὸ ὑμεῖς, ὑμῶν, ὑμᾶς. τὸ δὴ οὖν κλητικὸν ὑμέτεροι, β', προσώπου ὂν κατ' ἄμφω τὰ πρόσωπα, τά τε τῶν κτητόρων καὶ τὰ τῶν ὑπακουομένων κτημάτων, ἑκάτερα τούτων ἔχει προσφωνούμενα, καὶ τοὺς κτήτορας, ἕνεκα τῆς ἐγκειμένης κτητορολογούσης γενικῆς τῇ κτητικῇ ἀντωνυμίᾳ, καὶ τὰ κτήματα, ἕνεκα τῆς ἐγκειμένης κλητικῆς. ἀμφότερα δὲ δεύτερα καθεστῶτα, διάφορά ἐστι κατὰ τὰς πτώσεις. εἴγε γενικὴ μὲν ἔγκειται τῶν κτητόρων, κλητικὴ δὲ τῶν κτημάτων. ἔνθεντοι καὶ σεσίγηται. δι' ὃ καὶ οὐ πρὸς τὴν χρῆσιν μόνον ἐπερειδόμενοι, περιγράφομεν τὰς ἐπὶ β', προσώπου κλητικὰς ἀντωνυμίας, ἀλλὰ καὶ πρὸς τὸν ἐκτεθέντα λόγον, καὶ οὐ διὰ τὸν διάφορον ἀριθμὸν τῶν προσώπων, ὡς Ἄβρων ᾤετο. ἐπεὶ καὶ ἡ χρῆσις τῆς ἐμὸς, οὐκ ἐκ διαφόρων, ἐκ δὲ ἀμφοῖν ἑνικῶν συνεστηκύας, τὴν κλητικὴν ἐμὲ καὶ αὐτὴ παρεώσατο, ὡς ὁμοφωνοῦσαν τῇ ἐμὲ πρωτοτύπῳ αἰτιατικῇ. καὶ τῆς σὸς ὡσαύτως τὴν κλητικὴν,

τικὴν, διὰ τὸν αὐτὸν λόγον τῆς ὁμοφωνίας. καθ' ὅ, τι παραλαμβανομένη καὶ αὐτὴ, ἔμφασιν ἀκαταλλήλου λόγου Παριστάνει διὰ τὴν πρὸς τὴν πρωτότυπον σὲ αἰτιατικὴν συνέμπτωσιν. δεόντως γοῦν ἀττικῷ σχήματι συνεχρήσατο ὁ ποιητής. κατεπείξαντος γὰρ τοῦ λόγου παραλαβεῖν τὸ κλητικὸν σχῆμα, εὐθείᾳ ἀντὶ κλητικῆς ἐχρήσατο κατὰ τὸ ἀρσενικὸν, ἐν τῷ, γαμβρὸς ἐμὸς θύγατέρ τε. πῶς γὰρ οὐ δοθείη ἡ τοῦ ἐμὸς κτητικοῦ κλητικὴ κατὰ τὸ ἑνικὸν διά τε τὸν προειρημένον λόγον περὶ τῶν κατὰ τὸ α', πρόσωπον κλητικῶν, καὶ διὰ τὰ συνυπάρχοντα αὐτῇ ἑνικὰ κατὰ γένος, οὐδέτερον μὲν, τέκνον ἐμόν. θηλυκὸν δὲ, μέρ ἐμή; τούτων γὰρ ὑπαρχόντων, ἀνάγκη πᾶσα καὶ τὸ ἀρσενικὸν συνυπάρχειν. γαμβρὲ ἐμέ. ἐξέλιπεν ὅμως διὰ τὴν ὡς εἴρηται συνέμπτωσιν. Ὁ μὲν οὖν Ἀπολλώνιος διὰ τὸ κατά τε σύλληψιν, ὡς εἴρηται, καὶ προσφώνησιν ἀνομοιόπτωτον τῶν ἐγκειμένων προσώπων, σεσίγηταίφησιν ἡ κατὰ τὸ β', κλητικὴ, δέον ὁμοιόπτωτον εἶναι κατ' αὐτὸν τὴν τῶν προσώπων σύλληψίν τε καὶ προσφώνησιν, ὅ ἐστι συλλαμβανόμενά τε καὶ προσφωνούμενα τὰ πρόσωπα, ὁμοιόπτωτα δέον εἶναι. Ἔστι δὲ φάναι πρὸς αὐτὸν, πρὸς μὲν τὸ κατὰ σύλληψιν, ὡς καὶ ἡ κατὰ τὸ α', καὶ τρίτον κλητικὴ ἀνομοιόπτωτον σχοῦσα τὴν τῶν προσώπων σύλληψιν, ἤτοι οὐ συστήσεται καὶ αὐτὴ, ἢ ἕωλον ἀπελέγξει, συνεστῶσα τὸ τῆς ἀνομοιοπτώτου συλλήψεως ἐπιχείρημα. εἰ δὲ ἀντεποίσει ἐκεῖνος, ὡς ἡ μὲν κατὰ τὸ α', καὶ τρίτον ἀνομοιόπτωτος σύλληψις, ὡς μὴ ἐξ ὁμοειδῶν προσώπων συνεστηκυῖα, τὰ κτήματα μόνον προσφωνοῦσα, δευτέρου ὄντα, οὐ μὴν δὲ καὶ τοὺς κατὰ τὸ α', καὶ γ', μὴ ταυτοπροσωποῦντας τοῖς κτήμασι κτήτορας, ὁμοιόπτωτον ἔχει τὴν προσφώνησιν, ἡ δὲ κατὰ τὸ δεύτερον, τῶν συνειλημμένων προσώπων ἑκάτερα τά τε τῶν κτητόρων φημὶ καὶ τὰ τῶν κτημάτων ἅμα προσφωνοῦσα ὡς ὁμοειδῆ, εἴτ' οὖν δεύτερα ξύμπαντα, ἀνομοιόπτωτον αὐτὴν ἔχει. πρὸς δὴ τὸ τῆς τῶν ὁμοειδῶν ἀνομοιοπτώτου προσφωνήσεως ῥητέον, ὡς οὐχ ἁπλῶς δίδοται πάντα τὰ β', πρόσωπα προσφωνεῖσθαι, καθ' ἡντιναοῦν λέγω πτῶσιν, κατὰ δὲ μόνην τὴν κλητικὴν δηλονότι. εἴη γὰρ ἂν, εἴπερ, καὶ τὸ, ὑμῶν, ὑμῖν, ὑμᾶς, καὶ ἁπλῶς πᾶσα ἡ κατὰ τὸ β', πτῶσις, κλητική. ὅπερ οὐδ' αὐτὸς δίδωσιν ἐν τῇ πρὸς τὸν Τρύφωνα περὶ συνεμπτώσεως πτώσεων γενομένῃ αὐτοῦ ἀντιλογίᾳ. Καὶ γοῦν καὶ ἡ κατὰ τὸ β', κλητικὴ, τῶν κτητόρων ἐν γενικῇ καθεστώτων, μόνα προσφωνοῦσα τὰ ἐν κλητικῇ κτήματα, συσταίη ἂν καὶ αὐτὴ, εἰ τὰ τῆς χρήσεως οὐκ ἐγένετο καὶ ἐπ' αὐτῆς ἡμῖν ἐμφανῆ. Ῥητέον δὲ καὶ περὶ τῶν τῇ μὲν φωνῇ ἄρθρων καθεστώτων, τῇ δὲ ἐξ αὐτῶν μεταλήψει ἀντωνυμιῶν. (ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας ἀχαιῶν. ἀντὶ τοῦ οὗτος. τόν δ' ἀπαμειβόμενος. ὡς ἢ ῥύμφα θέουσα. εἵνεκα τῆς ἀρετῆς ἐριδαίνομεν. ὃ μεταλαμβάνεται μὲν εἰς τὸ ταύτης, εἵνεκα ταύτης τῆς ἀρετῆς, προσλαμβάνεται δὲ ἔξωθεν δεόντως τὸ ἄρθρον τὴν πρώτην θέσιν ἀναπολοῦν τῆς ἀντωνυμίας.) ὅτι κατὰ τὰ ὀνόματα καὶ αἱ ἀντὶ τούτων παραλαμβανόμεναι ἀντωνυμίαι κατὰ πτῶσιν ἑκάστην, σύνταξιν τὴν αὐτὴν ποιοῦνται, ὡς εἴρηται, πρὸς τὰ ῥήματα. ὁμόλογον δὲ κἀκεῖνο, ὡς συνέστι τὰ ἄρθρα μετὰ τῶν ὀνομάτων, ἀνθ' ὧν παραλαμβάνεται ἡ ἀντωνυμία, μὴ σημαίνουσα τὰς πηλικότητας, ἢ ποιότητας, ἤτι τῶν παρεπομένων τοῖς ὀνόμασι. καθ' ὃ ἀπεδείξαμεν κἀπὶ τῶν ἀντωνυμιῶν τὸ αὐτό. ὡς γὰρ τὸ οὗτος, κατὰ παντὸς ὑποκειμένου παραλαμβάνεται, οὕτω καὶ τὰ ἄρθρα σὺν παντὶ ὑποκειμένῳ παραλαμβάνται. ὁ μέγας. ὁ βραχὺς. ὁ λευκὸς, ὁ χρυσοῦς. καὶ τούτων τῇ δὲ ἐχόντων, πρόδηλον ὡς ὅταν τὸ ἄρθρον μὴ μεθ' οὗ

μὴ μεθ' οὗ συνήρτηται ὀνόματος παραλαμβάνηται, ποιήσηται δὲ σύνταξιν ὀνόματος, ἣν προεκτεθείμεθα, δηλαδὴ πρὸς τὸ ῥῆμα, ἐκ πάσης ἀνάγκης εἰς ἀντωνυμίαν μεταληφθήσεται. μὴ γὰρ ἐγγινόμενον μεθ' οὗ συνήρτηται ὀνόματος, δυνάμει ἀντὶ τούτου παρελήφθη. κἂν τοῦθεν ἡ σύνταξις αὐτοῦ παρεχώρει εἰς ἀντωνυμικὴν μετάληψιν. ἔστω γάρ τι τοιοῦτο. χρύσης γὰρ ἦλθε θοὰς ἐπὶ νῆας ἀχαιῶν. ἔτι μετὰ ἄρθρου, ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας ἀχαιῶν. καὶ σαφὲς ὅτι ἡ τοῦ ὀνόματος ἔλλειψις ἀπὸ τοῦ ἄρθρου, τῷ ἄρθρῳ προσδώσει τὰ τῆς ἰδίας συντάξεως. καὶ οὐκ ἄλλο τι γενήσεται τὸ ἄρθρον, ἢ ἀντωνυμία. (ὅπερ ἐξακουστότερον, ἤγουν κρουστικῶς καὶ μετὰ σφοδροῦ ἐκφωνεῖται τόνου κατὰ τὸν Εὐστάθειον.) ἢ ἔστιν ἀντὶ παντὸς ὀνόματος παρειλημμένη. ἐπεὶ καὶ αὐτὸ μετὰ παντὸς ὀνόματος μὴ ἐμποδιζόμενον παραλαμβάνεται, οἷα μὴ σημαῖνον οὐδ' αὐτὸ κατὰ τὴν ἀντωνυμίαν ποιότητα, ἢ ἄλλο τι τῶν παρεπομένων τῷ ὀνόματι. δῆλον γὰρ ὅτι καὶ τὸ ἄρθρον ἀντὶ ὀνόματος παραλαμβανόμενον, ἀντωνυμία ἔσται καὶ αὐτό. Ἐν μέν τοι τοῖς φθάσασι δέδεικται, πότε οἱ λόγοι παραιτοῦνται τὰ ὀνόματα, τὰς ἀντωνυμίας ἀντιπαραδεχόμενοι. καὶ ἡ μὲν τοιαύτη τῶν ἄρθρων πρὸς τὰ ῥήματα σύνταξις, προϋφεστώτων ὀνομάτων, καθ' ὧν ἀναφέρεται τὰ ἄρθρα, ποιεῖται μετάληψιν. ἡ μέν τοι μὴ οὕτως ἔχουσα, αὐτόθεν δὲ ἐν προλήψει παραλαμβανομένη τοῦ ἐσομένου προσώπου, φημὶ δὴ ἡ μὴ προϋφεστὼς ἀντονομάζουσα, ἐσόμενον δὲ προλημματίζουσα πρόσωπον, ἀόριστον μετάληψιν τῶν ἄρθρων ποιεῖται, εἴτε ἐν προτακτικοῖς. οἷον, ὁ περιπατῶν, κινεῖται. καὶ ἔτι ἐν ὑποτακτικοῖς. ὃς ἂν παραγένηται, ἀναγινωσκέτω. καὶ τοῦτο πάνυ εὐλόγως. συμφερόμενον γὰρ παντὶ ὀνόματι τὸ ἄρθρον, καὶ ἐπὶ πᾶν ὄνομα πάντως ἀναδραμεῖται, ἐν καθεστηκός. ὅπερ ἴδιον ἀορίστου. ὑγιῶς ἄρα τὰ ἄρθρα ἤτοι εἰς ὡρισμένα πρόσωπα παραλαμβάνεται, λέγω τὰς ἀντωνυμίας, ἢ εἰς τὸ ἀοριστότατον, λέγω τὸ τίς. τὸ γὰρ, ὁ περιπατῶν, κινεῖται. οὐ πόρρω πέπτωκε τοῦ, εἴ τις περιπατεῖ, κινεῖται. οὐδὲ τὸ, ὃς ἂν ἔλθῃ, τοῦ, εἴ τις ἂν ἔλθῃ. καὶ τὸ, οἱ μὲν, οἱ δὲ, τοῦ, τινὲς μὲν, τινὲς δέ. ἢ ἄλλοι μὲν, ἄλλοι δέ. εἰ μέν τοι συνενεχθείη τι τῶν ὀνομάτων ταῖς προκειμέναις συντάξεσι, καὶ αὐτὰ τὰ ἀόριστα ἄρθρα καταστήσεται εἰς τὸν ἴδιον μερισμόν. ὁ διονύσιος περιπατῶν, κινεῖται. τρύφων κοιμᾶται. ὃς μένει με διαναστάς. τῶν ἀνῶν οἱ μὲν, εἰσὶ μέλανες, οἱ δὲ λοιποὶ, λευκοί. δεόντως δ' ἂν καὶ ἀντωνυμίαι ῥηθεῖεν κατὰ τοὺς μερισμοὺς, λέγω δὴ τὰς συντάξεις. καθ' ὅ, τι καὶ ἄλλα μέρη λόγου μετατεθέντα τῆς ἰδίας συντάξεως, καὶ ἄλλων ἀναπληρώσαντα τὰς ἰδιότητας, πάλιν τῆς τούτων ὀνομασίας ἔτυχεν, ὡς ἔχει τὰ ὀνοματικὰ, εἴτ' οὖν ὁμοιονόματα καλούμενα ἐπιῤῥήματα. κάλλιστα, ἥδιστα. ἰδίᾳ. δημοσίᾳ. κύκλω. καὶ ὅτε αἱ μετοχαὶ εἰς ὀνομάτων σύνταταξιν παραλαμβάνονται, ὡς τὸ ἐρωμένη. εἱμαρμένη. καύσων. ἄρχων. αἴθων. ἑκών. καὶ ὅσα ἐξέπεσον τοῦ ἰδιώματος τοῦ ῥήματος, μετοχικὰ καλούμενα ὀνόματα. ἐφ' ὧν χρὴ αὐτὸ τοῦτο τὴν μετάπτωσιν διδάσκειν. Οὐ γὰρ μᾶλλον ἐπικρατοῦσιν αἱ φωναὶ κατὰ τοὺς μερισμοὺς, ὡς τὰ ἐξ αὐτῶν σημαινόμενα. καὶ ὅτε τὰ, ὡς εἴρηται, ἀπαρέμφατα εἰς ὀνομάτων σύνταξιν παραλαμβάνεται, ὡς τὸ τῶν ἀνθέων τὸ ὀδωδέναι. ἀντὶ γὰρ ὀνόματος ἡ χρῆσις. καὶ ἡ οὗτος οὖν παραχθεῖσα ἐξ ἄρθρου τοῦ ὃς, σημαίνοντος οὐκ ἀρθρικὴν, ἀντωνυμικὴν δὲ σύνταξιν, εὐλόγως εἰς τὰς ἀντωνυμίας ἐχώρησε διὰ τοῦτο. (οὐ γὰρ θεματική ἐστιν ὥς τινες ᾠήθησαν, τοῦτ' ἔστι πρωτότυπος.) εἰ γὰρ ἀπὸ τοῦ ἀρθρικὴν σημαίνοντος ἦν, πάντως καὶ αὐτὸ

καὶ αὐτὸ ἄρθρον ἂν ἦν οὐκ ἀντωνυμία. τῶν γὰρ παραγώγων τὰ κατὰ τὸ αὐτὸ γένος καὶ τὸν αὐτὸν τοῖς παραγώγοις τύπον πρωτότυπα, τοῦ αὐτοῦ μέρους εἶναι βούλεται τοῖς παραγώγοις. τὰ γὰρ ταὐτὰ τῷ γένει, ταὐτὰ πάντως καὶ κατὰ τὸ τοῦ λόγου μέρος. εἰ γὰρ τὸ τηλικοῦτος παράγωγον, ὄνομα, καὶ τὸ τούτου πρωτότυπον τηλίκος, ὄνομα ἔσται. ἀρσενικὰ γὰρ ἀμφω, ταὐτὰ ὄντα κατὰ τὸν τύπον. καὶ εἰ τὸ τηλικαύτη, καὶ τὸ τηλίκη. καὶ εἰ τὸ τοσοῦτος, καὶ τὸ τόσος. καὶ εἰ τὸ τοιοῦτος, καὶ τὸ τοῖος. συνῳδὰ τοίνυν κἀπὶ τοῦ προκειμένου, εἰ τὸ οὗτος, ἀντωνυμία, καὶ τὸ ὅς ἄρα, ἀφ' οὗ τὸ οὗτος παρῆκται, ἀντωνυμία ἔσται. ὡς καὶ ἐκ τῶν συμπαρεπομένων συνάγεται τὸ αὐτό. καθόλου ἀπὸ παντὸς ἀρσενικοῦ πρωτοτύπου, ἢ παραγώγου τοῦ εἰς ὃς λήγοντος, θηλυκὸν, ἐν οἷς ἐνδέχεται, γίνεται. τοῦ τέλους εἰς ἡ, ἢ εἰς ᾱ, μακρὸν μεταπίπτοντος. σοφὸς, σοφή. καθαρὸς, καθαρά. ἅγιος, ἁγία. οὐνίος, οὐνία. ὅτι μὴ μόνον ἐπὶ τῆς προκειμένης παραγωγῆς. ἡ γὰρ τοιαύτη παραγωγὴ ὑποστρέφει εἰς τὸ κατὰ τὸ αὐτὸ γένος πρωτότυπον, ἀπὸ μὲν γὰρ τῶν πρωτοτύπων ἀρσενικῶν θηλυκὰ, ὡς εἴρηται, παρασχηματίζεται. οἷον, τηλίκος, τηλίκη. τοῖος, τοία. τόσος, τόση. ὅς, ἥ. ἀπὸ δὲ τῶν παραγώγων οὐκ ἔτι. οἷον ἀπὸ τοῦ τηλικοῦτος, τοιοῦτος, τοσοῦτος, τὰ ἑτερογενῆ, ἀλλὰ πάλιν ἀπὸ τῶν ὁμογενῶν πρωτοτύπων κατὰ παραγωγήν. ὥσπερ γὰρ ἀπὸ τοῦ τηλίκος, ὡς εἴρηται, γίνεται εἰς ὃς, πάλιν ἀρσενικὸν τηλικοῦτος, καὶ ἀπὸ τοῦ τοῖος, τοιοῦτος. καὶ ἀπὸ τοῦ τόσος, τοσοῦτος καὶ ἀπὸ τοῦ ὅς, οὗτος. οὕτω καὶ ἀπὸ τοῦ τηλίκη θηλυκοῦ γίνεται κατὰ παραγωγὴν εἰς ἡ, πάλιν θηλυκὸν, τηλικαύτη. καὶ ἀπὸ τοῦ τόση, τοσαύτη. καὶ ἀπὸ τοῦ τοίη τοιαύτη. καὶ ἀπὸ τοῦ ἡ, αὕτη. ὁ δὲ αὐτὸς λόγος κἀπὶ τῶν οὐδετέρων κρατεῖ λεγόμενος. πάλιν γὰρ τὰ παράγωγα οὐδέτερα ὁμοιοκατάληκτα τοῖς πρωτοτύποις εἰσί. τηλίκον, τηλικοῦτον. τοῖον, τοιοῦτον. τόσον, τοσοῦτον. τὸ, τοῦτο. ὅπερ παρηκολούθησε καὶ τῇ ὅς, οὗτος. οὐ καὶ τὸ θηλυκὸν οὐκ ἔτι οὕτη, ἀλλὰ πάλιν αὕτη. οὐ γὰρ ἀπὸ τοῦ οὗτος, ἢ τοῦ ὅς παρεσχηματίσθη, ἀλλ' ἀπὸ τοῦ ἡ, ὁμογενοῦς παρήχθη. κἀπὶ οὐδετέρου, λέγω τὸ τὸ ἀπὸ τοῦ τ, ἤρξατο, καὶ τὸ τοῦτο ἀπὸ τοῦ τ, ὁμοίως ἤρξατο. οὐ μόνον δὲ κατὰ τὸ αὐτὸ γένος, ἀλλὰ καὶ κατὰ πτῶσιν παράγεται τὴν αὐτήν. τῶν μὲν γὰρ ἄλλων πρωτοτύπων ἢ παραγώγων αἱ πτώσεις ἀπὸ τῆς οἰκείας εὐθείας μετασχηματίζονται καθ' ἕκαστον ἀριθμὸν, σοφὸς, σοφοῦ. ἅγιαι, ἁγίων. οὐνίοι, οὐνίων. ἐπὶ δὲ τῶν προκειμένων οὐκ ἔτι ἀπὸ τῆς εὐθείας αἱ ἑξῆς πτώσεις. οὐ γὰρ ἀπὸ τοῦ τηλικαῦται γενικὴν φαμὲν τηλικαύτων, ἢ ἀπὸ τοῦ τοιαῦται τοιαύτων, καθ' ὅ ἐστιν ἐπενοῆσαι ἐπὶ ἁπάντων τῶν θεματικῶν. ἀλλ' ὥσπερ αἱ εὐθεῖαι ἀπὸ τῶν εὐθειῶν, οὕτω καὶ ἀπὸ τῶν πλαγίων αἱ πλάγιαι κατὰ πάντα ἀριθμὸν, ὡς εἴρηται. αὐταὶ δὲ αὐτῶν φαμὲν. καὶ ἔτι ἐπὶ τοῦ ἀνεπεκτάτου, τοῖαι, τοίων. τηλίκαι, τηλίκων. πρωτότυπα γάρ. καὶ σαφὲς ὅτι παρὰ μὲν τὸ τηλίκαι, τὸ τηλικαῦται. παρὰ δὲ τὸ τηλίκον τὸ τηλικοῦτον. ταὐτὸ οὖν παρακολουθεῖ κἀπὶ τοῦ αἱ, αὗται. κἀπεὶ ἔχεται παραγωγῆς τῆς προκειμένης, ἐπὶ γενικῆς οὐκ ἔτι αὐτῶν, καθὼς καὶ ἐπὶ τοῦ ὀξυτόνου πρωτοτύπου πρόσκειται. αὐταὶ, αὐτῶν. ἀλλὰ, τούτων. ὅπερ ἔπιπτεν ἀπὸ γενικῆς πρωτοτύπου τῆς τῶν, τοῦ τ, συμπαραλαμβανομένου. ὅπερ ἐπὶ τῆς εὐθείας οὐ συμπαρελαμβάνετο. (αὗται γὰρ, οὐ ταῦται.) ἐπὶ δὲ τῆς γενικῆς. τούτων γὰρ, οὐχ οὕτων. εἰ γὰρ ἦν τὸ τούτων ἀπὸ τῆς αὗται εὐθείας παρεσχηματισμένον, ἦν ἂν δίχα τοῦ τ, οὕτων δηλαδή. ἔχον δὲ τὸ τ, εὔδηλον ὅτι ἀπὸ γενικῆς πάλιν τῆς τῶν, ἐχούσης τὸ τ, παρήχθη.

παρήχθη. Πρὸς δὲ τὸν ἀποροῦντα, τί ὅτι μὴ, ὥσπερ ἐπὶ τῶν ἀρσενικῶν τὸ παράγωγον ἐφύλαξεν ἐπὶ τῆς παραληγούσης τὸ ληκτικὸν φωνῆεν τοῦ πρωτοτύπου. οἷον, τόσος, τοσοῦτος. τηλίκος, τηλικοῦτος. οὕτω διετηρήθη κἀπὶ τῶν θηλυκῶν τὸ αὐτό; τηλίκη γὰρ, τηλικαύτη, οὐ, τηλικηύτη. καὶ ἢ, αὕτη, οὐχ, ηὕτη. Ἢ ὅτι τῶν μακρῶν φωνηέντων οὐδέτερόν ποτε ἑτέρου φωνήεντος προτακτικόν ἐστιν ἐπινοῆσαι ἐπὶ τῆς αὐτῆς συλλαβῆς, κατὰ σύλληψιν δηλ. ὅτι μὴ ἀπὸ κλίσεως ῥήματος. ηὔλουν. ηὖδον, ηὐλόγουν. κατὰ διάλεκτον ἀττικήν. τούτου χάριν ἐπὶ τῶν θηλυκῶν ἐτράπη τὸ ῆ, εἰς ᾶ, τῇ δὲ προκειμένῃ παραγωγῇ, συνυπάρχει καὶ ἑτέρα παραγωγὴ ἡ διὰ τοῦ δε, οὖσα συνηθεστέρα ποιηταῖς. τοῖος, τοιόσδε. τόσος, τοσόσδε. ἧς τὸ μεταλαμβανόμενον εἰς παραγωγὴν ἰσοδύναμον τῶν διὰ τοῦ οὗτος παρηγμένων τῷ πεζῷ λόγῳ οὖσαν χρήσιμον, ἐγχωρεῖ. τοιόνδε, τοιοῦτον. τοσόνδε, τοσοῦτον. δι' ὃ καὶ μεταλαμβάνονται ἀμοιβαδὸν κατά γε τὴν χρῆσιν τὸ τοιόνδε εἰς τὸ τοιοῦτον, καὶ τὸ τοσόνδε εἰς τὸ τοσοῦτον. ἔστιν οὖν καὶ τὸ ὅδε μεταλαμβανόμενον εἰς τὸ οὗτος, ἐκ συντάξεως τῆς διὰ τοῦ ὁ, παραχθέν. οὐ χρὴ ἄρα συγκατατίθεσθαι Ἄβρωνι λέγοντι τὴν οὗτος παρῆχθαι ἐξ ἄρθρου. καθ' ὅ, τι καὶ ἐξ ἐπιρρήματος τοῦ ὀψὲ, ἄλλο μέρος λόγου γέγονε τὸ ὀψινός. ἐν μὲν γὰρ ταῖς ἄλλαις παραγωγαῖς ἀδιαφορεῖ τὸ τοιοῦτο, λέγω τὸ ἄλλα μέρη λόγου ἐξ ἑτέρων παράγεσθαι μερῶν. ἐν γε μὴν τῇ προκειμένῃ ἀδύνατόν ἐστιν εἰς ἄλλο μέρος λόγου ἐγχωρῆσαι τὸ πρωτότυπον. ὅπου γ' ἐδείχθη ἡ παράγωγος οὗτος, οὐ μόνον τὸ αὐτὸ μέρος τοῦ λόγου αἰτοῦσα τῇ ὃς πρωτοτύπῳ, ἀλλὰ καὶ ταὐτὸ γένος καὶ τὴν αὐτὴν πτῶσιν καὶ τὸν αὐτὸν ἀριθμὸν, ὡς καὶ ἐκ τῶν παρακειμένων ἐγένετο δῆλον, τοῦ τοῖος, τοιοῦτος. τόσος, τοσοῦτος. δεόντως οὖν φαμεν, ὡς ἐκ τῆς ἀντωνυμικῆς τοῦ ὃς ἄρθρου συντάξεως ἡ παραγωγὴ τοῦ οὗτος ἐγένετο. καὶ ὡς ποιητικὸν μὲν τὸ φάναι, τηλίκος, τοῖος. σύνηθες δὲ τὸ τηλικοῦτος, τοιοῦτος. τὸν αὐτὸν τρόπον ποιητικὸν μὲν τὸ ὅς. ὅς ῥα μάλιστα ἠνδανεθυμῷ. σύνηθες δὲ τὸ ἐξ αὐτοῦ μεταλαμβανόμενον, οὗτος γάρ. ἐκεῖνο δὲ προσθετέον. ὡς ἐνέλειψεν ἡ εὐθεῖα τὸ τ, ἐν τῷ οὗτος, καθὼς ἀπεδείξαμεν ἐν τῷ περὶ ἄρθρων. τοῦτος γὰρ ὤφειλεν εἶναι. καὶ δηλοῦσιν οἱ δωριεῖς, μὴ πλεονάσαντες ἐν τῷ ταῦται καὶ τοῦτοι, ἀλλ' ἀποδόντες τὸ προοφειλόμενον, ὡς δέδεικται κἀπὶ τῶν ἄρθρων. ὁμολογοῦσι δὲ καὶ αἱ πλάγιαι τὴν ἔλλειψιν τοῦ τ, ἀπὸ τοῦ τ, ἀρξάμεναι. καὶ ἡ εὐθεῖα τοῦ οὐδετέρου, ἀπὸ τοῦ τ, καὶ αὐτὴ ἀρξαμένη. καὶ τὸ κατὰ τὴν εὐθεῖαν πνεῦμα ἐν τῷ οὗτος. πότε γὰρ ἡ οὐ, δίφθογγος δασύνεται; ὅπου γε καὶ τὰ δασυνόμενα, ἐγγενομένης αὐτῆς, ψιλὰ γίγνεται; ὅλος. οὖλος. ὅρος, οὖρος. δασύνεται τὸ οὕνεκα, διὰ τὸ τοὔνεκα. οὐκ ἂν οὖν ἄλλως δασυνθείη τὸ οὗτος, εἰ μὴ λάβοι ἀπολογίαν τὴν ἔλλειψιν τοῦ τ.

Περὶ ἐγκλινομένων καὶ ἐγκλιτικῶν.

Οὐκ ἄκαιρον δ' ἴσως παρεκβαλόντας, ἐκθέσθαι ἐχόμενα τῶν ἀντωνυμιῶν καὶ περὶ ἐγκλινομένων τε καὶ ἐγκλιτικῶν, συνεπτυγμένως μὲν, πληρέστατα δέ. ἐπεὶ πολλὰ πολλοὶ περὶ αὐτῶν λέγοντες, συγχέουσι μᾶλλον τὴν περὶ αὐτῶν πραγματείαν.

Τί ἐστιν ἐγκλινόμενον.

Ἐγκλινόμενόν ἐστι μόριον, ὃ ἀναδέχεται κατὰ τὸ τέλος τὸν τοῦ ἐγκλιτικοῦ τόνον, ἤτοι ἐνεργείᾳ. σοφός τις. σῶμά μου. ἢ δυνάμει. σοφοῦ τινος.

Τί ἐστιν ἐγκλιτικόν.

Ἐγκλιτικὸν δέ ἐστιν, ὃ τὸν ἐν τῇ ληγούσῃ ἴδιον τόνον ἤτοι κοιμίζει, ἄνδρα μοι, ἢ ἀναπέμπει εἰς τὴν πρὸ αὐτοῦ λέξιν. ἥκέτις.

Τί ἐστι

Τί ἐστι Συνεγκλιτικόν.

Συνεγκλιτικὸν δὲ, τὸ ἀμφότερα ποιεῖν πεφυκός. ὡς ἔχει τὸ τοιοῦτο. εἴ πέρ τίς σέ μοί φησί ποτε. ἐν ᾧ ἕκαστον τῶν μέσων τόν τε ἴδιον τόνον ἀναβιβάζει εἰς τὸ πρὸ αὐτοῦ, καὶ τὸν τοῦ ἐφεξῆς εἰς ἑαυτὸ ἀναδέχεται. Πᾶν δὲ ἐγκλινόμενον ἤτοι ὀξύτονόν ἐστιν ἐνεργείᾳ, σοφός. ἢ δυνάμει, ἡμῶν. ἢ προπαροξύτονον, λόγιος. ἢ φύσει τροχαῖος, εἴτ' οὖν προπερισσώμενον, σῶμα. οὐ μὴν κατά τινας καὶ θέσει τροχαῖος, εἴτ' οὖν παροξύτονον. ὡς ἐν τῷ ἄλλο τι. μιᾷ γὰρ λέξει δύω κατὰ συνέχειαν ὀξείας οἱ παλαιοὶ οὐκ ἤθελον δοῦναι διὰ τὸ κακόφωνον. ἀλλ' οὐδ' ἴαμβος, ἔρως. ἢ σπονδεῖος, σῴζω. ἢ πυῤῥύχιος, λέγε.

Πᾶν δὲ ἐγκλιτικὸν, ὀξύτονον ἀεί ἐστιν ἤτοι ἐνεργείᾳ, φημί. ἢ δυνάμει, τινῶν. (βαρύτονος γὰρ, πλὴν τοῦ πώμαλα, λέξις οὐκ ἐγκλίνεται. εἰ μὴ κατὰ πάθος ἀναλύσεως εἴη ἡ βαρεῖα, ὡς τὸ σφέων καὶ σφέας παρὰ τὸ σφῶν καὶ σφᾶς.) καὶ ἤτοι μονοσύλλαβόν ἐστι, δός μοι. ἢ δισύλλαβον, τίς ἐστιν. οὐθὲν δὲ τῶν ὑπερδισυλλάβων ἐγκλίνεται. καὶ αὖ ἤτοι μονόχρονόν ἐστιν, ἢ δίχρονον, ἢ τρίχρονον. τετράχρονος δὲ λέξις οὐκ ἂν ἀπαλλαγείη παντελῶς τοῦ οἰκείου τόνου, διὰ τὸ βριθὺ τῆς τετραχρονίας κωλυομένης τῆς προπαροξυνήσεως.

Ἔτι τὸ μὲν ἐγκλιτικὸν, λέγεται τὸ αὐτὸ καὶ ἐγκλινόμενον, οὐκ ἔτι δὲ καὶ τὸ ἐγκλινόμενον, ἐγκλιτικόν.

Ἐν τίσι τὰ Ἐγκλιτικά.

Ἐγκλιτικὰ τοιγαροῦν ἐν μὲν Ὀνόμασι τὸ Τις μόνον, ἀοριστούμενον καὶ πᾶσαν πτῶσιν καὶ γένος καὶ ἀριθμόν. τῶν δὲ δισυλλάβων ὀξυτόνων εἴ τι ἔκθλιψιν πάθοι, ὁ αὐτὸς τόνος φυλάττεται ἀναβιβαζόμενος. δεῖν' ἐπηπείλει τελεῖν. Ἐν δὲ Ῥήμασι τὸ Φημὶ καὶ τὸ ὑπαρκτικὸν Εἰμὶ μόνα, καὶ μὲν ἐγκλίσιν ὁριστικὴν, καὶ δὲ χρόνον ἐνεστῶτα, καὶ πᾶν δὲ πρόσωπόν τε καὶ ἀριθμὸν, ὅτι μὴ τῶν καὶ τὸ ἐνικὸν δευτέρων τὸ φῄς, καὶ εἶ, μόνον. οὐ μὴν καὶ τὸ ἐσσὶ, ἢ καὶ τὸ παρὰ τὸ εἶμι εἶς. τὸ δὲ ἄφες. πρόσθες. πρόσχες. εἰς μίαν λέξιν ἐκ δυοῖν συντεθὲν, ἑτεροῖόν τι ἐστι. τόγε μὴν Ἐστὶ, λόγου κατάρχον, ἢ ὑποτασσόμενον τῇ οὐκ, ἀποφάσει, ἢ τῶν συνδέσμων τῷ καὶ, ἢ τῷ εἰ, ἢ τῷ ἀλλὰ, ἢ τῷ ὡς, ἐπιῤῥήματι, ἢ τῷ παθόντι ἔκθλιψιν τοῦτο, τὸν ἐν τῇ ληγούσῃ τόνον οὐχ ὑπερτίθησιν, ἐπὶ δὲ τῆς ἰδίας παραληγούσης μετατίθησιν. οἷον, τοῦτ' ἔστιν. Ἐν δὲ Ἄρθροις οὐθὲν, οἷα δὴ καὶ τὰς προθέσεις καὶ αὐτῶν τὴν προτακτικὴν εἰληφότων χώραν, τῶν μὲν, δηλαδὴ πτωτικῶν, τῶν δὲ, ῥημάτων προταττομένων. ὅτι μὴ τοῦ τοῦ, καὶ τῷ καὶ τῶν, ἀοριστῳδῶς τῷ ὁ, ὑποτακτικῷ ἐπιπλεκομένων. ὅτου, ὅτῳ, ὅτων. Ἐν δὲ Ἀντωνυμίαις αἱ πλάγιαι τῶν μὲν ἐνικῶν αἱ ἀπολύτως λαμβανόμεναι, ἤκουσά σου, παραφθείρουσαι καὶ τὸ ἑ, ἐν οἷς ἐστι. δέδωκάς μοι. τῶν δὲ δυϊκῶν αἱ καὶ τὸ γ', ἁπανταχοῦ. τῶν δὲ πληθυντικῶν μόναι αἱ τρίχρονοι, αἱ καὶ τὸ γ', δηλ, ἀσυναίρετοι. καί σφεων. καί σφεας. αἱ δὲ τετράχρονοι ἐγκλινόμεναι, ἐν τῇ ἰδίᾳ παραληγούσῃ ἀναπέμπουσι τὸν τόνον, μὴ παντελῶς, ὡς εἴρηται, τούτου ἀπαλλαττόμεναι. ἤκουσεν ἡμῶν. δέδωκεν ἡμῖν. ἔφρανεν ἡμᾶς. τῶν δὲ ἐντελῶν αἱ πρόσωπα ἀντιδιαστέλλουσαι, καὶ τῶν διαλελυμένων αἱ τῷ ἱ πλεονάσασαι, ἐμεῖο, σεῖο, εἷο. ἢ αἱ πτωτικὸν ὁμοιόπτωτον ἐπαγόμεναι, εἰς τὸ ὑμνεῖν τὸ μεγαλοπρεπὲς ὄνομα σοῦ τοῦ πρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνός. οὐδαμῶς. Ὡς οὐδὲ αἱ ταῖς προθέσεσι συμφερόμεναι, πλὴν τῆς πρός με, Ἢ τῶν συνδέσμων τοῖς τε συμπλεκτικοῖς καὶ τοῖς διαζευκτικοῖς, συναπτικοῖς τε καὶ παρασυναπτικοῖς, ὡς καὶ αὐταὶ πρόσωπα ἀντιδιαστέλλουσαι.

Ἐν δὲ ἐπιῤ-

Ἐν δὲ ἐπιῤῥήμασι τῶν ἐρωτηματικῶν τὰ τροπικά τε καὶ τοπικὰ, καὶ τῶν χρονικῶν τὸ ποτὲ, ἀοριστούμενα.

Ἐν δὲ συνδέσμοις τῶν μὲν συμπλεκτικῶν μόνος ὁ τε. Παραπληρωματικοὶ δὲ πλὴν τοῦ μὴν, πάντες οἱ ὀξύτονοι. ὧν ἐστι καὶ ὁ ἢ, τῷ ἐπεὶ, ἢ τῷ ἐρωτηματικῷ τί καινοτρόπως ὑποταττόμενος. Τούτων δὲ τὰ μὲν ῥήματα καὶ οἱ σύνδεσμοι, ἕνεκα κόσμου ἐγκλίνεται, τὰ δὲ λοιπὰ ἕνεκα σημασίας. Ἐφ' οἷς ἰστέον ὅτι ἐν παραλληλίᾳ συνεγκλιτικῶν τὸ μεταξὺ, εἰ τύχοι τῶν περισπωμένων, ὡς ἐν τῷ, εἴπου τίς φησιν, οὔτε περισπᾶται, (ἐπεὶ τὰ ἐγκλινόμενα, εἴποτε τόνου κληρονομήσουσιν, ὀξὺν αὐτὸν ἔχουσιν. οἷον, φημί σοι, σοί φημι. δι' ὃ καὶ τὸ πώποτε καλῶς δι' ὀξείας ἐκφέρεται τάσεως, ὡς καὶ τὸ πώμαλα. οἱ γὰρ περισπῶντες αὐτὸ, δυσαπολογήτως εἰς ἀπόδοσιν αἰτίας ἔχουσι. τὸ γὰρ ἐν ἁπλότητι μὴ περισπώμενον, πῶς ἐν συνθέσει περισπασθήσεται;) οὔτ' αὖ ὀξύνεται. ἐπεὶ οὐ πέφυκεν ἡ περισπωμένη κατὰ τὸ κοινὸν ἔθος, συστολῆς μὴ παρακολουθούσης, εἰς ὀξεῖαν μετατίθεσθαι. Ἀποστηματιζομένων δὲ τῶν ἐγκλινομένων, οὐκ ἂν ἐγκλίνοι τὰ ἐγκλιτικὰ τὸν ἴδιον τόνον, τῆς στιγμῆς παρεμποδιζούσης.



Φε.

Πρόθεσις.

Ἡ δὲ προτιθεμένη λέξις πάντων τῶν τοῦ λόγου μερῶν, καὶ διὰ τοῦτο πρόθεσις ὀνομαζομένη,

Φαίνεται δ' ὅτι καὶ ἡ πρόθεσις, οὐ δι' ὅ, τι πρώτην ἔχει δῆθεν θέσιν καὶ ἀρχαιοτέραν τῶν ἄλλων λέξεων, οὐ δὲ ἀπὸ ἰδίας ἐννοίας. οὐ δὲ γὰρ σημαίνει τι καθ' ἑαυτήν. ἀλλ' ἐκ τοῦ τῶν προϋπόντων μορίων προτίθεσθαι, (ἅπερ εἰ μὴ προϋφεστήκει, οὐδ' αὕτη συστήσεται, καθὼς ἀπεδείκνυμεν κἀπὶ τῆς μετοχῆς.) τῆς τε ὀνομασίας ταύτης μετείληφε καὶ τῇδε κατηλέχθη. ἐπεὶ ὁτὲ μὲν, κατὰ σύνθεσιν, ὁτὲ δὲ, κατὰ παράθεσιν προτίθεται τῶν προκατειλεγμένων μορίων. ὥστε μεταγενεστέρα μὲν ἐστι τῇ φύσει, ἀρκτικὴ δὲ τῇ συντάξει. καθ' ὅ ἐστιν ἐπινοῆσαι κἀπὶ τοῦ καλουμένου προτακτικοῦ ἄρθρου. οὐ γὰρ δή γε δι' ὅ, τι τῶν ὀνομάτων προτάσσεται, ἤδη καὶ πρεσβύτερον τούτων τυγχάνει. ἰδοὺ γὰρ παρατιθέμενον, τὴν ἔκπαλαι τούτων γνῶσιν ἀναπολεῖ, τῶν ἄρθρων προϋπάρχουσαν. Ἰστέον δὲ ὅτι ἡ πρόθεσις ἐπιῤῥημάτων μὲν οὔτε πάντων οὔτε μὴν πᾶσα, συνδέσμου δὲ οὐδενὸς οὐδεμία προτίθεται. τὸ γὰρ ἐν τῷ δι' ὅ, τι, ὅ, τι οὐ σύνδεσμος, ὡς δειχθήσεται, πτωτικὸν δ' ἀοριστούμενον. φησὶ δὲ καὶ ὁ Ἀπολλ': ἡ πρόθεσις τῇδε κατηλέχθη, ἐκ τοῦ τῶν προϋπόντων εἴτ' οὖν προκατειλεγμένων μορίων προτίθεσθαι. τὸ δὲ ἐπίῤῥημα καὶ ὁ σύνδεσμος οὐ προκατειλέχθη. ὥστε τὸν καθόλου προσδιορισμὸν ἢ μόνων τῶν ἐμψυχοτάτων τοῦ λόγου δυοῖν μερῶν κατηγόρησεν ὁ Θεόδωρος, τοῦ ὀνόματος λέγω μόνον καὶ τοῦ ῥήματος, ὡς ὑποκαταβὰς ἑαυτὸν ἑρμηνεύει, πτωτικοῖς τε καὶ τῶν ἀπτώτων τοῖς ῥήμασι τὴν πρόθεσιν λέγων συντάσσεσθαι, ἢ κἀνταῦθα

ἐκ τοῦ

ἐκ τοῦ πλεονάζοντος τὸ καθόλου συνήγαγε, μὴ προσλογισάμενος τὰ ὑπόλοιπα δύω μέρη, μᾶλλον δὲ τὸ ἓν, τὸν σύνδεσμόν φημι. Τοῦ γὰρ ἐπιρρήματος, ὡς εἴρηται, προτίθεται καὶ κατὰ παράθεσιν. Χρυσμ: λόγῳ περὶ ἐλεημοσύνης καὶ εἰς τὰς δέκα παρθένους. ἐκ τότε ἰσχυρὰ ἡ παρθενία ἐγένετο, ἐξ ὅτε τὸ ἄνθος τῆς παρθενίας ἐβλάστησε. καὶ εἰς τὸν ἡ, ψαλμ: καὶ εἰς τὸν ἡσαΐ: κφ: ζ', ἐκ τότε φασὶν εἶναι τὸν χν' οἱ παύλου τοῦ σαμωσατέως, ἐξ οὗ ἀπὸ Μαρίας προῆλθεν. ὡς δὲ τὸ ὅτε καὶ τότε, οὕτω καὶ τὸ προθετικὸν οὗ, χρονικόν ἐστιν ἐπίρρημα, οὐκ ἄρθρον.

Διῄρηται μὲν πρότερον,

Ἐν τῷ πρώτῳ βιβλ'.

Ἐνταῦθα δὲ, ὅπως συντετάξεται, θεωρῶμεν. προτίθεται μὲν οὖν τῶν τοῦ λόγου μερῶν ἢ κατὰ σύνθεσιν,

Τῶν τε ῥημάτων καὶ τῶν εὐθυλογουμένων ἐπιθετικῶν πτωτικῶν.

Ἢ κατὰ παράθεσιν.

Μόνων τῶν πλαγίων πτώσεων πλὴν τῆς κλητικῆς.

Συνθέσεως μὲν γὰρ,

Ἡ ἀναδρομὴ τοῦ τόνου, μίαν ἀμφοῖν ἀναδεχομένων τὴν τάσιν. οἷον,

Τὸ σύνοικος, πάροικος, ἔποικος, μέτοικος. Παραθέσεως δὲ,

Ἡ μονὴ τῆς τάσεως ἐπ' ἀμφοῖν. οἷόν ἐστι

Τὸ ἐπὶ τὴν ἀττικὴν, ἢ κατὰ τῆς ἀττικῆς. ταύτην δὲ τὴν ἐκ παραθέσεως σύνταξιν δηλοῦν βούλονται, καὶ οἱ προτίθεσθαι λέγοντες

Τὴν πρόθεσιν,

Ἔν τε συνθέσει καὶ συντάξει.

Τὴν γὰρ παράθεσιν σύνταξιν ἐκεῖνοι καλοῦσιν. εἰ καί τις ἑτεροίαν οἶδε τὴν παράθεσιν ἢ κατὰ Θεόδωρον. κατὰ παράθεσιν γάρ φησι συγκεῖσθαι τὰ μὴ θεματικὴν μὲν ἔχοντα τὴν σύνθεσιν, τὸν δὲ τόνον ἀναπέμποντα. οἷα τὸ ἀέκων, τὸ κάθημαι, καὶ τὰ τοιαῦτα. οὐ γὰρ ἐξ ἐνεστώτων, ἀλλ' ἡ μὲν, ἐξ ἀορίστου β', τὸ δὲ, κατὰ τὸν παρακείμενον συντέθειται. οὐ γὰρ ἀείκω, ἢ καθέομαι. συνάγεται δὲ κατ' αὐτοὺς τὴν πρόθεσιν τριχῶς προτίθεσθαι. κατὰ σύνθεσιν, σύνταξιν καὶ παράθεσιν. οὐθέν γε μὴν οὗτοι λέγουσι. δειχθήσεται γὰρ ἡ τῶν προθέσεων πρὸς τὰ ῥήματα σύνοδος καθ' ἕκαστον ἁπλῶς χρόνον γιγνομένη, οὐ μὴν ἐξ ἐνεστῶτος εἰς τοὺς ἑξῆς χρόνους προϊοῦσα. ἀναπέμπει δὲ τὸν τόνον τῶν ῥημάτων ὅσα τροχαϊκά. Καὶ αἱ προθέσεις δὲ οὐδὲν ἧττον τῶν λοιπῶν μορίων ἀκριβοῦς ἀποδείξεως δέονται. καθ' ὅ, τι δοκοῦσι συνεῖναι, οἷς μὲν μέρεσι τοῦ λόγου, κατὰ σύνθεσιν. οἷς δὲ, κατὰ παράθεσιν. ἔστι δὲ οἷς, κατ' οὐδέτερον, ὡς μὴ βοηθούμεναι τόνων ἰδιώμασι, καθάπερ τὰ πλεῖστα τῶν μερῶν τοῦ λόγου, διὰ μὲν τῆς τοῦ τόνου ἐνώσεως τὸ μοναδικὸν τῆς λέξεως ὑπαγορεύει, τοῦτ' ἔστι τὸ ἓν μέρος λόγου εἶναι, διὰ δὲ τῆς καθ' ἑκάτερον μόριον τοῦ τόνου μονῆς, τὸ δισσὸν ἐμφαίνει τῶν λέξεων, ὅ ἐστι παράθεσιν, ἤτοι σύνταξιν, ἀμιγῆ σῳζόμενα. τὸ γὰρ διὸς κοῦρος, προπερισπώμενον μὲν, τὴν γενικὴν ἰδίᾳ νοουμένην ἔχει, ὅμοιον ὂν τῷ διὸς υἱός. προπαροξυνόμενον δὲ, διόσκουρος, ὅμοιόν ἐστι τῷ διόγνητος, διόδοτος. τό, τε εὖ νοῶ, δύω ἔχων περισπωμένας, ὁμολογεῖ τὴν ἐξ ἐπιρρήματος καὶ ῥήματος παράθεσιν. καὶ τὸ ἕλλης πόντος κατὰ τὴν ἀρχὴν ἔχον τὴν ὀξεῖαν, καὶ τὸ ἐμοῦ αὐτοῦ δὶς ἔχον τὴν περισπωμένην.

μβάνη. ἡ γὰρ καθ' ἑκάτερον, ὡς εἴπομεν, μόριον τὸ τόνε μονή, τὸ καὶ παράθεσιν ὁμολογεῖ. ὥσπερ αὖ τὸ καὶ σωτῆρα ἡ τὸ τόνε σωτήρησις εἰς τὴν σῶσις. τὸ δὲ καταχράφω εἴτε δύο μέρη λόγε εἰσὶν, εἴτε ἕν, οὐκ ἐνδείκνυται διὰ τῆς πτώσεως. τῆς αὐτῆς ἔχεται ἀμφιβολίας, πρότιθεμένη ἡ πρόθεσις καὶ τινων πτωτικῶν. ἀποίκα. καταφέροντος. καί τινων ἐπιρρημάτων. ἀποφέ. ἀποδίς. καὶ σωτῆρα τὸ, τι. καθ' ὅ, τι διό, τι. ὅπερ δεικτικὸν πτωτικὸν μᾶλλον ἢ σωτῆρα. Τῶν δ' αὖ ἀπωνυμικῶν δοτέων ἁπασῶν μηδόλως πεφυκὸς προτίθεσθαι, λόγον ἔχει τὴς κατ' ὀνόματος ἀσωτιξίας. ὃν καὶ παραθήσομεν καὶ τὸν προσήκοντα τόπον. Αἱ τοίνυν προθέσεις προτιθέμεναι τῶν τε λόγε μερῶν, ἤτοι καὶ σωτῆρα εἰσὶν, ὡς εἴρηται, ἢ κατὰ παράθεσιν. σὺν μὲν ἐν ταῖς δοτέαις τῶν πτωτικῶν καὶ ἔτι ταῖς σωυπαρχούσαις αὐτοῖς κλητικαῖς καὶ ἔστιν παράθεσιν τῶν προθέσεων ἐπινοῆσαι, ὅτι μὴ μόνην τὴν σωτῆρα. πρόδηλον δὲ ὅτι τὸ σωτῆρικος, ἐπίκερος, πάροικος, μέτοικος, ἔνηλος, περίδρομος. ἡ παράθεσιν, σωτῆρα δὲ τῶν προθέσεων οὐδέξατο. ἡ μὲν διὰ τὸν ἀναδραμόντα τόνον καὶ τὴν σωτῆρα, (ἐπεὶ καί τινα γε σωτεφύλαξε τὴν αὐτὴν πτῶσιν σὺν τῇ σωτῆρα, ἡ μὲν παρὰ τὴν αὐτὴν τὸ τόνε μονὴν ἀπολύεται τῆς σωτῆρας. ὡς ἔχει τὸ περικλυτὸς, ἀναδρομὴ, σωτοχὴ, δοτέη, ἄλλα πλεῖστα. ἃ περὶ μὲν ἀναπέμψαντα τὸν τόνον, οὐχ ἧττον ὅμως σωτῆρα εἰσίν.) ἀλλὰ μᾶλλον διὰ τὸ σωυπάρχειν τὴν πρόθεσιν τῷ πτωτικῷ καὶ πᾶσι σχηματισμὸν, τὸν καθ' ἕτε πτῶσιν καὶ ἀριθμόν. ὅπερ ἡ παρεπόμενόν ἐστι ταῖς ἐκ παραθέσεως παρακειμέναις. καὶ κτησιφῶντος, ὑπὲρ ἀρίσαρχε. τὰ μὲν δὴ παρακείμενα, ἡ συμφέρει τοῖς πτωτικοῖς κατὰ πᾶσαν πτῶσιν ἐν τῷ αὐτῷ σημαινομένῳ, τάγε μὴν ἐγκείμενα καὶ σωτεθειμένα καὶ τὴν δοτέαν, καὶ πᾶσαν πτῶσιν καὶ ἀριθμὸν σώζειν, ὡς εἴρηται. ἀλλὰ μήν ἔτι κἀκῆς τὰ ἄρθρα παραθέσεως καταφανὲς τὸ λεγόμενον. καὶ γὰρ τὴν παράθεσιν πρωτοδυάδα τῇ προθέσει παραχωρεῖ τὸ ἄρθρον αὐτῇ τῆς προθέσεως. μετιὸν αὐτὸ ἐφ' ᾧ σωτῆρα πτωτικῷ. καὶ κτησιφῶντος, κατὰ τὰ κτησιφῶντος. περὶ σεφάνε, περὶ τὰ σεφάνε. σὺν τούτοις δὲ καὶ παράθεσιν ἔσης τῆς προθέσεως, τὸ ἄρθρον ταύτης μὲν, ἃ, τὰ δ' αὐτῆς προτίθεται πτωτικῇ, ὡς ἂν δοκιμείνη τὸ ἴδιον τῆς προθέσεως, λέγω δὴ τὸ προθετικόν. ἡμὲν ἡ σωτῆρα παραχωρεῖ τῇ προθέσει προθέσεως. τοτὲ μὲν οὖν ἡ πρόθεσις ὀνόματος μέρος γενομένη, ἔξει προκείμενον τὸ προπακτικὸν τῶν ὀνομάτων ἄρθρον. ὁ περικλυτός. ὁ σωτῆλος. ὁ μέτοικος. τὰ παροίκα. ἐκ δὲ τῶν τοιούτων καὶ τῶν ὑπ' ἀμφιβολίαν τὴν κατὰ σωτῆρα, ἢ παράθεσιν πίπτοντα, ἐκλύει τὰ ἀμφίβολα, τῇ προσλήψει δηλονότι τὰ ἄρθρα. διοίσει δὲ τὸ, παρὰ τὰ νόμα, τὸ παρὰ τὰ φέροντος, τῶν τοιούτων, λέγω τὰ παρανόμα τὰ παραφέροντος. εἶχε τὸ ἄρθρον ἐκεῖ μὲν, μὴ τὴν πρόθεσιν, σὺ ταῦθα δέ, πρὸ αὐτῆς τέτακται. σὺν δὲ μέρος λόγε ποιήσει τὸ προκυλινδόμενος ὑποπεπτώτες, τῆς παρενθήκης τὰ ἄρθρα μὴ παραδεχομένης. καὶ τῷ, λέων κατὰ ταὐτὸν ἐδηδώς, λέξεώς εἰσιν, εἴπερ λόγε ἢ κατὰ, μέρος, τῆς ἐδηδώς, καὶ περδιεσκεψάμεθα τοῦτο σὺν ὑπερβατῷ. καθ' ὅ, τι πότε τὰ λόγε μέρη ἐκ παραθέσεως νοεῖ, ἡμὲν ἐκ σωτῆρα διϊσάμενα. ἡ δὲ καὶ, κατὰ σωτῆρα σὺν διεσῶσα νοεῖ τῆς δοτέας μετοχῆς, ἡ κατὰ παράθεσιν. (εἰ καὶ προθέσεις ταῖς δοτέαις σωτιθεῖν, ἢ παρατίθενται.) μέρος ἄρα λόγε μονὸν, λέξεως δέ. ἀλλὰ καὶ τῷ, γέλασε δὲ πᾶσα πειχθὼν, παράκειται ἡ περὶ τῇ δοτέᾳ κατὰ τὸν

κατὰ τὸν τῆς παραθέσεως λόγον. (καθ' ὅ, τι ταῖς πλαγίαις ὀυταῖς εὐθείαις παρατίθενται.) ἐπὶ ῥήματος δὲ τοῦ πέριξ. ἢ καθ' ὑπερβατόν ἐστι πρὸς τὴν τοῦ ῥήματος σύνοδον, ἵν' ᾖ περιεγέλασε, περισσῶς ἐλαμπρύνθη. τὴν γὰρ σύνθετον σχέσιν ἀπείργει ἥ τε τάσις, μὴ ἀναβιβασθεῖσα κατὰ τὸ αὐτόχθων, ἐνοσείχθων, καὶ ἔτι ἡ τοῦ σημαινομένου ἔννοια. μένει γὰρ ἔτι ἀπαραποίητον τὸ θηλυκὸν ὄνομα, τῆς συνθέσεως μεταβατικὸν ἀπὸ γένους εἰς γένος ἐχούσης τὸν λόγον. οὐ γὰρ δήγ' ἐν τῷ αὐτόχθων καὶ ἐνοσείχθων ἡ γῆ νοεῖται, ὡς ἐν τῷ περιχθὼν, ὁ δ' ἐκ τῆς γῆς γενόμενος, ἢ τῆς γῆς ἐπικρατῶν. καὶ τοῦθεν δῆλον, ὡς τῶν συνθέτων τὰ μέρη οὐ ταὐτὸ σημαίνει ἐν τῇ συνθέσει, ὅπερ καὶ ἰδίᾳ. ταῦτ' ἄρα καὶ ὡς ἔν τι σημαίνοντα ἐν τῇ συνθέσει, ἐν εἰσὶ λόγου μέρος. καὶ ἡ μὲν τοιαύτη τῶν προθέσεων διάκρισις τῆς πρὸς τὰ μέρη τοῦ λόγου συνθέσεως ἢ παραθέσεως, ἁπλῆς ἔχεται τηρήσεως. τόγε μὴν ἐξεργαστικὸν τοῦ λόγου φυσικωτέραν ἐνδείκνυται τήρησιν. Αἱ εὐθεῖαι καὶ αἱ κλητικαὶ, ὡς ταυτοπροσωποῦσαι τοῖς συνοῦσι ῥήμασιν, ἐν πρόσωπον δηλοῦσι μετ' αὐτῶν. τρύφων ἀναγινώσκει. τρύφων ἀναγίνωσκε. αἱ δὲ παρὰ ταύτας πτώσεις, ὡς ἑτεροπροσωποῦσαι τῶν ὧν εἰσι πτώσεις ῥημάτων, ἐν δυοῖν προσώποις εἰσὶ νοούμεναι μετ' αὐτῶν. τρύφωνα λέγει. τρύφωνος ἄκουε. ὁμολόγως εὐθειῶν ἔξωθεν προσγινομένων. Τούτων δὴ δεδειγμένων κατὰ τὴν προσήκουσαν σύνταξιν, ῥητέον ὅτι ὥσπερ τῶν τῆς λέξεως στοιχείων, οὕτω τοι καὶ τῶν τοῦ λόγου τὰ προτακτικὰ οὐχὶ ἁπάντων οὔτε μὴν τῶν τυχόντων προτετάξεται, τῶν γε μὴν δυναμένων τὴν ἐξ αὐτῶν σχέσιν ἀναδέξασθαι. ὡς γὰρ τὸ σ̄, φέρε ἐν τῇ τρᾶ, ἢ κλᾶ, συλλαβῇ, οὐ τῷ ρ̄, ἢ τῷ λ̄, ὡς μηδετέρου τούτων προτακτικὸν ὂν κατὰ σύλληψιν, τῷ δὲ τ̄, ἢ τῷ κ̄, προσχωρεῖ προταττόμενον, οἷον, στρᾶ, σκλᾶ. οὕτω καὶ ἡ πρόθεσις συγκατηγόρημα οὖσα, δῆλον ὅτι τὴν ἐκ τοῦ ῥήματος, οὐ τὴν ἐκ τοῦ ὑποκειμένου σχέσιν ἀναδέχεται, προηγουμένως ἐπὶ τὸ ῥῆμα νεύουσα, κατὰ σύνθεσιν προκειμένη τούτου, ὥσπερεὶ προτακτικὸν στοιχεῖον πρὸ ὑποτακτικοῦ κείμενον. ἔστω γάρ τοι ἐπὶ παραδείγματος, πλάτων ὄνομα, ἔστω δέ τι καὶ βαίνει ῥῆμα, καὶ πρόθεσις ἡ ἐν, τυχόν. ἢ εὔδηλον ὅτι οὐκ ἐπ' ἄλλο νεύσει μέρος λόγου, ἢ τὸ δυνάμενον τὴν ἐξ αὐτῆς σχέσιν ἀναδέξασθαι, λέγω δὴ τὸ ῥῆμα. καὶ δὴ ἐμπλάτων μὲν οὐγενήσεται, τὸ δὲ ἐμβαίνει. τῷ δὴ ῥήματι συντιθεμένης οὐ παρατιθεμένης τῆς προθέσεως, ἀνάγκη πᾶσα καὶ τῶν ἀπὸ ῥήματος παρηγμένων πτωτικῶν, φημὶ δὴ τῶν ἔννοιαν ῥηματικὴν ὁμολογούντων τὰς εὐθείας καὶ κλητικὰς, ὡς ταυτοπροσωπούσας τῷ ῥήματι, τὸ αὐτὸ τοῖς συστοίχοις ῥήμασιν ἀναδέχεσθαι, σύνθεσιν λέγω οὐ μὴν παράθεσιν. ἡ γὰρ τῆς συνθέσεως πρώτη σύνοδος κατὰ τὴν ἐπιθετικήν ἐστι προφοράν, (ἡ γὰρ οὐσιώδης, ὡς τὸ περικλῆς, ἀριστοτέλης, φωνῆς μόνον οὐ μὴν καὶ πραγμάτων ἔχει σύνθεσιν, ἁπλουστάτης οὔσης τῆς οὐσίας.) τοῖς ῥήμασι μᾶλλον ἀνήκουσα, συμβολικώτερον δέπως ἀπὸ τῆς ῥηματικῆς ἐννοίας κἀπὶ τὴν ὀνοματικὴν μετατιθεμένη. ὃ γὰρ ἐνεργείᾳ τὰ ῥήματα, τοῦτο δυνάμει παρίστησι τὰ ἐξ αὐτῶν ὀνόματα, εἴγ' ἑκάτερα καθ' ὑποκειμένου λέγεται. ὁ γὰρ περίεργος, οὐπόρρω ἐστὶ τοῦ περιεργάζεσθαι, οὔθ' ὁ μέτοικος τοῦ μετοικεῖν. οὐδ' ὁ περίοπτος τοῦ περιόπτεσθαι, οὐδ' ὁ ἐπίκουρος τοῦ ἐπικουρεῖν. οὐ γὰρ ἀντίκειται τὰ ῥηματικὰ ὀνόματα τοῖς συστοίχοις τῶν ῥημάτων. κἂν δυνάμει καὶ συμβολικῶς κέηται, καὶ μὴ ταὐτὸν ἐνεργείᾳ σημαίνῃ. Τοῖς οὖν, ὡς εἴρηται, ῥήμασιν αἱ προθέσεις συντιθέμεναι, καὶ τῶν πτώσεων ἄρα ταῖς ταυτοπροσωπούσαις τῷ ῥήματι, ἐν συνθέ-

ἐν συνθέσει οὐκ ἐν παραθέσει συνέσονται. αἱ δὲ πλάγιαι πτώσεις, ἀποστάσαι τῆς ταυτοπροσωπικῆς συνόδου τῶν ῥημάτων, καὶ τοῦ κατὰ σύνθεσιν σχήματος ἀπηλλοτριώθησαν, τὸ ἐναντίον ἀναδεχόμεναι, παράθεσιν ἀντὶ συνθέσεως. ἐπὶ τῆς παραθέσεως ἄρα ἐν διαφόροις προσώποις νοεῖται τό, τε ῥῆμα καὶ τὸ προθετικὸν πτωτικόν. οἷον, κατὰ ἀριστάρχου λέγω. ἐγὼ γὰρ κατ' ἐκείνου. ἀλλὰ μὴν καὶ ἡ σύνθεσις συνέχει πάλιν δυνάμει τὸ κατὰ παράθεσιν ἰδίωμα. τὸ γὰρ ἀντίθεος, ἀντίπατρος, καὶ τὰ τούτοις ὅμοια, τῇ τῆς προθέσεως δυνάμει τὴν ἐκ γενικῆς παράθεσιν ὁμολογεῖ. ἐν ἴσῳ γὰρ τῷ ἀντὶ θεοῦ, ἢ πατρὸς δυνάμει λαμβάνεται. καὶ ὁ οἰκοδόμος τῷ οἶκον δομεῖν. πρὸς μὲν οὖν τὸ συνηνωμένον τῷ ῥήματι πρόσωπον τῆς εὐθείας, ὡς προείπομεν, καὶ τὰ τῆς προθετικῆς συνθέσεως ὁμοίως συνήνωται. ἐν γὰρ τῷ, δίων ὁ περίβλεπτος γράφει, ἐν ἐξ ἀμφοῖν τὸ δηλούμενον πρόσωπον. πρὸς δὲ τὸ ἀφιστάμενον τῆς πλαγίας, καὶ τὰ τῆς συνθέσεως ὁμοίως συναπέστη κατὰ τὰς πλαγίας, μερικωτέρας λοιπὸν τῆς παραθέσεως γινομένης καὶ οὐχ, ὡς ἡ σύνθεσις, κατὰ πᾶσαν πτῶσιν διηκούσης, ἀλλὰ καθ' ἃς ἐγχωρεῖ κατὰ τὰς προθέσεις, τυχὸν καθ' ἕνα σχηματισμόν. ἐν μὲν γὰρ ἀπολλωνίῳ φαμὲν, οὐκ ἔτι δὲ καὶ, ἐν ἀπολλωνίου, ἢ ἐν ἀπολλώνιον. καὶ, περὶ ἀπολλωνίου, οὐ μὴν περὶ ἀπολλωνίῳ, καὶ τὰ τούτοις ὅμοια. ἡ δὲ κἀνταῖς πλαγίαις δοκοῦσα σύνθεσις. δόν, βόλου, περιβόλου. δρόμου, καταδρόμου. νόμου, παρανόμου, καὶ ἐν τοῖς ὁμοίοις οὐκ αὐτόθεν ἐστὶν, εὐθείας δὲ συντεθείσης κλίσις μετοπεποιημένη εἰς τὰς πλαγίας. Εἰκός ἐστι κἀκεῖνο προσυπονοῆσαι, ὅτι κατὰ τὰς πλαγίας αἱ προθέσεις διὰ τοῦτο παρατίθενται καὶ οὐ συντίθενται, καθ' ὅ, τι ἐν ὑπερβιβασμῷ πρὸς τὰ ῥήματα πάλιν οὐ πρὸς τὰ πτωτικὰ ἀνατεινόμεναι, φαίνονται. ἐν γὰρ τῷ κατὰ ἀπολλωνίου ἐλάλησα, ἡ πρόθεσις ὑπερβιβασθεῖσα ἐν τῷ κατελάλησα ἀπολλωνίου, οὐκ ἔτι πρὸς τὸ πτωτικὸν, πρὸς δὲ τὸ ῥῆμα δοκεῖ ἀποτείνεσθαι. τοιοῦτο καὶ τὸ, σὺν ἀπολλωνίῳ ἦν, στυνῆν ἀπολλωνίῳ. περὶ τὸν καμπτῆρα ἔδραμον, περιέδραμον τὸν καμπτῆρα. πρὸς τρύφωνα εἶπον, προσεῖπον τρύφωνα. ἀπὸ ἀλεξανδρείας ἔδραμον, ἀπέδραμον ἀλεξανδρείας. κἂν διαφέρῃ κατὰ τὸ δηλούμενον τὰ τῆς συντάξεως, παρὰ τὸν ὑπερβιβασμὸν γίνεταί πως ἡ τοιαύτη διαφορά. οὐ γὰρ ταὐτὸν ὁ νῦν ἄνθρωπος, νῦν ὁ ἄνος, τότε ὁ πτολεμαῖος, ὁ τότε πτολεμαῖος. ἐμὸς ὁ δοῦλος, ὁ ἐμὸς δοῦλος. Ἔστι δὲ καὶ πρὸς τὸ τοιοῦτο φάναι, ὡς τὰ ὑπερβιβαζόμενα κἀντῷ ὑπερβιβασμῷ τὴν αὐτὴν ἔχει πρὸς τὰ πτωτικὰ παραθετικὴν καταλληλότητα, κἂν ὁπωσοῦν ἔχῃ διαφορὰν τοῦ σημαινομένου. τά τε γὰρ ἄρθρα πρὸς τὸ ὄνομα ἀεὶ ἀναφερόμενα λέγεται, εἴτε ἀμέσως, εἴτ' ἐμμέσως, ἑτέρων τινῶν παρεμπιπτόντων, πρὸς διάφορον νοῦν τῶν σημαινομένων, καὶ τὸ ἐπίρρημα ὁμοίως πρὸς τὸ ῥῆμα, κἂν μεταξὺ αὐτῶν τύχοι πλείον' ἄττα παρεμπεσόντα. καὶ δὴ καὶ τὰ τῶν προθέσεων καὶ ἐν ὑπερβιβασμῷ τὸ ἑαυτῶν πάλιν κατὰ παράθεσιν ἀπαιτοῦσι πτωτικόν. λαλῶ κατὰ σοῦ, καταλαλῶ σου. ὅπερ οὐκ ἐν ἦν, εἰ πρὸς τὸ ῥῆμα τὴν σύνταξιν εἶχον. τὸ δὲ πρὸς ἀπολλώνιον ἔρχομαι, προσέρχομαι ἀπολλωνίῳ. λαλῶ πρὸς τρύφωνα, προσλαλῶ τρύφωνι, περιποιητικῶς δοτικῇ συνετάγη. τὰ δὲ πλεῖστα οὐχ ὑπερβιβάζεται. ἔστι μὲν γάρ που, καταφέρω οἶκον, οὐ μὴν, κατ' οἶκον φέρω. καὶ, περὶ τοῦ φίλου λέγω, οὐ μὴν περιλέγω φίλου. πλείστην ἐστὶν εἰς τὸ τοιοῦτο παράθεσιν ποιήσασθαι, δι' οὗ προδηλότατα δείκνυται, ὡς οἴδασιν αἱ προθέσεις σύνταξιν τὴν πρὸς τὰς πλαγίας, μὴ δυνάμεναι πρὸς τὸ ῥῆμα ὑπερβιβασθῆναι, εἰ μὴ πρότερον

συμπαραλάβοιεν τὴν πλαγίαν πτῶσιν. ὑπὲρ ὧν τῆς διαφορᾶς κατὰ τὸ ἑξῆς ἐρῦμεν.

Ἐοίκασι δ' αἱ προθέσεις συνδεσμικῆς

Μετὰ τῆς προθετικῆς,

Συντάξεως

Ναὶ μὴν καὶ σημασίας,

Γενόμεναι παρεμφαντικαί.

Οὐκ ἐν τῷ καθόλου δὲ τὸ τοιοῦτο.

Ὅθεν καὶ τοῖς στωϊκοῖς προθετικοὶ σύνδεσμοι ἐκαλοῦντο.

Σύνδεσμοι μὲν, ᾗ συνδεσμικῆς εἰσι συντάξεως παρεμφαντικαί, προθετικοὶ δὲ, ᾗ προτίθεντο, τῶν συνδέσμων οὐ πάντων λέξεως προτιθεμένων.

Τὸ γὰρ, διὰ τί λυπῇ; τὸ ἕνεκα τίνος λυπῇ; παρεμφαίνει. καὶ τὸ ἐκ ῥᾳθυμίας, τὸ ἕνεκα ῥᾳθυμίας.

Τοιοῦτο καὶ τὸ, ἐκ παραινέσεως ὁ μῦθος εἴρηται, καὶ τὸ, προθυόμενος τοῦ λαοῦ, καὶ τὸ περὶ σοῦ. καὶ τὸ, διὰ τὰ χρήματα. καὶ τὸ ἐφ' ᾧ, ἢ ἐφ' ὅ. ἀντὶ γὰρ τοῦ ἕνεκα. ἀλλὰ δὴ καὶ ἐπιρρηματικῆς συντάξεως. ἀπῴκισται. ἐξῆλθεν. ἀντὶ τοῦ πόρρω καὶ ἔξω. εἰσῆλθεν, ἀντὶ τοῦ εἴσω. ἀνῆλθε, κατῆλθεν, ἀντὶ τοῦ ἄνω καὶ κάτω, καὶ ἀντὶ τοῦ ἔναντι. ὡς τὸ, ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι. καὶ τὸ, πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνῶν. καὶ ἀντὶ ὁμόσεως. ἧκε πρὸς θεοῦ.

Οὐ δὴ οὖν ἀπεμφαῖνον,

Ἀπᾷδον, ἀπεικὸς, ἔξω τοῦ καταλλήλου λόγου.

Εἰ καὶ τὸ ὅ, τι

Τὸ πτωτικὸν, οὐχὶ τὸ ἄπτωτον ὅτι.

Παραδεξάμενον τὴν διὰ, καὶ κατὰ, σύνταξιν ἐπέχει

Κατὰ τὰ προειρημένα,

Συνδεσμικήν.

Τὸ ποιητικὸν καθ' ἑκατέρας τὰς προθέσεις αἰτιολογοῦν. αἱ γὰρ τοῦ ὅ, τι προτιθέμεναι προθέσεις, ὡς συνδέσμων ἀναπληροῦσαι τὰς θέσεις τε καὶ ἰδιότητας, εἰς συνδέσμους μεταλαμβάνονται, μὴ μᾶλλον ἐπικρατούσης τῆς προθετικῆς φωνῆς, ὡς τοῦ ἐξ αὐτῆς σημαινομένου. ἔνθεν τοι κἀν τοῖς αἰτιολογικοῖς τῶν συνδέσμων, ὡς αἰτιολογικῆς καὶ αὐτὸ παρεμφατικὸν σημασίας κατείληκτο, οὐχ ἁπλοῦν, τι ὄν, φημὶ δὴ τὸ δι' ὅ, τι, ἐκ δὲ ξιῶν συγκείμενον μερῶν, ἑνὸς προθετικοῦ, καὶ δύοιν ἀορίστου μένων πτωτικῶν, ἐν παραθέσει οὐ μὴν ἐν συνθέσει ἔχον τὰ τῆς προθέσεως. εἴ γ' οὐκ ἐν συνθέσει, ἐν δὲ παραθέσει ἡ διὰ, αἰτιολογεῖ κατὰ Ἀπολλ'. τῶν ἄρα αἰτιολογικῶν συνδέσμων ἄπτωτον μὲν τὸ ὅτι πτωτικὸν δὲ τὸ δι' ὅ, τι. εἴ γ' ἐδείχθη ἡ πρόθεσις συνδέσμων μηδόλως πεφυκυῖα προτίθεσθαι. τὸ δὲ καθ' ὅ, τι τίθεται ἔστιν οὗ καὶ καθ' ὅ. ὡς καὶ τὸ δι' ὅ, τι, δι' ὅ. κατὰ ταὐτὰ δὲ τῷ δι' ὅ καὶ καθ' ὅ λαμβάνεται ἔστιν οὗ καὶ τὸ παρ' ὅ.

Τοῖς γε μὴν ῥήμασιν ἀεὶ κατὰ σύνθεσιν αἱ προθέσεις. οἷον, καταγράφω. καὶ προκαλοῦμαι. ἔνδοθέν τε ἡ κλίσις, εἴ τι τοῦ ἁπλοῦ διαφέρον δηλοῦται ἐκ τῆς συνθέσεως. εἰ γὰρ μηδέν τι πλέον, ἔξωθεν ἡ κλίσις.

Εἰ μὲν τὸ συντιθέμενον ταῖς προθέσεσι ῥῆμα,

Ἡ Πρόθεσις.
- Ἐν μὲν Συνθέσει.
  - τοῖς τε ῥήμασιν. ὧν
    - ἡ μὲν κλίσις, τοῦ ἁπλοῦ
      - μὴ διαφερόντων μὲν, ἔξωθεν,
      - διαφερόντων δὲ, ἔνδοθεν.
    - τὸ δὲ πτωτικὸν, τῆς προθέσεως
      - ἐπικρατούσης μὲν, προθετικόν,
      - ἐπιτεινούσης δὲ, ῥηματικόν.
        - ἑκάτερα δὲ, ἑκατεροδυνάμει.
  - καὶ τῶν πτωτικῶν τοῖς ἐπιθέτοις.
- Ἐν δὲ Παραθέσει, τῶν πτωτικῶν ταῖς πλαγίαις, πλὴν τῆς κλητικῆς.

σι ῥῆμα, τοῦ ἁπλοῦ δηλοῦντί τι διαφέρον ἐκ τῆς συνθέσεως, τοτηνικαῦτα ἔνδοθεν ἡ κλίσις. καθ' ὃ προθέσεις οὖσαι καθ' ἡρῳδιανὸν, οὐκ ὀφείλουσι πρὸ ἑαυτῶν τι ἔχειν. εἰ δὲ τὸ σύνθετον δηλοῦται ἐκ τῆς συνθέσεως, ὅτι τοῦ ἁπλοῦ διαφέρει μηδέν τι πλέον, τότε ἡ τοῦ ῥήματος κλίσις ἔξωθεν τῆς προθέσεως γίνεται, ὡς μὴ ἀναδεχομένης τὸ ἰδίωμα τῶν προθέσεων, ἀλλ' ὡς συλλαβῆς κατὰ παρολκὴν προσκειμένης τῷ ῥήματι.

Καθάπερ καὶ τοῖς ἁπλοῖς.

Τῶν ῥημάτων ἔξωθεν ἡ κλίσις.

Καθεύδω, ἐκάθευδον. καθέζομαι, ἐκαθεζόμην.

Τὰ γὰρ ἐν τῇ συνθέσει μηδέν τι πλέον τοῦ ἁπλοῦ δηλοῦντα, τὰ τοιαῦτα οὐκ ἂν εἴη σύνθετα, ἁπλᾶ δέ. δι' ὃ καὶ τὴν κλίσιν ἔξωθεν πρὸ τῆς προθέσεως κατὰ τὰ ἁπλᾶ ἐπιδέχονται. Ἐν δὲ τῷ ἐπῄνουν καὶ ἀνύμνουν, οὐχὶ κατάτινας οὐδέν τι πλέον τοῦ ἁπλοῦ, ἀλλ' ἐπίτασιν τῆς τοῦ ῥήματος σημασίας σημαίνουσιν αἱ προθέσεις. καὶ διὰ τοῦτο ἔσωθεν ἡ κλίσις. Τοῖς μὲν οὖν, ὡς εἴρηται, ῥήμασιν, αἱ τῶν προθέσεων συντάξεις πάντοτε κατὰ σύνθεσιν, κἂν πλείους ὦσιν εἰς ταὐτὸ συνεληλυθῦαι. τὸ γὰρ καταγράφω, καὶ τὸ ἐξυπανέστη, καὶ τὸ παρακατατίθεμαι, καὶ εἴτιν ἄλλα τοιαῦτα, σύνθετά ἐστι. καὶ ἴσως τὸ τοιοῦτο δόξει μὴ ἀληθεύειν, δεόμενον λόγου τοῦ ἀποδεικνύντος τὴν ἐν αὐτοῖς σύνθεσιν. Φέρε γὰρ φάναι τινὰ ἀνθιστάμενον, ὡς παράκειται μᾶλλον τοῖς ῥήμασι τὰ προθετικὰ μόρια, ἤπερ ἔγκειται, εἴτ' οὖν συνήνωται, συνηγορίας οὔσης τοιαύτης. Τῶν τοῦ λόγου μερῶν τὰ ὁπωσδήποτε συνδεθέντα, καθ' ὃ μέρος ἥνωται, ἀμετάθετα μένει καὶ ἀπαραποίητα. τάγε μὴν παρακείμενα, εἴτ' οὖν παρατιθέμενα, ἀδιάφορον ἔσθ' ὅτε τὴν παράθεσιν ποιεῖται. καὶ πρόδηλα μὲν τὰ ἀπὸ λειπούσης καὶ τελείας φωνῆς συντεθειμένα. ὡς ἔχει τὸ λεοντόφωνος. μηνόδωρος. κακόδηκτος. χειρογραφῶ. παιδαγωγῶ. οὐ γὰρ δήγ' ἐπὶ τούτων κατὰ τὰς διαφόρους κλίσεις τὰ τῆς συναφείας τῶν λέξεών ποτε μετατίθεται. ἀλλ' ἔτι καὶ τὰ ἐκ δύοιν τελείων φωνῶν συντεθειμένα, ἔκτε τῆς συνούσης μοναδικῆς τάσεως καὶ τῆς μὴ πεταπιπτούσης λέξεως πρόδηλον ἔχει τὴν σύνθεσιν. ὡς ἔχει τὸ κερασφόρος, ἑωσφόρος. ἀστυάναξ. τερατοσκόπος. διόσκορος. τάγε μὴν ἐν παραθέσει ὄντα, ἔστιν οὗ πρὸς τοῖς ἄλλοις ἔχει καὶ τὸ μετατίθεσθαι οὐ μόνον καθ' ὃ μέρος ἥνωται, ἀλλὰ καὶ καθ' ἑκάτερα τὰ μέρη. ὡς τὸ, νέα πόλις, πόλις νέα. νέας πόλεως, πόλεως νέας. ἀγαθὸς δαίμων. ἄρειος πάγος. πάγου ἀρείου. δαίμονος ἀγαθοῦ. συνεπισχύοντος αὐτὰ καὶ τοῦ δὶς παραλαμβανομένου τόνου. σῴζει γὰρ ἑκατέρα τῶν παρακειμένων λέξεων τὴν ἰδίαν τάσιν, οὐ μὴν ἡ τῶν συνθέτων. δῆλον ἔτι καὶ ἀπ' αὐτῶν τῶν προθέσεων. αἱ τῇ μὲν, ὡς εἴρηται, τοῦ ἄρθρου παρενθήκῃ ἀφιστάμεναι, παράθεσιν ὁμολογοῦσι. παρὰ τοῦ νόμου. περὶ τοῦ δρόμου. τῇ δὲ τούτου ἀποστάσει συνιοῦσαι, σύνθεσιν. τοῦ παρανόμου. τοῦ περιδρόμου, ἔνθα μὲν, ἔνθα δ', οὗ συγκλινόμεναι, μηδὲ μεταβάλλουσαι καθ' ὃ ἥνωνται μέρος. ἀλλὰ μὴν καὶ τὰ ῥήματα κλινόμενα, οὐ μένει ἀμετάβλητα καθ' ὃ ἥνωται μέρος, κλίσιν δὲ τὴν δέουσαν ἀναδέχεται, μηδὲν παρὰ τὰς προθέσεις κωλυόμενα, ὡς εἰ καὶ ἁπλᾶ καθειστήκει. σαφὲς ἄρα ὅτι παράκειται μᾶλλον ἡ πρόθεσις, ἤπερ σύγκειται τούτοις. καταγράφω γὰρ, κατέγραφον. καὶ ὥσπερ ἡ τοῦ ἄρθρου ἐν τοῖς πτωτικοῖς ἐπενθήκη, ἐδίδαξε τὴν παράθεσιν, παρὰ τοῦ νόμου. οὕτω κἂν τοῖς ῥήμασιν ἡ γινομένη ἔσωθεν

σωθεν ποιὰ αὔξησις, χρονικήτε φημι καὶ συλλαβικὴ, ταὐτὸ ἐπιδείξεται. ὅπουγε καὶ τοὺς διπλασιασμοὺς ἐπιδέχεται. καταγράφω, κατέγραφον, καταγέγραφα. καταλαλῶ κατελάλουν, καταλελάληκα. (οὐ δὲ γὰρ ἀνάγκη φυλάττειν καὶ τὴν τάσιν τὰς προθέσεις κἀπὶ τῶν ῥημάτων. οὐ δὲ γὰρ οὐδ' ἐν τοῖς πτωτικοῖς τὰ τοῦ προθετικοῦ τόνου σῴζεται. κατ' ἄνδρα.) ἀλλ' οὐδ' ἐκεῖνο πιθανὸν, ὅ φησι Τρύφων ἐν τῷ περὶ προθέσεων, ὡς ἡνωμέναι μέν εἰσι τοῖς ῥήμασιν αἱ προθέσεις κατὰ σύνθεσιν, οὐ μὴν τὴν προσγενομένην κλίσιν ἔξωθεν, ἀλλ' ἔσωθεν ἐπιδέχονται. καθ' ὃ προθέσεις οὖσαι, οὐκ ὀφείλουσι πρὸ ἑαυτῶν τι ἔχειν. Πρῶτον μὲν, ὅτι ἄπορον, πρὸς δὲ καὶ ἀδύνατον τὰ ὁπωσδήποτε συντεθέντα τῶν τοῦ λόγου μερῶν, ἔτι μετακινεῖσθαι. ὅπερ καὶ ἀπεδείχθη. τὰ δὲ τοιαῦτα μετακινεῖται. εὔδηλον ἄρα ὡς παρακειμέναις αὐταῖς μᾶλλον τὸ τοιοῦτο παρακολουθεῖ, ἤπερ ὡς συντεθειμέναις τοῖς ῥήμασιν. ἔπειτα οὐδ' ὃν ἐπιφέρει λόγον, ἀληθείας ἔχεται. εἴπερ γὰρ καθ' ὃ προθέσεις εἰσὶ, διὰ τοῦτο οὐδὲ ἔξωθέν τι προσγίνεται αὐταῖς, τί δήποτ' ἐπ' ἐνίων προσεγένετο; ἤνεπον, παρηνωχλῆσθαι, ἠναντιούμην. παρίημι λέγειν καὶ τὰ κατὰ συνήθειαν. κεκάμμυκα. κεκάθηκα. ἀλλ' εἰ καὶ τὰ τοιαῦτάτις παραπέμψοιτο, ὡς δῆθεν οὐ δεόντως κεκλιμένα, ἃ δὴ καὶ μάλιστα φυσικῆς ἔχεται ἀκολουθίας. ἐκεῖνόγε μὴν ἔτι ἀναμένει, ὡς τότε ἡ πρόθεσις τῆς δεούσης συντάξεως τυγχάνει, ἡνίκα καὶ τὸ ὄνομα σύνεστιν αὐτῇ, τὸ καλεῖσθαί φημι πρόθεσιν. ὁπηνίκα μέντοι συντεθῇ μετάτινος μέρους λόγου, τοτηνικαῦτα οὐκ ἔτι οὐδὲ πρόθεσις καλεῖται, οὐδὲ τὰ ἰδιώματα τῆς προθέσεως ἀναδέξεται, μέρος ἤδη γενομένη τοῦ ὅλου ὀνόματος, παρὸν πιστώσασθαι ἐκ τῶν προκατειλεγμένων. ἐν γὰρ τῷ ἀνοίκτης, μέρος ὀνόματος ἀχώριστον ἡ πρόθεσις γενομένη, ἔσχε καὶ δευτερεύουσαν σύνθεσιν ἐν τῷ θυρανοίκτης. πῶ οὖν ἔτι μένει ἐν τῇ συνθέσει τὸ πρόθεσιν εἶναι, μὴ μόνον αὔξησιν, ὡς ἐπὶ τῶν ῥημάτων ἐλέγετο, ἀλλ' ὅλον ὄνομα πρὸ αὐτῆς ἔχουσαν, καὶ κατὰ σύνθεσιν δευτερεύουσαν; ὅπουγε καὶ κατ' ἀρχὰς ἀεὶ συντεθειμένη, ὡς ἐν τῷ κατάδρομος. καὶ εἰς ὄνομα ἤδη χωρήσασα, προκείμενον αὐτῆς ἔσχε τὸ ἄρθρον, οὐκ ἔτι τῷ λόγῳ τῆς προθέσεως ἀρκτικὴ γενομένη, δευτέρα δὲ τοῦ ἄρθρου; ἐν δὲ παραθέσει ἐδείκνυτο μὴ παραχωροῦσα τοῦ προτακτικοῦ τόπου τῷ ἄρθρῳ. ὡς ἐν τῷ, κατὰ κτησιφῶντος, καὶ ἔτι κατὰ τοῦ κτησιφῶντος. ἐκ λέσβου, καὶ ἐκ τῆς λέσβου. εἴπερ οὖν ἥνωτο κἀπὶ τῶν ῥημάτων, φέρ' ἐν τῷ, καταγράφω, ἀδιάφορον εἶχε τὸ ἔξωθεν προσκλιθῆναι. ὡς εἶναι λέγειν, ἐκατάγραφον. ἐκαταλάλουν. ὡς γὰρ ἔφαμεν, οὐκ ἔτι πρόθεσις, μέρος δ' ἂν εἴη ῥήματος. ἐπεὶ δὲ οὐ προσδίδωσι τῇ κλίσει τὸ ἔξωθεν ἐγγενέσθαι, ὁμόλογον ὅτι καὶ τὸ τοιοῦτον ἰδίωμα, οὐκ ἄλλο τι σημαίνει, ἢ τὴν παράθεσιν. ἣν καὶ αὐτὰ τὰ τοῦ τόνου οὐδὲν ἧττόν εἰσιν ἀποφαίνοντα. ἰδοὺ γὰρ ἔχει τὸ ἰδίωμα τῆς παραθέσεως τὸ συντηρεῖν ἀμετακινήτους τοὺς τόνους. κατεῖχον. καθῆκα, προῆλθον. κἀπὶ τῶν ὁμοίων ὁ αὐτὸς λόγος. εἴγε συνθέτων ἡ τοῦ τόνου ἀνάβασις. Τοῦτοις οὖν τοῖς λόγοις προσέχων τις, δόξει μετὰ πάσης ἀκριβείας πιστοῦσθαι, ὡς μᾶλλον ἐν παραθέσει εἰσὶν αἱ προθέσεις, ἤπερ ἐν συνθέσει μετὰ τῶν ῥημάτων. Ἀλλ' ἔστι πρὸς ἕκαστον τῶν εἰρημένων ἀπαντῆσαι οὕτως. οὐκ οἰητέον κεκλίνθαι τὰ ἀπὸ προθέσεως ἀρχόμενα ῥήματα κατὰ τοὺς παρῳχημένους χρόνους, συντεθεῖσθαί γε μὴν ἰδίᾳ καθ' ἑκάστην χρονικὴν διαφοράν. ᾧ γὰρ λόγῳ παρὰ τὸ γράφω ἐγένετο καταγράφω, τούτῳ καὶ παρὰ τὸ ἔγραψα τὸ κατέγραψα. τῶν γὰρ χρόνων ἕκαστος τὴν αὐτὴν τοῦ πράγματος διάθεσιν

θεσιν ἐπαγγελλόμενος, τῷ αὐτῷ καὶ ἐκ τῆς προθέσεων συνθέσιν ἀναδέχεσθαι ἐν τοῖς ἰδίοις μεταχηματισμοῖς. ὅτι καὶ τὸ αὐτὸ πρᾶγμα ἔγκειται, φημὶ δὴ τὸ αὐτὸ σημαινόμενον, καὶ μόνῳ τῷ χρονικῷ διαφορᾷ παραλλάττον, παρεπομένῳ τῇ τοῦ πράγματος διαθέσει. τοῦτο δ' ἀπόδειξις ἱκανωτάτη γένοιτο, τὸ καὶ τοὺς παρωχημένους καὶ μέλλοντας ἰδίᾳ ποτὲ συμπεθεῖσθαι, μὴ ὄντων τῶν ἐνεστώτων. καὶ ἔτι ἐνεστῶτας, μὴ ὄντων παρωχημένων. ὅπερ, εἰ παρείπετο ἐξ ἐνεστῶτος ἄρχεσθαι τὰς συνθέσεις καὶ μετιέναι ἐπὶ τοὺς παρωχημένους, παρείπετο ἂν καὶ τὸ μὴ ἰδίᾳ συμπεθεῖσθαι χρόνον παρωχημένον, χωρὶς τοῦ καὶ τὸν ἐνεστῶτα συνθέσεως. ἔφαγον, κατέφαγον, ἐδεμιᾶς ὔσης ὑπομνήσεως τοῦ ἐνεστῶτος. καὶ ἔτι κατοίσω, μὴ ὔσης χρήσεως τοῦ καὶ τὸν ἐνεστῶτα, οὐδὲ μὴν τοῦ κατὰ τὸν παρωχημένον. καὶ ἔτι καὶ τὸν ἐνεστῶτα, ἀπειμί φαμεν, μὴ ὄντων προδήλων τῶν παρωχημένων. ἰδίᾳ ἄρα ἑκάστου τῶν χρόνων τῇ συνθέσει ἀναδέχεσθαι. καθ' ὃ ἕκαστος ῥητὸς ὤν, ἐκ μὲν ἅπαντι μὲν διαφόρῳ χρόνῳ, (καθ' ὃ ἐλλείπει τῆ μὲν καὶ τὸ ἐνεστὼς, τῇ δὲ καὶ τὸ παρελήλυθός.) συνθέσιν ὅμως ἰδίαν ἀπηνέγκατο, μὴ ἀναμείνας τὴν ἐξ ἐνεστῶτος γινομένην συνθέσιν. ἔστι δὲ εἰς τοῦτο πάμπολλα παραθέσθαι. Ἐν οἷς μέντοι τῇ ἐκ τοῦ ἐνεστῶτος κατὰ τοὺς παρωχημένους γινομένῃ χρονικῇ διαφορᾷ τοῦ ῥήματος αἱ προθέσεις παρεδέξαντο, ἐν τῷ ῥῆμα, ὡς ἔχει παρὰ τὸ ἐνέπω τὸ ἤνεπον. ὅμοιον γάρ ἐστι τῷ ἤλαυνον, καταξοπλῶ τοῦ ε, εἰς η. καμμύω, ἐκάμμυον. ὅμοιον τῷ ἔκαμπτον, καὶ πλεονασμὸν τοῦ ε, ἐν τούτοις φημὶ συγκατατίθεμαι τοῖς λέγουσι τὰς προθέσεις μηκέτι προθέσεις καλεῖσθαι, ὡς μὴ ἀναδεχομένας τὸ ἰδίωμα τῶν προθέσεων. τὰ γὰρ τοιαῦτα, ὧν οὐ πολλή τίς ἐστιν ἡ παράθεσις, ἐξ ἐνεστῶτος συνθέσιν ἀναδεξάμενα, μετείη ἂν τῇ τοῦ ἐνεστῶτος ἐπικρατείᾳ καὶ ἐπὶ τοὺς παρωχημένους, οὐκ ἰδίᾳ συμπεθεμένους, ἐκ δὲ ἐνεστῶτος μεταληφθέντας. Αἴτιον τοίνυν τοῦ τὰ μὲν, κατὰ πᾶς προθέσεις κλίνεσθαι, τὰ δὲ, μὴ, ἐστὶ τὰ μὲν, ἐπιδέχεσθαι τῷ ἐξ ἐνεστῶτος συνθέσιν τε καὶ διαφορὰν, τὰ δὲ μὴ, ἰδίᾳ δὲ καθ' ἕκαστον συμπεθεῖσθαι χρόνον. ἐγὼ δ' ὑπολαμβάνω, ὅτι ἐν παρολκῇ τέτων αἱ συνθέσεις ὅσαι κατὰ τὸ πλέον, καὶ ὡς σύλλαβαί προσκείμεναι τῷ ῥήματι, τῷ τὰ ἀπηνέγκαντο κλίσιν. οὐδ' ὡς τὸ γράφω καὶ τὸ καταγράφω, διάφορα, οὕτω καὶ τὸ ἵζω, καθίζω, δύω καὶ καταδύω. ἔπω, ἐνέπω. ὡς ἐν γὰρ ἁπλῶν συμπαραλαμβάνεται τὰ τοιαῦτα, μηδὲ μιᾶς διαφορᾶς προσγινομένης τῷ ῥήματι, προσιθεμένων τε καὶ ἀφαιρουμένων τῶν προθέσεων. καθ' ἕξιν γὰρ συγκείμεναι τοῖς τοιούτοις ῥήμασιν αἱ προθέσεις, αὐταὶ τῷ αὔξησιν ἐπιδέχονται ἐν ταῖς κατὰ τὰς παρωχημένους κινήσεσι τῶν ῥημάτων, καὶ οὐ προσλογίζονται εἰς πρόθεσιν παρακεῖσθαι αὐτοῖς. ὁποῖόν τε κἀντῷ, ἐπενήνοθε, γέγονε. ἔστι γὰρ ἔθω παρὰ τὸ θέω, καθ' ὑπερβιβασμὸν, καὶ μετὰ προθέσεως ἐνέθω. ὁ μέσος παρακείμενος ἤνεθα. ἐξ οὗ τὸ ἐπενήνοθα, τῆς πρώτης ἐκείνης προθέσεως τῆς ἐν τῷ ἐνεστῶτι αὐξηθείσης, καὶ μὴ προσλογισθείσης εἰς πρόθεσιν, διὰ τὸ καθ' ἕξιν συγκεῖσθαι τῷ ῥήματι, ἀλλὰ μὴ προκεῖσθαι, λογιζομένῳ διὰ τοῦτο ὡς ἁπλῷ. Ἔστι δὲ καὶ ἀπὸ τῶν μετοχῶν ὁ λόγος ἀνερεύνητος. εἰ δέδοται ὅτι τὸ, καταγράφων, ἐν ἐστι κατ' διάθεσιν πᾶσιν, καθ' ὃ ἡ παράθεσις τοῦ ἄρθρου πρὸ τῆς προθέσεως τίθεται. ὁ καταγράφων. μετὰ τῶν πρόθεσιν γὰρ ἂν,

γὰρ ἄν, εἴπερ. δίδοται ὅτι καὶ τὸ, καταγράφω, ἐν ἐστιν. ἐν γὰρ τῷ αὐτῷ σχήματι καταγίνεται μετοχὴ καὶ ῥῆμα. καθ' ὅ, τι συνυπάρχει τῇ μετοχῇ τὸ συστοιχοῦν αὐτῇ ῥῆμα. διὰ τοῦτο τὸ ἀνατλὰς, μετοχὴ, διὸ, τι συνυπάρχει σύστοιχον ῥῆμα τὸ ἀνέτλην. οὐ μὴν τὸ πολύτλας μετοχὴ, μὴ συνυπάρχοντος ὁμοζύγου ῥήματος. ἡ γὰρ μετοχὴ μετέχουσα μὲν τῶν, ὧν ἐστι μετοχὴ, ὀνόματος λέγω καὶ ῥήματος, συνέχει καὶ τὸ τῆς μετοχῆς ὄνομα, ἰδίαν δὲ σχέσιν ἀναδεξαμένη, καὶ μὴ μετέχουσα τῆς τοῦ ῥήματος σχέσεως, ἀπονεύσει καὶ τοῦ εἶναι μετοχή. καὶ τῶν μετοχῶν ἄρα αἱ εὐθυλογούμεναι, δεικνύουσι τὴν προθετικὴν σύνθεσιν τῶν συζύγων ῥημάτων. Ἔστι καὶ τοῦτο προσθεῖναι, αἱ ὡς εἴρηται εὐθεῖαι καὶ κλητικαὶ, ὡς συμφερόμεναι τοῖς ῥήμασι κατὰ τὸ αὐτὸ πρόσωπον, οὐ παραδέχονται προθέσεως παράθεσιν, σύνθεσιν δὲ διὰ τὴν τῆς ταυτοπροσωπίας σύνοδον. διὰ δὴ τὸν αὐτὸν λόγον καὶ τὰ ῥήματα, ὡς συμφερόμενα ταῖς εὐθείαις κατὰ τὸ αὐτὸ πρόσωπον, σύνθεσιν οὐ παράθεσιν προθέσεως ἐπιδέχονται. πῶς οὖν οὐ βίαιον, τὸ αἴτιον τοῦ μὴ συνεῖναι τὴν παράθεσιν τῶν προθέσεων, τὸ αὐτὸ ἐπιδέξασθαι τὴν παράθεσιν; Ἔστι δὲ καὶ ὁ ἀπὸ τοῦ τόνου λόγος συνάγων τὴν ἐγγινομένην σύνθεσιν. τὸ μὲν γὰρ τὰς αὐτὰς τάσεις φυλάττεσθαι, ἴδιόν ἐστι παραθέσεως καὶ οὐ συνθέσεως. παρὰ τοῦ σοφοῦ ἧκε. παρὰ τὸν σοφὸν ἐγένετο. ἐν δὲ συνθέσει τοὐναντίον, ἑνὸς τόνου μονὴ γίνεται. περίκλυτος. παναχαιός. ἀντεραστής. τό γε μὴν ἀναβιβάζειν τὸν τόνον, ἴδιόν ἐστι συνθέσεως. ἐν γοῦν τῷ καθῆσθαι, τῷ προεῖχον, οὐ μᾶλλον σύνθεσίν ἐστι λέγειν, ἢ παρασύνθεσιν. καὶ γὰρ ἀμφότερα δύναται εἶναι, ὡς εἰρήσεται. ἔν γε μὴν τοῖς ἀναβιβαζομένοις τὸ ἐξαίρετον καὶ οἱονεὶ συστατικὸν τῆς συνθέσεώς ἐστιν. ἀνεβιβάσθη τὸ κάθηται, τὸ ἀνάκειται. τὸ σύνειμι. τὸ ξύμφημι, καὶ τὸ σύνοιδα, καὶ ἄλλα πλεῖστα. ὧν τὰς αἰτίας ἐκθήσομεν. ὡς γοῦν ἐπὶ τῶν ὀνομάτων ἔστι μὲν ἃ, συντιθέμενα, ἀναβιβάζει τὸν τόνον. οἷον, λεοντόφωνος. μηνόδωρος, κακόδηκτος. ἔστι δ' ἃ, τὴν ταυτότητα τοῦ τόνου συντηρεῖ. ὡς κερασφόρος. ἀστϋάναξ. τερατοσκόπος. οὕτω καπὶ τῶν ῥημάτων ἔστιν ἰδεῖν. Τὸ δὲ μεῖζον καὶ ἀπὸ τῶν ὑστέρων δείκνυται τὸ αὐτὸ, φημὶ δὴ ἀπὸ τῶν ἑξῆς ἐγκλίσεων. καὶ πρῶτον, τῆς προστακτικῆς. πᾶσα γὰρ προστακτικὴ ἔγκλισις κατὰ τὴν τῶν ἐνεργητικῶν ῥημάτων προφορὰν οὖσαν δισύλλαβον, ἀναβιβάζει τὸν τόνον, συμπλακεῖσα προθέσει. κάτελθε. κατάβαλε. περίγραφε. καὶ οὐδὲ κατ' ὀλίγον ἐστὶ διστάσαι περὶ τῆς τούτων συνθέσεως. εἴ γε συνθέσεως ἴδιον ἀναπέμπειν τὸν τόνον. καὶ εἰ ὁμολόγως τὰ τοιαῦτα, σύνθετα, πῶς οὐκ ἂν δοθείη καὶ μετὰ τῆς ὁριστικῆς ἐγκλίσεως πολὺ πρότερον εἶναι σύνθετα; μία γὰρ ἔκλισις ἡ ὁριστικὴ, ἀφ' ἧς αἱ λοιπαί. καὶ μία συνδρομὴ τῆς προθέσεως, καὶ μία σχέσις ἡ μετὰ τοῦ ῥήματος. ἰδοὺ δὴ καὶ ἡ ὑποτακτικὴ ἔγκλισις ταὐτὸ πιστοῦται, ἐπιδεχομένη τοὺς ἐπιζευκτικοὺς συνδέσμους πρὸ τῆς προθέσεως. ἐὰν καταλάβω. ἐὰν διαγράφω. οὓς, εἰ μὴ κατὰ σύνθεσιν ἦν ἡ πρόθεσις, οὐκ ἂν πρὸ τῆς προθέσεως ἐδέχετο, τὸν ἀρκτικὸν ἀεὶ ἐπεχούσης τόπον. σαφὴς ὁ λόγος κἀκ τῶν λοιπῶν ἐγκλίσεων, αἳ πρὸ τῶν προθέσεων τὰ προσγινόμενα αὐταῖς ἐπιρρήματα ἔξωθεν προσλαμβάνουσιν. εἴθε καταλάβοιμι, ἄγε κατάλαβε. καὶ τοσαῦτα μὲν ἂν εἴη εἰς ἀπόδειξιν τοῦ ἡνῶσθαι τὰς προθέσεις τοῖς ῥήμασι, κατὰ σύνθεσιν δηλονότι. Περὶ δὲ τῶν συνθέτων ἤδη ῥητέον. πρόδηλον ὡς αἱ συνοῦσαι τοῖς ῥήμασι μετοχαὶ μεταλαμβανόμεναι ἀπὸ τῶν ῥημάτων, σχέσιν τὴν αὐτὴν τοῖς ῥήμα-

τοῖς ῥήμασιν ἀναδέχονται. ὡς ἔχει ἡ παρασας πρὸς τὸ παρέστη. οὕτω γὰρ καὶ τὸ παραφέροντος, πάλιν συνυπάρχοντος τοῦ παραφέρω, καταστήσεται εἰς ἓν μέρος λόγου κατὰ σύνθεσιν. εἰ μέντοι γεγονὸς εἴη παρὰ τὸ φέρω, τότε, καθὼς προείπομεν, τῆς προθέσεως παρακειμένης τῇ μετοχῇ, οὐχ ἓν, δύω δὲ μέρη λόγου γενήσεται τὸ παρὰ φέροντος, τοῦ ἄρθρου τιθεμένου ματαξὺ τῆς προθέσεως. καὶ ἔστιν ἀληθὲς καλεῖν τὰ τοιαῦτα σχήματα, ἐν οἷς δηλ. συντιθεμένοις ὁ τόνος οὐκ ἀναβιβάζεται, παρασύνθετα μᾶλλον, ἤπερ σύνθετα. καθ' ὃ πᾶν μέρος λόγου συντεθὲν, καὶ εἰς ἕτερον σχῆμα μεταπεσὸν, ἔχει τὸ μεταπεπτωκὸς οὐκ ἔτι σύνθετον, παρασύνθετον δέ. Ἐντεῦθεν καὶ αἱ τάσεις τῶν τε ἁπλῶν φωνῶν καὶ τῶν συνθέτων μὲν εἶναι δοκουσῶν, παρασυνθέτων δ' οὐσῶν τῇ ἀληθείᾳ, τὸν αὐτὸν ἐπέχουσι τόνον. ἐπεὶ τάτε ἁπλᾶ καὶ παρασύνθετα μιᾶς ἔχεται ἀναλογίας τῆς κατὰ τὸν τόνον. εἶπον, προεῖπον. ἦλθον, κατῆλθον. εἶχον, ἐπεῖχον. σύνθετον μὲν γάρ φαμεν, τὸ ἐξ ὀξυτόνου εἰς βαρεῖαν τάσιν μετεληλυθὸς, ὡς ἐπὶ τῶν εἰς ὃς, πάνσοφος. εἴ γε ταῦτα κυρίως σύνθετα, πρὸς τῷ σχήματι παραλλάξαντα καὶ τὸν τόνον. παρασύνθετον δὲ, τὸ ἐν τῇ συνθέσει μὴ ἀναβιβάσαν τὸν τόνον. ἰδὼν, συνιδών. καθ' ὃ οὐδὲ συνετέθη, τῷ δὲ συνθέτῳ παράκειται ῥήματι, ὡς ἐν τῷ ἐπακούω τὸ, ἀγορῆς ἐπακουὸν ἐόντα. Ἡσίοδ. ἔργ. α'. Ὁμόλογον δ' ὅτι καὶ τὸ ἐξὸν, καὶ παρὸν, σχέσιν τῶν προειρημένων παρασυνθέτων μετοχῶν ἀναδέδεκται. καθ' ὅ, τι ἔχει παρακείμενα σύνθετα τὸ ἔξεστι, καὶ πάρεστιν. ἐν οὐδετέρᾳ δέ ἐστι καταλήξει δεόντως. ἐπεὶ καὶ ἡ ἐξ αὐτῶν σύνταξις ἐπὶ τὰ ἀπαρέμφατα φέρεται. ἐκ συντάξεως καταλλήλως τῶν παρακειμένων αὐτοῖς συζύγων ῥημάτων, πρὸς τὰ ἀπαρέμφατα καὶ αὐτῶν φερομένων. πάρεστι φιλολογεῖν, παρὸν φιλολογεῖν. ἔξεστι καθεύδειν, ἐξὸν καθεύδειν.

Πρόθεσις δὲ κατὰ παράθεσιν σὺν εὐθείᾳ, ἢ κλητικῇ οὐδέποτε τάξεται.

Καθ' ὅ, τι ἡμὲν τῶν προθέσεων παράθεσις διαβατικὴν, ὡς εἴρηται, δηλοῖ διαφόρων προσώπων πρὸς τὰ ῥήματα σύνταξιν. ἡ δὲ εὐθεῖα καὶ ἡ κλητικὴ κατὰ τὸ αὐτὸ πρόσωπον ἀμεταβάτως συνοδεύει τοῖς ῥήμασιν. οὐκ ἄρα τὴν πρόθεσιν κατὰ παράθεσιν παραδέξεται, κατὰ δὲ σύνθεσιν. Τῇ δὲ παρακειμένῃ συντάξει οἰηθείη ἄν τις τὰ τοιαῦτα ἀντικεῖσθαι. παρ' ὀλίγον τρύφων ὤλισθε. μετ' ὀλίγον δίων παρέσται. παρὰ τί ἥμαρτε θέων; τὸ γὰρ τί, καὶ τὸ ὀλίγον, καὶ ἔτι τὰ προκείμενα δόξει ἐν εὐθείᾳ συντάξει παράθεσιν τῶν προθέσεων ἀναδέχεσθαι, κἂν ἔτι κατὰ πλαγίαν πτῶσιν τὰ τῆς συντάξεως γένηται, παρ' ὀλίγον τρύφωνα συνέβη τιμηθῆναι. κατὰ τί θέωνα ὑβρίζεις; Ἅπερ ἐστιν οὕτως ἐπιλύσασθαι. ὡς ἐν ὑπακουμέναις αἰτιατικαῖς τὰ τοῦ λόγου κατέστη. τὸ γὰρ παρὰ τί τρύφων ἥμαρτεν; ἐν ἴσῳ ἐστὶ τῷ ἔξωθεν ὑπακουομένῳ κατ' αἰτιατικὴν πτῶσιν. ὡς εἰ καὶ οὕτω τις λέγοι, παρ' ὁποίαν αἰτίαν ἥμαρτε τρύφων; οὕτως ἔχει καὶ τὸ μετὰ μικρὸν καὶ μετ' ὀλίγον ἐλεύσεται τρύφων. ὑπακούεται γὰρ κατ' αἰτιατικὴν, μετὰ μικρὸν διάστημα τοῦ χρόνου. ὁ αὐτὸς λόγος ἐπὶ ἁπάντων τῶν τοιούτων. ὥστε πάλιν κατὰ παράθεσιν αἰτιατικῆς πτώσεως ἐννοεῖν τὰς προθέσεις. τὸ γὰρ παρὰ τί λείπει ὁ λόγος; ἐν ἴσῳ ἐστὶ τῷ παρὰ τίνα λέξιν; παρὰ τίνα φράσιν λείπει ὁ λόγος; καὶ ὡς οὐκ ἔστιν ἐπινοῆσαι ἐν εὐθείᾳ συντάξει φάναι τὸ παρὰ τίς, κατὰ δὲ αἰτιατικὴν, τὸ παρὰ τίνα;

ἔπω χρὴ νοεῖν, ὡς ἢ τὸ τί, δ' θεῖα μὲν καθ' ἑαυτὰς ἔχεται καὶ τὸ Δι' ὅ, τι καὶ Καθ' ὅ, τι.
ἑαυτὰς ; ὑ παραδέξε) τὴν πρόθεσιν. αἰτιατικὴ γεμὴν. ὅτε φαμὲν ; παρά τί ; Ἀλλ' ἐ-
κεῖνο πάλιν ἀντικεῖσθαι δοκεῖ. εἴρηται γὰρ πὰς τῶν ἄρθρων συμπάξεις εἰ μὲν παρα-
θέσει τῆς προθέσεως, μετ' αὐτὴν τίθεσθαι. ὑ δὲ τὸ παρ' ὀλίγον, παρὰ δὲ τὸ ὀλίγον φα-
μέν. εἰ δὲ συνθέσει, πρὸ αὐτῆς. φαμὲν δέγε, τὸ παρὰ τί. τὰ τοιαῦτα μὴ προσγινο-
μένου, εἰ μὴ πολὺ πρότερον ἡ πρόθεσις ἦν τὸ. Πρὸς ὃ ἔστι πάλιν ἀπαντῆσαι, τὸ πρῶ-
τον, ὑ δόλως τὸ τί, δυνάται παραδέξασθαι ἄρθρον ; πτωτικὸν ὄν. ἀπροσδεεῖς δὲ τῶν
ἄρθρων αἱ πτώσεις, καθὼς ἀπεδείχθη. τὸ β', ἡ προκειμένη συμπαξις, εἰ μὴ τὸ ἄρ-
θρον φροτέτακται τῆς προθέσεως, ὑ δὲ τὸ ἐγκείμενον πύσμα τὰ τῆς συμπάξεως τὸ ἄρ-
θρον ἔξωθεν ἐποιήσατο, λέγω εἰ τῷ παρὰ τί, ἀλλ' ἔστιν ὅλης τῆς συμπάξεως καὶ τὸ νοου-
μένου ἔξωθεν πράγματος τὸ προκείμενον ἄρθρον. ὥςγ' ἔστιν ἐπινοῆσαι καὶ περὶ τῆς τῶν
ἀπαρεμφάτων συμπάξεως, ὅτε φαμὲν, τὸ γράφειν, τὸ περιπατεῖν. ὑ δὲ τῶν δηθέσε-
ων τὸ ἄρθρον, ἢ τῶν χρόνων, τῶν μηδόλως παραδεχομένων ἄρθρα, τὸ δὲ παρυφισα-
μένων καὶ σημαινομένου πράγματος, φέρε τῆς γράψεως, τὸ περιπάτε, ἢ αὐτὸ μόνον τὸ ὀνό-
ματος, τῆς σημαντικῆς φωνῆς ὡς εἴρη), παρὸν τὸν λόγον πιστωσάσθαι καὶ ἀπ' αὐτῆς τῆς
τὸ λόγω συμπάξεως. ἔστι γάρτι τοιοῦτο, τὸ μὴ
παρὰ τοῦτό ποιησόμεθα. δ' δηλον δὲ ὡς τὸ
ἄρθρον εἰ τούτῳ ὑ πρὸς τὸ προθετικὸν πτω-
τικὸν, κωλύει δὲ τοῦτο ἡ παρεμπεθεῖσα τὸ ἀπα-
γορευτικὸ ἐπιῤῥήματος, ἀναιρεῦντος τὸ, ᾧ
πρόσκειται). πρὸς δὲ τὸ ἔξωθεν παρυφισά-
μενον συμφέρεται πρᾶγμα, τῆς προθέσεως
ὐχ ἧττον καὶ παράθεσιν ἔσης. ὑ δὲ ὑ δὲ
τὸ παρά τί, εἰ συνθέσει τὸ τῆς προθέσε-
ως ἀνεδέξατο δηλ. τὸ προσγεγενημένον ἔξω-
θεν ἄρθρον. Τῆς αὐτῆς τῷ παρά τί ἐπι-

τάσεως ἔχεται καὶ τὸ Δι' ὅ, τι καὶ Καθ' ὅ, τι.
πότερον εἰ παραθέσει τὰ τῆς συμπάξεως κα-
θέσηκον, ἢ εἰ συνθέσει ; καὶ πότερον, ἐπὶ
ἄπτωτον τὸ ὅτι. λέγω τῷ συνδεσμικῷ, ἢ
ἐπὶ πτωτικόν ; Ἢ ὅτι τὸ Ὅ, τι εἰ μέρος
λόγου καθέσηκεν, ὅμοιον τῷ ὁποῖον, ὁπό-
σον, καί τισι συνδυσὶ μέρεσι λόγου νοούμενον. ὃ
δὴ ἀπ' ἀρσενικῆς μεταπέπτωκεν εἴτ' ἂν μετ-
είληπται συμπάξεως εἰς ἑτέραν, καὶ πα-
ραλλήλοτητα λέγω τῆς ὀξύτης. ὡς δηλονότι
παράκειται εἰ δυσὶ μέρεσι λόγου τὸ Ἥτις.
ὐκ ἀγνοῶ ὅτι καὶ εἰ συνδέσμῳ τῷ ὅτι ἐστὶν
ἐγκείμενή ἑτέρα σημασία. ἣν νοεῖν δὴ βε-
βαιωτικῶς. ὅτε ἔπω φαμὲν. ὅτι νικῶ σε.
ὅτι πλειονάσω ἀναγινώσκων. τῆς κατ' αἰτι-
ολογικὴν ἐνφορὰν νοουμένης συμπάξεως δη-
φορᾶς ὄσης, ὅτι πλειονάσω ἀναγινώσκων,
συμπαθερός σε καθέσηκα. ὑπὲρ ἧς δηφορ-
ᾶς ἀκριβώσομεν εἰ τῷ περὶ συνδέσμων.
ἀλλὰ τὰ νῦν γε καὶ τῆς τῶν προθέσεων συμ-
πάξεως τοιοῦτον ἀπαιτήσης, αὐτὸ μόνον τὸ
καὶ τὰς προθέσεις ἀπορούμενον παρασήσο-
μεν. Ὡς μὲν δὴ καὶ κατὰ τὰς ἄλλας παρα-
θέσεις αἱ προθέσεις συνδεσμικῆς συμπά-
ξεως γίνονται παρεμφαντικαί, λέλεκται.
ἐξ ὧν καὶ ἀφορμὴ εἴρηται παρὰ τοῖς σοφοῖς
τὸ καλεῖσθαι αὐτὰς προθετικὰς συνδέσμους.
τὸ δὲ, ἕνεκά τίνος λυπῇ ; καὶ δηλ. τί λυπῇ ;
εἰ ἴσως ἐστὶν ἑκάτερα. καὶ τὸ ἐκ ῥᾳθυμίας, εἰ
ἴσως ἐστὶ τῷ ἕνεκα τῆς ῥᾳθυμίας. ὑ δὴ ἂν
ἀπαιμφαίνον, εἰ καὶ τὰ προκείμενα μέρια,
λέγω τὸ Δι' ὅτι, Καθ' ὅ, τι, παραδεξάμενα
τὰς προθέσεις, συνδεσμικὴν ἐπέχει συμπά-
ξιν. πρόδηλον δὲ κἀκ τῆς συμπάσης δια-
σείας, ὡς ὐχ εἰ ἁπλᾶν ἐστι καὶ συνθεσιν
τὸ δι' ὅ, τι. Καθ' ὅ, τι. καθ' ὅ παρεμπί-
πτει τὸ εἰ τοῖς ἀρτικοῖς φωνήεσι πνεῦμα,
φίλαρχον ὄν, καὶ μάλισα ἡ δασεῖα, εἰ μέ-
σαις ταῖς λέξεσιν, εἴτ' ἂν ἁπλαῖς, εἴτε καὶ
συνθέτοις, τῶν πνευματιζομένων κατὰ τὴν
μέσην

μέσην, σεσημειωμένων ὡς ἀλόγων ὄντων, ἢ γοῦν ὑπὸ λακωνικῆς διαλέκτου παρεισδεδυκὸς εἰς τὰς ἄλλας διαλέκτους. ἀλλ' οὐ τοῦτό φημι αὔταρκες, πρὸς τὸ μὴ σύνθετα εἶναι τὰ μόρια, δι' ὅ, τι συνέστηκεν ἐκ διαφόρων μερῶν τοῦ λόγου, τοῦ τε διὰ, καὶ τοῦ ὅ, τι. τοιαῦτα γὰρ καὶ τὰ σύνθετα. ἀλλ' ὅτι ἡ διὰ, οὐδέποτε ἐν συνθέσει αἰτιολογικῶς παραλαμβάνεται, ὡς ἐν τῷ, διάδρομος, ἢ διατρέχω. ἐν δὲ παραθέσει πτώσεως αἰτιατικῆς. διὰ τρύφωνα. διὰ τὴν ἡμέραν. ἐν δὲ τῷ Δι' ὅ, τι αἰτιολογεῖ. οὐκ ἄρα ἐν συνθέσει, ἐν δὲ παραθέσει κεῖται. εἰ δὲ τοῦτο, ὁμόλογον ὡς οὐδὲ τὸ Ὅ, τι σύνδεσμός ἐστιν, ἀλλὰ πτωτικὸν μόριον πτώσεως, εὐθείας μὲν οὖ, (εἴγ' ἐδείχθη ἡ εὐθεῖα οὐκ ἐν παραθέσει οὖσα τῶν προθέσεων, ἐν συνθέσει δέ. καὶ ὡς ἐν εὐθείᾳ ἡ διὰ, συνδεσμικὴν οὐκ ἔχει σύνταξιν, αἰτιῷδη λέγω σημασίαν.) αἰτιατικῆς δέ. Λειπόμενον οὖν ἐστι κἀκεῖνο παραστῆσαι, πότερον, ἑνὸς ὄντος τοῦ Ὅ, τι κατ' αἰτιατικὴν πτῶσιν ἡ διὰ, πρόκειται, ἢ δυοῖν ὄντοιν, κατὰ παράθεσιν τοῦ ὃ ἄρθρου καὶ τοῦ τί ὀνόματος. ὃ δὴ ἐκ συντάξεως ἀρσενικῆς τῆς ὅς τις μετείληπτο εἰς οὐδετέραν; ὧ καὶ μᾶλλον τὰ τοῦ λόγου ὑπάγεται. εἰ γὰρ τὸ Ὅς τις, ὥσπερ καὶ τὸ Ἥ τις ἐκ δυοῖν μερῶν, ἐκ δυοῖν ἄρα καὶ τὸ ἐξ αὐτῶν μεταληφθὲν Ὅ, τι. ἰδοὺ γὰρ κἀπὶ τῶν ἑτέρων γενῶν, λέγω τοῦ τε ἀρσενικοῦ καὶ τοῦ θηλυκοῦ, τὸ τοιοῦτόν ἐστιν. ὧν τῇ κατ' αἰτιατικὴν συνεμπτώσει καὶ τὰ τῆς διαστολῆς τοῦ Δι' ὅ, τι ἔκδηλα γίνεται. ἧς γὰρ πτώσεως ἔτυχε τὸ Δι' ὅ τινα λόγον, καὶ Δι' ἣν τινα αἰτίαν, καὶ ἔτι ἐπὶ πληθυντικοῦ ἀριθμοῦ, Δι' οὓς τινας, καὶ Δι' ἅς τινας, τῆς αὐτῆς καὶ τὸ Δι' ὅ, τι προφανῶς γενήσεται. αἰτιατικῆς δ' ἐκεῖνα, καὶ τοῦτο ἄρα. Καὶ ὅτι ἐκ τριῶν ἐστι μερῶν λόγου κατ' ἐκεῖνα, προθέσεως τῆς διὰ, κατὰ συνδεσμικὴν σύνταξιν ἐπ' αἰτιατικὴν φερομένης, καὶ ἐπαλλήλων δυοῖν πτωτικῶν τοῦ Ὅ, καὶ τοῦ τι, πτώσεως ὄντων οὐκ ἄλλης ἢ αἰτιατικῆς. ἡ αὐτὴ τοῦ Δι' ὅ, τι ἀπόδειξις σύνεστι καὶ ἐπὶ τοῦ Καθ' ὅ, τι. ὁμόλογον δὲ κἀκ τῆς τοιαύτης συντάξεως. διὰ τὸ ἡμέραν εἶναι. διὰ τὸ φῶς εἶναι. τῆς αὐτῆς γὰρ ἄμφω συντάξεως ἔχεται. καὶ πτώσεως ἄρα τῆς αὐτῆς. αἰτιατικῆς δὲ τὸ ἡμέραν, καὶ τὸ φῶς ἄρα. Ἔστι καὶ ἐκ τῶν ἀνθυπαγομένων λόγων προσαποδεῖξαι τὸν λόγον. ἰδοὺ γὰρ προσανταποδίδοται τῷ, δι' ὅν τινα λόγον ταῦτα ἐγένετο. τὸ, διὰ τοῦτον ταῦτα συμβήσεται. καὶ ἔτι τῷ δι' ἣν τινα αἰτίαν, τὸ διὰ ταύτην παρακολουθήσει. κἀπὶ τοῦ οὐδετέρου ὁμοίως. δι' ὅ, τι ἡμέρα ἐστὶ, διὰ τοῦτο φῶς ἐστιν. ὁμοιοπτώτως γὰρ αἱ ἀνθυπαγωγαὶ ἀνταποδίδονται, ὥσπερ ἐπ' ἐκείνων, οὕτω κἀπὶ τοῦ οὐδετέρου, κατ' αἰτιατικὴν δηλ. πτῶσιν. καὶ τοσαῦτα μὲν περὶ τῶν παρατιθεμένων προθέσεων κατὰ τὰς ὀνοματικὰς συντάξεις καὶ τῶν συντιθεμένων. Τῶν δὲ ἀντωνυμιῶν ταῖς μὲν εὐθείαις οὐδόλως συντετάξεται ἡ πρόθεσις. οὔτε κατὰ παράθεσιν δηλονότι. καθ' ὅ, τι ἡμὲν, ὡς εἴρηται, εὐθεῖα ἓν ὑπαγορεύει πρόσωπον μετὰ τοῦ συνόντος ῥήματος, ἡ δὲ παράθεσις ἐν δυοῖν προσώποις καταγίνεται. οὔτε μὴν κατὰ σύνθεσιν. καθ' ὅ, τι αἱ μὲν ἀντωνυμίαι τὰ κύρια τῶν ὀνομάτων, τοῦτ' ἔστιν αὐτὴν τὴν οὐσίαν ἀντονομάζουσιν, αἱ δὲ συνθέσεις ἐπιθετικώτερον, ὡς εἴρηται, ἐκλαμβάνονται. ἤδη μέν τοι ἐν ἀντωνυμικῇ συντάξει τετόλμηται ἡ σύνθεσις, ἐν τῷ ἐπέκεινα, κατ' ἐπιρρηματικὴν ἔννοιαν. καὶ ἔτι ἐν ἐπιρρηματικῇ τὸ μετέπειτα, κατὰ χρονικὴν ἔννοιαν. ἐφ' οὗ καὶ τὰ τῆς μεταλήψεως εἰς τὸ μεταλαμβανόμενον τῆς ἀντωνυμίας μεταφράζεται. μετὰ ταῦτα. Ταῖς δὲ πλαγίαις ἐν συνθέσει μὲν οὐδέποτε. τῆς γὰρ εὐθείας μὴ συντεθείσης, οὐδ' αἱ ἐξ αὐτῆς πλάγιαι συντεθήσονται. ἐν παραθέσει δὲ μόνον κατὰ τάσιν τὴν ἐν ὀρθῇ.

κατὰ σοῦ, περὶ σέ. διὰ τί δὲ ἐν ὀρθῇ τάσει, ἐν τοῖς προεκδοθεῖσιν εἴρηται. Καὶ τοῖς ἄρθροις δὲ ὁμοίως κατὰ τὸν αὐτὸν λόγον παράκειν τὴν κατὰ παράθεσιν ἐν ταῖς πλαγίαις. παρὰ τοῦ νόμου. σὺν ᾧ. Ἑαυταῖς γεμὴν αἱ προθέσεις καὶ συντίθεν τὴν καὶ συμπαρατίθενται. διδομένου γὰρ τοῦ, ὡς ἐν εὐθείᾳ συντίθεν τὴν αἱ προθέσεις, τὰ δὲ συντιθέμενα τῶν πτωτικῶν, ἅ εἰσι μέρος λόγου, δοθήσεται καὶ ἐν εἶναι τὸ παρακαταθήκη. ὄνομα μόνον δηλαδή. καὶ διδομένου πάλιν, ὅτι μετὰ τῶν ῥημάτων ἐν συνθέσει πάντοτέ εἰσιν αἱ προθέσεις, καθὰ δέδεικτὴν, δοθείη ὅτι καὶ ἐν συνθέσει ἐστὶ λόγου ὅλον τὸ ἐξυπανέστη. καὶ εἰ ἐν τὸ ἀναγινώσκει, καὶ τὸ ἀναγινώσκοντα. καὶ δῆλον, ὅτι εἰ προσγενόιτο καὶ ἑτέρα πρόθεσις τῷ τοιούτῳ πτωτικῷ σχήματι, μὴ συνέχουσα τὴν ἰδιότητα τῆς πρὸς τὸ ῥῆμα ἐν συνθέσει συντάξεως, ἡ μὲν προσγεγονυῖα, ἐν παραθέσει εἰρήσεται, ἐν συνθέσει δὲ ἡ συνοῦσα τῷ ῥήματι. ἀναγινώσκω. ἀναγινώσκοντα. καὶ παρὰ ἀναγινώσκοντα. καὶ ἔτι μετὰ τοῦ ἄρθρου, παρὰ τὸν ἀναγινώσκοντα. εἰ δὲ οὕτω τις φαίη, παραναγινώσκοντα, ἐν συνθέσει, πάντως καὶ τὸ ἄρθρον ἔξωθεν προσγενήσεται. τὸν παραναγινώσκοντα.

Συντάσσεται δὲ ταῖς πλαγίαις ὧδε,

Ἀπὸ κοινοῦ τὸ, κατὰ παράθεσιν.

Ἐν.

Ἡ μὲν Ἐν, ἀεὶ δοτικῇ. ἐν οἴκῳ, ἐν ἀγορᾷ.

Σημαίνει δὲ στάσιν τὴν ἐν τόπῳ, καὶ τὴν ἐν χρόνῳ σχέσιν. ἐμπλέουσι γὰρ καὶ ἐν οἰκοῦσιν ἀκούσαντες, τὸ σκάφος εὐθὺς καὶ τὴν οἰκίαν ἐνοήσαμεν. καὶ πότε γέγονεν; ἐν τῷ δέ φαμεν τῷ χρόνῳ. ποῦ δὲ; ἐν τῷδε τῷ τόπῳ. Διττῶς δὲ τὴν ἐν τόπῳ φασὶν, ἤτοι κατ' ἐπιφάνειαν. οἷον, ἐν πεδίῳ δεηρᾷ, καὶ τὸ λευκὸν ἐν σώματι. καὶ, ἐν δὲ λίθοις ἐμάχοντο. ἀντὶ ἐπάνω λίθων. ἢ κατὰ βάθος. οἷον, ἐν βυθοῖς θαλάσσης. τὸ θερμὸν ἐν σώματι. ἡ ἐπιστήμη ἐν ψυχῇ.

Τὸ δ' ἐν ᾅδου, καὶ ἐν διδασκάλου. ἐλλειπτικῶς. δεῖ γὰρ κἀνταῦθα ἐπινοεῖν τὴν τόπῳ καὶ οἴκῳ δοτικήν.

Οὐ μᾶλλον διὰ τὴν αὐτῆς πρὸς τὴν γενικὴν κατά τινας συμπάθειαν, ἢ τὴν τοῦ κτήματος πρὸς τὸ κεκτημένον σχέσιν. ποιηταὶ δὲ καὶ αἰτιατικῇ τὴν Ἐν, συντάττουσι. Πίνδ, δεῦτ' ἐν χορὸν ὀλύμπιοι. τοιοῦτο καὶ τὸ ἐνταῦθα. δηλοῖ δέπου καὶ Αὐτεξουσιότητα ἀντὶ τῆς ἐπί. Ἡρόδ, στ'. ἐν σοὶ νῦν, Καλλίμαχε, ἐστὶν ἢ καταδουλῶσαι ἀθήνας, ἢ ἐλευθερῶσαι. καὶ τὸ Ἔμπροσθεν. θουκδ', α'. καὶ τροπαῖον ἀντέστησαν (οἱ κερκυραῖοι.) ἐν τοῖς ἐν τῇ νήσῳ συβότοις. ἤτοι τοῖς οὖσιν ἔμπροσθεν τῆς νήσου κερκύρας. τοιοῦτο καὶ τὸ, ἐν ὀφθαλμοῖς πάντων. εἰμήτι εἴη κατ' ὀφθαλμούς. ὃ ἑτεροῖόν τι δηλοῖ, ὡς ἐν τῇ κατὰ, εἰρήσεται. Καὶ ἀντὶ τῆς Ὑπὸ, αἰτιολογοῦσα τὸ ποιητικόν. πρὸς κορθ', α'. ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ πνί. ἀντὶ τοῦ ὑπὸ τοῦ αὐτοῦ πνίς. καὶ, ἐν τῷ ἄρχοντι τῶν ἀρχομένων τὰ πράγματα, καὶ ὡς ἐν βασιλεῖ τὰ τῶν ἑλλήνων. καὶ ὅλως ἐν τῷ πρώτῳ κινητικῷ. καὶ, τὰ πάντα ἐν τῷ θεῷ. καὶ, ἐν τῷ τεχνίτῃ τῶν ὑπ' αὐτοῦ γενομένων οἱ λόγοι. καὶ, ἐν αὐτῷ ζῶμεν καὶ κινούμεθα. πράξ, Ἀποστόλ. ὅπερ εἰς τὸ δι' αὐτοῦ μετέλαβεν ὁ θεῖος χρυσός. πρὸς φιλιπ, κεφ', α', ὁμλ', γ'. οἱόντι καὶ τὸ, ἐμοὶ δὲ ἐν μηδενὶ γένοιτο καυχᾶσθαι, εἰμὴ ἐν τῷ σταῷ τοῦ Κυ. κἀν τῷ, εὐχαριστῶ τῷ Θῷ μου πάντοτε περὶ ὑμῶν ἐπὶ τῇ χάριτι τοῦ

ριτι τοῦ θεοῦ τῇ δοθείσῃ ὑμῖν ἐν χῷ ἰησοῦ. πρὸς κορθ', α', κεφ', α'. τὸ γὰρ ἐν χῷ ἰῦ, ἀντὶ τοῦ δι' οὗ ἐστί φησιν ὁ χρυσός, ᾧ δέτε καὶ πολλαχοῦ. καὶ τὸ Τελικὸν δὲ, ὡς ἐν τῇ ἀναπαύσει τῶν ἀνῶν ἡ κλίνη. κἀν τῇ ὑγείᾳ ἡ γυμνασία. καὶ τοῦ Ἀποστόλου δὲ τὸ ἐν τοῖς ἐπουνίοις. ἐφεσ', ς'. ἀντὶ τοῦ ὑπὲρ τῶν ἐπουνίων ἐστὶ κατὰ τὸν Χρυστομ. τὸ γὰρ ἐν, φησὶν, ὑπὲρ, ἐστί. πρὸς δὲ καὶ τὸ Ὀργανικὸν. ἐν πέλταις καὶ ἀκοντίοις πολεμοῦσιν. ἐν σάλπιγξιν ἐλαταῖς. πολυμερῶς καὶ πολυτρόπως λαλήσας πάλαι ὁ Θ̄ς τοῖς πρᾶσιν ἐν τοῖς προφήταις. ἐγγὺς δέ τι τούτου καὶ τὸ, ἐπίβλεψον ἐν εὐμενείᾳ. ἐν ὑπερηφανίᾳ καὶ ἐξουδενώσει. τὸ Τροπικὸν ὅπως δηλούσης τῆς ἐν, ἐπιῤῥηματικῶς, ἀντὶ τοῦ εὐμενῶς. ἢ καὶ ἀντὶ τῆς μετὰ, μετὰ εὐμενείας δηλ. καὶ τὸ Ὅμοιον ἀντὶ τῆς κατὰ, ὡς πολλαχοῦ παρὰ τῷ Ἀποστόλῳ τὸ ἐν Κῷ, ἤτοι κατὰ τὸ θέλημα τοῦ Κῦ. Ἔτι καὶ τὸ Συναίτιον. ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ. ἐπάγει γὰρ, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. ἐφ' οἷς καὶ τὸ Κατά τι. πρὸν Φιλπ, Παῦλος πᾶσι τοῖς ἁγίοις ἐν Χῷ Ἰησοῦ. τοῖς κατὰ τὸν χν' δηλαδὴ, ἀλλ' οὐχὶ κατὰ τὸν μωσαϊκὸν νόμον ἁγίοις. Ἀλλὰ ταῦτα μὲν, κατ' ἐναλλαγὴν, ἑαυτῆς δὲ οὖσα ἡ ἐν, μόνην τὴν ἐν τόπῳ, ἢ χρόνῳ σχέσιν δηλοῦν βούλεται. ἡ γὰρ τῆς δυνάμεως ἐν τῷ δεκτικῷ, (οἷον, ἡ τοῦ ὁρᾶν ἐν τῷ ὑγιαίνοντι ὀφθαλμῷ, καὶ ἡ τῆς ἕξεως ἢ διαθέσεως ἐν τῷ κατ' αὐτὴν διακειμένῳ. καὶ ἡ τέχνη ἐν τῷ ἀναλαβόντι αὐτήν. καὶ ἡ ὑγεία, ἢ θερμότης ὡς πάθος ἐν τῷ σώματι.) καὶ ἡ τοῦ εἴδους ἐν τῇ ὕλῃ, ἢ ἐν τῷ γένει, καὶ ἡ τοῦ γένους ἐν τῷ εἴδει, καὶ ἡ τοῦ ὅλου ἐν μέρεσι, καὶ ἡ τῶν μερῶν ἐν τῷ ὅλῳ, ὡς ὁ δάκτυλος ἐν τῇ χειρί. οὐδὲν ὅτι μὴ, τὴν ἐν τόπῳ σχέσιν ὑποδηλοῦν δοκεῖ κυριώτατα. κατὰ τὸν Ἀριστ'λ, δ', περὶ ἀρχῶν. Ἐν δὲ συνθέσει δηλοῖ τὸ Ἐναντίον, ἀντὶ τῆς ἀντί. ὡς ἡ ἔνστασις δηλοῖ. καὶ ὡς παρὰ Σοφοκλεῖ, ἐγὼ δ' ὀδυσσέα τὸν σὸν, ἐνστάτην λέγω. ἀντὶ τοῦ ἀντιστάτην.

Εἰς.

Ἡ δὲ Εἰς, ἀεὶ αἰτιατικῇ. εἰς ἐκκλησίαν. εἰς ἀγοράν. τὸ δὲ εἰς ᾅδου, καὶ, εἰς διδασκάλου, ἐλλειπτικῶς, ὡς καὶ ἐπὶ τῆς Ἐν. Ἀλλὰ γὰρ ἐπὶ μὲν ἀψύχων τῇ Εἰς, ἐπὶ δὲ ἐμψύχων τῇ Πρὸς, μάλιστά γε

Καὶ οὐκ ἐν τῷ καθόλου,

Χρηστέον. πορεύομαι εἰς ἀγοράν. πέμπω τὸ χρυσίον πρὸς σέ.

Κοινῶς μὲν οὖν, ἐπὶ οἱασοῦν κινήσεως.

Ἰδιαίτερον δὲ τῇ μὲν Εἰς, ἐπὶ ἐπαίνου καὶ ἀναφορᾶς, τῇ δὲ Πρὸς, τὸ ἀνάπαλιν.

Ἐπὶ ψόγου δηλ. καὶ καταφορᾶς, εἴτ' οὖν κατηγορίας.

Ἀνήνεγκε μὲν γὰρ εἰς τὸν ἄρχοντα, φαμὲν, καὶ ὕμνους εἰς ἀπόλλωνα.

Ὅθεν Ἡρῳδιανοῦ τὸ, πρὸς τὴν σύγκλητον ταῦτα ἀνενεγκών. καὶ Θουκδ', α'. τὸ, δικαιώματα μὲν οὖν τάδε πρὸς ὑμᾶς ἔχομεν ἱκανά. ἀντὶ τῆς Εἰς, εἴληπται.

Πολεμεῖ δὲ πρὸς ὁμόρους. καθ' ἣν δὴ ἔννοιαν

Τὴν ἐπὶ ψόγου καὶ καταφορᾶς.

Καὶ τῇ Εἰς, ἔστιν ὅτε χρηστέον. ἠγνωμονήκεσαν εἰς ἡμᾶς.

Ἀντὶ τοῦ καθ' ἡμῶν. Θουκδ: α'. ἐπειδὴ δὲ

δὴ δὲ τῶν ξυμμάχων ἤκουσαν οἱ λακεδαιμόνιοι τὰ ἐγκλήματα τὰ ἐς τοὺς ἀθηναίους. κἀν τῇ γ'. πελοποννήσιοι καὶ οἱ ξύμμαχοι ἐστράτευσαν ἐς τὴν ἀττικήν. ὡς δὲ ὁ ἔπαινος πρὸς τὸν ψόγον ἀντιδιέσταλται, οὕτω καὶ ἡ ἀναφορὰ πρὸς τὴν καταφοράν. Ἔστι δὲ καταφορὰ κατηγορία τις ἐπιτεταμένη, ἡ ἄρα ἐν ταῦθα ἀναφορὰ ἔπαινον δηλοῖ, εἰ καὶ μὴ κατ' ἐπίτασιν καὶ αὐτὸν, ἀλλ' ἁπλῶς. δῆλον οὖν ὡς ἐκ παραλλήλου τῶν συζυγιῶν ἑκάτεραι ἐλήφθησαν. Ἰστέον δὲ ὅτι κατὰ τὴν Ἐκ, καὶ ἡ Εἰς, τὸ τετραπλοῦν εἶδος δηλοῖ τῆς κινήσεως. ἐν μὲν γὰρ τῷ, εἰς ᾅδου καὶ τοῖς ὁμοίοις, τὴν κατὰ Τόπον σημαίνει κίνησιν. τὴν δὲ κατὰ τὰ λοιπὰ εἴδη, ἐπὶ τῆς διαιρέσεως. οἷον, τὴν μὲν κατ' Οὐσίαν, ὡς ἐν τῷ, τὸ ζῷον διαιρεῖται εἰς λογικὸν καὶ ἄλογον. τὰ γὰρ εἴδη τοῖς μὲν γένεσι δυνάμει ἐμπεριεχόμενα, καθ' ἑαυτὰ δὲ ἐνεργείᾳ τυγχάνοντα, δῆλον ὅτι ἐν τῇ διαιρέσει ἐκ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ προάγεται. ταὐτὸν εἰπεῖν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. (εἴγε μὴ ὂν μὲν, τὸ δυνάμει, ὂν δὲ, τὸ ἐνεργείᾳ.) φθειρομένης τῆς κατὰ τὸ γένος ἀοριστίας τῷ κατὰ τὰ εἴδη ὁρισμῷ. τὸ δὲ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι φερόμενον, τῆς κατ' οὐσίαν ἐστὶ κινήσεως. τὴν δ' αὖ κατὰ ποιότητα, ὡς ἐν τῷ, οἱ ἄνοι διαιροῦνται εἰς βαρβάρους καὶ ἕλληνας. ἢ εἰς ἀγαθοὺς καὶ φαύλους. τῇ δὲ κατ' οὐσίαν τε καὶ ποιότητα συνεμφαινομένην ἔχει καὶ τὴν κατὰ Ποσόν. ἥτε γὰρ τῶν ἁπλῶν σύνθεσις, καὶ ὁ τῶν καθόλου ἐπιμερισμὸς τοῦ ποσοῦ ἐστιν. οὐ μὴν ἀλλὰ καὶ τοῖς αἰτιολογοῦσι τὸ Τελικὸν ἥκει εἰς χρῆσιν, ἀντὶ τῆς διὰ, ταύτῃ διαφέρουσα αὐτῆς, ὅτι αὕτη μὲν, ἐπὶ μόνου πράγματος, ἡ δὲ διὰ, κἀπὶ προσώπου αἰτιολογεῖ. πλούταρχ. εἰς δεισγένειαν αὐτῷ λοιδορούμενος. καὶ ἀντὶ τῆς Ἐν. Θουκδ', α'. ἐπεψήφισεν αὐτὸς ἔφορος ὢν ἐς τὴν ἐκκλησίαν τῶν λακεδαιμονίων.

Ἡρόδ, ε', σὺ ἐς οἶκον τὸν βασιλέως ἐξηγητὴς γίνεαι πρηγμάτων ἀγαθῶν. καὶ ἀντὶ τοῦ Ἕως. Θουκδ', β'. μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δράσαι τι, ὧν ἤκουσεν. οἷόν τι καὶ τὸ εἰς τέλος. καὶ, ἐς γῆρας. Παῦσαν, καὶ εἰς ἐμὲ ἦσαν οἶκοι. ἀντὶ τοῦ ἄχρι τῶν ἐπ' ἐμοῦ χρόνων. καὶ ἀντὶ τῆς Διὰ, αἰτιολογοῦσα οὐ μόνον τὸ, ὡς εἴρηται, τελικὸν, ἀλλ' ἅμα καὶ τὸ Ποιητικόν. Θουκδ', η'. καὶ ἀρνουμένων τῶν χίων τὸ πιστὸν, ναῦς σφίσι ξυμπέμπειν ἐκέλευον ἐς τὸ ξυμμαχικόν. ἀντὶ τοῦ διὰ τὸ τῆς ξυμμαχίας δίκαιον. καὶ, βουλόμενος (ὁ Ἀλκιβιάδης) αὐτὸν (τὸν Τισαφέρνην) τοῖς πελοποννησίοις ἐς τὴν αὐτοῦ καὶ ἀθηναίων φιλίαν ὡς μάλιστα διαβάλλειν. καὶ Ὁμοιότητα ἀντὶ τῆς Κατά, Θουκδ, α', μετρίᾳ δ' αὖ ἐσθῆτι καὶ ἐς τὸν νῦν τρόπον πρῶτοι λακεδαιμόνιοι ἐχρήσαντο καὶ ἐς τὰ ἄλλα πρὸς τοὺς πολλούς. ἀντὶ τοῦ κατὰ τὸν νῦν καὶ κατὰ τὰ ἄλλα. καὶ τὸ Κατά τι εἴτ' οὖν Μέρος. ὀδυσ', α'. οὐ μέν τι κακῷ εἰς ὦπα ἐώκει. Θουκδ', ε'. ἔξωτε τούτου καὶ ἐς ἄλλα ἀμφοτέροις ἁμαρτήματα ἐγένετο. τοιοῦτο καὶ καὶ τὸ ἐς ἄυριον, εἰς τὴν ἐπιοῦσαν, εἰς τὸ παρὰ χρῆμα, εἰς τὰ νῦν, ἐς νέωτα. οἷόν τι καὶ τὸ, εἰς τρεῖς κάθηνται, εἰς δύω βαδίζουσι. τοῖς γὰρ μέρεσι συντεταγμένη ἔνθα μὲν, τοῦ χρόνου, ἔνθα δὲ, τοῦ πλήθους τὸ κατά τι συσσημαίνειν δοκεῖ. καὶ τὸ Πλησίον ἀντὶ τῆς παρά. διαβεβλημένος εἰς τοὺς μακεδόνας. καὶ ξενοφ, τὴν λείαν ἅπασαν κατέθεντο εἰς τοὺς βιθυνοὺς, ἀστυγείτονας ὄντας. οἷόν τι καὶ τὸ, γνώριμος εἰς πάντας. ἐν δὲ τῷ καὶ τὰ μὲν ἐς μέδουσαν, οὐκ εἰμὶ πρόθυμος ἐν τοῖς ἀττικοῖς σημῆναι. ἀντὶ τοῦ τὰ περὶ τῆς μεδούσης. ὁ αὐτός. καὶ τὰ μὲν εἰς Τολμήδην τοιαῦτα ἐπυνθανόμην ὄντα. ἀντὶ τῆς Περὶ, κεῖται, ἐν σημασίᾳ Ὑποθέσεως, τὸ Ὑποκείμενον αἰτιολογοῦσα. κατὰ τὸ Περὶ

προθέ-

προθέσεως γράφω. ὅθεν οὐκ ἐπὶ μόνου πράγματος, ἀλλὰ κἀπὶ προσώπου αἰτιολογοῦσα φαίνεται ἡ Εἰς. ἔστι δ' οὗ, ἀργῶς κεῖται Ἐπιρρηματικῶς φασιν. ὠχρὸς εἰς ὑπερβολήν. λεπτὸς εἰς τὸ ἀκριβέστατον. Τοιοῦτο καὶ τὸ ἐγυμνώθησάν τε πάντες, καὶ εἰς τὸ φανερὸν ἀποδαύτες, λίπα μετὰ τοῦ γυμνάζεσθαι ἠλείψαντο. Θουκυδ', α'. ἀντὶ τοῦ φανερῶς. οὕτω γὰρ καὶ τὴν Ἐκ, παρασημειοῦνται εἰλῆφθαι ἐν τῷ ἐκ τοῦ προφανοῦς, ἐξ ὑπογείου. καὶ, ἐκ τῆς χειρὸς μάχεσθαι. ἐπιρρηματικῶς δηλαδὴ ἀντὶ τοῦ ἐγγύθεν, προφανῶς. οὐδέν γε μὴν ἀπεμφαῖνον καὶ ἀντὶ τῆς Κατὰ, εἰλῆφθαι, ἑκατέρων τὸ κατά τι σημαινουσῶν. ἀποδύονται γὰρ οἱ μὲν, κατὰ τὸ προφανὲς τοῦ τόπου, οἱ δὲ κατὰ τὸ ἀφανές. καὶ μάχονται αὖθις οἱ μὲν, συσταδὸν, οἱ δὲ, πόρρωθεν.

Ἐξ.

Ἡ δὲ Ἐξ, ἀεὶ γενικῇ. ἐξ ἀττικῆς. ἐκ μεγάρων.

Ὅθεν καὶ τὸ ἐξ αὐτῆς ἔξω ἐπίρρημα, γενικῇ καὶ αὐτό. καθὰ δὴ καὶ τὸ παρὰ τὴν Εἰς, εἴσω, ἔστιν οὗ, αἰτιατικῇ διὰ τὴν εἰς. ἔστι δὲ κοινῶς μὲν, τῇ ἀπὸ Τόπου κινήσει οἰκεία, ὡς εἰρήσεται, τὴν εὐθὺ κίνησιν σημαίνουσα, ἢ καὶ τὴν ἐκτός. λαμβάνεται δέ ποτε καὶ ἀντὶ τῆς Μετά. ὡς τὸ, νέφος ἔρχεται οὐνὸν εἴσω αἰθέρος ἐκ δίης. ἀντὶ τοῦ μετὰ αἰθέρα δῖον, κατὰ τὸ ὑστερόχρονον. ὡς καὶ τὸ, ἐκ πολέμου γὰρ εἰρήνη μᾶλλον βεβαιοῦται. ἤτοι μετὰ τὸν πόλεμον. Θουκδ', α'. καὶ, πιόμεν ἐκ βοτάνης, ἀντὶ μετὰ τὴν βοτάνην. καὶ τὸ, ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται. καὶ Πλούταρχος ἐν τῷ περὶ ὑγιεινῶν παραγγελμάτ. αὐτοὺς δεῖ φυλάττεσθαι καὶ προκαταλαμβάνειν, ἐκ μὲν ἀφροδισίων καὶ κόπων ὄντας, ἀναπαύσει καὶ ἡσυχίᾳ, μετὰ δὲ οἴνωσιν καὶ συμπεριφορὰν, ὑδροποσίᾳ. κατὰ γὰρ τὸ μετὰ οἴνωσιν εἴληπται καὶ τὸ ἐξ ἀφροδισίων. Φαμὲν δὲ καὶ ἐξ ἡμέρας νὺξ γίγνεται. καὶ ἐκ παιδὸς ἀνήρ. ὅτι τόδε μετὰ τόδε. ἄλλον τρόπον, ὡς ἐκ μουσικοῦ ἄμουσος. καὶ ὡς ἐξ ὑγιοῦς κάμνων, καὶ ὅλως ὡς τὸ ἐναντίον ἐκ τοῦ ἐναντίου φθειρομένου γιγνόμενον. Ἔστι δὲ παρὰ ταῦτα, ὡς Ἐπίχαρμος ποιεῖ τὴν ἐποικοδόμησιν. εἴτ' οὖν τὸ κλημακωτόν. ἐκ τῆς διαβολῆς ἡ λοιδορία. ἐκ δὲ ταύτης ἡ μάχη. ἐν ᾧ ἡ ἀρχή ἐστι τῆς κινήσεως. μέρος γάρ τοι ἡ διαβολὴ τῆς ὅλης ταραχῆς ἐστιν. (Ἀριστλ': περὶ ζῴων γενέσεως τὸ α'.) Τὸ γὰρ Ἔκ τινος γίγνεσθαί τι, πολλαχῶς. ἢ γὰρ Γενέσει. ὡς τὰ φυτὰ καὶ τὰ ζῷα ἐκ σπέρματος. ἢ Μεταχηματίσει. οἷον, ἀνδριὰς ἐκ χαλκοῦ. ἢ Προσθέσει. ὡς τὰ αὐξανόμενα. ἢ Ἀφαιρέσει. οἷον, ἐκ τοῦ λίθου ὁ ἑρμῆς. ἢ συνθέσει. οἷον, οἰκία ἐκ λίθων, πηλοῦ, ξύλων. ἢ Ἀλλοιώσει, οἷον, τὰ τρεπόμενα κατὰ τὴν ὕλην. (ὡς ἐξ οἴνου ὄξος) Ἀριστλ': φυσικ: ἀκρο: α'. Ἐν δὲ τῷ, ἐκ τοῦ ὁρᾶν τὸ ἐρᾶν, τὸ ποιητικὸν μᾶλλον δοκεῖ δηλοῦν, ἢ τὸ Ὕστερον, ὡς κἀντῷ, ἐκ γυναικῶν ὄλλυται κόσμος μέγας. καὶ Χρονικὴν κίνησιν καὶ παρέκτασιν. ὡς τὸ ἐξ οὗ, ἀντὶ ἀφ' οὗ, καὶ ἀφ' ὅτου, καὶ ἐξ ὅτου. Ἡρόδ, ς'. νῦν μὲν γὰρ ἐξ οὗ ἐγένοντο ἀθηναῖοι, ἐς κίνδυνον ἥκουσι μέγιστον. καὶ ἀντὶ τῆς Διά. Θουκδ', α'. καὶ ἐκ θαλάσσης, ὧν δέονται, ἐπάξονται. δηλοῖ δέ που καὶ τὸ Μακρὰν, ὅ ἐστι τὸ ἔξω καὶ πορρωτέρω καὶ ἐπέκεινα τῶν ὀφθαλμῶν. ὡς τὸ, ἀνδρὸς κακῶς πράσσοντος, ἐκ ποδῶν φίλοι. οἷον καὶ τὸ ἔκδικον, ἐξαίσιον, ἔκνομον, ἔκτιμον. ὧν ἐναντίον τὸ ἔννομον, ἐναίσιμον, ἔνδικον. καὶ, ἡμιόνους ὑπεκπροέλυσαν ἀπήνης. ἰλ, β'. καὶ Στέρησιν. ὡς τὸν πη-

ὡς τὸν πηρωθέντα, ἐξ ὀμμάτων φαμέν. ἁπλῶς δὲ, τὸ Ἔξω. ὡς ἐν τῷ, ἐκ καπνοῦ τιθέναι τὸ πηδάλιον, ἤ τι ἕτερον. κἀν τῷ ἔξοινος, ὁ ἀπηλλαγμένος μέθης. ὡς καὶ τοὐναντίον Ἐπιτατικῶς, ὁ λίαν οἰνωθείς. καὶ ἐκπρεπὴς βασιλεὺς, ὁ ἀριπρεπής. καὶ τὸ Μέχρι. ὡς τὸ, ἐκ πώγωνος σοφοί. καὶ τὸ Δίχα. ὡς τὸ ἐξ ἄλλων. ἀντὶ δίχα τῶν ἄλλων. καὶ ἀντὶ τῆς Ἐν-Θουκδ', γ'. οἱ δὲ ἐκ τῆς πόλεως πανδημεὶ ἀθηναῖοι κατὰ γῆν ἀπήντων. ἀντὶ τοῦ οἱ ἐν τῇ πόλει. τοιοῦτο καὶ τὸ, ὁ ἐξ ἀπορρήτων. ἀντὶ τοῦ ὁ ἐν τοῖς ἀπορρήτοις. καὶ τὸ, ἐκ νυκτῶν δ' ἄνεμοι χαλεποί. ἀντὶ τοῦ ἐν ταῖς νυξὶν, ἢ μετὰ τὰς νύκτας. καὶ Ὑπεροχὴν, εἴτ' οὖν ἐξοχήν. ὡς ἐν τῷ, ἐκ πάντων προτιμῶνται. Θουκδ', α'. καὶ ὀδ. β', ἐκ πάντων δὲ μάλιστα διὸς γλαυκώπιδι κούρῃ. Αἰτιολογεῖ δὲ καὶ αὕτη ἔστι μὲν οὖν τὸ Φυσικόν, ὡς υἱὸς ἐκ πρὸς, καὶ ὡς ἡ τοῦ ἐνεργοῦντος ἐνέργεια ἐξ αὐτοῦ. ἢ ὡς τὸ ἀπαύγασμα τοῦ ἡλίου ἐξ αὐτοῦ. φυσικὴ γὰρ καὶ οὐσιώδης ἡ ἑκάστου ἐνέργεια, εἴτε ἐπὶ τῶν ὑπερουσίων, εἴτε ἐπὶ τῶν ὄντων ζητοίη τὸν λόγον τις. Κατὰ δὲ φυσικὴν αἰτίαν ὡς ἐκ τῆς ὑποστάσεως, ἐπὶ μόνου Θοῦ. καὶ τοῦτο διχῶς, ἢ γάρ τοι κατὰ γέννησιν ἄρρητον, ὡς ὁ Υἱὸς ἐκ τοῦ Πρὸς. ἢ κατὰ ἀπόρρητον προόδον, ὡς τὸ Πνᾶ ἐκ τοῦ Πρὸς. Ἔστι δ' οὖν τὸ Ποιητικόν τε καὶ Δημιουργικόν. ὡς τὰ πάντα ἐκ τοῦ Θοῦ. καὶ ὁ ἀνδριὰς ἐκ τοῦ τεχνίτου. οὐ γὰρ ἐκ τῆς φύσεως, ἀλλ' ἐκ τῆς ἐνεργείας αὐτοῦ. τὸ μὲν γὰρ γεννᾶν, φύσεως. τὸ δὲ ποιεῖν, ἐνεργείας τε καὶ θελήσεως. φύσει μὲν γὰρ καὶ οὐσίᾳ γεννᾷ, θελήσει δὲ καὶ βουλήσει, δημιουργεῖ ὁ Θς. καὶ τὸ μὲν γέννημα συνυπάρχει τῷ θῷ ὡς ὁμοούσιον, ὡσαύτως καὶ τὸ ἐκπορευόμενον. δημιούργημα δὲ πᾶν πόρρω πίπτει τῆς θείας ὑπάρξεως, ὕστερον ἐξ ἀνάγκης ὂν τῆς αὐτοῦ ποιητικῆς αἰτίας. ἔνθεντοι καὶ ἀνάγουσιν οἱ Πρὸς τὰς θεαρχικὰς προόδους τὰς μὲν ὑπαρκτικὰς, εἰς τὴν φύσιν, τὰς δὲ δημιουργικὰς, εἰς τὴν θέλησιν. Ἄλλον τρόπον λέγεται τὸ Ἐξοῦ, κατὰ λόγον τῆς πρὸς ἄλληλα τῶν προσώπων ὁμοουσιότητος. ὡς ὅτε λέγομεν, ὁ Ἰωάννης ἐκ τῆς οὐσίας ἐστὶ τοῦ πέτρου καὶ παύλου καὶ τῶν λοιπῶν ἀνῶν. οὐχ ὅτι ἐγεννήθη ἐκ πάντων αὐτῶν, ἀλλ' ὅτι ὁμοφυής ἐστιν αὐτοῖς, καὶ τῆς αὐτῆς οὐσίας. ὡς καὶ παρὰ τῇ θείᾳ γραφῇ φησιν ὁ Ἰσαὰκ περὶ τοῦ Ἡσαῦ πρὸς τὸν Ἰακὼβ, ἀδελφός σου ἐστὶ καὶ ἐκ τῆς φύσεώς σου ἐστίν. Ἔστι δ' οὖν καὶ τὸ Τελικὸν ὡς εἴρηται. ἐκ ῥᾳθυμίας. Ἀλλαχοῦ δὲ καὶ τὸ Ὑλικόν. ὡς ἐκ τῶν δ', στοιχείων τὰ σώματα, καὶ ἡ κύλιξ ἐξ ὑάλου. καὶ ἁπλῶς Κίνησιν. ἡ γὰρ κίνησις τετραχῶς. ἐν Οὐσίᾳ μὲν, κατὰ μεταβολὴν, ὡς ἡ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι γένεσις, εἴτ' οὖν ἀπὸ τοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ. καὶ ἐν ἀλλὰξ, ἡ ἐκ τοῦ ὄντος εἰς τὸ μὴ εἶναι, ὅπερ ἐστι, φθορά. ἐν Ποσῷ δὲ, αὔξησις καὶ μείωσις, ὡς ἐκ μικροῦ μέγα, καὶ ἀνάπαλιν ἐκ μεγάλου μικρόν. ἐν Ποιῷ δὲ, ἀλλοίωσις. ὡς ἐξ οἴνου τὸ ὄξος. (ἐν γὰρ τῷ ὑποκειμένῳ τὸ μὲν ἐστι κατὰ τὸν λόγον, τὸ δὲ, κατὰ τὴν ὕλην. ὅταν μὲν οὖν ἐν τούτοις ᾖ ἡ μεταβολὴ, γένεσις ἔσται ἢ φθορὰ, ὅταν δὲ ἐν τοῖς πάθεσι καὶ κατὰ συμβεβηκὸς, ἀλλοίωσις. οἷον, τὸ σῶμα ὑγιαίνει, καὶ πάλιν κάμνει, ὑπομένον γε ταὐτό. καὶ ὁ χαλκὸς, στρογγύλος, ὁτὲ δὲ γωνιώδης, ὁ αὐτός γε ὤν. ὅταν δ' ὅλον μεταβάλῃ, μὴ ὑπομένοντος αἰσθητοῦ τινος, ὡς ὑποκειμένου τοῦ αὐτοῦ, ἀλλ' οἷον, ἐκ τῆς γονῆς αἷμα πάσης, ἢ ἐξ ὕδατος ἀὴρ, ἢ ἐξ ἀέρος παντὸς ὕδωρ, γένεσις ἤδη τὸ τοιοῦτον, τοῦ δὲ φθορά.) ἐν τῷ Ποῦ δὲ ἡ κατὰ τόπον μεταβολὴ, εἴτ' οὖν φορὰ, ὡς ἐκ τοῦδε τοῦ τόπου εἰς τόνδε. τὸ τοίνυν Ἐξοῦ, ἑαυτοῦ ὄν, ὁσαχῶς ἂν λέγοιτο, κίνησιν ἁπλῶς σημαίνει. ἐπίγε μὴν τοῦ Θοῦ λεγόμενον

γόμφον αὐτό τε καὶ τὸ παρ' ἕ, κατ' ἀδόνα τρόπον τῶν δ', εἰδῶν τῆς κινήσεως λέγει. ἔτε δὲ κατὰ τόπον φορά. παντα χῆ δὲ καὶ ὑπὲρ τὸ παῦ ἐσιν. ἔτε κατ' ἀλλοίωσιν. ἄποιος γάρ. δι' ὃ καὶ ἀναλλοίωτος. ἔτε κατ' αὔξησιν καὶ μείωσιν. ἄποσος δὲ καὶ ἀμεγέθης. ἔτε κατὰ γένεσιν καὶ φθοράν. ἀίδιος γάρ, ὅ ἐσιν ἄναρχος καὶ ἀτελεύτητος. ἀλλ' ἔτε τὴν νοητὴν, καθ' ἣν ὁ νοῦς εἰς ἑαυτὸν συνελιττόμενος καὶ εἰς νοήσεις πολλαπλασιαζόμενος. ἔτε τὴν ψυχικὴν, καθ' ἣν ἡ ψυχὴ διανοεμένη τε καὶ δοξάζουσα. ἔτε τὴν φυσικὴν, καθ' ἣν ἡ φύσις ἀρχὴ κινήσεως καὶ ἠρεμίας ἐσίν. ἀλλὰ τὸ εἰς ὐσίαν ἄγειν καὶ σωίχειν τὰ παῦτα, καὶ παντοίως πάντων προνοεῖν, καὶ τὸ παρεῖναι πᾶσι τῇ παύτων ἀχέτῳ πειοχῇ καὶ ταῖς ἐπὶ παῦτα τὰ ὄντα προνοητικαῖς ῥοώδοις καὶ ἐνεργείαις. Ἐπὶ δὲ τῶν Θεαρχικῶν ὑποςάσεων, ὅτε φαμὲν ἐκ τῦ Πρὸς ὁ Υἱὸς καὶ τὸ Πνᾶ. ἡ ἀδιάσατος αὕτη καὶ ἀνεκφοίτητος κίνησις τὸ προσωπικῶς παρ' αὐτῦ καὶ σωμαϊδίως ἐσιῶσθαι δηλοῖ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα, καὶ τὸ εἶναι ἕκειν ὑπὲρ πᾶσαν ὐσίαν. Ἐπὶ δὲ τῶν θείων δωρεῶν, ὅτε λέγομεν, πᾶν δώρημα τέλειον ἄνωθέν ἐσι καταβαῖνον ἐκ τῦ Πρὸς τῶν Φώτων, τὴν ἀνεκφοίτητον τῆς θείας χάειτος χορηγίαν τε καὶ ἔλλαμψιν εἰτὲν φανέρωσιν σημαίνει. ὡς καὶ ἐκ τῦ Ἰωὴλ εἴρηται, ἐκχεῶ ἀπὸ τῦ Πνός μυ ἐπὶ πᾶσαν σάρκα. Καθ' ἣν δὴ ὐσίαν καὶ ταυτοδωαμεις λαμβάνει τὰς τρεῖς προθέσεις, λέγων πολλαχῦ Κύειλλος, εἰς τὸν Ἰωῆ. ὅτι ἐκ τῦ Θεῦ εἰς τὴν κτίσιν ἐνέργεια, ἐκ Πρὸς δὲ Υἱὸ ἐν ἁγίῳ Πνί. Καὶ τὸ κατελθεῖν δὲ ἐκ τῶν ὐρανῶν τὸν Υἱὸν, ἐ τοπικὴν κίνησιν εἶτ' ἐν μεταβασιν, φανέρωσιν δὲ τὴν ἐν σαρκὶ δηλοῖ. Ἐν δὲ τῷ, σαρκωθέντα ἐκ Πνός ἁγίε καὶ Μαείας τῆς παρθένε, τῇ σωτῆρι λόγῳ ἐν ὄνομα τὸ Ἐξ ἕ, ἐχ ὃν ἐσι τῇ διανοίᾳ. ἀλλ' ὁμωνύμως εἴληπται. ἔγε τὸ μὲν, ἐκ τῆς Μαείας, τὸ φυσικὸν δηλοῖ αἴτιον. τὸ γὰρ γεγεννημένον ἐκ τῆς σαρκὸς, σάρξ ἐσι. τὸ δὲ ἐκ τῦ Πνός, τὸ δημιεργικὸν, ἐχ ὡς ἐνέργεια αὐτῦ, ἀλλ' ἐκ τῆς ἐνεργείας αὐτῦ. τὸ γὰρ γεγεννημένον ἐκ τῦ πνός, πνᾶ ἐσι. τὸ δὲ δεσποτικὸν ἐκεῖνο καὶ ὑπερκόσμιον καὶ τὸν μέγαν Βασίλ: (λόγ: ε', κατ' Εὐνομίε, ὅτε δημιεργὸν τὸ Πνᾶ) σῶμα, ἔτε ἁπλῆ ἔτε ἀσώματος φύσις. (ὑπερκόσμιον δὲ εἴρηται διά τε τὴν ἄπορον σύλληψιν καὶ τὴν καθ' ὑπόςασιν τῦ Θεῦ λόγυ σέωσιν. ἐδὲ χῆ ὅλως καθ' ἑαυτὸ, ἐ δὲ τῇ τῦ Θεῦ λόγυ ὑπέρη ὑποςάσει ἀῤῥήτως.) Κἀντῶ, ἐγὼ ἐκ τῦ Θεῦ ἐξῆλθον καὶ ἥκω. Καὶ, ἐξῆλθον παρὰ τῦ Πρὸς καὶ ἐλήλυθα εἰς τὸν κόσμον. ἐχ σύτι δηλοῖ ἡ Ἐξ ἔφανὴ, ἀλλὰ τήν τε δι' ἡμᾶς ἐφ' ἡμᾶς τε καὶ ἐφ' ἡμῶν παρὰ τῦ Πρὸς ἀποςολώτε καὶ δόσοίαν, εἶτ' ἐν σαρκὸς φανέρωσιν, καὶ τὴν ἐκ τῆς ὐσίας καὶ τῆς τῦ Πρὸς ὑποςάσεως προαιώνιον καὶ σωμαϊδιον καὶ ὑπὲρ αἰτίαν ῥοώδοσιν, εἶτ' ἐν γενέσιν. Παρὰ ταῦτα λέγεται τὸ Ἔκτε καὶ λῆψιν. ὡς καὶ Εὔα ἐκ τῦ Ἀδάμ, καὶ Καθ' ὑλικὴν ἀποτομήν. ὡς φέρε, τοτὲ τὸ ὕδωρ ἐξ ἐκείνε τῦ ὕδατος. Καὶ ὡς ἐκ τῦ συγκειμένυ, ὡς ἐκ τῦ ὅλε τὸ μέρος, Καὶ τὸ ἀνάπαλιν, ὡς ἐκ τῦ μέρους τὸ εἶδος τὸ ὅλον. οἷον, ἐκ τῦ δίποδος ὁ ἐεισμὸς τῦ ἀνδ. τοιῦτο καὶ τὸ, ἐξ ὀνυχος τὸν λέοντα. καὶ ἐκ τῦ κραδὸς τὸ ὕφασμα. εἰ μή τις λέγοι τρόπον ἄλλον καὶ λόγον ἀναλογίας. Τὸ Ἔκτινος, πολλαχῶς. Ἢ γάρ τοι ὡς ἐξ ὁμυσίε καὶ συνωνύμως, ὡς φῶς ἐκ φωτὸς, Θεὸς ἀληθινὸς ἐκ Θεῦ ἀληθινῦ τε πρός. διχῶς μὲν τοιγε, ἢ καὶ τρόπον γεννήσεως, ὡς ὁ υἱός. ἢ κατὰ τρόπον ἐκπορεύσεως, ὡς τὸ πνᾶ. Ἢ ὡς ἐξ ἑτερυσίε καὶ ὁμανύμως, διχῶς δὲ καὶ ἄπως, ἢ τοι δημιεργικῶς, ἢ τεχνητῶς, ἐξ ὕλης δηλαδὴ τῷ μὲν, τῷ, δ', ἐ προῦπο-

προϋποκειμένης. ὡς τὰ πάντα ἐκ τοῦ θεοῦ. πολλαχῶς δὲ καὶ ταῦτα κατὰ τὴν τῶν βαθμῶν διαφορὰν, εἴτε ἀσώματα, καὶ ταῦτα διχῶς, ἢ οὐκ ἐν σώμασιν. ὡς ξυμβαίνει ταῖς ἀγγελικαῖς οὐσίαις, ἢ ἐν σώμασιν. ὅπερ συμβαίνει ταῖς λογικαῖς ψυχαῖς. εἴτε σώματα, συγκείμενα ἤτοι ἐξ ὕλης καὶ εἴδους, ὡς τάτε οὐνία καὶ τὰ δ', Στοιχεῖα. ἢ ἐκ τῶν δ', Στοιχείων. ὡς τὰ ὑπὸ Σελήνην. Παρὰ δὲ τοὺς δύω τούτους τρόπους εἰσὶ καὶ ἕτεροι δύω. Ἔκτινος γάρ τί ἐστι καὶ κατ' οἰκειότητα φύσεως, Ἢ ἀπαράλλακτον. καὶ τοῦτο διχῶς, Ἢ ὡς ἕτερον ἐξ ἑτέρου ὡς ἕν. καθ' ὃ εἴρηται παρὰ τῇ γραφῇ, ἀδελφός σου ἐστὶ καὶ ἐκ τῆς φύσεώς σου ἐστίν. οὐχ ὅτι ἐγεννήθη ἐκ σοῦ, ἀλλ' ὅτι ὁμοφυής σοί ἐστι, καὶ τῆς αὐτῆς σοι οὐσίας, καθ' ὃ σημαινόμενον καὶ οἱ θεῖοι Πρεῖς τὸ ἅγιον Πνεῦμα ἐκ τῆς οὐσίας τοῦ Πρὸς καὶ τοῦ Υἱοῦ εἶναι ἀποφαίνονται, τὴν πρὸς τὸν πρᾶ καὶ τὸν Υἱὸν συμφυΐαν τοῦ Πνεῦς παραστῆσαι ἐντεῦθεν βουλόμενοι, Ἢ ἐξ ἑνὸς οὐχ ἑτέρωθεν οὐχ ὡς ἕτερον. ὡς ὅτε ᾄδεται, ὡς ἐξ ἑνὸς ἡλίου (τῆς μιᾶς θεότητος) τριστολαμπὴς γάρ ἐστιν ἡ Τριάς. καὶ ὁ Θεολόγος, εἰς ἓν τὰ ἐξ αὐτοῦ τὴν ἀναφορὰν ἔχειν φησί. καὶ ὁ Μάξιμος προϋπομνηματισάμενος τὸν Θεολόγον εἰς τὸ, πρὸς ἓν τῶν ἐξ αὐτοῦ συνεύσεις, ἓν μὲν εἶναί φησι τὴν θεότητα, ἐξ αὐτοῦ δὲ τὰς τρεῖς ὑποστάσεις. Ἢ κατ' οἰκειότητα παρηλλαγμένην Ἔκτινός τί ἐστιν, ὡς τὸ, ὁ ὢν ἐκ τοῦ θεοῦ, τὰ ῥήματα τοῦ θεοῦ ἀκούει. καὶ, ὑμεῖς ἐκ τοῦ κόσμου οὐκ ἐστέ. καὶ, οὐκ ἦσαν ἐξ ἡμῶν. καὶ, ὁ δεύτερος ἄνος ἐξ οὐνοῦ. καὶ, ὑμεῖς ἐκ τοῦ πρὸς ὑμῶν τοῦ διαβόλου ἐστέ. Ἔστι δέ τι Ἔκτινος παρὰ ταῦτα, καὶ ὡς ἡ οὐσιῴδης ἰδιότης καὶ ἐνέργεια, ὡς τὸ Πνεῦμα ἐκ τοῦ Υἱοῦ κατὰ τὴν χορηγίαν. ὡς ὁ Κύριλλος ἔφη περὶ τοῦ πνεῦς, τὸ οὐσιῴδως ἐξ ἀμφοῖν ἤγουν ἐκ Πρὸς δι' Υἱοῦ προερχόμενον Πνεῦμα. καὶ ὅτι τὸ Πνεῦμα ὁ Υἱὸς ἐξ ἰδίας ἡμῖν ἀναπηγάζει φύσεως. προσθεὶς γὰρ τὸ ἡμῖν, συνιέναι δίδωσι τὸ χρονικὸν τῆς ἀναδόσεως. καὶ ὅτι ἐνέργεια καὶ δωρεά ἐστι τοῦ θείου Πνεῦς τὸ ἐκ Πρὸς καὶ Υἱοῦ πρὸς δὲ καὶ ἐξ αὐτοῦ τοῦ Πνεῦς πηγαζόμενον ἡμῖν. Λέγεται δέ τι ἔκτινος καθ' ὑποδοχὴν καὶ μὴ ἐν τῷ ἅμα. ὡς λέγομεν, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη τόδε τὸ πᾶν. Τῶν ἔκτινος αἰτίας γεγενημένων αὗται αἱ διαφοραί. Τὰ μὲν γὰρ ἐξ ὕλης ἐστὶ καὶ τέχνης, ὡς αἱ τῶν οἰκοδομημάτων καὶ τῶν λοιπῶν ἔργων κατασκευαὶ, διὰ τῆς καταλλήλου ὕλης γιγνόμεναι. Τὰ δὲ, ἐξ ὕλης καὶ φύσεως. τὰς γὰρ ἐξ ἀλλήλων γεννήσεις τῶν ζῴων ἡ φύσις οἰκοδομεῖ, διὰ τῆς ἐν τοῖς σώμασιν ὑλικῆς ὑποστάσεως τὸ ἑαυτῆς ἐνεργοῦσα. Τὰ δὲ, ἐξ ὑλικῆς ἀπορρόιας. ἐφ' ὧν καὶ τὸ προηγούμενον μένει, οἷόν ἐστι, καὶ τὸ ἀπ' ἐκείνου ῥέον, ἐφ' ἑαυτοῦ καθορᾶται. ὡς ἐπὶ τοῦ ἡλίου καὶ τῆς ἀκτῖνος. ἢ ἐπὶ τῆς λαμπάδος καὶ τῆς αὐγῆς. ἐπὶ τῶν ἀρωμάτων τε καὶ τῶν μύρων, καὶ τῆς ἐκεῖθεν ἐκδιδομένης ποιότητος. ταῦτα γὰρ ἐφ' ἑαυτῶν ἀμείωτα μένοντα, εὐθὺς ἔχει συμπαρομαρτοῦσαν ἕκαστον τὴν ἀπ' αὐτῶν ἐκδιδομένην φυσικὴν ἰδιότητα, ἐξ αὐτῶν καὶ μετ' αὐτῶν κατὰ ταὐτὸν νοουμένην. οἷον, ὁ μὲν ἥλιος, τὴν ἀκτῖνα. ἡ δὲ λαμπὰς, τὴν αὐγήν. τὰ δὲ ἀρώματα, τὴν τῷ ἀέρι ἐντικτομένην ἐξ αὐτῶν εὐωδίαν. Ἔστι καὶ ἕτερον εἶδος παρὰ ταῦτα γεννήσεως. οὗ ἡ μὲν αἰτία ἄϋλός ἐστι καὶ ἀσώματος, ἡ δὲ γέννησις αἰσθητή τε καὶ διὰ σωμάτων. λέγω δὲ τὸν ἐκ τοῦ νοῦ γεννώμενον (προφορικὸν) λόγον. ἀσώματος γὰρ ὢν καθ' ἑαυτὸν ὁ νοῦς, διὰ τῶν αἰσθητῶν ὀργάνων τίκτει τὸν λόγον. Πάντα δὲ ταῦτα τὰ τῆς γεννήσεως εἴδη, ἡ πρὸς τὸ ταπεινὸν τῆς ἡμετέρας δυνάμεως καταβαίνουσα θεόπνευστος διδασκαλία, πρὸς τὴν παράστασιν τῆς ἀρρήτου δυνάμεως παραλαμβάνουσα, οὐδόλως συμπαραδέχεται καὶ τὰς σωματικὰς τῶν

ὀνομάτων

Ἡ Ἐκ.

Ἡ αἰτίαν, καὶ ταύτην —
- Ἡ φυσικὴν καὶ οὐσιῶδη, καὶ ταύτην. —
  - ἢ τῆς ἐνεργείας, ὡς ἡ ἀκτὶς ἐκ τοῦ ἡλίου. ἡ αὐγὴ ἐκ τῆς λαμπάδος.
  - ἢ τῶν προσώπων. —
    - ἢ γεννητῶς. ὡς ὁ υἱός. —
    - ἢ ἀπορεπῶς, ὡς τὸ πνᾶ. —
    - ἐκ μόνου τοῦ Πρ̃ς.
- Ἡ ποιητικὴν, εἴτ' οὖν ἑτεροούσιον. ὡς τὰ πάντα ἐκ τοῦ θῦ, οὐκ ἐκ τῆς φύσεως, ἀλλ' ἐκ τῆς θελήσεως καὶ ἐνεργείας. ὁ ἀνδριὰς ἐκ τοῦ τεχνίτου. ἐκ τοῦ ὁρᾶν τὸ ἐρᾶν.
- Ἡ ὑλικὴν, ἐξ ὑάλου ὁ κύλιξ. ἐκ λίθου ὁ ἀνδριὰς. ἐκ τῆς πλευρᾶς τοῦ ἀδὰμ ἡ εὔα. ἐκ τοῦ ὅλου τὸ μέρος. ἐκ τῶν δ', (στοιχείων τὰ σώματα.
- Ἡ ὀργανικὴν. ἀπὸ τοῦ γράψαι ὠφέλησα.
- Ἡ τελικὴν. ἀπὸ ῥᾳθυμίας. ἀπὸ τίνος λυπῇ. ἀπὸ παραινέσεως ὁ μῦθος.

Ἡ ἀναίτιον οἰκειότητα φύσεως, καὶ ταύτην,
- Ἡ ἀπαράλλακτον εἴτ' οὖν ὁμοούσιον, καὶ —
  - ἢ ὡς ἕτερον ἐξ ἑτέρου ὡς ἓν. ὡς ἀπὸ τῆς οὐσίας τοῦ ἀδὰμ ὁ ἀβραάμ. ἑβραῖος ἐξ ἑβραίων (ὁ παῦλος.
  - ἢ ἐξ ἑνὸς οὐχ ἑτέρωθεν, οὐχ ὡς ἕτερον. ὡς ἐξ ἑνὸς ἡλίου τῆς μιᾶς θεότητος ἡ τρισσολαμ- (πὴς τριάς.
- Ἡ παρηλλαγμένην. ὡς τὸ ὁ ὢν ἀπὸ τοῦ θεοῦ τὰ ῥήματα τοῦ θεοῦ ἀκούει. ὁ β', ἀνὸς, ὁ κύριος ἐξ οὐνοῦ.

Ἡ τὴν ἀνεκφοιτήτως εἴτ' οὖν ἀμεταβάτως διὰ σαρκὸς ἐπιφάνειαν. κατελθόντα ἀπὸ τῶν οὐνῶν. κτ'.

Ἡ ἀναλογίαν, ὡς ἐξ ὄνυχος τὸν λέοντα. ἀπὸ τοῦ κρασπέδου τὸ ὕφασμα. ἐκ τοῦ μέρους τὸ ὅλον.

Ἡ τὸ μεθ' ὃ, εἴτ' οὖν τὸ ὑστερόλεγον. ἀπὸ πολέμου εἰρήνη.

Ἡ κίνησιν Κατὰ —
- Τόπον. ἐξ ἀθηνῶν.
- Χρόνον. ἐξ ὅτου. ἐξ ἀρχῆς οὐ γέγονεν οὕτω.
- Οὐσίαν, ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι, ἐξ ἀνοῦ εἰς στήλην ἁλός.
- Ποιὸν, ἐξ οἴνου ὄξος. ἀπὸ λευκοῦ μέλας.
- Ποσὸν, ἀπὸ μικροῦ μέγας.

Τὸ πόῤῥω τε καὶ ἔξω. —
- Τόπου ἀπὸ καπνοῦ τὸ σπηδάλιον.
- Προσώπου ἀπὸ ποδῶν φίλοι.
- Σκοποῦ, ἀπολεῖ τὴν νίκην ὁ ἀπαλαίων.

Ἡ στάσιν ἀντὶ τῆς ἐν. οἱ ἐκ τῆς πόλεως ἀθηναῖοι πανδημεῖ κατὰ γῆν ἀπήντων.

Ἡ τὸ μέσον —
- πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, τὸ αἷμα ἀπὸ φλεβὸς ῥεῖ. ἀπὸ μαστοῦ τὸ γάλα.

Ἡ τὸ κατά τι. —
- ἀπὸ θαλάττης, ὧν δέονται, ἐπάξονται.
- ἀπὸ δεξιῶν, ἐξ ἀριστερῶν.

„ Τὸ μέλει. ἀπὸ πώγωνος σοφοί.
Τὸ δίχα. ἐξ ἄλλων.
Τὸ εἰς εὐθύ. ἐξ ὑπανέστη. ἐξ ὑπαναδύς.

Ἕξιν. ὁ ἐξ ἀπορήτων

Στέρησιν. ὁ ἐξ ὀμμάτων.

Ἐπίτασιν. ἀπὸ πρεπὴς ὁ βασιλεύς.

Ὑπεροχὴν. ἀπὸ πάντων προτιμῶνται.

Πνεῦμα Πατρὶ μὲν καὶ Υἱῷ οὐχὶ ἐν εἶναι, συνεῖναι δὲ μᾶλλον εἰπεῖν εὐσεβέστερον. τῶν δὲ γενητῶν τοῖς ἀξίοις καὶ τῆς αὐτοῦ χάριτος δεκτικοῖς ἐνυπάρχειν λέγεται, κἂν αὐτοῖς πολλάκις διὰ τὸ ἑδραῖον τῆς περὶ τὸ καλὸν διαθέσεως ἡ ἀπ' αὐτοῦ χάρις διαρκὴς παραμένῃ. Κατὰ δὲ τὸν θεῖον Ἀθανάσιον, λόγῳ δ', καὶ ε', κατὰ ἀρειαν, τοὐναντίον. τὸ γὰρ, ἐγὼ ἐν τῷ Πρὶ καὶ ὁ Πὴρ ἐν ἐμοὶ, τὸ τῆς συναφείας ἀχώριστον ἐμφαίνει. οὐ γάρ φησιν, ἐγὼ σὺν τῷ Πρὶ, καὶ ὁ Πὴρ σὺν ἐμοί. Τὸ γὰρ ἐγὼ ἐν τῷ Πρὶ καὶ ὁ Πὴρ ἐν ἐμοὶ, οὐχ ὡς ἀντεμβιβαζόμενοι εἰς ἀλλήλους εἰσὶν, ὥσπερ ἐν ἀγγείοις κενοῖς ἐξ ἀλλήλων πληρουμένοις, ὥστε ἑκατέρους τὰ ἀλλήλων κοῖλα πληροῦν. σωμάτων γὰρ τοῦτό γε. ὁ δὲ Πὴρ πλήρης καὶ τέλειός ἐστι, καὶ πλήρωμα θεότητός ἐστιν ὁ Υἱός. ἀλλὰ τὸ κατ' οὐσίαν ταὐτὸν καὶ ἀχώριστον δηλοῖ. ἐγὼ γάρ φησι, καὶ ὁ Πὴρ ἕν ἐσμεν. ἡ γὰρ Σὺν, φησὶ, τὸ ἁπλῶς κεκολλῆσθαι δηλοῦσα, δυάδα οὐσίας εἰσάγει. Τινὲς μὲν οὖν τὴν τῶν εἰρημένων Πρῶν περὶ τὰς προκειμένας προθέσεις διαφωνίαν θεραπεύειν πειρώμενοι, φασὶν, ὡς ἐπὶ μὲν τῆς κτίσεως, τῶν μὲν, οὐσιῳδῶς, τῶν δὲ, ἐπουσιῳδῶς ἐνυπαρχόντων αὐτῇ, εἴη ἄν τις τάχα διαφορὰ τῆς Σὺν, πρὸς τὴν Ἐν. ἐπὶ δὲ τῆς ὑπερουσίου Τριάδος, τοῦ ἐπουσιῳδῶς μηδ' ὅλως ἔχοντος χώραν, οὐδεμία ἂν εἴη τῶν δυοῖν τούτων προθέσεων πρὸς ἀλλήλας διαφορὰ, τοῦ Υἱοῦ ἐν τῷ Πρὶ ὄντος καὶ σὺν αὐτῷ προσκυνουμένου. ταῦτα μὲν οὖν τινες, οὐ ξυνορῶσι δὲ πρὸς τῷ ἀθεραπεύτῳ καὶ αὐτοί γε οὗτοι τοῖς Πρᾶσιν ἀντιφθεγγόμενοι, τῶν προθέσεων τούτων πρὸς ἀλλήλας μηδεμίαν διαφορὰν εἶναι λέγοντες, ἔνθα πλείστην διαφορὰν οἱ Πρᾶς τιθέασι. Διαφέρει δὲ εἰπεῖν ὁ Υἱός ἐστιν ἐν τῷ Πρὶ, καὶ ὁ Υἱός ἐστι πρὸς τὸν Πρᾶ. εἴ γε δηλοῖ τὸ μὲν, τὸ κατ' οὐσίαν ἡνωμένον, τὸ δὲ, τὸ καθ' ὑπόστασιν διακεκριμένον. ἔνθεντοι καὶ οὐκ εἶπεν ὁ εὐαγγελιστὴς Ἰωάννης, καὶ ὁ λόγος ἦν ἐν τῷ Θεῷ, ἀλλὰ, πρὸς τὸν Θεόν. τὴν καθ' ὑπόστασιν αὐτοῦ ἀϊδιότητα ἐμφαίνων κατὰ τὸν θεῖον Χρυσόστμ. Ὅταν μὲν ἐφ' ἑνὸς προσώπου καὶ φύσεως, ἢ μιᾶς ὑποστάσεως βασανίζων ὁ λόγος τὰ ἐξ ὧν ἐστιν, ἤτοι σύγκειται φυσικῶς, ἐπιφέρῃ τὸ Σὺν, ἢ τὸ Μετὰ, τετήρηκε τῷ σημαινομένῳ καὶ οὕτω τὸ ἐν εἶναι μετὰ τὴν σύνθεσιν, καὶ οὐκ εἰς δύω διῃρημένως διοριεῖ. ὅταν δὲ προδιῃρημένων ὑποστάσεων εἰς δύω, καὶ πρός γε τὸ δεῖν ἀνὰ μέρος ἑκάτερον νοεῖσθαι καὶ ἰδικῶς, τὸ Σὺν, ἢ τὸ Μετὰ, λέγηται, τό τε δυοῖν, ἢ καὶ ἔτι πλειόνων αὐτὸ, καὶ οὐχ ἑνὸς κατὰ σύνθεσιν ποιεῖσθαί φαμεν τὴν δήλωσιν. οἷον, εἰ λέγοιμεν τυχὸν συντιμᾶσθαι τῷ ἰδίῳ σώματι τὴν τοῦ ἀνοῦ ψυχὴν, εἴ τις γένοιτο παρά του τιμὴ περὶ τὸν ἕνα ἄνον. ὅς ἐστιν ἐξ ἀμφοῖν. ἢ γοῦν εἴ τις λέγοι ἐν ζῷον εἶναι μετὰ τοῦ ἰδίου σώματος, οὐχὶ πάντως εἰς ἀνοῦς δύω διοριεῖ τὸν ἕνα, φαίνεται δὲ μᾶλλον οὐκ ἠγνοηκὼς τὰ ἐξ ὧν ἐστιν, ἤτοι συντέθειται φυσικῶς. οὕτω καὶ εἴ τις λέγοι, συνεδρεύει ὁ υἱὸς τῷ Πρὶ μετὰ τῆς ἰδίας σαρκός. ὅταν δὲ εἴπω, πέτρος τε καὶ ἰωάννης συγχρηματίζουσιν ἄνοι, ἢ ὅτι μετὰ πέτρου καὶ ἰωάννης ἀνέβαινον εἰς τὸ ἱερὸν, οὐκ ἔτι τὸ σὺν, ἢ τὸ μετὰ, τὴν ἑνὸς ποιεῖται δήλωσιν. οὐ γὰρ συντέθειται πέτρος ἰωάννῃ, ἀλλ' οὐ δὲ εἰς ἑνὸς ἀνθρώπου σύστασιν συντελοῦσιν ἀμφότεροι. (Κυρίλλου ἀπολογία εἰς τὴν τῶν ἀνατολικῶν πρὸς τὸν η', αὐτοῦ ἀναθεματισμὸν ἀντίρρησιν) Ἔτι ἡ Σὺν, ἀριθμητικῶν τινων ἐν συνθέσει προτασσομένη, ὑφ' ἓν ἀναγινώσκεται ἀττικῶς. οἷον, σύνδυω. σύν τρεις. σὺν τρεῖς δὲ εἰπεῖν, τῆς κοινῆς ἐστι φράσεως. οἱ δὲ κλαζομενεῖς ἀντὶ τοῦ εἰπεῖν πορεύσομαι εἰς ἀγῶνα, πορεύσομαι σὺν ἀγῶνί

γῶνί φασιν. ὡς καὶ Ἀντιφῶν, σὺν πρίδι βαίη, ἀντὶ τοῦ εἰς τὴν πρίδα πορευθείη.

Πρός.

Ἡ δὲ Πρὸς, γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ. Γενικῇ μὲν, Ὅταν τὴν ἀπὸ προσώπου σημαίνῃ Κίνησιν. πρὸς θεοῦ τἀγαθά. Ἢ τάσσηται ἐπὶ Ὅρκου. ἧκε πρὸς θεοῦ.

Οὐχὶ προστακτικὸν τὸ ἧκεν, ὁριστικὸν δέ. ἧκεν ἐκεῖνος, εἶτ' ἐπικυρῶν τὴν αὐτοῦ ἄφιξιν, καὶ ὅρκον προστίθησι, ναὶ μὰ τὸν θν' λέγων, ἧκε. προστακτικὸν δὲ τὸ, εἰπὲ πρὸς διός. ἀντὶ τοῦ ὀμνυμίσοι τὸν δία, εἰπέ. ἢ, δυσωπηθεὶς αὐτὸν, εἰπέ. σημείωσαι δὲ ὅτι καὶ ὅτε ὡς ἐν παρακλήσει φαμὲν πρὸς τῆς τριάδος, ἢ πρὸς τοῦ Θεοῦ, ἢ πρὸς τοῦ λόγου, ἢ πρὸς τῆς φιλίας αὐτῆς, ἢ ὅσα ἄλλα τοιαῦτα ἡ πρὸς, πρόθεσις καὶ ἐν τοῖς τοιούτοις ἐπὶ τοιαύτης τινὸς εἴληπται σημασίας, τῆς τοῦ ὅρκου φημί. ἀλλ' ἐπὶ μὲν δυσωπίας καὶ παρακλήσεως ἔχει ὑπακουόμενον ἔξωθεν τὸ δέομαι, ἢ παρακαλῶ, ἢ γουνάζομαι κατὰ τὸν βαθὺν Εὐστάθειον. καὶ ἔοικε τὸ τηνικαῦτα ἡ πρόθεσις ἀντὶ τῆς ὑπὲρ, κεῖσθαι, αἰτιολογοῦσα τὸ οὗ ἕνεκα. ἐπὶ δὲ ὅρκου οὐθὲν τοιοῦτο δοκεῖ ὑπακούεσθαι. διαφέρειν δέ φασιν ὅρκον ὁρκισμοῦ, ὅσα καὶ τὸ ὁρκομοττῶ τοῦ ὁρκίζω. εἴγε τῷ μὲν, μάρτυρα τῶν λεγομένων ἡμῖν τὸν θν' ἐφιστῶμεν, τῷ δὲ ὁρκισμῷ, ἄλλους εἰπεῖν ἢ πρᾶξαί τι τῷ τοῦ θεοῦ ὀνόματι καταδυσωποῦμεν. καὶ τὸν μὲν, δηλοῦσθαι ἐν τῷ, ἧκε πρὸς θεοῦ. τὸν δὲ ὁρκισμὸν ἐν τῷ, εἰπὲ πρὸς διός, καὶ ἁπλῶς ἐν τῇ πρὸς ἄλλους δυσωπίᾳ καὶ παρακλήσει. ἑκατέρων γεμὴν ὁ αὐτός ἐστι λόγος. ἔστι γὰρ ὅρκος, μετὰ θείας παραλήψεως φάσις ἀναπόδεικτος, τῷ καθ' ἑαυτὴν περιορισμῷ δίκην ἕρκους πᾶσαν ἀποκρουομένη ἀντιλογίαν. Ὁπηνίκα δ' εἴποι τις πρὸς καλῶν, ἢ πρὸς κακῶν εἶναί τι, ἑτεροῖόν τι ἐν τοῖς τοιούτοις ἐστὶ σημαινόμενον τῆς προθέσεως. Ἀλλοῖον δ' αὖ πάλιν ἐν τῷ πρὸς σοῦ εἰμι. ὥσπερ καὶ ἐν τῷ, πρὸς ἄλλης ἱστὸν ὑφαίνεις. ὅ φησί που ὅμηρος ἰλ, ζ'. ἀντὶ τοῦ ὑπ' ἄλλης, εἴτ' οὖν παρ' ἑτέρας τινὸς προστασσομένη, καὶ οὐ τὰ ἑαυτῆς ἔργα κομίζουσα. ὅ ἐστιν ἐπιμελουμένη, φροντίζουσα, οὐδ' ἑαυτῇ ταλασιουργοῦσα τὸ ὑφαινόμενον. Οἱ μέν τοι μεθ' ὅμηρον τὸ τοιοῦτο σχῆμα ἐπὶ ἑτεροίας ἐννοίας τιθέασιν, ὡς δηλοῖ τὸ πρὸς καλῶν, καὶ τὸ πρὸς κακῶν. ᾗ τινι, ἔοικέ πως καὶ τὸ πρὸς σοῦ εἰμι. οἷόν τι καὶ Πλάτων ἐν πρώταγ', Καλλίας μὲν δοκεῖμοι μάλα πρὸς πρωταγόρου εἶναι. καὶ Δημοσθ', πρὸς Πανταίνετον. ταῦτα δέ ἐστιν ἅπαντά φησι, πρὸς ἐμοῦ. ἀντὶ τοῦ ὑπὲρ ἐμοῦ. Τὸ δέ γε ἐπὶ δυσωπίας, οἷον, πρὸς τῶν λόγων, πρὸς τῆς φιλίας, καὶ ὅσα τοιαῦτα, παντελῶς ὡς εἴρηται, ἑτεροιοῦνται πρὸς τὰ εἰρημένα, τῆς προθέσεως τὸ τελικὸν μετὰ δυσωπίας καὶ ὅρκου, οὐμὴν καθ' ἑαυτὸ, ὡς ἐν τῷ, πρὸς σοῦ εἰμι, αἰτιολογούσης. Τὸ δὲ πρὸς θύμβρης, ἰλ, κ'. ὥσπερ καὶ τὸ πρὸς μὲν ἁλὸς κᾶρες, ἐλλειπτικῶς ἐρρέθη, ἵνα λέγῃ, πρὸς τῷ μέρει τῆς ἁλὸς, καὶ πρὸς τῷ μέρει τῆς θύμβρης, ἢ ἐγγὺς ἁλὸς καὶ ἐγγὺς θύμβρης τοπικῶς. ἄλλως γὰρ οὐκ εὔθετον συντάξαι αὐτὰ κατὰ τὸ πρὸς σοῦ εἰμι, καὶ τὰ τοιαῦτα, εἰμὴ ἄρα καὶ τοῦτο εἴληπται ἀντὶ τοῦ, ἐγγὺς σοῦ εἰμί. Οὕτω καὶ τὸ πρὸς βορέαο, καὶ πρὸς νότου, ὀδ', ν'. ἐλλέλειπται αἰτιατικῆς ἐκ γ'. τὸ γὰρ πλῆρες, πρὸς μέρος βορᾶ καὶ πρὸς μέρος νότου. οἷόν τι καὶ χρυσ' μ, ὁμλ', πέ. τοῦ κατὰ Ἰῶ. ὃ γὰρ οὐκ εἶδον οἱ μαθηταὶ, τοῦτο εἶδεν ἡ γυνὴ πρώτη, καθημένους ἀγγέλους, τὸν μὲν, πρὸς ποδῶν, τὸν δὲ, πρὸς κεφαλῆς. ἐν ᾧ ἡ πρόθεσις τὸ ἐγγὺς μᾶλλον σημαίνει, τοῦ εὐαγγελιστοῦ λέγοντος, θεωρεῖ δύω ἀγγέλους ἕνα πρὸς

τῇ κεφα-

τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσίν. εὕρηται δὲ καὶ τὸ οὗ ἕνεκα αἰτιολογοῦσα. Ἀριστοτέλης περὶ κόσμου. ταῦτα γὰρ πάντα ἔοικε πρὸς ἀγαθοῦ γιγνόμενα. ἤτοι ἐπ' ἀγαθῷ. Ἀρρειαν. βιβλ. ϛ', λόγιον γὰρ γεγονέναι σφίσιν ἐκ θεοῦ τοῦ βήλου, μὴ πρὸς ἀγαθοῦ οἱ εἶναι τὴν πάροδον τὴν ἐς βαβυλῶνα ἐν τῷ τότε. Βασίλειος εἰς τὸν μή, ψαλμ. ὄψει γὰρ τότε, ὅτι πρὸς καλοῦ γίνεται τῷ δικαίῳ ἡ πενία. Γαλήν: ἐν β', πρὸς Γλαῦκον. τὸ δ' ὑγρὸν μέλι ὡσανεὶ ἐπικείμενον θερμῷ σώματι, περιρρεῖ κύκλῳ, καὶ ξηρὰν ἀπολείπει τὴν ὀθόνην. ἤ τις οὐ μόνον οὐδὲν ὀνήνυσιν, ἀλλὰ καὶ πρὸς κακοῦ γίνεται τῷ κολληθησομένῳ δέρματι. ἐπὶ τοιαύτης οἶμαι ἐννοίας τιθέασι καὶ τὸ προειρημένον πρὸς καλῶν, ἢ πρὸς κακῶν εἶναί τι. Χρυσμ: ὁμλ: κζ', τῆς πρὸς ἑβρ. οὕτω καὶ νῦν ὁρᾷς τὰ αὐτὰ πράγματα τοῖς μὲν, πρὸς σρίας καὶ εὐδοκιμήσεως, τοῖς δὲ, πρὸς ἀπωλείας γινόμενα. Καὶ δοτικῇ δὲ ὡσαύτως. Χρυσμ: ἐν τῇ πρὸς ἐφεσ: κφ', δ', ὁμλ: ια'. διὰ τοῦτο χάρισμα ἔλαβες, ἵνα ἄλλους οἰκοδομῇς. ἐτίμησέ σε ὁ θ̄ς καὶ ἔταξεν, ὥστε καταρτίζειν ἕτερον. καὶ γὰρ καὶ ὁ ἀπόστολος πρὸς τούτῳ ἦν. καὶ ὁ προφήτης πρὸς τούτῳ ἦν προφητεύων. καὶ ὅρα πῶς τὸ ἵνα οἰκοδομῇς ἄλλους, καὶ τὸ ὥστε καταρτίζειν ἕτερον, τελικὰ ὄντα, εἰς τὸ πρὸς τούτῳ μετείληπται ταυτοδυνάμως. Ἐπὶ δὲ τῆς καθ' αἷμα ἀγχιστείας λαμβανομένη, ἀντὶ τῆς Κατὰ, κεῖται, τὸ φυσικὸν αἴτιον προσδιορίζουσα. Λουκιαν. ὁ πρὸς μρ̄ς θεῖος. Παυσαν: ἐν κορινθ: νηλῖδαι τὰ πρὸς μρ̄ς. καὶ Αἰσχίν: ἀπὸ νομάδων σκυθῶν τὸ πρὸς μρ̄ς γένος ὤν. ἀντὶ τοῦ τὸ κατὰ τὴν μρᾶ, ἢ τὸν πρᾶ. εἴγε πεφώραται λεγόμενον, ὁ ἄναρχος κατὰ τὸν Πρᾶ, ὁ ὀκταήμερος κατὰ τὴν Μρᾶ. παρὰ δὲ τῷ ναζιανζ: Γρηγορίῳ καὶ ἀντὶ τῆς Μετὰ, ἐν τῷ εἰς τὸν ἴδιον πρᾶ ἐπιταφ. ὥσπερ γὰρ πολλοὶ τῶν ὑμετέρων οὐ μεθ' ἡμῶν εἰσιν, οὓς ὁ βίος ἀλλοτριοῖ τοῦ κοινοῦ σώματος, οὕτω καὶ πολλοὶ τῶν ἔξωθεν πρὸς ἡμῶν, ὅσοι τῷ τρόπῳ τὴν πίστιν φθάνουσι. κατὰ γὰρ τὸ μεθ' ἡμῶν, καὶ τὸ πρὸς ἡμῶν. Ἐν δὲ τῷ, ζηνὸς δ' οὐκ οἶδ' ὅς τις ἁλώμενος ἵκετ' ἐμὸν δῶ, ἠὲ πρὸς ἠοίων, ἢ ἑσπερίων ἀνῶν. ὀδ: η̄, ταὐτόν ἐστι τῷ, ἐκ τῶν ἑῴων, κατ' ἐναλλαγὴν προθέσεων. Ἐν δὲ τῷ, οὐδ' ἐπιορκήσω πρὸς δαίμονος. ἰλ: τ̄, οἱ μὲν, φασὶν, ὅμοιον εἶναι τῷ, μὰ τὸν θν̄. οἱ δὲ, ἀντὶ τοῦ, ἔμπροσθεν θεοῦ. Τὸ δὲ πρὸς δαίμονα φωτὶ μάχεσθαι. ἰλ: ρ̄, ταὐτόν μέν ἐστι τῷ διὰ μέσου φωτὸς θεοφιλοῦς δαιμονομαχεῖν, στρυφνῶς δὲ καὶ συνεστραμμένως πέφρασται διὰ συντομίαν. βούλεται δὲ λέγειν, ὅτι ὁ μαχόμενος ἀνδρὶ, ὃν δαίμων τιμᾷ, εἰ καὶ δοκεῖ ἁπλῶς ἀνῷ μάχεσθαι, ἀλλ' ἀληθῶς διὰ μέσου τοῦ τοιούτου δαίμονι μάχεται.

Ἢ τὸ ἐναντίον δηλοῖ.

Ἤτοι τὸ ἐνώπιον.

Πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνῶν. Ἢ τὸ καθῆκον.

Τὸ πρέπον δηλ: ἢ καὶ τὸ ἴδιον.

Οὐ πρὸς ἰατροῦ σοφοῦ θροεῖν ἐπῳδάς.

Ὁ τῆς τραγῳδίας μαστιγοφόρος Αἴας παρὰ Σοφοκλεῖ, οὐ πρὸς ἰατροῦ σοφοῦ θροεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι. ἐπὶ γὰρ τραύματος τομῆς καὶ καυτῆρος δεομένου, ἐπιθροεῖν καὶ ἐπᾴδειν, τοῦτ' ἔστι μὴ πυρὶ καὶ σιδήρῳ, ἐπῳδαῖς δὲ χρῆσθαι τὸν ἰατρὸν, τοῦτο οὐ πρὸς ἰατροῦ, τοῦτ' ἔστιν οὐ καθήκει ἰατρῷ, εἴ τις τῶν ἐπιστημόνων εἴη. Θουκδ: ζ'. τὸ γὰρ ἀποκινδυνεύειν πρὸς ἀνοῦς ἀπονενοημένους, οὐ πρὸς ἐκείνων ἦν μᾶλλον ἔτι, ἢ πρὸς

τῶν ἀθη-

τῶν ἀθηναίων. κἀν τῇ γ', οὐ πρὸς τῆς ὑμετέρας δόξης, ὦ λακεδαιμόνιοι, τά δε. ἐγγὺς δέ τι τούτου καὶ τὸ, πρὸς τρόπου, ἢ πρὸς λόγου, ἢ πρὸς θυμοῦ εἶναί τί τινι. ἀντὶ τοῦ, κατὰ γνώμην, καὶ λόγον, καὶ θυμὸν, εἴτ' οὖν θέλησιν.

Δοτικῇ δὲ, ὅταν τὸ ἐγγύς τε καὶ παρακείμενον.

Ἐκ παραλλήλου κεῖται ἑκάτερα. οὕτω καὶ τὸ ἐπάνω καὶ περί τι, τὸ περί τι καὶ ἔν τινι, ἡ σχέσις τε καὶ ὁ λόγος. δοκεῖ γὰρ πολλαχοῦ τὰ ταυτόσημα παράλληλα τιθέναι, ὡς ἂν τῇ ἀμφοῖν παραλληλίᾳ τὸ ἀσαφὲς ἐκ τοῦ σαφοῦς διαγινώσκηται.

Οἷον, πρὸς τοῖς ποσίν.

Ἔνθεν πρόσφατον, τὸ ἐγγὺς καὶ νεωστὶ φατὸν, εἴτ' οὖν πεφονευμένον, ἐσφαγμένον. ἢ φανὲν καὶ δειχθὲν, ἢ λεχθέν. οὗ καθ' ὁμοιότητα καὶ ποταίνιον, τὸ νεωστὶ ῥηθὲν, κατὰ τὴν φάσιν καὶ τοῦ αἴνου ἐπὶ λόγου δυναμένου τίθεσθαι. ἐν δὲ τῷ, πρὸς τῷ προσεύχεσθαι καὶ τὸ νηστεύειν ἅπασαι, ἡ πρὸς, καὶ ἀντὶ τῆς σὺν, κειμένη, οὐδὲν ἧττον ἐγγύτητα δηλοῖ, (τῶν καθ' ὁ, τιοῦν ὁμοῦ συνερχομένων, καὶ ἐγγιζόντων ὁμολόγως ἀλλήλοις.) ὡς κἀν τῷ προσίσχειν καὶ προσελθεῖν. οὗ ἀνάπαλιν τὸ ἀπέχειν καὶ προελθεῖν. Καὶ ἐν οἷς δὲ τὴν τοῦ νοὸς περί τι ἀδολεσχίαν καὶ ἐπίστασιν εἴτ' οὖν προσοχὴν ὑπεμφαίνει, οὐδὲν ἀλλ' ἢ ἐγγύτητα δηλοῦσα φαίνεται. Πλάτ, ἐν φαίδρ, σιγὴ οὖν ἐγένετο, ταῦτα εἰπόντος τοῦ σωκράτους. καὶ αὐτός τε πρὸς τῷ εἰρημένῳ λόγῳ ἦν ὁ σωκράτης καὶ ἡμῶν οἱ πλεῖστοι. Στράβ, βιβλ: ε', ὡς δ' εἰπεῖν οἱ παλαιοὶ τοῦ κάλλους τῆς ῥώμης ὠλιγώρουν, πρὸς ἄλλοις μείζοσι καὶ ἀναγκαιοτέροις ὄντες. Πολύβ: ἐν γ'. ὁ δὲ Ἀνίβας ἐγίνετο πρὸς τῷ καταστρατηγεῖν τοὺς πολεμίους. τὸ γοῦν πρὸς τούτοις, εἰς τὸ περὶ ταῦτα μετειληφὼς ὁ αὐτὸς Πολύβιος φαίνεται. ὁ μὲν οὖν βασιλεὺς περὶ ταῦτα καὶ πρὸς τούτοις ἦν.

Αἰτιατικῇ δὲ, ὅταν κίνησιν πρὸς ἔμψυχον

Τὸ ἔμψυχον οὐ κἀπὶ τῶν φυτῶν ἐκληπτέον, ἢ τοῦ ζῴου ἁπλῶς. ἐπὶ δὲ μόνου τοῦ λογικοῦ. τοῦτο γὰρ καὶ μόνον ἐστὶ κυρίως ἔμψυχον.

Μάλιστά τι,

Οὐκ ἐν τῷ καθόλου, ἀλλ' ὡς ἐπιτοπολύ.

Καὶ ὡς ἄλλως δὴ εἴρηται.

Ἐν τῇ Εἰς: κἀπὶ καταφορᾶς δηλ: καὶ κατηγορίας. Θουκδ', α'. ἔταξαν ἅ, τε ἔδει παρέχειν τῶν πολεμίων χρήματα πρὸς τὸν βάρβαρον. ἀντὶ κατὰ τοῦ βαρβάρου. κἀν τῇ γ'. καὶ εἴκοσι μὲν ναυσὶ πρὸς τοὺς κερκυραίους ἐτάξαντο, ταῖς δὲ λοιπαῖς πρὸς τὰς δώδεκα ναῦς τῶν ἀθηναίων. οἷόν τι καὶ τὸ πρὸς κέντρα λακτίζειν. ἡ δ' αὐτὴ καὶ αἰτιολογεῖ ἔστι μὲν οὗ, τὸ Τελικόν. ὡς ἐν τῷ Σιμωνίδης πρὸς ἀργύριον διελέγετο. ἀντὶ τοῦ ἕνεκα, διὰ τὸ λαβεῖν δηλ: ἀργύριον. τοιοῦτο καὶ τὸ πρὸς χάριν λέγειν τι, ἢ ὁμιλεῖν. καὶ Θουκδ', α'. πρὸς γὰρ τὰς Παιδεράτου ἐπιστολὰς ὑπώπτευον αὐτόν. καὶ, δείσας πρὸς τὴν ἐναντίωσιν τῶν λεχθέντων. κἀν τῇ δ', μή τι πρὸς τὰ παρόντα νεωτερίσωσιν. Ἔστι δ' οὗ, τὸ Ποιητικόν. ὡς ἐν τῷ πρὸς ἔχθραν, ἢ πρὸς ὀργὴν λέγειν, ἢ πράττειν τι. ὁποῖόν τι καὶ τὸ ἐν τῷ περὶ παρθενίας Βασιλείου τοῦ μεγάλου. τῶν ἐν τοῖς διωγμοῖς εἰς ὕβριν ἐκδεδομένων παρθένων αἱ ἐπιχειρισθεῖσαι, μὴ συμπαθούσης πρὸς τὴν ἡδονὴν τῆς ψυχῆς, νεκρὰ καὶ τὰ σώματα ἐδόκουν ὑβρίζεσθαι, ἄφθορον τὴν ψυχὴν μὴ συμμορφουμένην τῇ τοῦ ὑβρίζοντος ἡδονῇ, τῷ νυμφίῳ λαμπρό-

λαμπρότερον ἐπιδείξασαι, οὔτε τὴν ψυχὴν πρὸς τὴν ἄρνησιν φθείρασαι, οὔτε τὰ σώματα, ἀνθ' ὧν οὐ συνεπάθησαν τῇ ἡδονῇ, καθόλου φθαρεῖσαι. τὸ γοῦν πρὸς ἡδονὴν καὶ πρὸς ἄρνησιν, κατὰ τὸ ἑξῆς τῇ ἡδονῇ ἐκλήπτεον, ἀντὶ τοῦ ὑπὸ τῆς ἡδονῆς καὶ ὑπὸ τῆς ἀρνήσεως. Καὶ ὁ νύσσ, ἐν τῷ περὶ τῆς τοῦ ἀνοῦ κατασκευῆς, κφ', ιή. ἐγὼ δὲ τὸ μὲν ἐπιταράσσεσθαι πολλάκις πρὸς τὰς τῶν παθῶν ἐπικρατήσεις τὸ διανοητικὸν τῆς ψυχῆς, καὶ ἀμβλύνεσθαι τῆς κατὰ φύσιν ἐνεργείας τὸν λογισμὸν ἔκ τινος σωματικῆς περιστάσεως, ἀληθὲς εἶναί φημι. ὅρα τὴν πρὸς, εἰς τὴν ἐκ, μεταληφθεῖσαν. Ἐπὶ δὲ συναλλαγμάτων τὸ ὀργανικὸν ἀντὶ τῆς διά. Θεόφρ, περὶ βαλσάμου, πωλεῖσθαι δὲ τὸ μὲν ἄκρατον δὶς πρὸς ἀργύριον. καὶ Ἀριστ'λ, ἐν γ', ἠθκ, ἕτοιμοι γὰρ οὗτοι (οἱ στρατιῶται) πρὸς τοὺς κινδύνους, καὶ τὸν βίον πρὸς μικρὰ κέρδη καταλλάττονται. καὶ ἐν α', πολτ, πολλὰ γὰρ ἔθνη τῶν βαρβάρων αὐτὰ τὰ χρήσιμα πρὸς ἄλλα καταλλάτονται, ἐπιπλέον δ' οὐδὲν, οἷον πρὸς σῖτον, διδόντες καὶ λαμβάνοντες. Τὸ πλησίον δὲ ἀντιπτωτικῶς, ὡς ἐν τῇ δωρικῇ παροιμίᾳ, κολοιὸς ποτὶ κολοιὸν ἰζάνει. καὶ ἀναφορὰν δὲ καὶ ἔπαινον, ὡς ἐν τῷ, γράφεται ὁ Φράστωρ Στέφανον τουτονὶ πρὸς τοὺς θεσμοθέτας. δημοσθ', κατὰ νεαίρας. Ἐπὶ δὲ χρονικοῦ ποσοῦ τὸ Ἔντινι δηλοῖ, ἢ τὸ Κατά τι. αἰσχίνης, ἅπαντα μὲν οὖν διεξελθεῖν, ἃ ἐν τούτῳ τῷ ἐνιαυτῷ ἐκακούργησε, πρὸς μικρὸν μέρος τῆς ἡμέρας, οὐκ ἄξιον ἐπιχειρεῖν. κατὰ γὰρ τὸ, ἐν τούτῳ τῷ ἐνιαυτῷ, καὶ τὸ, πρὸς μικρὸν μέρος τῆς ἡμέρας. τοιοῦτο καὶ τὸ, πρὸς τὸ παρὸν, ἀντὶ τοῦ ἐν τῷ παρόντι. ἢ καὶ ἀντὶ τοῦ κατὰ μικρὸν μέρος καὶ κατὰ τὸ παρόν. τῆς γὰρ κατὰ, μάλιστα τὸ ποσὸν χρονικὸν, ὡς εἴρηται, ἢ καὶ ἄλλο ὁ, τιοῦν προσορίζειν. ὅθεν κἀν τῷ, πρὸς δεξιὰ, πρὸς ἀριστερὰ, πρὸς ἀνίσχοντα, ἢ δυόμενον ἥλιον, ἀντὶ τῆς κατὰ, κεῖται, τὰ μέρη συνδιορίζουσα ἔνθα μὲν, τοῦ παντὸς, ἔνθα δὲ, τῆς κατὰ τόπον σχέσεως. ἐγγὺς δέ τι τούτων καὶ τὸ, ὁ οὖν σωκράτης συχνὸν χρόνον ἐπισχὼν, καὶ πρὸς ἑαυτόν τι σκεψάμενος. ἀντὶ τοῦ καθ' ἑαυτόν. οἷόν τι καὶ τὸ παρὰ τῷ Λουκᾷ, ὁ πέτρος ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. ἐν δὲ τῷ πρὸς ἀξίαν τιμᾶν, ἢ πρὸς ἀρετήν, ἀντὶ τῆς τὸ παραβαλλόμενόν τε καὶ ὅμοιον δηλούσης κατὰ, εἴληπται. ἐγγὺς δέ τι τούτου καὶ τὸ πρὸς ἔπος, πρὸς λόγον.

Ἔτι,

Τὸ, συντάσσεται αἰτιατικῇ, ἀπὸ κοινοῦ.

Ὅταν

Σημαίνῃ δηλ. ἀπὸ κοινοῦ γὰρ καὶ τοῦτο ἐπὶ πάντων τῶν διαζευκτικῶν.

Ἡ σχέσιν τινὰ καὶ λόγον. ὡς τὰ δύω πρὸς τὰ τέσσαρα, οὕτω καὶ τὰ τέσσαρα πρὸς τὰ ὀκτώ.

Ἡ σχέσις δύοιν τινων οὖσα πρὸς ἄλληλα ἀναφορὰ, θάτερον πρὸς θάτερον ἀναφέρουσα κατὰ τὸν Θεόδωρον, λέγεται μὲν κἀπὶ τῶν πρὸς ἕτερον λεγομένων ὀνομάτων τε καὶ ἐπιρρημάτων, πρὸς δὲ κἀπὶ τοῦ παρὰ τοῖς μαθηματικοῖς Λόγου. ἔστι δὲ λόγος παρ' αὐτοῖς, μεταξὺ δύοιν τινων Ὅρων εἴτ' οὖν πηλικοτήτων σχέσις, τοῦ ὀκτὼ φέρε πρὸς τὸν τέσσαρα, ἢ τοῦ τέσσαρα πρὸς τὸν δύω. Ὅροι μὲν γὰρ, οἱ ἀριθμοὶ, καὶ ἁπλῶς πᾶνθ' ὅσα τοῦ μείζονος δεκτικὰ καὶ τοῦ ἐλλάσσονος, καὶ ἐπιτάσεως καὶ ὑφέσεως. (οἷον, γραμμαὶ, ἐπιφάνειαι, σώματα, χρόνοι, κινήσεις, βάρη.) Λόγος δὲ, ἡ μεταξὺ τούτων σχέσις. ἔχει γὰρ τὸν διπλάσιον λόγον εἴτ' οὖν σχέσιν ὁ ὀκτὼ πρὸς τὸν τέσσαρα, καὶ ὁ τέσσαρα πρὸς τὸν δύω. καὶ τοιοῦτος μὲν ὁ Λόγος, ἕτερος ὢν παρὰ τὴν

παρὰ τὴν ἀναλογίαν. αὕτη γάρ ἐστιν ὁμοιότης τῶν τοιούτων λόγων καὶ εἰς τὸ αὐτὸ συναγωγή. οἷον, ὃν λόγον ἔχει ὁ ὀκτὼ πρὸς τὸν τέσσαρα, τοῦτον καὶ ὁ τέσσαρα πρὸς τὸν δύω. τὸν διπλάσιον γὰρ ἔχουσιν ἑκάτεροι ἐκ τοῦ μείζονος, ὥσπερ αὖ πάλιν τὸν ὑποδιπλάσιον ἐκ τοῦ ἐλλάττονος. οἷον, ὃν λόγον ἔχει ὁ δύω πρὸς τὸν τέσσαρα, τοῦτον καὶ ὁ δ', πρὸς τὸν η'. τὴν γοῦν σχέσιν ἐν ταῦθα καὶ τὸν λόγον ἐκ παραλλήλου ληπτέον, καὶ καθ' ὑστερολογίαν. οἷον, εἰ λόγον τινὰ καὶ σχέσιν. ἵν' ᾖ τὸ ἑπόμενον διασαφητικὸν τοῦ ἡγουμένου, καὶ ὡς εἰπεῖν τὸ σαφὲς τοῦ ἀσαφοῦς. σημαίνει γοῦν ἡ πρὸς, πρὸς τοῖς εἰρημένοις καὶ ἀναφοραὶ, ἤτοι σχετικὴν, ὡς προσεχῶς τε εἴρηται, καὶ ὡς ἐπὶ τοῦ ὁ πὴρ ἀναφέρεται πρὸς τὸν υἱόν, καὶ ὁ δοῦλος πρὸς τὸν δεσπότην. ἔνθεντοι καὶ πρός τι τὰ τοιαῦτα εἴρηται. ἢ παραθετικὴν εἰ τοῦν συγκριτικὴν, ὡς ἐν τῷ, τυφλὸς ὁ λυγγεὺς ὡς πρὸς σέ. ἢ ἄλλως κοινωνικήν τε καὶ μεταδοτικήν. ὡς ἐν τῷ, τί πρὸς ὑμᾶς, σὺ ὄψει. καὶ Δημοσθ', οὐδὲν τούτων πρὸς ἐμέ. καὶ ἄλλως τε οὐδὲ ὁ λόγος τῶν κατὰ ταῦτα πραχθέντων πρὸς ἐμέ. κἀν τῷ, τεκμήριον μὲν τῆς πρὸς ἡμᾶς φιλίας. Ἰσοκρ', πρὸς δημ, σχετικὴν ἀναφοραὶ σημαίνει ἡ πρόθεσις. εἴγε ἡ φιλία τῶν πρὸς ἕτερον ἀναφερομένων ἐστί. Καὶ ἀντὶ δὲ τῆς μετὰ, ὡς ἐν τῷ, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θν'. ὡς κἀν τῇ β', πρὸς κορθ', ς'. τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χῷ πρὸς βελίαρ; ἐπιφέρει γὰρ μεταλαβὼν τὴν πρὸς, εἰς τὴν μετὰ, ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων; ἔστι δὲ τὸ ἀποστολικὸν ἐν τελέστερον προαχθὲν ἑρμηνευτικὸν ὂν τοῦ προληφθέντος, τί πρὸς ἡμᾶς; καὶ τοῦ, τί ἐμοὶ καὶ σοὶ, γύναι;

Ἢ παράδειγμα. ᾄδει πρὸς αὐλόν.

Τὸ παράδειγμα παρὰ μὲν τοῖς ῥήτορσι πίστις ἐστὶ μερικοῦ τινος καὶ ἀμφισβητουμένου δι' ἑτέρου τινὸς γνωρίμου μερικοῦ καὶ αὐτοῦ. ἐν ταῦθα δὲ τὴν μίμησιν δηλοῦν βούλεται. ἤγουν καθ' ὁμοιότητα καὶ μίμησιν τοῦ κατὰ τὸν αὐλὸν ἤχου ὁ ᾄδων ᾄδει, τῇ ἐπιτάσει καὶ ἀνέσει καὶ μεσότητι τοῦ κατὰ τὸν αὐλὸν ψόφου τὴν ἰδίαν φωνὴν συνδιατιθέμενος, ὅ ἐστι συσχηματίζων, καὶ τῇ ἐκτάσει καὶ συστολῇ τῶν κατὰ τὸ κροῦμα ῥυθμῶν ὁ πρὸς λύραν ὀρχούμενος, συγκινούμενος.

Πρό.

Ἡ δὲ Πρὸ, ἀεὶ γενικῇ. πρὸ τῶν θυρῶν. πρὸ τοῦ χρόνου.

Τὸ Πρότερον σημαίνει ἤτοι χρονικῶς. ὡς τὸ ἐξανίστασο πρὸ μέθης. πρὸ δείλης ἑῴας. ἢ τοπικῶς, ὡς τὸ πρὸ τῶν θυρῶν ἕστηκε. τὸ δὲ Πρὸ ὁδοῦ γενέσθαι, ἀντὶ τοῦ καθ' ὁδὸν προκόψαι, ὅ ἐστι προοδεῦσαι περιφραστικῶς. ἰστέον δὲ ὅτι Πρὸ ὁδοῦ οἱ μεθ' ὅμηρον λέγουσιν, ὡς Παυσανίας δηλοῖ, τὸ ἀναγκαιότερον, καὶ ὡς εἰπεῖν πρὸ ἔργου. ὅθεν κἀν τῷ πρὸ ἔργου, τὸ ἀναγκαῖον δηλοῦσα, οὐθὲν ὅτι μὴ τὸ πρόσθεν ὑποσημαίνει. τὸ γὰρ ἀναγκαῖον ἔμπροσθεν τοῦ τυχόντος ἔργου ὁπωσοῦν τυγχάνει τιθέμενον ἤτοι χρόνῳ, ἢ τόπῳ, ἢ ἀξίᾳ, ἢ γνώσει. ὡς δοκεῖν ἐλλειπτικῶς ἁπανταχοῦ προενηνεγμένον εἶναι τὸ πρὸ ἔργου, ὡς κἀν τῷ περὶ μηνῶν προοιμίῳ τοῦ Θεοδώρου, πρὸ ἔργου μὲν καὶ τὸ τὰς ὀνομασίας εἰδέναι τῶν μηνῶν. ἀντὶ τοῦ, πρὸ τοῦ ἀνὰ χεῖρας ἔργου θετέον, καὶ περιφραστικῶς εἰπεῖν, ἀναγκαῖον τῷ γραμματικῷ, ὥσπερ τὸ περὶ συντάξεως, οὕτω τοι καὶ τὸ εἰδέναι τὰς τῶν μηνῶν ὀνομασίας καὶ τὴν κατ' αὐτοὺς τάξιν. δηλοῖ δέποτε καὶ τὸ Μᾶλλον, ὡς τὸ νοῦν τεθαυμακέναι πρὸ σώματος. καὶ προασπισμὸν καὶ προστασίαν ἀντὶ τῆς Ὑπὲρ, οὐ μᾶλλον αἰτι-

λον αἰτιολογοῦσα τὸ οὗ ἕνεκα, ἢ ἑαυτῆς οὖσα. ὡς τὸ, πρὸ παίδων, πρὸ γυναικός. καὶ τοῦ λαοῦ προθυόμενος. Ἡρόδ, ἡ. τί δὴ οὐ πρὸ μὲν τῶν ἑλλήνων ὑμεῖς, πρὸ δὲ τῶν βαρβάρων ἡμεῖς ἴσοι πρὸς ἴσους ἀριθμὸν ἐμαχεσάμεθα; οἵτε γάρ τινος προαστίζοντες, καὶ οἱ τὴν θυσίαν ἀναφέροντες, δῆλον ὡς ἔμπροσθεν ἵστανται ἑκάτεροι, οἱ μὲν, τοῦ λαοῦ, οἱ δὲ, τοῦ οὗ προΐστανται. Τὸ Οὗ ἕνεκα δὲ ἐν τῷ Δημοσθένους ὀλυνθ: δ', προπέποται τῆς παραυτίκα ἡδονῆς τὰ τῆς πόλεως πράγματα. Καὶ Ἐπίτασιν ἀντὶ τῆς ὑπέρ. ὡς ἐν τῷ πρόφρων. ἐν δὲ τῷ, οἱ κατηχούμενοι προέλθετε, οὐ μᾶλλον τὸ ἔξω, ἢ χρόνον δηλοῖ, τοὺς κατηχουμένους πρὸ τῶν πιστῶν ἐξελθεῖν ἀξιοῦσα. Καὶ ἀντὶ τῆς διὰ, ἢ τῆς ἀντί. Θουκυδ', α'. ἣν ὑμεῖς ἂν πρὸ πολλῶν χρημάτων ἐτιμήσατε. ληφθέντος τοῦ ῥήματος ἀνταλλαγματικῶς. εἰ δέ γε σεπτικῶς εἴη ληφθὲν, ἀντὶ τοῦ μᾶλλον.

Ἀνά.

Ἡ δὲ Ἀνὰ, ἀεὶ Αἰτιατικῇ.

Ἐν γὰρ τῷ, ἀνὰ μέσον τῶν ὀρέων, ἡ γενικὴ οὐκ ἔστι προθετικὴ, τοῦ δὲ τοπικοῦ ἐπιρρήματος.

Ἀνά τ' ἔντεα καὶ μέλαν αἷμα.

Δηλοῖ δὲ τὸ Μέσον, τοῦτ' ἔστι τὸ μεταξύ. εἰ γὰρ ὅμηρος τὸ μέσον αἰτιατικῇ συντάττει, ὡς ἐν τῇ διὰ, εἰρήσεται. οἷον, διά τ' ἔντεα, τῷ δ' αὐτῷ παραδείγματι συντέτακται καὶ ἡ ἀνὰ, καὶ αὐτὴ ἄρα τὸ μέσον σημαίνει. καὶ ἀντὶ δὲ τῆς Κατὰ, ποσόν τι προσδιορίζουσα ἤτοι χρονικὸν, ἀνὰ πέμπτον ἔτος ὁ ὀλυμπιάσιν ἀγὼν ἐτελεῖτο. ἢ ἀποτιμητικόν. ἔλαβον ἀνὰ δηνάριον. τῆς αὐτῆς ἐκδοχῆς ἐστι καὶ τὸ, τέσσαρές εἰσιν ἀγῶνες ἀν' ἑλλάδα. κατὰ γὰρ δηλαδὴ τὴν τῶν ἑλλήνων, οὐ τὴν τῶν βαρβάρων, τοῦ τόπου κἀνταῦθα προσδιοριζομένου. οἱ γὰρ ἀττικοὶ τὴν ἀνὰ, ἀντὶ τῆς κατὰ, παραλαμβάνουσιν, ὡς κἀντῷ ἀν' ἰθύν. ἀντὶ ἐπ' εὐθείας κατὰ τὴν ὁρμὴν καὶ φορὰν τοῦ πολέμου. παρὰ δὲ τῷ ποιητῇ ἰσοδυναμοῦσα μὲν τῇ κατὰ, αἰτιατικῇ συντάσσεται. ἑαυτῆς δ' οὖσα, καὶ τὴν ἄνω σχέσιν δηλοῦσα, ποτὲ μὲν, δοτικῇ, ποτὲ δὲ, αἰτιατικῇ. ἐν δὲ τῷ, χρυσέῳ ἀνὰ σκήπτρῳ. ἰλ: α, οἱ μὲν, ἀντὶ τῆς σὺν, ἔλαβον τὴν πρόθεσιν δωρικῶς, ὡς καὶ Πίνδαρ: χρυσέαις ἀν' ἵπποις. οἱ δὲ, ἀντὶ τοῦ ἄνω, ἵνα νοῆται τὸ στέμμα ἐξαρτᾶσθαι τοῦ σκήπτρου. ἐν δὲ συνθέσει δηλοῖ Δευτέρωσίν τινα, καὶ ἁπλῶς τὸ πολλάκις, καὶ ὡς εἰπεῖν, πάλιν καὶ πάλιν. ἔστι γὰρ καὶ τοιοῦτο σημαινόμενον τῆς ἀνὰ, προθέσεως. ὡς ἡ ἀνάκρισις δηλοῖ, καὶ ὁ ἀναβαπτισμὸς, καὶ τὰ τοιαῦτα. ὡς καὶ τὸ, ἀναπλήσας κακὰ πολλά. ὁ γὰρ ἐκπληρώσας ἓν κακὸν, εἶτα πάλιν ἕτερον, καὶ αὖθις ἄλλο, κυρίως ἂν λέγοιτο ἀναπλῆσαι πολλὰ κακὰ, κατὰ τὸν ποιητήν. ἰλ, ο. οὕτω καὶ ἀνερωτᾶν, τὸ πολλάκις ἐρωτᾶν. καὶ τὸ ἀναμάχεσθαι, τὸ πάλιν μάχεσθαι. καὶ ἀνηβῆσαι, καὶ ἀναδάσασθαι, καὶ ποιητικώτερον ἄμπαλος ὁ ἐκδευτέρου κλῆρος. καὶ τὸ ἀνακτήσασθαι τὸ πάλιν κτήσασθαι. καὶ ἀναβάλλεσθαι, τὸ ὑπερτίθεσθαι. καὶ ἀνάδικα, τὰ δὶς κριθέντα. ὡς τὸ, ἀνάδικα τὰ δεδικασμένα ποιῶν, αἰσχροκερδείας ἡττώμενος. καὶ Ἐπίτασιν. ὡς τὸ ἀναδιδάξαι, ἀντὶ τοῦ πάνυ διδάξαι. δηλοῖ δέ ποτε καὶ τὸ Ὀπίσω, ὡς ἡ ἀναστροφὴ δείκνυσι. καὶ τὴν ἐξ ὑστέρου ἐπάνοδον. ὡς ἐπὶ τοῦ ἀνακάμπτω. Τὸ δὲ ἀνεβάλλετο καλὸν ἀείδειν, ἤτοι ἀνενέγκατο καὶ ἀνεφύσησε. καὶ Ὁμοίωσιν δέ. ἐν τῷ ἀναλογίᾳ, κἀν τῷ ἀνάλογον, ἐν οἷς ὡς εἴρηται δυοῖν λόγων εἴτ' οὖν σχέσεων ὁμοιότης δηλοῦται.

Κατά.

Ἡ δὲ Κατὰ, γενικῇ καὶ αἰτιατικῇ. Γενικῇ μὲν, ἐπὶ καταφορᾶς καὶ κατηγορίας.

Καταφορὰ καὶ καταφορικὸς λόγος, ἡ ἐν κατηγορίᾳ τάσις, ὡς εἴρηται.

Κατὰ αἰσχίνου λόγος.

Κατὰ σπλάγχνων ὠθεῖ τὸ ξίφος. κατὰ κόρης παίει.

Καὶ ὅταν τὸ Ἐπάνω καὶ περί τι, ἢ περί του δηλοῖ. κατὰ γῆς κάθημαι. κατ' ἀνοῦ τὸ ζῷον.

Ἡ κατὰ, ᾧδε δύω ἐννοίας, εἴτ' οὖν σημασίας δηλοῖ, ἑτεροδυνάμους μὲν, ὥς φασί τινες, εἴτ' οὖν διαφόρους ἐν τῇ τοῦ περί τι πρὸς τὸ ἐπάνω συμπλοκῇ, ταυτοδυνάμους δὲ, ἐν τῇ τοῦ περί του πρὸς μόνον τὸ περί τι διαζεύξει. δηλοῦντος τοῦ Θεοδώρου διὰ μὲν τοῦ ἐπάνω, αὐτὴν τὴν κατὰ τόπον σχέσιν. ὡς ἐν τῷ κατὰ γῆς κάθημαι. διὰ δὲ τοῦ περί τι, τὸ οἷον ὑλικῶς ὑποκείμενον, περὶ οὗ ὁ λόγος. ὡς ἐν τῷ κατ' ἀνοῦ τὸ ζῷον. τὸ δ' αὐτὸ καὶ διὰ τοῦ διεζευγμένου περί του, ὡς δηλοῖ καὶ ὁ φίφος, τὴν κατὰ, εἰς τὴν περὶ, μετειληφὼς ἔν τε τῷ α', τῶν τοπικ. ἀνάγκη γάρ φησι, τὸ περί τινος κατηγορούμενον, ἤτοι ἀντικατηγορεῖσθαι τοῦ πράγματος, ἢ μή. κἂν τῷ ς', οὐκ ἔστι δὲ τὸ δὶς φθέγξασθαι ταὐτὸν ὄνομα τῶν ἀτόπων, ἀλλὰ τὸ πλεονάκις περί τινων τὸ αὐτὸ κατηγορεῖσθαι. Ἀλλὰ γὰρ ὅπως τὰ μὲν ἑτεροδύναμα, συνῆπται. τὰ δὲ ταυτοδύναμα, διέζευκται; ἐκεῖνοι λεγόντων, οἷς φίλον τὰ σφίσι παρισάμενα λέγειν. τί γὰρ ὅτι τῷ μὲν ἐπάνω τὸ περί τι ἑτεροδύναμον κατ' αὐτοὺς ὂν, συνῆπται, τοῦ δὲ περί τι τὸ περί του ταυτοδύναμον ὂν, διέζευκται; οὐδαμοῦ γὰρ ὁ Θεόδωρος φαίνεται ἐπὶ τῶν προθέσεων ἢ συμπλέκων τὰ ἑτεροδύναμα, ἢ διαιρῶν τὰ ταυτοδύναμα τῶν σημαινομένων. ἀλλ' ἐκείνοις μὲν τοσοῦτον τοῦ λέγειν περίεστιν, ἐμοὶ γέ τοι, ὥσπερ ἑξῆς ἔν τε τῇ κατ' αἰτιατικὴν τῆς προκειμένης προθέσεως συντάξει, κἂν τῇ ἐπὶ, τὸ περί τι ταυτοδυνάμως καὶ ἐκ παραλλήλου τῷ ᾧ συνῆπται ἔν τινι, ἐξείληπται, οὕτω κἀνταῦθα μηθέν τι ἑτεροῖον δοκεῖ δηλοῦν τοῦ ἐπάνω, ἤτοι ἐκ περιουσίας, ἢ ὡς εἴρηται ἐκ παραλλήλου τῷ ἐπάνω προσκείμενον. καὶ γὰρ τὸ περί τι, ἑαυτοῦ ὂν, τὸ κύκλω δηλοῖ. τῆς δὲ κυκλικῆς περιφερείας πᾶν ὁ, τιοῦν μέρος τῇ πρὸς τὸ κέντρον ἀναφορᾷ τὴν ἄνω σχέσιν ἔχειν λέγεται. τοῦ δὴ περί τι τῷ ᾧ συνῆπται ἐπάνω, ταυτοδυναμοῦντος διὰ τὴν συνάφειαν, δῆλον ὡς τὸ διεζευγμένον περί του, οὐχὶ πρὸς θάτερον μόνον, πρὸς δὲ ἑκάτερον τῶν συνημμένων ἀντιδιῄρηται. ὡς εἶναι τὸ συμφραζόμενον, τοιοῦτον, ἀναπτυσσόμενον. ἡ κατὰ, γενικῇ, δηλοῖ ἤτοι τὸ ἐπάνω καὶ περί τι, οἷον, κατὰ γῆς κάθημαι, ἢ τούτων μὲν οὐδέτερον, τὸ περί του δέ. οἷον, κατ' ἀνοῦ τὸ ζῷον. εἰ δὲ ἐν τῇ ἐπὶ, τὸ ἐπάνω τῷ περί τι ἀντιδιῄρηται. (ἢ γάρ τοι τὸ περί τι καὶ ἔν τινί φησιν, οἷον, ἐπὶ πολλῶν μάθοι τις ἂν τὰ λεγόμενα. ἢ τὸ ἐπάνω, τὰ τετράποδα ἐπὶ γῆς.) ἀλλὰ γὰρ τὸ περί τι τῷ ἐπάνω ἐκεῖ μὲν ἀντιδιῄρηται, ὡς ταυτοδυναμοῦν τῷ ἔν τινι, τῷ δὲ ἔν τινι ἀναντίον τὸ ἐπάνω. ᾧδε δὲ συνηνέχθη διὰ τὴν ἀμφοῖν ταυτοδυναμίαν. ἅπαξ γὰρ εἴρηται τὴν τοῦ περί τι δύναμιν εἰς τὴν τοῦ ᾧ συνῆπται σημασίαν μεταπίπτειν. Τὸ δὲ περί του, βούλεται ἔστι μὲν οὗ, τὸ ὡς εἴρηται οἷον ὑλικὸν ὑποκείμενον, περὶ οὗ, ταὐτὸν εἰπεῖν καθ' οὗ λέγεται τὸ κατηγορούμενον. οἷον, κατ' ἀνοῦ τὸ ζῷον. ἔστι δ' οὗ, τὸ οὗ ἕνεκα, ὡς ἐν τῷ, κατὰ τῶν ἀγωνιζομένων οὐ τῶν ἄνω καθεζομένων οἱ στέφανοι.

φανοι. Γρηγό, στηλιτ, ά. καὶ Δημοσθ', ὅπερ μέγιστόν ἐστι καθ' ἡμῶν ἐγκώμιον. καὶ Αἰσχίν, πολυς δὲ ἔπαινος ἦν καὶ τῆς ὑμετέρας πόλεως, ἔνθα καὶ οὐκ ἔστιν ἑαυτῆς ἡ καὶ, ἀντὶ δὲ τῆς ὑπὲρ, ἢ τῆς περὶ, εἴληπται. Ἡ καὶ, γενικῇ, ἔτι καὶ τὸ Καθ' ὅ, εἴτ' οὖν τὸ Κατά τι, ἀντιπτωτικῶς. κατὰ νώτου βοηθοῦντας. Θουκδ', ά. ἀντὶ τοῦ κατὰ νῶτον.

Τὸ δὲ κατ' οὐλύμποιο καρήνων, ἀντὶ τοῦ ἀπό.

Ὀδ, καὶ ἰλ, ᾶ. τὸ σχῆμα ὑπερβατὸν, ἀντὶ τοῦ, βῆ δὲ κατὰ καρήνων ὀλύμπου. ὅ ἐστιν ἀπὸ τῶν κορυφῶν, παρὰ τὴν κοινὴν συνήθειαν. ὡς καὶ τὸ, οἱ δ' εἰς ἅπαντες νῆαν μίαν ἔβησαν. ἐκ τούτου εἴληπται καὶ τοῖς ὕστερον τὸ κατ' ἄλλος ἄλλο μέρος. καὶ, τὴν αὐτὸς ἐμαυτοῦ τύχην, καὶ ὅσα τοιαῦτα. μετὰ γενικῆς ἔτι καὶ τὸ ἔντινι. ὡς τὸ καθ' ᾅδου ἐστίν. ἢ κίνησιν ἔνθα μὲν, τὴν ἀπότου, ὡς ἐπὶ τοῦ προληφθέντος ὁμηρικοῦ. ἔνθα δὲ τὴν εἴς τι, κατὰ τὸ κάτω. ὡς ἐν τῷ, φέρεταί τις κατὰ κρημνῶν. κατ' ἠλιβάτων ῥίπτει ἑαυτόν. Ὅτι δὲ καὶ μετὰ αἰτιατικῆς δύναται ἐπὶ τῶν τοιούτων συνταχθῆναι ἡ πρόθεσις τὸ καθ' ὃ σημαίνουσα, δηλοῖ τὸ, ἢ κατὰ τηΐγετον, ἢ ἐρίμανθον. τὰ δὲ τῆς ἠρεμίας, ἢ τῆς κινήσεως ἐκ τῶν ταῖς προθέσεσι προσκειμένων ῥημάτων διακριτέον. κἀπὶ Ὅρκου δέπου κεῖσθαι δοκεῖ. οἱ δὲ, κατὰ κυνῶν καὶ χηνῶν καὶ πλατάνων ἐπώμνυντο. οἷόν τι καὶ τὸ κατ' ἐμαυτοῦ ὤμοσα, λέγει Κς. καὶ τὸ, ἄνοι μὲν κατὰ τοῦ μείζονος ὀμνύουσιν, ὁ δὲ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ. δηλοῖ δὲ μᾶλλον τὸ ἐπάνω καὶ περί τι, ὡς κἀν τῷ, κατὰ γῆς κάθημαι. ὁ γὰρ ὅρκος οὐχὶ τῆς προθετοπτώτου παραθέσεώς ἐστιν, ἀλλὰ τοῦ ῥήματος ἰδίως, πρὸς ὃ οὐδὲν κοινὸν ἔχει ἡ πρόθεσις.

Αἰτιατικῇ δὲ, ὅταν τὸ Παραβαλλόμενόν τε καὶ ὅμοιον, οἷον, καθ' ὅμηρον.

Ὅτε δύω τινὰ πρὸς ἄλληλα παραβαλλόμενα, ἐξομοιοῦνται περί τι, τότε λέγομεν, τοῦτο κατ' ἐκεῖνο γεγονέναι, τοῦτ' ἔστιν ὅμοιον ἐκείνῳ. τούτου δ' ἂν εἴη τοῦ τόπου καὶ τὸ καὶ δύναμιν λέγειν. κατ' ἀξίαν ἀποδιδόναι. Διαφέρει δὲ τὸ κατὰ λόγον τοῦ μετὰ λόγου. καὶ λόγον γάρ τις ποιεῖ τι, καὶ ἑτέρου κινοῦντος καὶ τὸ τέλος σκοποῦντος, ὥσπερ ἡ φύσις καὶ λόγον ποιεῖ, μετὰ λόγου δὲ, ὅταν αὐτὸς εἰδὼς, πράττῃ, καὶ τὸ τέλος σκοπῶν, κατὰ λόγον ποιεῖ. ὥστε τῷ μὲν μετὰ λόγου, ἔνεστι καὶ τὸ κατὰ λόγον, τῷ δὲ κατὰ λόγον, τὸ μετὰ λόγου οὐ πάντως.

Καὶ καὶ νοῦν προχωρεῖ.

Ὅ ἐστι κατὰ τὴν θέλησιν. συνῳδὰ δηλ: τῇ γνώμῃ. καὶ οἷον εἰπεῖν, ὥσπερ ὁ νοῦς ἤθελεν. ᾧ ἀντίκειται τὸ ἐν τῇ παρὰ, ῥηθησόμενον. οἷον, παρὰ γνώμην συμβαίνει.

Ἢ τὸ περί τι καὶ ἔντινι. καθ' ὁδὸν ταῦτα ἐποίουν. καὶ, ἔμενον κατὰ χώραν.

Ὅρα τὸ περί τι καὶ ἔντινι ταυτοδυνάμως εἰλημμένα ἑκάτερα. τοὺς γὰρ παρὰ τὸ μὴ ἐν, δύω δὲ κεῖσθαι τὰ παραδείγματα, διαφορὰν πειρωμένους τιθέναι τοῦ περί τι πρὸς τὸ ἔντινι, ἀπελέγχει τρανῶς ἐν τῇ ἐπὶ, ὁ Θεόδωρος, ὁμοῦ ἑκάτερα ἐφ' ἑνὸς εἰληφὼς καὶ τοῦ αὐτοῦ παραδείγματος. τὸ δὲ περί τι καὶ ἔντινι ᾧδε οὐθὲν ἀλλ' ἢ προσδιορισμὸν δηλοῦν βούλεται. ὡς εἶναι τούτου τοῦ τόπου τὴν κατὰ, μετὰ αἰτιατικῆς τὸ κατά τι δηλοῦσαν. εἴτ' οὖν τὸ μέρος. ὡς ἐπὶ τῆς συνεκδοχικῆς τοῦ ὀνόματος συντάξεως εἴρηται. κἀν τῷ γ', τόπῳ τοῦ β', ἐλλειπτικοῦ τῶν ῥημάτων εἴδους

των εἴδους καὶ ὅλως ἐν τῷ διαβατικῷ, εἴτ' οὖν ἐπιβατικῷ εἴδει τοῦ ῥήματος. ἐφ' οἷς ἰστέον ὡς κἀπὶ τῶν ἄλλων μὲν ἁπλῶς ἐπιστήσαντι, τὸ κατά τι, ἐστὶν εὑρεῖν προσυπακουόμενον. καὶ γὰρ καὶ ὁ κατὰ γῆς καθήμενος, πῇ καθήμενός ἐστιν, ὅ ἐστιν ἐν μέρει τῆς γῆς. καὶ ὁ ἐν ἀγορᾷ, πῇ διατρίβει. καὶ ὁ ἐκ τόπου εἰς τόπον, πῇ κεκίνηται. ἀλλ' αἱ μὲν, πρὸς τῷ πῇ καί τι ἐπικρατέστερον ἕτερον δηλοῦσιν, ἡ μὲν, τὸ ἐπάνω. ἡ δὲ, τὸ ἔντινι. ἡ δὲ, κίνησιν. ἡ δὲ τὸ κατά τι μετὰ αἰτιατικῆς δηλοῦσα κατὰ, αὐτὸ καθ' ἑαυτὸ σημαίνει τὸ πῇ, μηθὲν ἕτερον συνυπακουόμενον ἔχουσα. Τούτου ἐστὶ τοῦ τόπου καὶ τὸ ἀνωτέρῳ ἐν τῇ γενικῇ εἰρημένον, ἢ κατὰ τηΐγετον, ἢ ἐρίμανθον. καὶ θουκδ', α', ἐπορεύοντο κατὰ γῆν πρὸς ποτίδαιαν. καὶ Ηρόδ, ε'. ἀπέπεμψαν ἐπὶ τὰς ἀθήνας κλεομένεα, οὐκ ἔτι κατὰ θάλασσαν στείλαντες, ἀλλὰ κατὰ τὴν ἤπειρον. ὅλως γὰρ εἰπεῖν, ὁ τοῦ πῇ, εἴτ' οὖν τοῦ μέρους προσδιορισμὸς τῆς κατὰ, τυγχάνει μετὰ αἰτιατικῆς. εἴγε τῆς ἁπλῶς πορείας ἡ μέν τίς ἐστι κατὰ γῆν, ἡ δὲ κατὰ, θάλλασσαν. τοιαύτης ἐστὶν ἐκδοχῆς κἀν τῷ, οἷς κατ' ὀφθαλμοὺς Ις Χς προεγράφη ἐν ὑμῖν ἐστρωμένος. κἀν τῷ, κατὰ πρόσωπον. κἀν τῷ, καθ' αὑτὸ, κατὰ συμβεβηκός. διορίζουσα ἔνθα μὲν, τὴν τοπικὴν θέσιν ἔνθα δὲ, τὸ ὅπως, εἴτ' οὖν τὸν τρόπον. τὸ δ' αὐτὸ κατά τι κἀν τῷ, καθ' ἑαυτὸν ἐμελέτα τὴν προδοσίαν, κατ' ἐνιαυτὸν, κατὰ δήμους, κατὰ ἔθνη. ἁπανταχοῦ γὰρ ἐπὶ τῶν τοιούτων οὐδὲν, ὅτι μὴ τὸ ἀόριστον προσδιορίζει, τὸ ἁπλῶς εἰς τὸ πῇ μεταλαμβάνουσα. τοιοῦτό τι βούλεται ἡ κατὰ, κἀπὶ τῆς ἐπιγραφῆς τῆς ἱερᾶς τετρακτύος τῶν εὐαγγελίων. οἷον, κατὰ Ἰῶ, κατὰ Ματθαῖον, καὶ τοὺς λοιπούς. τὸν γὰρ εὐαγγελιστὴν προσδιορίζουσα, τὸ κατά τι δηλοῖ. καθ' ὃ δὴ σημαινόμενον εἴληπται ἡ κατὰ, κἀπὶ τοῦ ὁρισμοῦ τῶν ὁμωνύμων τε καὶ συνωνύμων καὶ παρωνύμων. ἐφ' οὗ δὴ ὁρισμοῦ, ὥσπερ κἀπὶ τῶν εὐαγγελιστῶν, εἴη ἂν ἡ αὐτὴ καὶ περιφραστικῶς εἰλημμένη. οἷον, τὸ τοῦ Ἰωάνου, τὸ τοῦ Ματθαίου, καὶ ἑξῆς. ἐφ' οἷς καὶ τὸ Ποιητικὸν ἀντὶ τῆς διά. θουκδ', α', ἦλθον δὲ καὶ θεσσαλῶν ἱππεῖς τοῖς ἀθηναίοις κατὰ τὸ ξυμμαχικόν. ἀντὶ διὰ τὸ ξυμμαχ. κἀν τῇ γ', καὶ ἐπέπεσε πολλὰ χαλεπὰ κατὰ στάσιν ταῖς πόλεσιν. Ηρόδ, ς'. Κλεομένης δ' ὁ ἀναξανδρίδεω εἶχε τὴν βασιληίην, οὐ κατὰ ἀνδραγαθίην σχὼν, ἀλλὰ κατὰ γένος. οἷόν τι καὶ τὸ, ἐλέησόν με, ὁ Θς, κατὰ τὸ μέγα ἔλεός σου. κτ', ὅπερ δύναται μὲν καὶ τὸ παραβαλλόμενόν τε καὶ ὅμοιον δηλοῦν, οἷον, τῷ πλήθει τῶν ἀνομιῶν μου τὸ πλῆθος τοῦ ἐλέους σου ἐπιμέτρησον. οὐδὲν δὲ τὸ ἀπεμφαῖνον, εἰ καὶ τὸ ποιητικὸν ληφθείη δηλοῦν. φησὶ γὰρ, σῶσόν με ἕνεκεν τοῦ ἐλέους σου. ὃ ταὐτόν ἐστι τῷ, διὰ τὸ ἔλεός σου. τὸ δὲ τοῦ θεοῦ ἔλεος οὐχὶ τελικὸν, ποιητικὸν δὲ τυγχάνει τῆς σρίας τοῦ σῳζομένου, ὡς ἂν εἰ ἔλεγεν, ἐλέησόν με ὁ θς. δι' ὅ, τι πολυέλεος καὶ πολυεύσπλαγχνος εἶ. τοιοῦτο καὶ τὸ τοῦ Αποστόλου, α', πρὸς κορθ', ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνα. ὅπερ ἀνωτέρῳ διὰ τοῦ αὐτοῦ πνς εἴρηκε δίδοσθαι. τὸ δὲ δι' οὗ ἀντὶ τοῦ ὑφ' οὗ δειχθήσεται κείμενον. πρὸς δὲ καὶ τὸ Τελικόν. τιμωρίας ἄξιος, ὁ ποιῶν ἐν τολὴν μὴ κατὰ θεοσέβειαν, ἀλλὰ κατὰ ἀνθρωπαρέσκειαν, ἤ τινος ἄλλης ἡδονῆς ἕνεκεν, ἢ πραγματείας. Βασίλ, ἐρωτ', η'. τοῦ β', περὶ βαπτίσμ, λόγου. τὴν γὰρ κατὰ, εἰς τὸ ἕνεκα ἑξῆς μετέλαβε.

Ἡ Χρόνον. ὁ καθ' ἡμᾶς γεγονὼς ἀνὴρ, ἔνδοξος.

Ὅ ἐστι κατὰ τοὺς ἡμετέρους χρόνους. ἢ καθ' ὃν χρόνον ἦμεν ἡμεῖς. σκόπει δὲ ὡς οὐδ' οὗτος ὁ τόπος ἀπήλλακται τοῦ κατά τι, τοῦ περί τι λέγω καὶ ἔντινι. ποιητικῶς δὲ, καὶ Κίνησιν, ὡς ἐν τῷ, κατὰ νῆας ἀχαιῶν. ἀντὶ τῆς ἐπί-

Διά.

Διά.

Ἡ δὲ Διά, γενικῇ μὲν, Ἐνέργειάν τινα, ἢ τὸ μέσον δηλοῦσα.

Ἀπὸ κοινοῦ τὸ συντάσσεται. τὴν δὲ μετοχὴν χρονικῶς ἐκληπτέον.

Διὰ σοῦ ταῦτα ἂν ἄμεινον γίγνοιτο. καὶ, ἐπορευόμην δι' ἀγορᾶς.

Ἡ Ἐνέργεια κίνησίς ἐστι φυσική τε καὶ οὐσιῴδης τοῦ ἐνεργοῦντος πρὸς τὸ ἐνεργούμενον. εἴληπται δὲ ἐνταῦθα τὸ ἀφῃρημένον ἀντὶ τοῦ συγκεκραμένου, εἴτ' οὖν ἡ ἐνέργεια ἀντὶ τοῦ ἐνεργοῦντος. Τριχῶς δὲ ἡ ἐνέργεια. ἢ γάρ τοι κατὰ Πρωτουργίαν, εἴτ' οὖν αὐτουργίαν, ἢ κατὰ Ἰσουργίαν, καὶ ὡς εἰπεῖν ταυτουργίαν, ἢ κατὰ Ὑπουργίαν. ὧν Τὸ μὲν, σημαίνει τὸ Προκαταρκτικόν τε καὶ Ἀρχικὸν αἴτιον, Τὸ δὲ, τὸ Συναίτιον καὶ ὁμοτιμίαν τοῦ δευτέρου πρὸς τὸ πρῶτον. (τό γε μὴν Θεῖον, ἀριθμοῦ καὶ χρόνων ἀκολουθίας ἀνώτερον ὂν, τὸ πρῶτον καὶ τὸ δεύτερον οὐ προσίεται. Χρυσόστ: ὁμλ: ά, εἰς τὸ κατὰ Ἰωάννην. προκαταρκτικὸν δὲ τῶν ἔργων οὐκ ἰδίᾳ τὸν Πρ̄ά φαμὲν ὑπάρχειν. ἀμαθείας γὰρ τοῦτο ἐσχάτης. πῶς γὰρ ἂν αὐτὸς μόνος προκατάρξαιτό ποτε, δύναμιν ἔχων τὴν ἐφ' ἅπασιν ἐνεργητικὴν τὸν Υἱὸν, συνυπάρχοντα μὲν ἀϊδίως αὐτῷ, θελήσεως δὲ τῆς ἐπί τι καὶ κινήσεως τῆς κατ' ἐνέργειαν τὴν ἐπί τισιν ἐκφαντικόν; Κύριλλος ἀλξανδρ, εἰς τὸν Ἰωάννην, βιβλ', β', κφ', ς',) Τὸ δὲ, τὸ Ὀργανικόν τε καὶ λειτουργίαν. Τὸ μὲν οὖν ά, δηλοῦται ἐν τῷ, ἐκτησάμην ἄνον διὰ τοῦ Θεοῦ. καὶ ἑτέρωθι, ὅσα ἐνετείλατο Μωϋσῆς τῷ Ἰῆλ διὰ προστάγματος Κυ. καὶ πάλιν, οὐχὶ διὰ τοῦ Κυ ἡ διασάφησις αὐτῶν ἐστιν; ἐν οἷς ἀντὶ τοῦ ἐκ τοῦ Θυ εἰπεῖν, διὰ τοῦ Θεοῦ εἴρηκεν. οἶδε γάρ φησιν ὁ Χρυσόστομος ἐν τῇ τοῦ κατὰ Ματθ', ξ', ὁμλ'.

δι' οὗ τὸ ὑφ' οὗ λέγειν ἡ Γραφή. ὡς ὅταν λέγῃ, ἐκτησάμην ἄνον, διὰ τοῦ Θεοῦ. οὐ τὸ δεύτερον αἴτιον, ἀλλὰ τὸ πρῶτον μᾶλλον τιθεῖσα. φησὶ δὲ καὶ ὁ μέγας βασίλειος ἐν τοῖς πρὸς Ἀμφιλόχ, οὐδὲν ἀπᾷδον εἰς τὴν ἐκ, τὴν διὰ, μεταλαμβάνειν. πολλάκις γάρ φησιν, ἀντιμεθίσταται ἡ διὰ, καὶ ἡ ἐκ, πρὸς τὰ ὑπ' ἀλλήλων σημαινομένα, ὅταν ἑτέρα τὴν τῆς ἑτέρας σημασίαν μεταλαμβάνῃ. ὁ δ' αὐτὸς ἐν τοῖς αὐτοῖς. ὅτι δὲ αἱ φωναὶ αὗται φησιν, ἀλλήλαις οὐκ ἀντιτάσσονται, ἐκεῖθεν δῆλον. συνήγαγε γὰρ ἀμφοτέρας ἐπὶ τοῦ αὐτοῦ καὶ ἑνὸς ὑποκειμένου ὁ μακάριος Παῦλος, εἰπὼν, ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα. ἅπερ ἅπαντα ἰδίᾳ τε καὶ περὶ τοῦ Πρ̄ς καὶ τοῦ Πν̄ς, καὶ κοινῇ περὶ τῆς μακαρίας Τριάδος λαμβάνοντι, οὐδὲν ἄτοπον ἕψεται, ἐξ ὧν λέγοντι, καὶ δι' ὧν καὶ εἰς ἅ, ἐπὶ τῶν κτισμάτων ἀφορῶντος τοῦ λόγου. πῶς οὖν οὐκ εὐήθεις οἱ εἰπόντες ὑπουργίας εἶναι τὸ δι' οὗ, καὶ ὅλως λειτουργικὸν, κἀντεῦθεν συναγαγόντες ἐπὶ τοῦ δι' οὗ τὰ πάντα ἐγένετο, ὀργανικὸν εἶναι αἴτιον τὸν Υἱὸν, ἀλλ' οὐχὶ ποιητικόν; εἰ μὲν γὰρ κατὰ τοὺς ἔξωθεν σοφοὺς οἱ τοιοῦτοι τὰς προθέσεις ἐπισκέπτονται, ἔσται καὶ ὁ πῆρ οὐ ποιητικὸν, ἀλλ' ὑλικὸν αἴτιον τῆς κτίσεως, λέγοντος τοῦ παύλου, ἡμῖν εἷς Θ̄ς καὶ Πῆρ. ἐξ οὗ τὰ πάντα. εἰ δὲ προσίθενται τῇ Γραφῇ, ὑπ' αὐτῆς ἐκείνης ἐλεγχέσθωσαν, καὶ τῷ Πρὶ τὸ δι' οὗ ἀπονεμούσης. ἀλλ' οὐ δ', ὅφησιν Ὠριγένης ἐν β', τόμ: τῶν κατὰ Ἰω, ἐξηγητικῶν ὡς οὐδέποτε τὸ δι' οὗ τὴν πρώτην χώραν, δηλ. τὴν ποιητικὴν ἔχει, δευτέραν δὲ ἀεὶ, δηλ. τὴν ὀργανικὴν, ἀληθές. ἐν γὰρ τῇ ά, πρὸς κορθ', καὶ ἐφεσ', κἀν τῇ πρὸς κολσσ. αὐτουργίαν οὐχ ὑπουργίαν τὸ δι' οὗ δηλοῦν εὕρηται. Παῦλος κλητὸς Ἀπόστολ. διὰ θελήματος Θυ. κἀν τῇ πρὸς γαλ'. διὰ Ἰησοῦ Χυ, καὶ Θεοῦ Πρ̄ς. κἀν τῷ, ἔπρεπε γὰρ αὐτῷ, (τῷ Πρὶ) δι' οὗ

τὰ πάντα

τὰ πάντα. κἀν τῷ, ᾧ μὲν γὰρ διὰ τοῦ Πνῦς δίδοται λόγος σοφίας, κτ: ἐπήνεγκε γὰρ ἑξῆς. πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἐν καὶ τὸ αὐτὸ πνά. τοιοῦτο καὶ τὸ, δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι. καὶ τὸ ἐν ταῖς πράξεσι κφ: κα', οἵ τινες (οἱ μαθηταὶ) τῷ Παύλῳ ἔλεγον διὰ τοῦ Πνεύματος μὴ ἀναβαίνειν εἰς ἱεροσόλυμα. οὐδὲ γὰρ οἱ μαθηταὶ ὀργάνῳ ἐχρῶντο τῷ Πνὶ, ἀλλὰ μᾶλλον τοὐναντίον, τὸ Πνᾶ ὀργάνοις ἐχρῆτο τοῖς μαθηταῖς. ἀνόητον γὰρ, εἰ μὴ διὰ Χ'ν τὴν δικαιοσύνην ἐργάζεθε καὶ δι' αὐτοῦ. ἰδοὺ τὸ δι' αὐτοῦ πάλιν. (πρὸς φιλπ': 1, 11) ἆρ' οὖν ὑπουργῷ κέχρηται τῷ Θεῷ; ἄπαγε. (Χρυσόστμ, ὁμλ', β', εἰς τὴν πρὸς φιλπ. τό γε μὴν ἐν ταῖς πράξεσι δι' οὗ, ληφθείη ἂν καὶ ἀντὶ τοῦ μεθ' οὗ, κατὰ τὸ, ἔδοξε τῷ ἁγίῳ πνί καὶ ἡμῖν. τοιοῦτο δὲ καὶ τὸ παρὰ τῷ Ἡσαΐᾳ, 30, 1. οὐαί φησιν οἱ βαθέως ποιοῦντες βουλὴν καὶ οὐ διὰ Κυρίου. καὶ πάλιν, τά δὲ λέγει Κ'ς, ἐποιήσατε βουλὴν, οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνῦς μου. οὐ μετ' ἐμοῦ δηλ: οὐ δὲ μετὰ τοῦ πνῦς μου. καὶ τὸ, παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοὶ, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χοῦ. α', κορίθ: 1, 10. τὸν Χ'ν φησιν ὁ Χρυσστμ. ὁμλ. γ', λαμβάνω σύμμαχον.) καὶ ὁ μέγ. δὲ Ἀθανάσ, ἐν γ', διαλόγῳ περὶ τῆς ἁγίας Τριάδος, παρ' ἡμῖν φησι κατὰ τὸν σκοπὸν τῆς γραφῆς τὸ δι' οὗ ταὐτόν ἐστι τῷ ἐξ οὗ. ἀμέλει γοῦν λέγει ὁ ἅγιος Παῦλος, πιστὸς ὁ Θ'ς, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ. ἐν ταῦθα γὰρ τὸ δι' οὗ, ἀντὶ τοῦ ἐξ οὗ κεῖται φησιν. ὁ δ' αὐτὸς κἀν τῷ κατὰ ἑλλήνων τὸ, δι' οὗ τὰ πάντα ἐγένετο, μεθερμηνεύων, οὕτω γάρ φησι, καὶ ἡ τοῦ θεοῦ σοφία τὸ ὅλον ὡς λύραν ἐπέχων, ἕνα τὸν κόσμον καὶ μίαν τὴν τούτου τάξιν ἀποτελεῖ. καὶ παρακατιὼν, τὸ γὰρ παράδοξον αὐτοῦ τῆς θεότητος τοῦτό ἐστιν, ὅτι ἑνὶ καὶ τῷ αὐτῷ νεύματι πάντα ὁμοῦ περιάγει καὶ διακοσμεῖ. τὸ γοῦν ἐν ᾧ, εἴτ' οὖν δι' οὗ ἐν ταῦθα ἀντὶ τοῦ ὑφ' οὗ εἴληπται, ὡς παρὰ τῷ αὐτῷ δηλοῦται. ὑπὸ μιᾶς γάρ φησι, ῥοπῆς νεύματός τινος τοῦ Θεοῦ λόγου ὁμοῦ τὰ πάντα διακοσμεῖται. καὶ μετ' ὀλίγα, καὶ ὁ ἀὴρ μὲν ὑπ' αὐτοῦ φωτίζεται. καὶ τὸ ἐν τῇ πρὸς ἐφεσ: κφ'. β', ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν, ὁ Χρυσόστμ. ὁμλ. ς', ἀντὶ τῆς ὑπὸ, ἐξέλαβεν. οὐ γὰρ ἀφ' ἑαυτῶν φησι προσήλθομεν, ἀλλ' ὑπ' αὐτοῦ προσήχθημεν. οὐδεὶς γάρ φησιν, ἔρχεται πρὸς τὸν Πρὰ, εἰ μὴ δι' ἐμοῦ. ὅθεν καὶ τὸ δι' ἐμοῦ, ἀντὶ τοῦ ὑπ' ἐμοῦ εἴληπται. καὶ Γρηγόρ. λόγ. θεολ. β', ἡμᾶς δὲ ὁ (ἐκ Θεοῦ καὶ πᾶσι σύμφυτος) λόγος δεξάμενος, ἐφιεμένους Θοῦ, τοῖς ὁρωμένοις προσβάλλων, οὔτε μέχρι τούτων ἔστησε, καὶ διὰ τούτων ἄγει πρὸς τὸ ὑπὲρ ταῦτα, καὶ δι' οὗ τούτοις τὸ εἶναι πάρεστι. τί γὰρ τὸ τάξαν τὰ οὐνία τε καὶ τὰ ἐπίγεια; τοιοῦτο καὶ τὸ, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ καὶ σωθήσομαι δι' αὐτοῦ. καὶ τὸ, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χοῦ ἐγένετο, ταὐτόν ἐστι τῷ ὑφ' οὗ. Ζήνων ὁ στωϊκὸς κατὰ τὸν Λαέρτιον τοιαῦτα ἔφασκε. Δία μὲν γάρ φασι, δι' οὗ τὰ πάντα, Ζῆνα δὲ καλοῦσι, καθ' ὅσον τοῦ ζῆν αἴτιός ἐστι. καὶ πορφύρ. κη', τῶν ἑαυτοῦ ζητήσεων. διὰ τοῦ Θεοῦ καὶ ἐν τῷ Θεῷ εἰσι τὰ πάντα φησιν. Οὕτω μὲν οὖν ἡ διὰ, τὸ ἀρχικὸν δηλοῖ αἴτιον, ὅταν, καὶ κατὰ τοὺς παλαιοὺς εἰπεῖν, καθ' ἑαυτὴν κειμένη, μὴ προηγουμένης δηλαδὴ τῆς ἐκ, εἴτ' οὖν τῆς ὑπὸ, καὶ ἁπλῶς τῆς καθ' ὕπαρξιν αἰτίας, αὐτὴ ταύτην χαρακτηρίζῃ. ἔνθα καὶ οὐδεμία βλάβη τῷ λόγῳ ἐκείνην τε ἀφελεῖν, καὶ τὴν τὸ ἴσον δυναμένην τῷ λόγῳ δοῦναι. εἴγε τῶν ἰσοδυναμούντων ἀκώλυτος ἡ μετάληψις. τὰ γὰρ ἀλλήλοις ἴσα ἀντ' ἀλλήλων δύνατο τίθεσθαι. κατ' ἐναλλαγὴν γὰρ πάντως τότε κεῖται προθέσεως. Ὅταν δὲ, προηγουμένης τῆς ἐκ, ἢ τῆς ὑπὸ, καὶ τὴν αἰτίαν τῆς ὑπάρξεως

ξεως ἐχούσης μεθ' ἑαυτῆς, καὶ ἁπλῶς προηγουμένου τοῦ ἀρχικοῦ αἰτίου, ἕπηται ἡ διὰ, ἔστιν ἀποδοῦναι τότε καὶ τῇ διὰ, αἰτίαν ἔστι μὲν οὗ, τὴν αὐτὴν πάλιν, ἔστι δ' οὗ, οὐ τὴν αὐτήν. Καὶ γοῦν ἀποδιδομένης τῇ διὰ, τῆς αὐτῆς μὲν πάλιν αἰτίας, τὸ συναίτιον δηλοῖ τὸ δι' οὗ καὶ ὁμοτιμίαν, ἕνωσίν τε καὶ ὁμοβουλίαν. ὡς Κύριλλος, πολλαχοῦ εἰς τὸ κατὰ Ἰω, τὰ πάντα φησιν ἐκ Πρὸς δι' Υἱοῦ ἐν ἁγίῳ Πνί. ἢ ὁ Πὴρ ὅσα ἂν ποιῇ, διὰ τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ ποιεῖ. ὁ δὲ θεολόγ, ἐν τῷ εἰς τὴν χῦ γέν, τὸ δι' οὗ εἰς τὸ σὺν ᾧ μετέλαβε, λέγων, πρῶτον μὲν ἐννοεῖ (ὁ Πὴρ) τὰς ἀγγελικὰς δυνάμεις, καὶ τὸ ἐννόημα ἔργον ἦν, Λόγῳ συμπληρούμενον, καὶ Πνί τελειούμενον. τὸ δὲ σὺν ᾧ, ταὐτὸν τῷ μεθ' οὗ, ἢ καὶ τῷ καὶ, συνδέσμῳ. Καὶ ὁ μέγ, δὲ Ἀθανάσ, (ὁμιλ: εἰς τὸν σπόρον) Πατὴρ ἔλεγεν. Υἱὸς ἐπετέλει. ὁ μὲν, ἐπέταττεν, ὁ δὲ, εἰς πέρας ἤγαγε τὰ προσταττόμενα. καὶ οὕτως ἐκ Πατρὸς δι' Υἱοῦ ἐν ἦν τελεσιούργημα, μιᾶς κοσμοποιίας διὰ Πατρὸς καὶ Υἱοῦ τελεσιουργουμένης. Καὶ ὁ μέγας δὲ Βασίλ, ἡ διὰ, φησὶν, ἐφ' ὧν παραλαμβάνεται, τῷ πρὸ ταύτης αἰτίῳ συναγωνίζεται πρὸς αὐτὴν τὴν ἐνέργειαν, ἣν ἐκεῖνος σκοπεῖ, εἴτε ἐπὶ τῶν φυσικῶν, εἴτε ἐπὶ τῶν τεχνητῶν ἐθέλοι τις τὸν λόγον γυμνάζειν. τὸ δ' αὐτὸ λέγειν ἔχομεν καὶ περὶ τῆς ἐν. Τὸ γοῦν δι' οὗ, ἐν τῷ, τὸ Πνεῦμα τὸ ἅγιον ἐκ Πατρὸς δι' Υἱοῦ, ἐπὶ μὲν τῆς ἐγχρόνου προόδου, τὸ συναίτιον δηλοῖ, (καθ' ἣν ἐνοίαν οὐ μόνον καὶ ἐξ Υἱοῦ, ἀλλὰ καὶ ἐξ αὐτοῦ τοῦ Πνὸς τὰ τοῦ Πνὸς τοῖς πνικοῖς προχεῖται χαρίσματα. εἴγε καὶ τούτων ἕκαστον Πνὰ ὁμωνύμως ἀκούει παρὰ τῷ Ἡσαΐᾳ.) ἐπὶ δὲ τῆς συναϊδίου, οὐ τὸ συναίτιον. τῶν γὰρ ἐπὶ τῆς μοναρχικῆς τριάδος ἑλληνικὴν πολυαρχίαν νοσούντων τοῦτό γε. ἀλλὰ τὸ συναιτιατὸν, περὶ οὗ μικρὸν ὑποκαταβάντες, ἐροῦμεν. Μὴ τῆς αὐτῆς δὲ αἰτίας ἀποδιδομένης τῇ διὰ, τὸ ὀργανικὸν δηλοῖ ἡ δι' οὗ φωνὴ καὶ λειτουργίαν. εἴτ' οὖν ὑπουργίαν. ὡς ἐν τῷ ὑπὸ τοῦ τέκτονος διὰ πρίονος ἡ θύρα. ἢ ὁ τέκτων διὰ σκεπάρνου θυρουργεῖ. κἂν τῷ, ὀνόμος διὰ Μωσέως ἐδόθη. κἂν τῷ, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. τὸ μὲν γὰρ συναίτιον τὴν ἴσην τε καὶ ὁμοίαν, μᾶλλον δὲ μίαν καὶ τὴν αὐτὴν τῷ προκαταρκτικῷ αἰτίῳ σπουδήν τε καὶ ἐνέργειαν συνεισφέρει, τὸ δὲ ὀργανικὸν δίχα τοῦ κινοῦντος οὐδέντι συνεισενεγκεῖν οἴκοθεν δύναται, ᾗ τοιοῦτον, ὅτι μὴ μόνην ἐπιτηδειότητα πρὸς τὸ τοῦ χρωμένου βούλημα. δι' ἣν καὶ κληρονομοῦσι τοῦ ουαὶ μὲν, οἱ δι' ὧν τὸ σκάνλον ἔρχεται, τοῦ μακαρισμοῦ δὲ, οἱ δι' ὧν τὸ Πνεῦμα ἐλάλησε. καὶ ὁ δι' οὗ ὁ νόμος ἐδόθη. ὄργανον γὰρ εἰμίφησιν ὁ Θεολόγος θεῖον, ὄργανον λογικὸν, ὄργανον καλῷ τεχνίτῃ τῷ Πνὶ προσαρμοζόμενόν τε καὶ κρουόμενον. καὶ συνέσ, ἐπιστλ, 57. ὅταν δεῖται κολαστῶν, (ὁ Θὸς) χρῆται νῦν μὲν τῷ, νῦν δὲ τῷ, καὶ καθάπαξ εἰπεῖν, ταῖς ἐπιτηδείοις εἰς τὸ ποιῆσαι κακὰ δημοσίαις φύσεσι. μισεῖ δ' ὅμως αὐτάς. ὅτι πρὸς τοῦτο γεγόνασιν ἐπιτήδειοι. οὐ γὰρ ἐποίησεν ὁ Θὸς ὄργανα συμφορῶν, ἀλλ' ὑφ' ἑαυτῶν εἰς τοῦτο παραχθεῖσιν ἐπίμως ἐχρήσατο. καὶ δι' ὅ, τι πρὸς τοῦτο σὺ γέγονας χρήσιμος, αὐτὸ τοῦτό ἐστιν, ὃ καὶ παντάπασιν ἀποκόπτει Θεοῦ. δι' ὃ καὶ τὸ προσεχῶς εἰρημένον τοῦ μεγάλ, Βασιλ, περὶ τῆς διὰ, ἐπὶ τοῦ συναιτίου μᾶλλον ληπτέον, ἤπερ ἐπὶ τοῦ ὀργανικοῦ. οὐδὲ γὰρ τοῦ ὀργάνου τὸ ἔργον καὶ κατ' αὐτὸν φάναι τὸν Πλούταρχον. ἀλλ' οὗ καὶ τὸ ὄργανον, ᾧ χρῆται πρὸς τὸ ἔργον. Τὸ δὲ δι' οὗ πρὸς τοῖς εἰρημένοις δηλοῖ καὶ τὸ ὡς εἴρηται συναιτιατόν. τὴν γὰρ θέρμην διὰ τοῦ φωτὸς ἐκ τοῦ πυρὸς προϊέναι ἀκούοντες, ἢ τὸ φῶς διὰ τῆς ἀκτῖνος ἐκ τοῦ ἡλίου, οὐδὲν ἀλλ' ἢ τοῦτο ἐννοοῦμεν, ὅτι ἅμα καὶ ἀχωρίστως ὁμοῦ τῷ φωτὶ καὶ ἡ θέρμη ἐκ τοῦ πυρὸς καὶ μετὰ τῆς θέρμης τὸ φῶς ἐκ

τοῦ πυρὸς

τοῦ πυρὸς πρόεισιν. ἐπεὶ μηδέτερον τούτων ὑστερίζει ὁπωσοῦν τοῦ ἑτέρου κατὰ τὴν ἐκ τοῦ πυρὸς διάφορον ὕπαρξιν, ἀλλ' ἅμα τε καὶ εὐθὺς ἑκάτερον ἐξ αὐτοῦ, ὅλων μὲν ἑκατέρων ἐν ἀλλήλοις θεωρουμένων, οὐδετέρου δὲ τούτων ἐκ τοῦ ἑτέρου ἢ διὰ τοῦ ἑτέρου τὸ εἶναι ἐχόντων. Καθ' ὃ δὴ σημαινόμενον εἴρηται τοῖς θείοις πρᾶσιν ἔστιν οὗ, τὸ Πνᾶ τὸ ἅγιον ἐκ Πρὸς δι' Υἱοῦ ἐκπορεύεσθαι. ἀντὶ τοῦ μετὰ τοῦ Υἱοῦ, ἢ σὺν τῷ Υἱῷ γεννωμένῳ καὶ τὸ Πνᾶ αἰδίως ἐκπορεύεσθαι. ὡς καί τινες αὐτῶν ἀντὶ τοῦ δι' οὗ, τὸ μεθ' οὗ μεταλαμβάνοντες, τὸ Πνᾶ λέγουσι μετὰ τοῦ Υἱοῦ οὐσιῳδῶς γεννηθέντος ἐκ τοῦ Πρὸς ἀφράστως ἐκπορεύεται. Ἀλλ' αἱ μὲν ἅμα πεμπόμεναι δύω ἀκτῖνες, ἥνωνται μὲν, οὐμὴν ἀλλήλαις, ἀλλ' ἐν τῷ ἡλίῳ, ὡς οὐδὲ δύω κλάδοι, εἰμὴ ἐν τῷ στελέχει, τὸ δὲ Πνᾶ δι' Υἱοῦ ἐκπορευόμενον, τὴν αὐτοῦ πρὸς τὸν Υἱὸν κατ' οὐσίαν ἄκραν ἑνότητα καὶ ἀσύγχυτον περιχώρησιν ἐμφαίνει, διαπεφοιτηκὸς, ὡς ἂν εἴποιτις, καὶ διϊὸν τῆς τοῦ Υἱοῦ ὑποστάσεως ἀσυγχύτως, θεοπρεπῶς νοουμένου τοῦ διϊέναι. Ὥστε οὐκ ἀληθὲς τὸ ἐπὶ πάντων ἁπλῶς αἰτίαν σημαίνειν τὸ δι' οὗ (κατὰ τὸν Καρδηνάλην νικαίας ἐν τῷ δογματικῷ ἢ περὶ ἑνώσεως ε', κὶ ς', κφ',) ἐφ' ὧν περ παραλαμβάνεται. Εἴγε δηλοῖ οὐμόνον τὸ, ὡς εἴρηται, συναιτιατὸν, ἀλλ', ὡς ῥηθήσεται, καὶ τήν τινων ἐν ἀλλήλοις ἀσύγχυτον περιχώρησιν, ὡς ἐν τῷ, σώματα μὲν, οὔτε δι' ἀλλήλων οὔτε δι' ἀσωμάτων χωρεῖ. ἀσώματα δὲ, καὶ δι' ἀλλήλων καὶ διὰ σωμάτων χωρεῖ. οὐ μὴν ἀλλὰ καὶ Ἰσοτιμίαν. καὶ ἁπλῶς τὸ Ὁμοῦ ἀναιτίως. ὡς οἱ τῆς ἐκκλησίας θεῖοι διδάσκαλοι, καὶ μάλιστα οἱ ἀμφὶ τὸν Χρυσός, ἐν ἄλλοις τε καὶ περὶ τὰ τέλη τῶν ἰδίων λόγων τὸ δι' οὗ καὶ τὸ μεθ' οὗ ἐπὶ τοῦ Υἱοῦ λέγοντες, ἀδιάφορον οἴονται, τῷ δι' οὗ τὸ μεθ' οὗ ἐφερμηνευτικῶς οἷον ἐπισυνάπτοντες. Καθ' ὃν δὴ λόγον εἴληφε τὸ δι' οὗ καὶ ὁ ἀπόστολος, φημὶ δὴ τὸν τοῦ ὁμοῦ μὲν, ἐν τῇ πρὸς ἐφέσ. 3, 10 (κατὰ τὸν θεῖον Χρυσόστμ, ὁμλ', ζ', εἰς τὴν αὐτὴν, καὶ εἰς τὴν α', πρὸς κορθ'. κἂν τῷ προοιμίῳ τοῦ κατὰ Ἰω, εὐαγγελίου. καὶ περὶ ἀκαταλήπτου λόγῳ δ'.) κἂν τῇ α', πρὸς θεσλ, 4, 14. ὡς αὐτὸς ἑαυτὸν ἐν τῷ αὐτῷ κφ', ἑρμηνεύει, διὰ τοῦ Ἰησοῦ κοιμηθέντας τοὺς ἐν Χῷ λέγων νεκροὺς, τοῦτ' ἔστι τοὺς ἐν τῇ εἰς Χριστὸν πίστει κοιμηθέντας. (τοιοῦτο καὶ Ἡσαΐου τὸ, οὐαὶ οἱ βαθέως ποιοῦντες βουλὴν καὶ οὐ διὰ Κυ. καὶ πάλιν, ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ Πνεύματός μου) τὸν καὶ τῆς ἰσοτιμίας δὲ, ἐν τῇ πρὸς ῥωμ', 7, 25. ὡς ἑρμηνεύει ἡ α', πρὸς τιμθ'. 1, 12. ἐν δὲ τῇ πρὸς γαλ'τ, 4, 7. ἡ δι' οὗ πρὸς τῷ ὁμοῦ κατά τε τὴν πρὸς ἐφέσ, 2, 6. καὶ 3, 6. καὶ τὸν Χρυσόστμ, εἰς τὸν 1α', ψαλμ', ἔτι καὶ αἰτιολογεῖ κατὰ τὸ 1, 5. καὶ 2, 18, τῆς πρὸς ἐφέσ. Οὐπαν δὲ τὸ κατάτινας ἔκτινος ὂν, ἤδη καὶ διάτινός ἐστι τὸ αὐτὸ, ὡς οὐδὲ τὸ ἐκ τοῦ πυρὸς ἐξαλλόμενον ἀπαύγασμα, ἢ ἡ ἐκ τοῦ ἡλίου ἀκτὶς καὶ τὸ φῶς. ἀλλ' οὐδ' ἐπὶ τῆς τοῦ Υἱοῦ γεννήσεως, ἢ τῆς προαιωνίου ἐκ μόνου τοῦ Πατρὸς, ἢ τῆς χρονικῆς ἐκ μόνης τῆς Μρὸς ἕξει χώραν ὅλως τὸ διάτινος. Οὐ μὴν ἀλλ' οὐδὲ παν τὸ διάτινος ὂν, καὶ ἐξ ἐκείνου, δι' οὗ ἐστι, λέγεται. οὐδὲ γὰρ καὶ ἐκ γυναικὸς, ὁ δι' αὐτῆς ἀνὴρ κατά τε τὸν Ἀπόστλ, α', πρὸς κορθ'. 11, 8, 12. καὶ τὸν Χρυσός, ὁμλ', κς'. εἰς τὴν α', πρὸς κορθ', (ὅτι μὴ μόνος ὁ Υἱὸς καὶ λόγος τοῦ Θυ, ἐν τῷ πληρώματι τοῦ χρόνου γενόμενος ἐκ γυναικὸς κατὰ τὸν ἀπός, πρὸς γαλ'τ, 4, 4. οὐ διὰ γυναικὸς, ἵνα μὴ παροδικὴ ὑποπτευθῇ ἡ γένεσις κατὰ τὸν μέγαν Βασίλ, κφ', ε', περὶ Πνεύματος.) οὔτε μὴν καὶ ἐκ τοῦ σωλῆνος, ὁ δι' αὐτοῦ ἐκ τῆς βρύσεως προχεόμενος κρουνός. ἢ καὶ ἐκ τοῦ ποταμοῦ, τὸ δι' αὐτοῦ ἐκρέον πηγαῖον ῥεῖθρον. ὡς γὰρ ἔχει ὁ σωλὴν πρὸς τὴν βρύσιν, οὕτως ὁ ποταμὸς

ὁ ποταμὸς πρὸς τὴν πηγήν. τὸ γὰρ διά τινος ὂν, συναιτίου μὲν ὄντος, πάντως καὶ ἐξ ἐκείνου, δι' οὗ ἐστι, λέγεται, ὡς καὶ ἐξ υἱοῦ ξύμπαντα τὰ δι' αὐτοῦ γεγονότα. ὀργάνου δὲ, ἢ μέσου, οὐκ ἔτι. Ὥσπερ δὲ ἡ διὰ, εἰς τὴν ἐκ, οὕτως ἐκ τοῦ ἐναντίου καὶ ἡ ἐκ, εἰς τὴν διὰ, ἀντιμεθίσταται. ὡς ἐν τῷ, ἐκ σῶν ἀγγείων πίνε ὕδατα. ὕδωρ δ' οὐ πέφυκεν ἐξ ἀγγείου, ἀλλ' ἐκ πρώτης αἰτίας τῆς πηγῆς ἀρύεσθαι διὰ τοῦ ἀγγείου. οὕτω καὶ ἐκ μαστοῦ τὸ γάλα, καὶ τὸ αἷμα ἐκ φλεβὸς ῥεῖ, ἀντὶ διά. καὶ τὸ φῶς ἀπὸ τῆς θέρμης, ὡς δι' αὐτῆς ἐμφανιζόμενον. ἄλλως γὰρ, ἐκ τοῦ πυρός ἐστιν, οὐκ ἐκ τῆς θέρμης. Ἀπορήσειε δ' ἄν τις οὐκ ἔξω λόγου, τί ὅτι τὸ ἀρχικὸν ἑκάτεραι αἱ προθέσεις δηλοῦσαι, οὐχὶ ἡγοῦνται ἀλλήλων ἐν τῇ πρὸς ἀλλήλας συντάξει καὶ ἕπονται ἀδιαφόρως, ὥστε καὶ τὴν διὰ, προηγεῖσθαι τῆς ἐκ, καθὰ δὴ καὶ ἡ ἐκ, τῆς διὰ, ἀλλ' ἀείποτε ἡ ἐκ, τῆς διά; ἐκ τῆς ῥίζης γάρ φαμεν διὰ τοῦ κλάδου ὁ καρπὸς, οὐμὴν καὶ διὰ τῆς ῥίζης ἐκ τοῦ κλάδου. Ἢ ὅτι αἰτίου μὲν εἰσιν ἑκάτεραι σημαντικαὶ, ἀλλ' ἡ μὲν, ὡρισμένως, ἡ δὲ διὰ, ἀορίστως. ἡ μὲν γὰρ, μόνου τοῦ προκαταρκτικοῦ, ἡ δὲ διὰ, καὶ τοῦ συναιτίου τε καὶ ὀργανικοῦ. ἐν γοῦν τῇ πρὸς ἀλλήλας συντάξει τῆς ἐκ, τὸ προκαταρκτικὸν ὡρισμένως δηλούσης, ὑπολείπεται τὴν διὰ, δύοιν θάτερον ἤτοι τὸ συναίτιον δηλοῦν, ἢ τὸ ὀργανικόν. προηγεῖται δὲ ὁπωσοῦν τὸ προκαταρκτικὸν τοῦ τε συναιτίου καὶ τοῦ ὀργανικοῦ. καὶ ἡ ἐκ, ἄρα τῆς διά. ὥστε ἡ διὰ, δηλοῦσα τὸ συναίτιον μὲν ἢ τὸ ὀργανικὸν, συνεισάγει πάντως καὶ τὸ ἐξ οὗ ἢ ὑφ' οὗ, ἤτοι προσκείμενον, ἢ νοούμενον. τὸ προκαταρκτικὸν δὲ, οὐδέτερον τούτων. Ἐπὶ τούτοις ἰστέον, ὡς τὸ δι' οὗ, οὐχ ὡσαύτως δηλοῖ τὸ συναίτιον ἔν τε τῷ, ὁ Πὴρ, ὅσα ἂν ποιῇ, διὰ τοῦ Υἱοῦ ποιεῖ. κἀν τῷ, ὁ ἥλιος διὰ τοῦ φωτὸς φωτίζει. ἀλλ' ἔνθα μὲν, ὑπόστασιν αὐθυπόστατόν τε καὶ αὐθύπαρκτον, ἐξ ἧς ἡ ἐνέργεια, ἔνθα δὲ, ἐνέργειαν μόνην ἐνυπάρχουσαν. Ἔτι τὸ συναίτιον εἴρηται μὲν ἰσουργίαν, καὶ οἷον ταυτουργίαν δηλοῦν, ἐπί γε μὴν τῆς ὑπερουσίου Τριάδος ἐφ' ὅτου ἂν ληφθῇ προσώπου, αὐτουργίαν δηλοῖ. τοῦ γὰρ ἐξ οὗ, κατὰ τὸν μέγαν βασίλ. οὐ μόνον κοινῇ. ἀλλὰ καὶ ἰδίᾳ, ὡς εἴρηται, καὶ καθ' ἕκαστον ἐπὶ τῆς μακαρίας ληφθέντος Τριάδος, οὐθὲν ἄτοπον ἕψεται. καθ' ὅ, τι τὸ δι' οὗ τὰ πάντα ἐγένετο, οὐχ ὡς δι' Υἱοῦ ἐκληπτέον μόνον, ἀλλὰ καὶ ὡς διὰ θεοῦ. εἷς δὲ Θεὸς ἡ ἁγία Τριὰς, ἓν ἄρα καὶ τὸ ἀρχικόν τε καὶ ποιητικὸν αἴτιον τῶν ἁπάντων. τὸ γοῦν συναίτιον ᾧδε κατὰ τὸ προκαταρκτικὸν αὐτοτελοῦς καὶ αὐτὸ ἐνεργείας ἐστὶ δηλωτικόν. ἐπεὶ αὐτάρκως δι' ἑαυτοῦ ποιητικόν ἐστι τοῦ ἀποτελέσματος. ἡ γὰρ διά, φησιν ὁ μέγας βασίλ. ἐν τοῖς πρὸς Ἀμφιλόχου ἄτονον τοῦ Υἱοῦ παρίστησι τὴν ἐνέργειαν, ἀλλὰ τῆς προκαταρκτικῆς αἰτίας ὁμολογίαν ἔχει. Εἰπὼν δ' ὁ Θεόδωρος ἐνέργειάν τινα ἀορίστως δηλοῦν τὸ δι' οὗ, τὸ τριττὸν τῆς, ὡς εἴρηται, ἐνεργείας ἐδήλωσεν. ἐπὶ πολλῶν γὰρ, οὐκ ἐφ' ἑνὸς τὸ ἀόριστον. Ὅθεν ἐπισημήνασθαι δεῖ, ὅτι ἡ διὰ, τὸ ἀργικὸν σημαίνουσα αἴτιον, οὐχ, ὡς εἴρηται, κατὰ μετάληψιν κεῖται προθέσεως τῆς ἐκ, ἑαυτῆς δὲ μᾶλλον οὖσα, τῆς σημασίας ταύτης κεκληρονόμηκεν. εἴ γε ἐνέργειάν τινα σημαίνει κατὰ Θεόδωρον. τριττὴ δὲ αὕτη, ὡς εἴρηται. ἧς καθ' ἕνα μὲν τρόπον ἐστὶ σημαντικὴ ἡ ἐκ, ἡ δὲ διὰ, καὶ κατὰ τοὺς τρεῖς. Καὶ ἵνα ἀναλαβόντες, εἴπωμεν, τὸ Δι' οὗ, δηλοῖ μὲν, ὡς εἴρηται, Αἴτιον, Ἔνθα μὲν, τὸ Φυσικόν. ὡς ἐν τῷ, διὰ τοῦ ἡλίου ὁ τοῦ κόσμου φωτισμός. Ἔνθα δὲ, τὸ Δημιουργικόν. ὡς ἐν τῷ, δι' οὗ τὰ πάντα ἐγένετο. κἀν τῷ, παῦλος κλητὸς ἀπόστολος διὰ θελήματος Θεοῦ. κἀν τῷ, ἡ κλίνη διὰ τοῦ τέκτονος. Ἔνθα δὲ, τὸ Ὑλικόν. ὡς ἐν τῷ, διὰ

τῷ, διὰ τῶν σανίδων τὸ πλοῖον συνίσταται. Ἔνθα δὲ, τὸ Ὀργανικὸν, ἤτοι τὸ ἐξωτερικὸν καὶ ἑτεροούσιον. ὡς ἐν τῷ, διὰ τοῦ πρίονος ἡ θύρα. ὃ καὶ μετὰ τοῦ πρίονος λέγεται. διὰ γὰρ τοῦ πρίονος καὶ μετὰ τοῦ πρίονος κατασκευάζει ὁ τέκτων τὴν θύραν. περὶ οὗ ἄρα καὶ εἴρηταί τισιν, ὅτι τὸ δι' οὗ σημαίνει ἐνέργειαν ἄλλου διά τινος μεσιτεύοντος. ἢ τὸ ἐσωτερικὸν καὶ ὁμοούσιον. ὡς ὁ ἀνὸς δι' ὀφθαλμῶν βλέπει, διὰ χειρὸς γράφει. χεὶρ γάρ φησιν ὁ Θεολόγος, τοῦ διδόναι καὶ λαμβάνειν ὄργανον. καὶ τοῦτο οὐχ ἕν, ἀλλὰ πολλά. ἔστι γὰρ ὥσπερεὶ ὄργανον πρὸ ὀργάνων. Ἀριστοτέλης περὶ ζῴων μορίων τὸ δ'. ἐν δὲ τῷ γ', περὶ ψυχῆς, ὄργανόν φησίν ἐστιν ὀργάνων. οὐκ τητικῶς, ἀλλ' ὑπεροχικῶς δηλαδὴ, ὡς λέγεται καὶ τό, τέχνη τεχνῶν, καὶ ἐπιστήμη ἐπιστημῶν. Ὁ δὲ δύοῖν τινων πρὸς ἀλλήλους διενηνεγμένων μεσίτης, ἔνθα μὲν, ὡς συναίτιον, Ἔνθα δὲ, ὡς ὀργανικὸν παραλαμβάνεται. ἔνθα δὲ, τὸ Παραδειγματικὸν, ταὐτὸν εἰπεῖν εἰδικόν. ὡς ἐν τῷ, διὰ τῆς ἀρετῆς τοῦ μεγάλου Παύλου ὁ θεῖος Χρυσόστομος εἰς ἀρετὴν ἐρρυθμίζετο, ὥσπερ εἰς ἀρχέτυπον εἰκόνα τινὰ εἰς τὴν τούτου ψυχὴν ἐνορῶν. ὁμλ: ια', εἰς τὴν γένεσιν. Ἔνθα δὲ, τὸ προσεχὲς αἴτιον. ὡς ἐν τῷ, ὁ καρπὸς διὰ τοῦ κλάδου ἐκ τῆς ῥίζης γίγνεται. τοῦτο δὲ ἐπὶ μὲν τῶν φυσικῶν, εἰς τὸ πρῶτον ἀνήκει. ἐπὶ δὲ τῶν τεχνητῶν, εἰς τὸ τέταρτον σημαινόμενον. Ἐπὶ τούτοις καὶ τὸ ταὐτὸν τῆς δυνάμεως. ὡς ἐν τῷ, διὰ τῆς ἀκτῖνος τὸ φῶς ἐκλάμπει τὸ ἡλιακόν. ταυτοδύναμα γὰρ τό, τε ἡλιακὸν φῶς καὶ ἡ τοῦ ἡλίου ἀκτίς. ἐν ᾧ ταυτοδυναμεῖ τῷ ἅμα, καὶ τῇ μετὰ, καὶ τῇ σὺν, ἡ διὰ, τὸ συναιτιατὸν δηλοῦσα, ὡς εἴρηται. Ἔτι τὸ δι' οὗ ἐπὶ τοῦ συναιτίου ἢ καὶ τοῦ ὀργανικοῦ ἐνοῖ, τε καὶ διαιρεῖ τὰ ὑποκείμενα πρόσωπα, τὸ μὲν, τῇ ἐνεργείᾳ, τὸ δὲ, τῇ τάξει, τάττουσα πρῶτον μὲν τὸ ἀρχικὸν, δεύτερον δὲ τὸ συναίτιον πρόσωπον. ὅτι δὲ ἐνοῖ τῇ ἐνεργείᾳ, δηλοῦται ἐν κφ', ιδ', καὶ ιε', τῶν πράξεων. ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν. ἔστι γὰρ ἡ μετὰ, ἀντὶ τῆς διὰ, ὡς ἑξῆς δῆλον. φησὶ γὰρ ὑποκαταβάς. ἤκουον Βαρνάβα καὶ Παύλου ἐξηγουμένων, ὅσα ἐποίησεν ὁ Θεὸς δι' αὐτῶν. Καὶ ἀντὶ τῆς κατὰ, τὸ κατά τι δηλοῦσα, ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται. ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας. ἀντὶ τοῦ κατ' ἐπαγγελίαν. καθ' ὃ δὴ σημαινόμενον εἰλῆφθαι δοκεῖ κἀντῇ πρὸς Θεσσλ: α', κφ', δ'. ὁ Θεὸς τοὺς διὰ τοῦ Ἰησοῦ κοιμηθέντας, ἄξει σὺν αὐτῷ. ἐπάγει γὰρ, οἱ ἐν Χριστῷ νεκροὶ, ἀναστήσονται πρῶτον. οἱ δὲ διὰ τοῦ Ἰησοῦ κοιμηθέντες, οἱ ἐν Χριστῷ εἰσι νεκροί. τὸ ἄρα διὰ τοῦ Ἰησοῦ, ἀντὶ τοῦ ἐν τῷ Ἰησοῦ εἴληπται. τοῦτο δὲ ἀντὶ τοῦ κατὰ τὸν Χριστὸν Ἰησοῦν. Ἔσχατον σημαίνει τὸ δι' οὗ καὶ διαβατικήν τε καὶ προοδικὴν κίνησιν, εἴτ' οὖν τὸ Μεταξὺ ἤτοι τόπου, ὡς τὸ, διὰ τῆς ἀγορᾶς ἐβάδιζον. ἢ χρόνου. ὡς ὁ δεῖνα διὰ μ', ἡμερῶν ἐποίησε τό δέ τι. καὶ διὰ χρόνου ἥκω. Παρ' ὁμήρῳ δὲ, σίγα μήτις ἄλλος ἀχαιῶν τοῦτον ἀκούσῃ μῦθον. ὃν οὔκεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο, Ἰλ: ξ'. ἀντιπτωτικῶς, ἀντὶ τοῦ διὰ στόματος κεῖται. Ἀττικοὶ δὲ, διὰ τέλους ἀντὶ τοῦ ἄχρι τέλους φασίν. Ἐν δὲ τῷ, δι' ἔτους πέμπτου, καὶ διὰ τρίτης, ἀντὶ τῆς κατὰ, κεῖται. ἀντὶ τοῦ κατὰ πέμπτον, καὶ τρίτην. Ἐπεὶ δὲ αὐτουργικοῦ τε καὶ ὑπουργικοῦ αἰτίου μνεία ἐγένετο, ῥητέον ὡς τριττὸν μὲν τὸ ἐξωτερικὸν Ὄργανον. ἢ γάρ τοι Τεχνητόν. ὡς ὁ σκέπαρνος, καὶ ὅσα τῇ ἀφῇ κινεῖται. ἢ Ἠθικόν. ὡς ὁ στρατηγὸς καὶ ὁ δοῦλος, καὶ ὅσοι τῷ λόγῳ τοῦ ὑπερέχοντος ἄγονται. ἢ Φυσικόν. ὡς ἡ γυνή. ὑποτετάχθαι γὰρ αὐτὴν οὐ συντετάχθαι τῷ ἀνδρὶ τοῖς πᾶσιν ἀνωμολόγηται. τῷ γοῦν τῆς ὑποταγῆς καὶ τῆς ὑφέ-

Ἡ διά. -

- Γενικῇ. -
  - Ἐνέργειαν, εἴτ' οὖν αἰτίαν. -
    - Πρωτουργόν. ἐκτησάμην ἄνδρα διὰ τοῦ θεοῦ. καὶ, δι' οὗ τὴν προσαγωγὴν ἐσχήκαμεν πρὸς τὸν πρᾶ. ἀντὶ τῆς ὑπό.
    - Συνεργόν τε καὶ ἰσουργόν. -
      - Αὐθυπόστατον μὲν, ἐκ πρὸς δι' οὗ ἐν ἁγίῳ πνεῖ τὰ πάντα.
      - Ἀνυπόστατον δὲ, εἴτ' οὖν ἐν ὑπόστατον. ὁ ἥλιος διὰ τοῦ φωτὸς καὶ τῆς ἀκτῖνος φωτίζει.
    - Ὑπουργὸν καὶ λειτουργικήν. ὁ δι' ἀγγέλων λαληθεὶς λόγος. τὸ λαλῆσαν διὰ τῶν προφητῶν.
  - Ἀντὶ τῆς σὺν, ἢ τῆς ἐν, εἴτ' οὖν μετά. -
    - Τὸ ἅμα, εἴτ' οὖν τὸ συναιτιατόν. ἡ θέρμη διὰ τοῦ φωτὸς ἐκ τοῦ πυρὸς πρόεισιν. ἢ τὸ φῶς διὰ τῆς ἀκτῖνος ἐκ τοῦ ἡλίου.
    - Τὸ ὁμοῦ. ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου.
  - Τὸ κατά τι, εἴτ' οὖν προσδοιρισμόν. ὁ μὲν, ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γενέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας. δι' ἔτους πέμπτου. διὰ τρίτης ἡμέρας.
  - Τὸ μέσον -
    - ἢ τόπου. διὰ τῆς ἀγορᾶς. διὰ θαλάσσης.
    - ἢ χρόνου. δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος. διὰ χρόνου ἥκω.
  - Ἕνωσιν τῶν ἀλλήλοις ὅλων ἐν ὅλοις ἀσυγχύτως καὶ ἀδιχάστως περιχωρούντων. σῶμα διὰ σώματος οὐ χωρεῖ.
- Αἰτιατικῇ. -
  - αἰτίαν -
    - ἢ ποιητικήν.
    - ἢ τελικήν.
  - τὸ δὲ μέσον, ποιητικῶς.
- Ἐν δὲ Συνθέσει, διχασμὸν καὶ διαίρεσιν, αἰτίαν δὲ οὐδέποτε.

ρος διακρίνεσθαι, ἀμιγῶς γε μὴν ἀλλ' οὐ συμπεφυρμένως. εἴγε θατέρου τῶν πυρσῶν ὑφαιρεθέντος τοῦ δωματίου, συνέξεισι καὶ τὸ οἰκεῖον ἅπαν φῶς, μηδ' ὁ, τι οὖν μέρος ἢ τοῦ ἑτέρου φωτὸς ἑαυτῷ συνεπισπώμενον, ἢ ἑαυτοῦ τῷ ἑτέρῳ καταλεῖπον. Κατὰ γοῦν τὸν τῆς ἀσυγχύτου περιχωρήσεως λόγον ἀσώματα μὲν δι' ἀλλήλων χωρεῖ, ὡς αἱ στιγμαὶ, εἴτ' οὖν τὰ ἀμερῆ σημεῖα. (εἴγε τὰ συνεχῆ πρός τινα κοινὸν ὅρον συνάπτει. συναπτόμενα δὲ σώματά εἰσιν, ὧν ἅμα ὑπάρχει τὰ ἄκρα, οὐχὶ ἁπτόμενα ἀλλήλων, τὰ ἄκρα λέγω, ἀλλ' ἐναρμόζοντα ἀλλήλοις.) καὶ ὡς αἱ τοῖς θεαρχικαὶ ὑποστάσεις. κατὰ τὸ, ἐγὼ ἐν τῷ Πρὶ καὶ ὁ Πατὴρ ἐν ἐμοί. καθ' ὃ εἴρηται που καὶ τῷ μεγάλῳ Ἀθανασίῳ, ἐν ἀμφοτέροις ἐκλάμπειν τὸ Πνεῦμα. οὗ τινος τὸν νοῦν μὴ συνέντες οἱ δυτικοὶ, τὸ ἐν ἀμφοτέροις εἰς τὸ ἐξ ἀμφοτέρων καὶ ἀμαθῶς καὶ κακούργως μετέλαβον. καὶ ὡς νοῦς καὶ ψυχὴ ὀχεῖον οὖσα τοῦ νοῦ, κατὰ Πλάτωνα ἐν τῷ Φαίδρῳ. καὶ διὰ σώματος ἀσώματον. ὡς ἡ τοῦ ἀνοῦ ψυχὴ διὰ τῆς σαρκός. καὶ ἡ τοῦ Θεοῦ λόγου ἀπερίγραπτος φύσις διὰ τῆς οὗπερ οὐκ ἀποχωρεῖ προσλήμματος. καὶ ὡς ὁ νοῦς ἐν τῷ οὐνῷ. καὶ ὡς τὸ φῶς ἐνοῦται τῷ διαφανεῖ, καὶ μετὰ τοῦ διαφανοῦς φωτίζει, καὶ πάλιν τοῦ διαφανοῦς ἀποχωρίζεται. σῶμα δὲ οὔτε δι' ἀσωμάτου, οὔτε διὰ σώματος χωρεῖν πέφυκε κατὰ τὸν εἰρημένον τῆς περιχωρήσεως τρόπον. Ὑπεξαιρείσθω τὸ τοῦ Κυρίου σῶμα, ὑπὲρ φύσιν καὶ ἔννοιαν κεχωρηκὸς διὰ σώματος, τοῦ ἐσφραγισμένου φημὶ τάφου καὶ τῶν κεκλεισμένων θυρῶν, καὶ τῆς παρθενικῆς μήτρας. χωρεῖ δὲ καὶ διὰ τοῦ σώματος τῶν ἐν τοῖς μυστηρίοις ἀξίως μεταλαμβανόντων αὐτοῦ. Ἐν δὲ τῷ διακούειν, καὶ διαγγέλλειν, καὶ διανοίγειν, τὸ δι' ὅλου, καὶ μέχρι τέλους δηλοῖ. ἐν δὲ τῷ διαφωνεῖν, ἐπίτασιν βοῆς ὑπὲρ τὴν δύναμιν. ἐξ οὗ μένουσιν ἀχανεῖς οἱ διαφωνοῦντες. ἐν δὲ τῷ διαχωρεῖν καὶ διαπορεύεσθαι, τὸ μεταξύ. ἐν δὲ τῷ διαφορεῖσθαι τὸν ἱδρῶτα τοῦ σώματος, καὶ τὸ ἔξω.

Ἡ δὲ μετὰ, Γενικῇ μὲν, τὸ ὁμοῦ σημαίνουσα. ἡδὺς μετὰ φίλων ὁ βίος.

Ἔστι δ' οὗ καὶ Ἰσοτιμίαν. συνυπακούεσθαι δέφασι τῇ προθέσει ἔνθα μὲν, καὶ βοήθειαν. μεθ' ἡμῶν ὁ Θεός. ἔνθα δὲ, καὶ ὑπουργίαν, ὀργάνου παρόντος. ἴει μετὰ ξίφους. ἀλλαχοῦ δὲ καὶ ψυχικὸν κίνημα. οὐδεὶς ἀσφαλῶς μετ' ὀργῆς βουλεύεται. Ἀλλὰ γὰρ τὰ συνυπακούομενα, οὐ μᾶλλον τῆς προθέσεως, ἢ τοῦ προθετικοῦ πτωτικοῦ τυγχάνοντα, τοσαῦτα τυχὸν ἐπινοηθήσεται, ὅσα καὶ τὰ πτωτικά. ὥσπερ γὰρ ἐν τῷ μετ' ὀργῆς, πάθημα ψυχῆς, οὕτω κἀν τῷ, μετὰ σοῦ, πρόσωπον. τὸ δὲ τοιοῦτο οὐ τοῦ προθετικοῦ ἰδιώματος. Λαμβάνεται δὲ καὶ ἀντὶ τῆς διά. πράξ: ιε', ἀνήγγειλάν τε ὅσα ὁ Θεὸς ἐποίησε μετ' αὐτῶν. ἐπάγει γὰρ, ἐξηγουμένων ὅσα ἐποίησεν ὁ Θεὸς δι' αὐτῶν. Καὶ ἀντὶ τῆς ἐν, ὡς ἐν τῷ, ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθόν. Τὸ δὲ μετὰ τοῦ δε τόδέ τι εἶναι, πολλαχῶς λέγεται. ἢ γὰρ ὡς ἔντινι ταὐτῷ ἑκατέρων δεκτικῷ, καθάπερ ἡ δικαιοσύνη καὶ ἡ ἀνδρία ἐν ψυχῇ. ἢ ἐν τόπῳ τῷ αὐτῷ, ἢ ἐν χρόνῳ τῷ αὐτῷ. ἔστι δ' οὗ τὸ μεθ' οὗ, οὐδαμῶς ὑπὸ τὴν εἰρημένην πίπτει διαίρεσιν. ὡς ἐν τῷ, ἡ ὀργὴ λύπη ἐστὶ μεθ' ὑπολήψεως τοῦ ὀλιγωρεῖσθαι. βούλεται γὰρ δηλοῦν, ὅτι διὰ τὴν τοιαύτην ὑπόληψιν ἡ λύπη γίνεται. τὸ δὲ διὰ τοῦτο γίνεσθαί τι, οὐκ ἔστι ταὐτὸν τῷ μετὰ τοῦτο τόδέ τι εἶναι, κατ' οὐδένα τῶν εἰρημένων τρόπων.

Τὸ δὲ μετὰ τριτάτοισιν ἄνασσε. ποιητικόν.

Γλ: ἄ. οὐ ᾧ τινὲς μὲν, αὐτὶ τῆς σωὶ, ἐκλαμβάνεσι τὴν πρόθεσιν, οὐ ἀλλάττοντες, ἕτεροι δὲ, πτώσεως οὐ ἀλλαγὴν εἶναί φασιν, αἰτιατικῆς εἰς δοτικήν· ὡς ηὶ οὐ ὁδὶ, ὅ-τιν' ἐγὼ πύματον ἔδομαι μῦ οἷς ἑπάροισι, τὰς δ' ἄλλας πρόθεν. παρ αὐτῷ δὲ ηὶ αὐτὶ τῆς ἐν, μῦ δοτικῆς ἢ μετά. ἔσι δὲ τὸ μετὰ ξιπατοσιν αὖασεν, αὐτὶ τῶν ξίτων, ὅ ἐσι τῆς ξίτης γενεᾶς ἦρχεν ὁ Νέσωρ.

Αἰτιατικῇ δὲ, τὸ ὕσερον. μετὰ τὴν ἑορτήν. ηὶ Πλάτων μῦ Σωκράτην.

Ἐν δὲ τὸ μεθ' ἡμέραν, οὐχὶ τὸ ὕσερον, ἀλλ' αὐτὶ τοῦ οὐ ἡμέρᾳ κεῖται. Ἀριστοφ. οὐ πλ'τ, οἰμοὶ πάλαι, ἀποδύομαι μεθ' ἡμέραν. αἰτικὸν δὲ τὸ χθὲς μεθ' ἡμέραν ἢ οὐ ἡμέρᾳ λεγόντων. ηὶ αὐτὶ τῆς ἐπὶ, ἐπὶ κινήσεως. ἰλ, ἄ. ζῶὶς γὰρ ἐπ' ὠκεανὸν μετ' ἀμύμονας αἰθίοπας χθιζὸς ἔβη μῦ δαῖτα. Ἔσι δ' ὅτε, πρὸς τῷ ὑσεροχρόνῳ ηὶ ὑποβιβασμόν φασι, δηλοῖ. ὡς ἐπὶ τοῦ λς', καὶ νόνος τῆς ξ', σωάδε, ὁριζούσης τὸν τῆς Κωνσαντινοπόλ. θρόνον τῶν ἴσων ἀπολαύειν πρεσβείων τῷ τῆς πρεσβυτέρας ῥώμης θρόνῳ, δεύτερον μετ' ἐκεῖνον ὑπάρχοντα. μεθ' ὃν ὁ τῆς Ἀλεξανδρέων ἀριθμεῖσθω θρόνος, εἶτα ὁ τῆς Ἀντιοχείας, ηὶ μῦ πᾶσιν ὁ τῆς τῶν Ἱεροσολύμων. ἐνταῦθα γὰρ ἡ μετὰ, πρόθεσις, ὥσπερ ἐπὶ τῶν ἄλλων θρόνων, ἕως καὶ τοῦ Κωνσαντινοπόλ, ὑποβιβασμὸν δηλοῖ φασι. Λέγουσι δὲ ἢ ὀρθῶς. τῶν γὰρ ὑπονοουμένων ὑπόβασιν ἀναιρεῖ, προσκειμένη τῷ Κωνσαντινοπόλεως ἡ αὐτὰ πρὸς τὸν ῥώμης ἰσότης. ἔπειτ' ἐν τὸ χῦ χρόνου, ἔτε τὸ κατ' ἀξίαν, ἀλλὰ τὸ χῦ τάξιν δηλοῖ δεύτερον. καθ' ὅ, τι ὁσαχῶς τὸ πρότερον, τοσαυταχῶς ηὶ τὸ ὕσερον. Τὸ δὲ μῦ πρὸ, ηὶ αὐτὶ τοῦ ἄχρι τοῦτο λαμβάνεσι, ηὶ μάλισα οἱ ἐν ταῖς πολιτείαις ῥήτορες, τὸ μὴ αἴτιον ὡς αἴτιον. Ἀριστ. ῥήτορ. βιβλ'. β'. ὁ δημάδης τὴν Δημοσθένους πολιτείαν πάντων τῶν κακῶν ἔλεγεν αἰτίαν. μετ' ἐκεῖνον γὰρ σωεβη ὁ Πόλεμος. αὐτὶ τοῦ δι' ἐκεῖνον. ηὶ αὐτὶ τῆς ἐν. ἔλαβε δὲ ηὶ τὸ πῦρ μῦ χεῖρας ηὶ τὴν μάχαιραν ὁ Ἀβραάμ. Παρὰ δὲ ποιηταῖς ηὶ αὐτὶ τῆς ἀφ'. ἐὸν μῦ κάλλος. Δηλοῖ δὲ ηὶ ἄλλοτι μετ' ἄλλου. ηὶ τὸ μὴ, πρότερον, τὸ δὲ, ὕσερον, ηὶ τὸν Ἀριστ. ε', περὶ ἀρχῶν. ὡς ἐν τῷ μεταβολή. κἀν τῷ μεταλαμβάνειν μῦ αἰτιατικῆς. οἷον, τὸν προσόντα μοι πλοῦτον ἀφαιρεθεὶς, τὴν τῆς πενίας κακότητα μετελάμβανον. ἔτω νοητέον κἀν τῷ, μεταμανθάνω. ηὶ μεπονομάζομαι. τῆς μῦ, σημαινούσης ὅτι τὸ μὲν, πρότερόν ἐσιν ἐν τῇ μεταβολῇ, τὸ δὲ, ὕσερον. πρότερον μὲν, τὸ ὃ ἐξ οὗ μεταβάλλει τὸ μεταβαλλόν, ὕσερον δὲ, τὸ εἰς ὅ.

Παρά.

Ἡ δὲ Παρὰ, Γενικῇ μὲν, τὴν ἀπὸ προσώπου σημαίνουσα Κίνησιν, οἷον, παρὰ Θεοῦ τὰ ἀγαθά.

Εἴρηται κἀν τῇ πρὸς, Πρὸς Θεοῦ δίδοσθαι τὰ ἀγαθά.

Ἡ μὲν γὰρ ἀπὸ, ηὶ ἐκ, τῇ ἀπὸ τόπου μάλισα

Οὐ μὴν ἐν τῷ καθόλου.

Κινήσει οἰκείαι. ἡ δὲ παρὰ, ηὶ πρὸς, τῇ ἀπὸ προσώπου.

Τὸ μὲν γὰρ παρά τινος, δέδοσθαί φασι ηὶ οἱ παλαιοὶ τοῖς ἐμψύχοις δεδόσθαι, τὸ δὲ ἀπό τινος, τοῖς ἀψύχοις φέρεσθαι, εἰ μὴ μὴ ἐν τῷ καθόλου. Ὅμηρός τε γὰρ παρὰ νηῶν αὐτὶ τοῦ ἀπὸ νηῶν, λέγει καταχρησικῶς, ηὶ

κῶς, καὶ ὁ Θεόδωρος ἀπὸ τοῦ δικαίου, ἀντὶ παρὰ τοῦ δικαίου παραδειγματίζει. ὅθεν τὸ ἐν τῷ συμβόλῳ ἐκ τοῦ Πρὸς ἐκπορευόμενον Πνᾶ, ἀντὶ τοῦ παρὰ τοῦ Πρὸς κεῖται. φησὶ γὰρ. ὃ παρὰ τοῦ Πρὸς ἐκπορεύεται. εἴληπται δὲ ἡ ἐκ, εἰς ἔμφασιν τοῦ ὁμοουσίου. ὡς κἀν τῷ, φῶς ἐκ φωτὸς, Θν ἐκ Θεοῦ. Ἰστέον δὲ ὅτι ἐν τῇ ἀπὸ προσώπου κινήσει συνυπακουόμενον ἔχει καὶ τὸ ποιητικόν. ὡς κἀν τῷ, παρὰ σοῦ ταῦτ' ἐπαιδεύθην.

Δοτικῇ δὲ, Στάσιν καὶ τὸ ἐγγύς.

Ἐπὶ ἐμψύχων.

Παρ' ἐμοὶ διατρίβει.

Ἐπὶ δὲ ἀψύχων ὅμηρος αἰτιατικῇ συντεταγμένῃ χρῆται τῇ παρά. οἷον, παρ' ὄχθας. ἀντὶ τοῦ παρ' ὄχθαις. καὶ Βασίλ· ἐν τῇ ἑξαημ'. Ἀλκυωνὶς παρ' αὐτοὺς νοσσεύειν τοὺς αἰγιαλοὺς πέφυκε. τοιοῦτο καὶ τὸ παροιμιῶδες. παρὰ μὲν θάλλασσαν περίπατος, παρὰ δὲ γῆν ὁ πλοῦς. Καὶ ἀντὶ τῆς ἐν. εἴ τίς ἐστι Παρ' ἐμοὶ ἐμπειρία. Καὶ ἀντὶ τῆς ἐπὶ, αὐτεξούσιόν τι δηλοῦσα, παρὰ σοί ἐστι σωθῆναι.

Αἰτιατικῇ δὲ, Κίνησιν ἐπίτι.

Εἴ τε ἔμψυχον, εἴτε ἄψυχον.

Παρὰ σὲ ἔρχομαι.

Ἀλλὰ καὶ στάσιν, ὡς εἴρηται.

Ἢ τὸ διά τι.

Τὸ οὗ ἕνεκα. ὅ ἐστι τὸ Τελικὸν αἴτιον. τὸ γὰρ εἰς εἴρηται διὰ τί λυπῇ, τὸ ἕνεκα τίνος λυπῇ, παρεμφαίνει.

Παρὰ τὸ ἀδικεῖν ἡ τιμωρία.

Ἵνα μὴ ἀδικῶσι δηλαδή. δύναται δὲ καὶ τὸ Ποιητικὸν δηλοῦν. τὸ γὰρ ἀδικεῖν ἐπιφέρει τοῖς ἀδικοῦσι τὴν τιμωρίαν. Δείναρχος κατὰ Δημοσθ'. ὦ ἀθηναῖοι, παρὰ τί οἴεσθε τὰς πόλεις τοτὲ μὲν, εὖ, τοτὲ δὲ, φαύλως πράττειν; οὐδὲν εὑρήσετε ἄλλο, πλὴν παρὰ τοὺς συμβούλους καὶ τοὺς ἡγεμόνας. καὶ θεόφρ: ς', ἱστορ: φυτῶν. τὸ δὲ ὅλον, ὥσπερ ἐλέχθη, καὶ ἡ εὐοσμία καὶ ἡ εὔχροια (τῶν ῥόδων) παρὰ τοὺς τόπους ἐστίν. ἐν οἷς τὸ ποιητικὸν καθ' αὑτὸ αἰτιολογεῖ. ἔνθεν τοι καὶ τὸ παρ' ὃ, ἀντὶ τοῦ δι' ὃ εἴληφεν Ἀριστοτλ': ἐν τῷ περὶ θαυμασίων ἀκουσμάτων. οἱ δὲ τὸν χαλκὸν ὀρύττοντες, ὀξυδερκέστατοι γίνονται. παρ' ὃ καὶ οἱ ἀντρεῖοι τῷ ἄνθει τοῦ χαλκοῦ καὶ τῇ τέφρᾳ τῇ φρυγίᾳ χρῶνται πρὸς τοὺς ὀφθαλμούς. Ἔτι καὶ παραγωγήν τινος ἀπό τινος καὶ ἐξέλασιν ἀντὶ τῆς ἀπό. οἷον, παρὰ τὸ πορίζεσθαι ὁ ἔμπορος. παρὰ τὸ δῆμος καὶ θένος ὁ δημοσθένης. τὰ φυτὰ παρὰ τὴν ἄνθην εἰσὶν εὐῴδη. ἀντὶ ἀπὸ τῶν ἀνθέων. ὃ σημαινόμενον οὐ πάνυ τοι ἀνόμοιον τῷ διά τι. τῷ λόγῳ φημὶ τοῦ ποιητικοῦ αἰτίου.

Ἢ τὸ ἔξω σκοποῦ καὶ ἐπαγγελίας. οἷον, παρὰ γνώμην συμβαίνει.

Καθ' ὃ σημαινόμενον λέγεται καὶ τὸ παρ' ὅ. οἷον, σπείρει μὲν ὁ λαγωὸς κατὰ φύσιν, ἀποκυΐσκει δ' ὁ αὐτὸς παρ' ὃ πέφυκεν. ἀντὶ τοῦ ἔξω οὗ πέφυκε. σκοποῦ μὲν οὖν ἔξω, τὸ παρὰ γνώμην. Θουκδ': δ', παρὰ γνώμην δὴ μάλιστα τῶν κατὰ τὸν πόλεμον τοῦτο τοῖς ἕλλησιν ἐγένετο. ἐπαγγελίας δὲ τὸ, παρὰ τὸ δίκαιον πράττει. ἐπήγγελται γὰρ κατὰ τὸ δίκαιον πράτειν, ὁ δὲ, ἔξω τῆς αὐτοῦ ἐπαγγελίας πράττει. Πρὸς δὲ καὶ τὸ ἔξω τοῦ δέοντος. μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν. καὶ ἁπλῶς τὸ ἔξω τῶν ἀπαιτουμέ-

παιτουμένων παριστάσεων. καιροῦ λέγω, τόπου, προσώπου καὶ τῶν ἑξῆς. ὡς βασίλ, ἐρωτ', ή, τοῦ β', περὶ βαπτίσμα, λόγου. ὃς τοῦ μακαρισμοῦ ἐκπεπτωκέναι εἰπὼν τὸν μὴ οὕτω ποιοῦντα, ὡς ὁ Κύριος ἐνετείλατο, ἐπιφέρει, τὸ δὲ μὴ οὕτω, γίνεται ἢ παρὰ τόπον, ἢ παρὰ καιρὸν, ἢ παρὰ πρόσωπον, ἢ παρὰ πρᾶγμα, ἢ παρὰ μέτρον, ἢ παρὰ τάξιν, ἢ παρὰ διάθεσιν. ἐφ' ὧν οὐ μόνον τὸ ἔξω, ἀλλὰ καὶ τὸ ποιητικὸν δηλοῦν δύναται κατὰ ταὐτὰ τῷ τοῦ Θεοφράστου. ἡ εὐοσμία καὶ ἡ εὔχροια τῶν ῥόδων παρὰ τοὺς τόπους ἐστίν. ὁ γὰρ τοιόσδε, καιρὸς ἢ τόπος, ποιεῖ τὸ μὴ οὕτως. ὥσπερ αὖ ἐκ τοῦ ἐναντίου τὰ τοιάδε περιστατικὰ ποιοῦσι τὸ οὕτως. ὥσπερ γὰρ τῇ τῶν φυτῶν, οὕτω τοι καὶ τῇ τῆς ἐν τολῆς ποιότητι φυσικῶς πως συντελοῦντα τυγχάνει τὰ εἰρημένα περιστατικά. τὸ γὰρ ἱερατεύειν φέρε ὥσπερ παρὰ τὸ πρόσωπον τοῦ ἀαρὼν νόμιμον, οὕτω παρὰ τὸ πρόσωπον τοῦ κορὲ παράνομον. Ἀλλαχοῦ δ' αὖ τὸ παρὰ τοὺς καιροὺς, τὸ ἐναντίον τοῦ ἔξω δηλοῖ, εἴτ' οὖν τὸ ἔντινι, καὶ ὡς εἰπεῖν εὐκαίρως. Ἀλλὰ καὶ τὸ ἐγγὺς ἐπὶ ἀψύχων, ὡς εἴρηται, ἐν τῷ, ἀλκιωνὶς παρὰ τοὺς αἰγιαλοὺς νοσσεύει. Εὕρηται δέπου ἡ παρὰ, καὶ καθ' ἑαυτὴν, ληφθεῖσα ἀντὶ τοῦ ἢ, συγκριτικῶς, εἴτ' οὖν διαφορικῶς. Βασίλ, ἐρωτ', γ', τοῦ β', περὶ βαπτίσμα, λόγου. ὅσῳ γὰρ πλεῖον τοῦ ἱεροῦ ᾧδε, τοσούτῳ δεινότερον τὸ ἐν μολυσμῷ ψυχῆς ἅψασθαι τοῦ σώματος τοῦ χυ, παρὰ τὸ ἅψασθαι κριῶν ἢ ταύρων. οὔγε μὴν τέτριπται τὸ παρά. Ἐν δὲ τῷ, ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, ἡ παρὰ ἀντὶ τοῦ οὐ, ἀποφατικοῦ εἴληπται. Ἐν δὲ τῷ, παρὰ πολὺ. παρὰ τοσοῦτον. παρ' ὅσον. ἡ παρὰ, ἔστι μὲν οὖ, ἐπίτασιν δηλοῖ κατά τινας. ἔστι δ' οὖ, ὑφεσίν τε καὶ ἐλάττωσιν. δοκεῖ δὲ μᾶλλον τὸ κατά τι σημαίνειν, κατ' ἐναλλαγὴν ἀντὶ τῆς κατὰ, εἰλημμένη. εἴγε τὸ πολὺ καὶ ὀλίγον, τὸ τοσοῦτον καὶ ὅσον, μέρη ὄντα τὰ μὲν, τοῦ ὅλου, τὰ δὲ τοῦ παντὸς, τὸ τὶ, σημαίνει. τοῦτι δὲ τὸ τὶ τῆς κατὰ, ἐστὶν, ὡς εἴρηται, ἴδιον, οὐ τῆς παρά. ὅτι δὲ ἐπὶ τῶν προκειμένων ἡ πρόθεσις ἀντὶ τῆς κατὰ, εἴληπται, τὸ κατά τι δηλοῦσα, δηλοῖ καὶ βασίλ. ἐν τῷ εἰς τοὺς νέους πλεῖον τοῦ ἐν ἐκείνοις (τοῖς ἐν τῷ μελλοντι) ἐλαχίστου τὰ σύμπαντα τῶν τῇδε καλῶν ἀφεστηκότα εὑρήσει τις, ἢ καθ' ὅσον σκιὰ καὶ ὄναρ τῶν ἀληθῶν ἀπολείπεται. κατὰ γὰρ τὸ καθ' ὅσον, καὶ τὸ πλεῖον εἴληπται, ἀπὸ κοινοῦ τὴν κατὰ, ἐπισπώμενον. ὅτι δὲ καὶ τὸ τόσον καὶ ὅσον ὁλότητός εἰσι μέρη. δηλοῖ καὶ ὁ ἐν μάρτυσι φίφος Ἰουστῖνος ἐν τῇ πρὸς τοὺς ὀρθοδόξους κθ', ἀποκρίσει. οὐδὲ γὰρ ὅλης φησὶ, τῆς ὀροφῆς ἦν χρεία ἀποστεγοῦσθαι, ἀλλὰ τόσον, ὅσον ἤρκει εἰς τὴν ὑποχάλασιν τοῦ παραλύτου. Ἐν γοῦν ταῖς ἐναλλαγαῖς αὐτὴν τὴν μετάπτωσιν διδακτέον φησὶν Ἀπολλώνιος. εἴγε κατ' αὐτὸν ἐν τοῖς μερισμοῖς (καλεῖ δὲ μερισμοὺς τὴν τῶν τοῦ λόγου μερῶν πρὸς ἄλληλα συμπλοκήν.) οὐ μᾶλλον ἐπικρατοῦσιν αἱ φωναὶ, ὡς τὰ ἐξ αὐτῶν σημαινόμενα. διὰ δὴ τὸν αὐτὸν λόγον τὸ αὐτὸ δηλοῦν δοκεῖ κἀν τῷ, παρὰ τετάρτην ἡμέραν, παρ' ἕκτην, παρ' ἑβδόμην. παρ' ἕνα χορεύουσιν ἔφηβοί τε καὶ παρθένοι. οὐχὶ κατά τινας διάλειμμα. εἴγ' ἡ πρόθεσις οὐχὶ ταῖς διαλειπούσαις τῶν ἡμερῶν, τῇ δὲ μὴ διαλειπούσῃ συνῆπται. ἡ γὰρ προθετικὴ ἡμέρα οὐ συνδιαλείπει ταῖς πρὸ αὐτῆς. ταὐτὸν γοῦν ἐστι τῷ κατὰ τετάρτην ἡμέραν, κατὰ πέμπτην. τί δὲ ἐροῦσιν ἐν τῷ παρ' ἑκάστην ἡμέραν, ἐν ἴσῳ ὄντι τῷ καθ' ἑκάστην, μὴ δὲ μιᾶς διαλειπομένης ἡμέρας; τὸ γὰρ ἐκ τῆς προθετοπτώτου παραλληλίας παρυφιστάμενον νοητὸν, αὐτῶν τούτων τῶν ἀλληλουχουμένων, οὐμὴν τῶν παρὰ ταῦτα κοινὸν ὀφείλει εἶναι, ὡς ἐκ τῶν καθ' ἕκαστα

καστα δῆλον. Ὡσαύτως καὶ τῷ, ἅμα τί οἱ ἀσύμμετροι παρ' ἀλλήλας θεωρούμενοι, μείζους φαίνονται, ἢ καθ' ἑαυτὰς μόνας; Ἀριστοτέλης δὲ τοῖς προβλ, τὸ μὲν παρ' ἑαυτὰς, παρὰ δὲ μετ' ἀλλήλων τινὰς θεωρεῖσθαι, μέρη εἰσὶ τῆς ἁπλῶς θεωρίας. ἡ ἄρα πρόθεσις, ὡσαύτως ἐν τῷ καθ' ἑαυτὰς, ἔτω καὶ τῷ παρ' ἀλλήλας τὸ παρά τι δηλοῖ, κατ' ἀλλαγὴν, καί τινα οἷον παραμοίβησιν ὑποβάλλουσα. Ἐν δὲ τῷ ά, τῆς μεταφορᾶν ἂν τις εἰπὼν εἶναι τὸν αἴτιον καὶ τὸ κόσμου καὶ τῆς τάξεως πάσης, οἷον νήφων ἐφάνη παρ' ἐκεῖ τοὺς λέγοντας πρότερον. ἢ μᾶλλον συγκεχυσιν κατά τινας, ἢ διάκρισιν δηλοῦν δοκεῖ. εἴγε τὰ μὲν συγκεχυμένα, τῆς αὐτῆς ἐθέλει μετέχειν ποιότητος κατὰ τὸ μᾶλλον καὶ ἧττον. οἱ δὲ εἰκῇ λέγοντες, ἢ μᾶλλον νήφοντες, ἢ μεθύοντες οἷον ἦσαν. Ἐν δὲ τῷ, πάρεγγυς, παρόμοιος, παραπλήσιος. τὸ πλησίον ἐκ παραλλήλου δηλοῦσα, ἀργῶς δοκεῖ κεῖσθαι, καὶ ταὐτὰ τῇ σωὶ, σὺν τῷ σωέγγυς. εἰ γ' ἑαυτῆς οὖσα ἡ πρόθεσις, καὶ τῇ σωθέσει τὸ καὶ παράθεσιν τηρήσει ἰδίωμα καὶ Ἀπολλώνιον. ἀλλὰ μὴν ἔτε τὸ ἔξω σημαίνει, (εἰ μὴ ἄρ', ταύτῃ γε, ἀναιρετικὴ μᾶλλον τῆς τε ὁμοιότητος καὶ ἐγγύτητος, ἢ κατά τινας μειωτική.) ἔτε τὸ διά τι, ἀλλ' ἐ δὲ κίνησιν. λείπεται ἄρα τὸ ἐγγὺς δηλοῦν. Ἐν δὲ τῷ παρυφίσασθαι καὶ τῷ παρυφίστασθαι, ἐκεῖνο ἑαυτῆς ἡ πρόθεσις. αὐτὶ δὲ τῆς σὺν, κεῖται, δηλοῦσα τὸ σύ τινι, εἴτ' ἔν τινι τὸ συμβεβηκότος σὺν τῇ οὐσίᾳ ὑπάρξιν. τὸ δ' αὐτὸ σὺν τινι καὶ τῷ, παρὰ τὸν δεῖπνον, τὸν καιρὸν, τὸν πλοῦν, ὡς εἴρηται. ὁμοίως ἂν δὲ καὶ τῷ παρὰ μικρὸν, παρὰ φαῦλον τίθεσθαι. εἴγε πεφώραται καὶ ἔτω φραζόμενον, μὴ σὺν φαύλῃ μοίρᾳ τίθεσθαι τὰ ἡμέτερα μηδὲ σὺν καρῷ. ὡσαύτως καὶ τῷ, τιμωρίαις παρ' αὐτὰ τὰ ἀδικήματα χρῆσθαι. μὴ ὑπερτίθεσθαι δηλαδὴ τὸν καιρὸν τῆς τιμωρίας, ἀλλὰ κολάζειν τοὺς ἀδικοῦντας ἐν ᾧ χρόνῳ παρανομοῦσιν. Ἐν δὲ συνθέσει ἐγγύτητα σημαίνει. οἷον, πάρεδρος. παρακαθίζω. καὶ τὸ ταχέως ἐκ τοῦ ἐγγύς. ὡς σὺν τῷ παραπηδᾶν, καὶ παρεισπεῖν καὶ παραιφάσκειν. τάχος δὲ τῆς τοιούτων ἐνεργειῶν ἡ πρόθεσις ἐμφαίνει, σημαντικὴ ὅσα ἐγγύτητος. Καὶ τὸ ἔξω δὲ, ὡς σὺν τῷ, παρηνέχθη, εἴτε ὁ μεθύων, παραβαπεὶς τοῦ καθεστηκότος καὶ παραπαίων. εἴτε ὁ θέων ἵππος, ἔξω γενόμενος τῆς προκειμένης ὁδοῦ. Ἔτι καὶ τὸ εἰς τὸ μέσον ἄφιξιν, ὡς δηλοῖ τὸ παρρησιάζομαι, καὶ τὸ παρρησία.

Ἀντί.

Ἡ δ' ἀντὶ, ἀεὶ γενικῆ. ἀντὶ πολλῶν. αὐθ' ἑνός.

Ἀμοιβὴν φασι σημαίνειν σὺν παραθέσει. οἷον, ἀντὶ τοῦ μανία χολή. ὁ δὲ Θεόδωρος καὶ συμπεθεῖσας φησὶ, τὸ ἰδίαν ἑαυτῆς φυλάττειν σημασίαν τὰς προθέσεις. ἐπεὶ οὖν σὺν συνθέσει ἡ ἀντὶ, ἑαυτῆς οὖσα, πόσον δηλοῖ καὶ τὸ σὺν ἀντίον, ὡς ἐπὶ τῆς ἀντιδιαιρεμοῦμεν, καὶ σὺν παραθέσει ἄρα τῷ αὐτῷ αὖ ἔχοι σημασίαν, τὸ ἴσον μὲν, ἀντὶ τοῦ πέδου παῦλος, ἐγὼ ἀντὶ σοῦ. τὸ σὺν ἀντίον δὲ, ἀντὶ τοῦ ἐπαινεῖν ὑβρίζεις. ἀντὶ τοῦ φιλοπονεῖν ῥᾳθυμεῖς. ἀντὶ τοῦ μανία χολή. ἡ δὲ δεῖξις ἐκ τοῦ ὅτι, ὅ ἐστι τῆς ὑστέρου, φημὶ δὴ τῆς συνθέσεως. ὅπου καὶ ἐπὶ τῆς λοιπῶν, σὺν αἷς συνέζευκται τὸ ἐκ παραθέσεως σημαινόμενον, ἐκ τοῦ κατὰ συνθεσιν αὐτὸ ποιεῖσθαι. εἰ γε καὶ ἡ τοῦ ὅτι, δεῖξις ταὐτὸ δύναται τῇ ἐκ τοῦ διὸ, τι, ἀγνοουμένου. φησὶ δὲ καὶ ὁ Ἀπολλ: ὡς τὸ αὐτίθεος. αὐτίπαις, καὶ τὰ τύπος ὅμοια, τῇ τῆς προθέσεως δυνάμει τοῦ μὴ γενικῆς παραθέσιν ὁμολογεῖ. αὐτὶ γὰρ θεοῦ, φησὶν, ἡ πρὸς παραλαμβανεῖ). καὶ ἁπλῶς καὶ τῇ συνθέσει τὸ καὶ παρά-

παράθεσίν φησιν ἰδίωμα συνέχει ἡ πρόθεσις. καὶ κατ' αὐτὸν ἄρα αἱ ἐν συνθέσει, ταῖς κατὰ παράθεσιν ἰσοδυναμοῦσι δυνάμει. ἀλλὰ μὴν τὸ ἴσον, ἢ τὸ ἐναντίον ἐν τῇ συνθέσει, τὰ αὐτὰ ἄρα κἀν τῇ παραθέσει. δοκεῖ δέ πως μεταβολὴν σημαίνειν ἐν τῷ, νόμιζε τὴν εἰς ἄνδρας ἐκ παίδων ἀγωγὴν, οὐκ ἀρχῆς εἶναι τοῖς εὖ φρονοῦσιν ἀποβολὴν, ἀλλὰ μεταβολὴν ἄρχοντος ἀντὶ μισθωτοῦ τινος, Πλούταρχ. ἐν τῷ περὶ τοῦ ἀκούειν. ἀλλὰ γὰρ ἡ ἀντὶ, οὐκ ἔστιν ἑαυτῆς, ἀντὶ δὲ τῆς ἐκ, κεῖται ἐνταῦθα. εἴγε τὸ εἴς τι μεταβάλλον, ἔκ τινος λέγεται μεταβάλλειν, οὐχὶ ἀντί τινος. ὡς καὶ αὐτὸς οὗτος ὁ Πλούταρχος τὴν εἰς ἄνδρας ἀγωγὴν, ἐκ παίδων ἔφησεν. ὡς γοῦν τὸ ἐκ παίδων, οὕτω καὶ τὸ ἀντὶ μισθωτοῦ εἴληπται. Εἰσὶ δὲ οἱ, τὴν μὲν κατὰ τὸ ἴσον, ἢ ἐναντίον δύναμιν, εἰδικῶς οἷον καὶ ἐκ τῶν προθετοπτώτων μορίων ἐπεισάγουσι τῇ προθέσει, τὴν δὲ τῆς ἀμοιβῆς, γενικῶς τε καὶ αὐτῇ καθ' ἑαυτὴν προσκληροῦσι τῇ αὐτῇ. ὡς τό, τε ἴσον καὶ τὸ ἐναντίον δι', ἧς οὐκ ἄνευ ἀμοιβῆς ὑποδηλοῦσαν. καὶ νὴ δία γε οὕτως ἔχει. οὔ γε μὴν ἐπείσακτα, ὡς αὐτοὶ βούλονται, οἰητέον εἶναι, τὰ καὶ κατ' αὐτοὺς εἰδικῶς καὶ ὡς εἰπεῖν οὐσιῴδη σημαινόμενα τῆς ἀντί. μήτε μὴν γενικῶς τε καὶ ταὐτὸν εἰπεῖν ἀορίστως, εἰδικῶς δὲ μᾶλλον διοριστέον τὰ τῆς προθέσεως σημαινόμενα. τό γε μὴν αὐτῇ καθ' ἑαυτὴν προσκληροῦν γενικῶς σημαινόμενον ὁ, τιοῦν τῇ προθέσει, μὴ εἰδότων ἐστὶν, ὃ λέγουσιν.

Ἐπί.

Ἡ δ' Ἐπὶ, γενικῇ καὶ δοτικῇ καὶ αἰτιατικῇ. γενικῇ μὲν, Χρόνον δηλοῦσα. ἐπὶ ἄρχοντος ἀθήνησι Πυθοδώρου.

Ὅ ἐστι, καθ' ὃν Χρόνον ἦν ἄρχων ἐν ἀθήναις ὁ Πυθόδωρος.

Ἢ τὸ περί τι καὶ ἔν τινι. ἐπὶ πολλῶν μάθοι τις ἂν τὰ λεγόμενα.

Δημοσθ', ὀλυνθ', β', ἐπὶ πολλῶν ἄν τις ἰδεῖν δοκεῖ μοι τὴν παρὰ τῶν θεῶν εὔνοιαν, οὐχ ἥκιστα δὲ ἐν τοῖς παροῦσι πράγμασιν. ἐν ᾧ ὅρα τὸ ἐφ' οὗ εἰς τὸ ἐν ᾧ μετειλημμένον, τὸ ἐπὶ τῶν πολλῶν φημι εἰς τὸ ἐν τοῖς παροῦσι. σημείωσαι δὲ κἀντεῦθεν τὸ περί τι, ταὐτοδυνάμως λαμβανόμενον, ᾧ τινι συνέζευκται. ᾧδε λέγω τῷ ἔν τινι, ἐν δὲ τῇ κατ', τῷ ἐπάνω. τὸ δὲ περί τι καὶ ἔν τινι ὁμοῦ, ᾧδε μὲν, τὸ ἔν τινι ἁπλῶς δηλοῖ, ἐν δὲ τῇ κατ', καὶ τὸ κατά τι ὡς εἴρηται. εἴτ' οὖν προσδιορισμόν.

Ἢ τὸ ἐπάνω. τὰ τετράποδα ἐπὶ γῆς.

Ἐν δὲ τῷ ἀνακεῖσθαι ἐπὶ τῆς τραπέζης οὐ τὸ ἐπάνω, τὸ δὲ συνέγγυς δηλοῖ. οὐδὲ γὰρ ἐπάνω τῆς τραπέζης κάθηνται. ὡς οὐδ' ἐν τῷ, ὁ ἐπὶ τῶν ἀπορρήτων, ὁ ἐπὶ τοῦ κοιτῶνος, τὸ ἐπάνω. ἀλλ' ἔνθα μὲν, τὸ ἔν τινι, ἔνθα δὲ, ἐπιστασίαν ὥς φασιν. Ἔτι καὶ τὸ ἔμπροσθεν. πράξ: Ἀπστλ'. θέλεις ἀναβὰς εἰς Ἱερουσαλὴμ, ἐπ' ἐμοῦ κρίνεσθαι; καὶ, δι' ὃ προήγαγον αὐτὸν ἐφ' ὑμῶν καὶ μάλιστα ἐπὶ σοῦ βασιλεῦ. καὶ, ἐπὶ τοῦ βήματος Καίσαρος ἑστώς εἰμι. Λουκιαν'. περὶ τῆς περεγρίτελευτῆς. πυρὰν ὅτι μεγίστην νήσας, ἐνεπήδησεν ἐπὶ τοσούτων μαρτύρων. Ἐν δὲ τοῖς Τακτικοῖς ἀντὶ τῆς κατ', εἴληπται, τὸ εἶδος τῆς τάξεως προσορίζουσα. οἷον, ἐπὶ φάλαγγος καθίσταθαι. ἐπὶ κέρας ἄγειν καὶ πορεύεσθαι. ἐπὶ μετώπου ἰέναι. καὶ ἐπὶ τεσσάρων, καὶ ἐπὶ ὀκτὼ παρὰ Ξενοφ, καὶ Αἰλιανῷ.

Δοτικῇ δὲ, Αἰτιολογοῦσα.

Ὅ ἐστι

Ὅ ἐστι λέγουσα δηλοῦσα αἴτιον.

Τὸ οὗ ἕνεκα. οἷον, ἐπὶ ἀγαθῷ πάντα ἐποίει.

Θουκδ'. γ', ξύμμαχοι μέν τοι ἐγενόμεθα οὐκ ἐπὶ καταδουλώσει τῶν ἑλλήνων ἀθηναίοις, ἀλλ' ἐπὶ ἐλευθερώσει ἀπὸ τοῦ μήδου τοῖς ἕλλησι. καὶ αἰτιατικῇ δὲ αὐτὸ τοῦτο ἔσθ' ὅτε δηλοῖ. ξενοφ. ὅτε ἐγὼ πρὸς σὲ ἦλθον ἐπ' ἀργύριον. ὅ ἐστιν ἐπ' ἀργυρίῳ. δοτικῇ δὲ καὶ τὸ Ποιητικὸν ἔσθ' ὅτε. ἐπὶ τῇ μαχαίρᾳ μεῖζον, ἢ πηλεὺς φρονεῖ. ἡμεῖς δὲ πλέον ἀλγοῦμεν ἐπὶ τῷ χωρισμῷ τῆς σῆς βασιλείας. Ναζιανζ. θέκλῃ. Κἀπὶ συναλλάγματος δὲ ταὐτὸ τοῦτο δηλοῦν δοκεῖ. οἷον, ἐπὶ πολλῷ ἐπριάμην. καὶ αἰτιατικῇ δὲ αὐτὸ τοῦτο δηλοῖ. θρηνῶ ἐπὶ σέ. ἀντὶ διὰ σέ.

Ἢ δύναμιν καὶ Αὐτεξούσιόν τι δηλοῦσα. ἐπὶ τῷ βασιλεῖ τὰ τῶν ὑπηκόων.

Ὅ ἐστιν ὑπὸ τὴν ἐξουσίαν καὶ δύναμιν τοῦ βασιλέως.

Ἢ τὸ ὕστερόν τε καὶ δευτερόσχετον. ἐπὶ τούτοις πολλὰ ἕτερα διεξῄει.

Τὸ ὕστερον πρὸς τὸ πρότερον ἀπαντᾷ ὡς εἴρηται. εἰσὶ δὲ καὶ ταῦτα τῶν σχετικῶν. καθ' ὅ, τι ἑκάτερα πρὸς ἄλληλα ἀναφερόμενα, ἀνταποδίδοται. Ἀλλ' ἀπορ'. τὰ πρός τί εἰσιν ἅμα, καὶ οὐ τὸ μὲν αὐτῶν πρῶτον, τὸ δὲ, δεύτερον. τὸ ἄρα ὕστερον δυοῖν θάτερον, ἤτοι τῶν πρός τι ὄν, οὐκ ἔστι δεύτερον τοῦ προτέρου, ἢ δεύτερον ὄν, οὐκ ἔστι τῶν πρός τι. Ἢ ὅτι τὰ πρός τι ἅμα μέν εἰσιν, ἀλλὰ φύσει, ὡς δι' ἀλλήλων ὁριζόμενα, (ὅπερ, τὸ διάλληλον λέγω τῶν ὁρισμῶν, ἐπὶ τῶν ἀσχέτων ἐπιληψιμον ὄν, ἐν μόνοις ἐφεῖται τοῖς πρός τι. πῆρ γάρ φαμέν ἐστιν, οὗ ἔστιν υἱός. καὶ υἱὸς αὖθις, οὗ ἔστι πῆρ.) ἑπομένως δὲ καὶ γνώσει. οὐδὲ γάρ ἐστι νοῆσαι θάτερον παρὰ θάτερον. ἀξίᾳ δὲ εἴτ' οὖν ὑπεροχῇ, ἢ τάξει το μὲν αὐτῶν ἐστι πρῶτον, τὸ δὲ, β'. τοιγαροῦν πρότερος ὑπεροχῇ μὲν, πῆρ τε υἱοῦ, καὶ διδάσκαλος μαθητοῦ. καὶ δεσπότης δούλου. τάξει δὲ, ὁστρατιώτης τοῦ στρατηγοῦ. (πρῶτον γάρ τις στρατεύειν, ἔπειτα στρατηγεῖν τάττεται.) καὶ τὸ α', τοῦ β', τοῦ ὑστέρου τὸ πρότερον. τάττεται γὰρ ἐν α', μὲν τάξει τὸ πρότερον, ἐν β', δὲ, τὸ ὕστερον. τὸ δὲ πρότερον καὶ ὕστερον χρονικῶς ληφθὲν, οὐχὶ καὶ χρόνῳ ἅμα ἐστὶν ἑκάτερον, φύσει δὲ μόνον, ὡς εἴρηται, καὶ γνώσει.

Ἢ τὸ Ἐπάνω. ἐπὶ κρηπῖδι ὁ τοῖχος ἕστηκεν ἰσχυρᾷ. αἰτιατικῇ δὲ, κίνησίν τινα.

Τὴν εἴς τι, εἴτ' ἔμψυχον, εἴτε ἄψυχον.

Λέγουσα. ἐπὶ τὴν ἀττικὴν ἐπορεύετο.

Ἀλλὰ καὶ καταφοραν'. θουκδ', α'. ἀλλὰ στρατεύουσιν ἐπ' αὐτοὺς κερκυραῖοι. καὶ, ἐπειδὴ δὲ μείζονοι παρασκευῇ ἐφ' ἡμᾶς ὥρμηνται. ἀντὶ καθ' ἡμῶν. Ἔτι καὶ τὸ ἐπάνω ἔσθ' ὅτε. αὐτὸς δὲ χρύσειον ἐπὶ θρόνον εὐρύοπα ζεὺς ἕζετο. ἰλ, θ'. κἀν τῷ ᾶ, εἰποτέτοι χαρίεντ' ἐπὶ νηὸν ἔρεψα. ἀντὶ ὠρόφησα. καὶ, κἂν πιλίδιον φέρων ἐπὶ τὴν κεφαλὴν, περινοστῇς καὶ ἐμοὶ λοιδορῇ.

Καὶ γενικῇ δὲ, ταὐτὸ τοῦτο ἔσθ' ὅτε δηλοῖ. ἐπὶ οἴκου. καὶ ἐπὶ τῆς χώρας. ὀρθῶς μὲν καὶ ἀττικῶς, οὐ κατὰ πολλήν γέ τινα χρῆσιν.

Οὐ πολ-

Οὐ πολλοὶ ὅμως εἰσὶν, οἱ οὕτως αὐτῇ κεχρημένοι. παρὰ δὲ θουκυδίδῃ πολλήτις αὐτῆς ἡχρῆσις. β', ταῦτα δὲ ποιήσαντες, ἐπ' οἴκου ἀνεχώρησαν. κἂν τῇ γ', ἀνεχώρησαν οὐκ ἐπὶ πελοποννήσου, ἀλλ' ἐς τὴν αἰολίδα. Λουκιαν, ἐν τῷ νιγρ'. οὐ γὰρ ἐπ' ἰσχυρᾶς ἐμβολῆς ἀπεστέλλετο, καὶ Ὅμηρ, ἰλ, γ'. κλαγγῇ ταίγε πέτονται ἐπ' ὠκεανοῖο ῥοάων. Τῆς αὐτῆς σημασίας ἐστὶ καὶ τὸ ἐφίκετο, ἢ ἐφικνεῖται τῆς ἀρετῆς. ὑπὸ γὰρ μηδένα τῶν κατ' εἰσπομπὴν τόπων τοῦ ῥήματος τῆς συντάξεως ταύτης ἀναγομένης, δῆλον ὡς προθετική ἐστιν ἡ γενική, κίνησιν σημαινούσης. μήποτε δὲ καὶ τὸ ἐφίεμαί του, τοιοῦτό τι ᾖ. τὸ δὲ ἐπεξίημι, τῇ μὲν, δοτικῇ, τῇ δὲ, αἰτιατικῇ, προθετικῶς καθ' ἑκάτερα. Μεταλαμβανομένη δὲ κατὰ τοὺς παλαιοὺς εἰς διάφορα σημαινόμενα ἡ ἐπὶ, ποτὲ μὲν τὴν παρὰ, πρόθεσιν δηλοῖ. οἷον, τὸ ἐπ' ἐσχάρῃ. ὀδ, ῆ. ὃ ταὐτόν ἐστι τῷ παρ' αὐτῇ τῇ ἐσχάρῃ. λαμβάνεται δέποτε καὶ ἀντὶ τῆς πρός. οἷον, τὴν μὲν, ἔπειτ' ἐπὶ βωμὸν ἄγων. Καὶ ἀντὶ τῆς ἐν, ὡς ἐν τῷ ἐπουνίος, ὁ ἐν οὐνῷ. Καὶ ἀντὶ τοῦ ἔπεστιν. οἷον, οὔτι ἔπι δέος. καὶ ἐκ περισσοῦ. ὅθεν ἐπίουρος καὶ ἐπιβουκόλος. καὶ ἐπιμάρτυρος καὶ ἐπιφρύξ. Βούλεται δὲ καὶ τὴν κατὰ, δηλοῦν ἐναντιωματικῶς, ὡς εἴρηται, ὡς ἐν τῷ ἐπίσκοπος ὁ κατάσκοπος. καὶ τὸ ἵκεις ἐφ' ἡμᾶς, παρ' εὐρυπίδῃ. καὶ, ἑπτὰ ἐπὶ θήβας. ἤγουν κατὰ θηβῶν. καὶ δαιμονίη τί μοι ἐπέχεις; ὀδ, ῶ. ἀντὶ τοῦ, κατ' ἐμοῦ ἔχεις, καταστοχάζουσά μου ὡς οἷα τοξεύουσα; οὕτω κἂν τῷ ἐπίορκος καὶ τοῖς ἐξ αὐτοῦ. ἐπιορκεῖν γὰρ τὸ κατὰ ὅρκου γίνεσθαι τῷ ψεύδει, ἀντὶ τοῦ ὑπεράνω τοῦ ὅρκου καὶ ὑπερβαίνειν αὐτὸν, καὶ μὴ κατὰ ἀλήθειαν οἰκειοῦσθαι αὐτῷ. καὶ τὸ ἐφ' ἡμετέρας ἰέναι νῆας, ἀντὶ τοῦ κατὰ τῶν ἡμετέρων. ὃ καὶ σημείωσαι ὡς πολλαχοῦ χρήσιμον. καὶ, θεοὶ ἐτέλειον ἐπάρας. αἵ εἰσιν ἀραὶ κατάτινος. οὕτω καὶ ἐπίρρητος παρὰ τοῖς ὕστερον, καθ' οὗ ῥηθείη ἂν πολλά. καὶ ἐπίκλημα τὸ κατέγκλημα. καὶ ἐπέχειν τὸ κατά τινος ἔχειν. ὃ καὶ ἐνέχειν λέγεται. καὶ ἐπιχαίρειν τὸ κατά τινος χαίρειν ἐχθρῳδῶς. καὶ ἐπιβόητος ὁ μοχθηρὰν ἔχων φήμην. καθ' οὗ δηλαδὴ βοαὶ γίνονται. ὃν ἐπίβωτον Ἀνακρέων φησίν. οὗ ἑτεροῖος ὁ διαβόητος, ὡς ἐπ' ἀρετῇ ἐγνωσμένος. ὁμοία δ' ἐναντιότης τῷ ἐπιβοήτῳ κἂν τῷ ἐπίφατος, ὃ κεῖται παρὰ Σοφοκλεῖ. καὶ ἐν τῷ ἐπάρατος. καθ' οὗ ἀραὶ γίνονται. καὶ ἐν τῷ, ἰδοὺ ἐγὼ ἐπὶ σέ. καὶ τὸ ἐπιτρίβειν δὲ, καὶ ὁ ἐκ τούτου ἐπίτριπτος οὐκ ἀπέοικε τῶν τοιούτων. Σημαίνει ἔτι καὶ ἀκρίβειάν τινα καὶ ἐπίτασιν ἐνεργείας, ὡς τὸ ἐπίσκοπος. ἤγουν σκοπευτὴς ἀκριβής. καὶ, ἐπιόψομαι. καὶ ἐπίψογος. καὶ τὸ ἐπέδραμον ἀντὶ τοῦ μᾶλλον καὶ συντονώτερον ἔδραμον. Δηλοῖ δέποτε ἡ λέξις καὶ τὸ προσέχειν. καὶ ἄλλως δὲ καταστοχασμόν. ὡς ἐν τῷ, ἔπεχε σκοπῷ τόξον. Ηρόδ, δὲ διαλελυμένως φησίν, ἐπὶ σφίσιν ἔχοντες τοὺς αἰγινίτας, ἤγουν ἐπέχοντες. κεῖται δὲ παρ' αὐτῷ καὶ τὸ, ἐπὶ νάξον ἐπεῖχον στρατεύεσθαι οἱ πέρσαι. ὡς εἴτις εἴποι σκοπὸν εἶχον κατὰ τῆς νάξου στρατεύεσθαι. οἱ δὲ λεγόμενοι σκεπτικοὶ φίφοι ἐπέχειν φασὶ τὸ ὑποκρατεῖν τὴν διαλεκτικὴν ἀπόφανσιν, καὶ μὴ ἐθέλειν καταφῆσαι, ἢ ἀποφῆσαι περὶ τῶν προκειμένων εἰς διάλεξιν. Τόγε μὴν ἐπιρρήδην ἐπίρρημα παρὰ τῷ Ἀράτῳ. οἷον, ἑπτὰ δ' ἐκεῖναι (ἤγουν αἱ πλειάδες) ἐπιρρήδην καλέονται. ἑτεροῖόν τι παρὰ τὰ εἰρημένα δηλοῖ. ἐρρέθη γὰρ ἀντὶ τοῦ ῥητῶς καὶ ὀνομαστικῶς, Σημαίνει δὲ πάντως καὶ ὑστεροχρονίαν ἐν τῷ ἐπίλογος. Καίτινα δὲ προσθήκην ἐν τῷ ἐπίκουρος, καὶ ἐπιβολή.

Περὶ

Περί.

Ἡ δὲ περὶ, Γενικῇ μὲν, αἰτιολογοῦσα.

Ἡ μὲν ἐπὶ, δοτικῇ, τὸ οὗ ἕνεκα ὡρισμένως αἰτιολογοῦσα, τούτῳ δὴ καὶ διώρισται. ἡ δὲ περὶ, ἀόριστον ἔσχε τὸ αἰτιολογεῖν, ὡς μὴ ἔν τι κατὰ τὴν ἐπὶ, ὡρισμένως, διάφορα δὲ αἰτιολογοῦσα. αἰτιολογεῖ καὶ γὰρ ἔστι μὲν οὗ, τὸ Ὑλικόν. οἷον,

Περὶ Προθέσεως γράφω.

Οἷον, περὶ τῆς κατὰ τὴν πρόθεσιν συντάξεως. ἡ γὰρ τῶν μερῶν σύνταξις, τοῦ περὶ αὐτῶν, ὅπως ἔχουσι προσῳδίας τε καὶ γραφῆς, διασκεπτομένου τέλος οὖσα, ὑποκείμενον καὶ οἷον ὑλικὴ ὑπόθεσις γίνεται τοῦ ἐπ' αὐτὴν μεταβάντος, καὶ περὶ αὐτῆς πραγματευομένου πρὸς τὴν τοῦ αὐτοτελοῦς λόγου κατασκευήν. ὁποῖόν τι βούλεται ἡ περὶ, κἀντῇ ἀρχῇ τοῦ προοιμίου. λοιπὸν δὲ περὶ συντάξεως τῶν τοῦ λόγου μερῶν εἰπεῖν. κἀντῷ περὶ ὀνόματος καὶ ῥήματος θεωροῦντι διαλεκτικῷ τοῦ συλλογιστικοῦ λόγου ἕνεκα. καὶ ἁπλῶς τῷ περὶ τοῦ πρός τι ἕτερον συντελοῦντος διδάσκοντι, τὸ περὶ οὗ ὁ λόγος εἴτ' οὖν ἡ σκέψις, εἰ καὶ προηγουμένου τοῦ τέλος ὂν τύχοι, τῆς γε μὴν περὶ αὐτοῦ διδασκαλίας ὑποκείμενόν ἐστιν. ὡς καὶ παρὰ τῷ φίφῳ λέγοντι ἐν μὲν τῷ α', τῶν προτέρων ἀναλυτικ: πρῶτον εἰπεῖν περὶ τί καὶ τίνος ἐστὶν ἡ σκέψις, ὅτι περὶ ἀπόδειξιν καὶ ἐπιστήμης ἀποδεικτικῆς. ἐν δὲ τῷ β', τῶν ὑστέρων ἀναλυτ. περὶ μὲν οὖν συλλογισμοῦ καὶ ἀποδείξεως τί τε ἑκάτερόν ἐστι καὶ πῶς γίνεται, φανερὸν, ἅμα δὲ καὶ περὶ ἐπιστήμης ἀποδεικτικῆς. ταὐτὸν γάρ ἐστιν. ἐν ᾧ ὁ μὲν συλλογισμὸς τέλος ὢν τῷ περὶ ὀνόματος καὶ ῥήματος θεωροῦντι, οἱονεὶ ὕλη γίνεται καὶ ὑποκείμενον τῷ περὶ αὐτοῦ πραγματευομένῳ πρώτῳ τῶν προτέρων ἀναλυτ. τῆς ἀποδείξεως ἕνεκα. ἡ δ' αὖ ἀπόδειξις τέλος οὖσα τῷ περὶ συλλογισμοῦ διδάσκοντι πρώτῳ τῶν προτ. ἀναλυτ. ὑλικὴ ὑπόθεσις γίνεται τῷ περὶ αὐτῆς σκεπτομένῳ δευτέρῳ τῶν ὑστέρων ἀναλυτ. τὸ Ὑλικὸν ἔτι καὶ ἔνθα φησὶν ὁ φίφος, κφ'. γ', τῶν τοπικ. ἔστι δὲ ἀριθμῷ ἴσα καὶ ταὐτὰ, ἐξ ὧν οἱ λόγοι καὶ περὶ ὧν οἱ συλλογισμοί. γίνονται μὲν γὰρ οἱ λόγοι, ἐκ τῶν προτάσεων, περὶ ὧν δὲ οἱ συλλογισμοὶ, τὰ προβλήματα ἐστίν. ἐν ᾧ ἐκ παραλλήλου εἰληφὼς προτάσεις τε καὶ προβλήματα, (ταὐτὰ γάρ εἰσί φησι τῷ ἀριθμῷ. ἡ δὲ κατ' ἀριθμὸν ταυτότης, μοναδικὴ ἑνότης ἐστί.) δῆλός ἐστι καὶ τὸ ἐξ ὧν καὶ περὶ ὧν ταυτοδυνάμως εἰληφώς. δηλοῖ δὲ ὕλην τὸ ἐξ ὧν, καὶ τὸ περὶ ὧν ἄρα, τὸ μὲν, τὴν ἐξ ἧς ἡ τοῦ συλλογισμοῦ σύνθεσις, τὸ δὲ, τὴν περὶ ἣν. ὅτι δὲ τὸ περὶ οὗ, τὸ ὑποκείμενον δηλοῖ, δηλοῖ καὶ Γρηγόρ. ὁ Θεολόγ. λόγῳ περὶ τῆς ἐν διαλέξεσιν εὐταξίας. φύσει μὲν ἅπας λόγος σαθρὸς καὶ εὐκίνητος, καὶ διὰ τὸν ἀντιμαχόμενον λόγον ἐλευθερίαν οὐκ ἔχων, ὁ δὲ, περὶ Θεοῦ, τοσούτῳ μᾶλλον, ὅσῳ μεῖζον τὸ ὑποκείμενον. Ἐν μὲν οὖν τοῖς τοιούτοις τὸ ὑλικὸν αἰτιολογεῖ ἡ περί. ὡς κἀντῷ ἐκ τούτων γὰρ καὶ περὶ τούτων ἡ γραμματικὴ θεωρία. Ἔστι δ' οὗ τὸ Τελικὸν, ὡς ἐν τῷ, κτείνας ἀμυνόμενον περὶ πάτρης Ἕκτορα. Ἰλ. ω. κἀντῷ, μάχομαι περὶ σοῦ. κἀντῷ ζ', ξενοφῶν περὶ κυροπδ'. καὶ ὠθουμένων περὶ τοῦ προσελθεῖν. ὡς κἀντῷ, διδάσκω σε διαλέγεσθαι. ὃ τοῦ σαφεστέρου χάριν προσλαβὸν τὸ προθετικὸν ὁμοῦ ἄρθρῳ, εἴη ἂν συμφραζόμενον οὕτω, περὶ τοῦ διαλέγεσθαι. Ἀλλαχοῦ δὲ, τὸ ποιητικόν. ὡς ἐν τῷ, περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας. οἱονεὶ, ἧς ἐβλασφήμησας βλασμίας, ἐναγούσης ἡμᾶς εἰς τὸ λιθάσαι σε. κατὰ δὲ τὸ τῆς ἐναλλαγῆς

λαγῆς σχῆμα ἔστιν οὗ καὶ ἀντὶ τῆς ἀντὶ, κεῖται ἡ περὶ, συσσημαίνουσα τὸ ἴσον. Λυσίας κατὰ τοῦ Ἐρατοσθ', ἀποκτεινύναι μὲν γὰρ ἀνοῦς, περὶ οὐδενὸς ἡγοῦντο, λαμβάνειν δὲ χρήματα, περὶ πολλοῦ ἐποιοῦντο. ὅτι δὲ ἀντὶ τῆς ἀντὶ, κεῖται ἡ περὶ, δηλοῖ καὶ Δημοσθ', προοιμιαζόμενος, ἀντὶ πολλῶν, ὦ ἄνδρες ἀθηναῖοι, κτ'.

Τὸ δὲ περίτῳ δεδοικέναι, μοναδικόν.

Φησὶν ὡς ἡ περὶ, αἰτιολογεῖ, γενικῇ. αἰτιολογεῖ δὲ καὶ δοτικῇ παρ' Ὁμήρῳ, ὡς ἐν τῷ, δέδοικα περὶ ξανθῷ Μενελάῳ. ἰλ, α. ἀλλὰ τοῦτο μοναδικόν. ἴδιον δηλαδὴ μόνου τοῦ δέδοικα ῥήματος κατ' ἀττικούς. οἱ γὰρ ἀθηναῖοι τὸ δεδιέναι καὶ τὰ κατ' αὐτὸ δοτικῇ συντάσσουσιν, ὅταν ἡ περὶ, πρόθεσις, προηγῆται. ὡς τὸ, περιδδείσασα θεοῖς. ἰλ, ο. Θουκδ', α'. δεδιότες περὶ τῷ χωρίῳ. κἀν τῇ ς', ὅτι οὐ περὶ τῇ σικελίᾳ ἔσται ὁ ἀγών. εἴτ' οὖν ὁ φόβος. καὶ, καὶ ἧσσον ἑτέρων περὶ τῷ ἐμαυτοῦ σώματι ὀρρωδῶ. Ἡρόδ, γ', Πρηξάσπεα δὲ ὁρόεντα ἄνδρα οὐ φρενήρεα. καὶ περὶ ἑωϋτῷ δειμαίνοντα, εἰπεῖν. κἀν τῇ ζ', Γέλων δὲ πρὸς ταῦτα δείσας μὲν περὶ τοῖσι ἕλλησι. (τὸ δὲ ἐν τῇ αὐτῇ, μόσχοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι κυνέας ξυλίνας εἶχον, ἀντὶ τῆς ἐπὶ, κεῖται. μηδόλως αἰτιολογούσης τῆς περί. φησὶ γὰρ παρακατιὼν, μᾶρες δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι κράνεα ἐπιχώρια πλεκτὰ εἶχον. τὸ δὲ Θουκδ', ἐν ε', περὶ δὲ τῶ σιῶ συμβατοσέμεν λῆν (δοκεῖ) τοῖς ἐπιδαυρίοις. οὐ δοτικὴ, γενικὴ δέ ἐστιν ἀνυπόγραφος δωρικῶς κατὰ τροπὴν τῆς οὗ, εἰς ω. ὁμοίως τῷ ξυμβαλέσθαι ποτὼς ἀργείως, ἀποδιδόντας τὼς παῖδας καὶ τὼς ἄνδρας.) Κοινῶς δὲ γενικῇ καὶ αὐτὸ. οἷον, δέδοικα περὶ σοῦ. καὶ, νέκυος πέρι δείδια. Θουκδ', γ', δείσας περὶ αὐτῆς. ἀττικῶν γὰρ ἡ δοτική. γέγονε δὲ καὶ τοῦτο διὰ τὴν συμπάθειαν, εἴτ' οὖν συγγένειαν τῆς γενικῆς καὶ τῆς δοτικῆς. Δηλοῖ δὲ καὶ ἐπίτασιν. δι' ἣν καὶ πρὸς γενικὴν συντάσσεται πολλαχοῦ, ὑπεροχὴν καὶ περιττότητα δηλοῦσα. ὡς τὸ, ὃς περὶ μὲν εἶδος, περὶ δὲ ἔργα τέτυκτο τῶν ἄλλων δαναῶν. ἰλ, ρ. ἤγουν ἐπέκεινα καὶ περισσότερον τῶν ἄλλων. κἀν τῷ β', οἳ περὶ μὲν βουλῇ δαναῶν, περὶ δέ ἐστε μάχεσθαι. ἤγουν περίεστε καὶ κρείττους ἐστὲ τῶν δαναῶν ἔν τε τῇ βουλῇ καὶ τῇ μάχῃ. ὡς νοεῖσθαι τὴν περὶ, πρόθεσιν ἐν τοῖς τοιούτοις ἀντὶ τοῦ περιττότερον. ὃ γινόμενον ἐκ τῆς περὶ, προθέσεως, καὶ τοῦ σόω τὸ ὁρμῶ, δηλοῖ τὸν ἄγαν ταχὺν καὶ σωστικὸν, καὶ ἁπλῶς εἰπεῖν μέγαν καὶ πολὺν κατάτινα ἕξιν ἢ κτῆσιν. ὡς δηλοῖ τὸ, περιττὸς ἀριστείδης τὴν σοφίαν, ἢ τὰ θεῖα, ἤ τι τοιοῦτο, ἀντὶ τοῦ μέγας καὶ πολύς. λέγεται δὲ ὡς ἐπὶ πολὺ μὲν ἐπὶ ἐπαίνῳ, λαμβάνεται δέποτε καὶ οὐκ ἐπὶ ἐπαίνῳ, ὡς καὶ ἐν τῷ, τὸ γὰρ περισσὰ πράσσειν, οὐκ ἔχει νοῦν οὐδένα. κἀν τῷ, τὰ γὰρ περισσὰ καὶ ἀνόνητα σώματα. καὶ εἴη ἂν πρός γε τὸ τοιοῦτο περιττὸν, ἐπαινετὸν μάλιστα τὸ ἀπέριττον. Τοιοῦτο καὶ τὸ λέγειν περὶ παντὸς, ἢ περὶ πολλοῦ ποιεῖσθαι τὰ τινός. δύναται γὰρ οὐ μόνον ἰσότητα δηλοῦν, ὡς εἴρηται, ἡ πρόθεσις, ἀλλὰ καὶ περιττότητα. καὶ τὸ ὀϊζηρὸς περὶ πάντων. ἰλ, α. ἀντὶ ὑπὲρ πάντας. Παρὰ δὲ ποιηταῖς καὶ τὸ κύκλω. περὶ σπέους, ἀντιπτωτικῶς. Καὶ ἐν συνθέσει δὲ ταὐτὸ δύναται, ὡς ἐν τῷ περιεῖναι, ἢ περιγενέσθαι τῶν ἄλλων. κἀν τῷ περιβάλλει ἅπαντας, ἀντὶ τοῦ ὑπερβάλλει. ὅθεν καὶ ἡ παρὰ τοῖς ῥήτορσιν ἐκλήθη περιβολὴ, μέγεθος ποιοῦσα λόγου καὶ περιττότητα. ἔστι δὲ ἐμπεριβολὴ, νοήματος μετάταξις. Τῷ δὲ βαίνειν ῥήματι καὶ τῷ ἵστασθαι συμφερομένη, αὕτη τε καὶ ἡ ἀμφὶ,

ἀμφὶ, κατά τε σύνθεσιν καὶ παράθεσιν, δοτικῇ συντάσσεται περιποιητικῶς, παρ' ὁμήρῳ. οἷον, πατρόκλῳ περιβάς. καὶ, ἑσταότες περὶ πατρόκλῳ. ἀμφὶ δ' ἄρ αὐτῷ βαίν'. ἰλ. ρ. καὶ, ἀμφὶ μενοιτιάδῃ ἑστήκει. καὶ αἰτιατικῇ δὲ. ὃς χρύσην ἀμφιβέβηκας.

Αἰτιατικῇ δὲ, τὸ κύκλω σημαίνουσα, καὶ περιποιητικὸν, ἢ συστατικόν. οἷον, περὶ τὴν πόλιν τὸ στράτευμα.

Ἔνθα μὲν τὸ κύκλω, ἐκεῖ πάντως καὶ περιποίησιν, οὐ μὴν ἔνθα τὸ συναμφότερον, ἐξ ἀνάγκης καὶ ἡ τούτοις ἀντιδιῃρημένη σύστασις. εἴ γε καὶ τῶν πολεμίων οἱ πολιορκοῦντες, περιποιούμενοι μὲν, ὅ ἐστιν οἰκειοποιούμενοι τὰ τῶν πόλεων, συγκροτοῦσι τὴν πολιορκίαν, οὐ μὴν καὶ συνιστῶσι πάντως, παραστησάμενοι. ἀλλ' ἔστιν ἃς αὐτῶν ἀναστάτους ποιοῦσι, τὰς δὲ, καὶ καταστρέφουσιν. ὡς δοκεῖν εἶναι τὸν ἢ, ᾧδε παραδιαζευκτικὸν μᾶλλον, ἢ διαζευκτικὸν, ἔχοντος τοῦ λόγου ὧδί. τὸ κύκλω σημαίνουσα ἡ περὶ, ἢ περιποίησιν μόνον δηλοῖ, ἄνευ συστάσεως, ἢ καὶ σύστασιν. τὸ δὲ κύκλω ἢ κατὰ τόπον φασὶ λαμβάνεται. οἷον, περὶ τὴν πόλιν. ἢ κατὰ χρόνον. περὶ δείλην ὀψίαν. ἀμφὶ βουλυτόν. περὶ ἔτος τριακοστόν. οἷον εἰπεῖν μικρόν τι πρότερον, ἢ ὕστερον. τά γε μὴν τοιαῦτα, ὡς καὶ προείρηται, τοῦ πτωτικοῦ μᾶλλον ἢ τοῦ προθετικοῦ τυγχάνοντα ἰδιώματος, παραιτητέα ἐστὶν ὡς ἀόριστα, ἑνὸς ἑκάστου τῶν πτωτικῶν ἴδιόν τι προϊσχομένου δηλούμενον. Ἐν δὲ τῷ, οἱ περὶ τὸν ἀντίγονον, οἱ περὶ τὸν βασιλέα, καὶ τοῖς τοιούτοις, ποτὲ μὲν, τοὺς κυκλοῦντας, ὡς ἐπιτοπλεῖστον δὲ, αὐτὸν ὑποδηλοῖ τὸν κυκλούμενον. ῥητόρων δὲ τοῦτο ἴδιον. οἳ ἀντὶ τοῦ εἰπεῖν Ἀλέξανδρον, οἱ περὶ ἀλέξανδρον, φασὶ, καὶ οἱ περὶ μενέλαον. ὡς καὶ Ὅμηρ, ἐν τῷ γ, τῆς ἰλ, ἀντὶ τοῦ εἰπεῖν, ὅτι ὁ πρίαμος καὶ ὁ πάνθοος καὶ ὁ θυμοίτης καὶ ὁ λαμπὸς καὶ ὁ κλυτὸς καὶ ὁ ἱκετάων ἐκάθηντο ἐν τοῖς πύργοις, φησὶν, οἱ δ' ἀμφὶ πρίαμον καὶ πάνθοον ἠδὲ θυμοίτην οὐκαλέγων τε καὶ ἀντήνωρ πεπνυμένω ἄμφω εἵατο ἐπὶ σκαιῇσι πύλῃσι. μονονουχὶ λέγων, ὅτι ὥσπερ ὁ ἀντήνωρ μόνος αὐτὸς ἦν ἐκεῖ καθήμενος, καὶ ὁ οὐκαλέγων, οὕτω καὶ ὁ πρίαμος καὶ οἱ λοιποὶ ἐμόναζον, ὡς τῶν περὶ αὐτοὺς τῶν μὲν, ἔξω περὶ τὴν μάχην στρεφομένων. τῶν δὲ, οἰκουρούντων, ἢ καὶ ἄλλως μὴ σὺν αὐτοῖς ὄντων. καὶ σημείωσαι τὴν τοῦ σχήματος ἐν τούτοις ἀλλαγήν. ὅπως ἐκ τοῦ πληθυντικοῦ καὶ ἀσαφοῦς τοῦ οἱ δ' ἀμφὶ πρίαμον καὶ ἑξῆς, εἰς τὸ ἐνικὸν καὶ σαφὲς μεταβέβηκεν, ἤγουν εἰς τὸ οὐκαλέγων καὶ ἀντήνωρ. εἰ δέ τις εἴποι, ὅτι περὶ τὸν πρίαμον καὶ τὸν θυμοίτην καὶ τὸν δεῖνα καὶ τὸν δεῖνα ἐκάθητο ὁ οὐκαλέγων καὶ ὁ ἀντήνωρ, οὐκ ἀρέσκοντα λέγει τοῖς παλαιοῖς. Αἰτιατικῇ ἔτι καὶ τὸ Ὑλικὸν, ὡς εἴρηται, ὑποκείμενον ἐν τῷ, γραμματικοῦ γὰρ καὶ ἡ περὶ τὰ τοιαῦτα θεωρία. κἀντῷ, περὶ ἕκαστα τῶν μερῶν θεωρητέον τὸ ὀρθόν τε καὶ μή. κἀντῷ, νομᾶς περὶ τὴν θεραπείαν τῶν θεῶν ἀσχοληθείς. Πλούταρχ. ἀλλὰ γὰρ καὶ τὸ ὑλικὸν αἰτιολογοῦσα ὑποκείμενον, οὐθὲν ἀλλ' ἢ τὸ κύκλω δηλοῦν δοκεῖ. καὶ τὸ Εἰδικὸν δέ πως δηλοῦν ἐθέλει, ὡς ἐν τῷ, περὶ τὸ θεῖον ηὐσέβει. ὡς ἄν τις εἴποι κατὰ τὰ θεῖα ἦν εὐσεβής.

Τὸ δ', ἐρωήσει περὶ δουρὶ,

Ἤτοι ῥεύσει ἐν δόρατι. Ιλ, α.

Καὶ, περὶ πύργῳ. ποιητικά.

Τῆς γὰρ κύκλω σχέσεως αἰτιατικὴν ἀπαιτούσης, Ὁμήρῳ γε μὴν μικρὰ μέλει τῆς κοινῆς ἀκριβείας,

Ἀμφί.

Ἀμφί.

Ἡ δὲ Ἀμφὶ, ὁμοιόσημός τέ ἐστι καὶ ὁμοιοσύντακτος τῇ περί. συνηθεστέρα μέντοι γε ἡ περί.

Ἀτιατικῇ μὲν, κοινῶς. ποιητικῶς δὲ, καὶ ταῖς λοιπαῖς δυοῖν πτώσεσι. τὸ δ' ἀμφοῖν διάφορον, ὅτι ἡ μὲν, ποιηταῖς. ἡ δὲ, πεζοῖς συνηθεστέρα, ἡ περὶ. τὴν δὲ ἀμφοῖν τῶν προθέσεων τούτων παραλληλίαν τε καὶ συγγένειαν εἴτ' οὖν ταὐτοδυναμίαν ἐδήλωσε καὶ Ὅμηρος κἀν τῷ τέλει τοῦ κατὰ τὴν ἰλ, ρ. εἰπὼν, πολλὰ δὲ τεύχεα καλὰ πέσον περίτ' ἀμφίτε τάφρον, φευγόντων δαναῶν. εὕρηται δὲ καὶ αὕτη μετὰ δοτικῆς τὸ οὗ ἕνεκα κατὰ τὴν περὶ, αἰτιολογοῦσα. ὡς ἐν ἰλ, γ. συμβάλετ' ἀμφ' ἐλένῃ, καὶ κτήμασι πᾶσι μάχεσθαι. καὶ, ὡς ὁπότ' ἠλείοισι καὶ ἡμῖν νεῖκος ἐτύχθη ἀμφὶ βοηλασίῃ. κἀν τῷ ν. ἀλλ' ἔπευ, ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα (ἤτοι συμβῶμεν) ἀμφὶ γάμῳ.

Ἀπὸ.

Ἡ δὲ Ἀπὸ, ἀεὶ γενικῇ, ἀπὸ δικαίου. ἀφ' ἑτέρου.

Τῇ ἀπὸ τόπου κινήσει ὡς εἴρηται οὖσα οἰκεία, οἰκειοῦται ἔσθ' ὅτε καὶ τὴν ἀπὸ προσώπου. ἀπὸ δικαίου γάρ φησι. καὶ ἁπλῶς τὴν ἀπότου. ἤτοι τόπου, ἢ προσώπου, ἢ χρόνου, ἢ ὅλου. ὅθεν κἀν τῷ δρέπεσθαι ἀπὸ τῶν ἀνθέων. πίνειν ἀπὸ τοῦ ὕδατος. ἐσθίειν ἀπὸ τῶν παρακειμένων. οὐ τὸ μέρος δηλοῖ κατά τινας, πῶς γὰρ, ἡ μὴ τῷ μέρει, τῷ δὲ ὅλῳ οὖσα συντεταγμένη; ἀλλὰ τὴν τοῦ μέρους ἀπὸ τοῦ ὅλου κίνησιν. εἴγε τὸ μέρος εἰ μὴ ἐκινήθη, οὐκ ἂν ἐμερίσθη ἀπὸ τοῦ ὅλου. Ἔστι δ' οὗ καὶ τὸ ἔξω καὶ πόρρω. εἴγε διαφορὰ τῆς κινήσεως πρὸς τοῖς ἄλλοις καὶ τὸ ἔξω. ὡς τὸ ἀπὸ σκόπου. ὃ καὶ ἄπο λέγεται. καὶ ἄπο δόξης. τοιοῦτο καὶ τὸ ἀπὸ θυμοῦ. καὶ τὸ ἄποικος, καὶ τὸ ἀπότροφος μαθημάτων, ὁ πόρρω τῶν μαθημάτων τραφείς. κἀν τῷ, ἀποψύχειν δὲ χωρισμὸν δηλοῖ. κἀν τῷ, ἀπόνοια. κἀν τῷ, οὐκ ἀπέοικε τούτου. ἐν οἷς οὐ μᾶλλον προθετικῆς, ἢ ἐπιρρηματικῆς συντάξεως ἔχεται, ἰσοδυναμοῦσα τῶν τοπικῶν τῷ πόρρω. θουκδ, α. ἵνα μὴ ἀπ' οἴκου ὦσιν. ὅ ἐστιν ἀπόδημοι τῆς πρίδος. ἀφ' οὗ τὸ ἄποικοι. Ἀλλὰ καὶ τῇ εἰς τὰ ὀπίσω κινήσει ποτέ ἐστιν οἰκεία, δηλοῦσα ἀποκατάστασιν. ὡς ἡ ἀποστροφὴ διδάσκει, καὶ τὸ ἀποστρέφεσθαι. Καὶ ἀποστροφήν τινος ὅθεν ἐλήφθη. οἷον, ἀπέλαβον, ἀπήνεγκα. ὃ ταὐτόν ἐστι τῷ ὀπίσω, ὡς ἐπὶ χρέους. ἀποδοῦναι μὲν γὰρ, ἐπὶ τῶν χρεωστικῶς, ἢ καὶ ἀκουσίως διδομένων. δοῦναι δὲ, ἐπὶ ἁπλῶς ἑκουσίου δόσεως. ὡς καὶ Δημοσθ', λέγει που περὶ Φιλίππου, ὡς εἰ μὲν ἀποδίδωσι τὸν τόπον ὡς ἡμέτερον, ληψόμεθα. εἰ δὲ δίδωσιν, ὡς χαριζόμενος ἑκουσίως οἰκεῖόν τι, οὐ ληψόμεθα. Ὁ ἀποδιδοὺς δὲ τὰ τοῦ θεοῦ τῷ θῷ, τῷ ὑψίστῳ λέγω τὰς εὐχὰς αὐτοῦ, ὁποτέρας βούλει, εἴτε τὰς καθ' ὑπόσχεσιν, εἴτε τὰς κατ' αἴτησιν, εἴτ' οὖν τὴν τοῦ νοὸς πρὸς τὸν θεὸν ἔντευξιν, οὐ πάντως ἀκουσίως καὶ αὐτὸς ἀποδίδωσιν, εἰ καὶ διὰ τὸν πλάσσοντα κόπον ἐπὶ πρόσταγμα, ὑφίσταται βίαν, βιαστὴς ὢν τῆς τῶν οὐνῶν βαιλείας. δόσις μὲν γάρ ἐστι κατὰ τὸν μέγαν Βασίλ, εἰς τὸν ζ', ψαλ, ἡ καταρχὴ τῆς εὐποιΐας. ἀπόδοσις δὲ, ἡ τοῦ ἴσου ἀντιμέτρησις παρὰ τοῦ πεπονθότος. ἀνταπόδοσις δὲ, δευτέρα τις ἀρχὴ καὶ περίοδος τῶν εἴς τινα καταβαλλομένων ἀγαθῶν, ἢ κακῶν. Ὅγε μὴν θεὸς ἀποδώσειν λεγόμενος τῷ μὲν πανδοχεῖ, εἴτι ἂν προσδαπανήσῃ, ᾧ ἐπέχεεν ἐκεῖνος τὸ οἰνέλαιον, τῷ δὲ Παύλῳ καὶ πᾶσι τοῖς ἠγαπηκόσι τὴν ἐπιφάνειαν αὐτοῦ, τὸν τῆς δικαιο-

δικαιοσύνης στέφανον, ἐχ ὡς τὸ ὑπηργμένον ἴσον αὐτιμέξων, ἐδὲ χρ ὀφειλὴν αὐταποδίδωσιν, ἢ ἀποδίδωσιν, ἃ δίδωσι, (τίς γὰρ προέδωκεν αὐτῷ, ἢ αὐταποδοθήσεται) αὐτῷ; ὁπότε ἢ αὐτοὶ οἱ πάντα τὰ δικατεπαγμένα αὐτοῖς ποιήσαντες, ἀχρεῖοι δοῦλοί εἰσιν, ὡς τὰ ὀφειλόμενα ποιήσαντες;) ἀλλὰ χρ χάριν, ἃ μᾶλλον ἀποδιδοὺς, ἢ δίδους, οἰκειότερον δὲ εἰπεῖν χαριζόμενος. Πρὸς μὲν οὖν τὸ ἀποδοῦναι, ἀπαντᾷ τὸ ἀπαιτεῖν, καὶ τὸ ἀπολαβεῖν ἢ τὸ ἀπέχειν. ὡς τὸ, ἀπέχω τὰ ξ ὀφειλόμενα. πρὸς δὲ τὸ δοῦναι, τὸ αἰτεῖν ἢ λαβεῖν. Ἐν δὲ συνθέσει τινῶν ὀνομάτων ἀποχὴν, ἢ παῦσίν τινος ἐνεργείας, ἢ στέρησιν ἕξεως σημαίνει. οἷον, ἐν τῷ, ἄπιχθυς, ἢ ἄποινος. καὶ ἐν τῷ, ἀπόδρομος, ἢ ἀπόμαχος, ἢ ἀπόθειξ, ὅ ἐστιν ἄνιβος. καὶ ἐν τῷ, ἀπὸ βασιλέων ἢ ἀπὸ ἐπάρχων, ἀποθέσιν τοῦ τοιούτων ἀξιωμάτων δοκεῖ ὑπαγορεύειν. καὶ ἐν τῷ ἀποκηδῆσαι, πέρας καὶ ἀπόθεσιν τῆς κηδεσθαι δηλοῖ. καὶ ἐν τῷ ἀποκαθῆσθαι ἢ ἀπογίνεσθαι, στέρησιν οὐσίας μὲν, κτήσεως, οὐσίας δὲ, γενέσεως. ὡς ἐν τῷ, τὸ συμβεβηκὸς γίνεται καὶ ἀπογίνεται, ὅ ἐστι φθείρεται, χωρὶς τῆς τοῦ ὑποκειμένου φθορᾶς. Ἐν δὲ τῷ ἀποζῆν, ὀλιγότητα. ἢ τὸ ὕστερον δὲ αὐτὶ τῆς μὴ, ἐν τῷ, ἀπόδειπνα, αὐτὶ μὴ τὸ δεῖπνον. ὡς παρ' Ὁμήρῳ, δεῖπνον ἕλοντο, ἀπὸ δ' αὐτῶν θωρήσσοντο. καὶ Ἡρόδ. τὸ δὲ ἀπὸ τούτου ἕλληνας δὴ μεγάλων κακῶν αἰτίους γενέσθαι. Καὶ αὐτὶ τῆς ἀχ, ὡς ἐν τῷ, ἀπὸ τοξευτέον, αὐτὶ ἀχ τοξευτέον. Καὶ αὐτὶ τῆς ὑπὸ, αἰτιολογοῦσα τὸ ποιητικόν. Θουκυδ. α', αἱ δὲ εἰς τὸ φανερὸν ἑκατέρων αἰτίαι αἵδε ἦσαν. ἀφ' ὧν λύσαντες τὰς σπονδὰς, εἰς τὸν πόλεμον κατέστησαν. οἷόν τι ἢ τὸ, ἀπὸ μέθης παραπαίει. Ἐν δὲ τῷ, ἀπὸ ζεφύρου ἢ βορρᾶ ἔχει τὸν λιμένα ἡ πόλις, αὐτὶ τῆς χρ, κεῖται, τοῦ τῆς λιμένος θέσιν προσδιορίζουσα. ὡς καὶ ἐν τῷ, ἀφ' ὑψηλοῦ τόπου ἐπορεύθησαν. Ἐπί τινων δὲ ἔδοξε προσίθησι τὴν τοῦ ἁπλῶν σημασίαν. ὡς ἐν τῷ ἀπομνημονεύειν, ἢ ἀπομάχεσθαι. ἢ ἐν παραθέσει οὐδέποτε ἀργῶς προσκεῖται. ἀπ' ἐρανόθεν.

Ὑπό.

Ἡ δὲ ὑπὸ, γενικῆ, αἰτιολογοῦσα τὸ ποιητικόν. ἔδὲ ὑπὸ πενίας δύεργετῶ.

Τὸ ποιητὸν ἢ τὸ ποιητικόν εἰσι τῆς πρός τι, καθὰ δὴ καὶ τὸ πάθος ἢ ἡ ἐνέργεια, ὡς καὶ ἐν τῇ ἀχ, ἐλέγετο. τὸ δὲ ποιητὸν πάθος δηλοῖ, ἐνέργειαν ἄρα τὸ ποιητικόν. ἡ δὲ ὑπὸ, μὴ γενικῆς τὸ ποιητικὸν δηλοῖ. ἐνέργειαν ἄρα δηλοῖ. πῶς ἂν οὖν εἰκάσειας οἱ ἐκδεδωκότες τῷ ὑπὸ, μὴ γενικῆς πάθος σημαίνειν; ὥσπερ γὰρ ἐν τῷ, ἐγὼ διδάσκω σε, τὸ ἐν πρώτῳ προσώπῳ ἐνέργειαν σημαίνει, ἵνα ἀντιστραφὲν τὸ αὐτὸ καὶ τὴν παθητικὴν συνάπτῃ, ἢ γενόμενον ἐκ δύο, ἐνέργειαν πάλιν δηλοῖ τῷ αὐτῷ. οἷον, σὺ διδάσκῃ ὑπ' ἐμοῦ. ἡ γοῦν ὑπὸ, μὴ γενικῆς τὸ ποιητικὸν αἴτιον λέγειν ὅ ἐστι δηλοῦν βούλεται. ὡς καὶ τῷ ιλ, ψ. ἦγαγον ἡμέτερον δ' αὐδροκτασίης ὑπὸ λυγρῆς. ἐν ᾧ ἡ ὑπὸ, αὐτὶ συνδέσμου αἰτιολογικοῦ κεῖται. Ἡ μὲν ἐνέργεια κίνησις ἐστὶ καὶ δραστήριος, τοῦ ὑφεστῶτός ἐστι κυρίως καὶ κινεῖν οἰκοθεν πεφυκότος. φημὶ δὴ τῆς ὑποκειμένης οὐσίας, τῆς ἐν ἑαυτῇ ἐχούσης τὴν ἀρχὴν τῆς κινήσεως, οὐχὶ τοῦ καθ' ἑαυτὸ μόνου, τῇ δὲ οὐσίᾳ παρυφεστῶτος ἀδρανοῦς συμβεβηκότος. εἰ γάρτοι καὶ πᾶσα ἐνέργεια, ἐκ δυνάμεως, ἧς οὐκ ἄνευ. τὸ δὲ ποιοῦν, μὴ ἔχον δύναμιν, οὐκ ἂν ἐνεργήσοι καὶ ποιήσοι εἰς ἄλλο, ἀλλ' ὅταν ποιῇ, μεθέξει πάντως δυνάμεως τοῦ ποιεῖν. ἡ δὲ δύναμις, ἤ τίς ποτ' ἂν ᾖ τῷ διαζοντι λόγῳ, (ἔστι δὲ

παρασκευὴ τελείας τῆς οὐσίας καὶ ἐπιμόνης ἀκωλύτως τοῦτο τὸ ἐνεργεῖν, καὶ καθ' ἑτέρας εἰπεῖν, τοῦτ' ἐντελέχεια. ὡς τὸ λογικόν, ἡ αἴσθησις, ἡ φύσις, ἡ ψυχή. ἢ ἕξις, ὡς ἡ τέχνη, γνωριστικὴ τῆς ἐνεργείας. καὶ ὡς λέγομεν τὸ πῦρ ἔχει δυνάμιν καυστικήν. ἐνέργεια δέ ἐστιν ἡ ἀπὸ τῆς δυνάμεως προβαλλομένη κίνησις ἐνεργὸς εἴτ' ἐν δραστηρίοις, ἐνεργὸς δὲ ἡ ἐν τῷ ἔργῳ.) τῶν παρυφεστώτων ἐστί, ποιότης ἔσα, ἐμὴν ἁπλῶς, ἐκ δὲ τῆς ἐνέσεως τῷ ποιοῦντι δυνάμεως πρόεισιν ἡ ἐνέργεια. ὡς εἶναι τὴν ἐνέργειαν οὐχὶ αὐτῆς καθ' αὐτὸ τῆς δυνάμεως, τὸ δὲ τῆς δυνάμεως μετέχοντος ὑποκειμένου, καὶ τοῦ ᾧ ἐνυπάρχει ἡ δυνάμις. ἡ μὲν οὖν, ὡς εἴρηται, ἐνέργεια τοῦ ὑφεστῶτός ἐστιν, ὁ δὲ Θεόδωρος λέγων ὧδε μέν, τὴν ποιὰν ποιητικὸν εἶναι τοῦ μὴ διεργετεῖν, ἐν δὲ τῷ καὶ τὰ σωθέντα εἴδη τῶν ῥημάτων ὀργανικῶν, τὸν φθόνον εἶναι, ὅσον ἡ κατ' ἐνέργειαν κίνησις. ἐν δὲ τῇ μετοχῇ, τὸ ἐκ τοῦ ἀπαρεμφάτου παρυφισάμενον, αἴτιον εἶναι τῆς ὠφελείας. ἐκ τοῦ γράψαι γὰρ φησιν, ὠφέλησα. βέλεται μὲν τοῦ παρυφεστῶτος εἶναι τὴν ἐνέργειαν, (εἰ γὰρ ὁμολόγως ὁ, τε φθόνος καὶ ἡ πενία τῶν ἐν ὑποκειμένῳ ὄντα, τῶν παρυπόστασιν οὐχὶ τῷ ὑπόστασιν ἐχόντων ἐστίν.) οὐκ ἄλλως δέ, ἀλλ' ἢ κατ' ἐκεῖνα εἰδοποιοῦν μένου τοῦ ὑφεστῶς, ἐνεργεῖ τὴν τοιάνδε ἐνέργειαν. ὁ γὰρ ὑπὸ πενίας μὴ διεργέπων Καρίων, οὐκ ἄλλως ὅτι μὴ, ἢ πενής, ταὐτὸν εἰπεῖν πένης ὤν, οὐκ διεργετεῖ. καὶ ὁ φθόνῳ μὴ ἐπαινῶν τὰ καλὰ Κλέων, φθονῶν, οὐκ ἐπαινεῖ αὐτά, ἢ φθονερὸς δηλ, οὐχὶ ἢ Κλέων. κἀκεῖ τὸ μὴ ἐπαινεῖν τὰ καλὰ αἴτιον καθ' αὐτό μὲν ἐστιν ὁ φθονερός, καὶ συμβεβηκὸς δὲ ὁ Κλέων. (συμβέβηκε γὰρ τῷ μὴ ἐπαινοῦντι τὰ καλὰ φθονερῷ, Κλέωνα καλεῖσθαι. εἰη γὰρ ἄν, εἴπερ, πᾶς μὴ ἐπαινῶν τὰ καλὰ, Κλέων καλούμενος, καὶ ἐξ αὐτισροφῆς πᾶς Κλέων, μὴ ἐπαινῶν τὰ καλά.) ἆρα τοῦτο ἡ εἰδοποιοῦσα εἴτ' ἐν παρονομάζουσα τὸ καθ' αὐτὸ αἴτιον ποιότης, καθ' ἑαυτὴν λεγομένη δίχα τοῦ ᾧ ἐνυπάρχει ὑποκειμένῳ, αἴτιον λέγεται, οὐκ ἄλλως, ἀλλ' ἢ ὡς εἴρηται κατ' ἐκείνην ποιητικῶς ἐνεργεῖ τὸ ὑφεστώς, ἐκεῖθεν παρονομαζόμενον καὶ οἷον εἰδοποιούμενον. εἴγε καὶ χαπλῶς ἐνεργεῖ τὸ ὑποκείμενον, καὶ δέτινα πώποτε τῶν παρυφεστώτων αὐτῷ εἰδικῶν λόγων. οἷον, ὁ σωκράτης φιφεῖ καὶ οἰκοδομεῖ, τὸ μὲν, ἢ φίφος τὸ δὲ, ἢ οἰκοδόμος. Ἐνθουτοι καὶ αἱ παθητικαὶ λεγόμεναι ποιότητες, ἡ ἐν τῷ πυελίτῃ θερμότης, ἡ ἐν τῇ χιόνι ψυχρότης, λέγονται μὲν πάθος ἐμποιεῖν περὶ τὴν αἴσθησιν, ἡ μὲν αὐτὴν θερμαίνουσα, ἡ δὲ, ψύχουσα. ἔγε μὴν ὡς αὐταὶ καθ' αὐτὸ ποιητικαὶ παθῶν ὄσαι. πῶς γὰρ, αἱ καθ' αὐτὰς μὴ ὑφεστῶσαι; ἀλλ' ὅτι τὸ ᾧ παρυφισήκασι ποιόν, εἴτ' ἐν πεποιωμένον ὑφεστώς, κατ' αὐτὰς ἐνεργεῖ. οἷον, τὸ πῦρ καθ' ἣν ἔχει θερμότητα, τοῦτ' ἐστὶν ἢ θερμόν, θερμαίνει, καὶ ἡ χιὼν ἢ ψυχρὰ, ψύχει. ἀλλὰ ταῦτα μὲν, ὡς πρὸς τὸ ἐκ τοῦ προθετικοῦ πτωτικοῦ καὶ τοῦ καὶ τὰ σωθέντα εἴδη τῶν ῥημάτων δηλούμενον ποιητικὸν αἴτιον εἴρηται. πρὸς δὲ τὸ ἐκ τοῦ καὶ τὴν μετοχὴν ἀπαρεμφάτου κἀκεῖνο ῥητέον, ὡς καὶ τὰ ὀργανα οὐχὶ καθ' ἑαυτὰ, ἑτέρᾳ δὲ κινήσαντος κατὰ τὸν φίφον, μεταξὺ γίνεται τὸ τέλος, ὥς πω προείρηται. ὥστε οὐ δὲ τὸ γράψαι, κυρίως ἂν εἴη τῆς ὠφελείας αἴτιον, ἀλλ' ὁ τοῦτο κινήσας. καὶ τοῦ μεγάλου δὲ βασιλέως λέγοντος, λόγῳ ὅτι οὐκ ἔστιν αἴτιος ὁ Θὸς τῶν κακῶν. τῆς τομῆς ἢ τοῦ καυτῆρος οὐχ ὁ ἰατρὸς αἴτιος, ἀλλ' ἡ νόσος. τῇ νόσῳ τὸν νοσοῦντα σωυπακουσέον ποιητικόν. οὐδὲ γὰρ ἡ νόσος καθ' ἑαυτὴν, ὁ δὲ νοσῶν αὐτὸς προθυμούμενος τὸν ἰατρὸν εἰς τὸ τέμνειν ἢ καίειν τὸ νενοσηκὸς μέλος κινήσας, αὐτὸς ἂν εἴη τὸ ποιη-

τὸ ποιητικὸν καθ' αὑτὸ τῆς τομῆς, οὐχ ὁ ἰατρός. οὐ γὰρ δὴ τελικὸν τοῦ καυτῆρος, ὡς οὐ δὲ τῆς ἰατρικῆς ἡ νόσος. εἴη δ' ἂν οὕτως εἰλημμένον καὶ ὅ φησιν ὁ θεῖος Χρυσστμ. ὁμλ', ζ', ἐν τῇ πρὸς κορθ', β'. ὅτι τὸν κατάδικον οὐχ ὁ τὸ ξίφος μεταχειρίζων, ἀλλ' οὐδ' ὁ ἀποφαινόμενος καὶ καταδικάζων, ἀλλ' ἡ τοῦ κολαζομένου πονηρία ἀποτέμνει.

Καὶ ἔτι τὸ ὑποκάτω σημαίνουσα. ὑφ' εἵματος κρύπτοντα χεῖρα.

Ἐν τῇ παρ' Εὐρυπίδῃ ἑκάβῃ.

Ὅδη καὶ δοτικῇ καὶ αἰτιατικῇ συντασσομένῃ, δηλοῖ. ὑπὸ δένδρον, καὶ ὑπὸ δένδρῳ.

Καὶ τὸ, ὑπὸ Θεῷ μάρτυρι, τὸ ἐνώπιον δηλοῦν κατά τινας ἀντὶ τοῦ ἐπὶ θεοῦ, ἥκιστα διενηνοχέναι δοκεῖ τοῦ ὑπὸ δένδρῳ. ἐπί γε μὴν θεοῦ τοῦ πανταχοῦ παρόντος, καὶ τὸ ἐνώπιον καὶ τὸ ὑποκάτω ἐπίσης καταχρηστικώτατα λέγεται. Ἐν δὲ συνθέσει δηλοῖ ποτε καὶ τὸ λεληθότος, ἢ καὶ τὸ κρύφα. ὡς τὸ ὑπεξῆλθε, καὶ τὸ ὕπουλος. Καὶ ἀντὶ τῆς πρὸ, ὡς ἐν τῷ, ὑπολαβὼν, εἶπεν, ἀντὶ τοῦ προλαβών. τοιοῦτο καὶ τὸ ὑποβαλὼν λόγον, ἀντὶ τοῦ λαλήσας, πρὸ τοῦ λαβεῖν τέλος τὰ προλαλούμενα. τοῦτο δὲ καὶ ὑπολαβεῖν λέγεται. ὑπολαβὼν δὲ ὁδεῖνα, εἶπεν. ἀντὶ τοῦ διακόψας τὸν τοῦ ἑτέρου λόγον, καὶ ὑποθεὶς τὸν ἑαυτοῦ. Ἐν δὲ τῷ ὑπονοεῖν καὶ ὑπόνοια, ἐν τελοῦς διανοίας ἔλλειψιν δηλοῖ.

Ὑπέρ.

Ἡ δὲ Ὑπὲρ, Γενικῇ μὲν, ἐπὶ Βοηθείας.

Τίθεται, ἢ λαμβάνεται.

Οἷον, ὑπὲρ κτησιφῶντος ὁ λόγος. καὶ Αἰτιολογίας, ὁμοίως τῇ περί.

Ἔστι μὲν οὖ, τῆς τοῦ Ἐξ οὗ, εἴτ' οὖν τοῦ ὑλικοῦ. οἷον,

Ὑπὲρ ὧν εἶπον, πάλιν ἐρῶ.

Ἔστι δ' οὗ, τῆς τοῦ Οὗ ἕνεκα, ὡς ἐπὶ τοῦ προληφθέντος, ὑπὲρ κτησιφῶντος ὁ λόγος. Θουκδ'. α', ἐπειδὴ ἐδείσατε ὑπὲρ ἡμῶν. ἐν ἴσῳ τῷ περί τῳ δεδοικέναι. καὶ Γρηγόρ. ὁ θεολόγ. ἐν τῷ περὶ ἱερωσ', καὶ ταῦτα ὑπὲρ τίνος; ἵνα ἀνὸς ζήσῃ πλείους τὰς ὑπὲρ γῆς ἡμέρας. κἀν τῷ α', στηλιτ: καὶ ταῦτα ὑπὲρ τίνος; ἵνα χρυσὸν ἕνα μὴ πρόηται τοῖς βασανισταῖς. ἐν δὲ τῷ, ὑπὲρ Χοῦ οὖν πρεσβεύομεν, ὡς τοῦ Θεοῦ παρακαλοῦντος δι' ἡμῶν. δεόμεθα ὑπὲρ Χριστοῦ. καταλλάγητε τῷ θεῷ. πρὸς κορθ, β', κφ', ζ'. ἀντὶ τῆς ἀντὶ, ἡ ὑπὲρ, εἴληπται. τοῦτ' ἔστιν ἀντὶ τοῦ Χοῦ. ἔπεμψε γάρ φησιν ὁ θεῖος χρυσόστμ: (καὶ τόμ, ε', λόγῳ ξδ', καὶ ὁμλ', α', εἰς τὴν πρὸς ῥωμ. καὶ ια', εἰς τὴν β', πρὸς κορθ'.) τὸν Υἱὸν ὁ Πὴρ παρακαλέσαι καὶ πρεσβεῦσαι πρὸς τὴν τῶν ἀνῶν φύσιν ὑπὲρ αὐτοῦ. ἐπεὶ οὖν σφαγεὶς ἐκεῖνος ἀπῆλθεν, ἡμεῖς ἀνεδεξάμεθα τὴν πρεσβείαν. (θέμενος γάρ φησιν, ἐν ἡμῖν τὸν λόγον τῆς καταλλαγῆς.) καὶ ἀντ' αὐτοῦ καὶ τοῦ Πρὸς παρακαλοῦμεν ὑμᾶς. Οὐ μὴν ἀλλὰ καὶ τὸ Ποιητικόν. χρυσστμ. ὁμλ', λς', τοῦ κατὰ Ματθ'. ἀναμνήθητί μοι νῦν ἐν καιρῷ τῆς νηστείας, ποσάκις τραπέζης παρακειμένης ἐν ἑσπέρᾳ, καὶ τὸν ὑπηρετοῦντα οἰκέτην καλέσας, ἵνα σχολαιότερον βαδίσῃ, πάντα ἀνέτρεψας, λακτίζων, ὑβρίζων, λοιδορούμενος ὑπὲρ ἀναβολῆς μόνον μικρᾶς. τὸ γὰρ, ἵνα σχολαιότερον βαδίσῃ, καὶ τὸ, ὑπὲρ ἀναβολῆς μικρᾶς, ταυτολογία ἐστίν. ἔστι δὲ τὸ ἵνα, αἰτιῳδῶς ἀλλ' οὐκ ἀποτελεσματικῶς εἰλημμένον, καὶ

ἡ ὑπὲρ

ἡ ὑπὲρ, ἄρα ὡσαύτως. κἀν τῇ μθ', πῶς γὰρ διαφεύξῃ κατηγορίαν, ὅταν ὁ μὲν (παράσιτος) ὑπὲρ γέλωτος αὐτὰ (τὰ τῆς σῆς πρῴας οὐσίας.) λαμβάνῃ, ὁ δὲ (χ̅ς̅) ὑπὲρ βασιλείας οὐνὼν οὐδὲ τὸ πολλοστὸν τούτων; καὶ ὁ μὲν, ἵνα τι εἴπῃ ἀστεῖον, ἐμπλησθεὶς ἀπῆλθεν, οὗτος δὲ, κτ'.

Καὶ ὅταν τὸ Ἐπάνω δηλοῖ· ὑπὲρ καπνοῦ τίθησι τὸ πηδάλιον.

Ἐν ᾧ καὶ τὸ ἐντὸς οὐδὲν ἧττον δηλοῦν δοκεῖ. εἴγε τῷ ὑπὲρ καπνοῦ τὸ ἐκ καπνοῦ ἀντίκειται. ὧν τὸ μὲν, ἐπὶ τῶν ἐπιμελείας ἀξιουμένων, τὸ δὲ ὑπὲρ καπνοῦ, ἐπὶ τῶν ἀμελουμένων. Ναζιανζ: Ἀδαμαντίῳ. ἰδοὺ σοι καὶ τὰ πυκτία, ὅσα τοὺς σῆτας διέφυγε καὶ τὸν καπνὸν, ὑπὲρ οὗ κατέκειτο, καθάπερ τοῖς ναυτικοῖς τὰ πηδάλια μετὰ τὸν ἀπόπλουν καὶ τὴν ὥραν. Ἕτεροι δὲ ἐν τῷ ὑπὲρ καπνοῦ, διὰ τὸ ἀνωφερὲς τοῦ καπνοῦ τὸ ἐπάνω δηλοῦν φασι τὴν πρόθεσιν. δι' ὃ οὐδεὶς ἂν ὀρθῶς ὑπὸ καπνῷ τίθεσθαί τι εἴποι φασίν. ἀλλὰ μὴν ἐκ καπνοῦ πᾶς τις λέγει, τοῦτ' ἔστιν ἔξω καπνοῦ, τὸ ἄρα τούτῳ ἀντικείμενον ὑπὲρ καπνοῦ, καὶ τὸ ἐντὸς δηλοῖ ὡς εἴρηται. Τὴν ἐπάνω δὲ σχέσιν δηλοῦσα, γενικῇ μὲν παρὰ τοῖς ἀττικοῖς, αἰτιατικῇ δὲ παρὰ τοῖς ἄλλοις ἕλλησιν. ὑπὲρ ἅλα δίαν.

Αἰτιατικῇ δὲ, τὸ πλέον τε

Ὡς ἐπὶ ἀριθμοῦ. τοὺς χαλδαίους ὑπὲρ τὰ ἑκατὸν ἔτη βιοῦν λόγος, ὡς παρασημειοῦται ὁ Θεόδωρος ἐν τῷ περὶ μηνῶν. μηνιαίου ὄντος αὐτοῖς τοῦ ἐνιαυτοῦ, εἶτα τετραμήνου, ὥς φασι. δι' ὃ καὶ ἀρχαιότατοι εἶναι δοκοῦσι, πλῆθος ἐτῶν καταριθμοῦντες σφίσιν ἀμήχανον, ἅτε δὴ τοὺς μῆνας τιθέμενοι εἰς ἐτῶν ἀριθμὸν.

Καὶ ἐπέκεινα,

Ὡς ἐπὶ διαστημάτων. ὑπὲρ τὴν θρᾴκην ἡ μακεδονία.

Καὶ ὅλως ὑπερκείμενον ἀποφέρεται.

Ἀποφέρεσθαι δηλοῖ οὐ μόνον τὸ ἀπολαμβάνειν, ἀλλὰ καὶ τὸ ἀποδιδόναι τὰ ὀφειλόμενα. καὶ ἡ ὑπὲρ, γοῦν μετὰ αἰτιατικῆς τὸ ἐπιβάλλον τῆς σημασίας ἀποδίδωσιν, ἀπολαμβάνουσα τοῦτο ἀπὸ τῆς προθετοπτώτου παραθέσεως.

Οἷον, ὑπὲρ ἀνὸν, τί ἐστιν ὁ Θ̅ς̅, εἰδέναι.

Ἀντὶ τοῦ, τὸ εἰδέναι τί ἐστιν ὁ Θεὸς, τοῦτό ἐστιν ὑπὲρ ἄνον. ἐν δὲ τῷ, ὑπὲρ ἄνον φρονεῖς, τὴν κατὰ τὸ μᾶλλον σύγκρισιν. ὥσπερ τὴν κατὰ τὸ ἧσσον ἐν τῷ παρὰ ἄνον, καὶ τὴν κατὰ τὸ ἐπίσης ἐν τῷ, κατὰ ἄνον. Τὸ γὰρ ὑπὲρ φύσιν καὶ τὸ παρὰ φύσιν, ἐκτροπαὶ καὶ ἄμφω τοῦ κατὰ φύσιν τυγχάνοντα, διαφέρει ἀλλήλων, τῷ τὴν ἐκτροπὴν γίγνεσθαι τοῦ μὲν, ἐπὶ τὸ κρεῖττόν τε καὶ ὠφέλιμον. τοῦ δὲ παρὰ φύσιν, ἐπὶ τοὐναντίον, καὶ τῷ τὸ μὲν, ἔργον εἶναι φυσικῆς ἀσθενείας, τὸ παρὰ φύσιν, τὸ δὲ, θείας δυνάμεως.

Συντεθεῖσαι δὲ τοῖς ῥήμασιν αἱ προθέσεις.

Μετὰ τὴν πρὸς τὰ πτωτικὰ τῶν προθέσεων σύνταξιν, ἀκολούθως καὶ τὴν μετὰ τῶν ῥημάτων σύνθεσιν αὐτῶν ἐκτίθεται. καί φησι, τῆς προθετικῆς σημασίας τηρουμένης, καθόλου αἱ προθέσεις τοτηνικαῦτα τὴν ἑαυτῶν ἀπαιτοῦσι πτῶσιν. οὐγε μὴν παρὰ τοῦτο ἀποκλείουσι τὸ ῥῆμα τῆς κατ' αὐτὸ συντάξεως, ἀλλ' αὐταί τε ἀπαιτοῦσιν ἅμα τὸ ἴδιον πτωτικὸν, καὶ τοῦ ῥήματος οὐκ ἐμποδίζουσι τῇ συντάξει. ὡς ἐπὶ τοῦ συγγράφω σοι λόγους,

- **Συμπλεκτικοί.**
  - Ἀρκτικοί.
    - Λόγου
      - ὁ μέν,
      - ἀμφοῖν
        - ὁ Καί
          - λόγου μέν, ᾗ ἕτερον Καί, ἁπαξαπλῶς ὁμοιόπτωτον,
          - λέξεως δέ, τὸ Τέ ἐστιν ἀκολουθητικός,
        - ὁ Ἠμέν,
        - ὁ Αὐτάρ ᾗ Ἀτάρ,
        - ὁ Ἤτοι, ἰσοδυνάμως τῷ Μέν, παραποιπαῖς.
      - Λέξεως
        - ὁ Ἠδέ τῷ Ἠμέν, ἐπακολουθῶν.
    - Ἐπιπλεκτικοί.
      - Λόγου
        - ὁ Ἀλλά, - - - - - - -
        - ἀμφοῖν. ὁ Δέ, μεταβατικός
        - ὁ Τέ τῷ Καί, προηγούμενος.
      - Λέξεως.
        - ἀκόλουθοι τοῦμέν.
- **Διαζευκτικοί.**
  - ὁ μέν Ἤτοι, προπλεκτικός ἐστι τοῦ Ἤ.
  - ὁ δέ Ἤ, ὧν
    - Διαζευκτικός μέν ᾗ παραδιαζευκτικός. τὸν προπλεκτικὸν ἔχει ἢ προκείμενον, ἢ σιωπαλούμενον.
    - Διασαφητικός δέ, ὃς ᾗ αἱρετικός αὐτὶ τῆς ἀ. ὁ δὲ αὐτὸς καὶ ἀντὶ τοῦ παρ ὁ. - -
    - Ἀπορηματικός.
    - Λυτικός.
    - Συγκριτικός
      - ὅ, τε διακριτικός, ὅ ἐστι διαφορικός, μικρόν, ἢ ἀ δέν διαφέρων τοῦ διασαφητικοῦ.
      - ᾗ ἐπιλεκτικός.
    - Ὅρκιος μετὰ τοῦμήν.
    - Ὑποπλεκτικὸς τοῦ τί ἐρωτηματικοῦ ἐγκλιτικῶς, τίν.
    - Ἀντὶ τοῦ
      - ἔνθα μέν, Εἰμή. τοῦτο δὲ ἀντὶ τοῦ Ἀλλά.
      - ἔνθα δέ, Πολλῷ μᾶλλον - - - - - - - - - - - - - - - - -

  - μονάζει.

Τὸ δὲ
- Ἤ.
  - βεβαιωτικὸν
  - ἀπορηματικὸν
- Ἤ.
  - ὁμοιωματικὸν
  - τοπικὸν - - -

- Ἐπιρρήματα.

- **Σωπαστικῶν ᾗ Παρασωπαστικῶν.**
  - Κοινὸν μέν
    - Τὸ σωπᾶσθαι ἀτελῆς ἐννοίας.
    - Τὸ τάξιν τινὰ ᾗ ἀκολουθίαν τοῦ ἑπομένου πρὸς τὸ ἡγούμενον δηλοῦν.
    - Τὸ κατὰ τε τὸ ὀρθὸν καὶ τὸ ἀντεστραμμένον σωπᾶσθαι.
      - κατὰ μέν παρίκοντος πράγματος. - - -
        - ἐπὶ μέν ὁμολογουμένων
          - ὁριστικῇ.
          - ᾗ ὑποπλεκτικῇ.
        - ἐπὶ δὲ ἐνδοιαζομένων, ἀκτικῇ.
      - κατὰ δὲ ἐνεστῶτος ᾗ μέλλοντος.
  - Γίδιον δὲ
    - Τῶν μὲν Σωπαστικῶν
      - Τὸ μὴ δηλοῦν ὕπαρξιν.
      - Τὸ χωλὸν
        - Ἔστι μέν ὅ, κατ ἔλλειψιν
          - ἀποδόσεως τοῦ ἑπομένου λόγου
          - ῥήματος
            - προτρεπτικοῦ.
            - προπλεκτικοῦ.
        - Ἔστι δὲ οὗ, ἀντὶ τοῦ
          - ὅπως. τοῦτο δὲ ἀντὶ τοῦ ὅπως.
          - ἄγε, παρακελευστικὸν.
          - εἴθε, ἀκτικὸν.
          - ἐπεί, παρασωπαστικὸν.
          - ἆρα, ἐρωτηματικὸν.
    - Τῶν δὲ Παρασωπαστικῶν τὸ ᾗ ὑπαρξιν δηλοῦν, τοῦτ ἔστι τὸ καταφάσκειν τοῦ ἐν τῷ ἡγουμένῳ ὑποκειμένου τὸ κατηγορούμενον.

- **Αἰτιολογικοί. ὧν**
  - Κοινὸν μέν, τὸ προπίπτεσθαι τῶν λέξεων κατὰ τὸ ὀρθὸν ᾗ τὸ ἀντεστραμμένον, πλὴν τοῦ γάρ.
  - Γίδιον δὲ - -
    - Τῶν μέν
      - γάρ - - -
      - ὅτι, διό, τι.
        - ὁριστικῇ,
        - ᾗ ἀπαρεμφάτῳ
          - τελικῷ μέν, ἀποτελικῶς.
          - ἀντὶ ῥήματος δὲ προσωπικοῦ.
            - συμπερασματικῶς.
            - θαυμαστικῶς.
      - ἐφ ᾧ. - - -
    - τοῦ δὲ ἵνα ᾗ τῶν ἴσων
      - ἀπὸ μέν συνεστῶτος ᾗ μέλλοντος - - - -
        - ὑποπλεκτικῇ.
        - ᾗ ἀκτικῇ.
        - ᾗ ὁριστικῇ.
      - ἀπὸ δὲ παρῳχημένου - - - - - - - - - -
    - τοῦ δὲ ὅπως τροπικοῦ ὁριστικῇ
      - παραγγελματικῶς μέν, μέλλοντι.
      - ἄλλως δέ, παντὶ λόγῳ.

- **Τὸ δὲ ἵνα αὐτὶ**
  - ὅπου.
  - ἐκεῖ.
  - ὅθεν.

  - τοπικὸν ἐπίρρ.

- **Συλλογιστικοί**
  - ὁ μέν Ἀλλὰ ᾗ Ἀλλάμὼ, προπλεκτικοί μόνον
  - οἱ δὲ ἄλλοι πάντες
    - τῶν λέξεων.
    - ᾗ ὑποπλεκτικοί - - -

- **Ἐναντιωματικοί, καὶ προπλεκτικοί**
- **Ἀπορηματικοί, προηγοῦνται τῶν λέξεων. ὅτι μὴ καθ ὑπέρβατόν.**

- **Παραπλεκτικά.**
  - ὁ Ἀν
    - Ἀορισταλογικός, προπαρασκευαστικὸς, ὑποπλεκτικῇ
      - ἀορίστου.
      - συνεστῶτος.
      - ἀκτικῇ
        - μέλλοντος.
        - παρῳχημένου.
      - ὁριστικῇ
        - παρῳχημένου.
        - μέλλοντος.
      - ἀπαρεμφάτῳ εἰδικῷ
      - μετοχῇ
      - κατὰ πὰς τρεῖς τοῦ λόγου διαφοράς.
    - Δωρικὸς ᾗ ὑποπαρασκευαστικός.
    - Συμπλεκτικός.
    - Συλλογιστικός.
    - Περιγραφικός.
    - Μεταβατικός.
  - ὁ Δή. - -
  - ὁ Ὅτι. - -
    - Βεβαιωτικός.
    - Αἰτιολογικός.
  - ὁ Γε. - -
  - ὁ Περ - -
    - Μειωτικός.
  - ὁ Ἔμπης ᾗ Πλήν.
    - Ἐναντιωματικός.

κλητικῇ, κατὰ ἀποκοπὴν τοῦ διπλοῦ συμφώνου, ὡς κεῖται κατ' ἀρχὰς τῶν τοῦ Θεόγνιδος γνωμῶν.

Ὦ ἄνα, Λητοῦς γέ.

Διός τέκος. οὔποτε σεῖο λήσομαι ἀρχόμενος, οὐδ' ἀποπαυόμενος. κἀν τῷ ῖ, τῆς ἰλ, ἀλλ' ἄνα, εἰ μέμονάς γε.

Ὀρθοτονεῖσθαι γὰρ

Τὰς ἀναστρεφομένας, ἵνα ἀναστρέφειν ἔχωσιν.

Ἐπὶ τῆς παραληγούσης ὀρθίᾳ τάσει ἀνάγκη.

Εἴρηται ἐν τῇ δυνάμει τῶν λέξεων τὰς προθέσεις μὴ οἷόν τε εἶναι προφέρεσθαι καθ' ἑαυτὰς ἄνευ ἑτέρου τοῦ εἰς δάνοιαν ἐντελῆ. αὗται δὲ προτιθέμεναι τῶν ἑτέρων τοῦ λόγου μερῶν, τὴν ἐν τῇ ληγούσῃ τάσιν ὑπὸ τῆς τῶν λέξεων συνεπείας εἰς βαρεῖαν ἐγκαρσίως κατασπῶσιν, εἴτ' οὖν πλαγιάζουσι πρὸς καθομαλισμὸν ἀναγνώσεως. τὸ δὲ πλάγιον πρὸς τὸ ὀρθὸν ἀντιδιαστέλλεται. ταῦτ' ἄρα ἐν τῇ ἀναστροφῇ ἀνορθοῦσαι ἐπὶ τῆς παραληγούσης τὴν ἐπὶ τῆς ληγούσης πλαγίαν τάσιν, ὀρθοτονεῖσθαι μὲν κατὰ Θεόδωρον λέγονται, ὀξυτονεῖσθαι δὲ κατὰ Ἀπολλ'. τῆς γὰρ βαρείας τάσεως πρὸς τὴν ὀξεῖαν ἀντιδιαστελλομένης, δῆλον ὡς βαρυνόμεναι ἐπὶ τῆς ληγούσης κατὰ Θεόδωρον, ἐπὶ τῆς παραληγούσης ὀξύνονται.

Αἱ δὲ τρίχρονοι, οὔ.

Διὰ τὸ τοῦ ἐν τῇ ληγούσῃ μακροῦ χρόνου κατὰ τάσιν δυσμετάθετον.

Οἷον, ἥτε ἀντὶ, καὶ ἀμφί. ὅθεν οὐ δὲ αἱ τῷ ῖ πλεονάζουσαι. οἷον, καταὶ, παραὶ, ὑπεὶρ, ἅτε δὴ γενόμεναι τρίχρονοι.

Τὸ αἴτιον τοῦ μὴ ἀναστρέφειν τὰς τῷ ῖ, πεπλεονακυίας, φημὶ τὸ, ἅτε δὴ γενόμεναι τρίχρονοι, παρέλκον δοκεῖ. συνυπακούεται γὰρ ἐν τῷ, ὅθεν προσρήματι. Ἔστι δὲ χρόνος κατὰ γραμματικοὺς βραχεῖα καὶ μακρὰ τάσις. καὶ κατὰ Θεόδωρ. ἔκτασις, ἢ συστολὴ φωνήεντος. εἴρηται δὲ μακρὰ καὶ βραχεῖα, καθ' ὅ, τι τῶν φωνηέντων τὰ μὲν ἐκ δύοιν ὄντα χρόνων τὰ μακρὰ, μακρόν, ὅ ἐστι πολὺν ἠχεῖται χρόνον, τὸ πνεῦμα μὴ ταχὺ διακόπτοντα, προφερόμενα ἄλλοις τε καὶ μάλιστα παρὰ τοῖς μουσικοῖς τε καὶ ῥυθμικοῖς, τοῖς μᾶλλον τῶν ἄλλων τὰς λέξεις τοῖς μέλεσιν ὑποτάττουσι. (πάλαι μὲν γὰρ καὶ οἱ πεζοὶ τῶν λόγων ποιᾷ τάσει ἀπηγγέλλοντο, ὡς ἐκ τῶν τοῦ Ἀλικαρνασσέως Διονυσίου ξυμβαλεῖν ἐστιν, ἔμβιόν τινα ἡδονὴν αἷς ἐνέπιπτον ἀκοαῖς, ἐμμελῶς ἀποστάζοντες, ἤδη δὲ τ' ἄλλα ἡμίπνους σχεδὸν κείμενοι, ἐνὶ τούτῳ ἀπέπνευσαν.) ἐλάττω δὲ καὶ βραχὺν, τὰ ἐξ ἑνὸς, μικρόφωνά τε ὄντα καὶ τὸν ἦχον σπαδονίζοντα. ἃ ταχέα μὲν εἰς ἐκφώνησιν μουσικὸς ἂν εἴποι ἀνὴρ, ἐμβραδύνει δὲ εἰς προφορὰν τὰ μακρά. δίχρονος μὲν οὖν ἡ διὰ, περὶ, ἀνά. τρίχρονος δ' ἡ ἀντὶ, ἀμφὶ, καὶ αἱ τῷ ῖ πλεονάσασαι, ὡς ἐκ βραχείας καὶ μακρᾶς ἁπλῶς συγκείμεναι, τῆς μακρᾶς ἐκ δύοιν βραχειῶν συντεθειμένης.

Ἡ δὲ ἐν, προσλαβοῦσα τὸ ῖ,

Κατ' ἐπέκτασιν.

Καὶ γενομένη ἐνὶ, καὶ δισυλλαβήσασα.

Πρὸς ἀντιδιαστολὴν τῆς ἐν, προσλαβούσης μὲν τὸ ῖ, οὐ μὴν δισυλλαβησάσης.

Καὶ διχρονήσασα.

κατὰ τὰς

κατὰ τὰς δισυλλάβους καὶ αὐτή.

Ἀναστρέφεται. οἷον, ἡμετέρῳ ἐνὶ οἴκῳ. καὶ, ᾧ ἐνὶ κούρη κοιμᾶται.

Ἐπεκταθεῖσα μὲν, συνελκύει καὶ αὐτὴ καθὰ δὴ καὶ ἡ πρετὶ κατὰ τὸ τέλος τὴν ὀξεῖαν. εἴγε πάσαις παρέπεται τὸ ὀξύνεσθαι εἴτ' οὖν βαρύνεσθαι. ἀναστρεφομένη δὲ, ὀρθοτονεῖται δὴ καὶ αὐτὴ ἐπὶ τῆς παραληγούσης εἰ καὶ οἱ ἀμφὶ τὸν τὸ μέγα ἐτυμολογικὸν ἀθροίσαντα, διὰ τὴν πρὸς τὸ δῆθεν ἐνὶ ῥῆμα συνέμπτωσιν αὐτῆς τὰ τοῦ τόνου ἀμείβειν οὐ βούλονται. τὸ γὰρ ἐνὶ, οὐ ῥῆμα, μήτε προσώπων ὂν διακριτικὸν, μήτε χρόνων ὅλως προσηματικὸν, ἀλλὰ πρόθεσις ἀντὶ ῥήματος ἔστιν οὗ εἰλημμένη. τοῦτο δὲ οὐ μόνης τῆς ἐνὶ, ἀλλὰ καὶ τῶν λοιπῶν δισυλλάβων προθέσεων ἴδιον, τὸ παροξυτονουμένας φημὶ, ἀντὶ ῥημάτων καθ' ἑαυτὰς κεῖσθαι. καὶ ὡς ἂν αὐτὸς εἴποι θεόδωρος ἐν τῷ β', περὶ προθ'. μεταθέσει τοῦ τόνου εἰς ῥηματικὸν μεταβαίνειν. ὥσπερ οὖν τῶν ἀναστρεφομένων αἱ παρὰ τὴν ἐνὶ, μηδένα λόγον ποιούμεναι τῆς αὐτῶν πρὸς τὸ ῥῆμα συνεμπτώσεως, οὐδὲν ἧττον ὀρθοτονοῦνται. πάρα γάρ φησιν, ἀντὶ τοῦ πάρεστι. καὶ ἔπι ἀντὶ τοῦ ἔπεστιν. οὕτω τοι καὶ τὴν ἐνὶ, ἀναστρεφομένην, ὀρθοτονεῖσθαι ἐπὶ τῆς παραληγούσης ἀνάγκη, μὴ ἐν ὂν ὅλως τὴν ὀξυτονουμένην ἀναστρέφεσθαι, ὡς ἥτε διὰ, δηλοῖ καὶ ἡ ἀνά. καθόλου γὰρ τῶν ἀναστρεφομένων ἡ ἀμοιβὴ τοῦ τόνου κατὰ Ἀπολλ'. Ἰστέον δὲ ὅτι ἡ ἐν, ταῖς μὲν δισυλλάβοις ἐξομοιοῦται τῇ ἐπεκτάσει. οἷον, ἐνὶ προθύροις, τῶν δὲ μονοσυλλάβων ταῖς μὲν μακραῖς, τῇ ἐπενθέσει τοῦ ῑ καθ' ὑπέρθεσιν. οἷον, εἰν. ταῖς δὲ λοιπαῖς, καθ' ἑαυτὴν οὖσα.

Ἐνίοτε δὲ καὶ αἱ δισύλλαβοι διχρονοῦσαι, ὅμως οὐκ ἀναστρέφονται. οἷον, ἰθάκην κατακοιραννέουσι. καὶ, εὗρε δὲ πατρόκλῳ περικείμενον.

ὀδ: σ̄, καὶ ᾱ. Αἱ γὰρ προθέσεις δύω συντάξεις κατὰ Ἀπολλ', ἀναδεξάμεναι, τὴν μὲν πρὸς τὰ ὀνόματα, τὴν δὲ, πρὸς τὰ ῥήματα, ἡνίκα μεταξὺ τούτων ἐμπέσωσι, τὸ πτωτικὸν μὲν προσδιορίζουσαι, ἀναστρέφονται πρὸς αὐτὸ, ὀρθοτονούμεναι. οἷον, ἰθάκην κάτα κοιραννέουσι, τὸν κοιραννούμενον τόπον ἤδη περιορίζουσης τῆς κατά. ὡς ἄντις εἴποι οὐ κατὰ κέρκυραν, ἢ ἐπίδαμνον, κατὰ δὲ ἰθάκην κοιραννέουσι, τὴν δὲ τοῦ ῥήματος ἐνέργειαν ἐπιτείνουσαι, οὐκ ἀναστρέφονται. οἷον, ἰθάκην κατακοιραννέουσιν. ἐν δὲ τῷ, εὗρε δὲ πατρόκλῳ περικείμενον, οὐκ ἀναστρέφεται καὶ ὡς δοτικῇ μὴ συντασσομένη ἡ περί. Οὐκ ἄκαιρον δέ ἐστιν ἐκθέσθαι καὶ περὶ τῶν ἠπορημένων ἐν τοῖς προθετικοῖς μορίοις. οὐ γάρ φασι δεόντως τὰ τοῦ τόνου ἀμείβεται εἰς ὀξεῖαν τάσιν ἐν τῇ τῆς συντάξεως ἐναλλαγῇ. τοῦτ' ἔστιν ἐπὰν προθέσεις οὖσαι, μὴ ἀναδέξωνται τὸ προκεῖσθαι καὶ τῆς συντάξεως. οὐ γὰρ δὴ τ' ἄλλα μέρη τοῦ λόγου ἀμείψαντα τὴν τάξιν, συναμείβει καὶ τὴν τάσιν. Ἔπειτα, οὐ μᾶλλον αἱ πρόθεσεις, ἢ τὰ συνηρτημένα ταύταις μόρια εἰσὶ τὰ μετατιθέμενα. τὸ γὰρ, ἔπτυσε πολὺ κάτα, ἀπαιτεῖ τὸ κατέπτυσεν ἐν καταλληλότητι. καὶ οὐ μᾶλλον ἡ πρόθεσις, φασὶ, μετατίθεται, ἤπερ τὸ ῥῆμα. Γ'. οὐδ' ἅπασαι αἱ ἀναστρεφόμεναι, ἀλλ' αἱ μὲν, συναμείβουσι τὰ τοῦ τόνου, αἱ δὲ, οὔ. ἐν γὰρ τῷ, ἰθάκην κατακοιραννέουσιν, ἡ τοῦ ῥήματος ἡγουμένη πρόθεσις, πρὸς τὸ πτωτικὸν τὴν σύνταξιν ἔχουσα, ὅμως οὐ συναμείβει τὴν τάσιν. τῷ δ' ἐπὶ τυδείδης ὦρτο, τὰ τούτοις ὅμοια. Καὶ πρὸς μὲν τὸ τοιοῦτο ἁπλῆ καὶ πρόχειρος ἡ ἀπάντησις. ἤδη ὁμόλογόν ἐστι, καθάπερ κἀν τοῖς προκειμένοις ἀπεδείξαμεν, ὡς τὰ προκεί-

προκείμενα μόρια διὰ τῆς ἐξαιρέτου συμπλοκῆς, λέγω τῆς προθετικῆς, καὶ τῶν ὀνομασίαν ἀπηνέγκαντο. εὐθὺς γὰρ καὶ οἱ ἀπὸ τῆς στοᾶς προθετικοὺς ἐκάλουν συνδέσμους τὰς προθέσεις, ἀμείνονα ἡγησάμενοι ἀπὸ τῆς ἐξαιρέτου αὐτῶν συμπλοκῆς τὴν ὀνομασίαν δέδθαι, ἥπερ ἀπὸ τῆς δυνάμεως ἑκάστης. καθάπερ καὶ ἐπὶ τῶν συνδέσμων εἴτε συναπτικοὶ καὶ συμπλεκτικοὶ καὶ οἱ ὑπόλοιποι. καὶ γὰρ καὶ ἔνιοι ἀπὸ τοῦ κοινῆ παρακολουθοῦντος τῷ θέσιν εἰληφέναι τὸ ὄνομα προθετικαὶ τοίνυν ὦσαι, εἶτα μεταθέμεναι, ὅ ἐστιν ὑποπαρόμεναι, ὥσπερ ἐκεῖνοι προηγεῖσθαι, ἀναστρέφονται, ὡς ἂν πάλιν πρὸς ἐκεῖνα τὴν συνταξιν ἔχοιεν, καὶ μὴ πρὸς τὰ μετ' ἐκεῖνα. τῶν δὲ ἄλλων μερῶν τὸ λόγου τὰ μὲν, ἐξαιρέτου συμπλοκῆς οὐκ ἔτυχε παρὰ τὰς προθέσεις, ἵνα ἡ τὸ τόνου μεταθέσιν καταγορήσῃ τὸ τονιζομένου μεταθέσιν. τὰ δὲ θέσιν εἰληφότα μοναδικῶν, ἃ δὲ μεταθέσεται τῆς τάξεως, ἵνα καὶ τῆς τῶν προθέσεων ἀμφιβολίας ἐπικοινωνήσῃ, τὸ πότερον τοῖς ἡγεμονικοῖς, ἢ τοῖς ἑπομένοις συνταάσσεται. ὡς ἐπὶ μὲν συνδέσμων ὁ ἤτοι, προσακτικὸς μόνον καὶ οὐδέποτε ὑποσακτικός. ἐπὶ δὲ ῥημάτων, τὰ καλούμενα ὑποσακτικὰ ῥήματα, οὐδέποτε χωρεῖς ὑποσαγῆς τῆς τάξεως τῶν δι' αὐτὸ τοῦτο ἐπιζευκτικῶν καλουμένων συνδέσμων. ἐὰν γράφω, ἵνα λέγω. ἀλλ' οὐ δὲ αἱ καλούμεναι ἐγκλιτικαὶ ἀντωνυμίαι, δίχα μορίων τῆς πρὸς ἃ εἰσὶν ἐγκλινόμεναι, ἔτε σωίζονται, ἔτε ὅλως ἐγκλιτικαὶ καλεῖσθαι δύνανται. τίμησόν με. δός μοι. ἀλλ' οὐδὲ τὰ ὑποσακτικὰ ἄρθρα δύνανται ποτε γενέσθαι προσακτικά. ὁ γὰρ τοῦ Τρύφωνος λόγος ἀποπεμπτέος, ὡς ἐν τοῖς ἄρθροις εἴρηται. ἐκ δὴ τῶν εἰρημένων δῆλον, ὡς αἱ προθέσεις μὴ καταρχέσαι, ὧν ἐχρῆν ἡγεῖσθαι λέξεων, ὁμόλογον ἔχουσι τῷ μεταθέσιν καὶ τὰ δευτερεύοντα μὲν, μεταθέμενα δὲ κατὰ τὸ ἀρχικὸν μόρια. πάλιν γὰρ αὖται δεύτεραι γινόμεναι, καὶ τῆς δεύσης προθετικῆς τάξεως στερόμεναι, ὁμολογοῦσι μεταθεῖσθαι. διὰ τοῦτο αἰτίαν καὶ τὰ τοῦ τόνου συναμείβουσι. γελοῖον δέ μοι δοκεῖ τὸ ζητεῖν πότερον αὗταί εἰσιν αἱ μεταθέμεναι, ἢ τὰ τῶν δευτερευόντα μόρια; Ἔστι δὲ καὶ ὑπὲρ τῆς ἀμειβομένης τάσεως καὶ ταύτας φάναι πρὸς τὸ α', καὶ β', ὡς καὶ ἐν ἄλλοις μέρεσι τοῦ λόγου ἐξαίρετά τινα παρεπόμενα, οὐ πάντως ἄπορα καταστήσεται. ὥσγε ἔστιν ἐπινοῆσαι ἐπὶ μὲν τῶν ἐγκλιτικῶν καὶ τῶν πνευματικῶν μορίων τὸ βαρεῖαν τάσιν, ἐπὶ δὲ τῶν ἀορίστων τὸ ὀξεῖαν. Εἰ τοίνυν ταῦτα κατὰ διάφορον ἔννοιαν συναμείβει τὸν τόνον, οὐκ ἂν εἴη ἀπάδον τὸ καὶ τὸν προθέσιν κατὰ ταῦτα διτονεῖν καὶ διάφορον συνταξιν. εἰ γε τοιοῦτο ἐπικοινωνεῖ καὶ αὐτωνυμίας, ἐγκλινομένας τε καὶ ὀρθοτονουμένας. ἀλλὰ γὰρ καὶ τὸ ἤ, οὐ ἀρχῇ μὲν τιθέμενον, καὶ περισπᾶται. ἦπου, βεβαιωτικῶς. ἦ θέμις, ὁμοιωματικῶς. καὶ ὀξύνεται, ἤτοι, διαζευκτικῶς. ἦ, συγκριτικῶς. οὐ μὴν καὶ τὰς ὑποτακτικὰς συνταάσεις, ἵνα καὶ παραπληροῖ, ὡς ἐν τῷ, τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων. ὅτι ἡ κάλλιστον ἢ κατὰ ξανθιππον. ἔστι καὶ ἄλλα ἐπινοῆσαι μόρια. Οὐ μὴν ἀλλὰ καὶ αὐτόθεν ἐστὶν ἀποδεῖξαι, ὅτι δεόντως τὸ διαστὸν τοῦ τόνου παρέπεται. τὰ μὲν γὰρ ἄλλα μέρη τοῦ λόγου μίαν ἔχει συνταξιν, ἐφ' ἣν φέρεται. ὡς τὰ μὲν ἐπιῤῥήματα ἕπεσι μόνοις τοῖς ῥήμασιν, ἤτοι προκείμενα, ἢ ἐπικείμενα, κἂν μεταξὺ πλείονα μέρη λόγου πίπτῃ. τὰ δὲ ἄρθρα, πρὸς μόνα τὰ πτωτικά. τὰ τε ὀνόματα ἐπὶ τὰ σωόντα τῶν ῥημάτων. καὶ αὐτὰ πάλιν τὰ ῥήματα ὑποσρεφὴ ποιεῖται πρὸς τὰ ὀνόματα. εἰ γὰρ καὶ πρὸς τὰς αὐ-

πρὸς τὰς ἀντωνυμίας, ἀλλὰ καὶ αὐταὶ πάλιν ἀντ' ὀνομάτων παραλαμβάνονται. αἱ μέν τοι προθέσεις δύω συντάξεις ἀναδεξάμεναι τήν τε πρὸς τὰ ὀνόματα καὶ τὴν πρὸς τὰ ῥήματα, δεόντως παραδέχονται καὶ τὸ ἐναλλασσόμενον τῆς τάσεως. ἥπερ ἀναβιβαζομένη, συσσημαίνει τὴν ὑποστροφὴν τῆς προθέσεως ἐπὶ τὴν δέουσαν σύνταξιν, φημὶ τὴν προθετικήν. ὡς ἐν τῷ, ἰθάκην κάτα κοιρανέουσιν. οὐχ οὕτω δὲ ἔχον, σύνταξιν τὴν ἐπὶ τὸ ῥῆμα παραδέχεται. καὶ ἕνεκα τούτου εὐπαράδεκτος καὶ ἡ δισσὴ τάσις τῶν προθέσεων. ὁ αὐτὸς λόγος κἀπὶ τοῦ, εὗρε δὲ πατρόκλῳ περικείμενον. καὶ ἔτι ἐν ὀνόμασι. μάχῃ ἐνὶ κυδιανείρῃ. ποταμοῦ ἄπο σελήεντος. ὧν αἱ διαφοραὶ καὶ οἱ τρόποι τῶν ἀναστρεφομένων καὶ μὴ, ἐκτεθήσονται πληρέστατα. προκείμενον δέ ἐστιν ἤδη παραστῆσαι, ὡς ἀναγκαίως οἱ στοιχειωταὶ, ὅ ἐστιν οἱ πρωτοθέται ἐπενόησαν τὴν ἐπ' αὐταῖς γενομένην δισσὴν τάσιν, ὁμολόγως καὶ τῶν προθετικῶν φωνῶν προηυθετισμένων εἰς τὸν προκείμενον λόγον, εἰς τὴν ἀναδοχήν φημι τοῦ δισσοῦ τόνου. εἴγε ἁπάσαις παρεπόμενόν ἐστι τὸ ὀξύνεσθαι, τῶν ἄλλων μερῶν τοῦ λόγου ποικοιλοτέρων ὄντων. ὧν τὸ μεταπίπτον τῆς τάσεως, εἰς τὸν αὐτὸν εὐθετισμὸν οὐχ ὑπῆρχεν, ὅς γε παρακολουθεῖ ταῖς προθέσεσι. διὰ τοῦτο καὶ αἱ ἐπεκτεινόμεναι, συνελκύουσι κατὰ τὸ τέλος τὴν ὀξεῖαν, ὡς ἔχει ἡ ἐνὶ καὶ ἡ προτὶ, ἵνα ἀναστρέφειν ἔχωσιν ἐν τῇ μετατάξει. διὰ τοῦτο οὐδ' οἱ περὶ τὸν Ἀριστοφ', ἠξίωσαν βαρύνεσθαι ἐπὶ τῆς παραληγούσης ταυτὶ τὰ μόρια κατὰ τὴν αἰολίδα διάλεκτον, ἵνα μὴ τὸ ἴδιον τῆς προθέσεως ἀποστήσωσι, λέγω τὴν ἀναστροφήν. εἰ γὰρ ἐβαρύνθησαν, ἀνθελκόμεναι ἐν τῇ ἀναστροφῇ ὑπὸ τῆς τοῦ ῥήματος συντάξεως, ἢ τοῦ ὀνόματος, ἐζήτησαν τὸ ἀμεῖψαι τὸν τόνον, καθ' ἃς εἴπομεν αἰτίας, εἶτα μὴ δυνάμεναι, συνέχεον ἂν τὰ τῆς συντάξεως. διὰ τοῦτο καὶ κατ' ἀρχὴν καὶ κατὰ τέλος βραχεῖαι, αἱ ἀναστρεφόμεναί φημι. ὁ γὰρ βραχὺς χρόνος εὐμετάθετος κατὰ τάσιν. ὅπουγε καὶ ἡ αἰολὶς μετατεθεῖσα τοὺς κατὰ τὸ τέλος τόνους, εἰς βραχείας συλλαβὰς μετατίθησι κατὰ τὸ πλέον. τὸ γὰρ ἡμῖν ἄμμι φασὶ, καὶ τὸ ὑμεῖς, ἄμμες. καὶ τὰ τοιαῦτα. δῆλον δὲ αὐτὸ τοῦτο κἀκ τῶν προθέσεων, αἵ τινες πλεονάσασαι χρόνῳ, ἐλλείπουσι τῇ ἀναστροφῇ. ὡς ἡ καταὶ, ὑπεὶρ, καὶ αἱ τοιαῦται. ἀλλ' οὐ πᾶσαι ἀναστρέφονται ὡς ἡ ἀντὶ, καὶ ἡ ἀμφὶ, τριχρονοῦσαι, ὡς οὐδὲ πᾶσα ἀντωνυμία καὶ ἐγκλίνεται καὶ ὀρθοτονεῖται, ἀλλ' ἐπὶ τὸ πλέον ταύταις τοῦτο παρέπεται. οὐδὲ πάντα τὰ πύσματα ἐν βαρείᾳ ἐστὶ τάσει, ἀλλ' ἔστιν ἃ καὶ ὀξύνεται, ὡς τὸ, ποῦ; πῶς; ποδαπός; ἀλλ' οὐδ' ἄλλα πλεῖστα καθόλου τι δέχεται. οὕτωτοι καὶ ταῖς προθέσεσιν οὐχὶ πάσαις ἁπλῶς, ἀλλ' ἐπὶ πλέον παρέπεται τὸ ἀναστρέφεσθαι, ὡς δέδεικται.

Εἰ δὲ

Παρεμπέσει, ἢ κεῖται. Μέχρι μὲν τοῦ δὲ ὁποῖαι μὲν ἀναστρέφονται, ὁποῖαι δ' οὔ, καὶ παρὰ τίσιν, ἑξῆς δὲ ἐκτίθεται, ποῦ μὲν ποῦ δ' οὐκ ἀναστρέφονται αἱ ἀναστρέφεσθαι πεφυκυῖαι.

Μεταξὺ δυοῖν ὀνομάτων ἡ πρόθεσις, τοῦ μὲν, κυρίου. τοῦ δὲ, προσηγορικοῦ, ἢ ἐπιθέτου.

Οὐχ ὡρισμένως τοῦ α', κυρίου, τοῦ δὲ β', προσηγορικοῦ, ἢ ἐπιθέτου. ἀλλὰ καὶ τοῦ α', προσηγορικοῦ ἢ ἐπιθέτου, τοῦ δὲ β', κυρίου ὄντος, οὐδὲν ἧττον

Ἀναστρέφειν δεῖ, ἵνα τοῦ ὅλου προηγή-

προηγήσηται λόγου. οἷον, ποταμοῦ ἀποσελήεντος. καὶ ξάνθῳ ἐπιδινήεντι.

Λόγον ἐνταῦθα ἁπλῶς τὴν λέξιν ληπτέον. ὅλον δὲ τοῦτον εἴρηκε, καθ' ὅ, τι τὰ προσηγορικὰ, ἢ καὶ τὰ ἐπίθετα, τῶν, ὧν οὐκ ἄνευ, κυρίων κατηγορούμενα, ἐν τι καὶ συνεχὲς οἱονεὶ πτωτικὸν ἄμφω τυγχάνουσιν, εἰς ταὐτὸν ἑκάτερα συνεχούσης τῆς τῶν ἀμφοῖν παρεπομένων ταυτότητος. ἡ τοίνυν πρόθεσις μεταξὺ τούτων ἐμπεσοῦσα, οὐχ ὅλου τοῦ λόγου, τοῦ δὲ μέρους αὐτοῦ ἡγουμένη, ἀναστρέφεσθαι ὀφείλει, ἵνα καὶ τοῦ ἀπροστατεύτου μέρους προστῇ. ὥστε κἀν τῷ, ὃ γὰρ ἦλθε θοὰς ἐπὶ νῆας. ἰλ. ᾱ. ὀρθοτονητέον τὴν πρόθεσιν.

Ὡσαύτως δὲ,

Ἀπὸ κοινοῦ τὸ, ἀναστρέφειν δεῖ τὴν πρόθεσιν, ἵνα κἀνταῦθα τοῦ ὅλου προηγήσηται λόγου, ἀμφοῖν λέγω τῶν ταυτοπροσωπικῶν καὶ ὁμοιοπτώτων πτωτικῶν. ἃ συνδέσμῳ λέγεται ἐν.

Κἂν μεταξὺ κυρίων δύοιν, ἢ προσηγορικῶν κέηται,

Ἡ πρόθεσις.

Συνδέσμου μετὰ τὴν πρόθεσιν ἐπιφερομένου,

Πρὸ γὰρ αὐτῆς κείμενος, τοῦτ' ἔστιν αὐτῆς μεταξὺ καὶ τοῦ, ὅπερ αὐτὴν ἐχρῆν προηγεῖσθαι προθετικοῦ μορίου, παρεμποδίζει τῇ ἀναστροφῇ, ὡς ἑξῆς δῆλον.

Οἷον, νηῶν ἄπο καὶ κλισιάων. ἀγαμέμνονος πέρι καὶ ἀχιλλέως.

Καὶ ἡ ἐπὶ τοῦ ἀνωτέρου δὲ, μεταξὺ λέγω κυρίου καὶ προσηγορικοῦ, ἢ ἐπιθέτου πρόθεσις, σύνδεσμον ἔχει καὶ αὐτὴ μεθ' ἑαυτὴν συνεννούμενον, τὴν τοῦ ὑπαρκτικοῦ ἢ κλητικοῦ μετοχήν. οἷον, ποταμοῦ ἄπο καλουμένου σελήεντος, ξάνθῳ ἔπι ὄντι δινήεντι.

Κἂν μεταξὺ μὲν

Μορίων δύοιν, οὐ μὴν ὁμοιομερῶν, ἢ ὁμοιοπτώτων, ἀλλ' ἁπλῶς μορίων δύοιν μεταξὺ

Ἐμπίπτῃ, καὶ μηθὲν ἕτερον μέρος λόγου μεσοσυλλαβῇ,

Μεταξὺ αὐτῆς τε καὶ τοῦ κατ' αὐτὴν προθετικοῦ μορίου. εἰ γὰρ ἕτερόν τι παρεμπίπτει, οὐκ ἀναστρέφεται, ὡς ἐχομένως ἐρεῖ.

Ὑποτάττηται δὲ,

Τῷ Μορίῳ.

Οὗπερ ἐχρῆν αὐτὴν προηγεῖσθαι, ἀναστρέφεται ἔτι. οἷον, ᾧ ἔπι πόλλ' ἐμόγησα. ἰθάκῃ ἔνι οἰκία ναίων. θεῶν ἄπο μήδεα εἰδώς.

Σημείωσαι δὲ ἐν τῷ, ὑποτασσομένη, ὅπερ ἐχρῆν αὐτὴν προηγεῖσθαι, ὡς οὐ μόνον πτωτικοῦ, ἀλλὰ καὶ ῥήματος προηγεῖσθαι πεφυκυῖα ἡ πρόθεσις, ἐν ταῖς ἀναστροφαῖς οὐδαμοῦ ῥήματος ὅτι μὴ πτωτικοῦ ὑποτασσομένη φαίνεται. ἡ γὰρ τοῦ ῥήματος ὑποτασσομένη τῶν μὴ ἀναστρεφομένων τυγχάνει, διὰ τὴν ἑτέρου μέρους παρέμπτωσιν. οἷον, βῇ δὲ κατ' οὐλύμποιο. καὶ, ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος. τὸ δὲ οἰκία ἐν τῷ, ἰθάκῃ ἔνι οἰκία ναίων, οὐκ ἐπιθετικόν τί ἐστι τῆς ἰθάκης, (ὥς τινες ὑπέλαβον, φάσκοντες μηθὲν διαφέρειν τουτὶ τὸ παράδειγμα τοῦ προληφθέντος, ἐν ᾧ μεταξὺ δύοιν ὀνομάτων ἦν ἡ πρόθεσις παρεμπίπτουσα, τοῦ μὲν κυρίου, τοῦ δὲ ἐπιθέτου. οἷον, ξάνθῳ ἔπι δινήεντι. ὅθεν καὶ ἐπιδιορθούμενοι δῆθεν,

γράφουσι

γράφουσιν ὡς ὀρθότερον, ἰθάκῃ ἐνὶ κοιρανέων, ἀντὶ τοῦ οἰκία ναίων, μὴ ξυνορῶντες μηδὲ τὴν τοῦ ἔπους παραφθοράν.) οὐ γὰρ θηλυκοῦ, οὐδετέρου δὲ γένους τυγχάνει, μεταπλασθὲν ποιητικῶς παρὰ τὸ οἴκους εἰς τὸ οἰκία, τὴν μέσην οὐ διφθογγογραφομένην, μονόφθογγον δ' ἔχον. ἵνα λέγῃ, ἐν ἰθάκῃ οἴκους ναίων, ὅ ἐστιν οἰκῶν. ὡς κἀν τῷ ῆ, τῆς ἰλ, ὕλῃ ἐνὶ οἰκία ναίων. χρῆσις δὲ τοῦ οἰκία καὶ παρ' Ἡρόδ', δ', τὰ δὲ οἰκία τουτοισὶ πᾶσιν ἐκ τῶν ἁλίνων χόνδρων οἰκοδομέαται. κἀν τῇ α', πρῶτα μὲν γυναῖκα τεκνοποιὸν μὴ ἄγεσθαι ἐς τὰ οἰκία.

Ἐὰν δὲ μεταξὺ προθέσεως καὶ τοῦ ῥήματος, ἢ τοῦ ὀνόματος πρὸς ὅ,

Ἢ ὄνομα, ἢ ῥῆμα. ἑκάτερα γὰρ διεζευγμένως ἀναφέρει τὸ ἄρθρον, καίτοι ἐνικὸν ὄν.

Ἡ πρόθεσις,

Ἀποδίδοται.

Μέρος λόγου ἕτερον παρεμπίπτῃ, οὐκ ἀναστρέφεται.

Διὸ οὐδὲ ὀρθοτονεῖται ἐπὶ τῆς παραληγούσης. παράδειγμα δὲ τοῦ μὲν ὀνόματος, οἷον,

Τῷ δ' ἐπὶ τυδείδης ὦρτο.

Ἰλ, τ'. κἀν τῷ ξ'. τῷ δ' ἐπὶ πολυδάμας ἦλθε. τοῦ δὲ ῥήματος, πρὸς ὃ ἡ πρόθεσις, οἷον, ἦλθε δ' ἐπὶ πτωχὸς πανδήμιος. σύνδεσμος γὰρ παρεμπεσὼν, τὰ τῆς ἀναστροφῆς ἐκώλυσε. τοιοῦτο καὶ τὸ, βῆ δὲ κατ' ἰδέων ὀρέων. καὶ βῆ δὲ κατ' οὐλύμποιο. οἷς καὶ τὸ τῆς ἐκθλίψεως πάθος προσίσταται. ὡς εἰρήσεται. διπλῆν γοῦν, ὡς εἴρηται, σχοῦσα τὴν σχέσιν ἡ πρόθεσις, τὴν μὲν, πρὸς τὸ ὄνομα, τὴν δὲ, πρὸς τὸ ῥῆμα, εἰ μὲν τὸ παρεμπίπτον τὴν πρὸς τὸ ὄνομα ἀναστροφὴν αὐτῆς κωλύει, μέτεισιν ἐκείνη ἐπὶ τὸ ἐφεξῆς ῥῆμα. εἰ δὲ τὴν πρὸς τὸ ῥῆμα, ἐπὶ τὸ ἑξῆς ὄνομα.

Εἰ μέντοι εἴη ἐπὶ τέλει ἔπους, καὶ ἁπλῶς ἐν στιγμῇ νοήματος, ἀναστρέφεται, καὶ μεσοσυλλαβοῦντός του. πάντων δ' ἔπτυσε πολὺ κάτα.

Νοήματος στιγμήν φησι, πρὸς ἀντιδιαστολὴν τῆς ἑξῆς προθετικῆς στιγμῆς, ἣν ἐνίοτε οἱ ποιηταὶ μετὰ τὰς προθέσεις στίζουσιν. ἡ τοίνυν τοῦ νοήματος, στίξασα καὶ οἷον ὁρίσασα τῆς ἐννοίας τὸ τέρμα, οὐ συγχωρεῖ τῇ προθέσει προόδου. μὴ γὰρ ἀναστραφεῖσα, οὐκ ἔχει πρὸς ὃ ἐνεχθείη ἕτερον, ἀπαρτισθέντος τοῦ λόγου. ὅθεν οἱονεὶ προβόλῳ τινὶ τῇ στιγμῇ προσκόψασα, ἐπὶ τὴν οἰκείαν χώραν ἀναποδίζει. διὸ σημειοῦνται τὴν παρὰ Πλάτωνι ἀνάγνωσιν, ἀρετῆς δ' αὖ πέρι. ἀναστρεφομένης τῆς προθέσεως οὐκ ἐν τέλει στίχου, οὐδ' ἐν στιγμῇ νοήματος. τὸ γὰρ ἑξῆς, περὶ δὲ ἀρετῆς αὐτοῦ.

Καὶ αἱ παθοῦσαι δ' ἔκθλιψιν τοῦ φωνήεντος, οὐκ ἀναστρέφονται,

Ὡς ἐν τῷ, βῆ δὲ κατ' οὐλύμποιο. τοῦ γὰρ φωνήεντος ἐκθλιβομένου, οὐδύναντο ἀναβιβάζειν τὸν τόνον ἐπὶ τῆς παραληγούσης κατὰ τὰ ἐκθλιβέντα τῶν ὀξυτονουμένων δισυλλάβων, ὡς μὴ κατ' αὐτὰ καὶ αὗται ὀξυνόμεναι, ἀλλὰ βαρυνόμεναι κατὰ Θεόδωρον. μὴ μεταφέρουσαι δὲ τὴν τάσιν ἐπὶ τῆς ἀρχούσης, οὐδ' ἀναστρέφονται.

Εἰ μὴ στιγμὴ ἐπιφέροιτό τις.

Οὐχὶ νοήματος, ἀλλ' ἣν οἱ ποιηταὶ στίζειν ἔσθ' ὅτε εἰώθασιν. ὡς ἐν τῷ, τοῖσι παρ', εἰναέταις. Διονύσ, περιηγητ.

Ἢ τὸ ση-

Αἱ προθέσεις Ἀναστρέφονται.

- Τῶν μὲν μονοσυλλάβων ἡ Σὺν καὶ ἡ Ἐξ, ἐπὶ τέλει που τῶν ἐπῶν.
- τῶν δὲ δισυλλάβων
  - αἱ μὲν δίλλονοι, ὡς ἁπλῶς εἰπεῖν, οὗ περ ἐλλὴν προηγεῖσθαι, ὑποτασσόμεναι.
  - αἱ δὲ τρίλλονοι, οὗ.

- ἀμέσως μὲν, ἀναστρέφονται, πλὴν τῆς διὰ, καὶ ἀνά.
- ἐμμέσως δὲ, ἢ ἔκθλιψιν παθοῦσαι, οὔ, ὅτι μὴ, πρὸς τιγμῆς οὖσαι, αἱ μὲν, νοήματος, αἱ δὲ, ποιητῶν.

Ἢ τὸ σημαινόμενον διαφθείροιτο, μὴ ἀναστρεφομένης, ὡς ἐπὶ τοῦ, σθῦτο γὰρ ἠφαίστοιο παρ' οἰσέμεν ὅπλα.

Ἰλ, σ'. ὑπέσχετο γὰρ ἡ Θέτις κομίσειν ὅ. πλα, ἢ ὡς ἔγκειται, εἶτα καλὰ τῷ υἱῷ αὐτῆς Ἀχιλλεῖ, ἀχὶ τὰ τοῦ ἡφαίστου. οὐδὲ γὰρ ὧν παθοπλίζεσθαι τὸν ἀμφιγυήεν, ἀλλὰ παρὰ τοῦ ἡφαίστου, ὅ ἐστιν ἡφαιστόδμητα. συμβαίνει τοι καὶ ἡ τοῦ νοήματος διαφθορὰ αἰτία γίνεται τοῦ ἐπιφέρεσθαι τῷ σιγμῷ ταῦς ἐπιθλιβείσαις τὸ φωνῆεν.

Ποιηταὶ μὲν ἔν,

Ὅ ἕν αὐτὶ τοῦ γάρ.

Μετὰ τὰς προθέσεις ἐνίοτε

Ὅτε τὸ σημαινόμενον διαφθείρεται, μὴ ἀναστρεφομένων.

Στίζουσι, λογογράφοι δ' ἔδ, ὅτι μὴ ἐπὶ τῆς πρός. ταύτῃ γὰρ μόνῃ καὶ πρὸ σιγμῆς τάττουσιν,

Οὐ μόνον δηλαδὴ πρὸ πτωτικοῦ, ἀλλὰ καὶ πρὸ σιγμῆς. τοῦτο γὰρ βούλεται ὁ καί.

Ὡς τό, καὶ μικρόν τι πρός.

Οἷον καὶ τό, δράσω τε πρός. ἢ τις ἔξωθεν ἔχουσα προσυπακούμενον τὸ ἴδιον πτωτικόν, οὐκ ἀναστρέφεται. πρὸς δὲ καὶ αἱ τὸν δέ, σύνδεσμον ἔχουσαι ὑποτεταγμένον, ἐλλιπῶς τοῦ ἰδίου πτωτικοῦ λέγονται. οἷον, παρὰ δέ, ὑπακουομένης τῆς αὐτῷ δοτικῆς. καὶ μετὰ δέ, τῆς ταῦτα αἰτιατικῆς. καὶ πρὸς δὲ, καὶ ἐπὶ δέ, ὑπακουομένου τοῦ τούτοις.

Ἔνιοι δὲ καὶ κατ' ἔλλειψιν προθέσεων λέγεσθαι τὰ τοιαῦτά φασι, βῦν σίτου ὠνοῦμαι. ἐνδεῖν γὰρ τινὰ διὰ πολὺς τὸν λόγον. ἐνδεῖν τὴν κατὰ. ἡδὺ τῆς φυτῆς ἀναπνεῖ. καὶ, δρέπομαι τῆς ἀνθέων. καὶ, πίνω τοῦ ὕδατος. καὶ, κρεμῶσε τοῦ ποδός. ἐνδεῖν τινὰ ἀπό.

Ἀλλὰ καὶ αὐτὸς ἔτος τὰ τοιαῦτα πτωτικὰ κατ' ἔλλειψιν ἔφη λέγεσθαι ἐν τοῖς πάποις τοῦ ἐλλειπτικοῦ εἴδους τῆς ῥήματων, τοῦ ἀ, μὲν τὰς γενικάς, τοῦ β', δέ, τινὰ αἰτιατικήν.

Περὶ Ἐπιῤῥήματος.

Τὸ δ' ἐπίῤῥημα πρὸς τὰ ῥήματα ἔχει τὴν σύνταξιν.

Εἴτ' οὖν τὴν ἀναφοραν. πρὸς γὰρ αὐτὰ ἀναφερόμενον λέγεται. τοίνυν πρὸς ῥῆμα μὲν, πρόσρημα, ἐπίῤῥημα δὲ, ἐπὶ ῥῆμα ἀναφερόμενον ἀκούει, καθ' ἑκατέρας τὰς προθέσεις ταὐτὸ βουλόμενον.

Αἰεὶ γὰρ ῥήματι προηγεῖται, ἢ ἐφέπεται,

Τὸ προηγοῦμαι γενικῇ συντασσόμενον κατὰ τὰ ἀρχικὰ, περιποιητικῶς δοτικῇ συνέταξεν ὁ Θεόδωρος. οὕτω γὰρ καὶ τὸ ἄρθρον παρ' αὐτῷ τοῖς ὀνόμασιν εἴρηται προτασσόμενον. οἷον δὴ καὶ Ἀριστφ: ἐν Πλούτ, ἐκδότω τις δεῦρο δάδας ἡμμένας, ἵνα ἔχων προηγῇ τῷ θεῷ σύ.

Ταῖς λεγομέναις ἐνεργείαις ἐπιλεγόμενον.

Τοῦτ' ἔστι τοῖς ἐνέργειαν σημαίνουσι ῥήμασι, τοῖς κατὰ τῶν ἐνεργούντων λεγομένοις. τὰ δὲ πάθη ἀπεσιώπησεν, ὡς ταῖς ἐνεργείαις τῷ λόγῳ τῆς σχέσεως συνεννοούμενα εἴτ' οὖν συνεισαγόμενα. Λέγεται δὴ κατὰ τῶν καθ' ἑτέρων λεγομένων ἐνεργειῶν τῶν ἐπιῤῥημάτων τὰ πλεῖστα, σχέσιν τινὰ τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον σημαίνοντα, τὸ ὅπως δηλαδὴ ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. ἢ γὰρ ὁπωσοῦν ὑπάρχει, ἢ ποτὲ, ἢ πῦ, ἢ ποσάκις, εἴτε ὡρισμένως εἴτε ἀορίστως. ἢ κατὰ ποιὰν πρὸς ἕτερον τάξιν. οἷον, ὅτι ὅδε ἑξῆς τοῦδε τρέχει. ἢ χωρὶς τοῦδε οἰκεῖ. ἤ τινι παραπλησίως. ἤ τινος μᾶλλον, ἢ ἧττον. ἢ καὶ ὅτι μετ' ἐπιτάσεως ὑπάρχει, ἢ καὶ ὅπως ἡμεῖς ὑπάρχειν αὐτὸ, ἢ μὴ ὑπάρχειν δοξάζομεν, ἢ ὡς εἰκάζοντες, ἢ ὡς διαβεβαιούμενοι. ἢ καὶ ὅπως διακείμεθα πρὸς τὸ πρᾶγμα, περὶ οὗ ἀποφαινόμεθα, ἢ ὡς σχετλιάζοντες, ἢ ὡς θαυμάζοντες. ἢ καὶ τὴν ἀπόφανσιν ἐπισφραγιζόμεθα τῇ μαρτυρίᾳ τοῦ κρείττονος, ἢ καὶ ὅτι λυσιτελὲς ἡμῖν τὸ αἱρεῖσθαι τὸ κατηγορούμενον δηλοῦντες, ὡς ἐπὶ τῶν θετικῶν λεγομένων ἐπιῤῥημάτων, ἢ καὶ ἀνεπιτάτως τὴν κατ' αὐτὸ τὸ ἀκρότατον ἀγαθὸν χαρακτηριζομένην τῆς ψυχῆς διάθεσιν ἀνευφημοῦντες, ὡς ἐπὶ τῶν ἐνθουσιαστικῶν ἐπιῤῥημάτων. ἐν τῷ εὖ εἶναι τοὺς κατόχους σημαινόντων. ἢ καὶ τὴν ῥηθεῖσαν παρ' ἑτέρων ἀπόφανσιν οἰκειούμενοι διὰ τῆς συγκαταθέσεως, ἢ ἀποσειόμενοι διὰ τῆς ἀρνήσεως, ἢ ἀποφάσεως. Λέγω δὲ σημαίνειν τὸ μὲν ὅπως ὑπάρχει, τὰ τῆς μεσότητος καὶ τὰ τῆς ποιότητος σημαντικὰ ἐπιῤῥήματα. ἡνίκα ἐπιφθεγγόμεθα τοῖς κατὰ τὸ δέον ἐνεργοῦσι τὸ καλῶς ἢ ὑγιῶς, ἢ κάλλιστα. οἷον, σωκράτης καλῶς διαλέγεται. ὁ μελάνθιος τὸν ὀδυσσέα λὰξ ἔπληξεν. αἱ μέλισσαι βοτρυδὸν πέταντο. καὶ τὰ δηλοῦντα ἀθρόοις τοῖς περὶ ὧν ὁ λόγος, ἢ μὴ ἀθρόοις ὑπάρχειν τὸ κατηγορούμενον. οἷον, ἅμα, ἢ σποράδην ἐπῆλθον οἱ πολέμιοι. εἰσὶ δὲ καὶ ταῦτα κατὰ μὲν Ἀμμών: ποιότητές τινες. ὑπὸ γὰρ τὸ ποιόν φησιν ἥτε σύγκρισις καὶ ἡ διάκρισις. ὅγε μὴν Θεόδωρος ἐπί τι τῶν δέκα τοῦ ὄντος γενῶν ἕκαστον τούτων πειρᾶσθαι ἀνάγειν ἐν τῷ β', παρεκελεύσατο. τὸ δὲ ἐν τῷ βοτρυδὸν ἀγεληδὸν δηλούμενον ἅμα τε καὶ ἀθρόον ὁ μὲν Θεόδωρος ἐπὶ τὸ κεῖσθαι ἀνήγαγεν, ὅγε μὴν Φιλόσοφος μετὰ τὰς κατηγρίας ἰδίως περί τε αὐτοῦ καὶ τοῦ προτέρου καὶ ὑστέρου καὶ τοῦ ταὐτοῦ καὶ ἑτέρου διείληφεν, ὡς ἐν πλείοσι κατηγορίαις θεωρουμένων. φύσει γὰρ πρότερα μὲν, τὰ γένη τῶν εἰδῶν καὶ τὰ εἴδη, τῶν ἀτόμων, καὶ ἁπλῶς τὰ καθολικώτερα τῶν μερικωτέρων. ὕστερα δὲ

ρα δὲ τὰ ναντίον, τὰ μερικὰ τῶν καθόλου. ἅμα δὲ, αἱ διαιρετικαὶ τοῦ αὐτοῦ γένους διαφοραί. Περὶ δὲ τῶν λοιπῶν ἐν τοῖς ἀπηριθμημένοις περιττόν ἐστι προστιθέναι. φανερὰ γὰρ καὶ τοῖς ὁπωσοῦν, τοῦτ' ἔστι κατὰ βραχὺ δυναμένοις ἐφιστάνειν τὰ ὑφ' ἑκάστου δηλούμενα. ταῦτα μὲν οὖν, ὡς εἴρηται, σχέσιν τινὰ τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον δηλοῦντα, συμβάλλεσθαί τι δοκοῦσι πρὸς τὸν ἀποφαντικὸν λόγον, τὰ δὲ λοιπὰ τῶν ἐπιῤῥημάτων, σημαίνουσι μὲν, οὐ μέντοι χρήσιμα πρὸς ἀπόφανσιν, πρὸς δὲ τὰ λοιπὰ εἴδη τοῦ λόγου. ὡς τὰ μὲν εὐκτικὰ, εἰς τὸν τῆς εὐχῆς λόγον, τὰ δὲ ἀπαγορευτικὰ, εἴτε παρακελευσματικὰ, εἰς τὸν προστακτικὸν, καὶ τὰ ἐρωτηματικὰ εἰς τὸν πυσματικὸν.

Ὅθεν

Ἐκ τοῦ, ἢ διὰ τὸ πρὸς ῥῆμα, ἢ ἐπὶ ῥῆμα λέγεσθαι,

Καὶ τὴν προσηγορίαν ἀπηνέγκατο,

Τὸ καλεῖσθαι ἐπίῤῥημα.

Καὶ τὸν λόγον.

Ὅ ἐστι τὸν ὁρισμόν.

Ἔστι καὶ γὰρ

Κατὰ Διονύσιον, ὥσφασι, τὸν θρᾷκα.

Μέρος λόγου ἄπτωτον, κατὰ ῥήματος λεγόμενον, ἢ ἐπιλεγόμενον ῥήματι,

Τὸ κατὰ τοῦ ῥήματος λεγόμενον, καὶ ἐπιλεγόμενον ῥήματι, ἐκ παραλλήλου ταυτοσήμως ἐλήφθησαν, τὸ ἐπάνω δηλουσῶν ἑκατέρων τῶν προθέσεων, καὶ οὐχὶ κατά τινας τῆς μὲν, τὸ πρότερον, τῆς δὲ, τὸ ὕστερον. εἴγ' ἐπιῤῥήματος ἴδιον τὸ λέγεσθαι οὐχὶ πρὸ τοῦ ῥήματος, ἢ μετὰ τὸ ῥῆμα, ἀλλὰ κατὰ τοῦ ῥήματος.

Καὶ οἷον ἐπίθετον ῥήματος.

Ἐπεὶ δὲ τὸ ἐπίῤῥημα ῥήματός ἐστι δυνάμει ἐπιθετικὴ σύνταξις, ὡς καὶ ἡ ἐγγινομένη θέσις τοῦ ὀνόματος μαρτυρεῖ. ἐπίῤῥημα γάρ. δεύτερον δὲ τὸ ῥῆμα τοῦ ὀνόματος, δεύτερον ἄρα καὶ τὸ ἐπίῤῥημα προθέσεως, τῆς κατὰ σύνθεσιν καὶ παράθεσιν τῶν ὀνομάτων προτιθεμένης.

Καθάπερ οὖν τὰ τῶν ὀνομάτων ἐπίθετα τῶν κυρίων κατηγορεῖται καὶ προσηγορικῶν.

Τὴν ἀοριστίαν τῶν καθ' ὧν λέγεται διαστέλλοντα,

Οὕτω δὴ καὶ τὰ ἐπιῤῥήματα.

Τῶν ῥημάτων κατηγορεῖται, τὸ ὅπως ὑπάρχουσι τοῖς ὀνόμασιν, ὡς εἴρηται, διορίζοντα. τὰ γὰρ τῶν ὀνομάτων ἐπίθετα, ψιλωθέντα τῶν παρεπομένων τῷ ὀνόματι, ῥημάτων ἐπίθετα γίνεται, ὥσπερ αὖ πάλιν τὰ τῶν ῥημάτων, γίγνεται τῶν ὀνομάτων, ἀπειληφότα τὴν πρὸς αὐτὰ ἀκολουθίαν. Ἀλλ' ἀπορήσεις. τὸ ἐπίῤῥημα κατὰ τοῦ ῥήματος. τὸ ῥῆμα κατὰ τοῦ ὀνόματος, καὶ τὸ ἐπίῤῥημα ἄρα κατὰ τοῦ ὀνόματος. οὐδὲν ἄρα διοίσει ἀλλήλων τῷ λόγῳ τό, τε ὁ σωκράτης καλῶς φιφεῖ, καὶ τὸ ὁ καλὸς σωκράτης φιφεῖ. Ἢ ὅτι διοίσει τῷ πῇ τε καὶ ἁπλῶς. τὸ γὰρ ἐπίθετον, ἐπιῤῥηματικῶς μὲν, πῇ κατηγορεῖται τοῦ ὑποκειμένου, μίαν γέτινα διορίζον αὐτοῦ ἐνέργειαν, καθ' ἧς λέγεται. ὀνοματικῶς δὲ, ἁπλῶς. δυνάμει μὲν καὶ ἀορίστως ἁπάσας, ἐνεργείᾳ δὲ οὐδεμίαν προσορίζον τοῦ ὑποκειμένου ποιότητα.

ποιότητα. προσδιορισθὲν δὲ καὶ τοῦτο, ἴσον ἔσται τῷ ἐπιῤῥηματικῷ. οἷον, ὁ τὸ φιφεῖν καλὸς σωκράτης, ἴσόν ἐστι τῷ ὁ σωκράτης καλῶς φιφεῖ. καὶ ὁράμοι τό, τε ῥῆμα καὶ τὸ ἐπίθετον ἀλλήλων ὄντα ὁριστικὰ, τοῦ ῥήματος μὲν, τὸ ἐπιῤῥηματικὸν ἐπίθετον ἐν τῷ, ὁ σωκράτης φιφεῖ καλῶς, τοῦ ὀνοματικοῦ δ' αὖ ἐπιθέτου τὸ ῥῆμα ἐν τῷ, ὁ τὸ φιφεῖν καλὸς σωκράτης. Σημείωσαι δὲ ὡς οὐχ ἁπλῶς τῶν τυχόντων ῥημάτων κατηγορητέον τὰ ἐπιῤῥήματα, ἀλλὰ καθ' ὧν ἔχει τὴν σχέσιν. ἐν γὰρ φέρε τῷ, ἀχρόνως τὸν ἐκ Πρὸς ἐκλάμψαντα, ἐν χρόνῳ τέτοκας, περὶ τῆς ἀειπαρθένου τοῦ θεοῦ λόγου μρὸς λεγομένῳ, ἑκάτερον τῶν συγκατηγορημάτων οὐκ ἀδιαφόρως, ἀλλ' ᾧ πέφυκεν ἐπιλέγεσθαι κατηγορήματι συντακτέον. ὡς κἀν τῷ, ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν, ἦλθε. τὸ γὰρ μετὰ πορνῶν, τῷ ἦλθε μὲν οὖ, τῷ δὲ καταφαγὼν τοῦ ὑποκειμένου συγκατηγορηθήσεται. ὡσαύτως καὶ τὸ πάλιν, ἐν τῇ πρὸς ἑβρ', 1, 5, 6. τὸ μὲν πρῶτον, τοῦ λέγει ὁ δαβὶδ, τὸ δὲ β', τοῦ εἰσαγάγῃ ὁ Θ̅ς καὶ πατὴρ κατηγορεῖται. ἡ γὰρ τοῦ πάλιν προσθήκη, τὴν ἐπὶ τέλει γενησομένην τοῦ δεσπότου τῶν ὅλων φοβερὰν ἐμφανείαν προαγορεύῃ, ὅταν κρίνῃ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι. ὅταν ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ, κτ'. πρὸς φιλ', 2. Γρηγόρ, νύσσ, λόγ, α', καὶ γ', κατ' Εὐνομίου.

Κἂν γάρ τοι μεταξὺ τοῦ ῥήματος καὶ τοῦ ἐπιῤῥήματος τύχῃ παρεμπεσόντα πλείον' ἄττα,

Μέρη τινὰ τοῦ λόγου ἕτερα.

Ὅμως μέντοι αὐτὸ τὸ ἐπίῤῥημα πρὸς τὸ ῥῆμα ἀναφερόμενον λέγεται.

Πρὸς αὐτὸ γὰρ ἔχε τὴν σχέσιν, καθὰ δὴ καὶ τὸ ἐπίθετον, καὶ πλειόνων ἑτέρων διὰ τὸ εὔρυθμον καὶ σαφὲς τῆς ἀπαγγελίας παρεμπεσόντων μεταξὺ αὐτοῦ τε καὶ τοῦ καθ' οὗ λέγεται ὑποκειμένου, αὐτὸ μέντοι πρὸς τὸ ὑποκείμενον ἀναφερόμενον λέγεται.

Καὶ μὲν δὴ πλείω πολλάκις συμπλέκοντες ἐπιῤῥήματα, ἐνί τῳ ῥήματι ἀποδίδομεν ἱκανῶς.

Τοῦτ' ἔστιν ἱκανοῦ ὄντος τοῦ ἑνὸς ῥήματος εἰς τὴν τῶν πλειόνων ἐπιῤῥημάτων ἀπόδοσιν διὰ τὴν συνδεσμικὴν ἕνωσιν. οὐδὲ γὰρ, ἐπειδὴ πρὸς ῥῆμα φέρεται τὸ ἐπίῤῥημα, παρὰ τοῦτο καὶ τῶν συνδεδεμένων ἐπιῤῥημάτων ἕκαστον ἴδιον ἐπιζητήσει ῥῆμα.

Οἷον, καλῶς καὶ εὐσεβῶς καὶ δεόντως πεποίηκας. κοινὸν δὲ τὸ τοιοῦτο.

Καὶ γὰρ οὐμόνον ἐπιῤῥήματα, ἀλλὰ καὶ πτωτικὰ πλείω ἄττα συμπλέκοντες, ἑνί τινι ῥήματι ἱκανῶς ἀποδιδόαμεν, ὀνόματά τέ φημι καὶ μετοχὰς καὶ ἀντωνυμίας. ὁ γὰρ, ὡς εἴρηται σύνδεσμος τά τε πολλὰ εἰς ἕνωσιν ἄγει καὶ τὸ ἐν συμπληθύνει, τοῖς πολλοῖς τοῦτο κοινοποιούμενος.

Ἔχει μὲν οὖν τὰ ἐπιῤῥήματα τὴν σύνταξιν πρὸς τὸ ῥῆμα,

Ἐπαναλαμβάνει τὰ εἰρημένα διὰ τὴν ἑξῆς ἐξαίρεσιν.

Πλὴν τοῦ κλητικοῦ ἐπιφθέγματος, καὶ τῶν σχετλιαστικῶν, καὶ θαυμαστικῶν, καὶ τῶν θετικῶν.

Τῶν μὴ πρὸς ῥῆμα, πρὸς δὲ ὄνομα ἐχόντων τὴν σύνταξιν. σημείωσαι δὲ ὅτι οὐδ' ὁ τοῦ

οὐδ' ὁ τοῦ ἐπιῤῥήματος ὁρισμὸς, καθόλου.

Τὸ μὲν γάρ τοι

Κλητικὸν ἐπίφθεγμα,

Πρὸς κλητικήν.

Ἀπὸ κοινοῦ τὸ, ἔχει τὴν σύνταξιν.

Ὦ φίλε Πῶλε.

Πλάτων ἐν γοργίᾳ. ἀνακλητικὸν δὲ καὶ τὸ ὠή.

Τὰ δὲ,

Σχετλιαστικά τε καὶ θαυμαστικά. ὧν ἐστι καὶ τὸ ὤ. τὸ δὲ σχέτλιον πολλαχῶς λεγόμενον, ᾧ δὲ ἐπὶ οἴκτου μόνου λαμβάνεται.

Πρὸς γενικήν. φεῦ τῆς κακῶν. ὢ τοῦ μεγέθους.

Φασὶ δέ τινες μὴ ἐν τῷ καθόλου εἶναι τὸ πρὸς γενικὴν τὰ τοιαῦτα φέρεσθαι. καὶ γὰρ καὶ πρὸς δοτικήν. ὡς ἐν τῷ οἴμοι, ἢ ᾤμοι τῷ ἀθλίῳ. ἔτι καὶ πρὸς αἰτιατικήν. ὡς ἐν τῷ, αἴμε. οἷον, αἴμε μὴ ἀπορρίψαι τὸ φορτίον τῆς ἁμαρτίας. αἴμε τὰς κηλῖδας μὴ ἀποπλύνασθαι. Βασίλ: ἐν τῷ περὶ βαπτίσματ. ἀλλὰ γὰρ οὐδὲν ἧττον καὶ τούτων ἑκάτερον ἔχει τὴν γενικὴν, λανθάνουσαν τοὺς ἀνεπιστάτως διαποροῦντας, τὸ μὲν, ἐγκειμένην, οἷον, αἴμε τοῦ μὴ ἀπορρίψαι, καὶ τοῦ μὴ ἀποπλύνασθαι. τὸ δὲ, προσυπακουομένην, οἷον, ᾤμοι τῆς δυστυχίας, ἢ τῆς ἀβουλίας, ἤ τοῦ τοιούτου. καθόλου γὰρ τοῖς σχετλιαστικοῖς χρεοκοπεῖται ἤτοι προσκεῖσθαι, ἢ συνυπακούεσθαι ἡ γενική. αἰτιολογοῦσα μὲν τὸ ποιητικὸν τοῦ σχετλιασμοῦ, ἐλλείπουσα δὲ τοῦ ἕνεκα. δῆλον δὲ ὡς κἀνταῦθα τὸ ἕνεκα οὐ τὸ τελικὸν, τὸ δὲ ποιητικὸν αἰτιολογεῖ. τὸ γάρ, οἴμοι, ὅτι ἡ παροικία μου ἐμακρύνθη, ἐφερμηνευτικόν ἐστι τοῦ οἴμοι (ἕνεκα) τοῦ μακρυνθῆναι τὴν παροικίαν μου. ἀλλὰ μὴν τὸ ὅτι, τὸ τοῦ σχετλιασμοῦ ποιητικὸν αἰτιολογεῖ ἐν τῷ, ὅτι ἡ παροικία μου ἐμακρύνθη, ληφθὲν ἀντὶ τοῦ δι' ὅ, τι. τὸ ποιητικὸν ἄρα καὶ τὸ συνεξακουόμενον ἕνεκα. ὅθεν καὶ Χρυσόστμ: ὁμλ: οζ', τοῦ κατὰ Ματθ: ἀντὶ τοῦ ἕνεκα, τῇ ἀπὸ, ἐχρήσατο, οἴμοι λέγων ἀπὸ τῆς ἡμέρας ἐκείνης τῆς φοβερᾶς. δεῖ δὲ μὴ ἀγνοεῖν, ὡς ἔνθ' ἂν τὸ αἰτιολογικὸν τοῦ σχετλιασμοῦ πτωτικὸν, ἡ γενικὴ λέγω, μὴ κατὰ γενικὴν προσκέηται, ἀλλ' ἤτοι συνοδεύῃ τῇ παρακειμένῃ πτώσει τοῦ σχετλιάζοντος προσώπου, οἷον, οἴμοι τῷ ἀθλίῳ, ἀντὶ τῆς ἀθλιότητος. καὶ, αἴμε μὴ ἀπορρίψαντα τὸ φορτίον, ἀντὶ, τοῦ μὴ ἀπορρίψαι, ἢ διὰ τοῦ ὅτι αἰτιολογικοῦ συνδέσμου ῥηματικῶς ἐξενηνεγμένον ᾖ, ὡς ἐν τῷ οἴμοι, ὅτι ἐμακρύνθη ἡ παροικία μου. τοτηνικαῦτα οὐ προσεπινοεῖται γενική. τὸ γὰρ ὑπὸ τῆς γενικῆς ἀφῃρημένον νοούμενον, συγκραθὲν, συνώδευσε κατὰ πτῶσιν τῷ ὑποκειμένῳ. ὡς ἐν τῷ, ὡς εἴρηται, οἴμοι τῷ ἀθλίῳ. καὶ αἴμε τὸν μὴ ἀπορρίψαντα. τοῦ δὲ ᾤμοι καὶ αἴμε τὰ πτωτικὰ, ἡ δοτική φημι καὶ αἰτιατικὴ, ἔλλειψιν ἔχει προθέσεως τῆς ἐπὶ, σημαινούσης τὸ ἐπάνω. οἷον, ὢ ἐπ' ἐμοί. καὶ, αἴ ἐπ' ἐμέ. οἱ γὰρ λέγοντες τὸ οἴμοι μὴ δύω, ἐν δὲ μέρος λόγου τὸ ὅλον, οὐκ ἀσφαλῶς ἐνίσταντ. τὰ γὰρ ἐπίθετα δῆλον ὡς καθ' ἑτέρων ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως λέγετ. εἰ γοῦν δοθείη τὸ οἴμοι, ὅλον εἶναι ἐπίῤῥημα, τὸ ἐπίθετον ἐν τῷ, οἴμοι τῷ ἀθλίῳ, τίνος ὑποκειμένου πτωτικοῦ κατηγορηθήσετ; ἕξει γάρ τι προϋφεστὼς ὁμοιόπτωτον οὐσιῶδες πτωτικὸν καὶ ὁμοιάριθμον, οὗ οὐκ ἄνευ. ἐπεὶ δὲ καὶ τὰ ὀνόματα τρίτου ὄντα προσώπου, πρώτου ἢ β', οὐκ ἂν γένοιτο, μὴ προσλαβόντα τὸ ἀντωνυμικὸν

μόριον

μόριον, τὸ ἐπίθετον ἐν τῷ οἴμοι τῷ ἀθλίῳ, πόθεν ἂν ληφθείη ἐπὶ πρώτου, εἰ μὴ διὰ τοῦ μοι; εἰ ὅλον ἐπίῤῥημα τὸ οἴμοι, πῶς οὐ λέγεται καὶ παντὸς προσώπου τε καὶ ἀριθμοῦ, ὡς εἶναι λέγειν οἴμοι τῷ ἀθλίῳ, σοὶ δηλ, ἢ ἐκείνῳ; ἢ οἴμοι τοῖς ἀθλίοις; ἡ γὰρ λέξις, ᾗ τινι οὐκ ἐπισυμβέβηκε τὸ τὴν διάκρισιν δυνάμενον φανερῶς ποιεῖσθαι, ἀδιάφορον ἕξει, ὡς εἴρηται, τὴν πρὸς τὰ διάφορα τῷ ἀριθμῷ ἢ καὶ τῷ προσώπῳ ἐπιπλοκήν. ἐπεὶ οὖν τὸ μοι, ἐν τῷ οἴμοι, διακριτικόν ἐστι καὶ προσώπου καὶ πτώσεως καὶ ἀριθμοῦ, δῆλον ὡς τὸ οἴμοι οὐχ ἕν, δύω δέ εἰσι μέρη. τί δὲ φήσουσι καὶ περὶ τοῦ αἴμε; οὐδὲ γὰρ οὐδ' αὐτὸ ἕν ἐστι μέρος τὸ ὅλον. φησὶ γοῦν ὁ Εὐστάθειος παρὰ μὲν τὸ οἶ, ἐπίῤῥημα, τὸ οἴζω. παρὰ δὲ τὸ ᾤ, τὸ ᾤζω. ὡς καὶ παρὰ τὸ αἶ, τὸ αἰάζω. καὶ κατ' αὐτὸν ἄρα, ὥσπερ τὸ ᾤ καὶ αἶ, οὕτω καὶ τὸ οἶ καθ' αὑτά εἰσιν ἐπιῤῥήματα. προσλαμβάνει δὲ τὴν ἀντωνυμίαν, εἰς τὴν τοῦ σχετλιάζοντος προσώπου διάκρισιν. τοῦ γὰρ οἴμοι ἐγκλιτικοῦ τὸ ὀρθοτονούμενόν ἐστιν, ὦ ἐμοί. Ἐπεὶ οὖν ἐδείχθη τὸ οἴμοι δύω μέρη, δίδοται καὶ τὸ οἴσοι τῷ ἀθλίῳ, καὶ δεύτερον λέγω πρόσωπον, ὡς κἀν τῷ, οὐαί μοι καὶ οὐαί σοι. καὶ τὸ οἴοι τῷ τάλανι καὶ τρίτον. καὶ ταὐτὰ δὴ καὶ τὸ αἴμε, αἴσε, καὶ αἴε, καὶ παντὸς οὐμόνον προσώπου, ἀλλὰ καὶ ἀριθμοῦ. οἱ γὰρ ἡμῖν καὶ ὑμῖν. καὶ, αἱ ὑμᾶς καὶ σφᾶς. συσταίη γὰρ ἂν καὶ ταῦτα, εἰ καὶ τὰ τῆς κατ' αὐτὰ χρήσεως οὐκ ἐγένετο ἡμῖν ἐμφανῆ. τὸ δὲ ὦ, κλητικὸν μὲν ὂν ἐπίφθεγμα, περισπᾶται πνευματιζόμενον. βαρύνεται δὲ, σχετλιαστικὸν ὂν, ἢ θαυμαστικόν. τὸ δὲ θαυμαστικὸν ὦ, ἔστιν οὗ καὶ πρὸς κλητικὴν εὕρηται ἔχον τὴν σύνταξιν, διὰ τὸ ἐπαμφοτερίζειν. δι' ὃ καὶ Σοφοκλῆς ἐν ἐνὶ στίχῳ οὐκ ὤκνησεν εἰπεῖν, ὦ δυσθέατον ὄμμα καὶ τόλμης πικρᾶς. διπλόη δὲ τοῦτο συντάξεως. ἔχων γὰρ φάναι καὶ κλητικὴν ἑκάτερα, οἷον, ὦ δυσθέατον ὄμμα καὶ τόλμη πικρά. ἢ καὶ κατὰ γενικὴν, ἐξήλλαξεν ὅμως τὴν φράσιν, διὰ τὸ οὕτω καὶ οὕτω δύνασθαι λέγεσθαι. οἷον, ὦ δυσθεάτου καὶ ὄψεως καὶ τολμήματος. καὶ πάλιν, ὦ δυσθέατος καὶ ὄψις καὶ τόλμημα. τὸ δὲ ὦ, κλητικὸν διαφέρει τοῦ ἆ, προσφωνητικοῦ. ὅτι τοῦτο μὲν, ψυχῆς ἀπαθοῦς. τὸ δὲ ἆ, πάθος παραχῷδες δηλοῖ ψυχικόν. οἷον, ἢ σχετλιασμὸν, ἢ ὄνειδος, ἢ ἀγανάκτησιν, ἢ ἔλεος. τὰ δὲ τοῦ πνευματισμοῦ ἀμφοῖν κοινά. φασὶ δὲ οἱ παλαιοὶ τὸ, ὦ πόπποι, καὶ δασεῖαν εἶχε καὶ περιεσπᾶτο, ὡς ἐν θουσιαστικόν τι ἐπίῤῥημα. παρὰ δὲ τοῖς ὕστερον οὐδέτερον τούτων πάσχει. οὔτε γὰρ δασύνεται, οὔτε μὴν περισπᾶται, ἵνα μὴ συνεμπέσῃ τῷ ὦ ῥήματι; ὃ δηλοῖ τὸ πέμψω. ὅπερ μετὰ συνθέσεως ἐφῶ γίνεται καὶ ἀφῶ.

Τὰ δὲ,

Θετικὰ.

Πρὸς δοτικὴν, ἢ αἰτιατικήν. γραπτέον ἡμῖν. γραπτέον ἡμᾶς.

Τὰ θετικὰ καὶ θέσεις καλοῦσί τινες, ὡς αἵρεσιν καὶ παραδοχὴν δηλοῦντα. ὅτι δέον δηλ. ὑπάρξαι τὸ δυνάμει ἐγκείμενον κατηγορούμενον. τὸ γὰρ θέσθαι τὸ ὑπάρξαι βούλεται ἐνταῦθα. ἀναλύεται δὲ τὰ θετικὰ εἴς τε τὸ δυνάμει ἐγκείμενον ἀπρόσωπον ῥῆμα τὸ δεῖ, ἢ χρὴ, καὶ εἰς τὸ συστοιχοῦν αὐτοῖς ἀπαρέμφατον, διττὴν ἐντεῦθεν ἐπιδεχόμενα πτῶσιν, ὀρθῶς, τῇ μὲν, δοτικὴν περιποιητικῶς, διὰ τὸ δυνάμει ἐγκείμενον ἀπρόσωπον ῥῆμα κατὰ τὸν β', τρόπον τῶν ἀπροσώπων ὡς εἴρηται ῥημάτων, τῇ δὲ, αἰτιατικὴν, διὰ τὸ συστοιχοῦν ἀπαρέμφατον, οὗ ἴδιον, ὡς εἴρηται, ἐκ πρώτου αἰτιατικὴν περιέχειν. οἷς δὴ

καὶ τὸ ἐστὶ

καὶ τὸ ἐστὶ κοινῶς μὲν οὖ, ἀττικῶς δὲ, κατά τινας πρόσκειται. οἱ γὰρ ἀττικοὶ ἀπὸ τοῦ συνήθους ἀεὶ καὶ χθαμαλοῦ τὸν λόγον ἐπαίροντες, ἐπεὶ εὗρον ἐν τῇ συνηθείᾳ τὸ θαπτέον, γραπτέον καὶ τὰ τούτων ἀκόλουθα χωρὶς προσθήκης τινὸς λεγόμενα, προστιθέασιν αὐτοῖς τὸ ἐστίν. ὃ συνυπηκούετο ἔξωθεν παρὰ τοῖς κοινοῖς, ἵνα καινότερον τὸν λόγον ἐργάσωνται. ἐμοί γε μὴν δοκεῖ, ὅτι ἡ τοῦ ὑπαρκτικοῦ προσθήκη ἐν τοῖς θετικοῖς τῶν ἐπιῤῥημάτων παρέλκει, δύοιν ἕνεκα. τοῦ μὲν, ὅτι ἐγκειμένου τούτοις τοῦ ἀπροσώπου ῥήματος, ἑτέρου οὐ χρῄζουσι. τοῦ δὲ, ὅτι προσλαβόντα τὸ ὑπαρκτικὸν, οὐκ ἔτι μένουσιν ἐπιῤῥήματα, εἰς πτωτικὰ μεθιστάμενα τοῦ ὑπαρκτικοῦ, εὐθείᾳ ἐκ τρίτου συντασσομένου. Ἔστι δὲ κἂν τοῖς θετικοῖς διπλόην ἐκθέσθαι συντάξεως τὸν βουλόμενον. οἷον, γραπτέον ἡμῖν ὡς τὸν βασιλέα, τὴν τούτου εὔνοιαν προσεταιριζομένους. ὡς καὶ Πλούταχ. ἐν τῷ περὶ τοῦ ἀκούειν, οὐ φευκτέον ἐστὶ τὰ ποιήματα τοῖς φιφεῖν μέλλουσιν, ἀλλ' ἐν ποιήμασι προσφιλοσοφητέον, ἐθιζομένους ἐν τῷ τέρποντι τὸ χρήσιμον ζητεῖν.

Ἔστι δὲ χρῆσθαι σχετλιαστικοῖς τε καὶ θετικοῖς καὶ ἄνευ τινὸς ἐπεκφορᾶς πτωτικῆς.

Καθ' ἑαυτὰ δηλ. καὶ ἀπολύτως, εἴτ' οὖν ἀπτώτως. τοῖς μὲν θετικοῖς, οἷον, ἱστέον, στικτέον. τοῖς δὲ σχετλιαστικοῖς, φεῦ, βαβαί. καὶ πολλοῖς ἄλλοις παρὰ τοῖς ποιηταῖς. καὶ μάλιστα τοῖς κωμικοῖς τε καὶ τραγικοῖς. ὥσπερ αὖ πάλιν ἐκ τοῦ ἐναντίου, καὶ πτωτικοῖς σχετλιαστικῶν ἐστι χρῆσθαι κατ' ἔλλειψιν τῶν σχετλιαστικῶν, συνυπακουομένων τοῖς ἰδίοις αὐτῶν πτωτικοῖς. οἷον, τῆς ἐμῆς δυστυχίας. τῆς τύχης. ὧν καὶ τὰ ἄρθρα σφοδρότερόν τε καὶ ἐξακουστότερον ἐκφωνεῖται κατὰ τοὺς τόνους ἀναγινωσκόμενα, εἰς ἐμφανισμὸν εἴτ' οὖν ἀναπλήρωσιν τοῦ ἐλλείποντος σχετλιαστικοῦ ἐπιῤῥήματος.

Τὰ μὲν οὖν,

Τῶν ἐπιῤῥημάτων,

Πτωτικῶς συντάσσεται.

Ὅ ἐστι πτωτικοῖς, οὐ ῥήμασι.

Φεῦ τοῦ μεγέθους. τὰ δὲ,

Τἀνάπαλιν,

Ῥηματικῶς.

Ὅ ἐστι ῥήμασιν, οὐχὶ πτωτικοῖς.

Εὖ ἔχει. τὰ δὲ, συναμφοτέρως.

Πτωτικῶς τε καὶ ῥηματικῶς. οἷον,

Πόῤῥω ἡμῶν οἰκεῖ. Καὶ τὰ μὲν συναμφοτέρως

Συντασσόμενα. οἷον, πόῤῥω ἡμῶν οἰκεῖ.

Καὶ ῥηματικῶς.

Συντάσσεται.

Οἷον, πόῤῥω οἰκεῖ. τὰ δὲ

Ἑτέρως συντασσόμενα, οἷον, ἤτοι

Ῥηματικῶς,

Ὡς τὸ εὖ ἔχει

Ἢ πτωτικῶς,

Ὡς τὸ, φεῦ τοῦ μεγέθους.

Οὐκ ἐξ ἀνάγκης δὴ καὶ συναμφοτέρως.

Συντάσσεται. τοῦτ' ἔστι τὰ αὐτὰ καὶ ῥηματικῶς.

τικῶς καὶ πτωτικῶς. Ὑπέλαβον δέ τινες τὰ ἐπιῤῥήματα ὀνόματα εἶναι διὰ τὸ ἔνια αὐτῶν ἀπό τινων ὀνομάτων παρῆχθαι. οἷον, τὸ καλῶς καὶ σαφῶς ἀπὸ τοῦ καλοῦ καὶ σαφοῦς. καὶ τὸ δικαίως ἀπὸ τοῦ δικαίου, ἢ τῆς δικαιοσύνης. εἴη δ' ἂν κατ' αὐτοὺς καὶ τὸ γαμητέον, πλευστέον, καὶ ἁπλῶς τὰ θετικὰ τῶν ἐπιῤῥημάτων, ῥήματα καὶ οὐχὶ κατ' αὐτοὺς ὀνόματα, ὡς ἐκ τῶν ῥημάτων δεῖ γαμεῖν, ἢ πλεῖν γεγονότα. οὐ μέν τοι ἔχετο λόγου, ἢ ταῦτα ῥήματα, ἢ τὰ πρότερα καλεῖν ὀνόματα. τὰ μὲν γὰρ τῶν ἐπιῤῥημάτων οὐδ' ἂν ὑποπτευθείη ὀνόματα εἶναι, οἷα τὰ τῆς συγκαταθέσεως, ἢ τῆς ἀρνήσεως, ἢ τῆς ἀπαγορεύσεως. ἢ τὰ προτασσόμενα τῶν ὅρκων, καὶ ἄλλα πλεῖστα. ἀλλ' οὐδὲ ῥήματα πάλιν τινὰ τούτων, μὴ οἷά τε ὄντα μήτε ὑποκεῖσθαι μήτε κατηγορεῖσθαι ἐν τῷ λόγῳ κατὰ τὸ ὄνομα καὶ τὸ ῥῆμα.

Χρονικά. Νῦν.

Ἡγεῖται μὲν οὖν τῶν ἐπιῤῥημάτων τὰ χρονικά. καὶ τῶν χρονικῶν αὖθις τὸ νῦν. τὰ μὲν, ὡς αὐτὰ μόνα τὴν πρὸς πᾶν ῥῆμα ἀκολουθίαν ὡρισμένην ἔχοντα. τὰ γὰρ ἐγκλίσεως σημαντικὰ, οὐ πρὸς πᾶν ῥῆμα ὡρισμένως ἀκολουθεῖ. τὸ δὲ, ὡς ἐνιστάμενον, τῶν παρὰ τοῦτο οὐδετέρου παρόντος, μήτε τοῦ προτέρου δηλ, μήτε τοῦ ὑστέρου.

Τῶν δὲ χρονικῶν τὸ μὲν νῦν, πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντάσσεται, πλὴν τοῦ ὑπερσυντελίκου.

Μόρια τοῦ χρόνου, ὡς καὶ ἀλλαχοῦ εἴρηται, τὸ πρότερον, τὸ ὕστερον, καὶ αὐτὸ δὴ τὸ ἐνιστάμενον ἐν πλάτει ὁπωσοῦν νοούμενον. Ἔστι δὲ πρότερον καὶ ὕστερον, μόρια τοῦ χρόνου ἀντιδιῃρημένως ἀφεστηκότα τοῦ νῦν, τὸ μὲν, κατὰ τὸν μέλλοντα χρόνον, τὸ δὲ, κατὰ τὸν παρῳχημένον, τὸ δὲ Νῦν, ὅρος τοῦ παρήκοντος καὶ τοῦ μέλλοντος. (ἔστι γὰρ ἔσχατόν τι καὶ τοῦ γεγονότος, οὗ ἐπὶ τάδε οὐδέν ἐστι τοῦ μέλλοντος, καὶ πάλιν τοῦ μέλλοντος, οὗ ἐπὶ τάδε οὐδέν ἐστι τοῦ γεγονότος. λέγω δὲ ἐπὶ τάδε, τὰ πρὸς τὸ ἐνιστάμενον. τὸ γὰρ ἐπὶ τάδε, πρὸς τὸ ἐπέκεινα ἀντιδιαστέλλεται κατὰ τὸν Ἀριστλ': ἐν τῷ τέλει περὶ αἰσθήσεως καὶ αἰσθητῶν.) Τοῦ προτέρου δ' αὖ διαφοραὶ τέσσαρες, ἡ τοῦ παρακειμένου, ἡ τοῦ παρατατικοῦ, ἡ τοῦ ἀορίστου συντελικοῦ, καὶ ἡ τοῦ ὑπερσυντελίκου. οὗ δὴ χωρὶς, τοῖς λοιποῖς ἅπασι συμφέρεται τὸ νῦν. (εἰ καὶ λουκιαν. ἐν τῷ ψευδοσοφιστῇ οὐβούλετο τὴν τοῦ μέλλοντος κίνησιν παραδέχεσθαι τὸ νῦν.) τὸ γὰρ Νῦν μεταξὺ ὂν τοῦτε προτέρου καὶ ὑστέρου, δι' αὐτὸ τοῦτο συντάσσεται καὶ παρήκοντι καὶ μέλλοντι, οὐμὴν ἁπλῶς, ἀλλὰ τοῖς μὴ πολὺ ἀφεστηκόσι τοῦ ἐνεστῶτος. ἐνεστῶτα δὲ λέγω, καθ' ὅν τις περὶ παρῳχημένου, ἢ μέλλοντος διαλέγεται. τοῖς δὲ ἐπιπολὺ τούτου ἀφισταμένοις, οὐκ ἔτι. οἷος δὴ καὶ ὁ ὑπερσυντέλικος. οὗτος μὲν γὰρ μετὰ τὸν παρακείμενον τὴν ἀπὸ τοῦ ἐνεστῶτος ὑπεμφαίνει ἀπόστασιν, ὁ δὲ συντελικός τε καὶ μέλλων, τῆς αὐτῶν ἀποστάσεως ἀπὸ τοῦ ἐνεστῶτος μὴ οὔσης ὡρισμένης, δι' αὐτὸ τοῦτο οἷοί τέ εἰσι ληφθῆναι προσεχέστερον ὁ μὲν, τοῦ ὑπερσυντελίκου καὶ αὐτοῦ δὴ σχεδὸν τοῦ παρακειμένου, ὁ δὲ, οἷος, ἦν ὁ μετ' ὀλίγον μέλλων, τοῦ ἁπλῶς εἴτ' οὖν τοῦ μετὰ πολὺ μέλλοντος, ὥστε ἔγγιστα ἐλθεῖν τοῦ συντετελεσμένους ἐνεστῶτας εἶναι ἑκατέρους. ταῦτ' ἄρα τοῦτε ἔτυψα καὶ τοῦ ἐτετύφειν, συντελικῶν ὄντων ἐπίσης ἑκατέρων, ὅ ἐστι τὸ ἐν παρεληλυθότι τέλειον ὑπεμφαινόντων, ὁ ἐτετύφειν διὰ τὸ περὶ τὴν ἐνέργειαν ἢ τὸ πάθος ὡρισμένον, μᾶλλον συντελικὸς ἤκουσεν, ἤπερ ὁ ἔτυψα διὰ τὸ περὶ τὴν διάθεσιν ἀόριστον.

Νῦν πειρᾶται. (ἰλ. β.) Νῦν αὖτ' ἔγ-

αὖτ' ἔγχεϊ πειρήσομαι. (ἰλ. ε.) Νῦν μὲν δὴ μενέλαος ἐνίκησε σὺν ἀθήνῃ. (ἰλ. γ.)

Καὶ καθ' Ἡρακλείδην δὲ τὸ Νῦν καὶ τοὺς παλαιοὺς τοὺς τρεῖς χρόνους δηλοῖ, τὸν ἐνεστῶτα οἷον, ᾗ γὰρ ἂν ἀτρείδῃ νῦν ὕστατα λοβήσαιο. καὶ τὸν παρῳχημένον. ὡς τὸ, νῦν ᾤχετο πᾶσα ἴλιος κατ' ἄκρης. καὶ τὸν μέλλοντα. οἷον, νῦν δὴ αἰνίαο βίη τρῴεσιν ἀνάξει. καπὶ ἀκαριαίου δὲ καὶ ἀπλατοῦς ὡς εἰπεῖν χρόνου τίθεται εἴτ' οὖν ὀλιγίστου. εἴγε τὸ Νῦν πλατικῶς ἐπιδεκτικὸν τυγχάνει τῆς κατὰ τὸ μᾶλλον καὶ ἧττον παρατάσεως. ὡς ἐν τῷ, νῦν δὲ μνησόμεθα χάρμης αἶψα μάλα. ἰλ. ψ, οὐ γὰρ χρή φησι κλοτοπεύειν ἐνθάδ' ἐόντας, οὐδὲ διατρίβειν. ὁ δὲ Θωμᾶς φησι, τὸ Νῦν ἐπὶ μέλλοντος παράτασιν χρόνου δηλοῦν, σολοικισμὸν ποιεῖ. ὡς ἐν τῷ, νῦν σοφὸς γενήσομαι. δεῖται γὰρ ἡ σοφία χρόνου. ὡς οὖν εἰπεῖν τὸ Νῦν συντάσσεται ἀορίστῳ μὲν, ὅτε σὺν τῷ λόγῳ παύσοιτό τις τοῦ ποιεῖν. μέλλοντι δὲ, ὅτε σὺν τῷ λόγῳ ἄρξοιτό τις τοῦ ποιεῖν. καὶ κατὰ τὸν Ἀριστλ: περὶ ἀρχῶν δ'. ὅταν ὁ χρόνος ὁ τούτου ἐγγὺς ᾖ κατά τε τὸ πρότερον καὶ τὸ ὕστερον. φαμὲν γὰρ ἥξει νῦν, ὅτι τήμερον ἥξει. καὶ ἧκε νῦν, ὅτι ἦλθε τήμερον. τὰ δ' ἐν ἰλίῳ, γέγονεν οὐ νῦν, οὐδ' ὁ κατακλυσμὸς γέγονε νῦν. καί τοι συνεχὴς ὁ χρόνος εἰς αὐτά. ἀλλ' ὅτι οὐκ ἐγγύς. Τὸ δὲ Νῦν δὴ ἀντὶ τοῦ ἀρτίως ὑφ' ἑνὶ τόνῳ παρῳχημένῳ μόνῳ συντάσσεται. ἐνεστῶτι δὲ μόνῳ τὸ Νυνί. τῶν ἀττικῶν δὲ ταῦτα.

Καὶ δηλοῦν μὲν τὸ τοῦ χρόνου ἐνεστηκὸς, ἐνεστῶτι συντάσσεται μόνῳ, καὶ ἀρκτικὸν γίνεται λόγου.

Ὡσαύτως καὶ τὸ τοῦ χρόνου παρεληλυθὸς, ἢ τὸ μέλλον δηλοῦν, παρεληλυθότι μόνῳ, ἢ μέλλοντι συντάσσεται, ἀρκτικὸν καὶ τούτοις λόγου γιγνόμενον. ὡς ἐκ τῶν παραδειγμάτων δῆλον.

Ἀκολουθίαν δέ τινα σῷζον προηγουμένου

Λόγου. ἑξῆς ἔδει εἰπεῖν, οὐχὶ

Οὔτ' ἀρκτικόν ἐστι λόγου,

Ταυτολογοῦντος γάρ ἐστι τοῦτο. εἴγε ἀκολουθίαν τινὰ σῴζειν προηγουμένου λόγου, καὶ μὴ ἀρκτικὸν εἶναι λόγου, ταὐτὸ δύναται ἑκάτερα. ἀλλ' οὔτε χρόνου τι μέρος δηλοῖ.

Καὶ ἀεὶ τῷ δὲ, συνδέσμῳ συνάπτεται.

Κατὰ τὸ παρέλκον κείμενον.

Οἷον, ἐγὼ μὲν, ᾤμην ταῦτ' ἐκεῖνον ἐρεῖν. νῦν δὲ, οὐθὲν τούτων εἴρηκε.

Θουκδ': δ', καὶ λέγεται τὸν Βρασίδαν, εἰ ἠθέλησε μὴ ἐφ' ἁρπαγὴν τῷ στρατῷ τραπέσθαι, ἀλλ' εὐθὺς χωρῆσαι πρὸς τὴν πόλιν, δοκεῖν ἂν ἑλεῖν, νῦν δὲ ὁ μὲν, ἱδρύσας τὸν στρατὸν, ἐπὶ τὰ ἔξω ἐπέδραμεν. Ἡρόδ. γ'. εἰ μὲν νυν μαθὼν ταῦτα ὁ Καμβύσης, ἐγνωσιμάχεε, ἦν ἂν σοφὸς ἀνήρ. νῦν δὲ οὐδένα λόγον ποιησάμενος, ἤϊε αἰεὶ ἐς τὸ πρόσω. ἐξαιρετέον τὸ πρός τε τῶν ἀντιπαρακειμένων οἷ τοῦ χρόνου μορίων ἀντιδιαστελλόμενον. ἐκεῖνο γὰρ καὶ ἀκολουθίαν προηγουμένου σῷζον λόγου, οὐδὲν ἧττον τὸ τοῦ χρόνου ἐνεστηκὸς δηλοῖ. οἷον, τὰ μὲν σοὶ παριστάμενα, ἐς ὕστερον ποιήσεις, νῦν δὲ τὰ ἐπιταχθέντα σοι ποίει. καὶ, πρότερον μὲν, οὐκ ἀγεννῶς ἀντιπαρετάττου τοῖς πολεμίοις, νῦν δὲ, οὐδὲ τὸν γράσον αὐτῶν ὑπενεγκεῖν ἔχεις. καὶ Χρυσός. ἐν τῇ α', πρὸς κορ. κφ'. 11, ὁμλ', κϛ'. ἀλλὰ τότε μὲν παρέ-

μὲν παρέδωκε μόνον, νῦν δὲ καὶ αἰτιολογίαν τίθησι. περὶ δὲ τοῦ τὸ τοῦ χρόνου ἐνεστηκὸς δηλοῦντος Νῦν, ὅτῳ τρόπῳ τῇ κατὰ τὸ ἐνιστάμενον διαθέσει συμπαρεκτείνεται, εἴρηται πρότερον. ᾗ μὲν γὰρ ἀμερὲς, οὐκ ἂν ἐκταθείη, ῥυϊσκόμενον δὲ οἱονεὶ, οὕτως αὐτὸ τὸ πλατυκὸν γεννᾷ, τὸ τῇ τοῦ ἐνισταμένου διαθέσει συμπαρεκτείνεσθαι νοούμενον. καθὰ δὴ καὶ τὸ σημεῖον, οὗ μέρος οὐθὲν, ῥυὲν, τὴν γραμμὴν λέγεται γεννᾶν, καὶ ἡ γραμμὴ ὡσαύτως ῥυεῖσα, τὴν ἐπιφάνειαν. καὶ ἡ ἐπιφάνεια τὸ σῶμα.

Ἀντιπαράκειται δὲ τῷ τοῦ ἐνεστῶτος Νῦν τὸ Αὐτίκα καὶ Ἄρτι. νῦν ποιῶ. ἄρτι πεποίηκα. αὐτίκα ποιήσω.

Τῷ ἐνεστῶτι τό, τε μέλλον καὶ τὸ παρῆκον ἑκατέρωθεν παρακείμενα, ἐναντίως ἔχουσι πρὸς ἄλληλα. καὶ τὸ αὐτίκα γοῦν καὶ ἄρτι συντασσόμενα, τὸ μὲν, μέλλοντι, τὸ δὲ ἄρτι, παρήκοντι, ἀλλήλοις τε ἀντίκειται, καὶ ἑκατέρωθεν παρακείμενα οὐ τῷ τοῦ παρήκοντος ἢ τοῦ μέλλοντος, τῷ δὲ τοῦ ἐνεστῶτος νῦν, οὐδέτερον αὐτῶν δηλονότι ἐνεστῶτι συντάσσεται. (εἰ καὶ Φρυνίχος ἐν ταῖς τῶν λέξεων ἐκλογαῖς ἐνεστῶτι τὸ ἄρτι συντάττει. ἐν δὲ τῷ εἰς τοὺς νέους τοῦ βασιλ. τοῖς ἄρτι καθισταμένοις τὸν βίον, τὸ ἄρτι ἐπὶ τὸν ἐγκείμενον τῷ ἐνεστῶτι παρατατικὸν ἀποτείνεται.) ὅθεν εἰπεῖν ἔδει τὸν τοῦ Λουκιανοῦ σολοικιστὴν, οὐκ ἄρτι, αὐτίκα δὲ μάλα σολοικιῶ. δῆλον δὲ ὡς τὸ μὲν τοῦ παρῳχημένου Νῦν, ἰσοδυναμεῖ τῷ Ἄρτι. τὸ δὲ τοῦ μέλλοντος, τῷ Αὐτίκα. λαμβάνεται δὲ καὶ αὐτὰ ἑκάτερα ἐπὶ τῶν μὴ πολὺ ἀφεστηκότων τοῦ κατὰ τὸν ἐνεστῶτα Νῦν. τοῦτο γὰρ βούλεται τὸ παρακεῖσθαι. ὥστε τὸ Αὐτίκα, οὐ τῷ μετὰ πολὺ, τῷ δὲ μετ' ὀλίγον μέλλοντι συντακτέον. οἷον, αὐτίκα γεγράψομαι. τὸν δὲ τῷ αὐτίκα μετὰ πολὺ μέλλοντα συντασσόμενον, οἷον, αὐτίκα γράψω, ἀντὶ τοῦ μετ' ὀλίγον μέλλοντος ἐκληπτέον. τὰ δὲ τοῦ κειμένου μετὰ προσθήκης τινὲς ἀναγινώσκειν βούλονται οὑτωσὶν, ἀντιπαράκειται δὲ τῷ τοῦ ἐνεστῶτος νῦν ἑκατέρωθεν τὸ αὐτίκα καὶ ἄρτι. περιττή γε μὴν ἡ τοῦ ἑκατέρωθεν προσθήκη, ὡς συνυπακουομένου. τὸ γὰρ αὐτίκα καὶ ἄρτι, εἰ ἦν ἑκάτερα ἑτέρωθεν τοῦ κατὰ τὸν ἐνεστῶτα νῦν, οὐκ ἂν ἦν ἐναντία ἀλλήλοις, ὁμοειδῆ δὲ μᾶλλον, ἢ γάρ τοι πρότερα ἑκάτερα, ἢ ὕστερα. νῦν δὲ ἀλλήλοις ἀντιμαχόμενα (τοῦτο γὰρ βούλεται ἡ ἀντὶ, ἐν τῷ ἀντιπαρακεῖσθαι.) δῆλον ὡς οὐκ ἄλλως, ὅτι μὴ, ἑκατέρωθεν τοῦ κατὰ τὸν ἐνεστῶτα νῦν παρακείμενα, τὴν πρὸς ἄλληλα μάχην ἀνείλοντο. μάχεται δὲ οὐ μόνον πρὸς ἄλληλα, ἀλλὰ καὶ πρὸς αὐτὸ τὸ τοῦ ἐνεστῶτος νῦν ἑκάτερα, τὸ μὲν, ὡς πρότερον, τὸ δὲ, ὡς ὕστερον. καθάπερ γὰρ αἱ τοῦ μέσου εἴτ' οὖν τῆς ἀρετῆς παρεκτραπεῖσαι ἀκρότητες πρὸς τῇ μετ' ἀλλήλων μάχῃ τῷ λόγῳ τῆς ὑπερβολῆς καὶ ἐλλείψεως, καὶ πρὸς αὐτὴν ἔτι τὴν μεσότητα μάχονται τῷ τῆς ἀκρότητος λόγῳ, οὕτω τοι καὶ τὰ τῷ τοῦ ἐνεστῶτος Νῦν ἀντιπαρακείμενα δύω Νῦν. ἕτερα δέ ἐστι ταῦτα παρὰ τὰ ἐν τῇ ἀναπτύξει τοῦ χρόνου προειλημμένα δύω νῦν. ταῦτα μὲν γάρ ἐστι μόρια χρονικὰ τὸ μὲν, τοῦ παρεληλυθότος, τὸ δὲ, τοῦ μέλλοντος, ἐκεῖνα δὲ, ἀμερῆ σημεῖα, τῆς καθ' ὁ, τιοῦν μέρος τοῦ χρόνου κινήσεως διοριστικὰ κινήματα κατὰ τὸ αὐτῆς πρότερόν τε καὶ ὕστερον. κατὰ δὲ τὸν Ἀριστοτέλην δ'. περὶ ἀρχῶν. Ἄρτι ἐστὶ τὸ ἐγγὺς τοῦ παρόντος νῦν, καὶ μόριον τοῦ παρελθόντος. πότε ἦλθες; ἄρτι, ἐὰν ᾖ ὁ χρόνος ἐγγὺς τοῦ ἐνεστῶτος νῦν. πάλαι δὲ, τὸ πόῤῥω.

Χθές.

Χθές.

Ὁμοίως δ' ἔχει καὶ τὸ χθὲς καὶ αὔριον πρὸς τὸ σήμερον.

Ὥσπερ τῷ τοῦ ἐνεστῶτος Νῦν ἀντιπαρέκειτο τὸ αὐτίκα καὶ Ἄρτι, οὕτω καὶ τὸ Χθὲς καὶ Αὔριον τῷ Σήμερον. τὸ μὲν αὐτῶν, παρήκοντι, τὸ δὲ, μέλλοντι συντασσόμενον, τὸ δὲ Σήμερον, ἐνεστῶτι κατὰ τὸ τοῦ ἐνεστῶτος Νῦν. Εἴη δ' ἂν κατὰ τὸ Νῦν ἁπλῶς καὶ τὸ Σήμερον συντασσόμενον. εἰ γάρ τοι καὶ τούτῳ ἀντιπαράκειται τὸ χθές τε καὶ αὔριον, ὥς γε μὴν ἐμπεριειληφὼς σὺν τῷ μεταξὺ Νῦν καὶ ἑκάτερον τῶν τῷ μέσῳ ἀντιπαρακειμένων δύοιν Νῦν, συνενεχθείη ἂν καὶ αὐτὸ τῶν ἀντιπαρακειμένων οἱ τοῦ χρόνου μόριων ἑκατέροις τοῖς μὴ πολὺ ἀφεστηκόσι τοῦ μέσου. Ἀριστφ. ἐν ἵππ. ἐγὼ δὲ ἄλουτος τήμερον γενήσομαι.

Εἰρήσθω δέτοι καὶ, αὔριον ἔρχομαι, εἰ πρὸς θυμοῦ τὸ μέλλον γίγνεσθαι ἐπιπλέον πιστοῦσθαι.

Εἰ δέσοι καταθύμιον, τοῦτ' ἔστιν εἰ βούλει τοῦ μέλλοντος τὸ πιστόν πως μᾶλλον πιστοποιήσασθαι, ὡς ἀναντιῤῥήτως ἔσται, συντάξεις τὸ μέλλον ἐνεστῶτι, τοῦτ' ἔστιν ἐπίῤῥημα μέλλοντος, ἐνεστῶτος ῥήματι. εἰ δὲ τοῦτο δίδοται, δοθήσεται κἀκ τοῦ ἐναντίου, καὶ τὸ σήμερον ἐλεύσομαι. καὶ γὰρ οὐδὲν ἧττον καὶ οὕτω τὸ μέλλον γίγνεσθαι, ἐπιπλέον πιστοποιεῖται. καὶ οὕτω λύεται καὶ τὸ θρυλλούμενον ἐκεῖνο πρὸς τὸν λῃστὴν εἰρημένον κυριακὸν λόγιον, τὸ, σήμερον μετ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ. τὴν γὰρ ἀναντιῤῥήτως ἐσομένην ἐν τῷ παραδείσῳ τοῦ λῃστοῦ εἴσοδον ὁ Κ'ς πιστοποιούμενος, σήμερον ἔσῃ, εἶπε κατὰ τὸν Χρυσόστμ: (τόμ. α', λόγ. ζ', διὰ τί ξύλον. γνωστὸν καλοῦτε καὶ πονηροῦ καλεῖται τὸ ξύλον.)

Τί δὲ μὴ, ὥσπερ μέλλον, οὕτω καὶ παρῆκον πρόσρημα, ἐνεστῶτι συντάσσεται ῥήματι, ὡς εἶναι λέγειν, ὥσπερ, αὔριον ποιῶ, οὕτω καὶ, χθὲς ποιῶ; Ἢ ὅτι ἐνεστὼς τὸ μὲν μέλλον γένοιτ' ἄν ποτε, τὸ δὲ παρῆκον οὐκ ἔτι. Ἰστέον δὲ ὅτι τῶν τῷ ἐνεστῶτι ἀντιπαρακειμένων τριῶν χρονικῶν συζυγιῶν, τῆς τοῦ διττοῦ Νῦν, τῆς τοῦ Ἄρτι τε καὶ Αὐτίκα, καὶ τῆς τοῦ Χθὲς καὶ Αὔριον, ἡ μὲν γ', μᾶλλον τῆς β', ἡ δὲ β', μᾶλλον τῆς πρώτης ἀφέστηκε τοῦ ἐνεστῶτος. κἀκ τοῦ ἐναντίου παράκειται τῷ ἐνεστῶτι ἡ μὲν α', μᾶλλον τῆς β', καὶ τρίτης, ἡ δὲ β', μᾶλλον τῆς τρίτης. κατὰ γὰρ τὸν Ἀριστλ'. δ', μεταφ. Ἄρτι ἐστὶ τὸ ἐγγὺς τοῦ παρόντος Νῦν, καὶ μόριον τοῦ παρελθόντος. εἴη δ' ἂν κατ' αὐτὸν καὶ αὐτίκα τὸ ἐγγὺς τοῦ παρόντος Νῦν καὶ μόριον τοῦ μέλλοντος. τῶν γοῦν Ἄρτι τε καὶ αὐτίκα μορίων τοῦ παρόντος Νῦν ὄντων ἐγγὺς, ἔγγιστα τούτου ἢ ἐγγύτερον ἂν εἴη τὰ τούτῳ ἀντιπαρακείμενα Νῦν. Ἅμα δέ ἐστι, λέγω δὲ χρονικῶς τὸ ἅμα, ὧν ἡγέννησις ἐν τῷ αὐτῷ χρόνῳ. Ἐξαίφνης δέ ἐστι, τὸ ἐν ἀνεπαισθήτῳ χρόνῳ διὰ σμικρότητα ἐκσαν. μεταβολὴ δὲ πᾶσα καθ' ἑαυτὴν φύσει ἐκστατικὸν κατὰ τὸν Ἀριστλ'. (δ', περὶ ἀρχῶν) ἢ κατὰ Διονύσ. τὸν ἀρεοπαγ. τὸ παρ' ἐλπίδα ἐκ τοῦ τέως ἀφανοῦς εἰς τὸ ἐμφενὲς ἐξαγόμενον, ὡς τὸ ἐξαίφνης γέγονεν ἡ ἀστραπή. Θᾶττον δέ ἐστι, τὸ πρότερον μεταβάλλον ἐν ᾧ χρόνῳ τι μεταβέβληκεν ἔκ τινος εἴς τι.

Ὅτε, Τότε.

Κοινὸν δὲ καὶ τὸ ὅτε, καὶ τότε,

Ἀπὸ κοινοῦ τὸ, πάντων τῶν τοῦ χρόνου μορίων.

Πλὴν τοῦ παρακειμένου.

Τὸ ὅτε, καὶ τότε ἀναφορικὰ τυγχάνει. ἡ δὲ ἀνά-

ἡ δὲ ἀναφορὰ ἀπόντος. ἀπόντα δὲ τὰ χρόνῳ μόρια εἰσὶ τὸ πρότερον καὶ τὸ ὕστερον. ὁ δὲ παρακείμενος, εἰ καὶ ἐν τοῖς παρῳκημένοις τέτακται, τὴν γε μὴν τοῦ ἐνεστῶτος σημαίνων συντέλειαν, οὐκ ἂν εἴη καθ' αὑτὸ παρῳχημένος, μὴ ἀφεστηκὼς τοῦ ἐνεστῶτος, ἀλλ' αὐτὸ τοῦτο τελεσμένος ἐνεστῶς, καὶ ὑπ' ὄψιν τέως κείμενος. ταῦτ' ἄρα καὶ ὑπ' ὄψιν ὤν, ἀπέστη τῆς πρὸς τὰ ἀναπολητικά τε τυγχάνοντα συμπάξεως. εἰ καὶ Σωσὲς. παρακειμένῳ συμπάττει, λέγων, ὅτε πέπαυται τῆς ἀρχῆς. Ἀλλ' ἀπορ. ἔστι δὲ καὶ τοῦ ἐνεστῶτος κοινὰ τὸ ὅτε καὶ τότε. ὅπως δὲ ὅτε παρῴχετο, ὅτε μὴν μέλλει, ἐνέστηκε δὲ μᾶλλον, ὑπ' ὄψιν κείμενος. ἦ ποι ἄρα καὶ δὲ τούτῳ συμπακτέα ἐστίν, ἢ εἰ τούτῳ, καὶ τῷ παρακειμένῳ. Ἢ ὅτι ὁ ἐνεστὼς πλάτος ἔχων, τό, τε παρὸν Νῦν ἔχει ἐγκείμενον, καὶ συνεκτικός ἐστι τοῦτε προτέρου καὶ ὑστέρου Νῦν, τῶν ἀπόντων δηλ, καθ' ὃν εἰρήκαμεν τρόπον. τὸ γοῦν ὅτε καὶ τότε, ἐνεστῶτι συμπασόμενα, πρὸς τὰ αὐτῷ ἐμπεριεχόμενα μὲν, αὐτιπαρακείμενα δὲ ἀπόντα τῷ χρόνῳ μόρια ἀναπτύσσεται. Γελοῖοι δ' οἱ γελοῖον εἶναι λέγοντες συμπάσεσθαι μὲν λέγειν τὸν ἐνεστῶτα τοῖς ἀναφορικοῖς, εἶτα, οὐχὶ ἢ ἐνεστὼς, ἢ δὲ ἐνέστηκε μόνον πρὸς τὰ αὐτιπαρακείμενα οἱ μόρια. καὶ γὰρ καὶ τὸ γράφων ὁμολογάφησι, συμπάσεσθαι παρατατικῷ, ἢ δηλονότι συμπίπτωσιν παρατατικῷ ἐπιδέχεται. γράφων ἔχαιρον. Ἀπορήσει δὲ καὶ ὡς ἐκ τοῦ παρακειμένου, λέγοντες αὐτὸν ἐνεστῶτα συντετελεσμένον. ὡς δοῦναι θάτερον παρασήσει ὁ παρακείμενος, ξυμπληρῶν τὸν ἐνεστῶτα, ἢ γάρ τοι καὶ τὸ ἀκριβῶς οἰσάμενον, ἢ ἁπλῶς καὶ καὶ τὰς ἐμπεριεχομένας οἱ αὐτιπαρακειμένως διαφορὰς τοῦ προτέρου τε καὶ ὑστέρου, καθ' ἃς ἐφαπλοῦσθαι νοεῖται ὁ ἐνεστὼς πλατύτερον. ἀλλ' εἰ μὲν τὸ ἀ, μᾶλλόν φασιν, ἐνεστὼς ἔσαι ὁ παρακείμ. τοῦ ἐνεστῶτος αὐτοῦ. καὶ τοῦ πρωτοτύπου ὅπως ἡ εἰκὼν ἕξει τὸ ἀκριβέστερον. καὶ θαυμάφασιν, ὅτι τοῖς παρῳχημένοις συγκαταλέγεται, μηδὲν τοῦ παρήκοντος ἐμφαίνων, δέον τὸν τοῦ προτέρου περιεκτικὸν ἐνεστῶτα πολὺ δικαιότερον παρῳχημένον λέγεσθαι. εἰδὲ τὸ β', ἔξει καὶ ὁ παρακείμ. ὃ δὲν ἧττον καὶ τὸν ὄν παρίστησι συντετελεσμένον ἐνεστῶτα, ἢ καὶ πολλῷ μᾶλλον, τῷ ἐνεστῶτι ἐνθεωρέμενα ἅπαντα, καὶ ἀκολούθως συνεχθήσεται καὶ αὐτὸς τοῖς ἀναφορικοῖς. Ἔστι δὲ πρὸς ταῦτα εἰπεῖν τὸ ἀ, ὡς ὅπως ποτ' ἂν ᾖ συντελῶν ὁ παρακείμ. τὸν ἐνεστῶτα, ἢ ὅλως συντελὴς, κατ' αὐτὸ τοῦτο οὐκ ἂν εἴη ἐνεστώς, τοῦ ἐνεστῶτος ἐν τῷ ἀπελεῖ τῆς παραπάσεως ὑφισαμένου. δέον γὰ μὴ παρακινεῖν τοὺς καὶ τοὺς ὁρισμοὺς ἀρχάς, εἴγε μὴ μέλλοιμεν δ' ἁπλῶς ὑφέξειν ἀφαιροῦντες. τοδὲ δεύτερον, κατ' ἀδέτερον τῆς προβαλλομένης διαιρέσεως μέρος συντελεῖ ὁ παρακείμ. τὸν ἐνεστῶτα. ὅτε καὶ τὸ β'. τὸ γὰ καὶ τὸ ὕστερον εἶτ' ἂν μέλλον ἀπὸν, ὡς μήπω παρὸν μηδ' ὁπωσοῦν παρῳχηκὸς, πῶς ἂν εἴη συντετελεσμένον; δοθὲν δ' αὖ συντετελεσμένον εἶναι, πῶς ἂν εἴη μέλλον, τοῖς δυνάμει καὶ τοῖς ἐνεργείᾳ μαχομένων ἀλλήλοις; ὅτε μὴν καὶ τὸ ἀ. ἀκριβῶς γὰ ἐνισάμενον οὐκ ἔστι τοῦ παρόντος, ἐπεκτεινομένης ἀεὶ καὶ παραῤῥέοντος ἐνὸς ἀτόμου ῥοῆ, καὶ πεῖν ἐνεστῶναι ἀποιχομένου. κατ' ἀδέτερον ἄρα τούτων, καὶ δὲ τὸ ἔγγισα τοῦ νῦν πρότερον μόριον συμπληροῖ τὸν καὶ ἐπὶ τὸ ἔγγισα τοῦ νῦν ὕστερον μόριον δυνάμει παρατεινόμενον ἐνεστῶτα, οὐκ ἐν χρόνῳ τοῦτ' ἔστι παρατάσει καὶ τὸν ἐνεστῶτα καὶ αὐτὸς θεωρέμενος, ἐν δὲ πέρατι τοῦ καὶ τὸν ἐνεστῶτα χρόνου ἀποτελέμενος, πέρας ὢν τῆς καὶ τὸν ἐνεστῶτα κινήσεως. ἐν πέρατι δέ φημι, τῷ ἔγγισα τοῦ ὡς εἴρηται ἐνίσασθαι λεγομένου ἀτομικοῦ νῦν. ὃ πέρας καὶ τοι τοῦ προτέ-

τοῦ προτέρου μόριον ὄν, διά γε μὴν τὴν πρὸς τὸ ἐνιστάμενον νῦν ἀδιάστατον καὶ ὡς εἰπεῖν ἄμεσον ἐγγύτητα, νῦν καὶ αὐτὸ λεγόμενον, παρὸν ἂν εἴη μᾶλλον ἤπερ ἀπόν. τῶν γὰρ τῷ ἐνισταμένῳ νῦν ἀντιπαρακειμένων δύοιν νῦν θάτερόν ἐστιν. Ἀντεποίσοι δέ τις, ὡς ἄρα κατὰ τὸν αὐτὸν λόγον καὶ ὁ μετ' ὀλίγον μέλλων, παρακείμενος ἂν εἴη οὐδὲν ἧττον καὶ αὐτός, ὡς κατὰ τὸ ἔγγιστα τοῦ νῦν ὕστερον μόριον θεωρούμενος. τοῦτο δὲ διὰ τὴν πρὸς τὸ νῦν ἐγγύτητα παρὸν εἶναι ἐτίθετο. εἴ γε τῶν τῷ ἐνισταμένῳ ἀντιπαρακειμένων δύοιν νῦν οὐ μᾶλλον τὸ πρότερον ἢ τὸ ὕστερον προσεχῆ διασῴζει τὴν πρὸς τὸ ἐνιστάμενον ἐγγύτητα εἴτ' οὖν παρουσίαν. Πρὸς ὃ ῥητέον ὡς ἡ παρουσία τοῦ μὲν προτέρου νῦν, ἐστὶν ἐνεργείᾳ, τοῦ δὲ ὑστέρου, ἐστὶ δυνάμει. δυνάμει δὲ λέγω οὐ τὸ καθ' ἕξιν, τὸ δὲ κατ' ἐπιτηδειότητα. τὸ δὲ τοιοῦτο δυνάμει, ἐστὶν ἀτελές. τὸ δὲ ἀτελὲς ἀλλότριον τοῦ παρακειμένου. δοθὲν δὲ κατὰ τὸ πρότερον, ἐνεργείᾳ παρεῖναι καὶ τὸ ὕστερον νῦν, τῷ λόγῳ λέγω τῆς πρὸς τὸ ἐνιστάμενον ἐγγύτητος, οὐδ' οὕτως ὁ μετ' ὀλίγον μέλλων παρακείμενος ἂν εἴη. εἴγε τὸ μὲν πρότερον εἴτ' οὖν παρῳχηκὸς νῦν, πέρας τυγχάνει κινήσεως, κατ' αὐτὸ περατουμένου τοῦ παρακειμένου, τὸ δὲ ὕστερον εἴτ' οὖν μέλλον, νῦν, ἀρχὴ, κατ' αὐτὸ ἀρχομένου τοῦ μετ' ὀλίγον μέλλοντος, τὸ δὲ ἐντελὲς, οὐκ ἀπὸ τῆς κατὰ τὴν κίνησιν ἀρχῆς, ἀπὸ δὲ τοῦ κατ' αὐτὴν τέλους λαμβάνεται. ὁπότε καὶ τῶν ἐνεστώτων οἱ πλείστον ὅσον πρὸ ὁδοῦ γεγονότες, οὐδ' αὐτοὶ παρακεῖσθαι ἂν λέγοιντο, μήπω ἐπειλημμένοι τοῦ κατὰ τὴν κίνησιν πέρατος, τοῦ κατὰ τὸ δυνάμει φημὶ ἐμπεριεχόμενον τῷ ἐνεστῶτι μέλλον. τούτου γὰρ μήπω μὲν ἐνστάντος, ὁ ἐνεστὼς οὐκ ἂν εἴη παρακείμενος, ἐνστάντος δὲ, ὁ τέως ἐνεστὼς, παρακείμενος γέγονεν. Ἀλλ' ἀπορήσεις, τὰ ἀναπολούμενα προεγνωσμένα ἐστὶ, τὰ δὲ προεγνωσμένα, οὐ μέλλοντος, ἀλλὰ παρήκοντος. οὐδὲ τῶν ἐπιῤῥημάτων ἄρα τὰ ἀναφορικὰ, κοινὰ μέλλοντος καὶ παρήκοντος, παρήκοντος δὲ μόνου. Ἢ ὅτι, διαιρετέον τὰ προεγνωσμένα. τῶν γὰρ ἀναπολουμένων εἴτ' οὖν φανταζομένων τὰ κατ' αἴσθησιν προηγεῖται. τῶν δ' αὖ κατ' αἴσθησιν τὰ μὲν, ὄψει ὑποπίπτει, τὰ δὲ, ἀκοῇ, τὰ δὲ, ταῖς λοιπαῖς. τῶν τοίνυν ἀναπολουμένων τὰ μὲν ὄψει ὑποπεσόντα, ἀεὶ παρῳχημένα εἰσὶν εἴτ' οὖν γεγονότα. τὰ δὲ ἀκοῇ, καὶ μέλλοντα. φέρε γάρ τινα προειπόντα τινὶ, ὡς μετὰ τρίτην τυχὸν, ἢ τετάρτην ἡμέραν ἀποδημήσει, ἐπειπεῖν οὑτωσὶν, ὅτε ἀποδημήσω, τότε τόδέ τι ποιήσω. τὸ γοῦν ἐπίῤῥημα ἐνταῦθα, μέλλον μὲν χρόνου μόριον ἀνεπόλησε, προεγνωσμένον ὅμως, καθ' ὃ ἔφθη προῤῥηθὲν, ἢ προμελετηθέν. φησὶ γὰρ καὶ Μιχαὴλ ὁ σύγγελλος, ὡς ἀναφορικὰ καλεῖται, ἐπειδὴ τὸν νοῦν τοῦ ἀκροατοῦ ἀναφέρει ἐπὶ τὸν καιρὸν, τὸν ὑπὸ τοῦ λαλοῦντος ὁριζόμενον, καθ' οἷον ἂν ἐθέλῃ χρόνον, ἐνεστῶτα, ἢ παρῳχημένον, ἢ μέλλοντα. Ἄλλως τε ὥσπερ τῶν ἄρθρων, οὕτω τοι καὶ τῶν ἀναφορικῶν ἐπιῤῥημάτων παρὰ τὴν ἀναφορὰν ἐστιν ὅτε καὶ ἡ ἀοριστία ἴδιον, εἰ καὶ μὴ ἅμα ἑκάτερα. τὸ δὲ τῆς ἀοριστίας οὐχ ἧττον ἐπὶ παρῳχημένου, ἢ ἐπὶ μέλλοτος. Ἐνσταίης ἔτι, τὸ τότε οὐκ ἀναφορικὸν, δεικτικὸν δὲ, ὑπ' ὄψιν δὲ καὶ ὁ ὡς εἴρηται παρακείμενος, ἄρα. Ἢ, οὐ παρὰ δεκτέον τὰς προκειμένας, ὡς ὁμοιοσχήμονας. ἐξ ὧν οὐδὲν ἐπὶ τοῦ β', συνάγεται σχήματος. ἔπειτα, δεικτικὸν μὲν, οὐ μὴν τῶν ὑπ' ὄψιν εἴτ' οὖν αἴσθησιν, τῶν δὲ ὑπὸ τῷ νοΐ πιπτόντων ἐστίν. εἴ γε διττὴ κατὰ Ἀπολλ: ἡ δεῖξις. ἧς ἡ κατὰ νοῦν οὐ μᾶλλον

οὐ μᾶλλον δεῖξις ἂν εἴη, ἢ ἀναφορά. ἐνθεντοι καὶ τὸ τότε, καὶ τὸ σύστοιχον ὅτε, ἀναφορικὸν κοινότερον ἤκουσεν. Εἰσὶ δὲ οἱ ἐξελέγχειν φροῦδα πειρῶνται τὰ τῆς ἐπιλύσεως, οὑτωσὶ συλλογιζόμενοι, τὸ ὑπ' ὄψιν ἄγον, τὶ, καταλλήλως ἂν συνταχθείη τῷ τότε μορίῳ δεικτικῷ τε ὄντι καὶ αὐτῷ καὶ ὑπ' ὄψιν ἄγοντι. ὁ δὲ παρακείμενος ὑπ' ὄψιν ἄγει τι, συντετελεσμένον τὸν ἐνεστῶτα παριστὰς, ἄρα. Πρὸς οὓς ῥητέον, ὡς ἡ μείζων αὐτῶν πρότασις ἁπλῶς μὲν ληφθεῖσα, ψευδής ἐστι. καὶ γὰρ καὶ τῶν ἀντωνυμιῶν αἱ δεικτικαὶ ὑπ' ὄψιν ἄγουσί τι, ἀλλ' οὐκ ἄν ποτε τῷ τότε μορίῳ συνταχθεῖεν. πῇ δὲ εἰλημμένη κἀπὶ μόνων τῶν ῥημάτων, οὐδὲν ἕτερον ἕξει ῥῆμα ὑπ' ὄψιν ἄγον, τι, ὅτι μὴ τὸν ἐν τῇ ἐλλάτονι παρακείμενον. ὁ γὰρ ἐνεστὼς οὐχὶ καθ' ὃ ὑπ' ὄψιν ἄγει τι, καὶ δὲ τὰ ἀφεστηκότα τῆς ὄψεως, τῷ τότε συντάσσεται. τὸ μὲν γὰρ αὐτοῦ ἀκριβῶς ἐνιστάμενον, οὐχ ὅπως ὄψιν, καὶ αὐτὴν τὴν τοῦ λιγγέως, ἀλλὰ καὶ νοῦν αὐτὸν λανθάνει, ὡς μήτε χρόνος ὂν μήτε χρόνου τι μέρος, τῶν δὲ ἀντιδιῃρημένων τοῦ χρόνου μορίων κοινὸς σύνδεσμος, τοῦ μὲν, ἀρχὴ, τοῦ δὲ, τελευτή. τῶν δὲ τῷ ἀκριβῶς ἐνισταμένῳ ἀντιπαρακειμένων, καθ' ἃ ὁ ἐνεστὼς ἐμπλατυνόμενος, τῷ τότε συντάσσεται, τὸ μὲν, παρῴχετο καὶ οὐκ ἔστι τὸ δὲ, μέλλει καὶ οὔπω πάρεστιν, οὐδέτερόν τε ὑπ' ὄψιν ἐστὶν, ὡς ὁπωσοῦν ἀφεστηκὸς τοῦ ἀκριβῶς ἐνισταμένου, καὶ ταύτῃ γε μὴ παρόν. οἱ γοῦν ἐν τῇ μείζονι μηθὲν ὁπωσοῦν ἔχοντες θέσθαι, μήτε ἁπλῶς δηλαδὴ, μήτε πῇ, πόθεν ἔχουσι δεῖξαι τὸν ὑπ' ὄψιν ἄγοντά τι παρακείμενον τῷ τότε δεικτικῷ συντασσόμενον, ὅπερ οὐδ' αὐτὸ δίδοται δεικτικὸν εἶναι; Τὸ δὲ Τέως, ἐστὶ τῇ μὲν, ἀναφορικὸν, ἀνταποδιδόμενον, εἴτ' οὖν ἀναφερόμενον πρὸς τὸ ἕως καὶ τὰ τούτῳ ἰσοδυναμοῦντα. τῇ δὲ, ἀπολελυμένον, τοῦτο δ' αὖ πάλιν λαμβάνεται ἔστι μὲν οὖ ἀντὶ τοῦ νῦν. (τέως δ' ἐπὶ τοῦ παρόντος ἐκεῖνο παρακαλέσαι τὴν ὑμετέραν ἀγάπην βούλομαι. Χρυσόστομος, ὁμλ, κ', εἰς τὴν γέν. τὸ γὰρ τέως καὶ τὸ ἐπὶ τοῦ παρόντος ἐκ παραλλήλου ἐλήφθησαν. κἀντῇ λβ', καὶ ὤφθη Κ'ς ὁ Θ'ς τῷ Ἄβραμ καὶ εἶπεν αὐτῷ, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. τέως ἡ ὑπόσχεσις μεγάλη, καὶ ἀκολούθως τῇ ἐπαγγελίᾳ, δι' ἧς οἴκοθεν αὐτὸν ἀνέστησεν. εἶπε γὰρ, μεγαλυνῶ τὸ ὄνομά σου. διὰ τοῦτο νῦν φησι πάλιν, τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. ὅρα τὸ τέως εἰς τὸ νῦν μετειλημμένον.) Ἔστι δ' οὗ ἀντὶ τοῦ ἤδη εἴτ' οὖν τοῦ πρώην, ἢ καὶ τοῦ ἐν τοσούτῳ. ἀλλαχοῦ δὲ καὶ ἀντὶ τοῦ λοιπόν. λαμβάνεται δέ ποτε καὶ τὸ Ἐν ᾧ, χρονικῶς, ἀντὶ τοῦ ὅτε. Θουκδ'. α'. οὓς χρὴν, ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προσιέναι, καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν ἠδικήμεθα, οὗτοι δὲ κινδυνεύουσι, μηδὲ ἐν ᾧ ὑμεῖς τῆς τε δυνάμεως αὐτῶν τότε οὐ μεταλαβόντες, τῆς ὠφελείας νῦν μεταδώσετε. ἐν οἷς τὸ ἠδικήμεθα ἀντὶ ἀορίστου ληπτέον διὰ τὸ ἀντὶ τοῦ ὅτε εἰλημμένον ἐν ᾧ.

Πρώην, Πάλαι.

Τὸ δὲ Πρώην καὶ Πάλαι, ἴδια τοῦ παρῳχημένου. πάλαι πότ' ἦσαν ἄλκιμοι μιλήσιοι,

Παροιμία ἀπὸ χρησμοῦ, ἐπὶ τῶν ποτὲ μὲν εὖ, εἶθ' ἑτέρως ἐχόντων.

Πρώην ἐλήλυθε.

Τὸ δὲ πάλαι παράτε τῷ κωμικῷ καὶ ἑτέροις οὐκ ἀεὶ χρόνου μακρότητα δηλοῦν δείκνυται, ἀλλ' ἔστιν οὗ καὶ πρόσφατον ἀττικῶς. ὡς μάλιστα δῆλον καὶ παρὰ Σοφοκλεῖ ἀλλαχοῦ τε κἀν τῷ, νῦν τε καὶ πάλαι λέγω. νῦν μὲν γὰρ

μὲν γὰρ ἔφη τὸ προσεχῶς ἄρτι, πάλαι δὲ τὸ ἐν τῷ ἀνωτέρῳ προσεχεῖ στίχῳ. ἴσμεν γὰρ ὅτι ἡ ἀτθὶς πάλαι λέγειν οἶδεν, οὐμόνον τὸ ἀφ' ἱκανοῦ χρόνου, ἀλλὰ καὶ τὸ πρὸ ὥρας, ἢ καὶ στιγμῆς. ὡς καὶ ἐν ἰλ, ψ, ἀτὰρ δ' οἰστὸν ἔχεν πάλαι. φανερῶς τὸ πάλαι ἐπ' ὀλιγίστου χρόνου ἐτέθη. κἂν τῷ, μοῖραν ὀξεῖνος ἔχει πάλαι. ἐκ περισσοῦ φανερῶς κεῖται, καὶ οὐ κατὰ κυρίαν σημασίαν. οὐ γὰρ κυρίως πάλαι μοῖραν ἔχει, ὁ νῦν αὐτίκα λαβὼν αὐτήν. ἀττικῶν δὲ τὸ σχῆμα, ὡς εἴρηται. παρ' οἷς καὶ τὸ ποτὲ ἁπλῶς οὕτω κεῖται, δίχα τοῦ σημαίνειν πολυκαιρίαν τινά.

Ἤδη.

Τὸ δὲ ἤδη, κοινὸν μέλλοντος καὶ παρήκοντος. ἤδη βεβάδικα. ἤδη βαδίσω. λέγεταί τε ἐπὶ

Χρόνων

Τῶν μὴ πολὺ ἀφεστηκότων,

Τοῦ ἐνεστῶτος. Τῶν τοῦ ἐνεστῶτος ἀφεστηκόντων οἱ μὲν, ὡρισμένην ἔχουσι τὴν ἀπόστασιν, οἱ δὲ, ἀόριστον. καὶ ἀόριστον μὲν ὅ, τε μετὰ πολὺ μέλλων καὶ ὁ συντελικὸς, ὁ λεγόμενος ἀόριστος. ὡρισμένην δὲ, ὅ, τε μετ' ὀλίγον μέλλων, καὶ ὁ παρακείμ: καὶ ὁ ὑπερσυντέλικος, ὁριζόμενοι ὁ μὲν, τῷ αὐτίκα. τῶν δὲ ὁ μὲν, τῷ ἄρτι, ὁ δὲ, τῷ πάλαι. τῶν δὲ καθ' ἑαυτοὺς ἀορίστων ὁ μὲν μέλλων, τῷ τε νῦν καὶ τῷ ἤδη, ὁ δὲ συντελικὸς, τούτοις τε καὶ τῶν παρὰ ταῦτα παρῳχημένου ἔμφασιν ἐχόντων, ὅτῳ ἂν συνταγῇ. ἔστι δὲ, ὡς εἴρηται, ἐχόμενα προσεχῶς τοῦ μὲν κατὰ τὸ ἐνιστάμενον νῦν, τὰ τούτῳ ἀντιπαρακείμεμενα δύω νῦν, ὥσπερ καὶ τοῦ σήμερον τὸ χθὲς καὶ αὔριον. τουτωνὶ δ' αὖ τῶν δύοιν ἀντιπαρακειμένων νῦν, τοῦ μὲν, τὸ ἄρτι, τοῦ δὲ, τὸ αὐτίκα, ἀμφοῖν δὲ τὸ ἤδη, ἔστι μὲν οὗ, τῶν νῦν. ἔστι δ' οὗ, τοῦ ἄρτι καὶ τοῦ αὐτίκα. τὸ δὲ πρῴην καὶ πάλαι, μόνου τοῦ ἄρτι, ἔνθα μὲν, προσεχῶς, ἔνθα δὲ, πορρωτέρω. ὡς εἶναι τοῦ ἐνεστῶτος ἑκατέρωθεν ἀφεστηκότας ἐπ' ἐλάχιστον μὲν ἢ οὐδ' ὅλως τοὺς τῷ νῦν ὁριζομένους εἴτ' οὖν συντεταγμένους, ἐπ' ὀλίγον δὲ, τοὺς τῷ αὐτίκα καὶ ἄρτι, καὶ τῷ ἑκατεροδυνάμῳ ἤδη, τῶν δὲ τῷ πρῴην καὶ πάλαι, τοὺς μὲν, ἐπ' ὀλίγον, οἷος ὁ παρακείμενος. τοὺς δὲ, ἐπὶ πολὺ, οἷος ὁ ὑπερσυντέλικος. τοὺς δὲ ἐπὶ πλεῖστον καὶ ἁπλῶς ἐφ' ὁπωσοῦν, οἷος ὁ ἀόριστος. ἀόριστον γὰρ ἔχων καθ' ἑαυτὸν τὴν ἀπὸ τοῦ ἐνεστῶτος ἀπόστασιν, οἷός τέ ἐστιν ὁρισθῆναι ἀφεστηκὼς ἐπί τε ἐλάχιστον καὶ ὀλίγον καὶ πολὺ καὶ πλεῖστον, ἀναλόγως τὸ ἑαυτῷ προσῆκον τῇ ὁπωσοῦν ἀπαστάσει σχὼν προσκείμενον χρονικὸν πρόσρημα. ὁ δὲ παρατατικὸς, ᾗ μὲν καὶ αὐτὸς τῷ νῦν συντεταγμένος φαίνεται, τῷ πλὴν τοῦ, ὡς εἴρηται, ὑπερσυντελίκου πᾶσι τοῖς τοῦ χρόνου μορίοις συντασσομένῳ, ἐν δὲ τοῖς πᾶσίν ἐστι καὶ ὁ παρατατικὸς, οὐκ ἀόριστον ἔχει τὴν ἀπὸ τοῦ ἐνεστῶτος ἀπόστασιν, ἀφεστηκὼς μὲν τούτου ἐφ' ὅσον καὶ ὁ παρακείμενος, διενηνοχὼς δὲ τοῦ παρακειμένου τῷ ἀτελεῖτε, καὶ τελείῳ. καθ' ἑαυτόν γε μὴν ἀόριστον ἔχειν δοκεῖ καὶ αὐτὸς τὴν ἀπόστασιν. εἴγ' οὐμόνον ἐπὶ τῆς ἔναγχος, εἴτ' οὖν τῆς ἄρτι, ἀλλὰ κἀπὶ τῆς πάνυ πρῴην. ἢ καὶ πάλαι ἀτελοῦς κινήσεως ἐπιλέγεσθαι εἴωθεν. Ἐκ δὴ τῶν εἰρημένων δῆλον, ὡς οὐχ ἁπλῶς ἀληθὲς τὸ τοῦ ἐτυμολόγου, μὴ διορίζειν χρόνον εἰπόντος τὰ ἐπιῤῥήματα, κοινὴν δὲ μόνον δηλοῦν παράτασιν. εἰ γὰρ καὶ μὴ τὸν κατὰ ποσὸν διορισμὸν, καθ' ὃν οὐδὲ τὰ ῥήματα αὐτὰ τὸν ὑπ' αὐτῶν δηλούμενον χρόνον εἴτ' οὖν τὴν κίνησιν κατὰ μέτρον ὡρισμένον παρίστησι, τὴν γε μὴν τοῦ προτέρου τε καὶ ὑστέρου, τὴν τοῦ παρῳχημένου λέγω καὶ μέλλοντος ἀπὸ τοῦ νῦν ὁπωσοῦν ἀπόστασιν τὴν κατὰ τὸ μᾶλλον

λέγω

λέγω καὶ ἧττον, διορίζει τὰ πολλά. ἀλλ' οὐ δὲ παράτασιν ἐμφαίνει τῶν ἐπιρρημάτων τὰ χρονικὰ λεγόμενα, ἐξῃρημένου τοῦ ἀεὶ, καὶ εἴ τι ἐνεστῶτι συντάσσεται, ἀλλὰ τῆς παρατάσεως εἴτ' οὖν κινήσεως πέρας μὲν, τὰ τῷ παρῳχημένῳ, ἀρχὴν δὲ, τὰ τῷ μέλλοντι συντασσόμενα, ὧν οὐδέτερόν ἐστι χρόνος, ὡς εἴρηται, ἰδίᾳ τε καὶ καθ' ἑαυτὸ λαμβανόμενον, ἡ ἀρχὴ λέγω καὶ τὸ πέρας, ὅτι μὴ πλατύτερον καθὰ καὶ τὸ νῦν. καθ' ὃν δὴ λόγον καὶ τὰ κατὰ τὸ παρῳχημένον ῥήματα, οὐκ ἐν παρατάσει (πλὴν τοῦ παρατατικοῦ) ἐν δὲ πέρατι καὶ καταντήματι κινήσεως ἀποτελούμενα, χρόνου γεμὴν καὶ αὐτὰ σημαντικὰ ἐλέγετο οὐκ ἄλλως, ὅτι μὴ πλατύτερον λαμβανομένου τοῦ κατὰ τὴν κίνησιν πέρατος, ἢ τῆς ἀρχῆς. ὧν καὶ αὐτῶν, τῆς ἀρχῆς λέγω καὶ τοῦ πέρατος τὰ χρονικὰ λεγόμενα ἐπιρρήματα συσσημαντικὰ μᾶλλον ἂν εἴη, ἤπερ σημαντικά. καθάπερ καὶ τῆς ἀποφάνσεως τὸ ναὶ καὶ τὸ οὔ. οὔτε γὰρ τὸ ναὶ καθ' ἑαυτὸ λέγει τίτινι ὑπάρχειν, οὔτε τὸ οὔ, τί τινι μὴ ὑπάρχειν, ὅτι μὴ συμπλακέντα τῷ ῥήματι. καὶ ἐνθένδε πέπτωκεν ὁ λόγος τῶν λεγόντων αὐτοτελῆ ἁπλῶς τὰ ἐπιρρήματα, ὡς δῆθεν καὶ καθ' ἑαυτὰ σημαίνοντά τι. τὰ γὰρ καθ' ἑαυτὰ μηδὲ κίνημα σημαίνοντα, πολλοῦ δέει κίνησίν τινα αὐτόθεν δηλοῦν. Κοινὸν μὲν οὖν καὶ τὸ ἤδη πάντων τῶν κατὰ τὸ πρότερόν τε καὶ ὕστερον χρόνων πλὴν τοῦ ὑπερσυντελίκου. κατὰ δὲ τὸν Ἀριστλ, (περὶ ἀρχῶν δ'.) τὸ ἤδη, τὸ ἐγγύς ἐστι τοῦ παρόντος νῦν ἀτόμου, μέρος τοῦ μέλλοντος χρόνου. πότε βαδίσεις; ἤδη. ὅτι ἐγγὺς ὁ χρόνος, ἐν ᾧ μέλλει. καὶ τοῦ παρελθόντος χρόνου τὸ μὴ πόρρω τοῦ νῦν. πότε βαδίσεις; ἤδη βεβάδικα. τὸ δὲ ἴλιον φάναι ἤδη ἑαλωκέναι, οὐ λέγομεν, ὅτι πόρρω λίαν τοῦ νῦν. κατὰ δὲ ἄλλους ἤδη ἐστὶ, τὸ ἐγγὺς τοῦ παρόντος νῦν ἀτόμου μέρος κατάτε τὸ πρότερον καὶ τὸ ὕστερον. Ὅγε μὴν Ἀπίων καὶ Ἡρόδοτος, ἐπὶ τριῶν φασι χρόνων λαμβάνεσθαι, τοῦτε παρῳχημένου καὶ ἐνεστῶτος καὶ μέλλοντος. καὶ εἰ τοῦτο ὀρθὸν, ὁ βαθύς φησιν Εὐστάθ, πῦ λοιπὸν θήσομεν τὸν λουκιανίον σολοικισμὸν, τὸν λέγοντα ἤδη σολοικιῶ; ὁδ' αὐτὸς ἀλλαχοῦ (φύλ. 100, ἰλ. α') τὸ ἤδη κατὰ τοὺς παλαιούς φησι τοῖς τρισὶ χρόνοις συνεπιμερίζεται. τῷ παρῳχημένῳ, ὡς ἐν τῷ, ἤδη γάρ ποτ' ἐγὼ καὶ ἀρείοσιν, ἠέπερ ὑμῖν ἀνδράσιν ὡμίλησα. ἰλ. β'. καὶ, τῷ δ' ἤδη γενεαὶ ἔφθιν τοτῷ ἐνεστῶτι, ὡς τὸ, ἤδη γάρ μοι εἰκοστὸν ἔτος ἐστί. καὶ τῷ μέλλοντι, εἰ καὶ δοκεῖ ὁ λουκιανὸς εἰς τοῦτο ἀπαρέσκεσθαι. ὡς τὸ, ἤδη λοίγια ἔργα τάδ' ἔσεται. κἂν τῷ, ἤδη ὑπὸ χερσὶ μενοιτιάδαο δαμάσσω. ἰλ. π'. συντέτακται φησὶ τὸ ἤδη μέλλοντι ἀνακολούθως τῇ χρήσει τῶν ὑστέρων ἀτικῶν, ὧν ἐστι καὶ ὁ Λουκιανός. καὶ ταῦτα μὲν τὰ τοῦ Εὐσταθείου, ὅγε μὴν Λουκιανὸς, οὐχὶ τὸ ἤδη, τὸ δὲ ἄρτι μέλλοντι συντάσσειν οὐβούλεται. ἐνεστῶτι δὲ συντασσόμενον τὸ ἤδη, ἐν ἴσῳ τῷ νῦν κεῖται. δι' ὃ καὶ ἐκ παραλλήλου κεῖνται ποτε παρατιθέμενα ἀλλήλοις. ἤδη νῦν. καὶ τὸ ἤδη δὲ μὴ ὂν ἀρκτικὸν, ἀκολουθίαν δέ τινα σῷζον προηγουμένου λόγου, παρέλκει καὶ αὐτὸ κατὰ τὸ νῦν. ἐν δὲ τῷ, ἐχάρην δὲ ἐν κῷ μεγάλως, ὅτι ἤδη ποτὲ ἀνεθάλλετε τὸ ὑπὲρ ἐμοῦ φρονεῖν. τὸ ἤδη ποτὲ, χρόνον δηλοῦντός ἐστι μακρόν φησιν ὁ θεῖος Χρυσόστμ. μακρὸν μὲν οὖν, ἀλλὰ πρὸς ὃν χρόνον ὄντες ἀνθηροὶ οἱ φιλιππίσιοι, ἐμαράνθησαν, πρὸς δὲ τὸν χρόνον καθ' ὃν ὁ παῦλος τοῦτο εἰρήκει, καὶ πάνυ μικρὸν εἴτ' οὖν βραχὺν χρόνον δηλοῖ. ἐν δὲ τῷ, τῆς μέθης ταῦτα τὰ ῥήματα, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν. οὐκ αὔριον, ἀλλ' ὅταν ταῦτα λέγητε, ἤδη τεθνήκατε. ἐν τῇ πρὸς κολασσ. κφ'. α', ὁμλ', β'. καὶ ἐπὶ ὀλιγίστου χρόνου τέθει-

νου τέθειται, μικροῦ δεῖν καὶ αὐτοῦ τοῦ ἀκαριαίου. οὐ γὰρ ἐν ἄλλῳ καὶ ἄλλῳ, ἀλλ' ἐν ᾧ χρόνῳ λέγουσι τὰ τοιαῦτα ῥήματα οἱ τρυφῶντες, ἐν τῷ αὐτῷ τεθνηκέναι φησὶν αὐτούς.

Ὡς καὶ τὸ πρῴην

Συνέσ. ἐπιστλ. χθὲς καὶ πρῴην ἐπὶ τῶν ἄγχος ὑπάτων. καὶ 72, πρῴην οὔπω πάνυ πρῴην. κατὰ δὲ τὸ ἤδη τε καὶ τὸ πρῴην λαμβάνεταί ποτε καὶ τὸ πάλαι. ὁ δὲ Πιλάτος ἐθαύμασεν, εἰ ἤδη ἀπέθανε. καὶ προσκαλεσάμενος τὸν κεντηρίωνα, ἐπηρώτησεν αὐτὸν, εἰ πάλαι ἀπέθανε. Μάρκ. 16.

Πρίν.

Καὶ τὸ πρὶν ἐν παρεληλυθότι πρὸς ὁριστικόν.

Συντετάξεται. αἱ γὰρ παρὰ τὴν ὁριστικὴν μέλλοντος δι' ὅλου ἔχουσι σημασίαν, ἑαυτῶν οὖσαι.

Πρὶν εἶπε.

Θουκδ'. β', οὐ μέν τοι γε πρότερον ἐπαύσαντο, ἐν ὀργῇ ἔχοντες αὐτὸν, πρὶν ἐζημίωσαν χρήμασι. κἀντῇ γ', πρὶν αὐτῶν εἷλον κώμην. καὶ, πρὶν δὴ οἱ ἀθηναῖοι τότε τὸν ἀγῶνα ἐποίησαν. ἀντὶ πρὸ τοῦ ποιῆσαι.

Οὐ μὴν ἀλλὰ καὶ σὺν ἀπαρεμφάτῳ. πρὶν εἰπεῖν. καὶ διὰ μέσου τοῦ ἢ, πρὶν ἢ εἰπεῖν.

Ἐν ᾧ τὸ μὲν πρὶν, ἀντὶ τοῦ πρότερον κεῖται, ὁ δὲ ἢ, ἔχει συνεξακουόμενον τὸ ὥστε, ἵνα ᾖ ἐν πλήρει λόγῳ, πρότερον ἢ ὥστε ἐλθεῖν. κἀντεῦθεν δῆλον, ὡς τὸ πρὶν μοναδικῶς πρὸς ἀπαρέμφατον συντασσόμενον, προσυπακουόμενον ἔχει ἐλλειπτικῶς τὸ ἢ ὥστε.

Σς.

τὸ δὲ τῷ πρὶν συμφερόμενον ἀπαρέμφατον, ὡς μήτε τελικὸν ὂν μήτε εἰδικὸν, ὀνοματικῶς εἴληπται ἀντὶ γενικῆς. καὶ γὰρ συντάσσεται καὶ γενικῇ τὰ χρονικὰ τῶν ἐπιῤῥημάτων. καὶ πρὸς ὑποτακτικὸν δὲ διὰ τοῦ ἤ. Βασίλ: κατὰ τῶν ὀργιζομένων, οὐ πρότερον ἵστανται, πρὶν ἢ διαπνευσθῇ τὸ φλεγμαῖνον. καὶ Λιβαν. πρεσβ. β', οὔκουν ἀξιοῦμεν πρὶν ἢ καὶ χωρὶς πραγμάτων τευξώμεθα τῶν δικαίων, πόλεμον ἐπιφέρειν.

Ὥσπερ διὰ τοῦ ἂν

Τοῦ διστακτικοῦ, οὐχὶ τοῦ δυνητικοῦ.

Ἐπὶ μέλλοντος πράγματος. πρὶν ἂν γένηται.

Ἀντὶ τοῦ ὥσπερ διὰ τοῦ ἂν πρὸς ὑποτακτικήν. μέλλοντος δὲ ἡ ὡς εἴρηται ὑποτακτική. Ἀριστοφ'. Πλούτ. οὐ δεῖ σχετλιάζειν καὶ βοᾶν πρὶν ἂν μάθῃς. Δημοσθ'. ὀλυνθ'. β', πρὶν ἂν τῶν πραγμάτων κρατήσητε. Θουκδ. β'. προείρητο δ' αὐτοῖς μὴ ἐπιχειρεῖν, πρὶν ἂν αὐτὸς σημήνῃ. τὸ δὲ τοιοῦτο πρὶν, ἔχει τὸ πρότερον συνεξακουόμενον. οἷον, οὐδὲν πράξει (πρότερον) πρὶν ἂν αὐτὸς ἀναχωρήσῃ. Θουκυδ'. δ'. τοῦ τοίνυν ἂν, διστακτικοῦ μὲν ὄντος, ἐπὶ μέλλοντος ὡς εἴρηται, ταὐτὸν εἰπεῖν πρὸς ὑποτακτικὸν, δυνητικοῦ δὲ, ἐπὶ παρῳχημένου πρὸς εὐκτικόν. εἴ γ' ὡς εἰρήσεται, εὐκτικοῦ τε τὸ δυνητικὸν, καὶ τὸ παρεληλυθὸς, φιλευκτικόν τι ἔοικεν ὄν. Ἀντιφ'. ἀπαγορευόντων τῶν φίλων τῶν ἐμῶν μὴ ἀποκτεῖναι τὸν ἄνδρα, πρὶν ἂν ἐγὼ ἔλθοιμι. καὶ ἐλλειπτικῶς τοῦ δυνητικοῦ. Παυσανίας. τοῦτον γὰρ εἰδότα, ὡς εἴη ζεὺς, ἡρπακὼς αἴγιναν θυγατέρα ἀσωποῦ, μὴ πρότερον φάναι ζητοῦντι μυνύσειν, πρὶν ἢ οἱ καὶ ἐν ἀκροκορίνθῳ γένοιτο ὕδωρ.

Πρὶν γένηται.

Καὶ ἐλλει-

Καὶ ἀλλεπτικῶς δηλαδὴ τὸ δισακτικὸν ἄν, πρὸς ὑποπτικόν. Ἐν δὲ λόγῳ ποιητικῷ δὶς παραλαμβανόμενον τὸ πρίν, τὸ μὲν σὺν οἴεται ἀντὶ τοῦ πρότερον, καὶ ἁδὲ ἔχει ὡρισμένως τὴν σωτηρίαν. τὸ δὲ ἕτερον τῇ μὲν, ἀπαρεμφάτῳ ὡς εἴρηται σωτηρίας, τῇ δὲ, ὑποπτικῇ δηλ. τοῦ ἂν συνεπινοουμένῃ, ταὐτὸν ὂν τῷ πρὸ τοῦ γενέσθαι τόδέ τι. οἷον, οὐ πρὶν ἀπόλλων λοιμοῦ χεῖρας ἀφέξει, ἰλ. ᾱ, πρὶν (ἦγεν πρὸ τοῦ) ἀποδῦναι τῷ χρύσῃ τὴν παῖδα. καὶ ἰλ. ῱, μὴ πρὶν ποιμαινέειν, πρὶν δωδεκάτη μόλῃ ἠώς. μήτηρ δ' ἔμε φίλη πρὶν γ' ἐᾶσ' ἀφορήσασθαι, πρὶν γ' αὐτὴν ἐλθοῦσαν σὺν ὀφθαλμοῖσιν ἰδέσθαι. καθ' αὑτὸ μὲν δὲ ἀπαρεμφάτως ζητεῖ σωτηρίαν καὶ ὡς ἄλλως δὴ εἴρηται, μὴ δὲ τοῦ ἔστ' ἂν, ὑποπτικοῦ, οἷον, πρὶν ὅτ' ἂν τόδε γένηται. τὸ δὲ πρότερον ἀπαρεμφάτῳ προσεχῶς σωτηριζόμενον, ἔχει τὸν ἢ προσυπακουόμενον, Θεοδ. μὴ, τὰς δ' ἄλλας πόλεις ἔφη ἀδικεῖν, αἳ εἰς Ἀθηναίους πρότερον ἀποστῆναι, ἀνάλυσ. ἀντὶ τοῦ πρότερον ἢ ἀποστῆναι.

Ἕως.

Ὁμοίως δὲ

Τῷ πρὶν

Καὶ τὸ ἕως, ἢ τὰ

Τῷ ἕως

Ἰσοδυναμοῦντα.

Σωτηρίαν.

Ἕως παρατείνω καὶ, ἕως παρατεῖναι.

Πρὸς τὰς οὐτὰς ἐγκλίσεις τῷ πρὶν καὶ ταῦτα φερόμενα ἀπαρεμφάτου μὲν, ὅμοιον τῷ πρὶν ἐστὶν ἐκεῖνο. Σωτῆρ, ἕως ἡμέρα τε λῷ καὶ τὰ δεινὰ ὅπως παρῶ. Δημοσθ. καὶ Φιλίπ. γ', ἕως ἀπεφήναντο. ἔστι δ' ὅτε καὶ ὑποπτικῷ, Θεοδ. γ', ἕως καταβαίη ἐς φωκέας. ἁπλῶς δὲ τὸ αὐ ἀορίστου λογικοῦ, καὶ πρὸ μέλλοντος, εἰ τύχοι ὂν πρὸς ὑποπτικόν. ἕως ἂν ξύμπαντες ἀθροισθῶσιν, αὐτιπάξωνται. Θεοδ. γ', καὶ Δημοσθ. καὶ Φιλίπ. γ', ἕως ἂν ἑκόντες ἐξαπατηθῶ. τὸ δ' ἀπαρέμφατον, (πρὸς ὃ τὸ ἕως ὅσα γε ἐμὲ εἰδέναι ἁδαμοῦ δίρρηται φερόμενον.) ὥσπερ καὶ τῷ πρὶν, εἴπω καὶ τῷ, ἕως, ὁμοιοπαθῶς εἰληφθαι δοκεῖ αὐτὶ γενικῆς πτωτικῶς. εἶγε καὶ τὰ χρονικὰ γενικῇ πτωτικῶς σωτηρίας ἐστί. ὁ δὲ ἢ, καὶ μὲν τῷ πρὶν, εἶχε χώραν τῷ λόγῳ τῷ συγκριτικῶν, καὶ δὲ τῷ ἕως, καὶ ἔτι. καὶ δὲ γὰρ καὶ σύγκρισιν χρονικὴν καὶ τοῦτο λαμβάνεται. καὶ τὸ ἕως οὐ ἐπίσης, πτωτικῶς σωτηρίας αὐτὶ τοῦ ἕως τοῦ χρόνου ἐκείνου, καθ' ὃν ἐποίησεν. ἰσοδυναμοῦντα δὲ τῷ ἕως εἰσὶ τὰ μέχρι, ἄχρι. ἁπλῶς μὲν σωτηριζόμενα, καθ' αὑτά τε καὶ ἁπλᾶ τοῦ αὐ, χρονικὰ τυγχάνει. πτωτικῶς δὲ, ἔστι μὲν ὅ, χρονικά, ἔστι δ' ὅ, τοπικά. τὸ δὲ ἄχρι, παρὰ τῷ ποιητῇ καθ' ἑαυτὸ κείμενον ἄνευ τινὸς ἐπιφορᾶς πτωτικῆς, τὸ διόλου σημαίνει. ὡς καὶ τῷ, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξεν. ἰλ. π. Τὸ δὲ ἕως καὶ ἰσοδυναμοῦντα ἁπλῶς μὲν, ὡρισμένου χρόνου προθεσμίαν σημαίνει. ἔστι δ' ὅ, καὶ τὸ μεταξὺ ταῦτα ἀποφάσκει, μὴ πάντως αὐτιδιαιρούμενα τῷ μέλλοντι, ὅ ἐστι μαχόμενα, ἀλλὰ τιθέντα μὲν τὸ μέχρι τούτου, καὶ ἀπαναινόμενα δὲ τὸ μηδ' ταῦτα. φασὶ δὲ καὶ οἱ παλαιοὶ, ὅτι ὁ πείτινος μέλλοντος λέγων, ἢ γράφων, ποτὲ μὲν καιρόν τινα τίθησι, μεθ' ὃν ἐλπὶς ἔσαι τελεσθῆναι τὸ πρᾶγμα, ποτὲ δὲ τοιοῦτον μέλλοντα καιρὸν ὑποτίθεται, μεθ' ὃν οὐκ ἔτι ὅλως ἔσαι τὸ πρᾶγμα, ὅπερ ἐστὶν εἰπεῖν ὑπόχεσιν ἀπαρνητικῶν, ἢ καταθέσιν ἀ-

τελεσφό-

τελεσφόρητον. οἷον, ὁ μὲν εἰπὼν, ὅτι οὐ παύσομαι ὀχλῶν, ἕως ἂν ἀνύσω τὸ σπουδαζόμενον, καιρὸν ἔθετό τινα ἐν τῷ μέλλοντι, καθ' ὃν παύσεται τοῦ ὀχλεῖν. ὁ δὲ εἰπὼν, οὐκ ἂν ἀποκριθείην σοι, ἄχρις ἂν ἐκτεμῇς μου τὴν γλῶτταν, τοιοῦτον καιρὸν ὑπέθετο μέλλοντος, οὗ ἐλθόντος, οὐδ' οὕτως ἔσται τὸ πρᾶγμα. πῶς γὰρ ἂν ὁ τὴν γλῶτταν ἐκτμηθεὶς, ἔχοι λαλεῖν; ὡς εἶναι τὸ Ἕως οὗ, οὐ μόνον πρὸς ἀντιδιαστολὴν ἑτέρου χρόνου τινὸς, ἀλλὰ καὶ τοὐναντίον, εἰς ὑποδήλωσιν ἀπεράντου διαστήματος παραλαμβανόμενον. Πολλὰ τοιαῦτα σχήματα παράτε τῇ θείᾳ γραφῇ, ὡς τὸ, οὐκ ἐπέστρεψεν ὁ κόραξ εἰς τὴν κιβωτὸν, ἕως οὗ κεκόπακε τὸ ὕδωρ. καὶ παρὰ τῷ ποιητῇ ἀλλαχοῦ τε κἀν τῷ ᾶ, τῆς ἰλ. ἐν οἷς φησιν ὁ βασιλεὺς Ἀγαμέμνων πρὸς τὸν πρᾶ τῆς αἰχμαλώτου Χρυσηΐδος Χρύσην περὶ αὐτῆς, τὴν δ' ἐγὼ οὐ λύσω, πρίν μιν καὶ γῆρας ἔπεισι. τοῦτ' ἔστιν οὐδέ ποτε λύσω αὐτήν. εἰ γὰρ μὴ νῦν, ὅτε καὶ νεάζει, καὶ τῆς πατρίδος ἐστὶν ἐγγὺς, ὅτε περιὼν ὁ πατὴρ, αὐτὴν ἐξαιτεῖται, ὅτε δῶρα δίδοται, πολλῷ μᾶλλον οὐλύσει αὐτὴν, ὅτε μηδὲν τούτων γίγνεται. καιρὸν οὖν ὑποτιθεὶς ὁ βασιλεὺς, ἐν ᾧ ἔσται τὸ ὑπεσχημένον, ἀνάλυσιν τελείαν ποιεῖται τῆς πράξεως. Τὸ δὲ ἕως, εὕρηται καὶ κατὰ συγκοπὴν ὡς. τοὺς γὰρ δὴ ἄνδρας περὶ πλειόνος ἐποιοῦντο κομίσασθαι, ὡς ἔτι Βρασίδας ἠυτύχει, Θουκ. καταγελῶνται πρὸς τὸ παρὸν, ὡς ἔτι ἡ τοῦ θεοῦ χρηστότης κρύπτεται. Ναζιανζ. εἰς Ἀθανάσ. Τὸ δὲ ἐν τῷ, ἀπέθανον δ' αὐτῶν ξύμμαχοι ὡς πεντήκοντα. κἀν τῷ, πρῳὶ προσῆλθον ὡς εἴκοσι σταδίους. κολαστικόν ἐστιν, ὅμοιον τῷ ὡσεὶ, ὥρα δὲ ἦν ὡσεὶ ἕκτη.

Ὅτε.

Τὸ δὲ ὅτε, ἀδιαφόρως τοῖς χρόνοις.

Συντάσσεται πλὴν τοῦ, ὡς εἴρηται, παρακειμένου, φερόμενον

Πρὸς ὁριστικόν. εἰ μὴ δυνητικόν τι

Μόριον. ὁ ἂν δηλαδή. μοναδικοῦ δὲ ὄντος τοῦ δυνητικοῦ, ἔδει εἰπεῖν, εἰ μὴ τὸ δυνητικόν. τὸ γὰρ ἀόριστον, ἐπὶ πολλῶν οὐκ ἐφ' ἑνός.

Ἐπινοοῖτο. εὐκτικοῦ γὰρ τὸ δυνητικόν.

Ἤτοι προσκείμενον, ἢ προσυπακουόμενον. οἷον,

Ὅτε βούλοιτο.

Οὐκ ἔτι. εἰσαεί. αὖθις.

Καὶ τὸ οὐκ ἔτι, καὶ τὸ οὐδέποτε, καὶ τὸ ἀεί.

Ἀπὸ κοινοῦ ἐκληπτέον κἀπὶ τῶν τριῶν τούτων τὸ, ἀδιαφόρως τοῖς χρόνοις συντάσσονται, πλὴν τοῦ παρακειμένου, πρὸς ὁριστικὸν καὶ αὐτά. τοῦ δὲ δυνητικοῦ ἐπινοουμένου καὶ πρὸς εὐκτικὸν ἔσθ' ὅτε. καὶ τὸ ποτὲ δὲ οὐκ ἀνέκαθεν προχρονίζει, ἀλλὰ καὶ τὴν χθὲς ἡμέραν δηλοῖ ποτε. ἤτοι οὐκ ἀεὶ χρόνου μῆκος σημαίνει, ἀλλ' ἀντὶ τοῦ χθὲς καὶ πρῴην τίθεται, καὶ οὐκ εἰς μακρὸν ἀναφέρει χρόνον, ἀλλὰ τοῖς προσφάτως γιγνομένοις, εἴτ' οὖν ταῖς ἐξ ὑπογείου πράξεσιν ἐπιλέγεται. ὡς ἐν ἰλ. θ. ὅς ποτ' ἀπηύρα αἰνείαν. ὅτε διομήδης κατὰ αἰνείου ἠνδρίσατο. τοιαύτης δυνάμεως καὶ τὸ αἰεὶ. καὶ αὐτὸ γὰρ ἐπὶ καιροῦ ὀλίγου λεχθὲν εὕρηται, ὡς ἐν ἰλ. ψ. αἰεὶ δ' ἠνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον. κατά τινα ὁμοιότητα τοῦ, αἰεὶ πυραὶ νεκύων καίοντο.

καίοντο. ἰλ, ᾱ. καὶ τὰ αἰὲν ῥύμφα θεόντε, καὶ τὰ, εἰσαεὶ λειπλαπήσει χρόνον. παρὰ Σοφοκλεῖ. τοιοῦτο δὲ καὶ τὸ ὡς εἴρηται πάλαι, πολλάκις παρ' Ἀττικοῖς. Παρὰ μὲν τὸ αἰεὶ ὄν, ὁ αἰών, καὶ τὸν Ἀριστλ. (ί, περὶ ψυχ.) καὶ τὸν μέγ. Μάξιμον. παρὰ δὲ τὸ αἰὼν τὸ αἰώνιον. καὶ αἰώνιον μὲν τὸ ἄναρχον καὶ ἀτελεύτητον καὶ τὸν Ναζιανζ., ἕως ἀεὶ ἔχον τὸ εἶναι οὐκ ἐξ ἀνάγκης καὶ πρὸς οὐδὲν μὴ μεταβάλλειν ἀπὸ τοῦ ἐστὶν ἢ εἶναι τὸ ἦν ἢ εἶναι τὸ ἔσεσθαι καὶ τὸν μάξιμον. αἰὼν δὲ οἱόν τι χρονικὸν κίνημα καὶ διάστημα ἁπλῶς ὅλως μετρητόν, (ὡς ὁ συμφωνῶν τοῖς οὐρανίοις καὶ φθορᾷ χρόνος, ἡλίου φορᾷ, τόποις καὶ αὐτὸς συμπαραρρέων.) τοῖς δὲ ἀϊδίοις, ὅσα τὴν τοῦ νοητοῦ κόσμου συμπληροῖ οὐσίαν, συμπαρεκτεινόμενον καὶ τὸν Ναζιανζ., καὶ καὶ τὸ ἐξ αὐτοῦ παρωνυμούμενον αἰώνιον ἄναρχος καὶ αὐτὸς καὶ ἀτελεύτητος, ἀθροισμός τις ὅσα παράστασις καὶ Νικηφ. τὸν βλεμ. ἀδιαστάτως καὶ ἀπείρως καὶ τὸν Μάξιμ. τὸ ἀεὶ ἔχουσα πρὸ χρόνου τε καὶ μετὰ χρόνον, καὶ τὸν βλεμμίδην. Τὸ ἄρα ἀεὶ ἔχει συνεπινούμενον ἐπὶ μὲν τοῦ προτέρου, τὸ ἄναρχον. ἐπὶ δὲ τοῦ ὑστέρου, τὸ ἀτελεύτητον, ἐπὶ δὲ τοῦ συνημμένου, ὁμοῦ ἑκάτερα εἴτ' οὖν τὸ αἰώνιον. ὁ δὲ χρόνος, μέτρον ὢν ἡλίου φορᾶς μετρούμενον, ἐπὶ μὲν τοῦ προτέρου ἦν ὅτε οὐκ ἦν, ἅμα τῷ ὑπ' αὐτοῦ γενομένῳ καὶ Πλάτωνι, πάντως δὲ καὶ ἐπὶ τοῦ ὑστέρου ἔσεσθαι ὅτε οὐκ ἔσται. εἴγε παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου, καὶ τὰ θεολόγια, καὶ ὁ ἀνὴρ καὶ ἡ γῆ παραλυθήσονται ἀλλαγησόμενα. ὑμῖν δὲ καὶ κατὰ τὸν μέγ. βασίλ. ἔτι μᾶλλον καὶ τὸν Ἀριστλ. (δ', περὶ ἀρχῶν) τὸ μὲν αὐτοῦ παρελήλυθός, ἠφανίσθη, τὸ δὲ μέλλον, ὅπως πάρεστιν. ἡ δὲ κατὰ τὸ παρὸν εἴτ' οὖν συνημμένον αὐτοῦ διέξοδος ἐπεκτεινομένη ἀεὶ καὶ παρρεούσα οὐ διαστατῷ ροῇ χρονικῇ περιγινώσκεσθαι δυναμένη τὴν αἴσθησιν. καὶ περιγράφεσθαι τῷ τάχει τῆς κινήσεως δικαίως ἀσπαστῆς καὶ αὐτῆς μονονουχὶ τῆς ψυχῆς δυναμένης τὴν καταληψιν, τὸ ἱδρυμένον καὶ στάσιμον οὐκ ἐπίδηλον ἔχουσα. τὸ ἄρα ἀεὶ οὐχὶ τῷ χρόνῳ τῷ δὲ αἰῶνι ἁρμόττει. ἔδη αἰῶνος πρωτοτύπως μέρη τὸ ἦν καὶ ἔστι καὶ ἔσται καὶ Νικηφόρον. χρόνος δὲ παντὸς προηγεῖται τὸ ἴδιον, ἐφέπεταί τε ὁμοίως τὸ ἔσται. πάντων δ' ἑκατέροις συνεπινοεῖται τὸ ἀεί. ἀδέ γε αὖ, εἴπερ μή, χρόνος παντὸς τὸ μὲν, ἦν προηγούμενον. τὸ δὲ, ἐπόμενον. τὸ ἄρα ἦν καὶ ἔσται τοῦ αἰῶνός εἰσι πρωτοτύπως μέρη. ἔχει δὲ καὶ ὁ χρόνος τὸ λέγεσθαι ἦν καὶ ἔστι καὶ ἔσται, ὡς εἰκὼν τοῦ αἰῶνος καὶ τὸν Βλεμ., οἷα δὴ εἰς ἑαυτὸν καὶ αὐτὸς κυκλικῶς σπινδῶν καὶ ἀναστρεφόμενος καὶ τῷ μηδενὶ μέσῳ τὸ τῆς κινήσεως αὐτοῦ ὁμαλὸν δυσκόπτεσθαι μηδαμοῦ περατούμενος, οὐδὲν ἀεί τι λαμβάνειν ἐπ' αὐτοῦ καὶ τῷ περιστροφῷ. τὸ γε μὴν ἀεὶ οὐχὶ πῇ τοῦ χρόνου, τοῖς δὲ τοῦ αἰῶνος τμήμασιν ἄρασα. ὧν τὸ ἦν τε καὶ ἔσται ἑκάτερα συνεπινούμενον, ὡς εἴρηται, ἔχοντα τὸ ἀεί, ἃ πάντως συνεισάγυσιν ἄλληλα, ὅτι μὴ μόνον ἐπὶ Θεοῦ. τὸ γὰρ ἦν καὶ ἔσται καὶ τὸν μέγαν Βασίλ. λόγ. δ', κατὰ δύναμιν ὥσπερ καὶ τὸ ὢν περὶ μὲν Θεοῦ λεγόμενον τὸ ἀΐδιον ἐμφαίνει ἅπαν, περὶ δὲ κτισμάτων, μέρος χρόνου πεπερατωμένου. ὅτε γάρ τι ἦν ἀεί, τοῦτο καὶ ἔσται ἀεί, ὅτε εἴτι ἔσται ἀεὶ τοῦτο καὶ ἦν ἀεί. εἴγε τῶν θείων τῆς προνοίας τοῦ κόσμου βουλήσεων, ἀρχὴν μὴ ἔχουσῶν (οἱ γὰρ τῶν ὅλων ὑποποιοὶ λόγοι οὐ τῷ θεῖν οὐσιώδως προϋφεστήκασι.) τέλος τινὲς μὴ αὐτῶν ἔσχον, τινὲς δὲ καὶ ἔξουσι καὶ τὸν μέγαν Βασίλ. λόγ. δ', κατ' Εὐνομ., ἡ δὲ τοῦ θεοῦ φησι, πρόγνωσις ἀρχὴν οὐκ ἔχουσα, μὴ τοῦ γεγενῆσθαι τὰ περὶ ὧν προέγνω, τέλος ἔχει. Τῶν αὖ δημιουργημάτων ἀρχὴν ἔχόντων, τινὰ τούτων τέλος οὐκ ἔξουσι κατὰ ἐναργιον τὸν παχυμερῆ, οὐχὶ φύσει, τῇ δὲ πάσαν φύσιν ὑπερνικώσῃ τοῦ Θεοῦ παντο-

δύνατι

θότητι. καθ' ἣν, ὥσπερ ἐκ τοῦ μὴ ὄντος αὐτὰ παρήγαγεν, οὕτω καὶ εἰς τὸ κρεῖττον μετασκευάσει. μόνος δὲ ὁ Θ̅ς ἦν τε ἀεὶ καὶ ἔστι καὶ ἔσται, μᾶλλον δὲ ἔστιν ἀεὶ, ὅλον ὁμοῦ ἐν ἑαυτῷ συλλαβὼν τὸ εἶναι, οὔτε ἀρξάμενος, οὔτε παυσόμενος, ἀλλ' ὤν, καὶ τοῦτο δὲ ὑπερουσίως νοούμενος. εἴγε τὸ ἔστι παρὰ τὸ ὄν. τὸ δὲ θεῖον ὑπὲρ τὸ ἐν γενέσει ὄν. καθ' ὃν δὴ λόγον εἴρηται τῷ ἀρεοπαγίτῃ Διονυσίῳ ὅτι οὔτε ἦν οὔτε ἔσται, μᾶλλον δὲ οὔτε ἔστιν ὁ Θεός. ἐπείτοι γ' ἄλλως ὑμνεῖται πάλιν ἐπ' αὐτοῦ κυρίως τό, τε ἦν καὶ τὸ ἔστι, καὶ τὸ ἔσται. ᾗ δηλονότι μετὰ πάντων καὶ αἰῶνος (οὗ μέρη, ὡς εἴρηται, τὸ ἦν καὶ ἔστι καὶ ἔσται.) οὐσιοποιός ἐστιν ἀρχὴ καὶ μεσότης καὶ τελευτή. (αἰώνιον γὰρ λέγεται τὸ μετέχον αἰῶνος. ὁ δὲ Θ̅ς οὐχ οὕτως αἰώνιος λέγεται. οὐδὲ γὰρ δεύτερός ἐστιν αἰῶνος, ἵνα μετέχῃ αὐτοῦ, ἀλλ' ὡς αἰώνων ποιητής.) ἢ καθ' ὃ πάντῃ ἀναλλοίωτος. ἐν γὰρ τῷ, ἐγὼ Θ̅ς πρῶτος, ἐγὼ καὶ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ οὐκ ἔστι. τὰ τρία τοῦ χρόνου συμπεριείληφε τμήματα. Ζητητέον δ' ἐπὶ τούτοις, ὁ αἰὼν τὸν προόντα χὼν οὐσιοποιὸν αἴτιον κατὰ τὸν Ἀρεοπαγίτην κφ', ε', περὶ ὄντος. ὅπως κατὰ τὸν Ναζιανζ, λόγῳ τῷ εἰς τὴν Χῦ γέννησ, οὐ μετρητή ἐστιν εἴτ' οὖν ἄναρχος παράτασις καὶ ἀτελεύτητος καὶ ὡς εἰπεῖν ἄπειρος; φησὶ γὰρ ὁ μέγ. Βασίλειος, λόγ, β', πρὸς Εὐνόμ. τοὺς αἰῶνας ἀξιοῦσί τινες τῆς τοῦ ἀϊδίου προσηγορίας, ὡς ἐκ τοῦ ἀεὶ εἶναι τῆς κλήσεως ταύτης τετυχηκότας. ἡμεῖς δὲ παρανοίας λογιζόμεθα τῇ κτίσει προσμαρτυρεῖν τὸ ἀΐδιον. ἀΐδιον γὰρ τὸ χρόνου παντὸς καὶ αἰῶνος κατὰ τὸ εἶναι πρεσβύτερον. Ἢ ὥσπερ ὁ κύκλος τὸ ἐπίπεδον λέγω σχῆμα τὸ ὑπὸ μιᾶς γραμμῆς περιεχόμενον, ἄπειρον μὲν λέγεται, ὡς μὴ ἐν ὃν αὐτοῦ πέρας εὑρεῖν διὰ τὸ σχῆμα, ἐπειδὴ μηδενὶ μέσῳ τὸ τῆς περιφερείας αὐτοῦ συνεχὲς διακόπτεται τῷ εἰς ἑαυτὴν συνεύειν καὶ μηδαμοῦ περατοῦσθαι, ἐν ὃν ἀεί τι λαμβάνειν ἐπ' αὐτοῦ κατὰ τὴν περιφορὰν, ὅγε μὴν τῷ κέντρῳ καὶ τῷ διαστήματι περιγράψας αὐτὸν ἀπό τινος πάντως ἤρξατο σημείου, εἰ καὶ τῇ προχείρῳ ἡμῶν αἰσθήσει τοῦτο οὐκ εὔληπτον, διὰ τὸ εἰς αὐτὸ πάλιν τὸ ἀρξάμενον καταλῆξαι. καὶ διὰ μὲν τὸ τῆς περιφερείας αὐτοῦ ἀδιάστατον ἄναρχος καὶ ἀτελεύτητος, διὰ δὲ τὸν περιγράψαντα, ὅ ἐστι περιγραφόμενος, ἀρχὴν ἔχε καὶ μέσην καὶ τελευτὴν, τοιοῦτό τι κἀπὶ τοῦ αἰῶνος οἰητέον. κἂν γὰρ τῷ κυκλικῶς οἷον εἰς ἑαυτὸν συνεύειν μηδαμοῦ περατῶται, ἐν γε μὴν τῷ Θεῷ πεπέρασται καὶ αὐτὸς, τῷ πᾶσαν ἀπειρίαν κατὰ τὸν Ἀρεοπαγίτην ὁρίζοντι καὶ περατοῦντι. τοὺς γὰρ αἰῶνας ἀπείρους ὄντας, οὐ γὰρ ἔχουσι πέρας, (αἰῶνας δὲ πληθυντικῶς καλεῖ ἡ γραφὴ τὴν διαφορὰν τῆς μελλούσης καταστάσεως, ἡ γὰρ μεγάλη ἡμέρα Κυρίου ἡ ἀδιάδοχος καὶ ἀτελεύτητος, τοῖς μὲν υἱοῖς τοῦ φωτὸς ἐπιφανὴς ἔσται καὶ ἀνέσπερος, τοῖς δὲ ἀξίοις τοῦ σκότους σκότος καὶ οὐ φῶς.) αὐτὸς τῇ ἑαυτοῦ ἀπειροπλασίῳ ἀπειρίᾳ περιέχει, καὶ πᾶσαν ἀοριστίαν ζωῆς, ὡς ἐπὶ τῶν νοητῶν. (οὐ γὰρ ὥρισται τούτοις ὁ βίος ὡς ἐπὶ τῶν ἀνῶν, ἀλλ' ἀθάνατοι ἐκτίσθησαν.) ὁ θ̅ς τῷ ὑπεραιωνίῳ ἐν τὸς τῆς ἰδίας ἀϊδιότητος ὁρίζει. αἰώνια γὰρ οὐ μόνον τὰ πάντῃ καὶ ἀπολύτως ἀγέννητα καὶ ὄντως ἀΐδια, κατὰ τὸ, ἡ τοῦ θεοῦ βασιλεία αἰώνιος, μᾶλλον δὲ βασιλεία πάντων τῶν αἰώνων, ἀλλὰ καὶ τὰ ἄφθαρτα καὶ ἀθάνατα, καὶ ἀναλλοίωτα, καὶ ὄντα ὡσαύτως, πολλάκις δὲ καὶ τὰ ἀρχαιότατα. ὡς ὅταν λέγῃ τὸ, ἐπάρθητε πύλαι αἰώνιοι, ἐπὶ τῶν ἀγγέλων ῥηθέν. εἴγ' αἰῶνος ἴδιον τὸ ἀρχαῖον καὶ ἀναλλοίωτον. ἔσθ' ὅτε δὲ καὶ ὅλη ἡ καθ' ἡμᾶς τοῦ χρόνου παράτασις αἰὼν προσηγόρευται. κατὰ τὸ ἕως τῆς συντελείας τοῦ αἰῶνος. καὶ τὸ, ὁ θ̅ς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα αὐτῶν,

ὥσπερ

ὥσπερ ἐκ τοῦ ἐναντίου χρόνος τὸ τοῖς ἀϊδίοις συμπαρεκτεινόμενον, κατὰ τὸ, πρὸ χρόνων αἰωνίων. καὶ, χρόνοις αἰωνίοις σεσιγημένου. ὡς εἶναι παρὰ τῇ θείᾳ γραφῇ καὶ ἔγχρονον αἰῶνα, καὶ χρόνον αἰώνιον.

Τὸ δὲ Οὐδὲ πώποτε, μόνον ἐπὶ παρῳχημένου. ὥσπερ τοὐναντίον τὸ Εἰσαεὶ καὶ Αὖθις, ἐπὶ μέλλοντος. εἰσαεὶ ἔσται κίνησις. αὖθις διδάξω.

Παρὰ δὲ Θουκδ', α', κἀπὶ ἐνεστῶτος τὸ εἰσαεί. κεῖταί σοι εὐεργεσία ἐν τῷ ἡμετέρῳ οἴκῳ ἐσαεὶ ἀνάγραπτος. καὶ Λουκιαν. ἐν τοῖς ἀληθινοῖς. θάλλουσα ἐς ἀεί.

Τὸ δὲ Οὔπω, παρῳχημένου τε καὶ ἐνεστῶτος.

Ἴδιον.

Οὔπω γίνεται. οὔπω γέγονεν.

Ἀναιροῦν γὰρ τὸ παρεληλυθὸς καὶ τὸ ἐνεστώς. οἷον, οὔπω ἑωράκεσαν. Θουκ'. β', τίθησι τὸ μέλλον. ἀλλ' ὄψονται δηλ. παρ' Ὁμήρῳ δὲ πολλαχοῦ καὶ ἀντὶ ἁπλῆς ἀποφάσεως, ἤγουν τῆς οὐ, ἀρνήσεως, καὶ οὐκ ἐξ ἀνάγκης χρονικῶς ἀκούεται ἀσυνήθως τοῖς ὕστερον. ἐκεῖνοι γὰρ τὸ οὔπω, χρονικὸν οἴδασι. τὸ δὲ ὅσον οὔπω, μέλλοντος μὴ πολὺ ἀφεστηκότος. πεσεῖσθαι γὰρ ὅσον οὔπω τὴν οἰκίαν. καὶ, ὅσον οὔπω προσεδόκα παρεσομένους τοὺς βαρβάρους. ὅθεν καὶ ἀντὶ τοῦ ταχέως εἴληπται. ἢ μετ' ὀλίγον. ὁ δὲ, ἅμα ἐνθυμούμενος τὴν ὅσον οὔπω ἀπορίαν τῶν ἀναγκαίων.

Ἔστι δ' ὡς ἁπλῶς εἰπεῖν καὶ πρὸς γενικὴν ἀποδιδόναι τὰ χρονικὰ κτητικῶς πως. οἷον, ποτὲ τοῦ χρόνου. οὐδέποτε τῶν χρόνων.

Ἡ γὰρ ἐν τούτοις γενικὴ, τὸ ὅλον σημαίνει, τὸ δ' ἐπίῤῥημα, τὸ μέρος τοῦ ὅλου, εἴτ' οὖν τοῦ χρόνου. κτῆμα δὲ τὸ μέρος, κτήτωρ ἄρα τὸ ὅλον. τοῦ δὲ ὕστερον ἡ δοτικὴ συνεκδοχικῶς ἐστιν εἰλημμένη. Λιβάν. πρεσβ. β', πάντων ἀλογώτατον, τοὺς μὲν ἠδικηκότας ἀθῴους ἀφεῖσθαι, τοσούτοις δ' ὕστερον χρόνοις ἄλλους ἀντ' ἐκείνων πάσχειν κακῶς. ἐπεὶ γὰρ τὸ ὕστερον πενταχῶς λέγεται, ὡς καὶ τὸ πρότερον. ἢ γάρ τοι χρόνῳ, ὡς νεώτερον ἕτερον ἑτέρου, ἢ φύσει, ὡς τὰ ἡγούμενα φύσει ὕστερα τῶν ἑπομένων, ὡς τοῦ ζῴου ὁ ἄνος, ἢ τῇ τάξει, ὡς ἡ διήγησις τοῦ προοιμίου, καὶ ὁ λόγος τῆς λέξεως, καὶ αὕτη τῶν συλλαβῶν, καὶ αὗται τῶν στοιχείων. καὶ τοῦ στρατιώτου ὁ στρατηγός. ἢ τῇ ἀξίᾳ, ὁ στρατιώτης τοῦ στρατηγοῦ. ὁ θεμέλιος τοῦ τοίχου. ἢ τῇ γενέσει, τὸ ὅλον τῶν μερῶν. ὡς καὶ τὸ σύνθετον τῶν ἁπλῶν. τὸ δὲ κατὰ τὸν λόγον καὶ τὴν λέξιν καὶ τὰς συλλαβὰς, εἴη ἂν καὶ φύσει καὶ γενέσει. ἢ τῷ αἰτίῳ, ὡς ὁ υἱὸς τοῦ πατρός. λέγω δὲ ἐπὶ τῶν καθ' ἡμᾶς. τὸ γὰρ θεῖον ἀριθμοῦ ἀνώτερον κατὰ τὸν θεῖον Χρυσόστμ. (ὁ μλ', α', εἰς τὸ κατὰ Ἰωαν.) εἴ γε τῶν ἀεὶ ἡνωμένων καὶ ἀεὶ ὡσαύτως ὄντων οὐθὲν τοῦ ἑτέρου πρότερον. ἐπεὶ τοίνυν πολλαχῶς τὸ ὕστερον, διὰ τοῦτο πρόσκειται αὐτῷ ἡ δοτικὴ διαστέλλουσα τοῦτο τῆς τῶν σημαινομένων ἀοριστίας, καὶ τὸ κατά τι συνεκδοχικῶς δηλοῦσα. ἤγουν κατά τί τυγχάνει ὕστερον τό δε τοῦ δε, Θουκδ'. α', χρόνῳ ὕστερον πέμπουσιν ὁπλίτας. καὶ, φαίνεται δὲ καὶ ταῦτα πολλαῖς γενεαῖς ὕστερα γενόμενα τῶν τρωϊκῶν. καὶ χωρὶς δοτικῆς ἐν τῇ αὐτῇ, πάντα δὲ ταῦτα ὕστερα τῶν τρωϊκῶν ἐκτίσθη.

Τό γε μὴν χωρὶς γενικῆς, πολὺ ἐν τῷ λόγῳ.

Πολλαχοῦ γε μὴν καὶ τὰ χρονικὰ ἄνευ τινὸς ἐπεκφορᾶς πτωτικῆς καθ' ἑαυτὰ συντάσσεται.

Ἔστι δὲ

Ἔστι δὲ καὶ τῶν χρονικῶν

Ὥσπερ δὴ καὶ τῶν πτωτικῶν.

Τὰ μὲν, ἀναφορικά.

Πρὸς ἕτερον δηλ, θεωρούμενά τε καὶ ἀποδιδόμενα. οἷα τὸ, τότε, ὅτε. τηνικαῦτα, ἡνίκα. τέως, ἕως.

Τὰ δὲ, ἀπολελυμένα.

Ὅσα ἰδιάζει, καθ' ἑαυτὰ νοούμενα, καὶ λελυμένα τῆς πρός τι ἕτερον σχέσεως. ὡς τὸ νῦν, ἤδη, ἄρτι, αὐτίκα, καὶ τὰ λοιπά.

Ὥστε καὶ προηγεῖται ἀλλήλων.

Τὰ ἀναφορικά.

Τότε, ὅτε. τηνικαῦτα, ἡνίκα. τέως, ἕως.

Τῶν ἀλλήλων προηγουμένων οὐδέτερον οὐδετέρου πρότερόν ἐστιν, ἢ ὕστερον. ἅμα γάρ εἰσι τῇ φύσει. ἐπείγε μὴν κυρίως ἀνταποδοτικὰ, ὧν κατάρχει τὸ σύμφωνον, ὧν ἄρα κατάρχει τὸ φωνῆεν, εἰσὶ κυρίως προηγητικά. καὶ δὴ προηγουμένοις μὲν αὐτοῖς τὸ ὀρθὸν, ὅτε ὄρθρος ἀνέτειλε, τότε ὄμβρος ἐγένετο. ἐπιφερομένοις δὲ, τὸ ἀντεστραμμένον. τότε, ὅτε. τῶν γὰρ ἀλλήλων προηγουμένων τούτων τε καὶ τῶν πτωτικῶν ἀναφορικῶν μᾶλλόν εἰσιν ἐγνωσμένα τὰ ἀπὸ φωνήεντος, ἢ τὰ ἀπὸ συμφώνου Ἀρχόμενα.

Ἐπιτατικά.

Τὰ δὲ ἐπιτατικὰ τοῖς τε ἐπιθέτοις τῶν ὀνομάτων συντάσσεται πᾶσιν, ὑπερθετικῶν χρείαν ἀναπληροῦντα. οἷον, λίαν σοφός. πάνυ τίμιος.

Τί δ' ὅτι μὴ καὶ τοῖς οὐσιαστικοῖς; Ἢ ὅτι τὰ μὲν παραθετικὰ τῶν ἐπιῤῥημάτων ἐπίτασιν ἢ ὕφεσιν ὑπεμφαίνει τῶν οἷς πρόσκειται, τοῦδε μᾶλλον καὶ ἧττον ἡ μὲν ὑποκειμένη οὐσία ἥκιστα, ἡ δὲ ἐπιτρέχουσα αὐτῇ ποιότης ἐπιδεκτικὴ τυγχάνουσα, αὐτὴ καὶ τὰ παραθετικὰ τῶν ἐπιῤῥημάτων παραλαμβάνει. τὴν ἐν ὑποκειμένῳ δέ φημι ποιότητα. καθ' ὅ,τι καθ' ἑαυτὴν μὲν, ἡ ποιότης θεωρουμένη, τελειότης εἴτ' οὖν ἀκρότης οὖσα, τοῦ μᾶλλον καὶ ἧττόν ἐστιν ἀνεπίδεκτος, κατὰ τὸν οὐσιῴδη αὐτῆς λόγον εἴτ' οὖν ὁρισμόν. τὸ δὲ ἐν ᾧ ἡ ποιότης, εἴη ἂν μᾶλλον, ἢ ἧττον ποιόν. οἷόν τι λέγω, λευκότης μὲν μᾶλλον, ἢ ἧττον οὐκ ἂν γένοιτο. λευκότης γὰρ μὴ ἐπιδεχομένη τὸν τῆς λευκότητος ὁρισμὸν, οὐδὲ λευκότης ὅλως ἐστί. τοῖχος δὲ ἕτερος ἑτέρου μᾶλλον ἢ ἧττον εἴη ἂν λευκός. Οἱ δὲ καὶ καθ' ἑαυτὴν τοῦ μᾶλλον καὶ ἧττον ἐπιδεκτικὴν εἶναι τὴν ποιότητα διατεινόμενοι, ἧ πλείονές φασι, μοῖραι τῆς αὐτῆς τελειότητος κατὰ τὸ αὐτὸ δι' ἀλλήλων χωρεῖν πεφύκασι, πλείους δηλονότι καὶ τοὺς αὐτῆς ἀποδώσουσι λόγους, πλείους δὲ τοῦ αὐτοῦ ὁρισμοὺς οὐκ ἐνδέχεται εἶναι κατὰ τὸν φῖφον τοῦ ἐπεισφερομένου τὸν ἔμπροσθεν ἀναιροῦντος.

Καὶ ἀναφορικῶς.

Καὶ μετὰ ἄρθρου ἔτι συντάσσεται, οὗ ἐστιν ἡ ἀναφορὰ, μεταξὺ παρεμπίπτοντα. οἷον.

Ὁ λίαν σοφός. μεσοσυλλαβοῦντα.

Τῶν δ' ἐπιτατικῶν τὰ μὲν, καθ' αὑτὰ νοεῖται καὶ λέγεται. οἷον, λίαν. ἄγαν. πάνυ. τὰ δὲ, νοεῖται μὲν καθ' αὑτὰ, οὐ λέγεται δὲ καθ' αὑτά. ἀντὶ τοῦ τὴν μὲν ἐπίτασιν ἔχει νοουμένην καθ' ἑαυτὴν, οὐ μὴν δὲ καὶ καθ' ἑαυτὰ εἰς διάνοιαν, κατὰ τὸ λίαν, ἄγαν,

ἄγαν. ἀλλὰ μεθ' ὧν ἐπιτείνει, προφέρεται. οἷα τὰ, νῆ, ᾶ, ἀρῖ, ἐρῖ, βοῦ, δᾶ, ζᾶ, λᾶ, ἔτι καὶ ἡ ἐξ, καὶ ἡ κατὰ, καὶ ἡ περὶ, ἐν συνθέσει. οἷον, νήδυμος, ὁ πάνυ ἡδύς. ἄσπετος, ὁ πολύς. ἀρίδηλος, ὁ πάνυ δῆλος. ἐριαύχην ὁ μεγαλοτράχηλος. βουλιμιᾷ, ὁ πάνυ λιμώττων. δαφοινὸς, ὁ πάνυ μέλας. ζάπλουτος, ὁ πολύπλουτος. λάβρος, ὁ πάνυ βαρύς.

Τῶν τε τῆς μεσότητος κατηγορεῖται ἐπιῤῥημάτων. οἷον, γράφει πάνυ καλῶς. καὶ τρέχει λίαν ταχέως.

Ἣν ἀνεπλήρου χρείαν τοῖς ἐπιθέτοις τῶν ὀνομάτων συντασσόμενα, τὴν αὐτὴν ἀναπληροῖ, καὶ τῶν τῆς μεσότητος κατηγορούμενα, ἐπίτασιν ποιότητος καθ' ἑκάτερα ὑποδηλοῦντα.

Καὶ χωρὶς δὲ

Τῶν τῆς μεσότητος

Ἐπιλέγεται.

Ταῖς λεγομέναις ἐνεργείαις.

Λίαν πονεῖ. σφόδρα ἐπιθυμεῖ. Αὐτῆς δὲ τῆς μεσότητος καὶ τῶν ταύτῃ ἰσοδυνάμων.

Οἷα τὰ τῆς ποιότητος. καὶ γὰρ ἑκάτερα ὑπὸ τὸ ποιὸν ὑπάγεται, ποιότητα ἐμφαίνοντα. μεσότητος δὲ εἴρηται, ὅσα τούτων παρὰ τὴν γενικὴν τῶν πληθυντικῶν μετεσχημάτισται, μέσην, ὅ ἐστι κοινὴν οὖσαν τῶν τριῶν γενῶν. γράφεται δὲ καὶ οὕτω, τῶν δὲ τῆς μεσότητος καὶ τῶν τούτοις ἰσοδυνάμων.

Καθόλου μὲν τὸ ῥηματικόν.

Ἴδιον. ἐπίθετα γὰρ ὄντα ῥήματος, ἐπ' αὐτὸ δὴ καθόλου καὶ φέρεται, οἷον,

Ζῇ σωφρόνως. ἀξίως γε εὐτυχεῖ. κατὰ μέρος δέ τοι ὡς ἕκαστον ἔχει παραγωγῆς, οὕτω δὴ καὶ συντάξεταί γε

Κατὰ

Τὸ πτωτικόν. τῇ γὰρ ἀρχῇ συνῳδὸν εἶναι χρεών.

Τὸ κατὰ μέρος πρὸς τὸ ἀνωτέρω καθόλου ἀπαντᾷ. ταὐτὸν δέ ἐστιν εἰπεῖν, κατὰ μέρος καὶ ἕκαστον. βούλεται οὖν λέγειν, ὡς τὰ προκείμενα τῶν ἐπιῤῥημάτων ῥηματικῶς μὲν, ἅπαντα συντάσσεται, τῶν δὲ καὶ πτωτικῶς συντασσομένων (ἔστι γὰρ ἃ τούτων συναμφοτέρως συντάσσεται.) οὐκ ἐπειδὴ ὁμοειδῆ εἰσι, παρὰ τοῦτο καὶ ὁμοιποτώτως ἕκαστον συντετάξεται, ἀλλ' ὡς ἔχει συντάξεως τὸ ἀφ' οὗ παρήχθησαν, οὕτω καὶ τῶν παραγομένων τὰ κατὰ μέρος συντετάξεται, ἀπολύτου μὲν οὔσης τῆς ἀρχῆς, ἄπτωτον ἔσται καὶ τὸ ἐκ τῆς ἀρχῆς, πρὸς ἕτερον δὲ φερομένης ἐκείνης, πρὸς ἕτερον καὶ αὐτὸ τῇ ἀρχῇ ὁμοιοπτώτως ἐνεχθήσεται. αὐτίκα καὶ γὰρ συντάσσεται γενικῇ μὲν τὸ ἀξίως,

Ἀξίως οὖν λόγου.

Θουκ', α', ψηφίζεσθε, ὦ λακεδαιμόνιοι, ἀξίως τῆς σπάρτης τὸν πόλεμον.

Ὅτι

Καὶ τὸ σύστοιχον ὄνομα, ἀφ' οὗ παρήχθη τὸ ἐπίῤῥημα, γενικῇ καὶ αὐτὸ συντάσσεται, οἷον,

Ἄξιος λόγου.

Δοτικῇ δὲ πάλιν τὸ ὁμοίως.

Καὶ, ὁμοί-

Καὶ, ὁμοίως τοῖς ἄλλοις. Ὅτι,

Δοτικῇ καὶ ἡ τούτου ἀρχή. οἷον,

Ὅμοιος τοῖς ἄλλοις. καὶ, καταφρονητικῶς τῶν εὐτελεστέρων. ὅτι, καταφρονῶ τῶν εὐτελεστέρων. οἷον, δὴ καὶ τὸ, ἄριστα πάντων.

Καθ' ὅ, τι ἄριστος πάντων. πρὸς γὰρ τὰς αὐτὰς πτώσεις τῇ ἀρχῇ συνοδεύειν ἀνάγκη συνᾴδοντα τὰ ἐκ τῆς ἀρχῆς. οὐκ ἐν τῷ καθόλου δὲ τοῦτο, ἀλλ' ἐν τούτῳ μόνον τῷ μέρει. εἴγε τὰ πτωτικὰ ῥήματα οὐκ ἐπὶ τὰς αὐτὰς πτώσεις φέρονται τοῖς ἀφ' ὧν παρήχθησαν ῥήμασι. κόπτω μὲν γὰρ τοῦτον, κοπεὺς δὲ τούτου.

Κοινὸν δὲ τῶν τοιούτων

Τῶν τε τῆς μεσότητος καὶ τῶν τῆς ποιότητος,

Καὶ ἡ προσκειμένη τῷ ἔχω γενική. οὕτως ἔχω γνώμης. πονήρως ἔχω τοῦ σώματος.

Θωμᾶς ἐν ταῖς τῶν λέξεων ἐκλογαῖς, τὴν τοιαύτην γενικὴν κατ' ἔλλειψίν φησι κεῖσθαι τοῦ εἵνεκα μορίου ἔξωθεν ἐπινοουμένου. ἔστι γε μὴν τὸ ἕνεκα ἐνταῦθα οὔτε τοῦ ἕκτου, οὔτε τοῦ δι', ὃ ἀλλὰ τοῦ καθ' ὃ αἰτιολογικόν. ὡς εἶναι τὴν γενικὴν ἀντὶ αἰτιατικῆς συνεκδοχικῆς. κατέαγα τοῦ κρανίου, Λουκιάν. ἐν τίμωνι. ἀντὶ τὸ κρανίον. κἀντῷ ἐπισκοποῦντες, συντριβέντες τῶν κρανίων. Θουκυδ'. α', τῆς τε γὰρ ἰταλίας καὶ σικελίας καλῶς παράπλου κεῖται. (τὸ τῆς κερκύρας χωρίον.) κἀντῇ γ', καὶ ἅμα τοῦ πρὸς ἀθηναίους πολέμου καλῶς αὐτοῖς ἐδόκει ἡ πόλις καθίστασθαι, τῆς τ' ἐπὶ θρᾴκης παρόδου χρησίμως ἕξειν. Ξενοφ. βιβλ', ς',

ἀναβάσ. ἔτι δὲ (ἐδίδασκον) κεῖσθαι τὴν κερκύραν ἐν καλῷ μὲν τοῦ κορινθιακοῦ κόλπου καὶ τῶν πόλεων, αἳ ἐπὶ τοῦτον καθήκουσιν, ἐν καλῷ δὲ τοῦ τὴν λακωνικὴν χώραν βλάπτειν, ἐν καλλίστῳ δὲ τῆς τε ἀντιπέραν ἠπείρου, καὶ τοῦ εἰς πελοπόννησον ἀπὸ σικελίας παράπλου. Ἰλ. δ', ὅν τις ὀϊστεύσας ἔβαλε, τόξων εὖ εἰδώς. Ἡρόδ. ε'. οἷα δὲ χρημάτων εὖ ἥκοντες. κἀντῇ η', κατὰ λόγον ἔσαν ἄρα αἱ ἀθῆναι μεγάλαι τε καὶ εὐδαίμονες, καὶ θεῶν χρηστῶν ἥκοιεν εὖ. ἐπεὶ ἀνδρείους γε (τοὺς ἐκ τῆς ἄνδρου νήσου) εἶναι γεωπείνας ἐς τὰ μάλιστα ἥκοντας. σημείωσαι δὲ ὥσπερ τοῦ ῥήματος, ὡς εἴρηται, τὸ ἐπίῤῥημα, οὕτω καὶ τοῦ τῆς ποιότητος ἐπιῤῥήματος ἡ προσκειμένη γενικὴ διοριστικὴ τυγχάνει, τὸ ἐν τῷ ἐπιῤῥήματι ἁπλῶς, τῷ πῇ εἴτ' οὖν τῷ κατά τι προσδιορίζουσα. Οὐ ταὐτὸν δέ ἐστιν, εὖ ἔχω τοῦ σώματος, καὶ τὸ σῶμα. ἡ μὲν γὰρ αἰτιατικὴ ἅπαν τὸ τοῦ συναμφοτέρου μέρος εὖ ἔχειν δηλοῖ, ὅ ἐστιν ἅπαν τὸ σῶμα. οὐκ ἔτι δὲ καὶ ἡ γενικὴ ταὐτὸ τοῦτο δηλοῦν βούλεται, μέρος δέ τι τοῦ σώματος, οὐχ ὅλον τὸ σῶμα. ὡς εἶναι τὴν μὲν αἰτιατικὴν συνεκδοχικὴν, κτητικὴν δὲ τὴν γενικὴν πρὸς τὴν συνεννοουμένην ἔξωθεν συνεκδοχικὴν αἰτιατικήν. οὕτως οὖν ἐκληπτέον καὶ τὸ κατέαγα τοῦ κρανίου, καὶ τὸ κρανίον, ὡς εἴρηται. ἀντὶ τοῦ ἔνθα μὲν, μέρος τοῦ κρανίου, ἔνθα δὲ, ὅλον αὐτὸ τὸ κρανίον. Λαμβάνεται δὲ κατά τινας ἐξαχῶς τὰ τῆς μεσότητος. κατὰ ἔπαινον, ὡς τὸ καλῶς, σοφῶς. κατὰ ψόγον, ὡς τὸ πονηρῶς, ἀθέως. κατὰ ἐπιτήδευμα, εἴτ' οὖν ἐπίκτητον ἔξιν. ὡς τὸ γραμματικῶς, ῥητορικῶς. κατὰ μετουσίαν, ὡς τὸ σαρκικῶς, ἀνθρωπικῶς. κατὰ διαφοράν, ὡς τὸ ἑτέρως, ἄλλως. καὶ καθ' ὁμοιότητα, ὡς τὸ οὕτως. ἐκείνως, καὶ τὰ τοιαῦτα.

Τοπικά.

Τὰ δὲ τοπικὰ γενικῇ.

Κτητικῶς πως, ὡς καὶ τὰ χρονικὰ, συντάσσεται οἷον,

Ἔξω τῆς χώρας. ἐνταῦθα τοῦ λόγου. ποῦ γῆς. ἄλληπῃ τῆς οἰκίας.

Ἐν τῷ τῷ, πῇ γῆς, καὶ, ἔξω τῆς χώρας, αἱ γενικαὶ τὸ ὅλον ὑποδηλοῦσαι, πρὸς τὸ μέρος ἔχουσι τὴν ἀπότασιν. τὸ δὲ μέρος κτῆμά ἐστι τοῦ ὅλου.

Καὶ χωρίς.

Γενικῆς.

Ἐνταῦθά ἐστι. σαφέστερον μέν τοι καὶ εὐχρηστότερον ἐπ' ἐνίων τὸ φράζειν

Τοῦ τόπου τὸ μὲν ὅλον, ἐπιῤῥηματικῶς, τὸ δὲ μέρος,

Προθετοπτώτως.

Ὅ ἐστι μετὰ προθετικοῦ πτωτικοῦ.

Οἴκοι ἐν ἀττικῇ. οἴκαδε εἰς τοῦ πολεμάρχου.

Ἐν ᾧ τὸ μὲν οἴκοι, γενικὸν, τὸ δὲ ἐν ἀττικῇ, εἰδικὸν, ἢ ἀτομικὸν, ὡς τὸ, ἐν τῷ πολεμάρχῳ.

Πάντα δὲ

Τὰ τοπικὰ,

Τὸ Προσῆκον σφίσιν ἠρεμίας τε καὶ κινήσεως ἕξει προσκείμενον.

Ῥῆμα.

Οἷον, οἴκοι εἰμί. πορεύομαι οἴκαδε.

Οὐ μὴν ἀλλ' ἐξ ἀντιστρόφου καὶ τὰ ῥήματα ἐπίῤῥημα ἠρεμίας τε καὶ κινήσεως τὸ προσῆκον σφίσιν, ἕξει προσκείμενον. δηλ. τὰ μὲν ἠρεμοῦντα τὸ ἠρεμοῦν, τὰ δ' ἐν κινήσει τὸ τῆς κινήσεως. Θουκ. ς', καὶ ἐχώρουν πρὸς τὴν συκῆν οἱ ἀθηναῖοι, ἵνα περ καθεζόμενοι, ἐτείχιζον. κίνησιν δὲ ἐνταῦθα τὴν κατὰ τόπον ληπτέον.

Παραθετικά.

Σημείωσαι ὅτι ἡ παράθεσις ἀμφοῖν κατηγορεῖται τῶν τε συγκριτικῶν καὶ ὑπερθετικῶν.

Καὶ τὰ συγκριτικὰ δὲ καὶ ὑπερθετικὰ ὁμοίως,

Τοῖς τοπικοῖς.

Εἰς γενικήν.

Φέρεται, οὐ μὴν κτητικῶς.

Μᾶλλον τῶν ἄλλων φιφεῖ. καὶ, μάλιστα πάντων. τὰ δὲ συγκριτικὰ καὶ πρὸς εὐθεῖαν, μεσοσυλλαβοῦντος τοῦ ἢ, μᾶλλον ἢ ἄλλοι.

Πρὸς γενικὴν μὲν καὶ αὐτὰ, δίχα τοῦ ἤ. οὗτος δὲ παρεμπεσὼν, ὁμοιόπτωτα τοῖς ἡγουμένοις ἁπλῶς ἀπαιτεῖ τὰ ἑπόμενα κατὰ Ἀπολλ'. εἴγε τὸ αὐτὸ ῥῆμα ἀπὸ κοινοῦ ἐφελκόμενον, καὶ τὰς αὐτὰς ἀπαιτήσει πτώσεις. Λιβάν. πρεσβ. β'. οὐ τοὺς παθόντας ἔσεσθε μᾶλλον ἢ ὑμᾶς αὐτοὺς ἐζημιωκότες. Θουκ δ, β'. παράδειγμα δὲ αὐτοὶ μᾶλλον ὄντες, ἢ μιμούμενοι ἑτέρους. κἀντῇ γ', ἐξ ὧν ἂν ἰσχύι μᾶλλον, ἢ τῇ ἐκείνων εὐνοίᾳ περιγένησθε. ἡρόδ. ὁ δὲ νεῖλος μοῦνος ποταμῶν τοῦτον τὸν χρόνον ῥέει πολλὸν, ἢ τοῦ θέρους. ἀντὶ τοῦ, ἢ τὸ θέ-

ἢ τὸ θέρος. ἢ ὃ καὶ ὀρθὸν, τὸν χρόνον τοῦ θέρους. τὸ δὲ τοῦ Χρυσσμ. εἰς πάντας τοὺς ἁγίους, ἐξήλακται, τῶν ῥυάκων τοῦ αἵμαματος πανταχόθεν αὐτοὺς περιρρεόντων. καὶ τὸ σῶμα αὐτῶν καταυγαζόντων πολλῷ μᾶλλον ἢ τὸν οὐνὸν ἥλιος. οἷόν τι τοῦ αὐτοῦ καὶ τὸ, οὐχ ὡς ὑμῶν ἐλάττονα ἀλγησάντων ἢ ἐγώ. ἑρμην. τῆς β', πρὸς κορ. ὁμλ. δ'. Μὴ πρὸς τὸ αὐτὸ δὲ ῥῆμα τῶν πτωτικῶν φερομένων ἑκατέρων, ἐν οἷς ἡ παράθεσις, τὸ τηνικαῦτα τὸ τῷ ἢ ἐπαγόμενον πτωτικὸν, οὐχ ὁμοιοπτώτως τῷ ἡγουμένῳ, κατὰ δὲ μόνον τὸ ὀρθὸν ἐπάγεται. Λουκιαν', ἐν τῷ Ἀλέξανδ, οὗτος ἰδὼν εὐφυᾶ παῖδα οὐμεῖον ἐρῶντα τῆς κακίας τῆς αὐτοῦ, ἢ αὐτὸς τῆς ὥρας τῆς ἐκείνου, ἐξεπαίδευσέ τε αὐτὸν, κτ'. Χρυσσμ. ἐν τῷ περὶ προνοίας. δεσπότην ἔχεις μᾶλλον ἐπὶ τῇ σῇ σρίᾳ χαίροντα, ἢ σὺ ἐπὶ ἀπαλλαγῇ κινδύνων. κἂν τῷ β', περὶ προσευχῆς, ἵνα κομίζωμεν ὑμῖν θησαυρὸν ἀγαθὸν κοσμοῦντα τὰς ψυχὰς βέλτιον, ἢ τὰς κεφαλὰς τῶν βασιλέων οἱ λιθοκόλλητοι στέφανοι. Ναζιανζ. ἐν τῷ περὶ τῆς ἐν ταῖς διαλέξεσιν εὐταξίας, καὶ (ἐχρῆν) καθάπερ τοὺς μαινομένους τῶν ἰδίων σαρκῶν ἁπτομένους, μηδὲ αἰσθάνεσθαι, ἀλλὰ χαίρειν τῷ κακῷ πλέον, ἢ εἰρηνεύοντες ἕτεροι. ὁ δὲ τοῖς συκριτικοῖς μεσολαβὼν ἢ, διαζευκτικὸς μέν ἐστιν, οὐμὴν τῶν ἀορίστων, διασαφητικὸς δέ.

Ἔτι τὰ ἐπικρυπτικὰ. κρύφα, ἢ λάθρα τῶν ἄλλων ποιεῖ. καὶ τὰ διαιρετικά. χωρὶς τῶν ἄλλων.

Τὸ δὲ ὅτι μὴ, διαιρετικὸν ὂν καὶ αὐτὸ εἶτ' οὖν ἐξαιρετικὸν, οὐ πρὸς γενικὴν, ὁμοιοπτώτως δὲ τοῖς ἡγουμένοις συντάσσεται. ὡς παρ' Ὁμήρῳ, οὔτέ τῳ ἔσπενδεν, ὅτε μὴ διί. ἰλ. π'. οἱ δὲ ὕστερον ῥήτορες, ὅτι μὴ διί, φασί. κἀπὶ τῶν ἄλλων πτώσεων. οὐδεὶς ἕτερος ὅτι μὴ ὁ δεῖνα. καὶ οὐδένες ἄλλοι, ὅτι μὴ οἱ δεῖνα. οὕτω δὲ κἀπὶ ῥημάτων οὐκ ἄλλοτι ἔδρα, ὅτι μὴ ἐτρύφα. τὸ μὲν γὰρ ἑαυτοῦ σαθρὸν ἤλεγξε, τοὺς ἐλέγχους δὲ οὐ διέφυγεν, ὅτι μὴ καὶ μᾶλλον τούτοις ἑαυτὸν ὑποθεὶς, ἡγνόησε. Ναζ. α'. στηλ. Τὸ δ' αὐτὸ κἀπὶ μετοχῶν καὶ ἀντωνυμιῶν. καὶ τὸ πλὴν δὲ, μεσολαβοῦντος τοῦ ἢ, ὁμοίως τῷ ὅτι μὴ, ὁμοιόπτωτα τοῖς ἡγουμένοις ἀπαιτεῖ τὰ ἑπόμενα. Σωκρ, ὁπότεροι δὲ ἡμῶν ἐπὶ τὸ ἄμεινον πρᾶγμα ἔρχονται, ἄδηλον παντὶ, πλὴν ἢ τῷ θεῷ. ἐν ἴσῳ τῷ, οὐδενὶ δῆλον ἑτέρῳ, ἢ τῷ θεῷ. οὐ μὴν ἀλλὰ καὶ καθ' ἑαυτὸ δίχα τοῦ ἢ, ὡς Ἀριστοτ'λ, ζήτει 73 κ', 8, 26. τὸ δὲ πάρεξ, οἱ μὲν ὕστερον γενικῇ μόνῃ κατὰ τὰ διαιρετικὰ συντάττουσι, παροξυτονοῦντες. Ὅμηρος δὲ τοπικῶς τὴν λέξιν λαμβάνων, ὀξυτονεῖ, τε αὐτὴν τῷ λόγῳ τῶν προθέσεων, καὶ συντάσσει ἔστι μὲν οὗ, γενικῇ, τῶν συνημμένων προθέσεων τῆς ἐξ, ἐπικρατούσης. οἷον, παρὲξ ὁδοῦ. ἔστι δ' οὗ, αἰτιατικῇ τῆς παρὰ, ὑπερνικώσης. οἷον, παρὲξ τὴν νῆσον, ἔνθα μὲν, τὸ ἔξω, ἔνθα δὲ, τὸ ἐγγὺς δηλοῦντος τοῦ λόγου.

Καὶ τὰ ποσότητος. ἅπαξ ἢ δὶς τῆς ἡμέρας. τρὶς τοῦ μηνός. τετράκις καὶ πολλάκις τοῦ ἐνιαυτοῦ.

Τὰ ποσότητος ἔφη οὐχὶ δὲ τὰ ποσοῦ. καθ' ὅ, τι τὰ τοῦ ποσοῦ, ὀνόματά εἰσιν, οὐκ ἐπιρρήματα. ποσότητα δὲ πάλιν οὐ τὴν συνεχῆ, τὴν δὲ διωρισμένην. ἧς τὰ μὲν, εἰσὶν ὡρισμένα, ὡς τὸ ἅπαξ, δὶς, τρίς. τὰ δὲ ἀόριστα, ὡς τὸ πολλάκις, ὀλιγάκις.

Καὶ τὰ τακτικά. τὰ δύω ἐφεξῆς τοῦ ἑνός. καὶ ἡ δευτέρα,

Ἐφεξῆς,

Ἐφεξῆς,

Τῆς νουμηνίας.

Παρὰ δὲ ἄλλοις, ἡ δευτέρα ἑξῆς τῆς. Ἐφεξῆς δέ εἰσιν, ὧν οὐκ ἔστι τι συγγενὲς μεταξὺ, ὡς ἐφεξῆς οἰκίας φαμὲν, ὧν μεταξὺ οὐκ ἔστιν ἑτέρα οἰκία. Τὸ δὲ ἐφεξῆς, τινός ἐστιν ἐφεξῆς καὶ ὕστερόν τι. οὐ γὰρ τὸ ἐν ἐφεξῆς τῶν δύοιν, οὐδ' ἡ νουμηνία, τῆς δευτέρας ἐφεξῆς, ἀλλὰ ταῦτ' ἐκείνων.

Τὰ δὲ ἀθροιστικὰ, δοτικῇ. ὁμοῦ καὶ ἅμα τοῖς ἄλλοις. καὶ χωρίς,

Δοτικῆς, καθ' ἑαυτὰ ἔσθ' ὅτε. ὧν τόπου μὲν τὸ ὁμοῦ, χρόνου δὲ τὸ ἅμα. ἅμα γὰρ λέγεται ταῦτα εἶναι κατὰ τόπον, ὅσα ἐν ἑνὶ τόπῳ ἐστὶ πρώτῳ. χωρὶς δὲ, ὅσα ἐν ἑτέρῳ. οἷον, Σόλων ἅμα μὲν ἐγένετο Ἀναχάρσιδι τῷ σοφῷ σκύθῃ, ὡς τὸν αὐτὸν χρόνον ἀκμάσας, οὐκ ἔτι δὲ καὶ ὁμοῦ. οὐ γὰρ ἐν τῷ αὐτῷ ἐγεννήθη τόπῳ.

Τὰ δὲ ὁμοτικὰ, αἰτιατικῇ μόνως.

Τὸ μόνως πρὸς ἀντιδιαστολὴν τῶν ἀθροιστικῶν κεῖται. ὧν διτταχῶς συντασσομένων, πτωτικῶς τε δηλ, καὶ καθ' ἑαυτὰ, χωρὶς πτώσεως, τὰ ὁμοτικὰ μοναχῶς συντάσσεται, μετὰ πτώσεως ἀεὶ δηλ, οὐ μὴν δὲ καὶ χωρίς.

Νὴ δία εἶπον, μὰ δί' οὐκ εἶπον,

Τὸ μὲν νὴ, ἐπὶ καταφάσεως ἀεὶ τίθεται. Δημοσθ'. κατὰ Φιλπ, γ', ὃ νὴ τὸν δία δέδοικα μὴ πάθητε. ὥσπερ ἄρα τὸ μὰ, εἴτε προκειμένην ἔχει τὴν ἄρνησιν εἴτε νουμένην, ἀποφατικῶς ἀεὶ λαμβάνεται. οἷον, μὰ δί' οὐκ εἶπον. ἀντὶ τοῦ οὐ μὰ δία. Δημοσθ'. ὀλυνθ. γ', ταῦτα μὰ τὴν δήμητρα οὐκ ἂν θαυμάσαιμι. Φιλήμων κωμικός, ὅτι λίθον μὲν τὴν Νιόβην, μὰ τοὺς θεοὺς οὐδέποτ' ἐπείσθην, οὐδὲ νῦν πεισθήσομαι ὡς τοῦτ' ἐγένετο. λουκιὰν ἐν τῷ φιλόπατ, ὁρῶ δὲ οὐχ ἑλένην μὰ δία. ὅθεν σημειώδη τοῦτε λιβανίου ἐν τῷ περὶ τοῦ λάλῳ συνοικοῦντος γυναικὶ, τὸ ἐπὶ καταφάσεως μά. ὀνείρατα διηγουμένη, πλάττουσα κἀκεῖνα μὰ τοὺς θεούς. καὶ Λουκιανοῦ τὸ, μὰ δία ἐχλεύασέ σου φιλόξενος τὰ ἔπη. τοῦ γεμὴν ναὶ, προηγουμένου, τὴν ἰσχὺν ἅπασαν προσδίδωσι τῷ ναὶ, καταφατικῶς ἀεί. οἷον, ναὶ μὰ δία εἶπον. δύω γὰρ τὰ εἴδη τοῦ ὁμοτικοῦ, τὸ μὲν, κατομοτικὸν, τὸ δὲ ἀπομοτικόν. ὧν τὸ μὲν, ἐστὶ βεβαιωτικὸν, τὸ δὲ, ἀρνητικὸν, ἑκάτερά τε μεθ' ὅρκου, ἀντὶ τοῦ ὄμνυμι λαμβανόμενα. ὁμέντοι ποιητὴς μήπω ἔχων τὴν τοῦ νὴ, χρῆσιν ἐγνωσμένην, τῷ ναὶ, ἀντ' αὐτοῦ ἐχρῆτο, εἰπὼν, ναὶ μὰ τόδε σκῆπτρον. κἀντεῦθεν δίδωσιν ἡμῖν ὑπονοεῖν, ὡς ὕστερον τὸ νὴ, ἐπίῤῥημα γέγονεν. ἐλλείπει δὲ καὶ τούτων ἔσθ' ὅπου τὸ νὴ, προσυπακουόμενον ἔξωθεν. τὸ δὲ τοῦ Σωνεσ, ἐπιστλ. 143. τὸν ἔφορόν σοι φιλίας Θεόν. ὁμοτικοῦ μὲν ἐλλέλειπται, οὐ μὴν ἐπιῤῥήματος, ῥήματος δὲ, τοῦ ὄμνυμι. ὡσανεὶ ταὐτὸν ὂν εἰπεῖν, νὴ τὸν θεὸν, καὶ ὄμνυμι τὸν θεόν. Τὰ δὲ ὁμοτικὰ εἰς τὴν διὰ, πρόθεσιν ὁ χρυσός. μετέλαβεν εἰς τὸν 96, ψαλμ'. τόμ. γ'. τί γάρ φησιν; (ὁ ἀπόστλ,) καθ' ἡμέραν ἀποθνήσκω διὰ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω.

Τὰ δὲ ἐρωτηματικὰ, ἀοριστούμενα,

Ὅ ἐστι μὴ προηγητικὰ, ἀλλ' ἀκολουθητικὰ τῶν ῥημάτων γινόμενα,

Καὶ ἡ τοπικὰ γινόμενα, ἢ τροπικὰ,

Τοῦτ' ἔστιν

Τοῦτ' ἔστιν, ἢ τόπου ὄντα δηλωτικὰ, ὡς τὸ ποῦ, πόθεν, πόθι. ἢ τρόπου, ὡς τὸ πῶς. ἢ καὶ χρόνου, ὡς τὸ ποτέ. ἃ ἡγούμενα μὲν, ὡρισμένην ζητεῖ τὴν ἀπόκρισιν, ἑπόμενα δὲ, ἀόριστον.

Ἐγκλίνεται, εἰ μὴ τρισυλλαβία κωλύῃ. οὐθὲν γὰρ

Τῶν ἀορίστων μορίων

Ἐγκλίνεται, ὑπερδισύλλαβον ὄν.

Οἷον τὸ πηνίκα, ὁπόθεν.

Πόθεν ἔρχῃ; ἐλθὼν δέ ποθεν. πῶς ἔχει; οὕτω πως ἔχει. Ἔξεστι δὲ καὶ τὸ πότε καὶ ποῦ ἐπ' ἐρωτήσει τῷ ἕως καὶ μέχρι καὶ ἄχρι ὑποτάσσειν. οἷον, ἕως πότε; ἄχρι ποῦ; μέχρι ποῦ;

Οὐ μόνον δὲ ἐπ' ἐρωτήσει, ἀλλὰ καὶ ἐν ἀποφάνσει χρονικά τινα καὶ τοπικὰ τῶν ἐπιῤῥημάτων τῷ ἕως καὶ τοῖς τούτῳ ἰσοδυναμοῦσιν ἐπιπλέκεται. μέχρι πόῤῥω. ἄχρι τότε. δῆλον δ' ὅτι καὶ τὸ ἕως τὸν τόπον τῶν ἐπιπλεκομένων οἷ συνυποδύεται, ἔστι μὲν οὗ, τοπικὸν, ἔστι δ' οὗ, χρονικὸν γιγνόμενον. Χρυσόστομος, μέχρι πότε τῇ γῇ προσηλώμεθα; ἐν τῇ πρὸς φιλπ. κφ'. γ', ὁμλ', ι', Οὐ προσέθετο δὲ ποτέρως τὰ ἐρωτηματικὰ συντάσσεται, πτωτικῶς, ἢ ῥηματικῶς; Ἢ ὅτι ῥηματικῶς. τὰ γὰρ πευστικὰ τῶν μορίων κατὰ Ἀπολλ'. εἰς δύω μέρη τοῦ λόγου ἐχώρησε, τό, τε ὀνοματικὸν καὶ τὸ ἐπιῤῥηματικόν. ὧν τὸ μὲν, πρὸς τὰ μὴ ἐν γνώσει ὄντα φέρεται πτωτικὰ, λέγω δὴ τὰ ὀνόματα. τὸ δὲ ἐπιῤῥηματικὸν, πρὸς τὰς ἀγνουμένας διαθέσεις, εἴτ' οὖν ἐνεργείας, ἢ πάθη οὐχὶ τὰ καθ' ἑαυτὰ, τὰ δὲ καθ' ὑποκειμένου λεγόμενα. ὅθεν τὸ κυριακὸν ἐκεῖνο, ὁ δὲ υἱὸς τοῦ ἀνοῦ οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνοι, οἱ ἐπιδιορθούμενοι κλῖναι, πάνυ γελοῖοί μοι δοκοῦσιν. Ἔνθεντοι τοῦ Χρυσστ', τὸ, ὁ μὲν Χ'ς ποῦ καταλῦσαι οὐκ ἔχει, ἐν τῇ πρὸς ῥωμ'. κφ' η', ὁμλ'. ιδ'. κατ' εὐκτικὴν ἔγκλισιν οὐ κατὰ ἀπαρέμφατον ἀναγνωστέον. τὸ δὲ ἐν τῇ εἰς τὴν γένεσ. λβ', ὁμλ', καὶ οὐδὲ ὅπου καταχθῆναι ἔχοντα (ἑώρα ἑαυτὸν ὁ ἀβραάμ.) ἀντὶ τοῦ ὅπου καταχθῇ ἀναγνωστέον, κατὰ τὸ ἐν τῇ μη', ὁμλ'. τῆς γεν'. καὶ μιμήσθωσαν τὸν πριάρχην, τὸν οὐδὲ ὅπου καταθῇ τῆς σάῤῥας τὸ λείψανον ἐσχηκότα. καὶ ὅλως δυσφύλακτος ὁ κατὰ τοῦτον τὸν τρόπον σολοικισμός. Χρυσστμ. ἐν τῇ κατὰ Ματθ'. ὁμλ', θ', καὶ οὐδὲ ποῦ στῆναι εἶχον. καὶ ἐν ψαλμ'. μστ', πάντα πολέμων ἔγεμε, καὶ οὐδὲ ὅπου ἐρεῖσαι πόδα ἐνῆν, οὐδὲ στῆναι. καὶ ὁμλ', α', τοῦ κατὰ Ἰωαν'. οὐκ ἔχει ποῦ στῆσαι τὸν λογισμόν. ἀντὶ τοῦ ἐρείσοι τὶς, ἢ στήσοι. κατὰ γὰρ τὰ ἐρωτηματικὰ καὶ τῶν ἀορίστων τὰ κατάρχοντα εἴτ' οὖν ὀρθοτονούμενα, προσωπικῷ ῥήματι ἐθέλει συμφέρεσθαι. τά γε μὴν τῷ οὖν, ἐπεκτεινόμενα, τῷ παρατυχόντι συστοιχεῖ σχήματι, ὁ, τιοῦν. ὁπωσοῦν. ὁντιναοῦν. ὁποτερωσοῦν. καὶ Πλουτ'χ. δὲ ἐν τῷ περὶ γαμικῶν παραγγελ. τὸ, δεῖ δὲ μὴ τοῖς ὄμμασι γαμεῖν μηδὲ τοῖς δακτύλοις, ὥσπερ ἔνιοι ψηφίσαντες πόσα φέρουσαν λαμβάνουσιν, οὐ κρίναντες πῶς συμβιωσομένην. ἀντὶ τοῦ πόσα φέρει, καὶ πῶς συμβιώσεται ληπτέον. τῶν δὲ ἐρωτηματικῶν τὰ χρονικὰ, χρόνον ὡρισμένον ζητεῖ πρὸς τὸ ἐνιστάμενον. δεῖ γὰρ πεπεράνθαι πρὸς τὸ νῦν.

Τὰ δὲ βεβαιωτικὰ ὁριστικοῖς. λέγει ὅτι ἥξει. οὕτω δὴ κρίνει.

Βεβαιωτικὸν καὶ τὸ δὴ, ἐπίῤῥημα, ὡς δηλοῖ τὸ δήπουθεν, καὶ οὐ μόνον σύνδεσμος.

Τό γε μὴν ὅτι

Τὸ ὡς εἴρηται βεβαιωτικὸν, οὐχὶ τὸ αἰτιολογικόν. συνδέσμος γὰρ τοῦτο, οὐκ ἐπίρρημα. τὸ μὲν γὰρ συνδεσμικὸν ὅτι, ἐπιφορὰν ἑτέρου λόγου ζητεῖ, ἐπὶ τῶν συνημμένων ὡς εἴρηται λαμβανόμενον. οὐχ οὕτω δὲ καὶ τὸ ἐπιρρηματικόν. ὅπερ πρὸς τῷ ὁριστικῷ φέρεται ἔτι

Καὶ πρὸς εὐκτικὸν, εἰ περὶ παρῳχημένου,

Ὁ λόγος.

Τοῦτ' ἔστι διηγηματικῶς.

Ἀντὶ τοῦ εἴπερ τινὶ τῶν κατὰ τὸ παρεληλυθὸς διηγηματικῶν λεγομένων ῥημάτων τυγχάνει ἐπιπλεκόμενος. οἷά εἰσι τὸ λέγω, φημὶ, ἀγγέλλω, καὶ εἴτι τοιοῦτο. ἐφ' ὧν δὴ ἐκληπτέον καὶ τὸ παρῳχημένον τοῦ χρόνου, οὐ μὴν ἐπὶ τῶν τῷ ὅτι συνημμένων. τούτων γὰρ ὁ χρόνος ἀδιάφορος.

Οἷον, ἠγγέλλετο ὅτι γένοιτο, καὶ εἴη, καὶ ἔσοιτο.

Θουκδ', δ', ἔλεγεν ὅτι οὐ δικαίως δράσειαν, ἀντὶ τοῦ ἔδρασαν. Ξενοφ': ἐν γ', κυροπαιδ, εἰ δέ τινα φεύγοντα λήψοιτο, προηγόρευσεν ὅτι ὡς πολεμίῳ χρήσοιτο. παρὰ δὲ τῷ Χρυσοστόμῳ λόγῳ γ', κατὰ ἰουδαίων, τὸ ὅτι, ἀντὶ τοῦ εἰ, ἀπορηματικοῦ εἴληπται. ἀλλὰ τὸ ζητούμενον οὔπω καὶ νῦν ἀποδέδεικται ἡμῖν. τί δὲ τοῦτό ἐστιν; ὅτι καὶ χρόνους ὥρισεν ἐν τοῖς κακοῖς τούτοις, ὥσπερ ἐκεῖ εἰς τὴν πρώτην δουλείαν τε τρακόσια ἔτη, καὶ εἰς τὴν δευτέραν ἑβδομήκοντα. εἴδωμεν τοίνυν καὶ ἐνταῦθα εἴ τινα χρόνον ὁρίζει; τὸ γὰρ, ὅτι καὶ χρόνους ὥρισεν, εἰς τὸ εἴ τινα χρόνον ὁρίζει; μετέλαβε. τοῦ δὲ εὐκτικοῦ ἀορίστου ἡ διαφορὰ πρὸς τὸν αὐτοῦ μέλλοντα, κατὰ τὸ μᾶλλον καὶ ἧττον τῆς ἀοριστίας. Ἰστέον δὲ ὡς τοῦ ὡς, καὶ ὅτι, ἑκατέρων βεβαιωτικῶς τε καὶ αἰτιολογικῶς λαμβανομένων, συντάσσεται τὸ μὲν τούτων ὅτι, συναμφοτέρως πρὸς ῥῆμα. τὸ δὲ ὡς, βεβαιωτικῶς μὲν, πρὸς ῥῆμα, αἰτιολογικῶς δὲ, μετοχῇ ὁμοιοπτώτως τοῖς ἡγουμένοις.

Διχῶς τὸ διηγηματικόν.

Ὅθεν δῆλον καὶ ὡς διχῶς τὸ διηγηματικόν. ἢ γὰρ ἐντονοτέρως, ὡς τὸ ἀπαρέμφατον, λέγεται γενέσθαι τι, ἢ ὑπτιωτέρως, ὡς τό, τε ὁριστικὸν καὶ εὐκτικὸν, ὡς εἴρηται.

Προσεχῶς ἐν τοῖς βεβαιωτικοῖς. πόθεν δὲ δῆλον, ὅτι διχῶς; Ἢ ὅτι ἐντεῦθέν τε κἀκ τοῦ ἀπαρεμφάτου. ἔνθαπερ ἐλέγετο ἐξ ἀποφάνσεως εἰς ἀφήγησιν μεταβάλλειν τὸν λόγον. ἐπεὶ δὲ τὸ διηγηματικὸν τοῦ λόγου ἐκεῖσε μὲν γενικῷ, ἐνταῦθα δὲ εἰδικῷ ῥήματι ἀπαγγέλλεται, διὰ τοῦτο διχῶς φησι, προφέρεται τὸ διηγηματικὸν, τὸ μὲν, τεταμένῳ καὶ σφοδροτέρῳ πνεῖ, ὡς τὸ δι' ἀπαρεμφάτου, τὸ δὲ, ὑπτιωτέρᾳ, καὶ χαλαρᾷ εἴτ' οὖν ὑφειμένῃ τῇ φωνῇ, ὡς τὸ διά τε ὁριστικοῦ καὶ εὐκτικοῦ. ἐξ ὧν δῆλον, ὡς καὶ τοῖς πεζοῖς τῶν λόγων ἐμμελείας οὐχ ἧττον μέτεστιν, ὡς καὶ προείρηται, εἰ καὶ μὴ πάντες αὐτῆς ἀντιλαμβανόμεθα. Θουκδ'. ἐν γ', ἑκάτερα τὰ εἴδη τοῦ διηγηματικοῦ συνῆψε. μυνυταὶ γίγνονται τοῖς ἀθηναίοις, ὅτι ξυνοικίζουσί τε τὴν λέσβον καὶ τὴν παρασκευὴν ἅπασαν ἐπὶ ἀποστάσει ἐπείγονται. καὶ εἰ μή τις προκαταλήψεται ἤδη, στερηθήσεσθαι αὐτοὺς λέσβου. τοιοῦτο καὶ τὸ, ἐπηγγέλθη αὐτοῖς ὡς (ἀντὶ τοῦ ὅτι) εἴη ἀπόλλωνος ἑορτὴ, καὶ ἐλπίδα εἶναι ἐπειχθέντας ἐπεισπεσεῖν. ἐξ ὧν δηλοῦται σαφῶς ὡς τῷ εἰ

δικῷ

δικῷ ἀπαρεμφάτῳ τὸ ὅτι ἁρμόζει. ἐλλείπει δὲ πολλαχοῦ τὸ τοιοῦτον ὅτι.

Ὅλως δ' εἰπεῖν τὸ παρεληλυθὸς φιλευκτικόν τι ἔοικεν ὄν.

Οὐ γὰρ μόνον διηγηματικῶς, ἀλλὰ καὶ ἑτεροίου ὄντος τοῦ λόγου, εὐκτικῶς λαλεῖται τὸ παρῳχημένον. Θουκ'. β', προϊδόντες γὰρ οἱ θηβαῖοι, ὅτι ἔσοιτο ὁ πόλεμος. τό γε μὴν ὅλως, οὐ τὸ καθόλου συνάγει, τὸ δὲ ὡς ἐπιπολύ. Θουκδ'. γὰρ καὶ πρὸς ὁριστικὸν ἐπὶ παρῳχημένου διηγηματικῶς μάλιστα, ἐν α', ἠγγέλθη αὐτῷ, ὅτι μέγαρα ἀφέστηκε. καὶ, ἐσαγγελθέντων, ὅτι φοίνισσαι νῆες ἐπ' αὐτοὺς πλέουσιν. οὐ δι' ὅ, τι δὲ τὸ παρεληλυθὸς φιλευκτικὸν, ἤδη καὶ τὸ εὐκτικὸν φιλοπαρεληλυθός.

Ἀπαγορευτικά,

Ὁπότε καὶ τὸ ἀπαγορευτικὸν, ἀπὸ μὲν ἐνεστῶτος, πρὸς ὑποτακτικόν. δέδοικα μὴ ᾖ. ἀπὸ δὲ παρῳχημένου, πρὸς εὐκτικόν. ἐδεδοίκειν μὴ εἴη.

Συνέχεται τοῖς ἀνωτέρω οὑτωσὶ, τὸ παρεληλυθὸς ἁπλῶς εἰπεῖν φιλευκτικόν τι ἔοικεν ὄν. καὶ γὰρ οὐ μόνον τὰ βεβαιωτικὰ, ἀλλὰ δὴ καὶ αὐτὰ τὰ ἀπαγορευτικὰ ἀπὸ παρῳχημένου πρὸς εὐκτικὸν φέρεται. τὸ δὲ ὁπότε ἐνταῦθα οὐχρονικὸν ἐπίῤῥημα, ὡς μὴ ἔχον συνυπακουόμενον τὸ ἀντιστοιχοῦν τότε, ἀλλ' αἰτιολογικὸς σύνδεσμος, ἀντὶ τοῦ, καὶ γὰρ καὶ τὸ ἀπαγορ. κατὰ δὲ τὸ προκείμενον ὁπότε, λαμβάνεται καὶ τὸ ὅπουγε. εἴρηται δὲ καὶ πρότερον, ὡς τῶν ἐγκλίσεων ἥτε εὐκτικὴ καὶ ὑποτακτικὴ, τοῖς ἐπιζευκτικοῖς τῶν συνδέσμων συζευχθεῖσαι, τὸ ἕνεκα αἰτιολογοῦσιν ἑκάτεραι, ἀλλ' ἡμὲν, τὸ ἐπὶ παρῳχημένου, φιλευκτικοῦ τινος πεφυκότος, ἡ δὲ ὑποτακτικὴ τὸ ἐπὶ ἐνεστῶτος καὶ μέλλοντος. Θουκ'. γ', νῦν ἐπὶ τοῖς αὐτοῖς δέδιμεν, μὴ διαφθαρῶμεν. τὸ δὲ Δημοσθ'. κατὰ Φιλ'π, γ'. διατηρῆσαι (δοκεῖμοι) μήτι πάθωσιν, ἔστι μὲν οὐκ ἀπὸ ἐνεστῶτος, ἀπὸ δὲ παρῳχημένου πρὸς ὑποτακτικὸν, εἴρηται ὅμως ὡς ἡ ὑποτακτικὴ ἀποτελεσματικῶς κἀπὶ παρῳχημένου φέρεται, ὡς ἐν τῷ, ἵνα φιλολογήσω, παρεγένετο δίων. καὶ Θουκ'. β', οἱ ἕλληνες ἐφοβήθησαν μὴ καὶ ἐπὶ σφᾶς ὁστρατὸς ἔλθῃ. ὅθεν σημειώδη τὰ πρὸς ὁριστικὸν ἀπὸ παρῳχημένου. Δημοσθ'. δέδοικα μή τινα λήθην, ἢ συνήθειαν τῶν ἀδικημάτων ἡμῖν ἐπεποιήκει. καὶ Θουκ'. γ'. νῦν δὲ φοβούμεθα μὴ ἀμφοτέρων ἡμαρτήκαμεν. καὶ φιλόστρατος, δέδοικα μὴ οὐδὲ ἡσυχίαν ἤγαγεν, ἀλλ' ἠνώχλει καθεύδοντι. ἐξ ὧν ἔοικε μὲν ὁ φόβος οὐκ ἀεὶ προσδοκώμενον τυγχάνειν κακὸν, ὡς αὐτὸν ὁρίζονται οἱ περὶ τὸν σταγειρίτην, ἐν γ', βιβλ'. τῶν νικομ. ἀλλ' ἔσθ' ὅτε καὶ παρεληλυθός, οὐκ ἀεὶ δηλονότι ἐπὶ προσδοκωμένῳ κακῷ ἐνσκήπτειν τῇ ψυχῇ, ἀλλ' ἔσθ' ὅτε κἀπὶ παρεληλυθότι. οὐδέν γε μὴν ἧττον καὶ οὕτως ἐπὶ προσδοκωμένῳ δοκεῖ, ἐλλειπτικῶς προαγομένου τοῦ λόγου. εἴη γὰρ ἂν τοῦ τοιούτου τὸ πλῆρες. δέδοικα μὴ καὶ τοῦτο ἀκούσω, ἢ μάθω, ἢ πληροφορηθῶ, ὡς οὐ δὲ ἡσυχίαν ἤγαγεν. ἐνεχθείη δ' ἂν καὶ ἀπὸ ἐνεστῶτος πρὸς εὐκτικὸν τὸ μὴ, ἀλλὰ συμπαραλαμβανομένου τοῦ δυνητικοῦ. Χρυσόστμ. ἐν τῇ πρὸς ἑβρ. κφ'. ιε'. ὁμλ'. θ'. δέδοικα δὲ μὴ καὶ πρὸς ἡμᾶς ταῦτα καιρὸν ἂν ἔχοι λέγεσθαι. εὐκτικοῦ γὰρ ὡς ἐπὶ τὸ πολὺ τὸ δυνητικόν. ἐν δὲ τῷ, δέδοικα μὴ ᾖ, Ἰστέον ὡς ἔστι ῥήματ' ἄττα, ὧν οἱ μὲν παρακείμενοι λαμβάνονται παρὰ τοῖς ἀττικοῖς τε καὶ ἴωσιν ἀντὶ ἐνεστῶτος, τὸ τούτου ἐντελὲς μὴ δηλοῦντες, οἷον. δέδορκα. δέδοικα. πέφρικα. οἶδα.

γέγη-

γέγηκα, βέβηκα, εἴωθα. ὥσπερ καὶ ἐκ τοῦ ἐναντίου, ἐνεστῶτες ἀντὶ παρακειμένων, τὸ παρεληλυθὸς ἄρτι καὶ ἐντελὲς σημαίνοντες. ὡς τὸ ὁρῶ καὶ τὸ νοῶ. διὰ γὰρ τὸ ἀχρόνως καὶ ἀδιαστάτως τὴν ὅρασιν ἐνεργεῖν καὶ τὸν νοῦν, ὅπερ τις ὁρᾷ, ἢ νοεῖ, τοῦτο μονονουχὶ καὶ ἑώρακεν, ἢ νενόηκεν. Ἔτι τὸ ἀπαγορευτικὸν πρὸς ὁποτέραν τῶν ἐγκλίσεων τυγχάνει φερόμενον, ἐν ἑκατέραις ἔχει προσυπακουόμενον αἰτιολογικὸν σύνδεσμον ἀποτελεσματικῶς. οἷον, δέδοικα (ἵνα, ἢ ὅπως) μὴ ᾖ. τὸ μὴ, δὲ πάλιν μόνον πρὸς ὑποτακτικὴν φερόμενον, δίχα δηλονότι προηγουμένου τοῦ ῥήματος, ὡς κἂν τῷ, μήσοι τὸ εἶναι τῷ δοκεῖν ὑπεκρέῃ, κατ' ἔλλειψιν κεῖται τοῦ κατ' ἐνεστῶτα ὁριστικοῦ ῥήματος. οἷον, ὅρα. ἢ δέδοικα, ἢ τοῦ τοιούτου. ἃ δεῖ πάντως προσυπακούεσθαι, ὡς ἐν τῷ τῆς ἐλλείψεως σχήματι εἴρηται. ὅτι μὴ ἐπὶ τῶν αὐθυποτάκτων. τοῦ τοιούτου τρόπου εἰσὶ καὶ τῶν ἐντολῶν τοῦ δεκαλόγου ὅσαι ἀπαγορευτικῶς ἀπαγγέλλονται. οἷον, μὴ μοιχεύσῃς. μὴ πορνεύσῃς. ἀντὶ τοῦ, ὅρα μὴ μοιχ. Ἐρωτηματικῶς δὲ προαγόμενον τὸ μὴ, πρὸς ὁριστικόν τε φέρεται καὶ ἀντὶ τοῦ ἆρα κεῖται, μὴ ὂν τὸ τηνικαῦτα ἀπαγορευτικόν. μὴ καὶ ἄρτον δύναται δοῦναι; μὴ σὺ μείζων εἶ τοῦ πρὸς ἡμῶν Ἀβραάμ;

Καὶ τὸ Ἐπεὶ καὶ Ἐπειδὴ χρονικόν.

Τὸ χρονικὸν πρόσκειται διὰ τοὺς παρασυναπτικοὺς εἴτ' οὖν αἰτιῴδεις τῶν συνδέσμων.

Οὐ μόνον πρὸς ὁριστικὸν, ἀλλὰ καὶ πρὸς εὐκτικόν.

Εἰ περὶ παρῳχημένου ὁ λόγος.

Ἐπειδὴ γένοιτο

Ὅθεν σημειῷδες Ἡροδ'. δ'. τὸ πρὸς ἀπαρέμφατον. ἐπείτε ἐξεργάσθη ὑπὸ τῷ πηλίῳ ἡ ἀργὼ, περιπλώειν (λόγος) πελοπόννησον. καίμιν, ὡς πλέοντα γενέσθαι κατὰ μαλέην ὑπολαβεῖν ἄνεμον βορέην. ἀντὶ τοῦ, ὡς πλέων ἐγένετο, κατὰ ταὐτὰ τῷ ἀνωτέρῳ, ἐπεὶ ἐξεργάσθη. τοιοῦτο κἂν τῇ ἡ, τὸ, ὡς δὲ ἐκβῆναι τάχιστα ἐς γῆν τὸν ξέρξεα, ποιῆσαι τοιόνδε (λέγεται.) ἀντὶ τοῦ, ὡς δὲ ἐξέβη ὁ ξέρξης, ποιῆσαι. χρονικὸν γὰρ τὸ ὡς, ᾧδε κατὰ μετάληψιν τὴν ἀπὸ τοῦ ἐπεί. ὃ ἀντὶ τοῦ μεθ' ὃ λαμβάνεται. καὶ Συνεσ'. ἐν τῷ περὶ βασιλείας. ἐπεὶ δὲ πρὸς ταῖς ὑπερβολαῖς τῶν ὀρέων γενέσθαι, ἀντὶ τοῦ μεθ' ὃ ἐγένοντο. καὶ τὸ αἰτιολογικὸν δὲ ἐπεὶ, πρὸς τὴν αὐτὴν τῷ χρονικῷ σύνταξιν φέρεται. ὅθεν σημειῷδες Ἡροδ', ἡ. τὸ, κατὰ λόγον ἔσαν ἄρα αἱ ἀθῆναι μεγάλαι τε καὶ εὐδαίμονες, καὶ θεῶν χρηστῶν ἥκοιεν εὖ. ἐπεὶ ἀνδρίους γε εἶναι γεωπείνας ἐς τὰ μάλιστα ἥκοντας. ἀντὶ τοῦ, ἐπεὶ ἀνδρίοι γ' εἰσὶν ἥκοντες. ἐν ἴσῳ ὂν τῷ, ἀνδρίοι γάρ εἰσι, κτ'.

Τὰ δ' εὐκτικὰ, εὐκτικῷ,

Κατὰ μέλλοντος πράγματος πρὸς πλείονα τῆς εὐχῆς ἐπίτασιν.

Καὶ ὁριστικῷ.

Κατὰ παρήκοντος πράγματος, ἵνα ἡ ὁριστικὴ εὐκτικὴν ἀναδέξηται σύνταξιν.

Ὡς εἴρηται.

Ἐν τῇ εὐκτικῇ ἐγκλίσει. τὸ δὲ ἀμὴν, τῆς ἑβραΐδος ὂν διαλέκτου, ὁτὲ μὲν, ἐστὶν εὐκτικὸν, ὡς ἐπὶ τοῦ ἁγιασμοῦ τῶν τιμίων δώρων, ὁτὲ δὲ, βεβαιωτικὸν, ὡς ἐπὶ τοῖς κυριακοῖς λόγοις. καὶ τοῦ συμβόλου.

Τὰ δὲ παρακελευσματικὰ, τοῖς δευτέροις τῶν προστακτικῶν,

καὶ προσέ-

καὶ προσέτι τοῖς αὐθυποτάκτοις. ἄγε λέγωμεν. φέρε εἰπέ.

Τοῖς αὐθυποτάκτοις τὰ παρακελευσματικὰ μὴ κατὰ λόγον σωπασόμενα φαίνεται. τὰ μὲν γὰρ αὐθυπότακτα ὑποτακτικὰ, ἀλλ' ὑποθετικὰ ὡς εἴρηται, σὺ ἀ, ἐκ σὺ β', καταγινόμενα προσώπῳ, τὰ δὲ ἐγκελευστικὰ τῷ ἐπιῤῥήματον, τῷ προσακτικῶν τοῖς σὺ β', καταγινομένοις προσώπῳ σωΐσι κατὰ Ἀπολλ. τὸν κλητικὸν σωέχοντα, δευτέρα καὶ αὐτὸν ὄσαν. ἐκ ἄρα σωπακτέα τοῖς αὐθυποτάκτοις. ὑ δὲ γάρ ἐσι φαίαι, ὡς τοῖς σωειλημμένοις σὺ τοῖς ὑποθετικοῖς δευτέροις προσώποις τὸ ἐγκελευστικὸν αἰτεῖται; εἰ γὰρ ἐκκλίνασα ὡς εἶπεν ἡ αὐθυπότακτος τὴν σὺ δευτέρῳ πρόσαξιν, συνεξέκλινε πάντως καὶ τὰ τῆς προσάξεως ἐπιῤῥήματα. σὺν θεντοι καὶ Ἀπολλ. ὑδόλως ἀξιοῖ τὰ παρακελευστικὰ τοῖς αὐθυποτάκτοις σωπᾶσθαι. ταῦτ' ἄρα καὶ προσέχθησαί τινες σὺ τῇ πρὸς ἄλλα τέτων σωπᾶξει ἐννοεῖν ἔζωθεν αἰτιολογικόν τινα σύνδεσμον. οἷον, δεῦτε (ἵνα) προσκυνήσωμεν. ἄγε (ἵνα) λέγωμεν, μεθισῶντες εἰς ῥῆμα μὲν τὸ ἐπίῤῥημα. τὸ δὲ αὐθυπότακτον εἰς ὑποτακτικόν. εἴποι δ' ἄν τις, ὡς παραδέξοιτ' ἄν, καὶ ἡ αὐθυπότακτος τὰ παρακελευσματικὰ, ὡς μὴ μᾶλλον ἐκκλίνασα τὸν σὺ δευτέρῳ πρόσαξιν, ἢ ἀναπληρῶσα καὶ Θεόδωρον τὸν προσακτικὸν ἔγκλισιν. ὡς γὰν πληρισάτω ὅσα προσακτική, ὀρθῶς ἂν σωπαγείη τοῖς παρακελευστικοῖς καὶ ἡ αὐθυπότακτος.

Τοῖς τείτοις δὲ

Τῶν προσακτικῶν.

Τὸ ἀπαγορευτικὸν,

Οἰκεῖον.

Χς.

Μὴ λεγέτω. μὴ τυψάσθω.

Ἀντίκειται τὰ ἀπαγορευτικὰ τοῖς παρακελευστικοῖς. τὰ μὲν γὰρ ἀπαγορ. τοῖς ζίτοις μάλισα προσώποις τῆς προσακτικῶν καὶ τὸν ἀόριστον οἰκεῖα, τοῖς δευτέροις δὲ καὶ πρώτοις τὰ παρακελευστικά. προσεθέμην δὲ τὸ μάλισα σὺ τοῖς ἀπαγορευτικοῖς, διὰ τὸ καὶ τὸν σὺ ἐστῶτα καὶ τοῖς δευτέροις σωπᾶσθαι. ὡς σὺ τῷ, μηκέτι ἁμάρτανε. καὶ, ἡ δέ, ἐγκραγοῦσα, μὴ δὲ βασίλευε ἔφη. Τί δὲ δή ποτε τὰ ἐγκελευστικὰ μὴ καὶ τοῖς ζίτοις, μόνοις δὲ τοῖς δευτέροις τῆς προσακτικῶν σωπᾶσι; Ἢ ὅτι τὸ γ', τῆς προσακτικῶν ἅπεσι, τὰ δὲ ἐγκελευστικὰ κλητικῆς σωπᾶξιν ἀναδέχεται, τῆς πρὸς παρόντα εἴτ' ἂν δευτέρα ἀποτεινομένης.

Οἰκεῖον

Τὸ ἀπαγορευτικὸν,

Δ' ὡς εἴρηται.

Ἐν τῇ ὁριστικῇ ἐγκλίσει.

Καὶ ταῖς ἄλλαις ἐγκλίσεσι. μὴ γνῷς, μὴ γνῷης, μὴ γνῶναι. πλὴν τῆς ὁριστικῆς. ταύτης δὲ

Ὁ δὲ, ἀντὶ τοῦ γάρ.

Τὸ ἀποφαντικὸν ἴδιον. ὃ λέγω; ναὶ λέγω.

Τὸ καταφατικὸν καὶ ἀποφατικὸν εἴδη εἰσὶ τοῦ ἀποφαντικοῦ λόγου. τῆς γὰν ὁριστικῆς, ὡς δῆλον ἐκ τῶν παραδειγμάτων, ἑκάτερα ἐξιδιοποιημένης, οἱ ἀντὶ ἀποφαντικοῦ ἀρνητικὸν ἢ ἀποφατικὸν, γράφοντες, ἐχ ἁμαρτάνεσι μὲν, θάτερον δὲ μόνον τῶν εἰδῶν προσκυροῦν βάλονται τῇ ἑκατέρων δυνάμει συλλιπτικῇ. φησὶ γὰρ, ὃ λέγω, ναὶ

λέγω

λέγω. ὧν τὸ μὲν ἐστιν ἀποφατικόν, τὸ δὲ, καταφατικόν, ἑκάτερα δ' ἀποφαντικά, ὡς ἔφη ἐγκλίσεων τὴν κυρίως ἀποφαντικήν, εἴτ' ἐν ὁρισικῇ σωματώματα. καλῶς μὲν γάρ φησιν Ἀπολλώνιος καὶ ἐπιρρήματά τινα ἀποφαντικά. Σημειώσαι δὲ ὡς ἡ ὄ, ἀπόφασις ἐν ταῖς ὡρισμέναις ὑποκειμέναις προτάσεσι, πρὸς τὸ ὑποκείμενον ὄνομα ὁ πρὸς τὸ ῥῆμα ἀποτείνεται. οἷον, οὐκ ἄνθρωπος περιπατεῖ. ὁ γὰρ τὸ κατηγορούμενον, τὸ δὲ ὑποκείμενον αἴρει. καὶ ἔστιν ὁ λόγος οὐδὲν ἧττον καταφατικὸς, ἀόριστον ἔχων τὸ ὑποκείμενον. πάντα γὰρ τὰ παρὰ τὸν ἄνθρωπον περιπατεῖν πεφυκότα ὑποτίθησιν ἀορίστως, ὅτι περιπατεῖ.

Τὸ δὲ, μὴ δι' ἐμὲ ἰότητα.

Ἤτοι βαλώ. Γλ. ὅ.

Ἀντὶ τοῦ ὅ.

Μὴ γάρ φησι, δι' ἐμὲ ἰότητα πεσεῖν δάον ἐνεστηχότων, σημαίνει ξῶάς τε καὶ ἔνυδρα, τοῖσι δ' ἀρήγει, ἀλλά τε αὐτὸν θυμὸς ἐποτρύνει καὶ αὐτῷ ἄγει. Δῆλον ἄρα ἐν τούτοις, ὅτι τὰ ἀπαγορευτικὰ ὁρισικῆς συμφερόμενα, ἀποφαντικῶς μὲν, ἀντὶ τοῦ ἀποφατικοῦ εἴτ' οὐκ ἀρνητικοῦ κεῖται), ἐρωτηματικῶς δὲ, ἀντὶ τοῦ ἆρα. ὥσπερ καὶ ἐκ τοῦ ἐναντίου τὸ ἀποφατικὸν ταῖς παρὰ τοῖς ὁρισικοῖς ἐγκλίσεσι προσκείμενον, ἀντὶ ἀπαγορευτικοῦ κεῖται). τὸ δὲ οὐχὶ ἀποφατικοῦ καὶ τὸν βαθὺν Εὐσάθ. ὀρθῶς ἂν ἐκβάλοι τὸ δίχρονον ἐν συναλοιφῇ. ὅθεν οἱ ἐν τῷ οὐχ ὅπω, καὶ τοῖς ὁμοίοις, μὴ τιθέντες ἀπόστροφον, ὡς μόνα τὰ χ, στοιχεῖα μεσοσυλλαβοῦντος διὰ καλλιφωνίαν, καθὰ τὸ κ, ἐν τῷ οὐκ ἔχω, καὶ οὐκ ἄγω, καὶ τοῖς ὁμοίοις, οὐκ ἀσφαλῶς φησιν, ἀνίστανται. τὸ μὲν γὰρ οὐκ, εἴρηται χωρὶς τοῦ ι, οὐχ δὲ, οὐχ εἴρηται τις εἰπών. ὁ δ' αὖτος ἀλλαχοῦ τὸ, οὐχί, φησὶν, ἐπίρρημα τέθειται παρὰ τοῖς παλαιοῖς. δι' ὃ καὶ συναλείφεται τὸ ι, τάττει ἐν τῷ οὐχ ὅπω. καὶ, οὐχ ἅλις καὶ τοῖς ὁμοίοις, εἰ καί τινες ἀπαρέσκονται οὐκ ἀνόδυ λόγου. τὸ μέν τοι οὐκί οὐχ ὅπως εἰθίσαι εἰς πλατυσμὸν χρῆσιν. ὅθεν ἐν τῷ, οὐκ ἐθέλω, καὶ οὐκ αὐτὸς, καὶ τοῖς ὁμοίοις, οὐκεῖ) ἀπόστροφος ὡς ἀπὸ ἐκθλίψεως, ἀλλ' ἐκφωνουμένου μετὰ τοῦ ι, ἔστι τὸ οὐκὶ ἀρνητικὸν ἐπίρρημα δισύλλαβον, ἐν δὲ συναιρέσει μὴ κειμένου τοῦ ι, μονοσύλλαβον φαίνεται ὂν ἐπίρρημα τὸ οὐκ, παρὰ πολλοῖς τῶν πεζολόγων κείμενον. ἐν δὲ τῷ οὐχ ἅλις σκοπὸς ἔσομαι, γράφουσιν οἱ περὶ Ἡρόδωρον, ὅτι δρόμου ἐν πολλοῖς εἰς τὸ χ, ἀπόστροφον. τοῦτο δὲ παρετησιμεωσάμεθα, ὡς ἂν φανείη, ὅτι ἐν τῷ οὐχ ἅλις, καὶ, οὐχ ὅτω καὶ τοῖς ὁμοίοις ἀμφιβόλως εἶχον οἱ παλαιοὶ, οἱ μὲν, μὴ ἀποστρόφου καὶ δασείας ποιούμενοι τὸν γραφὴν, οἱ δὲ, τὸ μὲν πάθος, ἤγουν τὸν ἀπόστροφον μὴ προσιέμενοι, μόνον δὲ πνευματίζοντες. Ἀποφάσεις δὲ δύο πολλαχοῦ λαμβάνουσι αὐτὰ μιᾶς, ὅτε μὲν, καταφάσεως, κάλλος ἴδιον σχῆμα ποιοῦσαι (Θεοδ. ἀ, καὶ οὐκ εἰκὸς λακεδαιμονίους ἀπὸ μὲν σφῶν τὴν ἐλλήνων ἐλευθερὰν νοῦν τοῖς ἕλλησιν, ἀπὸ δὲ ἐκείνων τὴν βαρβάρων, ἵνα μή ποτε αὐτοὺς μὴ ὠφέλωσι, μὴ ἐλευθερώσαι. αὐτὰ τὰ, ἵνα ποτε αὐτοὺς ὠφέλωσι. τοιοῦτον καὶ τὸ οὐχ ἥκιστα, οὐκ ἀδύνατος, οὐκ ἀξιόπιστος, οὐκ ἄδηλον, ἀνάπυρος ὁ πεπυρωμένος, ἀνάπυσα τὰ πέρυσι.) ὅτε δὲ, καὶ σχῆμα ἀττικὸν αὐτὰ μιᾶς ἀποφάσεως. ὡς ἐν τῷ, οὐ μὰ γὰρ ἀπόλλωνα, ὅτις, ἐμοῦ ζῶντος, ἐποίησεν σοι χεῖρας. καὶ τῷ, οὐδὲ γὰρ οὐδὲ δρύαντος υἱός. καὶ τῷ, οὐδὲ γὰρ οὐδέκων αὐτὸς ὑπέφυγε. Θεοδ. ἀ, οὐκ ἀκριβῶς ἄν τις σημείῳ χρώμενος, ἀπιστοίη μὴ γενέσθαι τὸν σόλον τοσοῦτον, ὅσον οἵ τε ποιηταὶ εἰρήκασιν. αὐτὰ τοῦ ἀπιστοίη γενέσθαι. καὶ οἱ κηρυκαῖοι

κήρυκα

κήρυκα προέπεμψαν αὐτοῖς, ἀπερῦντα μὴ πλεῖν ἐπὶ σφᾶς. ἀντὶ τοῦ, ἀπερῦντα πλεῖν. καὶ, οὐδείς πω τοῦ μὴ πλέον ἔχειν ἀπετράπετο. ἀντὶ τῦ, τοῦ πλέον ἔχειν. τοιῦτο καὶ τὸ ἀπαγορεύω σοι μὴ ποιεῖν. καὶ τὸ ἀποστολικὸν, κωλῦόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων. τὴν γὰρ τῶν βρωμάτων ἀποχὴν οὐ μᾶλλον ἐκώλῦον, ἢ ἐπέτρεπον, τἀναντία τῷ ἀποστόλῳ, κωλύοντι ἤπερ ἐπιτρέποντι ταύτην. καὶ Βασίλ. κατὰ τῶν ὀργιζομένων. οὔτε γὰρ ξίφους ἀκμὴ οὔτε πῦρ ἱκανὸν ἐπισχεῖν τὴν ὑπ' ὀργῆς ἐκμανεῖσαν ψυχὴν, οὐ μᾶλλον ἢ τοὺς ὑπὸ δαιμόνων κατασχεθέντας, καὶ χρυσός. πρὸς ἐφεσ. ὁμλ. ι'. κφ', δ'. καὶ μὴν ἀνοῦ κατεξανίστασθαι οὐκ ὀφείλεις, οὐ μᾶλλον, ἢ ἀγγέλου. ἐν ᾧ ἡ οὐ, ἐν τῷ οὐ μᾶλλον, παρέλκει, καὶ τὰ ὅμοια, ἃ περιττὴν ἔχει τὴν μίαν ἀπόφασιν. ἔστι δὲ τῶν δύοιν ἀρνήσεων ἡ μὲν μία, τοῦ ῥηματικοῦ πράγματος, ἡ ἑτέρα δὲ, τοῦ προσώπου. ἵνα λέγῃ, ὅτι οὐ δὲ ὑπεξέφυγεν ἂν, οὐδὲ αὐτός. καὶ ἐνδείκνυται τὴν παντελῆ ἄρνησιν τοῦ πράγματος. Οἷόν τι καὶ γρηγορίου ἐκεῖνο. ὧν γὰρ τοὺς ἐπαίνους οἶδα, τούτων καὶ τὰς ἐπιδόσεις. ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν, ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων. οὗ τὸ πλῆρες ἀπὸ κοινοῦ λαμβανόμενον, εἴη ἂν τοιοῦτο. οὐκ ἔστιν ἐπ' οὐδενὸς τῶν ἁπάντων ἐπίδοσις, ἐφ' ᾧ οὐκ ἔστιν ἔπαινος. ὡς εἶναι τῶν μὲν διαιρετικῶν γενικῶν περιττὴν τὴν ἑτέραν, (ἐν γὰρ τῷ, ἱστορεῖ δὲ οὐδεὶς, ὅς τις οὐ τῶν ἁπάντων, ἅπαξ κεῖται ἡ τοιαύτη γενική.) τῶν δὲ προθετοπτώτων μορίων οὐχὶ τὸ μὲν, κατὰ προσώπου, τὸ δὲ, κατὰ πράγματος, ἀλλὰ κατὰ τοῦ αὐτοῦ ἐξειλημμένα ἑκάτερα ἤτοι προσώπου ἢ πράγματος. εἰπὼν γὰρ προσεχῶς, ὅτι τοῖς καθ' ὅ, τιοῦν ἀγαθοῖς ἀνδράσι προτροπή τίς ἐστιν εἰς ἀρετὴν ὁ ἔπαινος, κατὰ σκευάζει τὸν λόγον δύοιν ἑξῆς περιόδοις, τῇ μὲν, ὧν γὰρ τοὺς ἐπαίνους οἶδα, κτ', τῇ δὲ, οὐκ ἔστι γὰρ ἐπ' οὐδενὸς τῶν ἁπάντων ἐπίδοσις, ἐφ' ᾧ οὐκ ἔστιν ἔπαινος. ταυτολογῶν πως καθ' ἑκατέρας. ὡς γοῦν ἐν τῇ α', περιόδῳ οὐκ ἄλλων μὲν οἱ ἔπαινοι, ἑτέρων δ' αἱ ἐπιδόσεις, ἀλλὰ τῶν αὐτῶν εἰσιν ἑκάτερα, οὕτω κἀν τῇ β', τῶν προθετικῶν μορίων, τὸ μὲν, τὴν ἐπίδοσιν, τὸ δὲ, τὸν ἔπαινον ἔχον συνεννοούμενον ἀπὸ κοινοῦ, κατὰ τοῦ αὐτοῦ ἂν εἴη ἑκάτερον λεγόμενον. ἐφ' ὅτῳ γάρ φησι, τῶν ἁπάντων οὐκ ἔστιν ἔπαινος, ἐπὶ τούτου οὐδὲ ἐπίδοσις. Εἴη δ' ἂν τὸ ἐν πλαγιασμῷ συμφραζόμενον κατὰ τὸ ὀρθὸν οὑτωσὶ μεταλαμβανόμενον. οὐκ ἔστιν οὐδὲν τῶν ἁπάντων ἐπιδιδοῦν, ὃ οὐκ ἐπαινεῖται. ἢ ἐπὶ προσώπου, οὐκ ἔστιν οὐδεὶς τῶν ἁπάντων ἐπιδιδοὺς, ὃς οὐκ ἐπαινεῖται. Τινὲς γεμὴν οὐκ ἀπὸ τῆς κατὰ τὴν εὐθεῖαν, ἀφ' ἧς φύσει ὁ λόγος ἄρχεται, ἀλλ' ἀπὸ τῆς κατὰ τὴν πλαγίαν ἀποφάσεως ἀρχόμενοι, φημὶ δὴ οὐχὶ ἀπὸ τοῦ, οὐκ ἔστιν, ἀλλ' ἀπὸ τοῦ οὐδεὶς, οὐκ ὀλίγα πράγματα αὐτοί τε ἔχουσι καὶ τοῖς ἄλλοις παρέχουσιν. οὐ γὰρ ταὐτὸν τό, τε οὐδεὶς οὐκ ἔστι, καὶ τὸ, οὐκ ἔστιν οὐδείς. οὐδὲ ταὐτὸ δύνατα ἡ συζυγία τῶν ἀποφάσεων, ἀδιαφόρως τιθεμένων. τὸ μὲν γὰρ οὐκ ἔστιν οὐδεὶς, οὐδύω, ἀλλὰ μία ἐστὶν ἀπόφασις, κατὰ πλεονασμὸν εἴτ' οὖν διπλασιασμὸν ἐπανειλημμένη. ὡς κἀν τῷ, οὐδεὶς οὐδαμοῦ, οὐδὲν οὐδόλως. οὐκ ἔστι δίκαιος οὐδὲ εἷς. καὶ ἔστι τὸ οὐκ ἔστιν οὐδεὶς, ἀντὶ μιᾶς ἀποφάσεως ἐν ἴσῳ τῷ, οὐδείς ἐστι. τὸ γεμὴν οὐδεὶς οὐκ ἔστι, δύω εἰσὶν ἰσοσθενεῖς ἀποφάσεις. ὧν ὑπ' ἀλλήλων ἀναιρουμένων, τὸ οὐδεὶς οὐκ ἔστιν, ἀντὶ μιᾶς ἐστι καταφάσεως, ἐν ἴσῳ ὂν τῷ, πᾶς τίς ἐστιν. ὡς εἶναι ἐν μὲν τῷ, οὐκ ἔστιν οὐδεὶς ὅς τις οὐ, δύω τὰς ἀποφάσεις, μίαν μὲν, τὴν οὐκ ἔστιν οὐδεὶς, ἀνθ' ἑνὸς εἰλημμένην, δευτέραν δὲ, τὴν ὑπόλοιπον οὐ. ἐν δὲ τῷ, οὐδεὶς οὐκ ἔστιν, ὅς τις οὐ. τρεῖς, μᾶλλον δὲ μίαν καὶ μόνην τὴν οὐ, ἀλληλανῃρημένων ὡς

νων ὡς εἴρηται τῶν ὑπολοίπων δῦοῖν. Τοιγαροῦν ἐν μὲν τῷ, οὐδεὶς οὐκ ἔστιν ἐπιδιδοὺς, ὅς τις οὐκ ἐπαινεῖται, τριῶν οὐσῶν τῶν ἀποφάσεων, ἡ τρίτη, τῶν ὑπολοίπων συνανῃρημένων, καθ' ἑαυτὴν ἀκαθαίρετος μείνασα, τόν τε ἔπαινον ἀναιρεῖ ἀπὸ τῆς ἐπιδόσεως, καὶ πράγματα ψευδομένη, παρέχει. συνάγει καὶ γὰρ, ὅτι πᾶς τις ἐπιδίδωσι μὴ ἐπαινουμένος. τοῦτο δ' ἦν ἐναντίον τῇ προκειμένῃ τοῦ λόγου κατασκευῇ. ἐτέθη καὶ γὰρ τούτων εἶναι τὰς ἐπιδόσεις, ὧν καὶ οἱ ἔπαινοι. τόγε μὴν οὐκ ἔστιν οὐδεὶς ἐπιδιδοὺς, ὃς οὐκ ἐπαινεῖται, ἐν ἴσῳ ὂν, ὡς εἴρηται, τῷ, οὐδείς ἐστιν ἐπιδιδοὺς, ὃς οὐκ ἐπαινεῖται. καὶ ἁπλῶς τῷ, οὐδεὶς ἐπιδίδωσι, μὴ ἐπαινούμενος, συνῳδόν ἔσται τοῖς προκειμένοις. δῦοῖν γὰρ μόνων οὐσῶν τῶν ἐν αὐτῷ ἀποφάσεων, ἡ αὐτῶν ἀλληλομαχία τε καὶ ἀλληλοκτονία συνάγει καταφατικῶς, ὅτι πᾶς ὁστισοῦν ἐπιδίδωσιν, ἐπαινούμενος. ἢ πᾶν ὁ, τιοῦν ἐπιδίδωσιν, ἐπαινούμενον. ὃ ταὐτόν πως ἐστὶ τῷ, τούτων αἱ ἐπιδόσεις, ὧν καὶ οἱ ἔπαινοι. τὸ ἄρα ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν, ἐφ' ὅτῳ οὐχὶ, ἀρχομένης τῆς περὶ αὐτὸ σκέψεως οὐκ ἀπὸ τοῦ, ἐπ' οὐδενὸς οὐκ ἔστιν, ἀλλ' ἀπὸ τοῦ οὐκ ἔστιν ἐπ' οὐδενός. φημὶ δὴ ἀπὸ τοῦ, οὐκ ἔστιν οὐδεὶς, κοὐκ ἀπὸ τοῦ, οὐδεὶς οὐκ ἔστι, ταὐτό τι δύναται τῷ, ὧν γὰρ τοὺς ἐπαίνους οἶδα, τούτων καὶ τὰς ἐπιδόσεις. Εἰ δέ τις τῶν δῦοῖν εἰρημένων γενικῶν τὴν ἑτέραν μὴ κατὰ παρολκὴν ἀναγινώσκειν ἐθέλοι, ἀνάγκη τῶν προθετικῶν πτωτικῶν τὸ μὲν, κατὰ προσώπου λαβεῖν, τὸ δὲ, κατὰ πράγματος, κοὐχὶ ἑκάτερα κατὰ τοῦ αὐτοῦ. οἷον, οὐκ ἔστιν ἐπίδοσις ἐπ' οὐδενὸς τῶν ἁπάντων ἀνῶν ἐφ' ὅτῳ τῶν ἁπάντων ἐπιτηδευμάτων οὐκ ἔστιν ἔπαινος. καὶ ὡς ἄν τις ὀρθώσας, εἴποι. οὐδεὶς τῶν ἁπάντων ἐπιδίδωσι καθ' ὁ, τιοῦν τῶν ἁπάντων μὴ ἐπαινούμενον. δυνατόν γε μὴν καὶ τῶν δῦοῖν ἡγουμένων ἀποφάσεων οὐχὶ τὴν πρώτην, ἀλλὰ τὴν β', κατὰ παρολκὴν ληφθῆναι κατὰ γραμματικοὺς λέγω καὶ οὐχὶ κατὰ διαλεκτικοὺς κανόνας. ὡς εἶναι λέγειν, ἐπ' οὐδενὸς τῶν ἁπάντων ἐστὶν ἐπίδοσις, ἐφ' ᾧ οὐκ ἔστιν ἔπαινος. καὶ ἔστι πάλιν ὁ λόγος ὁ αὐτός. καὶ συνελόντι τῆς ἑτέρας τῶν δῦοῖν ἡγουμένων ἀποφάσεων, ὁποτέραν ἂν βούλῃ, ἐν παρολκῇ ἐπαναλαμβανομένης, τῇ τῶν λοιπῶν ἀλληλοκτονίᾳ συνάγεται, ὅτι πᾶν ὁ, τιοῦν ἐπιδίδωσιν, ἐπαινούμενον. Ἡ δὲ μία ἀπόφασις θετικαῖς μέντισιν ἀφῃρημέναις λέξεσι παρατιθεμένη, ἴσον δύναται στερήσει, ἐν συνθέσει παραλαμβανομένῃ. οὐ παραγένησις, ἀντὶ ἀπουσία. καὶ οὐ περιτείχισις, ἀντὶ τοῦ ἀτείχιστον, ὥσπερ ἄρα κἀκ τοῦ ἐναντίου ἡ στέρησις ἐπίτινων ἴσον δύναται ἀποφάσει. ὡς ἐπὶ τοῦ, ἀόρατον, ἄφθαρτον, ἀγένητον, ἀθάνατον, καὶ τῶν ὅσα ἐπὶ θεοῦ στερητικῶς μὲν λέγεται, ἀποφατικῶς δὲ νοεῖται. εἴγ' αἱ μὲν στερήσεις κατὰ φύσιν εἰσὶ, καὶ τῶν ἕξεων δεύτεραι, ἐπὶ δὲ τοῦ ὑπὲρ φύσιν θεοῦ οὐχὶ ἕξεως προλαβούσης στέρησιν ἐμφαίνει τὰ τοιαῦτα. τίνος γὰρ; ἀλλὰ παντελῆ τῶν ἀπεμφαινόντων καὶ μὴ προσόντων τῷ θεῷ ἄρνησίν τε καὶ ἀθέτησιν. πολλὰ δὲ καὶ τῶν θετικῶς λεγομένων, ἀπὸ κοινοῦ λαμβάνοντα τὴν ἄρνησιν, ἀρνητικῶς ἐννοεῖται. οἷόν τι καὶ τὸ, οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, ἃς ἐποιήσαμεν. Δανιὴλ, θ'. καὶ οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς. πρὸς τίτον γ'. οὐ γὰρ ἐποιήσαμεν. Ἐν δὲ τῇ ἄρσει καὶ θέσει συνεισάγει καὶ ἑτέραν ἀπόφασιν ἡ μία. θουκ. α', ἡμᾶς μὲν γὰρ ἀπώσεσθε, τῶν δὲ, οὐχ ὅπως κωλυταὶ γενήσεσθε, ἀλλὰ καὶ ἀπὸ τῆς ὑμετέρας ἀρχῆς δύναμιν προσλαβεῖν περιόψεσθε. ἀντὶ τοῦ, οὐ μόνον οὐγενήσεσθε κωλυτ'. Ἰσοκρ'. πλαταϊκ. τοσούτου δέομεν τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἕλλησιν, ὥστε οὐχ ὅπως τῆς

ἔξωθεν προσυπακουομένου. ἐντεῦθεν ἀπολύεται τοῦ ἀκαταλλήλου καὶ Λιβανίου τὸ πρὸς τὸν μέγαν Βασίλειον ἐπιστελλόμενον. ἔπεστί μοι βαδίζειν, οἷά τις ἀλαζὼν, τοὺς πάντας περιφρονῶν. τὸ γὰρ οἷα ἐνταῦθα οὐκ αἰτιολογικὸν, παραβολικὸν δὲ, ἀντὶ τοῦ ὥσπερ, εἰλημμένον. ὁριστικοῖς δὲ τὰ παραβολικὰ, καὶ τὸ οἷα ἄρα. φέρεται γὰρ πρὸς τὸ ἀπὸ κοινοῦ ὑπακουόμενον βαδίζει. τὰ δ' ὁριστικὰ εὐθεῖαν προϋποτίθησιν. (ἡνίκα δ' αἰτιολογεῖ τὸ ποιητικὸν τὸ οἷα, τότε ὁμοιοπτώτως τοῖς ἡγουμένοις συντάσσεται, ὡς ταυτοπροσωποῦν τὸ ἐπιφερόμενον πτωτικόν.) ζεῦ, ἄλλοι τε θεοὶ, δότε δὴ καὶ τόνδε γενέσθαι παῖδ' ἐμὸν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα. Ἰλ. ζ̃, ὅθεν σημειῴδη τὰ ἑξῆς. Θουκδ'. ς'. ἄλλως τε καὶ πρὸς ἄνδρας πανδημεῖ τε ἀμυνομένους καὶ οὐκ ἀπολέκτους, ὥσπερ καὶ ἡμᾶς. ἀντὶ καὶ ἡμεῖς. κἀν τῇ ε', ἀλλὰ τοὺς νησιώτας (νομίζομεν ἡμῖν δεινοτέρους) ἀνάρκτους, ὥσπερ ὑμᾶς. ἀντὶ τοῦ ὥσπερ ὑμεῖς ἐστε ἄναρκτοι. Καὶ Φωτίου δὲ τὸ, διαλέγεσθαι δὲ (τὸ ὄρνεον λέγει Κτησίας) ὥσπερ ἄνον. ἀντὶ τοῦ ἄνος. καὶ Γρηγρ'. ναζιανζ'. ἐν τῷ περὶ τῆς ἐν διάλεξιν εὐταξίας, καὶ (ἐχρῆν) καθάπερ τοὺς μαινομένους, τῶν ἰδίων σαρκῶν ἁπτομένους, μηδὲ αἰσθάνεσθαι. καὶ Χρυσστμ. ἐν τῇ πρὸς ἐφεσ'. κφ'. ζ', ὁ μλ'. κ', βούλει σοὶ τὴν γυναῖκα ὑπακούειν, ὡς τῷ χριστῷ τὴν ἐκκλησίαν; Ὁριστικοῖς γάρ φησι τὰ παραβολικὰ, τὰ δὲ ὁριστικὰ εὐθεῖαν οὐ πλαγίαν προϋποτίθησιν. οἷόν τι καὶ Θουκ'. ζ'. καὶ γὰρ (ἔφη) οὐ τοὺς αὐτοὺς ψιφιεῖσθαί τε περὶ σφῶν αὐτῶν, καὶ τὰ πράγματα, ὥσπερ καὶ αὐτοὶ, ὁρῶντας. καὶ, καὶ πόλεσι γὰρ ταύταις μόναις ἤδη ὁμοιοτρόπως ἐπελθόντες, δημοκρατουμέναις τε, ὥσπερ καὶ αὐτοί. κἀν τῇ δ', βουλομένων μεταστῆσαι τὸν κόσμον, καὶ ἐς δημοκρατίαν, ὥσπερ οἱ ἀθηναῖοι, τρέψαι. Ἡρόδ. α', ὀσφραινομένους δὲ καταγιαζομένου τοῦ καρποῦ (λέγεται) μεθύσκεσθαι τῇ ὀδμῇ, κατάπερ οἱ ἕλληναις τῷ οἴνῳ. Λουκ'. ἐν τῷ περὶ τῶν ἐπὶ μισθῷ. πλὴν εἰ μὴ ἀποχρῆν σοι πρὸς ἐλευθερίαν νομίζεις τὸ μὴ Πυρρίου μηδὲ ζωπυρίωνος εἶναι, μηδὲ, ὥσπερ τις βιθυνὸς, ὑπὸ μεγαλοφώνῳ τῷ κήρυκι ἀπεμπωλεῖσθαι. καὶ Συνέσιος ἐπιστλ. 108. ἐφ' ᾧ συμμίξαι πολεμισταῖς ἄνοις, καὶ τὰ εἰς πολιτείαν οὕτω καταστησαμένοις, ὥσπερ ἡμεῖς τὰ ἐπὶ τῆς στρατείας. Ἐφ' οἷς διασταλτέον τὸ ἐπιτατικὸν ὡς. ὡς τὸ, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κε'. καὶ τὸ αἰτιολογικὸν, ἀντὶ τοῦ ἅτε δὴ, μετοχῇ συμφερόμενον. καὶ τὸ βεβαιωτικὸν ἀντὶ τοῦ ὅτι. καὶ τὸ χρονικὸν ἀντὶ τοῦ ἐπεί. ἀπόλυτα γὰρ ταῦτα. Εἴρηται δὲ παραβολικὰ, ὡς εἰωθότα ἐν ταῖς παραβολαῖς, εἴτ' οὖν ταῖς τῶν ὁμοίων παραθέσεσι λαμβάνεσθαι. παραβάλλουσι γὰρ τοῖς λεγομένοις, ὅ ἐστι συγκρίνουσι καὶ παρατιθέασι πρᾶγμά τι γνώριμον εἰωθὸς ἀεὶ γίγνεσθαι, ὅπερ ὀφείλει πάντως γνωριμώτερον εἶναί τε καὶ προϋποτίθεσθαι τοῦ δι' ὃ παρείληπται. ὥστε κἀν τῷ, ἀγαπήσῃς τὸν πλησίον σου, ὡς σεαυτὸν, προϋποτίθεται πάντως ἡ ἰδία ἑνὸς ἑκάστου ἀγάπη τῆς τοῦ πλησίον. ὁ δὲ ἔτι τὰ ἑαυτοῦ, ἢ καὶ τὰ περὶ αὐτὸν ἀγαπῶν, ἑαυτὸν δὲ μηδέπω ἀγαπήσας, οὗτος τὸν πλησίον δοκῶν ἀγαπᾶν, οὐ μᾶλλον αὐτὸν, ἢ τὰ τοῦ πλησίον, ἢ καὶ τὰ περὶ τὸν πλησίον ἀγαπῶν λέληθεν ἑαυτόν. τὰ γὰρ τῆς ἀγάπης, ὅμοια ἐπ' ἀμφοῖν ἔσται. Τὸ δὲ Καθὼς, οὐ πανταχοῦ ἀπαραλλάκτου ἐστὶν ἀκριβείας, ἀλλ' ὥσπερ ὅταν ἐπὶ τοῦ Πρ'ς καὶ τοῦ Υἱοῦ λεγόμενον, πολλὴν ἐμφαίνει τὴν ἰσότητα διὰ τὴν τῆς φύσεως συγγένειαν, (οἷον, ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ Υἱὸς, οὓς θέλει, ζωοποιεῖ) οὕτως ὅταν ἐφ' ἡμῶν καὶ αὐτοῦ λέγηται, πολὺ τὸ μέσον καὶ ἄπειρον ἑκατέρας τῆς φύσεως.

καὶ οὐ τὴν

καὶ οὐ τὴν αὐτὴν ἰσχὺν ἡ λέξις ἔχει. (χρυσμ. ὁμλ'. πα', καὶ ὁ δ', τοῦ κατὰ Ἰω.) καὶ ἁπλῶς τὸ ὡς, κατὰ τὸν αὐτὸν (ὁμλ'. α'. εἰς τὴν ἀνάλψ.) τῆς ἀληθείας δεύτερον, καὶ οὐ πανταχοῦ ἰσοτιμίας, (κ', εἰς τὴν πρὸς ἐφεσ.) ἐν δὲ τῷ, ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πρὸς, οὐχ ὁμοιώσεώς ἐστιν, οὐ δὲ παραβολῆς, ἀλλὰ βεβαιώσεως καὶ ἀναμφισβήτου διορισμοῦ. ὡσὰν εἰ ἔλεγεν, ἐθεασάμεθα τὴν δόξαν, οἵαν ἔπρεπε καὶ εἰκὸς ἔχειν μονογενῆ καὶ γνήσιον υἱὸν ὄντα τοῦ πάντων βασιλέως Θεοῦ. ὡς καὶ ὅτε βασιλέα πολλάκις σφόδρα κεκοσμημένον ὁρῶντές τινες, καὶ τιμίοις ἀπαστράπτοντα λίθοις πάντοθεν, ἐπειδὰν πρός τινας διηγῶνται τὸ κάλλος ἐκεῖνο, τὸν κόσμον, τὴν δόξαν, λέγουσι μὲν, ὅσα περ ἂν δυνηθῶσι, τῆς ἀλουργίδος τὸ ἄνθος, τῶν λίθων τὸ μέγεθος, τὴν λευκότητα τῶν ἡμιόνων, τὸν περὶ τὸ ζεῦγος χρυσὸν, τὴν καθέδραν παριστῶντες τὴν στίλβουσαν. ἐπειδὰν δὲ καὶ ταῦτα καὶ ἕτερα πρὸς τούτοις καταλέξαντες, μὴ δυνηθῶσιν ἅπασαν τῷ λόγῳ παραστῆσαι τὴν λαμπρότητα, εὐθέως τοῦτο ἐπάγουσι. τί δεῖ τὰ πολλὰ λέγειν; ἅπαξ ὡς βασιλεύς. διὰ τοῦ ὡς, οὐ τὸ βασιλέως ὅμοιον εἶναι δεῖξαι βουλόμενοι τοῦτον, περὶ οὗ πάντα λέγουσιν, ἀλλὰ τὸ αὐτοβασιλέα γνήσιον εἶναι (ὁμλ'. ια', εἰς τὸν Ἰω.) καὶ Κύριλλ'. ἀλεξ'. (βιβλ'. β'. εἰς τὸν Ἰω. κφ'. η',) τὸ καθὼς, ἐπὶ μὲν τῶν ἑτεροουσίων οὐ πάντως ἀπαράλλακτον εἰσφέρει τὴν ἰσότητα, ὁμοιότητα δὲ μᾶλλον καὶ εἰκονισμόν. ὡς εἴ τις λέγοι, λάμπει ὁ ἄργυρος, καθὼς ὁ ἥλιος. ἐπὶ δὲ τῶν ὁμοουσίων, τὴν ἀκριβῆ καὶ ἴσην ὁμοιότητα. ὡς εἴ τις λέγοι, τιμάσθω παρὰ πάντων ἰωάννης, καθὼς ὁ πέτρος. Τῶν δὲ παραβολικῶν τὰ μὲν, εἰσὶ κοινά. οἷον ὡς, ὥσπερ. καθὰ, καθάπερ, τὰ δὲ ποιητικά. οἷον, εὖτε. ἀφ' οὗ κατὰ διάλυσιν καὶ ἔκτασιν τὸ ἠΰ. καὶ μετὰ παραπληρώσεως τὸ ἠΰτε. ὡς καὶ τὸ εὖτε. ἃ καὶ αὐτὰ τὸ καθὰ δηλοῖ. οὐχ ἧττον δὲ τούτων παραβολικὸν ἐπίῤῥημα ποιητικὸν τὸ ᾧ περ ἀντὶ τοῦ καθὰ κατὰ τοὺς τεχνικοὺς, καὶ τὸ ᾧτε, οἷον, ᾧτε. χερνά τις γυνά. ἤγουν ὡς χερνή τις, ὅ ἐστι ταπεινή. γίνεται δὲ καθ' Ἡρῳδιανὸν παρὰ τὸ ὡσείτε καὶ ὡσείπερ, κατὰ ἀποβολὴν τοῦ σ, καὶ κράσιν τοῦ ω, καὶ ε, εἰς τὴν ῳ, δίφθογγον διὰ τὴν τοῦ ι, συναίρεσιν.

Καὶ τὰ δεικτικὰ, ῥηματικῶς.

Τὸ ῥηματικῶς, ὡς ἀπὸ κοινοῦ ὑπακουόμενον, παρέλκον δοκεῖ προσκείμενον.

Ἰδοὺ ἧκεν εἰς τέλος. ἰδοὺ ὁ ἀμνός. ἐλλειπτικῶς.

Ἀντὶ τοῦ κατὰ ἔλλειψιν,

Τοῦ ὑπαρκτικοῦ.

Οὗ τὸ ἐντελές. ἰδοὺ οὗτός ἐστιν ὁ ἀμνός.

Καὶ τὰ Ἀνετικά. ἠρέμα λέγει. μόγις δύναται. Τὸ δὲ Ἀποστατικὸν, ἀπαρεμφάτῳ. ὥστε λέγειν. καὶ εὐκτικῷ. ὥστε λέγοι ἄν.

Διὰ τὸν ἂν δυνητικὸν εὐκτικῷ.

Καὶ ἔτι ὁριστικῷ. ὥστε λέγει. ἐπιτακτικόν τε

Ὅ ἐστιν ἐπακολουθητικόν. εἴληπται δὲ ἐνεργητικὸν ἀντὶ παθητικοῦ τοῦ ἐπιτακτόν τε, ὅ ἐστιν ἐπιτασσόμενον,

Οὐ μόνον ἐπιῤῥήματος, ἀλλὰ καὶ ὀνόματος ὁμοιωματικοῦ,

Τοῦ τῆς ποιότητος δηλαδή.

Η πα-

Ἢ παρισωτικοῦ.

Τοῦ τῆς ποσότητος.

Οἷον,

Ὀνόματος μὲν ὁμοιωματικοῦ,

Τοιοῦτός ἐστιν, ὥστε καὶ νοεῖν καὶ λέγειν τὰ δέοντα.

Παρισωτικοῦ δέ. οἷον.

Τηλικοῦτος, ὥστε ἅπαντας ὑπερβάλλειν. καὶ,

Ἐπιῤῥήματος ὁμοιωματικοῦ.

Οὕτως, ὥστε πάντας θαυμάζειν.

Ἀποστατικὸν δ' ἤκουσε τὸ ὥστε, καθ' ὅ, τι ἐπὶ τῶν ἀφεστηκότων, εἴτ' οὖν ἀσυνδέτων λαμβάνεται λόγων. καὶ ῥήματα δὲ ἀποστατικὰ ἐλέγετο, τὰ ἀπόστασιν καὶ διαίρεσίν τινος ἀπό του ὑπεμφαίνοντα. ἀλλὰ καὶ παρ' Ἑρμογένει ἐν τῷ περὶ λαμπρότ. λόγου, ἀποστάσεις καὶ ἀσύνδετα, ταὐτά. ὥστε ταυτὸν ἀφεστηκὸς καὶ ἀσύνδετον λόγῳ πολυωνυμίας. τὸ γοῦν ὥστε, ὡς μεταξὺ τῶν ἀσυνδέτων, εἴτ' οὖν ἀφεστηστότων ταττόμενον, ἀποστατικὸν ἤκουσε. Τῶν δὲ τῷ ὥστε συμφερομένων ἀπαρεμφάτων τὰ μήτε τελικὰ μήτε εἰδικὰ ὄντα, δῆλον ὡς ἀντὶ παρεμφαντικοῦ κεῖται ῥήματος. Ἰσοκρ. πλαταϊκ, εἰς τοῦθ' ἥκομεν ἀτυχίας, ὥστε μὴ μόνον ἡμῖν εἶναι τὸν ἀγῶνα πρὸς τούτους, ἀλλὰ κτ'. ὅτι δὲ ἀντὶ προσωπικοῦ ῥήματος εἴληπται τὸ τοιοῦτον ἀπαρέμφατον, ὁ αὐτὸς παρακατιὼν, τὴν αὐτὴν σύνταξιν μετὰ ῥήματος ἐξήνεγκε. τοσούτου δέομεν τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἕλλησιν, ὥστε οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν, ἀλλ' οὐδὲ δουλείας μετρίας ἠξιώθημεν τυχεῖν. Ἡρόδ. γ', ἅτε ἐόντων αὐτοῖσι μετάλλων οὕτω, ὥστε θησαυρὸς ἐν δελφοῖσι ἀνακέεται. ταὐτὸν ἄρα τὸ ὥστε θησαυρὸν ἀνακεῖσθαι, τῷ ὥστε θησαυρὸς ἀνάκειται. οἱ γοῦν προκείμενοι λόγοι ἀσύνδετοι ὄντες, δι' αὐτὸ δὲ τοῦτο καὶ ἀφεστηκότες ἀλλήλων, μεταδιδόασι παρωνύμως τῆς ἀποστάσεως καὶ τῷ μεταξὺ τούτων παρεμπεσόντι ὥστε. Ἐνσταίη δέτις, ὡς καὶ οἱ συμπλεκτικοὶ ἄρα σύνδεσμοι, οἱ τοὺς πρὸ τῆς συναφείας ἀφεστηκότας ἀλλήλων συνδέοντες λόγους, ἀποστατικοὶ ἂν καλοῖντο καὶ αὐτοί. Ἢ ὅτι τῶν λόγων οἱ μὲν συνδέσμῳ συνδούμενοι, συνδέδεντο ἔτι καὶ τῇ ταυτότητι τῶν σφίσι προσόντων. οἷον, τὰ μὲν ῥήματα τῷ αὐτῷ χρόνῳ, ἢ τῇ αὐτῇ ἐγκλίσει, τὰ δὲ πτωτικὰ, τῷ ταὐτῷ τῆς πτώσεώς τε καὶ τῶν ὅσα καὶ οἷα τοῖς πτωτικοῖς παρέπεται, γένους λέγω καὶ ἀριθμοῦ. οἱ δὲ τῷ ὥστε συνδεδέσθαι δοκοῦντες, οὐδὲν ἧττον καὶ μετὰ τὴν δοκοῦσαν συνάφειαν ἀφεστηκότες ἀλλήλων εἰσὶν, ὡς μὴ ἐπικοινωνοῦντες ἀλλήλοις τῶν ἑκατέροις προσόντων. ποία γὰρ ἀκολούθησις ἐν τῷ, βούλομαι ὥστε παραγενέσθαι; ἢ ἐν τῷ, τοιοῦτος, ὥστε καὶ νοεῖν καὶ λέγειν τὰ δέοντα;

Τὸ δὲ ἀποθετικὸν Εἶεν, λόγου μακροτέρου πέρας, καί τις ἀρχὴ ἔσται τῶν ἑπομένων. εἶεν, τί δῆθ' ὁ παῖς ὁ τοῦ Λαερτίου;

Τὸ Εἶεν, ἀποθετικὸν ἤκουσεν, ὡς ἀπόθεσίς τις ὂν καὶ συγκατάθεσις καὶ οἷον ἀποπεραίωσις τῶν ἐν τῷ λόγῳ προειρημένων, ἀρχὴ δὲ τῶν μελλόντων ῥηθήσεσθαι. καὶ οἷόν τι μεσόριον ἑκατέρων τῶν λόγων, τῶν τε εἰρημένων καὶ τῶν ῥηθησομένων, πρὸς ὃ μὲν, τῶν ἡγουμένων, ἀφ' οὗ δὲ, τῶν ἑπομένων. περατοῖ μὲν γὰρ τὰ προάγοντα, ἀρχὴν δὲ δίδωσι τοῖς ἐφεξῆς. ὥσπερ τῶν τὸν δίαυλον ἀνα-

λον ἀνακαμπτόντων στάσις τις καὶ ἠρέμησις τὰς ἐναντίας κινήσεις δεκαλαμβάνει. Δημοσθ. κατὰ φιλ'π. α', εἶεν, τί πρὸς τούτοις ἔτι; Τοῦτο δὲ τὸ εἶεν, ῥήτορες μὲν, σχῆμα καταστατικὸν ἐννοίας, γραμματικοὶ δὲ, παραγραφὴν καλοῦσι. χρώμεθα δὲ τούτῳ τῷ σχήματι, ὅτε συμπληρώσαντες τὰ φθάσαντα, ἐπὶ ἑτέραν διήγησιν μεταβαίνομεν· ὡς καὶ παρὰ τῷ θεοδώρῳ ἐστὶν ἰδεῖν ἀλλαχοῦ τε κἀν τῇ συμπληρώσει τῶν κατὰ σημασίαν εἰδῶν τοῦ ὀνόματος. ἔτι κἀν τῇ πρὸς τὰς ἐγκλίσεις μεταβάσει ἐκ τῆς κατὰ τὰ ῥήματα ἀναλύσεως. τοιούτου σχήματος καὶ ἰλ. α. τὸ, ὥς τώγ' ἀντιβίοισι μαχεσαμένῳ ἐπέεσσιν ἀνστήτην. καὶ, ὥς οἱ μὲν, τὰ πένοντα κατὰ στρατόν. καὶ ἄλλα μυρία παρά τε ποιηταῖς καὶ λογογράφοις. ὧν ἐστι καὶ τὸ, οὕτω μὲν οὖν. ὡς καὶ Βασίλ. κατὰ τῶν ὀργιζομένων. Τοιοῦτο μὲν δὴ ἀπὸ τοῦ θυμοῦ τὸ ὠφέλιμον. ἐπεὶ καὶ τῶν, κτ'. καὶ παρακατιὼν, οὕτω γίνεται πολλάκις ὁ θυμὸς ἀγαθῶν πράξεων ὑπηρέτης. Ἠλίας δὲ, κτ'. ὥστε τὸ τοιοῦτον εἶεν, ἐν ἴσῳ ἐστὶ τῷ, καὶ δὴ οὕτω μὲν ταῦτα. παραλαμβάνεται τοίνυν τὸ εἶεν, τῇ μὲν, ὡς ἀρχὴ λόγου, τῇ δὲ, καὶ ἐπὶ καταναύσεώς τε καὶ συγκαταθέσεως. οἱ δὲ, συλλαμβάνοντες ἄμφω τὰ εἰρημένα, συγκατάθεσίν τε δηλοῦν αὐτὸ βούλονται τῶν ἐν λόγῳ προειρημένων, καὶ ἀρχὴν τῶν μελλόντων ῥηθήσεσθαι. δοκεῖ δὲ οὔτε τῶν πτωτικῶς, οὔτε τῶν ῥηματικῶς, ἀλλὰ τῶν οὐδέτερως συντασσομένων εἶναι.



Περὶ Συνδέσμου.

Ἐπὶ πᾶσι τοῖς προκατειλεγμένοις ὁ τούτων συνδετικὸς σύνδεσμος παραλαμβάνεται, διὰ τὸ μηδὲν δύνασθαι ἰδίᾳ παραστῆσαι χωρὶς τῆς τῶν λέξεων ὕλης. καθάπερ οἱ τῶν σωμάτων δεσμοὶ οὐκ εἰσὶ χρειώδεις, τῶν σωμάτων μὴ ὑφεστώτων. ὡς γοῦν οἱ τῶν σωμάτων δεσμοὶ ὕστεροί εἰσιν, ὧν χάριν εὕρηνται σωμάτων, οὕτω καὶ ὁ σύνδεσμος, εἰς συμπλοκὴν τῶν ἄλλων τοῦ λόγου μερῶν ἐπινοηθεὶς, τὴν ἐσχάτην εἴληφε χώραν. διαφέρει δὲ δεσμὸς συνδέσμου. καθ' ὅ, τι ὁ μὲν, ἑνὸς, πλειόνων δὲ ὁ σύνδεσμος, τυγχάνει συνδετικός.

Ὁ δὲ σύνδεσμος, λέξις συνδετικὴ οὖσα

Ἀντὶ τοῦ ὤν. συνεξηκολούθησε δὲ ἡ μετοχὴ τῷ ἑπομένῳ, οὐχὶ τῷ ἡγουμένῳ, κατὰ τὸ, πόλεις ἐκεῖναί εἰσιν, οὓς φωλεοὺς εἶναι νομίζ.

Τῶν ἑτέρων τοῦ λόγου μερῶν, εἰς κατάλληλον σύνθεσίν τε καὶ τάξιν τὰ ὅμοια συνάπτει ἀεί.

Ὅρος ταῦτα συνδέσμου. τὸ δὲ ἀεὶ οὐ συνάγει τὸ ἐξ ἀνάγκης, ὡς ὑποκαταβὰς ἐπιδιορθοῦται τὸ εἰρημένον.

Ὄνομα γὰρ ὀνόματι, καὶ ῥῆμα ῥήματι,

Τὰ ὁμοιομερῆ δηλ. οὐμὴν ἀλλὰ καὶ τῶν ὁμοιομερῶν τὰ κατὰ τὰ παρεπόμενα ὅμοια. οἷον,

Καὶ εὐθεῖαν εὐθείᾳ. καὶ ὅλως πτῶσιν ὁμοίᾳ πτώσει, καὶ χρόνον ὁμοίως,

Τοῦτ' ἔστι τὰ μὲν πτωτικὰ, ὁμοιόπτωτα, τὰ δὲ ῥή-

τὰ δὲ ῥήματα, ὁμοιόχρονα.

Καὶ ἔγκλισιν,

Τὴν αὐτὴν μὲν, διαφόρων κειμένων τῶν ῥημάτων, τῶν αὐτῶν δὲ, οὐ τὴν αὐτὴν, ὡς ἑξῆς ἐρεῖ.

Καὶ τὰ λοιπὰ δὲ, ὁμοίως.

Μετοχὴν δηλ: καὶ ἐπίῤῥημα. κἀν τοῖς παρεπομένοις ὡς ἐπὶ τὸ πολὺ εἶδος θετικὸν ὁμοίως θετικῷ, καὶ παραγώγῳ παράγωγον.

Σύνταξιν δὲ διαφόρως κατὰ τὴν αὐτοῦ διαφορὰν τῶν εἰδῶν ἔχει.

Οἱ μὲν γὰρ αὐτῶν εἰσι προτακτικοὶ, οἱ δὲ, ἐπιτακτικοὶ λόγου ἢ λέξεως, ἢ καὶ ἀμφοῖν, καὶ οἱ μὲν, τὰ τῆς ἑρμηνείας συμπλέκουσιν, οἱ δὲ, διαζευγνύουσι. καὶ οἱ μὲν, τῇδε τῶν ἐγκλίσεων συντάσσονται. οἱ δὲ, τῇδε.

Συμπλεκτικοί.

Τῶν μὲν οὖν ἐπὶ πολὺ ἐκφερομένην τὴν ἑρμηνείαν συμπλεκόντων, καὶ διὰ τοῦτο συμπλεκτικῶν καλουμένων,

Ἑρμηνείαν μὲν τὸν προφορικὸν λέγει λόγον, ὡς ἑρμηνεύοντα εἴτ' οὖν ἐξαγγέλλοντα τὰ ἐν διάθετα τῆς ψυχῆς παθήματα ἢ βουλήματα, λόγον δέ φημι τὸν αὐτοτελοῦς διανοίας, τὸ δὲ ἐπὶ πολὺ, πρόσκειται διὰ τοὺς κεφαλαιώδεις καὶ εὐσυνόπτους λόγους, οἷα τὰ τῶν φίφων ἀποφθέγματα. ὡς τὸ γνῶθι σαυτόν. μηδὲν ἄγαν. καὶ τὰ ὅμοια. ἃ μὴ ἐπὶ πολὺ ἐκφερόμενα, εἴτ' οὖν ἐκτεινόμενα, ἀλλ' ὡς κομματικὰ, οὐ χρῄζει συμπλοκῆς.

Ὁ μὲν Καὶ, προτάσσεται τῶν λέξεων, ὁ δὲ Τε, ἐπιφέρεται ἐγκλινόμενος. θεοί τε καὶ ἀνέρες. καὶ οὕτω τοι ἀλλήλοις συντάσσονται. ὥστε τὸν τε, προηγεῖσθαι τοῦ καί.

Τῶν μὲν λέξεων ἡγεῖται μὲν ὁ καὶ, ἕπεται δὲ ὁ τε. ἐν ἀλλήλοις δὲ τοὐναντίον, ὁ τε, προηγεῖται τοῦ καί. οἷον, θεοί τε καὶ ἀνέρες. ἰλ. β. ἐν δὲ τῷ, ὥστε καὶ ἄλλως τε, κοινότερον πλεονάζει. ὡς ἀττικῶς κἀν τῷ οἷόν τε, ἀντὶ τοῦ δυνατόν, καὶ οἷός τε καὶ ἐφ' ᾧ τε καὶ τοῖς ὁμοίοις. πολλαχοῦ δὲ καὶ αἰτιολογεῖ ὁ καὶ, ὡς ἐν τῷ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου κἀν τῷ, δόξα ἐν ὑψίστοις Θῷ, καὶ ἐπὶ γῆς εἰρήνη.

Ἀρκτικὸς δ' ὑπάρχων ὁ Καὶ,

Σημειωτέον τῆς μετοχῆς τὴν σύνταξιν ἀπ' εὐθείας οὔσης πρὸς ῥῆμα μὴ ὁμοιοπροσωποῦν τῇ εὐθείᾳ, δέον ἀπὸ γενικῆς. οἷον, ἀρκτικοῦ δ' ὑπάρχοντος τοῦ καί. ἀπ' εὐθείας δὲ προήνεγκεν, ἐκκλίνων οἶμαι τὴν σύγκρουσιν τοῦ ἡμιφώνου ν, πρὸς τὸ ἄφωνον τ, τῶν παλαιῶν ἐκκλίνειν, ὅσῃ δύναμις, παρεγγυομένων τῶν ἀσυντάκτως ἀλλήλοις ἐχόντων στοιχείων τὴν πρὸς ἄλληλα σύγκρουσιν, ὅτι μὴ πᾶσα ἀνάγκη, ὡς ταῖς ἀκοαῖς πολεμίαν, τραχυνομέναις τε καὶ πικραινομέναις τῇ τούτων ἀντιτυπίᾳ.

Δεῖ πάντως καὶ ἕτερον Καὶ, ἐπιφέρεσθαι, ἤτοι ῥῆμα συμπλέκοντα ῥήματι, ἢ ὄνομα ὀνόματι, ὅπως ἔτυχε συντασσόμενος ὁ πρῶτος. εἰ γάρ τις λέγοι,

Ἀντὶ τοῦ, εἰ γάρ τις ῥῆμα συμπλέξοι, οἷον,

Καὶ περιπατεῖ σωκράτης, ἐπιφέροι ἂν ἐξ ἀνάγκης,

Ῥῆμα πάλιν, οἷον,

Καὶ δια-

Καὶ διαλέγεται. ἢ τοιοῦτό τι. εἰ δὲ

Ὄνομα συμπλέξας,

Καὶ σωκράτης γράφει, λέγει, ἐποίσει δή που,

Ὄνομα πάλιν. οἷον,

Καὶ πλάτων, ἢ ἄλλος τις. καθόλου γάρτοι ἡγούμενος ὁ συμπλεκτικὸς, ἢ ὁ διαζευκτικὸς, ὅμοιον ἀπαιτεῖ μέρος, ἤτοι πτωτικὸν, ἢ ἄπτωτον. καὶ εἰ μὲν πτωτικὸν,

Ἀπαιτήσει. ἔσται τοῦτο κατὰ

Τὴν αὐτὴν πτῶσιν. εἰ δὲ ἄπτωτον,

Κατὰ

Τὴν αὐτὴν ἔγκλισιν. ἀλλ' οὐκ ἐξ ἀνάγκης.

Οὐ πάντως ῥῆμα συμπλέκων, καὶ τὴν αὐτὴν ἔγκλισιν ἀπαιτήσει. διάφορα μὲν γὰρ συμπλέκοντες ῥήματα, τὴν αὐτὴν ἐξ ἀνάγκης ἀπαιτοῦσιν ἔγκλισιν. οἷον.

Καὶ γράφω, καὶ νοῶ. ἢ γράφω, ἢ νοῶ.

Τὰ αὐτὰ δὲ, οὐκ ἐξ ἀνάγκης τὴν αὐτήν. οἷον, καὶ λέγω, καὶ λέγε, καὶ λέγοιμι. ἐπὶ δὲ τῶν πτωτικῶν τοὐναντίον. πρὸς μὲν γὰρ τὸ αὐτὸ ῥῆμα φερόμενοι, τὰς αὐτὰς ἐξ ἀνάγκης ἀπαιτοῦσι πτώσεις. οἷον,

Καὶ ὁ ἐμὸς δοῦλος καὶ ὁ σός.

Ἧκε τυχόν. μὴ πρὸς τὸ αὐτὸ δὲ, οὐκ ἐξ ἀνάγκης τὰς αὐτάς. οἷον, ἢ ὡς σοφῷ τὸ συμφέρον ἡμῖν συνορῶντι πεισθῶμεν (τῷ Θῷ) ἢ ὡς ἀγαπῶντος ἡμᾶς ἀνασχώμεθα, ἢ ὡς εὐεργέτην ἡμῶν ἀμειψώμεθα. Βασίλ: ὁμλ: πρὸς τοὺς πλουτοῦντας. Ἐφ' οἷς ἰστέον, ὡς ὁ ἡγουμένου λόγου κατάρχων καὶ, παρέλκει. ὁμοίως καὶ ὁ μεταξὺ τοῦ ἡγουμένου λόγου τιθέμενος. οἷον, σωκράτης καὶ περιπατεῖ καὶ διαλέγεται. ἐν γὰρ ἐνὶ φύσει ὂν συνημμένον, ἐπικτήτου συναφείας οὐχρῄζει, δυοῖν δέ τινων λόγων ἑπόμενος μὲν τοῦ ἡγουμένου, ἡγούμενος δὲ τοῦ ἑπομένου, δεόντως τοτηνικαῦτα κεῖται, οἷά τις μεσίτης χειρῶν ὡσανεὶ δυοῖν ἐπιβολῇ ἑκατέρωθεν εἰς ἐν συνάπτων τοὺς διεστῶτας τῶν λόγων. οἷον, σωκράτης περιπατεῖ καὶ Πλάτων. ἢ πλάτων περιπατεῖ καὶ διαλέγεται. διαφέρει δὲ τὰ περὶ τὴν συμπλοκὴν ὁ ἤτοι κατάρχων, ἢ μεταξὺ τιθέμενος τοῦ προηγουμένου λόγου, πρὸς τὸν ἐπιτακτικὸν ὄντα λόγου, ᾗ δὴ ὁ μὲν ἐπιτασσόμενος, ἀόριστόν τε καὶ ἀδιάφορον ἔχει τὸ ἐπιφερόμενον μόριον. οἷον, σωκράτης περιπατεῖ καὶ πλάτων. ἢ περιπατεῖ τρύφων καὶ διαλέγεται. ὁ δὲ κατάρχων, ἢ μεταξὺ λόγου τοῦ προηγουμένου τιθέμενος, ὅμοιον ἐξ ἀνάγκης ἀπαιτεῖ μέρος τῷ ᾧ συντασσόμενος ἔτυχε πρότερον. αὐτὰ ταῦτα κρατεῖ λεγόμενα κἀπὶ τῶν διαζευκτικῶν. καὶ τούτων γὰρ ὁ δεύτερος, ὅπως ἔτυχε συντασσόμενος ὁ πρῶτος, συντετάξεται. Οἱ δὲ τοιοῦτοι τῶν συνδέσμων ἀπὸ κοινοῦ λαμβάνουσι τῶν προκειμένων δυοῖν μορίων τὸ ἀσύνδετον, εἴτε πτωτικὸν ὂν τύχοι, εἴτε ἄπτωτον. ῥήματι μὲν γὰρ συμπλακέντες, τὸ ὄνομα, ὀνόματι δὲ, τὸ ῥῆμα ἀπὸ κοινοῦ λαμβάνουσι. Δοκεῖ δέποτε καὶ ἄλλως ἐκ περισσοῦ κεῖσθαι ὁ καὶ, καὶ πρὸς οὐδὲν ἀναγκαῖον, ὡς ἰλ. ἀ. τὴν δ' ἐγὼ οὐ λύσω. πρίν μιν καὶ γῆρας ἔπεισι. κἀν τῷ β, ὃς δὴ πολλάων πολίων κατέλυσε κάρηνα, ἠδέ τι καὶ λύσει. αὐτὶ τοῦ ἠδ' ἔτι λύσει. κἀν τῷ κ. ἀλλάμιν οἴω κήδεσι μοχθήσειν καὶ πλείοσιν. ὡς καὶ παρὰ Σοφοκλεῖ ἐν τῷ,

λαμπρὰ

λαμπρὰ καὶ κατ' ὄμμα καὶ κατὰ φύσιν. ἐκεῖ γὰρ καὶ δίχα τοῦ πρώτου καὶ, εὐοδοῦται ὁ λόγος, νοῶν ὅτι τὰ τῇ θέᾳ λαμπρὰ, καὶ κατὰ φύσιν λαμπρά εἰσιν. οἷον καὶ Γρηγορ, εἰς καισάριον τὸ. τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα. ἔστι δὲ καὶ κάλλους ποιητικὸς ὁ διπλοῦς καὶ. τὸ δὲ, καὶ αὖ. ὡς ἰλ. ε. ὃς νῦν γε καὶ αὖ διὶ πατρὶ μάχοιτο. καὶ ὀδ. ζ, ῥεῖα δ' ἀρίγνωτ' ἐστὶ, καὶ αὖ παῖς ἡγήσαιτο. οἱ μεθ' ὅμηρον ἀττικοὶ συναλείφοντες, κἂν παῖς λέγουσι. καθὰ καὶ Σοφοκλῆς τὸ, καὶ αὖ ἐξέπραξεν, εἰ κατημέλησ' ἐγώ. κἂν ἐξέπραξεν ἔφη, ἀντὶ τοῦ καὶ ἐξέπραξεν αὖ.

Καὶ ἔξεστι δὲ ἐπὶ τῆς τοιαύτης συντάξεως.

Τῆς τῶν συμπλεκτικῶν δηλαδὴ καὶ τῶν διαζευκτικῶν.

Συνάπτειν ἀρθρικὰς εὐθείας

Ἀλλὰ καὶ πλαγίας, ὡς ἔτυχεν ἡ τοῦ λόγου ἀκολούθησις.

Ταῖς γενικαῖς. οἷον, ἄριστα τὰ ὁμηρικὰ ἔπη καὶ τὰ ἡσιόδου.

Οὐ μὴν ἀλλὰ καὶ, ἐπαινῶ τὰ ὁμηρικὰ ἔπη καὶ τὰ ἡσιόδου. συνεπιφερομένης ὡς εἴρηται ταῖς ἀρθρικαῖς πτώσεσιν ἀπὸ κοινοῦ καὶ τῆς ἀφηγουμένης πτώσεως.

Διαφερούσης δὲ τῆς ἐγκλίσεως, τὸ αὐτὸ ῥῆμα φυλάττεσθαί γε ἀνάγκη. οἷον, καὶ γράφω καὶ γράφοιμι, καὶ ἔλεγες καὶ λέγε. τῆς αὐτῆς δὲ οὔσης, διάφορα κεῖται τὰ ῥήματα. καὶ περιπατῶ καὶ διαλέγομαι.

Ἐπὶ μὲν τῆς τῶν ἀπτώτων συμπλοκῆς ταυτότης θεωρεῖται ὁμοῦ καὶ διαφορά. τοῦ μὲν ῥήματος διαφέροντος, ταυτότης ἔσται ἐγκλίσεως. ταύτης δὲ διαφερούσης, περὶ τὰ ῥήματα ἡ ταυτότης. Ἐπὶ δὲ τῶν πτωτικῶν θάτερον μόνον. ταυτότης πτώσεων, τοῦ αὐτοῦ ὄντος ῥήματος.

Καὶ πτώσεις δὲ τὰς αὐτὰς ἀπαιτοῦσιν οἵτε Συμπλεκτικοὶ καὶ οἱ Διαζευκτικοὶ, ἡγούμενοί τε

Τοῦ λόγου.

Καὶ μεταξὺ

Τοῦ λόγου πάλιν.

Τιθέμενοι.

Οὐ μὴν ἁπλῶς ἀπαιτοῦσι τὰς αὐτὰς πτώσεις, ἀλλ'.

Ἐπὰν πρὸς τὸ αὐτὸ ἀναφέρωνται ῥῆμα. οἷον, καὶ ἐγὼ καὶ σὺ γράφομεν, ἢ ἐμοῦ ἢ σοῦ φείδεται,

Τὰ γὰρ πρὸς τὸ αὐτὸ ῥῆμα ἀναφερόμενα πτωτικὰ, ὁμοιοπτωτεῖν ἀλλήλοις ἀνάγκη. τὰ δὲ μὴ πρὸς τὸ αὐτὸ, οὐκ ἐξ ἀνάγκης, ὡς εἴρηται.

Ὁ δὲ Μὲν, λέξεως μὲν οὐδαμοῦ ἀρκτικὸς, λόγου δέ.

Ἐναντίως τῷ καὶ. ὁ μὲν γὰρ ἦν λέξεως, ὁ δὲ μὲν, λόγου ἀρκτικός.

Ὁ δέ τοι Δὲ, ἐπιτακτικὸς ὢν καὶ λόγου καὶ λέξεως,

Δῆλον ἄρα, ὡς προηγητικὸς ὢν λόγου, ἤτοι παραπληροῖ, ἐκ περισσοῦ κείμενος κατὰ τὸν βαθὺν Εὐστάθ, ὡς παρὰ Συνεσ', ἐπιστλ. 27. εἰδὲ φιφίας τιμᾷς ἀρετήν. κἀν τῇ 123. καὶ 124 εἰδὲ θανόντων περ καταλήθονται εἰν αἴδαο. ἢ πάλιν κατ' αὐτὸν

ταὐτὸν θεραπεύεται λόγῳ τινὸς ἔλλειψεως, ἤτοι διὰ προηγησαμένην ἔλλειψιν. ἔθος γὰρ τοῖς τε πεζοῖς καὶ ἐμμέτροις νοήματά τινα στρέφοντας ἐν τῷ νῷ, καὶ οἱονεὶ συγγράφοντας ἐν αὐτῷ, εἶτα σιγᾶν μὲν ἐκεῖνα, ἄρχεσθαι δὲ ἀπὸ τῆς ἐφεξῆς, ἐπιφέροντας τὸν δὲ, μεταβατικῶς, λόγου κατάρχοντα. ὡς Γρηγόρ. θεολόγ. τί δὲ οἱ μακκαβαῖοι; καὶ συνίσ. ἐπιστολ. 6, ὁ δὲ Καρνᾶς ἔτι μέλλει, καὶ οὔθ' ἑκὼν, οὔθ' ὑπ' ἀνάγκης γίνεται δίκαιος. ὧν τὸ πλῆρες τοῦ μὲν γρηγορίου, τοιοῦτον, οἱ μὲν μετὰ Χν ὑπὲρ αὐτοῦ ἀθλήσαντες, πρόδηλον ὅτι τιμῆς καὶ μνήμης μαρτυρικῆς ἄξιοι, οἱ δὲ μακκαβαῖοι πρὸ χῦ ὑπὲρ τῶν πρίων ἐθῶν καὶ νόμων ἀγωνισάμενοι, ὁποῖοί τινες ὑμῖν δοκοῦσιν; ἆρ' οὐχὶ μάρτυρες; τοῦ δὲ Συνεσίου, τῶν μὲν ἄλλων ἀδίκων ἀνὼν, οἱ μὲν, ἑκόντες, οἱ δ', ἄκοντες γίνονται δίκαιοι, ὁ δὲ Καρνᾶς ἔτι μέλλει. Ἐφ' οἷς σημειωτέον τὸν ἀρκτικὸν μὲν λόγου δοκοῦντα δὲ, ἐπιτακτικὸν δὲ ἑτέρου ὄντα λόγου, οἷος δὴ καὶ ὁ κατάρχων τοῦ κατὰ τὸ δ', προοιμίου, λοιπὸν δὲ, ἐπιτακτικὸς δὲ, τοῦ κατὰ τὸ γ', ὢν λόγου. καθ' ὃν δὴ λόγον δύναται ληφθῆναι καὶ ὁ ἐν τῷ, τί δὲ οἱ μακκαβαῖοι; εἴη γὰρ ἂν ἐπιτακτικὸς τῶν προτέρων πανηγυρικῶν λόγων, πρὸς ἐκείνους τὴν συμπλοκὴν ποιούμενος τοῦ εἰς τοὺς μακκαβαίους,

Ἐπακολουθητικός ἐστι τοῦ Μέν. ἄλλοι μὲν ῥαθεοὶ εὗδον παννύχιοι, δία δ' οὐκ ἔχε νήδυμος ὕπνος.

Ἐν ἀρχῇ τοῦ β', τῆς ἰλ. πολλαχοῦ δὲ καὶ μὴ προηγουμένου τοῦ μὲν, ἐπιφερόμενος ὅμως ὁ δὲ, προσυπακούεσθαι δίδωσι καὶ τὸν μέν. εἰσὶ γὰρ καὶ οὗτοι ἀλλήλων ἀνταποδοτικοί. σπανίως δὲ ὁ μὲν, μένει ἀνανταπόδοτος, ὡς παρὰ τῷ ποιητῇ. βοιωτῶν μὲν πηνέλεως καὶ λήϊτος ἦρχον. ἰλ, β'. κἂν τῷ ω'. ἐπεὶ ἀρ σέ γε θυμὸς ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης. ἐν οὐδετέροις γὰρ ὁ δὲ, ἐπηκολούθησε. καὶ παρὰ τῷ ῥήτορι δὲ ἐν τῷ κατὰ Τιμοκρ. προοιμίῳ. τοῦ μὲν ἀγῶνος, ὦ ἄνδρες δικασταὶ, τοῦ παρόντος, οὐδ' ἂν αὐτὸν οἶμαι Τιμοκράτην εἰπεῖν, καὶ τὰ ἑξῆς σύμπαντα τοῦ προοιμίου. οὐδαμοῦ γὰρ ὁ σύνδεσμος οὗτος ἐλύθη. κἂν τῷ, εἰ δὲ δὴ καὶ ἐν αὐτοῖς, οἷς ἐτιμᾶσθε, ἠδίκηκέ τις ὑμῶν, πόσῳ μᾶλλον μισοῖσθ' ἂν διὰ ταῦτα δικαίως, ἢ σῴζοισθε; ἐγὼ μὲν οἶμαι πολλῷ. μὴ λύσας δὲ τὸν μὲν, σύνδεσμον, ἐπήγαγεν εὐθὺς, βιάσονται τοίνυν μεγαλόφωνοι, κτ'. ὁ δὲ τοιοῦτος σύνδεσμος. μυρία παρέσχε, φησὶν Ἑρμογένης, τὰ πράγματα ζητοῦσι περὶ αὐτοῦ τοῖς ἐξηγουμένοις τὸν ῥήτορα. ὧν τὰς ἐξηγήσεις καὶ νῦν οἱ πολλοὶ τῶν διδασκάλων ἐξελίττοντες, οἴονταί τινες εἶναι, καὶ τοὺς συνόντας πείθουσιν, ὅμοιοί φασιν ὁμοίους. οὐδαμοῦ γάρ φησιν αὐτοῖς ἐπῆλθε ξυνιδεῖν, ὡς ὁ ἀπόλυτος οὗτος καλούμενος μερισμὸς, λαμβάνεται ἐπὶ τῶν ἤτοι φύσει ὁμολογουμένων πραγμάτων, περὶ ὧν οὐδεὶς ἂν ἀμφισβητήσειεν. οἷον, φωτὸς ὁ ἥλιος αἴτιος, καὶ τῶν τοιούτων. ἢ ἀποδεδειγμένων, τῶν ἀμφιβαλλομένων δηλονότι, πιστουμένων δὲ ἀναντιρρήτοις ἀποδείξεσιν. οἷον, ὅτι ἀθάνατος ἡ ψυχή. ἢ καὶ ἐπὶ τῶν ἔμφασιν τοῦ ὡμολογεῖσθαι ἢ ἀποποδεδεῖχθαι ἐχόντων, φημὶ δὴ τῶν ζητουμένων μὲν καὶ ἔτι ἀμφιδόξων (οἷον, εἰ κυκλοτερὲς τὸ πᾶν, εἰ ἐπικλύσει τῶν ὑδάτων γίνονται οἱ σεισμοί. τὰ τοιαῦτα γὰρ δοκεῖ ἀποδεδεῖχθαι καὶ ὡμολογεῖσθαι παρὰ τῶν φυσικῶν φίφων, οὐ μὴν ἀναντίρρητά ἐστιν.) ὡς ὁμολογουμένων δὲ εἰσαγομένων. οἷον, τούτου μὲν χάριν οὐδ' ἂν αὐτὸς ἀντείποι. εἰωθὸς γοῦν ὡς τὰ πολλὰ ἐν προοιμίοις ὁ ῥήτωρ τὸ τὰ ζητούμενα καὶ ἀμφίδοξα ὡς ὁμολογούμενα

γούμενα εἰσάγειν, τοῦτο κἀν τῷ κατὰ Τιμοκράτους προοιμίῳ διὰ τοῦ ἀπολύτου μερισμοῦ ἐποίησε, λαβὼν ὡς ὁμολογούμενον τὸ αὐτὸν ἑαυτῷ τιμοκράτην αἴτιον εἶναι τοῦ ἀγῶνος, καὶ μὴ δι' ἔχθραν ἰδίαν εἰσιέναι τὸν εἰσάγοντα αὐτὸν διόδωρον. ἀπόλυτος δὲ μερισμὸς ἤκουσε. καθ' ὅ, τι τῶν πρὸς ἀλλήλους ἀνταποδιδομένων μεριστικῶν συνδέσμων ὁ μὲν, ἀπολέλυται τοῦ δέ. Ἔστι δ' ὁ μὲν, ἐν πολλοῖς καὶ ἰσοδύναμος τῷ δέ. οἷον, ἐγὼ μὲν εἶπον, σὺ μέντοι οὐκ ἤκουσας. Ὁ δέ τι δὲ, πολλαχοῦ αἰτιολογικῶς κείμενος, ἰσοδυναμεῖ τῷ γάρ. ὡς ἐν ὀδ. ᾱ. εὐνῇ δ' οὔποτ' ἔμικτο. χόλον δ' ἀλέεινε γυναικός. ἀντὶ χόλον γάρ. καὶ ἰλ. δ̄. εἴπερ γάρ τ' ἄλλοι τε καρηκομόοντες ἀχαιοὶ δαιτρὸν πίνωσιν. σὸν δὲ πλεῖον δέπας αἰεὶ ἕστηχ' ὥσπερ ἐμοὶ, πιέειν ὅτε θυμὸς ἀνώγει. (ἐν ᾧ ὁ δὲ, καὶ ἀντὶ τοῦ ἀλλὰ κεῖται.) κἀν τῷ, μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο. Ἀντὶ τοῦ καὶ δὲ, ἑαυτοῦ ὢν ἐπακολουθητικὸς, κεῖται. ὡς ἐν τῷ, εἰ δὲ σὺ καρτερὸς ἐσσὶ, θεὰ δέ σε γείνατο μήτηρ. ἀντὶ τοῦ καὶ ἐγέννησέ σε θεά. Λαμβάνεται δέ φασιν οἱ παλαιοὶ καὶ ἀντὶ τῆς εἰς. ὡς ἐν τῷ, οἶκόνδε φίλην ἐς πρῖδα γαῖαν. Ἔθος δὲ πολλάκις τὸν δὲ, ἐν διαφόροις ἐννοίαις ἐφεξῆς τιθέναι. ὧν ὁπότερος τύχοι, λαμβάνεται ἐξ ἀνάγκης ἀντὶ τοῦ δή. ὥσπερ καὶ ὁ μὲν, ἀντὶ τοῦ μήν. φησὶ γοῦν Ὅμηρ. ἰλ. ᾱ. ἕως ταῦθ' ὥρμενεν Ἀχιλλεὺς. ἕλκετο δ' ἐκκολεοῦ τὸ ξίφος. ἦλθε δ' ἀθήνη. ἢ γὰρ ἐν τῷ, ἕλκετο δὲ, ἢ ἐν τῷ, ἦλθε δὲ, ἀναγκαίως ὁ δὲ, ἀντὶ τοῦ δὴ ληφθήσεται. πολλάκις δὲ τοῦτο κἀν τῇ κοινῇ ὁμιλίᾳ γίνεται. οἷον, ἐμοῦ δὲ παραινοῦντος, ὁ δὲ, ἀντέβαινε. Καὶ ἄλλως δὲ πολλάκις ὁ δὲ, ἀντὶ τοῦ δὴ κεῖται. ὡς καὶ ἐν ἰλ. ᾱ. μὴ δ' οὕτως ἀγαθός περ ἐὼν, κλέπτε νόῳ. εἷς γὰρ ὢν, εἴληπται ἀντὶ τοῦ δή. Κατὰ δὲ τοὺς παλαιοὺς ἄτερος αὐτῶν αἰτιολογῶν ὡς εἴρηται, ἀντὶ τοῦ γὰρ κεῖται. εἰ δὲ θέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇς ἡμετέρην γενεὴν, πολλοὶ δέ μιν ἄνδρες ἴσασι. Λαμβάνονται δὲ ὁ μὲν καὶ δὲ, ἐπὶ τῶν ἀντιδιαιρουμένων εἰδῶν. οἷον, τοῦ ζῴου τὸ μὲν, λογικὸν, τὸ δὲ, ἄλογον. καὶ ὅλως ἐπὶ τῶν ἀντιθέτων ἀλλήλοις πραγμάτων ἢ λόγων. ἔνθεντοι καὶ μεριστικοὶ ἤκουσαν, ὡς ἀντιδιαιροῦντες καὶ μερίζοντες τὰ ἀντίθετα. ὡς κἀπὶ τοῦ προχειρισθέντος παραδείγματος. τὸ γὰρ εὕδειν καὶ μὴ εὕδειν, ἐναντία. Λαμβάνει δὲ ὁ ἐπιμερισμὸς ὁτὲ μὲν, διὰ μακροῦ τὴν ἀνταπόδοσιν, περιβλητικῶς. ὁτὲ δὲ, δι' ἐλαχίστου γοργῶς. ὁτὲ δὲ, διὰ μετρίου εὐκρινῶς. Ἔστι δ' ὅτε αὐτοὶ ἑαυτοῖς ἐπεμβάλλονται οἱ μερισμοὶ, πρὸ τῆς τοῦ ά, ἀνταποδόσεως, ἑτέρου ἐπεμβαλλομένου. εἰσὶ δὲ οἳ καὶ ἀλλήλων εἰσὶν ἐξηρτημένοι.

Τυγχάνει δ' ὁ αὐτὸς

Ὁ τοῦ μὲν, ἐπακολουθητικὸς δέ,

Καὶ μεταβατικὸς ὢν,

Ἔνθα οὐ μόνον ἅπαξ, ἀλλὰ καὶ δὶς καὶ πολλάκις ἐπιφέρεται, τοῦ μὲν, ἅπαξ τιθέντος.

Ὡς δι' αὐτοῦ γινομένων τῶν περὶ τὸ νόημα καὶ διήγημα μεταβάσεων.

Δι' αὐτοῦ γὰρ τάς τε τῶν νοημάτων καὶ τῶν διηγημάτων μεταβάσεις ποιούμεθα, μεταβαίνοντες ἀφ' ἑτέρου εἰς ἄλλο. ὡς καὶ Ὅμηρος κατ' ἀρχὰς τοῦ β̄, τῆς ἰλ, δι' αὐτοῦ μετέβη εἰς τὴν τοῦ διὸς ἄγρυπνον παννυχίδα ἀπὸ τῆς τῶν ἄλλων θεῶν ὁλοννύκτου εὐνῆς. τὰ δὲ νοήματα ἐξαγγελλόμενα διηγήματα λέγεται. πολλαχοῦ δὲ οἱ ῥήτορες τὸν μεταβατικὸν

βατικὸν δὲ, ἐρωτηματικῶς προαγόμενον διφθογγραφεῖσι. Χρυσόμ. σὺ ταῖς πράξεσιν, γύ, εἰπὲ γάρμοι, ὅταν τις χήματα πολλὰ κεκτημένος, μὴ ἀναλίσκῃ, ἀλλὰ κατέχῃ, οὐχὶ πάντος δεσμίου χαλεπώτερον τὴν φειδωλείᾳ δεσμεῖται; τί δαὶ, ὅταν τις ἑμαρμενὴν ἑαυτὸν ὑποβάλλῃ; τί δαὶ, ὅταν παρατηρήσεσι; τί δαὶ, ὅταν συμβόλοις; τί δαὶ, ὅταν ἐπιθυμίᾳ ἀλόγῳ καὶ ἔρωτι;

Ο Δ' Ἀταὰρ, καὶ Αὐταὰρ, ἀρκτικοὶ,

Λόγου δηλαδὴ, καὶ λέξεως δὲ παρὰ ποιηταῖς. ἔστι δ' ἔξ καὶ τοῖς λογοχαράφοις. προϋπάρχων δ' ὁ ἀταὰρ, γεννᾷ τὸν αὐταὰρ, αἰολικῇ ἐπενθέσει τοῦ υ.

Καί τοι τῷ Δέ, ἰσοδυναμοῦντες.

Εἰ γάρ τοι καὶ τὸν δὲ, καὶ ἔτοι μεταβασιν σημασίας ποιοῦνται, οὐκ εἰσὶν ὅμως αὐτῷ ὁμοιοπαγεῖς, ἀλλὰ τοῦ μὲν, ἐπιτακτικοῦ ὄντος λόγου καὶ λέξεως, ἔτοι ἀμφοῖν ἀρκτικοί. οἷον,

Αὐταὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἦδὲ ἔρον ἔντο.

Ἰλ: α', καθ' ὑπερβατὸν, αὐτὶ τοῦ ἔρον ἐξεύτο, ἤγουν ἀπέβαλον, προσκορεῖς ἐγένοντο.

Ἀταὰρ ἔτί μοι ἔνθάδε τοῖον ὁ δὲ Ἄλλα, ἐστὶν ἐπιτακτικός.

Ἀπὸ κοινοῦ τοῦ, λόγου.

Τυδεὺς μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής. ὡς εἶπε αὖ.

Οὐ μόνον λόγου, ἀλλὰ

Καὶ τοῦ μὲν

Τοῦ ἀρκτικοῦ λόγου τυγχάνοντος,

Ἐπακολουθητικὸς δὴ ἦ ἔτος.

Καθὰ δὴ καὶ ὁ δέ. πολλαχοῦ δὲ ὁ ἄλλα, εἰς τὸν συναντιωματικὸν ὅμως μεταλαμβάνεται, ὡς σὺ τῶ, μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής. ἰλ, ε'. ἴσον γάρ ἐστι τῷ, μαχητὴς ὅμως. καὶ Σωφρ. ἐπιστλ. ε', ἀγαθὸν πεποιθέναι ἐπὶ Κύριον, ἢ πεποιθέναι ἐπ' ἄνθρωπον. ἀλλὰ τὰς ἐκ τῆς αἱρέσεως διαιρέσεις πεφεύξομαι, Κυριακὸν προσηγορίαν μεσάσας, μοιχᾶσθαι πάλιν τῆς ἐκκλησίας. ὅ τοιοῦτόν ἐστιν. ἀγαθὸν τὸ ἐπὶ Κύριον πεποιθέναι, οὐχὶ ἐπ' ἀνθρώπων, οἱ διγνωμιανοὶ ὅμως τἀναντία ποιοῦντες, ὡς πεφεύξομαι, οὐκ ἐπὶ Κύριον, ἐπὶ δὲ Κυριακὸν, ἄνθρωπον πεποίθασι. Καὶ αὐτὶ τοῦ ᾧ, ὡς αὐτὸς ἐπιστλ: 127. οἶδα, φρονῶν, ἔφην, καὶ λαοδικείας περίφοβος. ἀλλὰ μὴν τὸν Παπαδιον τὰς πινακίδας Εὐθάλιος ὁ λαοδικεὺς ἔχει λαβών. αὐτὶ τοῦ μετὰ ᾧ τὸν παπαδιον. Ἐπιτακτικὸς δὴ ὢν ὁ ἀλλὰ, δῆλον ὡς σὺ ἀρχῇ νοήματος παρέλκει, μηδεμίαν δηλοῦσα ἑρμηνείαν αὐτῷ ἀνήκουσαν. ὡς ἰλ, ψ'. ἀλλ' ὅς μὲν ἵππουσι καὶ ἅρμασιν οἷσι πεποιθώς. καὶ τοῦτο ὦ, δὲ περιττόν ἐστι ἀττικῶς. ἀλλὰ σὺ τόν γ' ἐπέεσσι παραιφάμενος, κατέρυκες. κεῖται δὲ καὶ αὐτὶ τοῦ ἰσοδυναμοῦντος οἱ δὲ, ὡς σὺ τῷ, ἄ, ἰλ. ἀλλ' οὐκ ἀξείδη ἀγαμέμνονι ἴσα δαινυ θυμῷ. ἀλλὰ κακῶς ἀφίει. ἄτερος γὰρ αὐτῷ αὐτὶ τοῦ δὲ, εἴληπται. Τῷ δὲ γὰρ, λόγου καταρχοντι ἐπαγόμενος, παυτοδυναμεῖ σὺ πολλοῖς τῷ δὴ, ὡς κ', οδ. ὦ φίλοι οὐ γάρ πω καταδυσώμεθα εἰς ἅδου, ἀλλὰ μνησώμεθα βροτείης. καὶ, ὦ φίλοι, οὐ γάρ τ' ἴσμεν ὅπῃ ζόφος, οὐδ' ὅπῃ ἠώς, ἀλλὰ φραζώμεθα θᾶσσον. κατοῖς περὶ κίρκης. ὦ φίλοι, οὖδον γάρ τις καλὸν αἰσιάσει, ἀλλὰ φθεγγώμεθα θᾶσσον. σὺ οἷς δυνατὸν καὶ ᾧ παρολκὴν ἐκλαβεῖν

ἐκλαβεῖν τὸν ἀλλὰ, τὸν ἐπακολουθητικὸν λόγου, οὗ κατάρχει ὁ γὰρ, καθ' ὑστερολογίαν ἀναγνόντας. οἷον, ὦ φίλοι, μνησώμεθα βρώμης. οὐ γάρ πω καταδυσόμεθα εἰς ἅδην. καὶ τ' ἄλλα ὁμοίως κατὰ τὸ πρωθύστερον σχῆμα. Μάλιστα δὲ, ἄρσεως ἡγουμένης, ἐν τῇ θέσει παραλαμβάνεται. οἷον, οὐκ ἐγὼ, ἀλλὰ σὺ. οὐκ ἀναγινώσκω, ἀλλὰ γράφω. ἐξ ὧν δῆλλον ὅτι καὶ ὁ ἀλλὰ, τὰ ὅμοια συνάπτειν ἐθέλει. ὅθεν Φωτίου τὸ, ἔστι δὲ καὶ χρυσὸς ἐν τῇ ἰνδικῇ χώρᾳ, οὐκ ἐν τοῖς ποταμοῖς εὑρισκόμενος, ἀλλ' ὄρη πολλὰ καὶ μεγάλα. ἀντὶ τοῦ ἐν ὄρεσι, κτ'. Πολλαπλασιαζόμενος δὲ, ἐν μὲν ἐρωτήσει ἀντὶ τοῦ ἆρα κεῖται. ἆρα νηστείας ἐργάζεταί τις ταῖς χερσίν; ἀλλὰ παννυχίδας; ἀλλὰ χαμευνίας; Χρυσμ', α', θεσσλ. ὁμλ'. ς', ἐν ἀποφάνσει δὲ παρέλκει. ἀλλὰ θανάτου κατάλυσις ἔσται, ἀλλὰ διαβόλου ἀπώλεια, ἀλλ' οὐνῶν βασιλεία, ἀλλὰ ζωὴ αἰώνιος. Χρυσμ. ὁμλ'. γ', τῆς πρὸς Ἑβρ': Ἔστι δὲ καὶ συλλογιστικός. εὖγε, ὦ Ἥφεστε. ἀλλὰ δίελέ μου τὴν κεφαλήν. ἀντὶ τοῦ οὐκοῦν.

Ὁ δὲ Ἠμὲν, καὶ Ἠδὲ, ἀρκτικοὶ, ἀλλ' ὁ μὲν ἠμὲν, λόγου καὶ λέξεως, ὁ δὲ Ἠδὲ, λέξεως μόνης, τῷ Ἠμὲν ἐπακολουθῶν. ἠμὲν ὅσοι ναίουσιν οὐνὸν, ἠδὲ ὅσοι κληρώσαντο χθόνα. ποιητικοὶ δέγε οὗτοι.

Ἰσοδυναμοῦντες τῷ μὲν, καὶ δὲ, κατὰ πλεονασμὸν τοῦ κατάρχοντος ἦτα. οἳ καὶ τῷ ῑ, γράφονται. ἰμὲν, ἰδέ.

Οἷος δὴ καὶ ὁ Ἤτοι, ἀρκτικὸς λόγου καὶ αὐτὸς ὤν.

Ἰσοδυναμῶν τῷ μὲν, παρὰ ποιηταῖς, προηγητικός ἐστι καὶ αὐτὸς τοῦ δέ.

Ἤτοι ὅγ' ὡς εἰπὼν, κατάρ' ἕζετο.

Ἀντὶ τοῦ ὁ μὲν, οὕτως εἰπὼν, ἐκάθεζετο. (ἦν γὰρ ἱστάμενος καὶ δημηγορῶν) τοῖσι δ' ἀνέστη, κτ'. ἰλ, β'. ὥσπερ δὲ τοῦ μὲν, ὁ δὲ, οὕτω καὶ τοῦ ἤτοι ἀνταποδοτικὸς ὁ ἀτὰρ, ἢ αὐτὰρ, τούτῳ καὶ οὗτος διαφέρων τοῦ δὲ, ὥσπερ ὁ ἤτοι τοῦ μὲν. ὅτι δηλ, ὁ μὲν, ποιητῶν, ὁ δὲ, πεζῶν. φασὶ δέτινες μὴ ἔχεσθαι ἀληθείας τὸν τῶν συνδέσμων κανόνα, μὴ πανταχοῦ τὰ ὅμοια συναπτόντων, ὡς ἡ χρῆσις τῶ ἀρχαίων συγγραφέων δείκνυσι. Πλάτ, ἐν πολιτ, β', ἰατρὸν μέλλοντα ἀποδημεῖν καὶ ἀπέσεσθαι. συνέζευξεν ἐνεστῶτα μέλλοντι. Ἰσοκράτης δὲ παρατατικὸν ἀορίστῳ ἐν τῷ περὶ εἰρήνης. ἐλυμαίνοντο δὲ τὴν πόλιν, καὶ μεστὴν πολέμων καὶ στάσεων ἐποίησαν. πρὸς οὓς ῥητέον τὸ α', ὅτι τὰ σπανίζοντα οὐκ ἀναιρεῖ τὴν τῶν κανόνων ἀκρίβειαν. οὐδὲ γὰρ τὸ μέρος εἰς ἀνατροπὴν τοῦ καθόλου παραληπτέον. εἰ δὲ δεῖτι καὶ τῶν συγγράφεων ὑπεραπολογήσασθαι. ὁ μὲν Πλάτ, ἐνεστῶτα μέλλοντι συνέταξε διὰ τὸ μέλλω ῥῆμα ἐπαμφοτερίζειν πεφυκός, ὁ δ' Ἰσοκράτης, εἰ καὶ μὴ τοὺς αὐτοὺς, ἀλλ' οὖν ὁμοειδεῖς, παρῳχημένους γὰρ, συνέταξεν.

Διαζευκτικοί.

Οἱ δὲ διαζευκτικοὶ τὰ διεζευγμένα συντιθέασι. καὶ ἢ πρᾶγμα ἀπὸ πράγματος, ἢ πρόσωπον ἀπὸ προσώπου διαζευγνύντες, τὴν φράσιν ἐπισυνδοῦσιν.

Οἱ διαζευκτικοὶ συγκεχυμένην τὴν ἔννοιαν διὰ τὸ ἀόριστον ἀπεργάζονται, ὡς οὐδέτερον μέρος τῆς διαιρέσεως ὡρισμένως ἀποφαινόμενοι. ἀλλ', ἑκάτερα ἀορίστως, ὅθεν καὶ ταυτοδυναμοῦσι τοῖς ἀντιφατικοῖς μορίοις τῷ ναὶ δηλ, καὶ τῷ οὐ, δυνάμει περιέχοντες

ἔχοντες τὸ ἀντιφατικὸν ἐκεῖνο ἀξίωμα, τὸ κατὰ τοῦ αὐτοῦ τὸ αὐτὸ ἤτοι φάναι, ἢ ἀποφάναι. τὸ γὰρ εἰπεῖν, εἷς ἀνὴρ βουληφόρος ἔστω, ἤτοι αἴας, ἢ ἰδομενεὺς, ταὐτόν ἐστι τῷ ἤτοι αἴας, ἢ οὐχ οὗτος, ἀλλ' ἰδομενεύς. ἢ πάλιν, οὐχ οὗτος, ἀλλ' ἀχιλλεύς. Εἴρηται δὲ διαζευκτικὸς καθ' ὅ, τι τὰ διεζευγμένα φησίν (ἤτοι πρόσωπα ἢ πράγματα) συντίθησι. μᾶλλον δὲ καθ' ὅ, τι τὰ πράγματα ἢ τὰ πρόσωπα ἀπ' ἀλλήλων διαζευγνὺς, τὴν τοῦ λόγου ἐπισυνδεῖ φράσιν, πρὸς ἀντιδιαστολὴν τῶν ἀθροιστικῶν τε καὶ συναπτικῶν. οἵγε μετὰ τῆς φράσεως καὶ τὰ φραζόμενα πράγματα ἢ πρόσωπα ἐπισυνδοῦσιν. Ἀλλὰ γὰρ τὰ πρόσωπα φύσει ἀλλήλων εἰσὶ διεζευγμένα. τί δὲ τὸ πλέον τοῦ συνδέσμου; Ἢ ὅτι περὶ τὴν ἐνέργειαν ἢ τὸ πάθος ἐστὶν ἡ τῶν προσώπων ἕνωσις ἢ διάζευξις. κοινῆς μὲν γὰρ οὔσης τῆς διαθέσεως, ἑνοῦται κατ' αὐτὴν καὶ τὰ ὑποκείμενα, διαζεύγνυται δὲ, τὸ μὲν, τούτων τιθέμενον, τὸ δὲ, αἱρόμενον, μὴ οὔσης κοινῆς. τὸ δὲ πρᾶγμα τινὲς μὲν τῶν φίφων ἐν τῇ κατ' αὐτοὺς λεγομένῃ Ὀντολογίᾳ ἐπὶ μόνης τῆς καθ' ἕκαστα οὐσίας εἰσὶν εἰληφότες, τῷ, πράγματι καὶ ἰδιοσυστάτως μόνην αὐτὴν ὑφεστάναι. ὁ δὲ Θεόδωρος κατὰ τοὺς παλαιοὺς ἁπλῶς αὐτὸ ἐξελάβετο κἀπὶ τῶν ἐνυπαρχόντων τῇ οὐσίᾳ. εἴγ' ἐν τῷ

Νῦν ἄρκιον ἢ ἀπολέσθαι, ἠὲ σωθῆναι.

Ἰλ, ὁ. τὰ διεζευγένα, πράγματα ὄντα κατ' αὐτὸν, οὐκ εἰσὶν οὐσίαι. κατὰ γὰρ τὸν παρὰ Πλουτάρχῳ Πλάτωνα, τῷ μὲν ῥήματι τὰ πράγματα καὶ τὰ πάθη, τῷ δὲ ὀνόματι τοὺς πράττοντας αὐτὰ καὶ πάσχοντας ἀποχρώντως δηλοῦμεν. ἐν τούτοις μὲν δὴ ὁ ἢ, πράγματα διέζευξε, πρόσωπα δὲ ἐν τῷ

Εἷς δέτις ἀρχὸς ἀνὴρ βουληφόρος ἔστω, ἢ αἴας, ἢ ἰδομενεὺς, ἢ δῖος ὀδυσσεύς.

Ἰλ, α. Φασί τινες ἐνταῦθα τὸν ἢ, μὴ διαζευκτικὸν, ἀλλὰ παραδιαζευκτικὸν εἶναι. ὡς κἀν τῷ, δός μοι ἤτοι χρυσὸν, ἢ ἄργυρον. καθ' ὅ, τι τὰ ἀλλήλοις ἀντικείμενα, διεζευγμένως συντάσσεται. οἷον, ἤτοι φῶς ἐστιν, ἢ σκότος. ὧδε δὲ ὁ αἴας καὶ ὁ ἰδομενεὺς, καὶ ἁπλῶς τὰ ὁμοειδῆ, ἢ καὶ ἑτεροειδῆ οὐκ ἀντίκειται ἀλλήλοις. οὐδὲ γὰρ ἀλλήλων εἰσὶν ἀναιρετικά. οὐκ ἄρα οὐδὲ ὁ ἢ, ἐνταῦθα διαζευτικὸς ἂν εἴη. Ἢ ὅτι οὐ παραδεκτέον τὴν ἐλάττονα ἀποφατικὴν οὖσαν. ἐξ ἧς ἐπὶ τοῦ α', σχήματος οὐδὲν ὑγιὲς συμπεραίνεται. Εἶεν, τί δὲ ἐπὶ τοῦ β'; τὰ διεζευγμένως συντασσόμενα, ἀντίκειται ἀλλήλοις, τὰ δὲ ὁμοειδῆ τε καὶ ὁμογενῆ οὐκ ἀντίκειται ἀλλήλοις, διαφέρει δὲ μόνον, ἄρα. ἡ μὲν γὰρ ἐναντίωσις δύοιν ἐστὶ ποιοτήτων μόνον, ἢ καὶ ποιῶν, οὐμὴν οὐσιῶν, τῶν δὲ οὐσιῶν ἡ διαφορὰ μόνη, οὐμὴν καὶ ἡ ἐναντίωσις. ταύτῃ τοι καὶ τὸ μὲν ἕτερον καὶ διάφορον καὶ ἄλλο, λέγεται ἐπὶ τῶν οὐσιῶν, ἐπὶ δὲ τῶν ποιοτήτων τὸ ἐναντίον, τὸ ἀντικείμενον, καὶ τὸ ἀντίθετον. Ἢ ὅτι οὐδ' ἐνταῦθα παραδεκτέον ψευδομένην τὴν ἐλάττονα. τὰ μὲν γὰρ ὁμογενῆ τῶν ἀμέσων εἰδῶν λέγεται ἀντιδιαιρούμενα, ἀντιδιαιρεῖσθαι δὲ ἐστὶ τὸ ἐκ τοῦ αὐτοῦ γένους τμηθέντ' ἄττα, ἀντικεῖσθαι ἀλλήλοις. τὰ ἄρα ὁμογενῆ τῶν εἰδῶν ἀντίκειται ἀλλήλοις. καὶ γὰρ κατὰ τὸν φίφον μεταφ, δ'. ἐναντία λέγεται καὶ ὧν ἡ διαφορὰ κατὰ γένος ἢ κατ' εἶδος. καὶ ἄλλως δὲ, οὐσίας οὐσία, ᾗ οὐσία, οὐδὲν διαφέρει, φημὶ δὴ ἐπὶ τῶν ἐνύλων, ὅτι μὴ τῷ λόγῳ τῶν ποιοτήτων, τῶν ἤτοι οὐσιῳδῶν ἢ ἐπουσιῳδῶν. τῇ δὲ ποιότητι παρέπεται ἡ ἐναντίωσις. ὅπου ἄρα διαφορὰ, ἐκεῖ καὶ ἐναντίωσις. εἴγε καὶ κατὰ τὸν ἐκ δαμασκοῦ φωστῆρα

βιβλ. α'. κφ. ε', ἡ διαφορὰ ἐναντίωσιν εἰσάγει. (παρεκτὸς τῷ ἐπὶ Χῦ καθ' ὑπόστασιν συνελθεῖν δύο φύσεων.) τὰ δὲ ὁμοειδῆ ἢ ἑτεροειδῆ διαφέρει ἀλλήλων, τὰ μὲν, τῷ εἴδει, τὰ δὲ, τῷ ἀριθμῷ, εἴτ' ἐν τοῖς μὲν, ταῖς ὑσιώδεσι καὶ εἰδοποιοῖς διαφοραῖς, τὰ δὲ, ταῖς ἐπουσιώδεσι. καὶ ἀλλήλοις ἄρα εἰσὶν ἀντικείμενα, καθ' ὃ διαφέρει, ἀλλήλοις συνερεχθῆναι μὴ δυνάμενα. καὶ ταῦτα δὴ καὶ ὁ χρυσὸς καὶ ὁ ἄργυρος ταῖς ἑκατέρων ὑσιώδεσι καὶ συσατικαῖς διαφοραῖς ἀλλήλοις ἀντίκειν.

Οὐγὲν Ἤτοι ἰσοδυναμῶν τῷ Ἢ, προτακτικός ἐστι τὸ Ἢ, ἤτοι ἀγαθὸν, ἢ φαῦλον.

Οὐκ ἐστι διαζευγνύων μὲν, μόνος δὲ, μεθ' ἑτέρου δὲ ἢ, λέγειν, προπαττόμενος ἀεί ποτε τάττε. ὅτι μὴ παρὰ ποιηταῖς διὰ τὴν τοῦ μέτρου ἀνάγκην. ὅθεν Μένανδρος εἰπὼν, ἢ νῦν ἡμέρα δίδωσί μοι ἢ βαβολῖν, ἤτοι δέξαν, ἐσολοίκισεν.

Ἰσοδυναμῶν δὲ τῷ Μὲν,

Οὐκ ἐστι συμπλεκτικὸς ὤν,

Ἀρκτικὸς γίνεται λόγων τοῖς ποιηταῖς.

Δίχα τοῦ ἑτέρου ἢ, λεγόμενος.

Ὡς εἴρηται.

Ἐν τῷ τέλει τῆς συμπλεκτικῶν. οἷον;

Ἤτοι ὃγ' ὡς εἰπὼν,

Ὁ δὲ ἤτοι καὶ ὁ μὲν, ἄλλως διαφοροί ὄντες, ὅμως διαφέρουσι. καθ' ὅ, τι ὁ μὲν ἤτοι, ἐν καταρχῇ ἀεὶ λόγου τίθεται, ὁ δὲ μὲν, ἐ πίπτει ποτὲ ἐν ἀρχῇ λόγου. καὶ ὁ μὲν ἤτοι, ποιητικός, ὁ δὲ μὲν, τῆς κοινῆς φράσεως. Ἴσιον δὲ ὡς οἱ μεθ' Ὅμηρον τὸ

ἤτοι χυδαϊσὶ μὲν, ἑρμηνευτικὸν οἷον δὴ σύνδεσμον, καθὰ καὶ τὸ ἦγον καὶ τὸ εἴτ' ἔν, ἀπερισβῶς δὲ νοήματα διαζευγνύουσιν ἐν αὐτῷ. οἷον, ἤτοι τέθνηκε, ἢ ζῇ. καὶ ἤτοι αὖός ἐστιν, ἢ ἕτερόν τι ζῷον. ὁμοίως καὶ τὸ εἴτε διὰ τὸ ἤτα χεαφόμενον παρ' Ὁμήρῳ, τὸ τε, παραπληρῶντος, ἵνα ὦσιν αἱ συνήσοι ὦσι διὰ τὸ ἤτα χεάφειν, ὡς ἐν τῷ, ἦτ' ἐχέμυθε. εἰθισμένη δὲ ἄλλως, ἐπιχείρει διαφθόγγε εἶναι τὸ ἤτε, πρὸς ὁμοιότητα τοῦ εἰτε. καὶ τὸ εἴτ' ἔν δὲ ἑρμηνευτικὸν ἄλλως ὂν παρὰ τοῖς ὕστερον, ὁ Θεόδωρος ἐν τῷ τῆς ἐγκλίσεων ὁρισμῷ διαζευκτικὸν ἐξελάβετο.

Διαζευγνύων μὲν τοίνυν ὁ Ἢ,

Τὰ ὡς εἶπεν πράγματα, ἢ πρόσωπα.

Ἀορίστως,

Οὐκ ἐστιν ἀσαφῶς. προσκειται δὲ τὸ ἀορίστως πρὸς αὐτὸ διὰ τὸ ἐξῆς ὡρισμένως, ὅ ἐστι σαφῶς διαζευγνύοντος, οὐθενὸς καὶ διασαφητικοῦ ὄντος.

Οὐκ αὖθις ἕτερος Ἢ λέγεται, ἤτοι προσκειμένου

Ὡς ἐν τῷ προλελεγμένῳ παραδείγματι· εἷς δέ τις ἀνὴρ βελτίονος ἔσω. ἐν ᾧ τὸν διαζευγνυμένων τὸ μὲν, ἐτέθη, τὸ δ' ἀποτεθεῖτο, μὴ ὁρίζον πότερον τὴν δύσιν, ἀλλ' ὁπότερον ἔτυχεν.

Ἢ νοουμένου.

Τεθναίης, ὦ πρόπατ, ἢ κἀκπαυσαι βελεφόντων. Ἰλ. ζ, αὐτὶ τοῦ ἢ τεθναίης, ἢ κτεῖναι· Γρηγόρ. ἐν τῷ εἰς Καισάρ. οἰεσθε μὲν θρήνους ἐπιβαλόντα τῷ ἀπελθόντι, ὑποδέχεσθαι τὸν λόγον, ἢ μακρὰς ἀποτεινάντα λόγους. ὅπερ ἐρωτηματικῶς, διαζευκτικῶς δ' ἀναγνωστέον. αὐτὶ τοῦ ἢ ἐπιβαλόντα θρήνους, ἢ λόγους ἀποτεινάντα. Βασίλ. ἐν τῷ

ἐν τῷ εἰς τοὺς νέους. οὐκ ἐπαινεσόμεθα τοὺς ποιητὰς, οὐ λοιδορουμένους, οὐ σκώπτοντας, οὐκ ἐρῶντας, ἢ μεθύοντας μιμουμένους. ἐν ᾧ ἤτοι τοῦ ἢ μένοντος κατὰ χώραν, καὶ τὰ τοῖς πτωτικοῖς συμφερόμενα ἀποφατικὰ ἀντὶ τοῦ ἢ ληφθήσεται. ἢ καὶ τὸ ἢ ἀντὶ τοῦ οὐ, εἴληπται, ἔχον συνεννοούμενον καὶ αὐτὸ κατὰ τὰ λοιπὰ τὸ ἐπαινεσόμεθα. ὁ αὐτὸς ἐν τῷ αὐτῷ. οὐ γὰρ δὴ τῶν μὲν χειρωνακτῶν ἔστι τι πέρας τῆς ἐργασίας, τοῦ δὲ ἀνίνου βίου σκοπὸς οὐκ ἔστι. πρὸς ὃν ἀφορῶντα, πάντα ποιεῖν καὶ λέγειν χρὴ τόν γε μὴ τοῖς ἀλόγοις προσεοικέναι μέλλοντα. ἢ οὕτως ἂν εἴημεν κατὰ τῶν πλοίων τὰ ἀνερμάτιστα. ἐν ᾧ τὸ οὐχὶ οὐκ ἔστι, τὸ ἔστι συνάγει. ἔστιν ἄρα κἀκείνων καὶ τούτου σκοπός. ἤτοι τοιγαροῦν πρὸς αὐτὸν ἀφορᾶν δεῖ. ἢ εἴημεν ἂν, μὴ ἀφορῶντες, κτ. οὕτως οὖν καὶ τὸν συνεννοούμενον ἢ, ληπτέον. οὕτω καὶ Πλάτωνος τὸ πᾶσα ἀνοῦ ψυχὴ φύσει θεᾶται τὰ ὄντα, ἢ οὐκ ἂν ἦλθεν εἰς τόδε τὸ ζῷον. ἐν ᾧ τινες τὸ ἢ, ὅπως προσαγορευτέον, καί τοι σφόδρα περὶ τὰ τοιαῦτα δοκοῦντες σπουδάζειν, παρασιγῶντές γε μὴν ἀπολείπουσι, ταλαίπωρον ἡγούμενοι τὴν περὶ τούτου ζήτησιν. ὁ γοῦν ἢ, ᾧδε οὔτε διασαφητικός ἐστιν. οὐδὲ γὰρ αὐτὸς ἀναιρεῖ τὸ ἑπόμενον, οὔτε λυτικὸς, ἀπορίας μὴ προηγησαμένης, οὔτ' αὖ ἀπορηματικὸς, τοῦ λόγου ἀποφαντικῶς ἐξενηνεγμένου. λείπεται ἄρα διαζευκτικὸς εἶναι, μονάζων μὲν, μὴ μέντοιγ' ἄνευ ἑτέρου ἢ, λεγόμενος συνεξακουομένου. οἷον, πᾶσα ἀνοῦ ψυχὴ ἢ φύσει θεᾶται τὰ ὄντα, ἢ οὐκ ἂν ἦλθεν εἰς τόδε τὸ ζῷον. ὅμοιον δὲ καὶ Θουκδ. α', τὸ λέγομεν ὑμῖν σπονδὰς μὴ λύειν, ἢ θεοὺς μάρτυρας ποιούμενοι, πειρασόμεθα ἀμύνεσθαι. καὶ ὁδ, τ. ὅστε τεῦ, ἢ βασιλῆος ἀμύμονος, ὅστε θεουδής. οὗ τὸ ἀκόλουθον τοιοῦτον. ἢ γάρ σοι κλέος εὐρὺ, καθὰ ἢ βασιλέως, ἢ τοῦ δέ τινος ἐνδόξου.

ὁ δὲ τοιοῦτος ἢ, ἔχει συνεννοούμενον ἔξωθεν ἐλλειπτικῶς καὶ τὸ ἡγούμενον τοῦ συνημμένου λόγου. ἤγουν, μὴ λύετε σπονδὰς, ἢ εἰ λύσετε δηλαδὴ, πειρασόμεθα ἀμύνεσθαι. πᾶσα ἀνοῦ ψυχὴ θεᾶται τὰ ὄντα, ἢ εἰ μὴ ἐθεᾶτο, οὐκ ἂν ἦλθεν. Ἔστι δ' οὗ ἀντ' αὐτοῦ ὁ ἐπεὶ παρασυναπτικὸς κεῖται. ταὐτὸ γὰρ δύναται τὸ, μὴ λύετε σπονδὰς, ἢ ἀμυνοῦμεν, τῷ, ἐπεὶ ἀμυνοῦμεν. οὕτω δὲ ληφθεὶς ὁ ἢ, οὐκ ἔχει ἕτερον ἢ συνεννοούμενον. καὶ παρὰ θεοδότῳ ἀγκύρ. πάλαι μὲν ἡ τοῦ Θεοῦ παρουσία προεμελετᾶτο, καὶ τοῖς τύποις ἀεὶ τοῖς ἀνίνοις ἐγνώσθη φαινόμενος. ἐπεὶ παρείτω ἰουδαῖος εἰς μέσον. λεγέτω μοι πῶς Μωϋσῆς εἶδε θεόν. ὥστε καὶ Δημοσθένους ὁ ἢ, ἐκεῖνος, ἀντὶ τοῦ ἐπεὶ, εἴληπται. ὀλυνθ, β'. καιροῦ μὲν δὴ, ὦ ἄνδρες, πρὸς τοῦτο πάρεστι Φιλίππῳ τὰ πράγματα. ἢ παρελθώντις, ἐμοὶ δειξάτω, ὡς οὐκ ἀληθῆ ταῦτ' ἐγὼ λέγω. συνεννοεῖται δὲ κἀπὶ τοῦ ἐπεὶ, ἡ τοῦ ὡς εἴρηται ἡγουμένου ἔλλειψις. οἷον, ἐπεὶ, εἰ οὐ προεμελετᾶτο, παρείτω, κτ. ὁ δὲ τοιοῦτος ἐπεὶ, ἀντὶ τοῦ γὰρ, εἴληπται, ὡς κἀντοῖς παρασυναπτικοῖς ῥηθήσεται. τὰ γὰρ ἄλλων μερῶν ἀναπληροῦντα τὰς ἰδιότητας, τῆς τούτων ὀνομασίας τυγχάνει κατὰ Ἀπολλώνιον. τοιοῦτο καὶ Γρηγορ. τοῦ Θεολόγου ἐν τῷ εἰς τὴν τῶν ρν', ἐπισκόπων παρουσίαν τὸ, πλείους Θῷ τρεῖς συνηγμένοι ἐν ὀνόματι Κυρίου, πολλῶν ἀρνουμένων θεότητα. ἢ καὶ τοὺς χαναναίους ἅπαντας προτιμήσεις ἑνὸς τοῦ Ἀβραάμ. ἢ καὶ τοὺς σοδομίτας ἑνὸς τοῦ λὼτ, ἢ καὶ μαδιηνέους μωϋσέως. εἰ μή που ἀπορηματικόν ἐστιν. Ἐφ' οἷς σημείωσαι ὅτι ὁ ἐρωτήσεως ἐπιτακτικὸς ἢ, ὡς ἐν τῷ ἄρα γράφει, ἢ ἀναγινώσκει; μήτε διασαφητικὸς ὢν, εἴτ' οὖν ἀναιρετικὸς, μήτε ἕτερον ἢ, προεπινοούμενον ἔχων, οὐ μᾶλλον διαζευκτικὸς, ἢ ἀπορηματικὸς ἂν εἴη, κατὰ τὸ ἄρα καὶ αὐτός. οἷον, ἄρα γράφει; ἄρα ἀναγι-

ἀναγινώσκει; καὶ γὰρ καὶ τὸ, πότερον χράφει ἢ οὔ; τοιοῦτόν ἐστι, πότερον τῶν δύοιν ποιεῖ; ἆρα, γράφει; ἄρα οὐ γράφει;

Ὡρισμένως δὲ, εἴτ' οὖν διασαφητικῶς,

Ἡνίκα δύοιν τινων προκειμένων θάτερον μὲν ὡρισμένως αἱρεῖται, θάτερον δ' ὡρισμένως ἀποπέμπεται.

Μόνος κεῖται. βούλομ' ἐγὼ λαὸν σόον ἔμμεναι, ἢ ἀπολέσθαι, σημαίνει γὰρ τὸ, καὶ οὐκ ἀπολέσθαι.

Διαφορὰ δὲ τοῦ διασαφητικοῦ πρὸς τὸν διαζευκτικὸν κατά τε τὸ ὡρισμένον καὶ τὸ ἀόριστον. καὶ καθ' ὅ, τι ὁ μὲν, δυάζει, μονάζει δ' ὁ διασαφητικός. Ζητητέον δὲ, εἰ ὁ διακριτικὸς εἴτ' οὖν ἐπιλεκτικὸς ἦ, λεγόμενος ἐν τῷ α', Βιβλ'. ὁ αὐτός ἐστι τῷ διασαφητικῷ; ὁ γὰρ διασαφητικὸς ἀποθεῖσθαι μᾶλλον δοκεῖ, ἤπερ ἐπιλέγεσθαι τὸ ὅπερ διακρίνει, μᾶλλον δ' ἀναιρεῖ.

Ὅθεν ἴσως καὶ ἀναιρετικὸς ἂν οἰκείως προσαγορεύοιτο.

Ὡς ἀναιρῶν τὸ ᾧ συνῆπται, τοῦ διαζευκτικοῦ μὴ μᾶλλον ἀναιροῦντος, ἢ τιθεμένου τὸ ᾧ συνῆπται. τὸ δὲ ἴσως ἐνταῦθα, καθ' ὃν λόγον κἀν τοῖς στοιχείοις, εἴληπται. οἰκείως γὰρ ἔχοντος τοῦ διασαφητικοῦ πρὸς τὴν ἀναίρεσιν, ἀμφιβάλλειν οὐδ' ὅλως χρὴ περὶ τῆς κατ' αὐτὸν προσαγορεύσεως. ὅτι δὲ ἰσοδυναμεῖ τῷ ἀποφατικῷ μορίῳ, ἐδήλωσε καὶ Θουκ', γ', ἑκάτερα ἐκ παραλλήλου θέμενος. ὠμὸν τὸ βούλευμα, πόλιν ὅλην διαφθεῖραι, ἢ οὐ τοὺς αἰτίους. οὐκ ἔχει δὲ ὁ διασαφητικὸς ἢ, τὸ μᾶλλον συνεξακουόμενον, ὥς τισιν ἔδοξεν, οἷον, κατέβη οὗτος δεδικαιωμένος, ἢ γὰρ ἐκεῖνος. καὶ, ἀγαθὸν πεποιθέναι ἐπὶ Κὲν, ἢ πεποιθέναι ἐπ' ἀνῶν. οὐδὲ γὰρ καὶ κατὰ τὸν θεῖον Χρυσόστ. ψαλ. ριζ', κατὰ σύγκρισιν ταῦτα προάγεται. ἀλλὰ προσκείμενον τὸ μᾶλλον, αὐτὸ μόνον ἀναιρεῖ. οἷον, ῥανὶς φρενῶν μοι μᾶλλον, ἢ βυθὸς τύχης. θελητὸς γάρ τοι καὶ ὁ τῆς τύχης βυθὸς, οὐ μὴν μᾶλλον τῆς τῶν φρενῶν ῥανίδος. μὴ προσκειμένου δὲ τοῦ μᾶλλον, τὸ ἐπιφερόμενον. ἀναιρεῖ, ὁ γὰρ εἰπὼν, θέλω τύχης σταλαγμὸν, ἢ φρενῶν πίθον, οὐδ' ὅλως πίθον φρενῶν, τύχης δὲ μόνον σταλαγμὸν ἐθέλει. καὶ τὸ ἐν τῇ ἐξόδῳ δὲ εἰρημένον, εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες, εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου, ἧς ἔγραψας. κφ', λβ'. οὕτω πως μεταφράζει ὁ θεῖος Χρυσόστ'. ἐν τῇ πρὸς ἐφεσ', ὁμλ'. ζ'. βούλομαι μετ' ἐκείνων ἀπολέσθαι φησὶν, ἢ χωρὶς ἐκείνων σῴζεσθαι. ἔνθα ὁ ἢ, διασαφητικῶς εἴληπται. φασὶ δὲ οἱ παλαιοὶ, ὡς εἰ μὲν νοηθείη ἐνταῦθα τὸ ἢ ἀπολέσθαι, ἰλ, α̃. ἀντὶ τοῦ ἤπερ, διασαφητικός ἐστιν ὁ ἢ σύνδεσμος. εἰ δὲ ἀντὶ τοῦ καὶ ἀπολέσθαι ἐμὲ, παραδιαζευκτικὸς κατὰ τὸν πορφύριον. Ἔστι δὲ παραδιαζευκτικὸς σύνδεσμος κατὰ τὸν Εὐστάθ, οὐχ ὁ θάτερον τῶν δύοιν. διαζευκτικοῦ γὰρ τοῦ τόγε, ἀλλάπως ἑκάτερα τιθείς. χιτῶνά μοι χρῆσον, ἢ καὶ ἱμάτιον. αἰτεῖ μὲν γὰρ τὸ ἕτερον, οὐ λυπεῖ δὲ καὶ τὰ δύω δοθέντα. Σὺ δέ μοι σημείωσαι ὅτι ὁ παραδιαζευκτικὸς δοκεῖ μὲν τιθέναι ἑκάτερα, ἀλλὰ διὰ τῆς παρεμπτώσεως τοῦ ἀθροιστικοῦ συνδέσμου. ἐπεὶ δίχα τούτου, οὐχὶ ἑκάτερον, θάτερον δὲ πάλιν τῶν δύοιν ἀορίστως αἱρεῖται, προσεπινοούμενον ἔχων καὶ τὸν ἕτερον ἢ, καὶ παραδιαζευκτικὸς ὤν. τὸ γὰρ, δός μοι χρυσὸν ἢ καὶ ἄργυρον, τοιοῦτόν ἐστι τὸ ὅλον. δός μοι ἤτοι χρυσὸν μόνον, ἢ οὐ μόνον χρυσὸν, ἀλλὰ καὶ ἄργυρον. ὥστε τὰ τοῦ Πορφυρίου, τῇ προκειμένῃ τοῦ παραδιαζευκτι-

ζευκτικοῦ κατὰ τὸν Εὐστάθ, ἐκδοχῇ ἀσύμφωνα,

Μοναδικῶς δὲ συντάσσεται,

Ἔτι

Καὶ ἀπορηματικὸς ὢν, ἢ λυτικός τις. Ἀπορηματικός. τί δὲ λαὸν ἤγαγ' ἐνθάδε; ἢ οὐχ ἑλένης ἕνεκ' ἠϋκόμοιο; Λυτικός. τί δὴ ποτέ τις ἀγνοεῖ τὸ τοῦ ἢ σημαινόμενον; ἢ ὅτι οὐδέποτε ἔμαθε.

Παρ' ἑτέροις τῶν ἀντιγράφων κεῖται, τί δήποτε ὁ τραπεζοῦντιος ἀγνοεῖ, κτ'. Πλήθων δ' ἦν οὗτος κατά τινας, ἀνὴρ τῶν ἐπιφανῶν καὶ τῷ Θεοδώρῳ σύγχρονος. ὃν τὰ τοῦ Ἀριστοτέλους προβλήματα λατινιστὶ ὑπομνηματίζοντα, διέλαθε τὸ τοῦ ἢ λυτικοῦ σημαινόμενον. κἀν τοῖς περὶ μηνῶν δὲ ἀμάθειαν αὐτοῦ κατηγορῶν φαίνεται, ὡς τὰ μὲν περὶ τὴν φωνὴν ἀττικοῖς ἕπεσθαι σφόδρα σπουδάζοντος, τοὺς δὲ μῆνας, ὡς ἀττικοὶ ἦγον, ὑπ' ἀπειρίας μὴ ὀνομάζοντος. παρ' ἄλλοις δὲ γράφεται καὶ οὕτω, τί δήποτε ὁ πορνοβοσκὸς τραπεζούντιος ἀγνοεῖ; κτ'. τοῦτο δὲ, ὡς τῆς τοῦ Θεοδώρου μεγαλοφυΐας ἀλλότριον, οἱ τὸν ἄνδρα θαυμάζοντες, ἐν τοῖς πλείοσι τῶν ἀντιγράφων ὠβελίσαντο. Τριχῶς ὁ Ἢ, σύνδεσμος μοναδικὸς ὢν, συντάσσεται. διασαφητικῶς, ἐν οἷς δυοῖν τινων, ὡς εἴρηται, προτεθέντων, ὡρισμένως θάτερον μὲν αἱρεῖται, θάτερον δ' ἀποπέμπεται. ὅθεν καὶ διασαφητικὸς εἴρηται εἰς ἀντιδιαστολὴν τοῦ ἀσαφοῦς διαζευκτικοῦ. Ἀπορηματικῶς τε καὶ Λυτικῶς. καὶ Ἀπορηματικῶς μὲν, ἔνθα καθ' ἑαυτοὺς ἀποροῦντες, αὐτῷ χρώμεθα δίχα ἐρωτήσεως, ὡς ἐν τῷ, ἢ οὐχ ἑλένης ἕνεκα; ἰλ. ῑ. ἐν ᾧ καὶ ἡ λύσις τῆς ἀπορίας συνυπακούεται ἔξωθεν, ἀντὶ τοῦ, ναὶ τῆς ἑλένης ἕνεκα. ὡς κἀν τῷ, τίς νύσε κῆρ ἐδάμασε τανηλεγέος θανάτοιο; ἢ δουλιχὴ νόσος; ἢ ἄρτεμις ἰοχέαιρα; ὀδ, λ̄. κἀν τῷ, ἢ ὅ γε φάσγανον ὀξὺ ἐρυσάμενος; καὶ, ἠὲ χόλον παύσειε; τοιοῦτο καὶ Βασιλείου πρὸς τοὺς νέους τὸ, ἢ τί ποτε ἄλλο διανοηθέντα τὸν ἡσίοδον ὑπολάβωμεν, ταὐτὶ ποιῆσαι τὰ ἔπη; ἢ οὐχὶ προτρέποντα τοὺς νέους ἐπ' ἀρετῇ; ὧν ὁ μὲν α', ἀντὶ τοῦ ἐπεὶ, κεῖται, κατὰ τὸ, ὡς εἴρηται, μὴ λύετε σπονδὰς, ἢ ἀμυνοῦμεν. ὁ δὲ β', ἀντὶ τοῦ ἄρα, τοῦ κατ' ἐρώτησιν προπερισπωμένου. ὁ αὐτὸς κατὰ τῶν ὀργιζομένων, ἢ τὸ μὲν ἀλλότριον κακὸν ἐπιμελῶς καταβλέπεις, τὸ δὲ σεαυτοῦ αἰσχρὸν οὐδαμοῦ τίθεις; ἐπὶ τὸ πολὺ δὲ τὸ οὐχὶ ἔχει ἐπακολουθητικὸν ὁ ἀπορηματικὸς ἢ. καὶ ἐρωτηματικῶς δὲ λαμβάνεταί ποτε δὶς καὶ τρὶς ἐν διαζευκτικαῖς ἐννοίαις ἐντελέσιν. οἷον, ἢ ἔτι μυρμιδόνεσιν, ἢ ἐμοὶ αὐτῷ; φασὶ δέ τινες τὸ τοιοῦτον ἀπορηματικὸν ἢ, ψιλούμενον περισπᾶσθαι, οὐχὶ βαρύνεσθαι· ὅ γε μὴν Θεόδωρος ἐν τοῖς διαζευκτικοῖς τῶν συνδέσμων, τὸν ἀπορηματικὸν ἢ συνέταξεν. οἵ τινες ἀγνοοῦσι τὴν περισπωμένην. τὰ γὰρ περισπώμενα ἢ, οὐ σύνδεσμοι, ἀλλ' ἐπιρρήματα βεβαιωτικά τε καὶ τοπικὰ καὶ ὁμοιωματικά. ὡς ἐν τῷ τρίτῳ περὶ τόνου καὶ χρόνου συνδέσμου εἴρηται. Λυτικὸς δὲ, ἔνθα εἰς λύσιν ἀπορίας ἡγησαμένης αὐτὸν παραλαμβάνομεν. οἷον, διὰ τί ἐπαινεῖται ἡ μέλισσα; τοῦτο ἀπορία. λύσις δὲ ταύτης τὸ, ἢ ὅτι ἀγαθὴ ἐργάτις ἐστί. τοιοῦτο κἀν τῷ, ἢ ἵνα ἀλγὲ ἔχωσιν. ἰλ, ρ̄. εἰπὼν γὰρ ἐπαπορητικῶς, τί σφωῒ δῶμεν πηλῆϊ; λύει, ἢ ἵνα ἀλγῆτε. Ἐκ τούτου δὲ λαβόντες οἱ ὕστερον σοφοὶ, οὕτω καὶ αὐτοὶ ἐπιλύονται τὰ παρ' αὐτοῖς ἀπορούμενα, κατάρχοντες δι' αὐτοῦ τῶν παρ' αὐτοῖς λύσεων. οἷον, διὰ τί τόδε γίνεται; τοῦτο ἀπορία. λύσις δὲ τὸ, ἢ διὰ τόδε

ἢ διὰ τόδε. καὶ Γρηγόριος ὁ θεολόγ, λόγῳ περὶ τοῦ πάσχα, διαπορούμενος εἰ πάντας ἁπλῶς ἔσωσεν ὁ Χ̅ς, καταβὰς εἰς ᾅδου; εἶτα τὴν ἀπορίαν ἐπιλυόμενος, φησὶν, ἢ κἀκεῖ τοὺς πιστεύσαντας. τὸ δὲ συμπεπλεγμένον κἀκεῖ, προσυπακουόμενον ἔχει τὸ, ὥσπερ ἐπὶ τῆς γῆς οὐ πάντας, ἀλλὰ τοὺς πιστεύσαντας, οὕτω καὶ ἐν ᾅδου οὐχὶ πάντας, ἀλλ' οὓς ἡ τοῦ φυσικοῦ νόμου τήρησις ἔφθη προδιατιθεῖσα εἰς τὸ καταξιωθῆναι ἰδεῖν τὸ ἐπιλάμψαν φῶς καὶ πιστεῦσαι. τοὺς δὲ μὴ πιστεύσαντας οὐκ ἔσωσεν. οὐκ ἐπίστευσαν δὲ, οἱ μὴ ἰδόντες τὸ φῶς. οὐκ εἶδον δὲ, οἱ μὴ καταξιωθέντες. οὐ κατηξιώθησαν δὲ, οἱ μὴ κατὰ φύσιν παρὰ δὲ φύσιν ἐν γῇ διαβιώσαντες. τὸ γὰρ, ἀνεκτότερον ἔσται γῇ σοδόμων ἢ τῇ πόλει ἐκείνῃ. οὐ τῶν σωθησομένων τῇ τοῦ Χ̅ου εἰς ᾅδου καταβάσει τοὺς σοδομίτας ἐμφαίνει. τινὲς δὲ τοῦτον τὸν ἢ, διαζευκτικὸν ἀμαθῶς ἐξεδέξαντο. δῆλον δὲ ὡς ταὐτόν ἐστι, λύσιν τε καὶ τὸν ἢ, ἐπεμβαλεῖν τῷ κειμένῳ. οὐδὲν γὰρ ἀλλ' ἢ λύσις ἐστὶν, ἐξηγούμενος. καθὼς καὶ οἱ τῶν ἱερῶν κανόνων διερμηνευταὶ ἁπανταχοῦ ἐν τῷ ὕφει μετὰ τὴν ἀπορίαν τὸ, λύσις παρεντιθέασι. Καὶ ἀντὶ τοῦ ἴσως τὸ ἢ λυτικὸν, ὡς ἐν τῷ, ἢ οὐκ ἄργεος ἦεν ἀχαϊκοῦ. τοῦτ' ἔστιν ἴσως οὐκ ἦν ἐν τῷ ἄργει. ἔστι δὲ καὶ οὕτως εἰπεῖν, ὁ δεῖνα ἐξέπεσε τοῦ τέρματος, καὶ πάντως ἢ (ἀντὶ τοῦ ἴσως) αὐτὸν ἔφυγον τὰ ἡνία. Ἀπορία δὲ καὶ ἐρώτησις εἴτ' οὖν πεῦσις τῷ μὲν ὑποκειμένῳ εἰσὶ ταὐτὰ, ἀγνοοῦντος γάρ εἰσιν ἑκάτερα. τῷ δὲ χρόνῳ εἰσὶ διαφέροντα. καθ' ὅ, τι ὁ εἰς κατάληψίν τινος ἐλθεῖν προθυμούμενος, πρῶτον μὲν καθ' ἑαυτὸν ἀπορεῖν, εἴτ' οὖν συζητεῖν ἄρχεται περὶ τούτου, ἔπειτα καὶ διαπυνθάνεσθαι τοὺς εἰδότας. πάντες καὶ γὰρ οἱ ζητοῦντες, ἀπὸ τοῦ θαυμάζειν ἄρχονται κατὰ τὸν φιλόσοφον. ὅθεν ἡ μὲν ἐρώτησις, πρός τινά τέ ἐστι, καὶ ἐπαγομένην ἔχει καὶ τὴν ἀπόκρισιν, ἤτοι προσκειμένην, ἢ νοουμένην, ἡ δ' ἀπορία οὔ, ἀλλ' ἄνευ ἀποκρίσεως κεῖται καθ' ἑαυτήν. ὅτι δὲ ἐπαπορεῖ τις πρῶτον, εἶθ' οὕτως ἐρωτᾷ, δηλώσει καὶ ὁ Θεόδωρος, εἰπὼν τοὺς ἀπορηματικοὺς τῶν συνδέσμων ἐπαποροῦντι καὶ ἐρωτῶντι ἥκειν εἰς χρῆσιν. Τὸ Ἢ, ψιλούμενον καὶ βαρυνόμενον πρὸς τοῖς ἄλλοις καὶ ἰσοδυνάμον ἐστιν τῷ εἰ. οἷον, ἢ καὶ ἐμὸν δόρυ μαίνεται ἐν παλάμῃσι. καὶ, ἢ τοιός δε ἐών. λαμβάνεται δέποτε καὶ ἀντὶ τοῦ Εἰμή. οἷον, τί ἂν καλὸν ἐποίησα, ἢ τὸν ἄνδρα τοῦτον θαυμάσας; ἤγουν, εἰ μὴ θαυμάσας; τοῦτο δὲ ἰσοδυναμεῖ τῷ ἀλλά. καὶ Συγκριτικόν. οἷον, τοῦ ἑλομένου τὸ ἀγαθὸν οὐχ ἧττον, ἢ τοῦ παραχόντος τὰ σπέρματα. Λαμβάνεται καὶ ἀντὶ τοῦ παρὸ διαφορικῶς, ἐν ἴσῳ πως τῷ διασαφητικῷ, ἢ ἐπιτατικῶς ἀντὶ τοῦ πολλῷ μᾶλλον. ὡς ἐν τῷ, καὶ γάρ τις τἄλλοιον ὀδύρεται ἄνδρα ὀλέσασα, ἢ ὀδυσσῆ. ὀδ, τ̅. ὡς εἴ τις εἴποι πολῷ δὴ πλέον τὸν ὀδυσσέα χρὴ κλαίεσθαι. Ἔτι καὶ ἀντὶ τοῦ Καί. ὡς ἐν τῷ, ἡ δὲ φθεγξαμένου τεύ, ἢ αὐδήσαντος ἤκουσεν. ὀδ, ῑ. κἀν τῷ, κτείνεις ἠὲ δόλῳ ἢ ἀμφαδόν. ὀδ, λ̅. Πλούταρχος, δὶς ἢ τρεῖς τοῦτο ἐποίησαν. Θουκδ. ά, καὶ οὐκ ἴσμεν, ὅτι τά δε τριῶν τινων τῶν μεγίστων ξυμφορῶν οὐκ ἀπήλλακται, ἀξυνεσίας, ἢ μαλακίας, ἢ ἀμελείας. κἀν τῇ β́, καὶ δὶς μὲν, ἢ τρὶς ἀπεκρούσαντο. Λουκιαν. ἐπεθύμησα, ὦ ἑρμῆ, ἰδεῖν, ὁποῖά ἐστι τὰ ἐν τῷ βίῳ, καὶ ἃ πράττουσιν οἱ ἄνοι ἐν αὐτῷ, ἢ τίνων στερούμενοι, πάντες οἰμώζουσι, κατιόντες ἐνταῦθα. κἀν ταῖς νομικαῖς δὲ βίβλοις εὕρηται πολλάκις ὁ διαζευκτικὸς ἢ, ἀντὶ τοῦ καὶ, συμπλεκτικοῦ παραλαμ-

παραλαμβανόμενος. φησὶ γὰρ βιβλ'. μδ', τίτλ, γ', ἐάν τις γράψῃ ὁ δεῖνα, ἢ ὁ δεῖνα ἔσται μου κληρονόμος. καὶ, τόνδε ἢ τόνδε ἐλευθερῶ. καὶ τίτλ, ιέ, τοῦ αὐτοῦ. ἐὰν ληγατεύσω τῇ γυναικί μου κόσμια, ἢ ὅσα χάριν αὐτῆς ηὐτρέπισα, πάντα λαμβάνει. τοῦ ἢ ἀντὶ τοῦ καὶ, εἰλημμένου. καὶ ὁ β', δὲ τίτλος τοῦ β', βιβλ'. ὃς περὶ ῥημάτων ἐπιγέγραπται σημασίας, ἐν κφ'. νγ', φησὶν, ὁ συμπλεκτικὸς καὶ ὁ διαζευκτικὸς ἔσθ' ὅτε ἀντ' ἀλλήλων παραλαμβάνονται. καὶ Θιόδωρος δὲ κατ' ἀρχὰς ἐν τῷ, ἢ ἐπιρρήματα, ἢ προθέσεις, ἢ τάξιν συνδέσμων ἐναλλάσσειν, ἀντὶ τοῦ καὶ, τὸν ἢ, εἴληφεν. Ἔστι δ' οὗ καὶ ἀντὶ τοῦ δὴ κατὰ παρολκὴν, ὅτε φασὶ καὶ ἐγκλίνεται. ὃ καὶ καινόν. οἷον, ἐπείη πολὺ φέρτερός ἐστιν. ἰλ, θ'. κἀν τῷ τίη; τῷ τί, πευστικῷ ὑποταττόμενον. Καὶ ἀντὶ τοῦ οὐ, δὲ ἀποφατικοῦ. Λουκιαν. ἐγὼ δὲ γελάσομαι τότε, γνωρίσας αὐτῶν ἕκαστον ἐν τῷ σκαφιδίῳ μήτε πορφυρίδα, μήτε τιάραν, ἢ κλίνην χρυσῆν κομίζοντα. Ὁ δὲ ἐν ταῖς τῶν λόγων ὑποσχέσεσιν, εἴτ' οὖν ἐπιγραφαῖς ἐμφερόμενος ἢ, δοκεῖ μὲν καὶ αὐτὸς ἀντὶ τοῦ καὶ, εἰλῆφθαι. οἷον, λούκιος, ἢ ὄνος. μίνως ἢ περὶ νόμων. ἐπεί γε μὴν τὸ ἑπόμενον πτωτικὸν διασαφητικόν ἐστι, καὶ οἷον ὑξηγηματικὸν τοῦ ἡγουμένου, ἐπίρρημα ἂν εἴη μᾶλλον διασαφητικὸν ὁ ἢ, ἢ συμπλεκτικὸς σύνδεσμος. συνηγορεῖ δὲ τῷ λόγῳ καὶ Σωκράτης ὁ σχολαστικὸς ἐν τῷ γ', τῆς ἐκκλησιαστικῆς ἱστορίας. τότε δὴ, λέγων, καὶ ὁ σοφιστὴς Λιβάνιος θρῆνον ἐπὶ Ἰουλιανῷ συνέταττεν. ὃν ἰουλιανὸν ἤτοι ἐπιτάφιον ἔγραψεν. ἀντὶ γὰρ τοῦ ἢ, τὸ ἤτοι τέθηκε, δηλῶν ἐκ τούτου ταυτοδύναμον ὄντα τῷ ἤτοι τὸν τοιοῦτον ἤ. ὡς καὶ Γρηγόρ. ναζιανζ. πρὸς τῷ τέλει τοῦ β', στηλιτεύ. οὗτος ὁ λόγος σοι τοῦ σοῦ μισοπώγωνος εἴτ' οὖν ἀντιοχικοῦ. ἀμφότερα γὰρ ἐπιγράφεις τῷ λόγῳ. ἐν ᾧ σημείωσαι τὸν ἢ, εἰς τὸ εἴτ' οὖν μετειλημμένον. Οἱ γὰρ συμπλεκτικοί τε καὶ διαζευκτικοὶ τῶν συνδέσμων συνδέουσιν οὐ μόνον ὁμοιόπτωτα, ἀλλὰ καὶ ὁμοειδῆ. Εἶδος δὲ λέγω τὸ κατὰ γραμματικοὺς, οὐσιαστικὸν, ἐπίθετον, ὑποκείμενον, κατηγορούμενον, ὑφεστὼς, παρυφεστώς. ὁ ἄρα τοιοῦτος ἢ, οὔτε διαζευκτικὸς, ὡς τοῦ ἡγουμένου κατηγορῶν μάλιστα, ἀλλ' οὐχὶ διαζευγνὺς τὸ ἑπόμενον πτωτικὸν, ὡς οἱ ἑκάτερα ταῦτα ἐπιγεγραμμένοι λόγοι διαστρανοῦσι, κατηγοροῦντός φημι τοῦ μὲν τίμωνος τὸ μισάνον, τοῦ δὲ Λουκίου τὸ ὀνικὸν, τοῦ δὲ μίνω τὴν νομοθεσίαν, τοῦ δὲ φαίδωνος τὴν ψυχολογίαν. οὔτε συμπλεκτικὸς, ὡς μὴ κατὰ τὸν καὶ, συμπλέκων, ἢ πανταχοῦ ὁμοιόπτωτα, ἢ τὰ ὁμοιόπτωτα καὶ ὁμοειδῶς. τὰ γὰρ συμπλεκόμενα, ἢ διαζευγνύμενα ἐν μὲν τῷ, Σωκράτης καὶ Πλάτων. ἀγαθὸς ἢ κακὸς, ἑκάτερα ὁμοειδῆ. λέγω δὴ ἔνθα μὲν, ὑφεστῶτα, ἔνθα δὲ, παρυφεστῶτα. καὶ οὐδέτερον τοῦ ἑτέρου κατηγορούμενον, ἢ ὑποκείμενον. ἐν δὲ τῷ τίμων, ἢ μισάνος, λούκιος, ἢ ὄνος, ἑτεροειδῆ. εἴγε τούτων τὸ μὲν, ἐστὶν ὑποκείμενον, τὸ δὲ, τοῦ ὑποκειμένου οἱονεὶ κατηγορούμενον, καὶ ὡς ἂν εἴπῃ τις ὁριστικὸν, ὅπερ ἐστὶ διασαφητικόν τε καὶ ἑρμηνευτικόν. εἴγε τοιοῦτο καὶ τὸ κατηγορούμενον, συνεπτυγμένος ὢν ὅρος τῆς τοῦ ὑποκειμένου φύσεως. οὔτε παραδιαζευκτικὸς, διά τε τὰ προειρημένα, καὶ ὡς μὴ κατὰ τὸν βαθὺν Εὐστάθειον καὶ τὸν καὶ, συνεπιφερόμενος. οἷον, χρυσὸς, ἢ καὶ ἄργυρος. καὶ συνελόντι ὁ ἢ, οὗτος, οὔτε πανταχοῦ ὁμοιόπτωτα, οὔτε τὰ ὁμοιόπτωτα ὁμοειδῶς συνδέων, οὔτε συμπλεκτικὸς, οὔτε διαζευκτικός ἐστιν, ἀλλ' ὡς καὶ ἡ χρῆσις ἔδειξέ τε καὶ διεσάφησε, διασαφητικὸς, ἀντὶ τοῦ ἤτοι. Ἐν δὲ τῷ περὶ παίδων ἀγωγῆς τοῦ Πλουτάρχου, τὸ μὲν οὖν πάσας τὰς προειρημένας συμπεριλαβεῖν παραινέσεις, εὐχῆς ἴσως ἢ ἔργον ἐστί. τὰ

ἅπαντα

ἅπαντα τὰ Πλάτωνος ἀγνοεῖ τὸν τοιοῦτον ἢ, ὅτι μὴ ὁ τῆς ἐγκυκλοπαιδείας τόμος. ταῦτ' ἄρα δεῖ βελτίζεσθαι οἷς ἐστιν, ὡς μὴ πᾶς αὐτοῖς πιστεύσεις συναπτοντα.

Τὸ δὲ, ἢ μᾶλλα δὴ τέθνηκε μυρί-
τιδ' ἄλκιμος υἱὸς, ἢ τὰ ὅμοια,
Οὐ συνδεσμικῶ, ἀλλ'
Ἐπιῤῥηματικῶ συντάξιν ἔχει τῶν βεβαιωτικῶν. οἷον δὴ καὶ τὸ, ἢ θέμις; τῶν ὁμοιωματικῶν.

Τὸ βεβαιωτικὸν Η', τῶν συνδέσμων τοῖς, ἦ ἄν, προσκείμενον, ἐλλειπτικῶς προάγεται. ὡς σὺ τῷ, δημοβόρος βασιλεύς. ἐπεὶ ὑτιδανοῖσιν ἀνάσσεις. Η' ἦ ἄν, ἀτρεΐδην ὕστατα λωβήσαιο. ἐλλείπει γὰρ σὺ ταῦθα ὡς λαμβανόμενον ἀπὸ κοινοῦ τὸ, εἰ μὴ ὑτιδανοῖς ἦνασσες, πάντως ἂν τἀ ἔσχατα ἂν ἐλωβήσω. καὶ Οἰκεμονίος εἰς τὰς πράξ. ἃ ἦ πρὸς ἐπίδειξιν ταῦτα ἐγίνετο, ἀλλὰ πρὸς σεῖαν. ταῦτα δὲ οἱ δισμῶ) ἐχ ἑώρων. ἢ γὰρ ἂν, ἔφυγον ἅπαντες. αὐτὶ τοῦ εἰ ἑώρων, ἅπαντες ἂν ἔφυγον. τινὲς δὲ τὸ τοιοῦτον ἢ γὰρ ἂν, αὐτὶ τῆς περιεστώσης βαρυνόντες, οὐκ ἐπιῤῥηματικὸν βεβαιωτικὸν, συναπτικὸν δὲ σύνδεσμον ἐκλαμβάνουσιν, οὐκ ὀρθῶς· ἰδοὺ γὰρ ὁ συναπτικὸς σύνδεσμος ἔξωθεν προσυπακούεται τῷ τῆς ἐλλείψεως σχήματι. Ἕτεροι δὲ πάλιν τὸ σὺ τῷ ἢ διαβεβαιωτικῷ καταφατικῶς συνεξακουόμενον ἡγοῦμενον τοῦ συμπεράσματος, ὁμολογουμένως εἰλῆφθαί φασιν, ὡς σὺ τῷ, ὁ Ἄνος ἐπέφυκε πτεροφυεῖν· ἢ γὰρ ἄν, ἢ ἔπτη· τὸ γοῦν, εἰ πτεροφυεῖ; συνιεμένου σὺ τῷ ἢ γὰρ ἄν, ἀποδεδειγμένον παρασημαίνεται λαμβάνεσθαι· καὶ οἱ συναπτικοὶ ἄρα κατ' αὐτοὺς ὕπαρξιν δηλοῦσι, μὴ δηλοῦντες καὶ Θεόδωρον. ὁ δὲ φίλος σὺ τοῖς τοπικοῖς, τὰς δείξεις τῶν συνημμένων λόγων ἀναποδείκτους εἶναί φησιν, ὡς μὴ ἐξ ὁμολογουμένων προτάσεων τὸ ἡγούμενον λημματιζομένου· συναίρασε δὲ αὐτὰς οἶμαι τὸ ἐγκείμενον βεβαιωτικὸν πρόσρημα. ἀλλὰ γὰρ ἡ τότε διαβεβαίωσις οὐχὶ πρὸς τὸ ἡγούμενον, πρὸς δὲ τὸ ἑπόμενον τοῦ συνημμένου ἀποτείνεται. τὸ γὰρ πτεροφυῆσαντι πάντως ἕπεται τὸ ἵπτασθαι. Τὸ δὲ Η', φιλέμενον καὶ περιστώμενον, ἔτι καὶ ὀρνιόν ἐστιν ἐπίῤῥημα μετὰ τοῦ μὴν παραπληρωματικοῦ· οἷον, ἢ μὴν ποιήσω τόδε· ἔπω δὲ καὶ μετὰ τοῦ μὲν, ἢ μέν μοι πρόφρων ἕπεσι καὶ χερσὶν ἀρήξειν. τὸ δ' αὐτὸ καὶ βεβαιωτικόν. δασυνόμενον δὲ καὶ περιστώμενον, οὐ μόνον τοπικὸν λαμβάνεταί ποτε, ἀλλὰ καὶ αὐτὶ τοῦ ὡς, συντάξιν ἔχον τῶν παραβολικῶν ἐπιῤῥημάτων, πρὸς ὁμοιωτικὸν δηλ. ὡς σὺ τῷ, ἢ θέμις ἐστὶν, ἀναξ, ἀγορή. ἰλ, ἴ. αὐτὶ τοῦ ὡσπερεῖ πρέπον, κόμιμον. αὐτὸ δὲ καὶ ἤχι μετ' ἐπεκτάσεως γίνεται, αὐτὶ τοῦ ὅπου· ποτὲ δὲ καὶ τὸ καθ' ὃ δηλοῖ, εἴτ' ἂν τὸ μέρος· ὡς σὺ τῷ ὁ Ἄνος, ἢ μὲν λογικὸς, ἐστὶν ἀθάνατος, ἢ δὲ γηγενὴς, θνητός· τὸ γὰρ συναμφότερόν ἐστι τὸ ὅλον, μέρη δὲ τούτου ψυχὴ καὶ σῶμα· ὁ ἄρα ἢ; σὺ ταῦθα τοῦ μέρους ἐστὶ δηλωτικός· καθ' ὃν δὴ τρόπον λαμβάνεταί ποτε καὶ τὸ ὡς, ὡς ἐν τῷ, ὁ Κύριμων Γησὸς Χς, ὡς μὲν Ἄνος θνήσκει, ὡς δὲ Θεὸς ἐξανίσατο· τοῦτο δὲ τὸ ὡς, καὶ αἰτιολογικῶς ἔχει ἐξακούεσθαι; αὐτὶ τοῦ ἅτε, σὺ ἴσῳ τῷ δι' ὅ, τι; ἢ τῷ ἦ· τὸ, ἦ ὁ Χς, ὡς μὲν Ἄνος θνήσκει, ὡς δὲ Θς ἐξανίσατο, ταυτοδυναμούμενόν ἐστι τῷ, ὁ Χς ἐθανε μὲν; Ἄνος γάρ· ἐξανέστη δὲ, Θς γάρ· καὶ δὲ τὸν θεῖον χρυσόσμ, ὁμιλ· ἰά, εἰς τὸ καὶ Ἰωαν; τὸ τοιοῦτο ὡς, βεβαιώσεως καὶ ἀναμφισβητήτου ἐνδιοισμὸς; τὸ γνήσιον δηλοῦν, σὺ θα μὲν, τὸ αὐτοάνθρωπος; σὺ θα δὲ; τὸ αὐτοθεός.

τοθεός. Τὸ δὲ ἦ, φασι, καὶ τὸ καθ' αὑτό ποτε δηλοῖ εἴτ' οὖν τὸ ὅλον. οἷον, τὸ ζῷον, ἦ ζῷον, ἔμψυχόν ἐστιν αἰσθητικόν. τοῦτο δ' ἂν εἴη φασὶ τὸ αἰτιολογικῶς ἀντὶ τοῦ ἅτε λαμβάνεσθαι. οὐδαμῇ γεμὴν τὸ ἦ, ὡς εἰδικῶς λαμβανόμενον καὶ ταὐτὸν εἰπεῖν τοῦ μέρους ὂν διοριστικὸν, τῷ ὅλῳ τάττεται. οὐδεὶς γὰρ ἂν φαίη ὁ ἄνος, ἦ ἄνος, ἐστὶ λογικὸν ζῷον, θνητὸν, κτ'. ἀλλ' ἁπλῶς καὶ ἀπροσδιορίστως, ὁ ἄνος ἐστὶ ζῷον λογικὸν, κτ'. Ἰστέον δὲ ὡς τὸ ἦ, τοπικὸν μὲν ὂν, σὺν τῷ ι. γράφουσιν οἱ τεχνικοὶ, καθὰ καὶ τὸ πῇ, καὶ ὅπῃ, καὶ ἄλλῃ, ὅ ἐστιν ἀλλαχοῦ. ὁμοιωματικὸν δὲ, δίχα προσγραφῆς τοῦ ι, τιθέασι. καθὰ καὶ τὸ, ἦ νέος οὐκ ἀπάλαμνος. ἤγουν ὡς νέος οὐκ ἄναλκης. καὶ τὸ μὴ, καὶ τὸ νὴ, καὶ τὸ ἢ, σχετλιαστικὸν καὶ θαυμαστικὸν, καὶ τὸ ὠὴ, ἀνακλητικὸν καὶ σχετλιαστικὸν, καὶ τὸ ἤδη, χρονικὸν, καὶ νῦνδη ἀντὶ τοῦ ἀρτίως ἐν ἑνὶ τόνῳ. Τούτοις δ' ὁμοίως καὶ τὸ ὧδε, τοπικὸν μὲν ὂν, ὑπογράφεται, ὁμοιωματικὸν δὲ, οὐκ ἔτι.

Συναπτικοί.

Συναπτικοὶ σύνδεσμοί εἰσιν, ὁ εἰ, ἐὰν, ἂν, (οὐχ ὁ δυνητικός.) καὶ ὁ ἤν. ὧν τινες τὸν μὲν εἰ, ὑποθετικὸν, τοὺς δὲ παρὰ τοῦτον, οὐχ ὑποθετικοὺς, ἀλλὰ διστακτικοὺς καλοῦντες, εἶτα τὸν μὲν εἰ, ὡς γένος, τοὺς δὲ, ὡς εἴδη τούτου παραλαμβάνουσιν, ἀγνοοῦντες ὡς ἔοικεν, ὅτι τὰ γένη τῶν οἰκείων εἰδῶν συνωνύμως κατηγορεῖται, μεταδιδόντα αὐτοῖς καὶ τοῦ ὀνόματος καὶ τοῦ λόγου τοῦ αὐτοῦ. εἰ οὖν κατ' αὐτοὺς τὸ γένος ὑποθετικὸν, ὑποθετικὰ ἄρ' ἂν εἴη καὶ τὰ τούτου εἴδη, καὶ μὴ βουλομένων ἐκείνων. ὁ δὲ Θεόδωρος φέρεσθαι εἰπὼν τὴν ὑποτακτικὴν ἔγκλισιν μετὰ τοῦ ἐὰν καὶ τῶν ἴσων, ἴσους ἐν τεῦθεν ὄντας ἀλλήλοις ἀποδείκνυσι τοὺς συναπτικούς. ἰσοδύναμος ἄρα καὶ ὁ ὑποθετικὸς εἰ, τοῖς παρ' αὐτόν. διστακτικοὶ δ' ἐκεῖνοι, καὶ αὐτὸς ἄρα. τὸ δὲ ἴσον οὐ σῴζει τὸ γένος πρὸς τὰ εἴδη καὶ ἐναλλάξ. τὸ μὲν γάρ ἐστιν ἐπιπλέον, τὰ δὲ, ἐπέλαττον. οὐκ ἄρα οὐδ' ἐν τοῖς συναπτικοῖς χώραν ἔχει ἡ τοῦ γένους καὶ εἴδους παράλληψις. ἄλλως τε τὰ εἴδη εἰσὶν ἀλλήλοις ἀντιδιαιρούμενα, ὅτι μὴ ἐφ' ὧν ἐναντίων ὄντων, τὰ μεταξὺ γίνεται. (οἷον, τὸ λευκὸν ἀντιδιῄρηται τῷ μέλανι, τὸ δὲ φαιὸν, ἢ τὸ κυανὸν, ἢ ἄλλότι τῶν μεταξὺ, ἑκατέρου μὲν ἐκείνων διακέκριται εἴδει, οὐδετέρῳ δὲ ἀντιδιῄρηται, ἐν γὰρ ἑνὶ ἐναντίον.) οὐμὴν τοιοῦτοι οἱ παρὰ τὸν εἰ, συναπτικοί. εἰσὶ μὲν οὖν ἀλλήλοις ἰσοδύναμοι λόγῳ πολυωνυμίας, διαφέρουσι δὲ κατὰ σύνταξιν, ἢ κατὰ σημασίαν. καθ' ὅ, τι οἱ μὲν παρὰ τὸν εἰ, ὑποτακτικῇ μόνῃ, ὁ δὲ, καὶ εὐκτικῇ καὶ ὁριστικῇ συντάσσεται.

Οἱ δὲ συναπτικοὶ, τοῦτ' ἔστιν οἱ ὕπαρξιν μὲν οὖ,

Τῶν λεγομένων εἶναι τὰ μὲν, ὑφέστηκεν, εἴτ' οὖν ὑπάρχει. (ὡς ἄνος, ζῷον, ἄγγελος, ψυχὴ, θ'ς.) τὰ δὲ, οὖ, ἐν δὲ μόναις ψιλαῖς ἐπινοίαις κεῖται, ἐν τῇ ἡμετέρᾳ διανοίᾳ καὶ μόνον ἀναπλαττόμενα. (ὡς τραγέλαφος, ἱπποκένταυρος, πτερωτὸς ἵππος.) τῶν δ' αὖ ὑφεστώτων τὰ μὲν, ἁπλῶς ὑπάρχει καὶ καθ' ὑπόστασιν. καθ' ἣν δηλ, ἐστὶ τὸ ὑποκείμενον. (οἷον, ἔστιν ἄνος, ζῷον, θ'ς.) τὰ δὲ, πῇ καὶ ἐπὶ μέρους, κατὰ τὴν ἐν τῇ προτάσει λέγω τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον συνάφειαν, (οἷον, ὁ Θ'ς ἀγαθὸς, ὁ ἥλιος φωτιστικός.) τῶν δὴ μηδόλως ὑφεστώτων, ἀπιστουμένων ὑπάρχειν, τῶν ὁπωσοῦν ὑφεστώτων, εἴτε ἁπλῶς δηλ, εἴτε πῇ, τὰ μὲν, εἰσὶν ἐνδοιαζόμενα. (ὡς ἡ ἄναστρος σφαῖρα, οἱ λεγόμενοι ἀντίπο-

Τῶν λεγομένων εἶναι - [Τὰ μέν, ὑφεστάναι λέγεται. - [Ἡ ποιὰ πλῶς / Ἡ πῆ.] - ὧν] - [Τὰ μέν, ὁμολογεῖται. ὧν - [Τὰ μέν, ἐκ κοινῆς ἐννοίας, / Τὰ δέ, ἐξ ἀποδείξεως.]
Τὰ δέ, ἐν ψιλῇ ἐπινοίᾳ ἀναπλάττεται.
Τὰ δέ, ἐν δοιάζεται.

αὐτίποδες, καὶ πᾶσα ἡ κατὰ τὸ μέλλον ἐνδεχομένη πρότασις. οἷον, ὁ σωκράτης φιλοσοφήσει. ταῦτα γὰρ ἀμφιβάλλεται, πότερον ὑπάρχει, ἢ οὔ; ἀμφὶς βάλλοντα, ὅ ἐστιν ἑκατέρωσε ῥίπτοντα τὸν νοῦν, καὶ διὰ ταῦτα ἀποδείξεως δεόμενα.) τὰ δὲ, εἰσὶν ὁμολογούμενα. τούτων δ' αὖθις τὰ μὲν, αὐτόθεν τε καὶ ἀναποδείκτως ἐκ κοινῆς ἐννοίας ἔχει τὸ ὁμόλογον. οἷον, ὅτι ἔστι Θίς, καὶ ὅτι ἀγαθός. ἔστιν ἥλιος, καὶ ὅτι φωτιστικός. ἔστι πτερωτὸν, καὶ ὅτι πτητικόν. ἔστι ζῷον, καὶ ὅτι τὸ ζῷον οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατική. ταῦτά τε γὰρ καὶ τὰ τοιαῦτα παρὰ πᾶσιν ὁμολογεῖται, ἀποδείξεως μὴ χρῄζοντα.) τὰ δὲ, ἐξ ἀποδείξεως συλλογιστικῇ δηλονότι μεθόδῳ, ἐξ ἀληθῶν ἀποδειχθέντα προτάσεων. (οἷον, ὁ πλάτων ἄνος, ὁ ἄνος ζῷον, ζῷον ἄρα ὁ πλάτων.) Τούτων οὕτω διειλημμένων, Ὕπαρξιν ληπτέον ἐνταῦθα οὐχὶ τὴν ἁπλῶς, καθ' ἣν ὑφέστηκέ τι, λέγω δὴ τὴν κατὰ τὸ, ὅτι ἐστὶ τὸ ὑποκείμενον, ἀλλὰ τὴν ἐπὶ μέρους, φημὶ δὴ τὴν ἐν τῇ προτάσει τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον συνάφειαν. τὴν ὅτι δηλαδὴ ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. Τὴν δὴ τοιαύτην ὕπαρξιν, οἱ μὲν παρασυναπτικοὶ καὶ καθ' ἑαυτὴν ἄλλως μὴ ὑπάρχουσαν, ἀλλ' οὖν σημαίνειν πεφύκασιν. οἷον, ἐπεὶ ὁ ἄνθρωπος ἐπτεροφύησεν, ἵπταται. ἐν ᾧ τὸ πτεροφυῆσαι καί τοι καθ' ἑαυτὸ, δίχα δηλαδὴ τοῦ συνσδέμου, μὴ ὑπάρχον τῷ ὄνῳ, διὰ γοῦν τὸν σύνδεσμον ὑπάρχει αὐτῷ. οἱ δὲ συναπτικοὶ, καὶ καθ' ἑαυτὴν ἄλλως ὑπάρχουσαν, δηλοῦν ἀλλ' οὖν οὐ πεφύκασιν. οἷον, εἰ ὁ κόραξ ἐπτεροφύησεν, ἵπταται, ἀλλὰ μὴν ἵπταται, καὶ ἐπτεροφύησεν ἄρα. ὅτι μὲν γὰρ ἐπτεροφύησεν, ἐπιδέδεικται. καθ' ὅ, τι προσείληπται ὡς ὑπάρχον τὸ ἵπτασθαι. ὅτι δὲ ἵπταται, οὐ προδέδεικται. καθ' ὅ, τι οὐκ ἐκ συλλογισμοῦ,

ἐκ δὲ ὑποθέσεως εἴληπται τὸ ἡγούμενον, τὸ πτεροφυῆσαι τὸν κόρακα δηλ'. Θέσις μὲν γὰρ δηλοῖ ὕπαρξιν. καθ' ὃ καὶ τῶν ἐναντίων τὰ ὑπαρκτικὰ θετικὰ ἤκουσε πρὸς ἀντιδιαστολὴν τῶν μὴ ὑπαρχόντων στερητικῶν. καθ' ὃν δὴ λόγον καὶ οἱ φιλόσοφοι θέσιν λέγουσι τὰ ἐπιτιθέμενα εἴδη τῇ ὕλῃ, ἀφαίρεσιν δὲ, ὅταν αἱ ποιότητες τῶν εἰδῶν ἀφαιρεθῶσιν. οἷον, γῆς τὸ θερμὸν καὶ βαρύ. ἔνθεντοι καὶ τὸ ἐν τῷ ὅρῳ τοῦ συλλογισμοῦ κείμενον θέσθαι, οὐθὲν ὅτι μὴ τὸ ὑπάρχειν σημαίνει, ὡς αὐτόθεν δῆλον, μεταληφθέντος τοῦ μὲν θέσθαι εἰς τὸ κεῖσθαι, τοῦ δ' αὖ κεῖσθαι εἰς τὸ εἶναι, ταὐτὸν εἰπεῖν εἰς τὸ ὑπάρχειν. φησὶ γὰρ, συλλογισμός ἐστι λόγος, ἐν ᾧ τεθέντων τινῶν, ἕτερόν τι τῶν κειμένων συμβαίνει, τῷ ταῦτα εἶναι. ἡ δὲ Ὑπόθεσις κατὰ τὸν ἐν μάρτυσι φίφον καὶ ἐν φίφοις μάρτυρα Ἰουστῖνον τὸ μὴ κατ' οὐσίαν ὑφεστὼς, ἐν δὲ μόνῳ δόγματι, εἴτ' οὖν δόξῃ κείμενον καὶ ὁμολογίᾳ τῶν προσδιαλεγομένων. ὡς καὶ Γρηγόρ, ναζιανζ, τὸ ὑποθέσθαι ἀντὶ τοῦ ὁμολογεῖσθαι μετείληφεν. εἰπὼν ἐν τῷ εἰς τὸν μέγαν Βασίλ, ἐπιταφίῳ. ἐπεὶ δὲ τοῦτο ὑπεθέμεθα καὶ ἀνωμολογησάμεθα. καὶ κατὰ τὸν μέγαν δὲ Μάξιμον τὸ καθ' ὑπόθεσιν, λαμβάνεται ἐπὶ τῶν πραγματικῶς οὐκ ὄντων, ἀλλὰ λόγῳ τυπουμένων. ὡς εἶναι τὸ, εἰ ὁ ὄνος ἐπτεροφύησεν, ἵπταται, ἐν πλήρει λόγῳ ἀναπτυσσόμενον, τοιοῦτον. εἰ δοθείη εἴτ' οὖν ὑποτεθείη, ταὐτὸν δὲ εἰπεῖν ὁμολογηθείη, ὅτι ὁ ὄνος ἐπτεροφύησεν, ἵπταται. ταῦτ' ἄρα οἱ συναπτικοὶ καὶ ὑποθετικοὶ ἤκουσαν, ὡς μὴ θέσιν καθ' αὑτὸ τοῦ ἡγουμένου, ὁμολογίαν δὲ μόνην καὶ συγκατάθεσιν περὶ αὐτοῦ τῶν προσδιαλεγομένων δηλοῦντες, πρὸς ἀντιδιαστολὴν τῶν παρασυναπτικῶν θέσιν τοῦ ἡγουμένου δηλούντων λόγου. Ἔνθεντοι καὶ τὴν δεῖξιν ποιοῦνται ἐκ σαφῶν μὲν, οἱ παρασυναπτι-

συναπτικοὶ, ἐξ ἀσαφῶν δέ, οἱ συναπτικοί. ἀποδεδειγμένον δὲ καὶ οὗτοι λαμβάνοντες τὸ ἡγούμενον, ἢ ἄλλως ὑπάρχον, ἀντὶ παρασυναπτικῶν εἰσιν εἰλημμένοι. οἷον, ὁ ἄνθρωπος ζῷον, τὸ ζῷον ἔμψυχον, ἔμψυχον ἄρα καὶ ὁ ἄνος. εἰ οὖν ὁ ἄνος ἔμψυχον, καὶ αἰσθητικὸν ἄρα. τὸ οὖν εἰ, ἐνταῦθά τε κἀπὶ τῶν ὁμοίων ἀντὶ τοῦ ἐπεὶ, εἴληπται. ὡς κἀπὶ τοῦ, εἴπερ δίκαιον παρὰ Θεῷ ἀνταποδοῦναι τοῖς θλίβουσιν ὑμᾶς θλίψιν. πρὸς θεσσλ. β', κφ', α'. τὸ γὰρ εἴπερ, ἐνταῦθα ἀντὶ τοῦ ἐπεὶ, κεῖταί φησιν ὁ θεῖος Χρυσόστμ. ὅπερ ἐπὶ τῶν σφόδρα ὁμολογουμένων καὶ ἡμεῖς φησὶ τίθεμεν καὶ ἀναντιρρήτων, τῆς ὑπαρκτικῆς τοῦ ἡγουμένου προσλήψεως τοῖς ἀκροαταῖς παραλειπομένης. ἐροῦσι γὰρ, ἀλλὰ μὴν δίκαιον παρὰ θεῷ ἀνταποδοῦναι, κτ'. ἄρα.

Ἀκολουθίαν δέ τινα καὶ τάξιν δηλοῦντες.

Ἐπεὶ ἥτε ἀκολουθία ἑπομένου τινός ἐστι πρός τι ἡγούμενον, καὶ ἡ τάξις δευτέρου πρὸς πρῶτον, δῆλον ὡς ἐπὶ τῶν τοῖς τε συναπτικοῖς καὶ παρασυναπτικοῖς συνδεδεμένων λόγων. δύω γὰρ λόγους ἑκάτεροι συνάπτουσι. τρία τινὰ θεωρεῖται, ἡγούμενον, ἑπόμενον, καὶ τρίτον ἡ τοῦ ἑπομένου λόγου πρὸς τὸν ἡγούμενον ποιὰ σχέσις τε καὶ συνάφεια, εἴτ' οὖν συνέπεια καὶ συνάρτησις. ἣ καὶ ἀκολούθησις λέγεται, ἡ δ' αὐτὴ καὶ τάξις. τάξις μὲν οὖν καὶ ἀκολουθία ἐκ παραλλήλου ἐλήφθησαν, δηλοῦσαι τὴν τοῦ ἑπομένου πρὸς τὸν ἡγούμενον σχέσιν, ὡς καὶ ὁ παρὰ Πλουτάρχῳ Θέων, τρίποδα τῆς ἀληθείας τὸν συνημμένον λόγον καλεῖ. οὗτος γάρ, φησὶν, ὁ λόγος τὴν τοῦ λήγοντος (εἴτ' οὖν τοῦ ἡγουμένου) πρὸς τὸ ἑπόμενον ἀκολουθίαν θέμενος, εἶτα προσλαβὼν τὴν ὕπαρξιν, ἐπάγει τὸ συμπέρασμα τῆς ἀποδείξεως. οἷον, εἰ περιπατεῖ τι, κινεῖται. ἀλλὰ μὴν περιπατεῖ τι, κινεῖται ἄρα. ἐν ᾧ τὸ μὲν, εἰ περιπατεῖ, ὑπόθεσις. τὸ δὲ, ἀλλὰ μὴν περιπατεῖ, πρόσληψις. συμπέρασμα δὲ τὸ τρίτον. ἐξ ὧν δῆλον ὡς οὐχ ἡ ὑπόθεσις, ἡ δὲ πρόσληψις σημαίνει τὴν τοῦ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον ὕπαρξιν. ὅτι δηλαδὴ ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, τῷ σωκράτει τυχὸν τὸ περιπατεῖν. Τάξις μὲν οὖν τίς ἐστιν ἡ τοῦ δευτέρου πρὸς τὸ α', ἀκολουθία, εἴτ' οὖν ἡ τοῦ ἑπομένου λόγου πρὸς τὸν ἡγούμενον, ἡγούμενα δέ εἰσι τὰ μερικὰ, ἑπόμενα δὲ τὰ καθόλου. ἤγουν τὰ ἄτομα ἡγούμενα τῶν εἰδῶν, καὶ τὰ εἴδη τῶν γενῶν, ἑπόμενα δὲ τὰ γένη τῶν εἰδῶν, καὶ τὰ εἴδη τῶν ἀτόμων. τῶν δὲ πρός τι, ὁπότερον ἔτυχε. καὶ τοῖς μὲν ἡγουμένοις συνεισάγεται τὰ ἑπόμενα, οὐ μὴν καὶ συναναιρεῖται. τοῖς δὲ ἑπομένοις συναναιρεῖται τὰ ἡγούμενα, οὐ μὴν καὶ συνεισάγεται.

Συνάπτουσι μὲν ἀτελεῖς ἐννοίας.

Πρὸς τοὺς μεριστικοὺς καὶ διαζευκτικοὺς τῶν συνδέσμων ἡ παρεξέτασις, ἡμιτελεῖς, μᾶλλον δὲ ἐντελεῖς ἐννοίας οὐ μὴν ἀτελεῖς συνάπτοντας. τοὺς γὰρ λόγους οἱ μὲν συναπτικοί τε καὶ παρασυναπτικοὶ συνάπτουσι μόνον. οἱ δὲ διαζευκτικοὶ διαζευγνύουσι μόνον. τῶν δὲ συμπλεκτικῶν ὁ μὲν μὲν, καὶ δὲ, μερίζουσιν, ὅ ἐστι διαζευγνύουσιν. ὁ δὲ τὲ, καὶ καὶ, συνάπτουσι. καὶ τῶν μὲν διαζευγνύντων, οἱ μὲν διαζευκτικοὶ θάτερον μὲν τιθέασιν, ὡς εἴρηται, θάτερον δ', ἀναιροῦσιν, οἱ δὲ συμπλεκτικοὶ, ἑκάτερα τιθέντες μεμερισμένως, οὐδέτερον ἀναιροῦσι. τῶν δ' αὖ συμπλεκόντων, οἱ μὲν συμπλεκτικοὶ τὰ θέσει. οἱ δὲ συναπτικοί τε καὶ παρασυναπτικοὶ τὰ φύσει συνημμένα συνάπτουσι. τοῦ γὰρ συνημ-

γὰρ συνημμένου λόγου ἐν τῷ εἰ, ἢ ἐπεὶ περιπατεῖ τι, κινεῖται. οὐ μόνον θέσει, ὅ ἐστι συνδέσμῳ, ἀλλὰ καὶ φύσει συνῆπται ἀλλήλοις τό, τε ἡγούμενον καὶ τὸ ἑπόμενον. εἴγε τὸ μὲν ἡγούμενόν ἐστι φύσει ὕστερον, τὸ δὲ ἑπόμενον, φύσει πρότερον, τοῦ δ' ἄλλως συνδεδεμένου, οἷον ἐν τῷ, θεοί τε καὶ ἀνέρες εὗδον. ἢ ἐν τῷ, ἐγώ τε καὶ σὺ περιπατοῦμεν, οὐδέτερον οὐδετέρου ἐστὶν ἡγούμενον, ἢ ἑπόμενον φύσει, θέσει δὲ μόνον, εἴτ' οὖν συνδέσμῳ. οὐ δὲ γὰρ τῇ τοῦ ἡγουμένου θέσει συνεισάγεται καὶ τὸ ἑπόμενον, ἢ τῇ τοῦ ἑπομένου ἀναιρέσει συναναιρεῖται καὶ τὸ ἡγούμενον. καὶ τῶν διαζευγνύντων δὲ οἵτε ἀθροιστικοὶ καὶ οἱ διαζευκτικοὶ θέσει ποιοῦνται τὴν συμπλοκὴν, τὴν φράσιν μόνον, ὅ ἐστι τὴν τοῦ λόγου ὑφὴν ἐπισυνδοῦντες ὡς εἴρηται. τοιγαροῦν τοῦ μὲν φύσει συνημμένου λόγου θάτερος παρὰ θάτερόν ἐστιν ἀτελὴς, τῶν δὲ θέσει συνημμένων θάτερος παρὰ θάτερον καθ' ἑαυτὸν μὲν αὐτοτελής ἐστι, διὰ δὲ τὸν σύνδεσμον αἴτιον γενόμενον ἐπιπλοκῆς ἑτέρου λόγου, ἡμιτελής ἐστιν, οὐμὴν ἀτελής.

Συντάσσονται δὲ κατά τε τὸ ὀρθὸν καὶ τὸ ἀντεστραμμένον. ἢ γὰρ προηγοῦνται,

Τοῦ συνημμένου,

Ἢ ἐπάγονται. Καὶ προηγουμένοις μὲν,

Αὐτοῖς τε καὶ τοῖς παρασυναπτικοῖς παρέπεται

Τὸ ὀρθόν. εἴπερ γάρ τε χόλον τε καὶ αὐτῆμαρ καταπέψῃ, ἄλλά γε καὶ μετ' ὄπισθεν ἔχει κότον, ὄφρα τελέσῃ.

Τοῦτο τὸ ἔπος ὁρισμός ἐστι μνησικακίας παρ' ὁμήρῳ, ἰλ, α',

Ἐπιφερομένοις δὲ, τὸ ἀντεστραμμένον.

Ἔνθα καὶ πρωθύστερος ἡσύνταξις ἀκούει ὡς ἰλ, α'. οἷον,

Ἧκεν γηθήσαι πρίαμος πριάμοιό τε παῖδες, ἄλλοιτε τρῷες μέγακεν χαρίατο θυμῷ, εἰ σφῶϊν τάδε πάντα πυθοίατο μαρναμένοισιν.

Ὡς εἰ καὶ φαίημεν, φῶς ἐστιν, εἰ ἡμέρα ἐστι. τὸ γὰρ εἰ ἡμέρα ἐστὶ, τῇ συνθέσει μόνον δευτερεύει, οὐμὴν δὲ καὶ τῇ διεξοδικῇ ἀπαγγελίᾳ. ἀπαγγελλομένου γὰρ, πρῶτον μὲν ἐπιδέχεται ἡ διάνοια τὸ εἰ ἡμέρα ἐστὶ, φημὶ δὴ τὸ φύσει ἡγούμενον, εἶτα τὸ φύσει ἑπόμενον, φῶς ἐστι. τὸ δὲ ὀρθὸν καὶ ἀντεστραμμένον τῆς συντάξεως κἀπὶ τῶν ἐπιρρημάτων θεωρεῖται τῶν τε χρονικῶν τοῦ ὅτε, τότε, καὶ τῶν παραβολικῶν, κἀπὶ τῶν ἀναφορικῶν ὀνομάτων.

Καὶ πρὸς ὑποτακτικὸν μὲν οὖν τὸν εἰ, συντακτέον, ἄλλως τε

Ἀντὶ τοῦ καὶ καθ' ἑαυτὸν ὄντα, ἔτι

Καὶ εἰ σὺν τῷ καὶ, λαμβάνοιτο, καὶ ὅλως μεθ' ἑτέρων συνδέσμων.

Ὡς ἐπὶ τοῦ προληφθέντος ὁμηρικοῦ, εἴπερ γάρ τε χόλον τε, κτ'.

Καὶ πρὸς εὐκτικὸν καὶ πρὸς ὁριστικὸν,

Τὴν πρὸς ταύτας τὰς ἐγκλίσεις σύνταξιν τοῦ εἰ, κατὰ τὸ ἡγούμενον μόνον ληπτέον, κατὰ δὲ τὸ ἑπόμενον, πρὸς ὁριστικὴν μόνον, ὡς ἔχει

ὡς ἔχει τὸ εἴπερ καταπέψῃ, ἀλλ' ἔχει. εἰ δὲ καὶ πρὸς εὐκτικὴν, οὐκ ἂν εἴη χωρὶς τοῦ δυνητικοῦ. οἷον, εἰ ἡδονὴ ἀγαθὸν εἴη, ταύτῃ ἂν ὁρίζοιτο ἡ εὐδαιμονία. οὐχ ἁπλῶς δὲ πρὸς τὴν τυχοῦσαν ἔγκλισιν συντακτέον τὸν εἰ, ἀλλ'

Ὡς ἔτυχεν ὁμολογίας, ἢ ἀμφιλογίας ἡ ἀκολούθησις. ἔοικε γὰρ ἐπὶ μὲν ὁμολογουμένων, τὸ ὁριστικόν τε καὶ ὑποτακτικὸν βούλεσθαι, ἐπὶ δὲ ἐνδοιαζομένων τὸ εὐκτικόν.

Ἀκολούθησις διαφέρει ὑπάρξεως. αὕτη μὲν γὰρ, τὴν, ὡς εἴρηται τοῦ ἐν τῷ ἡγουμένῳ λόγῳ κατηγορουμένου πρὸς τὸ ὑποκείμενον δηλοῖ συνάφειαν, ἡ δὲ ἀκολούθησις, τὴν τοῦ ἑπομένου λόγου πρὸς τὸν ἡγούμενον σχέσιν. ἑκατέρα δὲ τούτων καὶ ὕλη προσαγορεύεται, ὡς μὴ ἐξ ἡμετέρας ὑπολήψεως, ἐκ δὲ τῆς τῶν πραγμάτων φύσεως, καθὰ δὴ καὶ ἡ ὕλη, λαμβανομένη. Ἔστι δὴ οὖν ἐπ' ἀμφοῖν διττὴ ἡ τοιάδε ὕλη, ἡ μέν τις ὁμολογουμένη, ἡ δὲ, ἀμφιβαλλομένη. καὶ ὁμολογουμένη μὲν, ἥτε ἀναγκαία (ὅτε ἀεὶ ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. οἷον, ὁ ἄνος ζῷον. ἀεὶ γὰρ ὑπάρχει τῷ ἀνῷ τὸ ζῷον εἶναι.) καὶ ἡ ἀδύνατος. (ὅτε οὐδέποτε ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. οἷον, ὁ ἄνος οὐκ ἔστι λίθος. οὐδέποτε γὰρ ὑπάρχει τῷ ἀνῷ τὸ λίθον εἶναι.) ἀμφιβαλλομένη δὲ, ἡ ἐνδεχομένη, (ὅτε ποτὲ μὲν, ποτὲ δ', οὐχ ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. οἷον, σωκράτης ἀναγινώσκει. δύναται γὰρ ὁ αὐτὸς καὶ ἀναγινώσκειν καὶ μή.) καὶ ταὐτὰ δὴ καὶ ἡ τοῦ ἑπομένου λόγου πρὸς τὸν ἡγούμενον ἀκολουθία, ὅ ἐστι σχέσις, διττή ἐστιν. ἐπὶ μὲν γὰρ τοῦ, εἰ περιπατεῖ τι, κινεῖται. εἰ ἐπτεροφύησεν, ἵπταται, εἴτ' οὖν πτητικόν ἐστι, καὶ τῶν τοιούτων, ἀναγκαίως ἀκολουθεῖ, ὅ ἐστι συνῆπται καὶ ὑπάρχει τῷ ἡγουμένῳ τὸ ἑπόμενον. πᾶν γὰρ τὸ περιπατοῦν, κινεῖται. καὶ τὸ πτεροφυῆσαν, ἵπταται, ἢ τῶν πτητικῶν ἐστι. καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν. ἐπὶ δὲ τοῦ, εἰ ὠχριᾷ τις, καὶ ἐγκυμονεῖ. εἰ διδάσκεται, μανθάνει, καὶ τῶν τοιούτων, οὐκ ἀναγκαία, ἀλλ' ἐνδοιαζομένη ἡ τοῦ ἑπομένου ἀκολούθησις. ὠχριᾷ γάρ τις, καὶ μὴ ἐγκυμονοῦσα, ἀλλὰ πυρέσσουσα. καὶ κινεῖταί τι πάλιν, μὴ περιπατοῦν, μένον δὲ κατὰ χώραν. οὐ μὴν ἀλλ' οὐδὲ τῷ διδάσκεσθαι ἀναγκαίως παρακολουθεῖ τὸ μανθάνειν, μὴ προσούσης τῆς τε τοῦ νοὸς εὐκληρίας, καὶ τῆς φιλοπονίας. ἐπεὶ δὲ τῆς ὕλης ἡ μὲν ὁμολογουμένη, εἴτ' οὖν ἡ ἀναγκαία τε καὶ ἀδύνατος, κατὰ τὸ τριμερὲς θεωρεῖται τοῦ χρόνου, ἡ δὲ ἀμφιβαλλομένη εἴτ' οὖν ἐνδεχομένη. κατὰ μόνον τὸ ὕστερον, ληπτέον ἐπὶ μὲν τῆς ὁμολογουμένης τό, τε ὁριστικὸν καὶ τὸ ὑποτακτικὸν, τὸ μὲν, κατὰ παρῳχημένου τε καὶ ἐνεστῶτος, τὸ δὲ ὑποτακτικὸν, κατὰ τοῦ ἐσομένου. Ἐπὶ δὲ τῆς ἀμφιβαλλομένης τὸ εὐκτικὸν κατὰ μόνου μέλλοντος. δεῖ δὲ μὴ ἀγνοεῖν ὡς καὶ τῆς ἐνδεχομένης ἡ κατὰ τὸν ἐνεστῶτα καὶ παρῳχημένον, ὁμολογουμένη ἐστὶ καὶ αὐτὴ κατὰ Νικηφόρον τὸν βλεμμ', εἰ καὶ μὴ ἀναγκαία, ὅτι μὴ ἐξ ὑποθέσεως. μόνη δ' ἡ κατὰ τὸ μέλλον ἐστὶν ἀμφιβαλλομένη.

Ὅθεν δὴ καὶ τὸν δυνητικὸν ἂν, ἐπὶ τὸ τοιοῦτο

Ἐπὶ τὸ ἐνδοιαζόμενον δηλαδή.

Οἰκειοτέρως ἂν ἀποδοίημεν.

Ὡς ἂν ἀνέλῃ μὲν τὸ μὴ ἐνεργείᾳ, θῇ δὲ τὸ δυνάμει, ὅπερ ἐστὶν ἐνδεχόμενον καὶ ἐνδοιαζόμενον. πρὸς τὸ ὁριστικὸν δὲ ἡ παράθεσις, οὐ

θεσις, ἀφ' ὃς τὸ ὑποπακτικόν. οἰκεῖος μὲν οὖν ὁ δυνητικὸς καὶ τῇ ὁριστικῇ κατά τε ἐνεστῶτος καὶ μέλλοντος, ὡς εἴρηται, οἰκειότερος ὅμως τῇ δ' κτικῇ. Τῶν μὲν οὖν τὰ ἑπόμενα λέγω φ' τὸν ἡγούμενον ἀκολουθησιν ἑκάτεροι τῷ συλλόγισμον ἔχουσιν ἐνθαμὲν, ὁμολογουμένως, ἅτ' ὂν ἀναγκαίαν, ὡς ἐν τῷ, ἐπεί, ἢ εἰ περιπατεῖ, κινεῖται). ἐνθα δὲ, ἐνδεχομένως, ὡς ἐν τῷ, ἐπεί, ἢ εἰ ὠχριᾷ, ἐγκυμονεῖ. τῶν δὲ συνημμένων λόγων τὰ κατηγορούμενα φ' τὸ ὑποκείμενον συλλογισμὸν ἐκ τῶν ἡγουμένων λόγων τὰ κατηγορούμενα φ' τὸ ὑποκείμενον σωφρόνειαν, οἱ μὲν παρασυναπτικοὶ ἀεί ποτε ὑπάρχουσιν, οἱ δὲ συναπτικοὶ οὐδέποτε, ὅτι μὴ ἐκ μόνης ὡς εἴρηται) ὑποθέσεως, ὅ ἐστιν ἐκ μόνης αἰτήσεως καὶ ὁμολογίας τὰ προσδιαλεγομένῳ, ἀμφὶ καὶ αὐτόθεν ὑπάρχουσα προφανῆ καὶ ὁμολογούμενα. ὅθεν καὶ περὶ μὲν τῆς τὰ συνημμένων λόγων κατηγορουμένων φ' τὸ ὑποκείμενον συμπλοκῆς εἴρηται τὸ τὰς μὲν, δηλαδὴ ὑπάρχειν, τὰς δ' οὔ. περὶ δὲ τῆς τὰ ἑπομένων λόγων φ' τὸν ἡγούμενον ἐπ' ἀμφοῖν τῶν συλλόγισμων ἀκολουθίας, τὸ, ὡς ἔτυχεν ὁμολογίας ἢ ἀμφιλογίας ἢ ἀκολούθησις. τὸ μὲν οὖν τῆς ὑπάρξεως, ἐστὶν ἴδιον, τὸ δὲ τῆς ἀκολουθίας, ὁποτέρως αὖ ἔχῃ, κοινόν. ἀ δὲ οὖν ἐπειδὴ τοῖς ὑποθετικοῖς καὶ καθ' Ἑρμογένη φαίνεται πάντως καὶ καὶ ἀναγκαίως ἐφίπτει ἕτερον νόημα, παρὰ τὸ τὸ καὶ ἡ πάντως τὰ ἑπόμενα φ' τὸ ἡγούμενον συλλόγισμον φύσει πάντως καὶ ἀναγκαία ἐστί. καὶ ἐπὶ τῶν παρασυναπτικῶν δέ τοι ὁμοίως. τὸ γὰρ συνημμένον, συνεργείᾳ μὲν ἐκ δύοιν, δυνάμει δὲ ἐκ ξιῶν λόγων σύγκειται). ξεῖς οὖν ἔχει τὰς ὅρας. ὧν ὁ μέσος δὶς παραλαμβάνεται, τῷ μὲν τῷ ὅρων ὑποκείμενος, τὰ δὲ κατηγορούμενος. καὶ ἔπ' ποιεῖ τὰς δύω λόγας. ἐξαρθεὶς δ' αὖ τὰ μέσα, τῇ τῷ ἄκρων συμφωνίᾳ ποιεῖ τὸν ξίτον. οἷον, σωκράτης εἰ περιπατεῖ, κινεῖται). εἰ ᾧ φῶτος μὲν λόγος τὸ περιπατεῖν, κινεῖται). β', δὲ τὸ, εἰ ὁ σωκράτης περιπατεῖ. γ', δὲ τὸ, ὁ σωκράτης κινεῖται). οἱ μὲν οὖν παρὰ τὸν συνδεδεμένον δύω ἀσύνδετοι λόγοι, ὑπάρξιν δηλοῦσι τὰ κατηγορούμενα φ' τὸ ὑποκείμενον, σημαίνοντες ὅτι ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ, εἰ καὶ μὴ ἀποδεδειγμένως. ὁ δὲ συνδεδεμένος, συναπτικοῖς μὲν, καθ' ὅτι ὑπάρχει, τὸ ὁπωσοῦν κατηγορούμενον τῷ ὑποκειμένῳ, δηλοῖ καταφατικῶς, καθ' ὅτι οὐχ ὑπάρχει, ἀποφατικῶς. παρασυναπτικοῖς δὲ, ὅτι ὑπάρχει μὲν, καταφατικῶς. ἐπεὶ ὁ σωκράτης περιπατεῖ, κινεῖται. ὅτι οὐχ ὑπάρχει δὲ, ἀποφατικῶς. ἐπεὶ οὐ κινεῖται), οὐδὲ περιπατεῖ.

Οἷον, εἰ ἡδονὴ ταὐγαθὸν εἴη, ταύτῃ ἂν δείζοιτο ἡ εὐδαιμονία.

Τὰ συνημμένα εἴτ' ἐν ὑποθετικὰ λόγα τὸ μὲν ἡγούμενον, καὶ ἀναγκαίας ὕλης ὄν, (οἷον, εἰ ὁ ἄνθρ ἐστι ζῷον, καὶ αὐθητικόν) δ' γε μὴν τὸν, ὡς εἴρηται), ὑπάρξιν δηλοῖ μὴ περιέχοντα συμβεβηκὸς οὐδὲν ἧττον ἀμφιλογόν ἐστιν, ἡ δὲ τὰ ἑπόμενα ἀκολούθησις, ἀναγκαία μὲν ὅσα, ἐστὶν ὁμόλογος, ἐνδεχομένη, δὲ ἀμφίλογος. τὰ τίνων συνημμένα ἑκάτερα τὰ μέρη καὶ μὲν παρήκοντος, φορὰς ὁριστικὴν ἀεί, ὅπως ἂν ἔχῃ ἀκολουθήσεως, φέρεται), καὶ δὲ ἐνεστῶτος καὶ μέλλοντος, ἀμφιλόγα μὲν ὅσης τῆς ἀκολουθίας φορὰς δ' κτικὴν, ὁμολόγα δὲ, φορὰς ὁριστικὴν μὲν ἑκάτερα, τό γε μὴν τῶν ἡγούμενον, καὶ μέλλοντος πράγματος καὶ φορὰς ὑποπακτικὴν ἀορίστου. εἴπερ γάρ τε χόλον τε καὶ αὐτῆμαρ καταπέψῃ, κτ. ἐπεὶ ὂν ἡ μὲν εὐδαιμονία ψυχῆς ὅσα ἐνέργεια κατ' ἀρετὴν ἐν βίῳ τελείῳ, ὁμολόγως ἐστὶν ἀγαθὸν, τὸ δὲ ἀγαθὸν οὐχ ὁμολόγως, καὶ δὲ Εὔδοξον καί τινας ἄλλους ἐστὶν ἡδονὴ, δ' τοῦτο φησιν, εἰ ταὐγαθὸν ἡδονὴ εἴη, εἴη ἂν ἡδονὴ καὶ ἡ εὐδαιμονία, ἀγαθὸν ὅσα. ὁρισμὸς δὲ τοῦ ὑποκειμένου, τὸ τοῦτο

τοῦ κατηγορούμενον. σκεπτέον δὲ βέλτιον. δοκεῖ γὰρ ἀκολούθησιν ἐννοεῖν οὐχὶ τὸ τοῦ ἑπομένου κατηγορούμενον, ἀλλὰ τὸ τοῦ ἡγουμένου. οὗ καὶ τὰς ἐγκλίσεις προσδιορίζει. εἴγε τοῦ συνημμένου τὸ ἑπόμενον, καὶ πρὸς ὑποτακτικὴν οὐ πέφυκε φέρεσθαι. Εἰ δὲ τοῦτο, ζητητέον πῶς ποτ' ἂν εἴη ἢ ὁ σύνδεσμος μὴ δηλῶν ὕπαρξιν ἐπὶ τῆς ὁμολόγου ἀκολουθήσεως, ἢ ὁμόλογος ἡ ἀκολούθησις, τοῦ συνδέσμου μὴ δηλοῦντος ὕπαρξιν; τὸ γὰρ λέγειν ἢ τὸ ὁμόλογον μὴ ὑπάρχειν, ἢ τὸ μὴ ὑπάρχον, ὁμόλογον εἶναι, ταὐτόν ἐστιν, ὥσπερ ἂν εἴ τις λέγοι ἀντιφατικῶς τὸ ὑπάρχον μὴ ὑπάρχειν, ἢ τὸ μὴ ὑπάρχον ὑπάρχειν. οἷόν τί φημι. ἐν τῷ, εἰ ὁ ἄνθρωπός ἐστι ζῶον, ἔστι καὶ αἰσθητικόν. τῷ ἀνῷ τὸ ζῶον αὐτὸν εἶναι, ἔστιν ὡς μὲν διὰ τὸ τῆς ὕλης ἀναγκαῖον ὁμόλογον, ὑπάρχον, ὡς δὲ ὑποθετικὸν, μὴ ὑπάρχον. Διὰ δὴ ταῦτα ληπτέον ἀκολούθησιν μὲν, τὴν τοῦ ἑπομένου πρὸς τὸ ἡγούμενον, τὸν δὲ τῶν ἐγκλίσεων προσδιορισμὸν, ἐπ' ἀμφοῖν πλὴν τῆς τοῦ ἡγουμένου ὑποτακτικῆς. Ἔτι ἀπορήσεις, τί ὅτι ἐπὶ τῆς ἐνδεχομένης ἀκολουθήσεως οὐχὶ καὶ πρὸς τὸ ἡγούμενον ἀποδιδόμενος εὕρηται ὁ δυνητικὸς, τὸ ὡς καὶ αὐτὸ ἀμφίλογον, οὐχ ἧττον ἢ τὸ ἑπόμενον, τῶν μὴ γεγονότων ὂν, δυναμένων δὲ γενέσθαι; Ἢ ὅτι τὸ ἡγούμενον πρὸς τὸ ἑπόμενον λόγον ἔχει ὑποκειμένου πρὸς κατηγορούμενον. τοῦ τοίνυν συνημμένου τὸ ἡγούμενον, εἰ καὶ ἀναπόδεικτον καὶ αὐτὸ, ὥς γε μὴν ἐξ ὑποθέσεως ληφθὲν, εἴτ' οὖν ὁμολογηθὲν, τῶν καθ' ὑπόθεσιν δεδομένων τυγχάνει, οἷα δὴ ὑποκείμενον. τὰ δὲ ὁπωσδήποτε δεδομένα, τῶν ὁπωσοῦν γεγονότων ἐστίν. ὅθεν τὸν οὐχὶ τὰ γεγονότα τὰ δὲ μὴ γεγονότα ἀναιροῦντα δυνητικὸν, τὸ ἡγούμενον ὡς τῶν ἐξ ὑποθέσεως γεγονότων ὂν, οὐ παραδέχεται ἀλλὰ τὸ ἑπόμενον, τὸ πρὸς τῷ ἀναποδείκτῳ μηδὲ ὑποτεθὲν, καὶ ἑπομένως τῶν μὴ γεγονότων ὄν.

Ἀλλ' οὐκ ἀεὶ οὕτως ἡ χρῆσις. κατὰ παρῳχημένου γε μὴν πράγματος τὸ ὁριστικὸν ἀεί. εἰ ἦν, εἰ καὶ ἦν.

Βούλεται γὰρ καθόλου τι τὸ τοιοῦτον εἶναι, εἰ καὶ μὴ ἀεὶ τῶν λογίων ἡ χρῆσις ἐπὶ μὲν τῶν ὁμολογουμένων τὸ ὁριστικόν τε καὶ ὑποτακτικὸν, ἐπὶ δὲ τῶν ἐνδοιαζομένων τὸ εὐκτικὸν τιθεῖσα φαίνεται. ὁποτέρως γε μὴν ἂν ἔχῃ τὰ τῆς ἀκολουθίας, κατὰ παρῳχημένου πράγματος πρὸς τὸ ὁριστικὸν ἀεὶ συντακτέον τὸν σύνδεσμον. καθ' ὅ, τι τῶν ἐγκλίσεων ἡ μὲν εὐκτική τε καὶ ὑποτακτικὴ μέλλοντος ἔχουσι σημασίαν ἑκάτεραι. ἡ δὲ ὁριστικὴ καὶ παρῳχημένου. Σὺ δέ μοι σημείωσαι ὡς καὶ κατὰ παρῳχημένου πράγματος λαμβανομένου τοῦ εἰ, δῆλον ὡς οὐ μόνον τῶν ἐσομένων πραγμάτων ἐστὶν ὁ δισταγμὸς, ὡς δοκεῖ τῷ Ἀπολλωνίῳ, ἀλλ' ἰδοὺ καὶ τῶν παρῳχηκότων. Ἔτι εἰ κατὰ Θεόδωρον κατὰ παρῳχημένου πράγματος ἐνταῦθα μὲν, τὸ ὁριστικὸν ἀεὶ, ἐν δὲ τοῖς βεβαιωτικοῖς τῶν ἐπιρρημάτων, τὸ εὐκτικὸν ὅλως, οὐκ ἄρα συνάγει τὸ καθόλου οὔτε ἐνταῦθα τὸ ἀεὶ, οὔτε ἐκεῖ τὸ ὅλως. ὅθεν οὐκ ἀνεξετάστως παραδεκτέον τὰ ἐν ταῖς τέχναις, ὥσπερ νενομοθετημένα. Συναπτικοὶ μὲν οὖν ἤκουσαν, πρὸς ἀντιδιαστολὴν τῶν διαζευκτικῶν. καθ' ὅ, τι ἐκεῖνοι μὲν τὰ διεζευγμένα, οὗτοι δὲ τὰ συνημμένα συντιθέασι. τὸ δὲ τούτοις συνταστόμενον εὐκτικὸν, εὐχὴν οὐ σημαίνει. τὸ γὰρ εὐχῆς παραστατικὸν, ἀπαράδεκτόν ἐστι τοῦ τε ὑποθετικοῦ εἰ, καὶ τοῦ δυνητικοῦ ἄν. Ὁ δὲ συναπτικὸς εἰ, παρὰ μὲν τῇ θείᾳ γραφῇ ὁτὲ μὲν, ἀντὶ τοῦ οὐ, ἀποφατικοῦ κεῖται, ὡς ἐν τῷ, εἰ τῷ Διὶ ψεύσομαι. καὶ, εἰ εἰ σελεύσομαι εἰς σκήνωμα οἴκουμου, κτ'. καὶ εἰ δοθήσεται τῇ γενεᾷ ταύτῃ σημεῖον. ἐπεὶ γὰρ ὕπαρξιν ὡς εἴρηται, οὐ σημαίνει ὁ εἰ, οὐκ ἀπεικότως ἀντὶ τοῦ οὐ, λαμβάνεται. ὁτὲ δὲ ἀντὶ

δὲ ἀντὶ τοῦ αἰτιολογικοῦ δι' ὅ, τι. εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου. παρὰ δὲ τῷ Συνεσ'. ἐπιστλ. 108. ἐκέλευον ἀπαγγέλλειν ἡμῖν ἅττα ἥδιστα, εἰ μηκέτι δεήσει πλανᾶσθαι. ὁ εἰ, ἀντὶ τοῦ ὅτι διαβεβαιωτικοῦ κεῖται. ἐξαρθέντος γὰρ τοῦ εἰ, εἴη ἂν ἐξενηνεγμένος ὁ λόγος δι' ἀπαρεμφάτου οὑτωσὶν, ἐκέλευον ἀπαγγέλλειν μηκέτι δεήσειν πλανᾶσθαι. τὸ δὲ δεήσειν ἀπαρέμφατον ἀφηγηματικῶς συντεταγμένον, εἰδικόν ἐστιν, εἰς τὸ, ὅτι δεήσει, μεταλαμβανόμενον. τὸ ἄρα εἰ, ἀντὶ τοῦ ὅτι διαβεβαιωτικοῦ εἴληπται. τοιοῦτο κἂν ταῖς πράξεσι τῶν Ἀποστλ'. κφ', κη', εἰ παθητὸς ὁ χ̅ς̅, εἰ πρῶτος ἐξ ἀναστάσεως νεκρῶν φῶς μέλλει καταγγέλλειν. Ἔτι ὁ εἰ, προηγούμενος κώλου κατ' ἔλλειψιν τῆς τοῦ ἑπουμένου ἀποδόσεως, ἔστι μὲν οὖ, ἀντὶ τοῦ ἄρα κεῖται ἐρωτηματικῶς. καὶ προσκαλεσάμενος τὸν κεντυρίωνα, ἐπηρώτησεν αὐτὸν, εἰ πάλαι ἀπέθανε; καὶ Γρηγόρ, ἐν τῷ εἰς τὸ πάσχα, εἰ πάντας ἔσωσεν ὁ χ̅ς̅ καταβὰς εἰς ἅδου; ἢ κἀκεῖ τοὺς πιστεύσαντας. λύσεως γὰρ ἀπορία προηγεῖται. Λυτικὸν δὲ ᾧδε τὸ ἢ. ὁ ἄρα τούτου προηγούμενος εἰ, ἀπορηματικῶς εἴληπται. ὡς καὶ τὸ ἐν τῷ ἐν δελφοῖς νεῴ τοῦ ἀπόλλωνος καθιερωμένον Εἰ, μόριον. περὶ οὗ πολλῶν πολλὰς συγκινούντων ζητήσεις πρός τε ἑαυτοὺς καὶ πρὸς ἀλλήλους, Μένανδρος ὁ ἱερεὺς ὄχημα ἔλεγεν εἶναι τοῦτο καὶ μορφὴν τῆς πρὸς τὸν Θ̅ν̅ ἐντεύξεως, καὶ τάξιν ἡγεμονικὴν ἔχειν. ἐν τοῖς ἐρωτήμασι τῶν χρωμένων (εἴτ' οὖν χρηματιζομένων) ἑκάστοτε. εἰ νικήσουσιν; εἰ γαμήσουσιν, εἰ συμφέρει πλεῖν; εἰ γεωργεῖν; εἰ ἀποδημεῖν; μηδὲ γὰρ συνημμένου τινὸς εἶναι τὸν εἰ, συναπτικὸν ἐκεῖ. ὑποτετάχθαι δὲ μόνον τούτῳ πάσας τὰς ἐρωτήσεις ὡς πράγματα. δηλοῦσθαι δ' ἐν τῷ εἰ, καὶ τὸ εὐκτικὸν ἀποχρώντως. ἐπειδὴ γὰρ τὸ μὲν πρὸς μάντιν ἐρωταῦ, ἴδιόν ἐστιν ἡμῖν (τοῖς ἱερεῦσί φησι μένανδρος) τὸ δὲ πρὸς τὸν θ̅ν̅ εὔχεσθαι, κοινὸν, οὐχ ἧττον τῆς πευστικῆς τὴν εὐκτικὴν τὸ γράμμα περιέχειν δύναμιν. εἰ γὰρ ὄφελόν φησιν ἕκαστος τῶν εὐχομένων. καὶ ἀμφίλοχος, εἰ γὰρ ὡς ἐμοὶ γένοιτο χεῖρα νεοβούλης θίγειν. τοῦ γὰρ εἴθε τὴν δευτέραν συλλαβὴν παρέλκεσθαι. τοιοῦτο μὲν καὶ τὸ ἐν δελφοῖς Εἰ. οὗ καθ' ὁμοιότητα καὶ ὁμέγ. Βασίλ. ἐν τοῖς ἀσκητικοῖς τῶν κατ' ἐπιτομήν τε καὶ πλάτος ἀποκρίσεων τὰς ἐρωτήσεις διὰ τοῦ εἰ, πολλαχοῦ προβαλλόμενος φαίνεται. Ἔστι δ' οὗ, καὶ κατ' ἔλλειψιν τοῦ ἑπομένου κεῖται. ὡς καὶ τὸ τοῦ Λουκιανοῦ ἐν τοῖς νεκρ. διαλ. καὶ μὴν ἄν σε λάβω. Ἀλλαχοῦ δὲ καὶ δυσανταπόδοτόν ἐστιν. Ἔστι δ' οὗ καὶ κατ' ἔλλειψιν κεῖται προαιρετικοῦ ῥήματος, τοῦ βουλοίμην, ἢ τοῦ ἤθελον ἄν. Ἐν καταρχῇ δὲ ἀξιώσεως εἴτ' οὖν αἰτήσεως ἐλλείπει ῥήματος προστακτικοῦ. Λαμβάνεται δὲ καὶ ἐν ἴσῳ τῷ εἴπως. τοῦτο δὲ ἀντὶ τοῦ ὅπως καὶ συνδέσμων μετάληψιν. ὡς ἰλ, ψ̅. ἀλλάτις εἴη εἰπεῖν ἀτρείδῃ ἀγαμέμνονι, εἰ πλέονας παρὰ ναῦφιν ἐποτρύνειε ναίεσθαι. καὶ Θκδ, δ'. οἱ ἀθηναῖοι τὸν φαίακα πέμπουσιν, εἴπως πείσαντες τοὺς ξυμμάχους, διασώσειαν τὸν δῆμον. καὶ, ἐς λόγους ἦλθον, εἴπως οἱ βοιωτοὶ σφίσι ξύμμαχοι γένοιντο, ἀντὶ τοῦ ὅπως. Ἐν ἀρχῇ δὲ λόγου παρακελευσματικῶς ἀντὶ τοῦ ἄγε, ἢ ἀντὶ τοῦ, εἰ δὲ βούλει, ἄγε. κατ' ἔλλειψιν τοῦ βούλει. καὶ ἀντὶ τοῦ γὰρ, τῷ γε ἐπεκτεινόμενος. δίχα τοῦ δηλοῦν τάξιν τινὰ ἢ ἀκολουθίαν. Τὸ δὲ εἴτι ἀντὶ τοῦ ὅ, τι ἀορίστως λαμβάνεται. οἷον, εἴτι ἐστιν ἄνος, τοῦτο ζῷον λογικὸν, κτ'. καὶ εἴτι ζῷον λογικὸν, κτ', τοῦτο ἄνος. Συνέσ. ἐπίστολ. 67, τοὺς φανερωτάτους αὐτῶν, εἴτις ἀνέκραγε μεῖζον, εἴτις εὑράμενος κρηπῖδα, καὶ ἐπαναβὰς αὐτῇ, ὡς ὠνίους ἐκκυλισθῆναι τῆς ἐκκλησίας

προσέ-

προσέταξα. Θουκδ', ζ'. καὶ οἱ μὲν συρακούσιοι, τοῦτε Γυλίππου καὶ τοῦ Ἑρμοκράτους καὶ εἴτου ἄλλου πειθόντων, ὥρμηντο ἐς τὴν ναυμαχίαν.

Παρασυναπτικοί.

Παραπλησίως δέ τοι καὶ οἱ παρασυναπτικοὶ συντάσσονται.

Ἀτελεῖς τε γὰρ καὶ οὗτοι ἐννοίας συνάπτουσι, καὶ κατὰ τὸ ὀρθὸν καὶ ἀντεστραμμένον συντάσσονται, οὐμὴν δὲ καὶ πρὸς τὰς αὐτὰς τοῖς συναπτικοῖς ἐγκλίσεις φέρονται κατὰ τὸ ποιὸν τῆς ἀκολουθήσεως. οὐδὲ γὰρ κατὰ πάντα τὸ παραπλησίως ληπτέον. πρὸς δὲ μόνην ὁριστικήν. πρὸς δὲ ὑποτακτικὴν, μετὰ τοῦ ἂν ἀοριστολογικοῦ. ὡς ἐν τῷ, ἐπεὶ ἂν μάλα τοι σχεδὸν ἔλθῃ. ἰλ. ι'. κἂν τῷ ζ, ἐπεὶ ἂν σύγε πότμον ἐπίσσῃς. ἐν ἴσῳ τῷ ἐπειδάν. ταῦτά γε μὴν τῶν χρονικῶν μᾶλλον ἐπιρρημάτων εἰσὶν, ἀναφορὰν ἁπλῶς χρονικὴν, οὐμὴν τάξιν τὴν κατὰ τὸ ἡγούμενον καὶ ἑπόμενον δηλοῦντα. τὸ δὲ ἐπειδὰν αἰτιῳδῶς καὶ πρὸς ὁριστικήν. χρυσόστμ. λόγῳ εἰς τὸν μακάριον Βαβύλαν, καὶ κατὰ Ἰουλιανοῦ. καθάπερ γὰρ τότε, ἐπεὶ μηδενὶ τῶν τοιούτων εἶξε συμφορῶν ὁ αἰγύπτιος, τέλος αὐτὸν σὺν αὐτῷ τῷ στρατοπέδῳ κατέλυσεν, οὕτω καὶ νῦν ἐπειδὰν πρὸς πάντα ἀναιδῶς ἔστη τοῦ θεοῦ τὰ τέρατα, τοῖς ἐσχάτοις λοιπὸν αὐτὸν περιέβαλε κακοῖς. ἵν' ἐπειδὰν τοῖς ἑτέρων αὐτὸς σωφρονισθῆναι οὐκ ἠνέσχετο, τοῖς αὐτοῦ παθήμασι γένωνται βελτίους ἕτεροι. καὶ ὁμλ. ῥηθείσῃ ἐν κωνσταντινουπόλει, πρὸς ἀνομοίους. τοῦτο δὲ γέγονεν, οὐκ ἐπειδὰν φιλικός τις ἐγὼ καὶ ἀγαπητικὸς, ἀλλ' ἐπειδὰν ποθεινοὶ καὶ ἐπέρασται πάντων ὑμεῖς.

Πλὴν ὅτι καὶ ὕπαρξιν μετὰ τάξεως σημαίνουσιν οὗτοί γε.

Τάξεως μόνης ἐνταῦθα ἐπιμνησθεὶς ἀντὶ τῆς ἀκολουθίας, δῆλός ἐστιν ἐκ παραλλήλου ταύτας εἰληφὼς ἐν τοῖς συναπτικοῖς. καὶ τὴν τοῦ ἑπομένου δὴ πρὸς τὸ ἡγούμενον ἀκολούθησιν ὁμοίως, ὡς εἴρηται, τοῖς συναπτικοῖς ἔχουσι, τούτῳ μόνῳ ἐκείνων πλεονεκτοῦντες, τῷ δηλοῦν ὅτι ἐν τῷ ἡγουμένῳ λόγῳ ὑπάρχει τὸ κατηγορούμενον τῷ ὑποκειμένῳ. Ἀλλ' ἀπορήσεις, πάσης ἁπλῶς κατηγορικῆς εἴτ' οὖν καταφατικῆς προτάσεως ὕπαρξιν τοῦ ἰδίου κατηγορουμένου πρὸς τὸ ὑποκείμενον καθ' ἑαυτὴν δηλούσης, (κατάφασις γὰρ οὐδέν ἐστιν, ἀλλ' ἢ τὸ ἀποφήνασθαι καὶ εἰπεῖν τί τινι ὑπάρχει.) τί τὸ πλέον τῶν παρασυναπτικῶν; Ἢ ὅτι μεθ' ὑπάρξεως καὶ ἀκολουθίαν, ὡς εἴρηται, τοῦ ἑπομένου πρὸς τὸ ἡγούμενον καὶ δηλοῦσι καὶ ἀπαιτοῦσι, καὶ αὐτὴν τὴν ἐνδεχομένην τῆς ἀπολελυμένης προτάσεως ὕπαρξιν ὡς ἀποδεδειγμένην ἤδη προϋποτιθέντες, καὶ οἷον ἐπιμαρτυροῦντες, καὶ μηδόλως περὶ αὐτῆς συζητεῖν παραχωροῦντες. σωκράτης γάρ τοι περιπατεῖ, ἀκούσαντες, καὶ ἀληθεύοντος τοῦ λόγου, ἔτι διαπιστοῦμεν πρὸς τὸ εἰρημένον, οὐκ ἔτι δὲ καὶ πρὸς τὸ, ἐπεὶ σωκράτης περιπατεῖ. Ῥηθεῖεν δ' ἂν καὶ αἰτιολογικοὶ οἱ παρασυναπτικοὶ, ὡς καὶ αὐτοὶ αἰτιολογοῦντες ἔνθα μὲν, τὸ αἴτιον κατὰ τὸν δι' ὅ, τι. ἔνθα δὲ τὸ αἰτιατὸν κατὰ τὸν ὅτι. Τῶν γὰρ συνδέσμων οἵτε παρασυναπτικοὶ καὶ τῶν αἰτιολογικῶν ὁ γὰρ, ἢ ὁ δι' ὅ, τι ἰσοδυναμοῦσιν ἀλλήλοις κατὰ τὸν Εὐστάθ. ταὐτὸν γάρ ἐστιν εἰπεῖν, ἄνε, ἐπεὶ ἠδίκησάς με, λυποῦμαι. καὶ, ἄνε. καὶ γὰρ ἠδίκησάς με, λυποῦμαι. ἔστι δὲ τὸ μὲν πρῶτον κοινότερον, τὸ δὲ β', ἀσυνήθες τοῖς πολλοῖς. ἡδ' ἑκατέρων πάλιν διαφορὰ, καθ' ὅ, τι οὐ κατὰ τὸν ἐπεὶ, καὶ ὁ γὰρ, συνεισάγει τι ἑπόμενον, αὐτὸς μᾶλλον ἑπό-

λον ἑπόμενον ὂν ἡγουμένου λόγου. Τὸ δὲ ἐπεὶ ἔλθοι ὁ δεῖνα, καὶ τὰ τοιαῦτα, οὐ σύνδεσμοι, χρονικὰ δέ εἰσιν ἐπιρρήματα. ὥσπερ αὖ αἰτιολογικὸς σύνδεσμος παρ' Ἡροδ', ἐν ἡ, τὸ, ἐπεὶ ἀνδρίους γε εἶναι γεωπείνας ἐς τὰ μάλιστα ἥκοντας. τάξις γὰρ εἶτ' οὖν ἀκολούθησις ἑπομένου οὐ συνεμφαίνεται τῷ τοιούτῳ ἐπεί. Ἀρκτικὸς δ' ὢν λόγου, δυσαπόδοτος ἐνίοτε ὁ ἐπεὶ, δοκῶν παρέλκειν. ὡς ἐν τῷ, νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς Πρίδα γαῖαν, . Ἰλ. σ. οἷος καὶ ὁ ὡς εἴρηται ἀντὶ τοῦ ἢ, διαζευκτικοῦ λαμβανόμενος. Χρυσόστμ. ἐν τῇ πρὸς κολοσσ. κφ'. δ', ὁμλ'. ια', ἄν τινα κατηχῇς, λέγε ἐξ ὑποθέσεως ὑποκειμένης. ἐπεὶ σίγα. ἀντὶ τοῦ, ἢ λέγε, ἢ ὑποθέσεως μὴ ὑποκειμένης, σίγα. ὁ μὲν οὖν Θεόδωρος ἁπλῶς τὴν ὕπαρξιν εἰληφὼς φαίνεται κἀπὶ τῶν καθόλου, καὶ οὐκ ἐπὶ μόνων τῶν καθ' ἕκαστα. ὡς γὰρ ἐν τῷ, ἐπεὶ ὁ Σωκράτης περιπατεῖ, κινεῖται, οὕτω κἀντῷ, ἐπεὶ ὁ ἄνθρ ἐστι ζῷον, ἔστι καὶ αἰσθητικὸν, ὕπαρξιν δηλοῦν βούλεται κατ' αὐτὸν ὁ σύνδεσμος. τῶν γε μὴν φιλοσοφούντων οἱ τὴν ἐπὶ τῶν ὄντων. ἢ ὄντα ἐστὶ, τῆς ὑπάρξεως λῆψιν ἀφιλόσοφον ἡγούμενοι, μόνοις τοῖς περὶ τὰ ὄντα συμβάμασι προσκυροῦσιν αὐτὴν, ὑπάρχοντα μὲν λέγοντες τὰ ἀλλοιωτά τε καὶ ἐνδεχόμενα. τοιαῦτα γὰρ τὰ καθ' ἕκαστα. ὄντα δὲ, τὰ ἀεὶ ὡσαύτως ἔχοντα, τοιαῦτα γὰρ τὰ καθόλου.

Αἰτιολογικοί.

Οἱ δ' αἰτιολογικοὶ, προτακτικοί τέ εἰσι τῶν λέξεων, πλὴν τοῦ Γὰρ,

Αἰτιολογικοὶ ἤκουσαν, ὡς αἰτιολογοῦντες, οἱ μὲν, τὸ ἐξ οὗ, οἱ δὲ, τὸ δι' ὃ, οἱ δὲ, τὸ καθ' ὅ.

Καὶ κατ' ὀρθὸν καὶ ἀντεστραμμένον συντάσσονται.

Ηζ.

Τοῖς συναπτικοῖς τε καὶ παρασυναπτικοῖς προηγουμένοις μὲν, παρείπετο τὸ ὀρθὸν τῆς συντάξεως, ἐπιφερομένοις δὲ, τὸ ἀντεστραμμένον. τῶν δὲ αἰτιολογικῶν τοῖς μὲν τὸ οὗ ἕνεκα αἰτιολογοῦσι, τοὐναντίον. καθ' ὅ, τι οἱ μὲν συναπτικοὶ καὶ παρασυναπτικοὶ τοῖς ἡγουμένοις τῶν λόγων ὄντες συνημμένοι, εἰκότως καὶ προηγούμενοι, κατὰ τὸ ὀρθὸν συνετάσσοντο, οἱ δὲ τὸ οὗ ἕνεκα αἰτιολογοῦντες, μέλλον ὂν καὶ ὕστερον, ἐπιφερόμενοι μὲν, κατὰ τὸ ὀρθὸν συντάσσονται, προηγούμενοι δὲ, κατὰ τὸ ἀντεστραμμένον. Τοῖς δὲ τὸ ποιητικὸν, πλὴν τοῦ γὰρ, τὸ αὐτὸ τοῖς συναπτικοῖς.

Καὶ τὰ ὑποτακτικὰ τῶν ῥημάτων ποιοῦσιν

Ὅ ἐστι καὶ τοῖς ὑποτακτικοῖς τῶν ῥημάτων συντάσσονται, προτασσόμενοι,

Ἔνιοι τούτων.

Οἱ πλὴν τοῦ ἕνεκα τὸ οὗ ἕνεκα αἰτιολογοῦντες.

Ἐὰν μάθω, ἵνα διδάξω. καὶ ἐπιρρηματικῶς, ἐπειδὰν διδάξω, ἢ ὅταν διδάξω.

Καὶ τοῖς χρονικοῖς τῶν ἐπιρρημάτων συντιθέμενοι, ὑποτάσσουσι πάλιν τὰ ῥήματα. ὡς ὁ ἂν, τῷ ἐπεὶ, ἢ ἐπειδὴ, καὶ τῷ ὅτε, τῷ μέχρις, ἄχρι.

Ὅ γε μὲν Ἵνα καὶ τὰ

Τούτῳ

Ἰσοδυναμοῦντα,

Συνδεσμικὰ μόρια. οἷα τὸ αἰτιολογικὸν ὅπως, ὡς ἂν, τὸ ὄφρα ποιητικόν. ἃ δὴ ἐπὶ μὲν

ἐπὶ μὲν ἐνεστῶτος καὶ μέλλοντος, φορὰς ὑποπτικόν, ἐπὶ δὲ παρωχημένου

Καὶ πρὸς δύκτικόν ἔτι συνιστάσονται, εἰ περὶ παρωχημένου ὁ λόγος. οἷον, ἀφίκετο ἵνα θεῷτο.

Ὡς καὶ τῇ ὑποπτικῇ εἴρηται.

Καὶ πρὸς ὁρισικὸν παρατατικὸν, ἔνθα τι περὶ παρωχημένου ἀξιοῦμεν ὑπάρχειν ἢ μή. οἷον, ἐζήτουν αὐτὸν λαβεῖν συγγραφεὺς, ἵν' εἶχον ἀπαιτεῖν κῆνόμους.

Λεκιαν. εἰ γάρ τοι τῇ πνοῇ τῷ ἴωντε καὶ ῥόδων χαίρουσιν, ὑπὸ τῇ ῥινὶ μάλις' ἂν ἐχοῖεν αὐτὰς σέφεσθαι, ἵν' ὡς πλεῖστον ἀνέωσων τῆς ἡδονῆς. Δήμαρχ. καὶ Δημοσθ. ἵνα, τότε δόντος δίκην τὸν θηρίον τοῦτον, ἀπολλάγμεθα τούτου τοῦ δημαγωγοῦ. Δημοσθ. ἵνα ἐδόκουν. καὶ γὰρ καὶ τὸ τοιοῦτο τελικόν, εἰ καὶ φορὸς τὸν χρόνον τοῦ λέγοντος παρέχεται, φορός γε μὴν τὸν τοῦ ἔστι τελικόν, μέλλει. παράδειγμα δὲ, οὗ θατι περὶ παρωχημένου ἀξιοῦμεν μὴ ὑπάρχειν. ἔφαγον γάρ φησι, καὶ δεινοὶ χθυσαν αὐτῷ οἱ ὀφθαλμοὶ, καὶ ἔγνωσαν ὅτι γυμνοί εἰσιν. ἔδει δὲ μὴ γινώσκειν τὴν γύμνωσιν, ἵνα μὴ ὁ νοῦς τοῦ ἀνεπιστήμονος πρὸς τὴν τοῦ λείποντος ἀναπλήρωσιν, ἀμφισβήτησιν ἑαυτῷ, καὶ τῆς γυμνότητος παραμυθίαν ἐπινοῶν. Βασίλ. λόγ. ὅτι ἀνάγκη αἰτίου τῷ πακτῶν ὁ Θ'ς. Τὸ δὲ ἵνα, ἔστιν ὅτε καὶ ὡς διασικόν. ὡς σὺ τῷ, ἵνα μὴ ῥέξωμεν ὧδε. αὐτὶ τοῦ, ἐὰν μὴ ῥέξωμεν ὅπως. ἰλ. ν. ἀλλὰ καὶ ἐπίρρημα τόπου δηλωτικόν. τοῦτο δὲ διχῶς. ἐν ᾧ μόνον τὸ ὅπου καὶ πότερον, ἀλλὰ καὶ ἀπωτέρω τὸ ἐκεῖ. ὡς τὸ, ἵνα γὰρ σφὶν ἐπέδραθον ἠὲ ῥεέσθαι. ἰλ. κ. αὐτὶ τοῦ ἐκεῖ αὐτοῖς εἰπον συναχθῆναι. Ἔτι καὶ αὐτὶ τοῦ ὅθεν, καὶ αὐτὶ τοῦ καὶ. μὴ πίωμεν αἰτιολογικῶς λαμβανόμενον τὸ ἵνα, ἐὰν ὑποπάσει, ὥσπερ ἐὰν τὸ ὅπως αὐτὶ τοῦ πῶς. Τῶν γὰρ αἰτιολογικῶν οἱ μὲν παρὰ τὸν διότι, ἐπί τε τοῦ ἀποτελεσικοῦ εἴτ' ἂν τελικοῦ καὶ τοῦ ποιητικοῦ αἰτίου παραλαμβάνονται, ὡς ἐν τῇ ὑποπτικῇ εἴρηται. τῷ δὲ διότι καὶ ὅτι τὸ μὲν, ἐπὶ τῷ προτέρων, τὸ δὲ ὅτι ἐπὶ τῷ ὑστέρων. τοῦτ' ἔστι τὸ μὲν, ἐπὶ τῷ αἰτίων, τὸ δὲ, ἐπὶ τῷ αἰτιατῷ. οἷον, τὸ μὲν λογικὸν αἴτιον τοῦ γελαστικοῦ καὶ πρότερον, τὸ δὲ γελαστικὸν αἰτιατὸν τοῦ λογικοῦ καὶ ὕστερον. ὡσαύτως τὸ μὲν πῦρ αἴτιον τοῦ καπνοῦ, ὁ δὲ καπνὸς αἰτιατὸν τοῦ πυρός. ἐρωτώμενοι γοῦν ὑπό τινος, διὰ τί καπνὸς ἀποθρώσκει; ἀπαντῶμεν οὐχὶ διὰ τοῦτο, διὰ δὲ τοῦ διότι, διότι λέγοντες ἔστι πῦρ. καὶ αὖθις ἐρωτηθέντες, διὰ τί ἔστι πῦρ; ἀποκρινόμεθα οὐ διὰ τοῦτο, ὅτι διὰ δὲ τοῦ ὅτι, ὅτι ἔστι καπνός. ὁμοίως καὶ ἐπὶ τοῦ ἀνθρώπου, διὰ τί ἔστι γελαστικός; διότι λογικός. καὶ διὰ τί λογικός; ὅτι γελαστικός. ταῦτα δ' εἰδότας, χρεὼν ἑκατέρῳ τῷ αἰτιολογικῶν μορίων, οὗ θα δεῖ χρῆσθαι, εἰ μέλλοιμεν αὖ ὀρθῶς ἀποσῴζειν αὐτοῖς τὰ ἰδιάζοντα, τοῖς μὲν αἰτίοις ἀποδιδόντας τὸ διότι, τοῖς δὲ αἰτιατοῖς τὸ ὅτι. περὶ δὲ τοῦ διότι, τούτου καὶ τοῖς ὀπίσθεν ἔρηται. καὶ ἔτι μὲν τὸ ὑφ' ἓν τὸ διότι, αἰτιολογεῖ. αἰτιολογεῖ δὲ καὶ ἐρωτηματικῶς προαγόμενον, ἔστι μὲν ἁ, τὸ καθ' ὃ, ἔστι δ' ἃ τὸ διότι. τὸ καθ' ὃ μὲν, ὡς σὺ τῷ, καὶ τί, ὦ ἐμβρόντητε, ἀμείνων εἰ ἐμοῦ; ἢ διότι, τί σε ὀζοὺς ἐκεραύνωσε; Λεκιαν. οὐσαῦ εἰ λέγοι τις, καὶ τοῦτο εἰ ἀμείνων ἐμοῦ, κατὰ τοῦτο κεραυνωθῆναί σε ὑπὸ τοῦ διός; τῇ γὰρ συνταξει ἔγκειται τὸ εἶδος τῆς παραθέσεως εἴτ' οὖν συγκείσεως, φημὶ δὴ τὸ κεραυνωθῆναι, εἰδοποιὸν καὶ ὁρίζον τὸ τῆς παραθέσεως ἀόριστον, καὶ μεθιστὼν τὸ ἁπλοῦν αὐτῆς εἰς σωθὲν καὶ εἰς μεσικὸν τὸ καθόλου. τοιοῦτο δὲ καὶ τὸ

δὲ καὶ τὸ καθ' ὅ, εἴτ' οὖν τὸ εἶδος. κἂν τῇ τῶν ὀνομάτων δὲ συντάξει εἴρηται τὰ κυρίως ἐπίθετα φέρεσθαι καὶ εἰς αἰτιατικὴν, ὡς τὸ σοφὸς, ἢ σοφώτερος τὰ μηχανικά. ἡ δὲ τοιαύτη αἰτιατικὴ δέδεικται τῆς κατὰ, προθέσεως οὖσα ἐπιδεὴς τὸ κατά τι συσσημαινούσης, καὶ τῆς κατηγορουμένης ἀορίστου ποσότητος ἢ ποιότητος εἰδοποιὸς καὶ ὁριστική. ἐν δὲ τῇ προκειμένῃ συντάξει καὶ τοιαύτη τις ἔγκειται αἰτιατικὴ προθετόπτωτος τὸ κατά τι σημαίνουσα, (κατὰ γὰρ τὸ κατὰ τί, ληφθήσεται καὶ τὸ δι' ὅ, τι. εἴγε τὸ κατὰ τί ἀνταποδοτικόν ἐστι πρὸς τὸ δι' ὅ, τι) ἄρα. οὕτω μὲν οὖν τοῦ καθ' ὃ, αἰτιολογικὸν τὸ δι' ὅ, τι. τοῦ δι' ὃ δὲ πάλιν, εἴτ' οὖν τοῦ οὗ ἕνεκα, ὡς ἐν τῷ, καὶ ἔχεις ἂν, ἔφη ὁ κύρος, εἰπεῖν δι' ὅ, τι;

Τὸ γεμὴν Ὅπως. ἀντὶ τοῦ πῶς, παραγγελματικῶς πρὸς ὁριστικὸν μέλλοντα. σκοπεῖτε δὲ τοῦτο, ὅπως μὴ λόγους ἐροῦσιν. ἄλλως δὲ, παντὶ ἐφαρμόττει χρόνῳ.

Τὸ ὅπως αἰτιολογικὸν μὲν ὄν, πρὸς τὰς αὐτὰς τῷ ἵνα ἐγκλίσεις τε καὶ χρόνους φέρεται, τροπικὸν δὲ ὄν, ἀντὶ τοῦ πῶς δηλ, πρὸς μὲν ἔγκλισιν μόνην ὁριστικὴν, (εἰ μὴ δυνητικόν τι πρόσκειται, ἢ ἐπινοεῖται. εὐκτικοῦ γὰρ, ὡς εἴρηται, τὸ δυνητικὸν, ὡς ἐν προοιμίοις. λεκτέον τοίνυν καὶ ὅπως ἂν τὰ τοῦ λόγου μέρη ἀλλήλοις ὀρθῶς σαντασσόμενα, ἀποτελοίη τὸν λόγον. καὶ Θουκδ', α', ὁ Ἀστύοχος ἠπόρει ὅπως βοηθήσοι. καὶ Χρυσόστμ. ἐν ταῖς πράξ, κφ, ζ'. ὁμλ'. ιη'. ἀλλ' ὅπως μὲν βαλανεῖον γένοιτο, καὶ ὅπως τὰ τιμήματα ἐπιταθείη, καὶ ὅπως οἰκοδομήματα κατασκευασθείη, πολλὴν σπουδὴν ποιοῦνται, ὅπως δὲ ψυχαὶ γεωργηθεῖεν, οὐκ ἔτι. καὶ, ἐχρῆν ἕκαστον τῶν πιστῶν πρὸ πάντων τοῦτο σκοπεῖν, ὅπως ἅπαντες εἶεν χριστιανοί. κἂν τῇ πρὸς πρὸς κορθ', β', κφ', ς'. ὁμλ, ιβ'. καὶ γὰρ διπλῆ ἦν αὐτῷ ἡ φροντὶς ὑπὲρ τῆς οἰκουμένης, καὶ ὅπως τῶν ἀναγκαίων μὴ ἀποροῖεν, καὶ ὅπως ἐν τοῖς πνικοῖς πλουτοῖεν.) Πρὸς μὲν οὖν Ἔγκλισιν, ὡς εἴρηται, μόνην ὁριστικήν. Χρυσόστμ. ὁμλ, κα'. εἰς τὰς πράξ. ὅπως μὲν ἡμῖν φοβεροὶ οἱ ὑπηρετοῦντες ἔσονται, πάντα ποιοῦμεν. καὶ λδ', οὐδεὶς ὅπως ἔσται ψυχὴ καλὴ, σκοπεῖ. Πρὸς δὲ Χρόνον, παραγγελματικῶς μὲν, μόνον μέλλοντα. οἷον, σκόπει, ἢ ὅρα, ἢ πρόσεχε. ἤ τι τοιοῦτο. καθ' ὅ, τι καὶ τὰ τῆς παραγγελίας μέλλουσιν ἐπιλέγεται. Θουκδ', ε', ὁρᾶν (χρὴ) τοὺς ἀργείους ὅπως σωθήσεται ἡ πελοπόννησος. κἂν τῇ ς', ὁρᾶτε ἀπὸ τῶν ὑπαρχόντων ὅτῳ τρόπῳ κάλλιστα ἀμυνεῖσθε αὐτούς. καὶ, ἐσκεψάμεθα ὅτῳ τρόπῳ ἥκιστα αὐτῶν ὑπακουσόμεθα. τὸ γὰρ, ὅτῳ τρόπῳ, ἰσοδύναμον τῷ ὅπως. Δημοσθ', ὀλυνθ. β', σκοπεῖσθε μέντοι τοῦτο, ὦ ἄνδρες ἀθηναῖοι, ὅπως μὴ λόγους ἐροῦσι μόνον οἱ παρ' ἡμῶν πρέσβεις, ἀλλὰ καὶ ἔργον δεικνύειν ἕξουσιν. Ἄλλως δὲ, ὅ ἐστι μὴ παραγγελματικῶς δηλονότι, ἀλλὰ τροπικὸν μόνον ὂν δίχα παραγγελίας, πρὸς τὸ τριμερὲς τοῦ χρόνου κατὰ μόνην ὡς εἴρηται τὴν ὁριστικήν. Δημοσθ', κατὰ φιλίπ. γ', ἔπραττον ὅπως ἡ πόλις ληφθήσεται. Θεμίστ, ἐν τῷ περὶ φιλ. ὅταν οὖν ἐθέλῃς γινώσκειν, ὅπως σοι χρήσεται φίλῳ ἄνος οὗτος, γινώσκειν πρῶτον χρὴ, ὅπως ἐχρήσατο τῷ πρὶ, ἢ ὅπως τῇ μρὶ, ἢ ὅπως τἀδελφῷ χρῆται, ἢ ὅπως ἔχει πρὸς τὴν γυναῖκα. ἐν οἷς τὸ ὅπως τροπικὸν ἄλλως ὄν, παντὶ συνετάγη χρόνῳ. Ὅθεν σεσημείωται Γρηγορίου τοῦ ναζιανζ, τὸ, οὐκ ἔστιν ὅπως ἑαυτὸν ἀποκρύψῃ. στηλτ. α'. πρὸς ὑποτακτικὴν, εἰμήτιγε γραφικὸν εἴη ἁμάρτημα. Ἐν οἷς σημείωσαι ὅτι τὸ ἐὰν, ὑποθετικὸν

θετικὸν ὂν, συναπτικὸς ἂν εἴη μᾶλλον ἢ αἰτιολογικὸς σύνδεσμος. δισταγμὸν γὰρ σημαίνει. καὶ γὰρ καὶ κατὰ Ἀπολλ'. ὑπὸ τὸν αὐτὸν δισταγμὸν πίπτει τὸ ἐὰν περιπατῇ, κινεῖται, τῷ εἰ περιπατῇ, κινεῖται. Ὡσαύτως καὶ τὸ ὅπως τροπικὸν, ἐπίρρημα μᾶλλον ἢ σύνδεσμος. κατὰ γὰρ τὸν Θεόδωρ. τῶν ἀοριστουμένων τὰ τροπικά τε καὶ τοπικὰ ἐν τοῖς ἐπιρρήμασι τέτακται. εἰ μὴ λέγοι τις ὡς αἰτιολογικὸν ὂν καὶ αὐτὸ, ᾧδε τέτακται. τῇ γὰρ αἰτιολογούσῃ τὸ ὀργανικὸν δοτικῇ ἐστι ταυτοδύναμον, εἰς αὐτὴν ὡς δέδεικται μεταλαμβανόμενον. Ἡ δὲ τοῦ ὅπως, οὐ μᾶλλον τροπικῶς, ὡς τῷ μορυολόγῳ δοκεῖ, ἢ καὶ ἀποτελεστικῶς πρὸς ἀπαρέμφατον σύνταξις, τῆς ἀρχαιοτροπίας τῶν ἑλλήνων ἐστὶν, ἥκιστα ἡμῖν εἰς χρῆσιν ἥκουσα, ὡς τῶν ἐπ' ἔλαττον οὖσα οὐ τῶν ὡς ἐπὶ τὸ πολὺ λεγομένων, ἐξ ὧν ἡ γραμματικὴ θεωρίατε καὶ μέθοδος. πολλῷ γὰρ, μᾶλλον δ' ἀσυγκρίτως κριτικώτεροι τοῦ μορυολόγου οἱ ἀμφὶ τὸν Θεόδωρον, τῶν ἑλλήνων οὐχὶ τὰ τόγ' εἰς ἡμᾶς ἧκον ἄχρηστα, τὰ δὲ εὔχρηστά τε καὶ πολύχρηστα κανονίσαντες. τὸ γὰρ ὀρθόν φησιν, ἐν οἷς οἱ τῶν λογίων ἐνδοξότεροι οὐχ ἁπλῶς, ἀλλ' ὡς ἐπὶ τὸ πολὺ λέγουσι θεωρεῖται. τὸ γὰρ ὅπως τροπικὸν, ἐπιρρηματικὸν μᾶλλόν ἐστιν, ἢ συνδεσμικόν. τὰ δὲ τροπικὰ, τῶν ἐρωτηματικῶν πως ἐστιν. ἡ δὲ ἐρώτησις εἰς δύω μέρη τοῦ λόγου ἐχώρησε κατὰ Ἀπολλώνιον, ὀνοματικὸν καὶ ἐπιρρηματικόν. τὸ δὲ ὀνοματικὸν ἀγνοεῖ τὴν ἀπαρέμφατον, καὶ τὸ ἐπιρρηματικὸν ἄρα.

Πρὸς ὁριστικὸν δὲ ὁ ὅτι καὶ τὰ ἰσοδυναμοῦντα.

Οἷα τὸ δι' ὅ, τι, τὸ γὰρ, τὸ ὡς. ἕτεροι δὲ καὶ πρὸς εὐκτικὸν ἀξιοῦσι φέρεσθαι τὸ ὅτι, ὡς ἐν τοῖς βεβαιωτικοῖς τῶν ἐπιρρημάτων εἴρηται. ἀλλὰ γὰρ ἐκεῖνο μὲν τὸ ὅτι βεβαιωτικὸν ἦν ἐπίρρημα. τοῦτο δ' αἰτιολογικὸς σύνδεσμος, πρὸς μόνον ὁριστικόν. οἷον,

Ὅτι οὐδεὶς μισθὸς οὐδὲ τέχνη. τὸ δὲ Ἐφ' ᾧτε, πρός τε ὁριστικὸν καὶ πρὸς ἀπαρέμφατον. ἐφ' ᾧ ἔγραψεν. ἐφ' ᾧ κομιοῦνται. ἐφ' ᾧ μεμνῆσθαι.

Τὸ ἐφ' ᾧ, ὃ καὶ ἐφ' ᾧτε λέγεται κατὰ παρολκὴν τοῦ τε, καὶ ἐφ' ὅτῳ, καὶ ἐφ' οἷς, οὐκ ἔχει τι συνυπακουόμενον πρόσωπον κατὰ τὰ ἄρθρα. ἀλλ' αἰτίας ἐστὶ παραστατικὸν, αἰτιολογοῦν ἐπὶ μὲν τὸ πολὺ, τὸ Οὗ ἕνεκα. Θουκδ'. α', σπονδὰς ποιησάμενοι, ἐφ' ᾧ τοὺς ἄνδρας κομιοῦνται. ἀντὶ τοῦ ἐπὶ τῷ κομίσασθαι, ἵνα κομίσωνται. κἀν τῇ ε', οἱ δὲ ἐν ἰθώμῃ ξυνέβησαν πρὸς τοὺς λακεδαιμονίους ἐφ' ᾧτε ἐξίασιν ἐκπελοπονήσου ὑπόσπονδοι, καὶ μηδέποτε ἐπιβήσονται αὐτοῖς, ἢν δέτις ἁλίσκηται, τοῦ λαβόντος εἶναι δοῦλον. ἐν ᾧ τὸ ἐφ' ᾧ ὁριστικῇ τε ἅμα καὶ τελικῷ ἀπαρεμφάτῳ συντέτακται. ἐν δὲ τῇ αὐτῇ καὶ πρὸς εὐκτικὸν μὲν, ἀλλὰ μετὰ τοῦ δυνητικοῦ. ἐφ' ᾧ ἂν σφίσιν αἱ σπονδαὶ γίγνοιτο. δῆλον δ' ὅτι τὸ τῷ ἐφ' ᾧ συνηνεγμένον ἀπαρέμφατον τελικὸν ὂν, μέλλοντι οὐκ ἂν συνταγείη. ὅθεν ἡμάρτηται παρ' Αἰσχίνῃ τὸ, ἐφ' ᾧτε βοηθήσειν. παρὰ δὲ παυσανίᾳ καὶ πρὸς ὑποτακτικὸν ἐν τοῖς λακωνικοῖς. τοῖς ἀθηναίοις ἐπὶ μακρότατον ἀντισχοῦσιν ἐποιήσατο ὁ ἀντίγονος εἰρήνην, ἐφ' ᾧτε σφίσιν ἐπαγάγῃ φρουρὰν εἰς τὸ μουσεῖον. εἰ μήτι διημάρτηται τὰ τῆς γραφῆς, ὑποτακτικοῦ ἀντὶ ἀπαρεμφάτου εἰσφθαρέντος. Αἰτιολογεῖ δέ ποτε καὶ τὸ Ποιητικὸν ἐπὶ παρῳχημένου. Συνέσ. Τρωΐλῳ. καὶ τὸν ἥλιον εἶδεν ἐπὶ ῥητοῖς ἄνοος, ἐφ' ᾧ γεν-

ἐφ' ᾧ Γεννάδιον ἔγραψεν. Αἰτιολογικὸν ἐπὶ τούτοις καὶ τὸ ἅτε δὴ, καὶ τὸ τούτῳ ἰσοδύναμον ὡς, μετοχῇ ἑκάτερα πανταχοῦ συμφερόμενα, ὁμοιοπτώτως τοῖς ἡγουμένοις. ὑπεξαιρείσθω τὸ τῷ ὅτι ἰσοδυναμοῦν ὡς, τὸ πρὸς μόνην, ὡς εἴρηται, ὁριστικήν.

Τὸ δὲ Ἕνεκα, γενικῆς.

Τὰ μὲν ἄλλα τῶν αἰτιολογικῶν μορίων ῥηματικῶς συντάσσεται, τὸ δὲ ἕνεκα, πτωτικῶς πρὸς γενικήν.

Τὸ δὲ οὕνεκα τὸν χρύσην ἠτίμησ' ἀριτῆρα, ἰωνικόν. (ἰλ. ᾱ.

Τὸ μὲν ἕνεκα, πτωτικῶς. ῥηματικῶς δὲ τὸ οὕνεκα. ὃ καὶ αὐτὸ ἐκ τοῦ οὗ ἕνεκα συνείληπται ἰωνικῇ διαλέκτῳ. Ὅτι δὲ τὸ ἕνεκα οὐ μόνον τὸ δι' ὃ, ἢ τὸ ἐξ οὗ, ὡς εἴρηται, ἀλλὰ καὶ τὸ ὑφ' οὗ ἐστιν οὗ αἰτιολογεῖ, δηλοῖ σὺν ἄλλοις μυρίοις καὶ Βασίλειος, προοιμιαζόμενος περὶ κρίματος Θεοῦ. ὅταν φησὶν, ἴδω μωσέα ἐπὶ τοῦ ὕδατος τῆς ἀντιλογίας οὐδενὸς ἕνεκεν ἑτέρου, ἢ ἵνα μόνον εἴπῃ τῷ λαῷ γογγύζοντι δι' ἀπορίαν ὕδατος, μὴ ἐκ ταύτης τῆς πέτρας ἐξάξωμεν ὑμῖν ὕδωρ; τούτου μόνου ἕνεκεν εὐθὺς ἀπειλὴν δεχόμενον εἰς τὴν γῆν τῆς ἐπαγγελίας οὐκ εἰσελεύσεσθαι, κτ'. κατὰ γὰρ τὸ ἵνα, καὶ τὸ ἕνεκεν τὸ ποιητικὸν ἑκάτερα. ἐπὶ τούτοις καὶ τὸ εἰδικόν. χρυσστμ. ἐν τῇ πρὸς φιλιπ'. ὁμλ. ζ', οὐκ εἶ τοῦ Ταὼ καλλίων οὐδὲ ἄνθους ἕνεκεν, οὐδὲ πτερῶν. ἐπιφέρει γὰρ, ἐν τοῖς πτεροῖς τοῦ ὄρνιθος ἡ νίκη. πολύ σε παρελαύνει τῇ κόμῃ, τῷ ἄνθει. κἀντοῖς ἑξῆς, ὑγείας δὲ ἕνεκεν πολλῷ βελτίω ἡμῶν τὰ ἄλογα καὶ εὐεξίας καὶ τοῦ εὐπορεῖν. ὡς ἂν εἰ ἔλεγεν, ἔνθα μὲν, κατὰ τὸ ἄνθος καὶ τὰ πτερὰ, ἔνθα δὲ, κατὰ τὴν ὑγείαν. κτ'. κἀντῷ κατὰ Ματθ'. προοιμ'. ἐπειδὴ δὲ τοῦ χρόνου προϊόντος ἐξώκειλαν οἱ μὲν, δογμάτων ἕνεκεν, οἱ δὲ, βίου καὶ τρόπων, ἐδέησε πάλιν τῆς ἀπὸ τῶν γραμμάτων ὑπομνήσεως. ἀντὶ τοῦ, οἱ μὲν, κατὰ τὰ δόγματα, οἱ δὲ, κατὰ τὸν βίον. καὶ ὁμλ'. β'. τοῦ κατὰ Ματθ'. καὶ γὰρ τοῦτό ἐστιν, ᾧ τῶν ἀλόγων πλεονεκτοῦμεν. ὡς τῶν γε ἄλλων ἕνεκεν καὶ σφόδρα αὐτῶν ἐλαττούμεθα. καὶ ὁμλ'. ξς'. οὕτω πάντων ἕνεκεν μετὰ ταῦτα ἄκροι ἐγένοντο. (οἱ πρότερον ἀτελέστερον διακείμενοι ἀπόστολοι.) καὶ λόγῳ εἰς τὸν μακάριον Βαβύλαν καὶ κατὰ Ἰουλιανοῦ. ὅταν γὰρ ὁ κρατῶν, κατὰ τὸ δοκοῦν αὐστηρότερον εἶναι τῆς φιλοσοφίας μέρος, καὶ παρρησίας καὶ ἐγκρατείας ἕνεκεν, οὕτως αἰσχρὸς καὶ ἄτοπος καὶ περιττὸς ἀποφαίνηται. ἀντὶ τοῦ κατὰ τὴν παρρησίαν καὶ τὴν ἐγκράτειαν. τὰ γὰρ μέρη τῆς φιλοσοφίας τοῦ κρατοῦντος τὰ δοκοῦντα αὐστηρότερα εἶναι, ταῦτά ἐστι. Καὶ ἀντὶ τῆς ἀπό. ὁ αὐτὸς ὁμλ'. β', εἰς τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος. παιδείας δὲ ἕνεκεν τῆς ἔξωθεν οὐδ' ὁ, τιοῦν αὐτῷ μετῆν. ἢ καὶ παρέλκει.

Ὁ δὲ Γὰρ, παντὶ μέρει λόγου ὑποτάσσεται,

Ἀντὶ τοῦ πάσῃ λέξει. τῷ δὲ ἀλλὰ, ὑποτασσόμενος, ἀργὸς κεῖται.

Καὶ ἀρκτικὸς

Λέξεως, ἢ λόγου

Οὐδαμοῦ ἐστιν. ἢ γάρ. οὐδὲ γὰρ οὐδὲ δρύαντος υἱός. (ἰλ. ζ'.)

Ὅτι μὴ καθ' ὑστερολογίαν, ὡς ἐπὶ τοῦ, σὺ γὰρ δὴ καὶ φίφος εἶ καὶ φιλαῖος. σοί με δεῖ προσανακλαύσασθαι. Συνεσ', ἐπιστλ'. 73. κἀν τῇ 69. μέλει γάρ σοι μέλει καὶ πενταπόλεως. οὐκοῦν ἐντεύξῃ ταῖς δημοσίαις ἐπιστολαῖς.

ἐπιστολαῖς. εἴωθε γάρ τοι ὁ γὰρ, τῇ κατασκευῇ τε καὶ δείξει τοῦ προτεθέντος συμπλέκεσθαι. ἡ δὲ κατασκευὴ ἐπιφέρεται τῇ θέσει προηγουμένῃ τῆς δείξεως. ὅγε μὴν Συνέσιος πρωθυστέρως ταῦτα συνέταξεν. ἔοικε γὰρ τὸ μὲν, σοί με δεῖ προσανακλαύσασθαι, θέσει. τὸ δὲ, σὺ γὰρ δὴ φιλαῖος εἶ, δείξει. ὡσαύτως καὶ τὸ μὲν ἐντεύξῃ, θέσει τὸ δὲ μέλει γάρ σοι καὶ πενταπόλεως, κατασκευῇ. ἡ γὰρ δεῖξις τῆς θέσεως οἱονεὶ αἰτιατοῦ ἐστιν αἴτιον. Μηθὲν δὲ κατασκευάζων ὁ γὰρ, κατ' ἀρχὴν λόγου, ἔστι μὲν οὗ, ἀντὶ τοῦ οὖν κεῖται. ἔστι δ' οὗ, παρέλκει.

Ἐναντιωματικοί.

Οἱ δὲ λεγόμενοι ἐναντιωματικοὶ

Διὰ τὸ τῇ προηγουμένῃ ἐννοίᾳ ἐναντιοῦσθαι.

Καὶ προτάσσονται τῶν λέξεων καὶ ὑποτάσσονται. λόγου μέντοι προτάσσεσθαι οὐδαμοῦ πεφύκασι.

Τῷ γὰρ ὡς εἴρηται προηγουμαίνῳ λόγῳ ἀντιμαχόμενοι, εὔδηλον ὅτι πανταχοῦ ἐπακολουθοῦσι τούτῳ.

Ἔκαμον παραινῶν,

Καὶ δὴ δέον ἀποστῆναι τῆς παραινέσεως,

Ἀλλ' ὅμως παραινέσομαι ἔτι.

Ὅπερ ἐστιν ἐναντίον τῷ καμεῖν παραινοῦντα.

Καί τοι σπεύδων,

Καὶ δέον σπεύδοντα καταλαβεῖν,

Ὅμως οὐκ ἔσχον καταλαβεῖν.

Συλλογιστικοί.

Τῶν δὲ συλλογιστικῶν, οἷον, τῶν ἐπιφοραῖς τε καὶ συμπεράσμασι προσῳκειωμένων, ὁ Ἀλλὰ, ἢ Ἀλλὰ μὴν, προτακτικός ἐστι λέξεως μόνως, οἱ δ' ἄλλοι πάντες καὶ προτάσσεσθαι,

Λέξεως,

Καὶ ὑποτάσσεσθαι δύνανται. πᾶς ἄνος ζῷον. ἀλλὰ μὴν πᾶν ζῷον οὐσία. πᾶς ἄρα ἄνος οὐσία.

Συμπέρασμα μέν ἐστι τὸ ἐκ δύοιν προτάσεων συμβαῖνον, εἴτ' οὖν συναγόμενον, ἐπιφορὰ δὲ κατὰ μὲν Κλήμεντα τὸν στρωματέα ἡ αὐτή ἐστι τῷ συμπεράσματι, λέγοντα ἐν τῷ ἡ, δύω γὰρ ταῦτα ἐν ἅπασι χρῆναί φημι τὸν ἀποδεικτικὸν φυλάττειν, τὰ μὲν λήμματα ἀληθῆ λαμβάνειν, ἀκόλουθον δ' αὐτοῖς ἐπιφέρειν συμπέρασμα. ὅπερ τινὲς καὶ ἐπιφορὰν καλοῦσι, τὸ ἐπιφερόμενον τοῖς λήμμασι περὶ παντὸς τοῦ ζητουμένου καθ' ἕκαστον πρόβλημα. καθ' ἑτέρους δὲ τὸ μὲν, λέγεται ἐπὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ, οὗ κατηγορικαὶ δηλονότι ἑκάτεραι τῶν προτάσσεων, ἡ δὲ, ἐπὶ τοῦ ὑποθετικοῦ. οἷον, ὁ ἄνος ζῷον, τὸ ζῷον οὐσία, τὸ συμπέρασμα, ὁ ἄρα ἄνος οὐσία. εἰ ἡμέρα ἐστὶ, φῶς ἐστιν, ἀλλὰ μὴν ἡμέρα ἐστὶν, ἡ ἐπιφορὰ, φῶς ἄρα ἐστίν. Ὅγε μὴν παρὰ Πλουτάρχῳ θέων κἀπὶ τοῦ ὑποθετικοῦ λόγου τὸ συμπέρασμα τίθησιν. ὁ γὰρ συνημμένος φησὶ λόγος τὴν τοῦ λήγοντος πρὸς τὸ ἑπόμενον ἀκολουθίαν θέμενος, εἶτα προσλαβὼν τὴν ὕπαρξιν, ἐπάγει τὸ συμπέρασμα. οἷον, εἰ περιπατεῖ τι, κινεῖται, ἀλλὰ μὴν περιπατεῖ τι, ἄρα κινεῖται. Ἀλλ' ἀπορήσεις ὁ ἀλλὰ, ἢ ἀλλὰ μὴν, συμπεράσμασι μὲν οὐδαμοῦ, ταῖς δὲ κατὰ τοὺς ὑποθετικοὺς τῶν συλλογισμῶν

λογισμῶν λεγομέναις προσλήψεσι καθόλου προσῳκείωται, καί που καὶ τοῦ ἀποδεικτικοῦ συλλογισμοῦ θατέρᾳ τῶν προτάσεων. Ἢ ὅτι διὰ τὸ συμπεράσμασι μὲν μὴ πάντας, συλλογισμοῖς δὲ πάντας προσῳκειῶσθαι, διὰ τοῦτο οὐδὲ συμπερασματικοὶ, ἀλλὰ συλλογιστικοὶ ἤκουσαν. τοῖς γοῦν συμπεράσμασιν ἁπλῶς προσῳκειωμένοι, οὐδαμοῦ κατάρχειν λόγου πεφύκασιν. εἴγε πᾶν συμπέρασμα δύοιν προηγουμένων λόγων ἐστὶ σύμβαμα, εἴτ' οὖν αἰτιατόν. ὁ γοῦν κατάρχων λόγου οὖν, ἤτοι κατὰ μετάληψιν κεῖται, ἢ παρέλκει. εἰλήφθω δὲ παράδειγμα ἐκ τοῦ Θεοδώρου, ὃς ἐν τοῖς φθάσασιν ἀναμερισθῆναι εἰς θέσεις ἰδίας τὰς λέξεις εἰπὼν, ὑποσυνάπτει, τῶν τοίνυν τοῦ λόγου μερῶν ἃ μὲν, ἃ δέ. τὰ γὰρ ἐπιφερόμενα κατασκευὴ μᾶλλον, ἢ συμπέρασμα τυγχάνει τῶν προτεθέντων. καὶ ἔστιν ὁ τοίνυν, ἀντὶ τοῦ γάρ. κἀν τῇ διαιρέσει δὲ τοῦ ῥήματος εἰπὼν τὰ οὐδέτερα μὴ ὁμοίως τοῖς ἐνεργητικοῖς εἰς παθητικὴν φωνὴν μεταχηματίζεσθαι, διὰ τὸ κεχωρίσθαι τούτων τὴν παθητικὴν διάθεσιν, ἑξῆς ἐπιφέρει, τὰ μὲν οὖν οὐδέτερα αὐτοῦ μόνου ἐμφαίνει ὁρισμὸν, κτ'. οὔκουν οὐδ' ἡ τοιαύτη ἐπιφορὰ συμπερασμά ἐστιν. εἴγε τὸ μὲν, ἕτερόντί ἐστι τῶν κειμένων, ἡ δὲ, ἐπαναλαμβάνει τὰ εἰρημένα, μικροῦ ταυτολογοῦσα. κἀν τοῖς περὶ μηνῶν δὲ τριχῇ τὰς ἑκάστου μηνὸς ἡμέρας διαριθμεῖν ὑποθέμενος, τὸ μὲν, ἱστάμενον λέγοντας, τὸ δὲ, ἐπὶ δέκα, τὸ δὲ, φθῖνον, ἑξῆς ἐπιφέρει, ἀριθμητέον οὖν ὧδε, νουμηνίαν μὲν, τὴν πρώτην, κτ'. Ἐν δὴ τοῖς τοιούτοις διατύπωσιν, ἢ ὡς ἐν ἄλλοις μετάβασιν νοήματος ἐπαναληπτικῶς δοκεῖ ποιεῖσθαι ὁ σύνδεσμος, ἀντὶ τοῦ δὴ κείμενος. Ἄλλως τε τῶν παρὰ τὸν ἀλλὰ καὶ ἀλλὰ μὴν, καὶ προτάσσεσθαι καὶ ὑποτάσσεσθαι δυναμένων, ὁ οὖν μὴ ἑκάτερον, θάτερον δὲ μόνον δυνάμενος, συλογιστικὸς οὐκ ἂν εἴη.

Ἀπορηματικοί.

Οἱ δὲ ἀπορηματικοὶ ἐπαποροῦντι

Καθ' ἑαυτὸν δηλ, πρῶτον συζητοῦντι, εἶτα

Καὶ

Ἕτερον

Ἐρωτῶντι εἰς χρῆσιν ἥκουσιν. ἆρ' οὖν ἀγαθὸν τὸ ἡδύ; προηγοῦνται δὲ τῶν λόγων, εἰ μήτιγε καθ' ὑπερβατόν.

Τὸ ἄρα ἀπορηματικὸν ὂν, περισσᾶται, συλλογιστικὸν δὲ, βαρύνεται. τὸ δὲ ἀπορῶ, οὐ διπλάζει τὸ ρ. καθ' ὅ,τι παρὰ τὸ πόρος καὶ τὸ στερητικὸν α, ἔχει τὴν σύνθεσιν.

Παραπληρωματικοί.

Οἱ δὲ παραπληρωματικοὶ τὸ μὲν ὄνομα ἔσχον ἀπὸ τοῦ τὴν φράσιν

Κεχηνυῖαν

Παραπληροῦν, ἢ μέτρου,

Τοῦ παραποιηταῖς συμπληρώσεως,

Ἢ κόσμου χάριν.

Εἴτ' οὖν εὐφραδίας. περὶ ἧς προείρηται ἐν τῷ ἀπαρεμφάτῳ.

Ἔχουσι δὲ πολλάκις καὶ σημασίαν διάφορον.

Οἱ μὲν ἄλλοι σύνδεσμοι ἀπὸ ἰδίας

δυνάμε

δυνάμεως ὀνομαζόμενοι, τὴν θέσιν ἔσχον τῶν ὀνομάτων, συναπτικοὶ μὲν ἀπὸ τοῦ ἐν συναφείᾳ τοὺς λόγους ἐπάγειν, διαζευκτικοὶ ἀπὸ τοῦ διαζευγνύειν, καὶ ἅπαντες οἱ ὑπόλοιποι. οἵγε μὴν καλούμενοι παραπληρωματικοὶ οὐκ ἀπὸ τοῦ δηλουμένου τὴν θέσιν ἔσχον τοῦ ὀνόματος. οὐ γὰρ ἀληθές ἐστιν, ὥς τινες ὑπέλαβον, μόνους αὐτοὺς ἀναπληροῦν τὸ κεχηνὸς τῆς ἑρμηνείας, καὶ διὰ τοῦτο ἐντεῦθεν κληθῆναι παραπληρωματικούς. ἕκαστος γὰρ αὐτῶν ἔχει καί τινα δύναμιν, ἰδίαν κληρωσάμενος σημασίαν. οὐ γὰρ ταὐτόν ἐστι τὸ, τοῦτό μοι χάρισαι, τῷ, τοῦτό γέ μοι χάρισαι. οὐδὲ τὸ, ἀγαθὸς ὢν, τῷ, ἀγαθός περ ἐών. οὐδὲ ταὐτὸ ἐμφαίνει τὸ, οἱ μὲν παρ' ὄχεσφι, τῷ οἱ μὲν δὴ παρ' ὄχεσφι. Περιγραφῆς γὰρ λόγου σημεῖόν ἐστιν ὁ δὴ. οὐδὲ γὰρ ἐκεῖνο ἐξαίρετόν ἐστι, τὸ αὐτοὺς μόνους ἐν πλεονάσματι, ὡς εἴρηται, εὑρίσκεσθαι, ἀλλὰ σχεδὸν τὸ τοιοῦτο πάθος σύνεστι καὶ κατὰ τῶν ὑπολοίπων συνδέσμων. τῶν καὶ μηριόνης πρότερος. ἤτοι μὲν μενέλαος. καδ' δ' ἀλλοφρονέοντα. μυρία ἐστὶν εἰς τὸ τοιοῦτο παραθέσθαι. ἀλλ' οὐ συνδέσμων μόνων ἴδιον τὸ ἐν πλεονασμῷ καταγίνεσθαι. σχεδὸν γὰρ ἐπὶ πάσας τὰς λέξεις τὸ τοιοῦτο συντείνει, τὸ πλεονάζειν φημί. Καὶ εἰ ἀπὸ τοῦ πλεονάζοντος ἡ θέσις ἅπασι τοῦ ὀνόματος. ἅπαντες γὰρ ὡς εἴρηται, παραπληροῦσι. τίς ἡ ἀποκλήρωσις τοῦ ἐπὶ μόνων τῶν λεγομένων παραπληρωματικῶν συνδέσμων τὸ τοιοῦτο παρηκολουθηκέναι, λέγω τὸ παραπληροῦν; Ἢ ὅτι οἱ μὲν ἄλλοι σύνδεσμοι διάφοροι ὄντες κατὰ τὰς ἰδίας φωνὰς, μίαν κοινὴν δύναμιν ἐπαγέλλονται, οἱ μὲν, συναπτικὴν, οἱ δὲ, διαζευκτικὴν, οἱ δὲ, ἄλλην τινὰ, ἐξ ἧς καὶ τὴν θέσιν τοῦ ὀνόματος ἀνεδέξαντο, οὐ μὴν τοῖς παραπληρωματικοῖς τὸ τοιοῦτο συνηκολουθήκει. σχεδὸν γὰρ ἕκαστος αὐτῶν ἴδιόν τι σημαινόμενον ἐπαγγέλλεται, οὐ μὴν κοινήν τινα δύναμιν. μείωσιν μὲν ὅ γε, ἐν τῷ, τοῦτό γέ μοι Χάρισαι. περιγραφὴν λόγου ὁ δὴ. ἐναντιότητα ὁ πὲρ, μετ' αὐξήσεως ἐμφαντικῆς. ἦν οὖν ἀνέφικτον τὸ ἐκ τοῦ σημαινομένου τὴν ὀνομασίαν αὐτοὺς κοινῇ ἀναδέχεσθαι διὰ τὸν προκείμενον λόγον, διὰ τὸ ἰδίᾳ ἑκάστου δηλ. σημαινόμενον. Ἐπεὶ οὖν κοινὸν ἅπασι παρείπετο τοῖς συνδέσμοις τὸ πλεονάζειν κατὰ τὸ λεῖπον, τὸ κεχηνὸς ἀναπληροῦντας τῆς ἑρμηνείας, εὐλόγως ἄρα καὶ οὗτοι ἐκ τοῦ κοινῶς παρεπομένου τὸ ὄνομα ἀνεδέξαντο, μὴ διαψευδόμενοι τὴν θέσιν τοῦ παραπληρωματικοῦ ὀνόματος. εἴγε πᾶσιν ὡς εἴρηται, παρέπεται τὸ παραπληροῦν. ὁ δὲ τοιοῦτος λόγος συντείνει καὶ ἐπὶ τὰ παρώνυμα τῶν ὀνομάτων καὶ τὰ ῥηματικὰ, ὡς εἴρηται.

Οἷον, ὁ Γὲ, μειωτικός.

Τοῦτ' ἐστι βραχαυτικὸς καὶ συσταλτικὸς τῶν πολλῶν εἰς ὀλίγα.

Ὁ δὴ, περιγραφικός.

Ὅ ἐστι περιοριστικὸς τοῦ πράγματος, περιλαμβάνων καὶ οἱονεὶ περιορίζων καὶ διϊστῶν αὐτὸ τῶν ἄλλων ἁπάντων, καθ' ὁμοιότητα τῶν ἐν τοῖς χωρίοις ὁροθεσίων. τὸ δὲ αὐτὸ βούλεται καὶ ὁ γὲ, περιγραφικὸς ὢν καὶ αὐτὸς, ὡς ἐν τῷ, οὐ γένος γε κακὸν καὶ ἀνάλκιδα. ἰλ. ξ. Ἔνθα οὐ κατὰ ἀργίαν συνδέσμου, ἀλλ' εἰς ἔμφασιν τοῦ εἰ μηδὲν ἄλλο, ἀλλὰ τὸ γοῦν γένος ἀγαθὸν εἶναι τὸν λαλοῦντα καὶ ἄλκιμον. ὃ δὴ βούλεται ὁ αὐτὸς σύνδεσμος κἂν τῷ, τῆς δέγ' ἀμείνονα βουλήν. ταὐτὸν γάρ ἐστι τῷ, κἂν γοῦν ταύτης.

Καὶ μεταβατικός.

Οὐκ ἄρα διὰ μόνου τοῦ δὲ, ἀλλὰ καὶ διὰ τοῦ δὴ,

τοῦ δὴ, ἡ τῶν νοημάτων τε καὶ διηγημάτων μετάβασις γίνεται, ὡς Πλάτων ἐν Τίμ, τὸν δὴ νόμον ἡμῖν ἑξῆς πέραινε. καὶ Δημοσθένης περὶ Στεφαν. φέρε δὴ καὶ τὸν καλὸν κατάλογον. ἔστι δὲ καὶ συμπλεκτικὸς ὁ δὴ, κατὰ τοὺς παλαιοὺς, ἀντὶ τοῦ καί.

Καὶ βεβαιωτικός.

Κατὰ τὸ ὅτι ἐπίρρημα. οἷον, οὕτω δὴ κρίνει, ἀντὶ τοῦ πάντως. παραπληρῶν δὲ, ἔστιν οὗ ἐγκλίνεται. ἤδη λοίγια ἔργα. ἢ καὶ ἤδη, καὶ ἐπίδη τούτοις. καὶ νῦν δὴ, ὑφ' ἑνὶ τόνῳ.

Ὁ Ἄν, δυνητικός.

Ὁ παριστάνων δηλαδὴ εἰς τὸ δύνασθαι γενέσθαι τὰ μὴ γεγονότα.

Καὶ ἀοριστολογικός.

Ἕτερος ὢν παρὰ τὸν δυνητικόν. διστακτικὸς γὰρ ὢν αὐτόχρημα, ἀοριστολογικὸς ἀκούει, ᾗ τοῖς ὁποῖα, καὶ ὁπόσα, καὶ ὅπῃ, καὶ ὅλως τοῖς ἀοριστουμένοις μορίοις ἐστὶν ἐπιπλεκόμενος. τὸ γὰρ ὅσα ἂν εἴπῃς, οὐδὲν ἀνύσεις, ἐν ἴσῳ ἐστὶ τῷ, ὅσα ἐὰν εἴπῃς. καὶ τὸ, οἷα ἂν λέγῃς, τῷ, οἷα ἐὰν λέγῃς. μὴ ἀνενέγκῃς τὰ ὁλοκαυτώματά σου ἐν παντὶ τόπῳ, οὗ ἐὰν ἴδῃς, ἀλλ' ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξῃ Κύριος ὁ Θεός σου. (Δευτερ, 12.) Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς. (Ματθ. 17) ὅτι δὲ εἰς τὸ τοιοῦτο διστακτικὸν ἐὰν, ὁ ἀοριστολογικὸς ἂν, μεταλαμβάνεται, δηλοῖ Μάρκος τρανότερον, εἰπὼν ἐν κφ', ιδ', ὅπου ἂν κυρηχθῇ τὸ εὐαγγέλιον τοῦτο, κτ'. ἐπιφέρει γὰρ ὑποκαταβὰς ἐν τῷ αὐτῷ σχήματι, ἀκολουθήσατε αὐτῷ, καὶ ὅπου ἐὰν εἰσέλθῃ. ὁμοίως καὶ ὁ Λουκᾶς εἰπὼν, ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ, ὑποσυνάπτει. καὶ ὃς ἐὰν μὴ ἔχῃ, κτ'. τὸν ἂν εἰς τὸν ἐὰν μεταλαβών. καὶ Γρηγόριος πρὸς Κληδόνιον ἐπιστλ. α', αὐτὸς βαστάσει τὸ κρίμα, ὅς τις ἐὰν ᾖ. ταὐτὸν γὰρ τῷ, ὅς τις ἂν ᾖ. κἀν τῷ, εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λέγοντας, κτ'. ἄλλῳ νυμφαγωγήσοντες (ἥκομεν) ὃς ἐὰν ἄξιος τοῦ κάλλους φανῇ. καὶ Χρυστμ. ὁμλ'. η', τῆς πρὸς κολσ. κφ', γ', οἷα γὰρ ἐάν τις ἔχῃ κατορθώματα, πάντα φροῦδα, ἀγάπης μὴ οὔσης. ἀντὶ τοῦ οἷα ἂν ἔχῃ. καὶ ὁμλ', γ', πρὸς ἐφεσ'. ἂν ἐπιστῇ φησιν ὁ τῆς ἁγίας μ', καιρὸς, οἷος ἐὰν ᾖ τις, μετέχει τῶν μυστηρίων. Καὶ Ἀθανάσ, λόγ, γ', κατὰ ἀρειανῶν. ἄλλως τε διὰ τί ὅλως θέλων κτίσαι, ζητεῖ τὸν μεσίτην; ὡς οὐκ ἀρκουμένου τοῦ βουλήματος αὐτοῦ συστῆσαι περὶ ὧν ἐὰν αὐτῷ δοκῇ; Καὶ Βασίλ, ὅρ. πλάτ, λζ', εὐχαριστοῦντες τῷ χαρισαμένῳ τὴν ὑποκειμένην ταῖς τέχναις ὕλην, ἅς περ ἐὰν τύχωμεν ἐργαζόμενοι.

Πᾶντές γε μὴν τοῖς ἑτέροις τοῦ λόγου μέρεσιν ὑποτάσσονται. οἷον ἄλλοι μέν ῥα θεοί. (ἰλ, β.) ὁ δὲ Ἄν,

Πρὸς τῷ ἑτέροις τοῦ λόγου μέρεσιν ὑποτάσσεσθαι, ἔτι

Καὶ ὑποτάσσει,

Πρὸς ὑποτακτικὴν δηλ. φέρεται, οὐχὶ δυνητικός, (οὗτος γὰρ οὐχ ὑποτάσσει, ὡς δειχθήσεται) ἀλλ'

Ἀριστολογικὸς ὤν. ὅσα ἂν λέγῃς, ὅσα ἂν εἴπῃς. Δυνητικὸς δὲ,

Ὢν

Κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος,

Πράγματος, ἢ χρόνου,

Πρὸς εὐκτικόν.

Φέρεται. οἷον,

Οὐκ ἂν λέγοις, οὐκ ἂν φαίης, οὐκ ἂν λέξοις. εἴ τε προτάσσοιτο,

Τοῦ εὐκτικοῦ ῥήματος,

Εἴ τε ἐπιτάσσοιτο.

Ὡς ἐν τῷ λέγοις ἄν, φαίης ἄν, λέξοις ἄν.

Καὶ πρὸς ὁριστικόν.

Ἀπὸ κοινοῦ τὸ, κατ' ἐνεστῶτος καὶ μέλλοντος πράγματος, καὶ τὸ, εἴ τε προτάσσοιτο, εἴ τε ἐπιτάσσοιτο.

Οὐκ ἂν ἐρεῖς, ἀλλὰ σπανίως τοῦτό γε.

Τὸ κατ' ἐνεστῶτος καὶ μέλλοντος πρὸς ὁριστικόν. χρυσόσμ, ὁ μλ', μή. εἰς τὴν γένεσ, ἐὰν τοίνυν βουληθῶμεν τὸν δίκαιον τοῦτον μιμήσασθαι, καὶ ἡμεῖς εἰς ἐκείνην καταντήσομεν ἄν, (τὴν οὐνίον.

Κατὰ δὲ παρήκοντος πρὸς ὁριστικόν. οὐκ ἂν εἶπες, ἢ ἔλεγες.

Οὐδ' ἐνταῦθα ἄρα τὸ παρεληλυθὸς φιλευκτικόν. Ἀλλ' ἀπορήσ, τί ὅτι ὁ ἄν, δυνητικὸς ὧδε κατὰ τὰς τρεῖς τοῦ χρόνου διαφορὰς συντασσόμενος, ἐν τοῖς πρότερον παρῳχημένοις μόνοις εἴρηται συντάσσεσθαι; Ἢ ὅτι οὐχὶ τὴν ἰδίαν ἑαυτοῦ δόξαν, τὰ δὲ τοῦ Ἀπολλωνίου ὑξέθετο ἐκεῖ ὁ Θεόδωρος. ὧν ἔστιν ἃ τοῦ ἀκριβοῦς διαμαρτάνοντα φαίνεται. καὶ γὰρ καὶ τῶν ἐπιρρημάτων τὰ σημασίας ἐγκλιτικῆς ἀμοιροῦντα, ἀκώλυτον ἴσχειν ἔφη ἐπὶ πασῶν τῶν ἐγκλίσεων ἐκεῖνος τὴν σύνταξιν, τῶν δὲ, οὐχ οὕτως ἔσχεν ἀδιαφόρως ἡ σύνταξις πρὸς τὰς ἐγκλίσεις, ὡς δέδεικται. καὶ τὰ κατὰ τὸ αὐτὸ δὲ πρόσωπον παρεμπίπτοντα, πρὸς τὸν αὐτὸν ἔφη δεῖν φέρεσθαι ἀριθμὸν, οἷον, γράφομεν ἡμεῖς. τά γε μὴν περιληπτικὰ τῶν πτωτικῶν καὶ τὰ ἐπιμεριζόμενα, οὐ πάντως ἀπῄτησε τὸν αὐτὸν ἀριθμόν. οἷόν τε γὰρ φάναι, καὶ ὁ δῆμος εἶπον. καὶ ἕκαστος γράφουσιν. οὐ μὴν ἀλλὰ καὶ τὴν τοῦ ἐπιρρήματος σύνοδον πρὸς τοῖς ἄλλοις καὶ χρόνων ἔφη μὴ εἶναι δεκτικὴν Ἀπολλώνιος. ἡ δέ τις καὶ χρόνων μὴ ἀμοιροῦσα δέδεικται τῷ Θεοδώρῳ. Πρὸς δὲ καὶ ὡς πτώσεων μὴ οὖσαν δεκτικὴν, ἀδιάφορον ἴσχειν τὴν ἐπιπλοκὴν πρὸς διαφόρους πτώσεις. τά γε μὴν πτωτικῶς συντασσόμενα τῶν ἐπιρρημάτων, οὐκ ἀδιάφορον ἔσχε τὴν πρὸς τὰ πτωτικὰ σύνταξιν, ἀλλ' ὡρισμένην, τὰ μὲν, πρὸς γενικὴν, τὰ δὲ, πρὸς δοτικὴν, τὰ δὲ, πρὸς αἰτιατικὴν, τὰ δὲ, πρὸς κλητικήν. καὶ τῶν χρονικῶν δὲ ἐπιρρημάτων τὰ τὸ ἐνιστάμενον σημαίνοντα, τοῖς κατὰ τὸ παρῳχημένον ῥήμασι μὴ εὑρίσκεσθαι συντασσόμενα, τὰ δὲ, καὶ παρῳχημένοις πεφώραται συμφερόμενα. Ἐπὶ τούτοις καὶ τὰ οὐδέτερα τῶν ῥημάτων, αὐτοῦ μόνου ἐμφαίνειν ὁρισμὸν τοῦ συνεῖναι τὸ σημαινόμενον. τῶν δὲ τὰ μὲν, καὶ ἐνέργειαν, τὰ δὲ, καὶ πάθος ἐδείχθη συνεμφαίνοντα. οὕτως οὖν καὶ τὸν δυνητικὸν ἄν, ἐν μὲν τοῖς ἔμπροσθεν τῷ Ἀπολλωνίῳ συμφερόμενος, μᾶλλον δὲ αὐτὰ, ὡς εἴρηται τὰ τοῦ Ἀπολλ, ἐκτιθέμενος, παρῳχημένοις ἔφη συντάσσεσθαι. ὧδε δὲ πᾶσι τοῖς τοῦ χρόνου μορίοις. δυνητικὸς γὰρ εἴρηται, οὐχ ὅτι ὁ, τιοῦν ἀναιρεῖ, ταύτῃ γὰρ ἀναιρετικὸς ἂν μᾶλλον προσαγορεύοιτο, ἀλλ' ὅτι παρίστησιν εἰς τὸ δύνασθαι γενέσθαι, ἅπερ ἀναιρεῖ. ἀναιρεῖ δὲ κατὰ μὲν Ἀπολλ'. τὰ μὴ γεγονότα μόνον, μὴ τιθεὶς

τιθεὶς ὡς εἴρηται μηδ' αὐτὸς αὐτὰ, μηδ' ὁμολογῶν τὴν τούτων γένεσιν. κατὰ δὲ Θεόδωρον καὶ τὰ μὴ γιγνόμενα, καὶ τὰ μὴ γενησόμενα. ὡς καὶ ἡ τῶν λογίων χρῆσις παρίστησι. καὶ οὕτω μὲν ἐξέφυγε τοὺς λιθάζοντας ὁ Θεόδωρος, οὐχ ἑαυτῷ κατ' αὐτοὺς, τῷ δὲ Ἀπολλωνίῳ διαμαχόμενος. ἐπεὶ δὲ τῶν πραγμάτων τὰ μὲν παρῳχημένα, ὡς ἤτοι πάλαι, ἢ ἐκ μέρους γεγονότα, εἰσὶν ὁμολογούμενα, τὰ δὲ μέλλοντα, καὶ ἔτι τὰ ἐνιστάμενα, τὰ μὲν, ὡς ἀτελῆ τὰ δὲ ὡς μήπω γεγονότα, εἰσὶν ἐνδοιαζόμενα, ἔοικε δὲ ὡς εἴρηται, ἐπὶ μὲν τῶν ἐνδοιαζομένων τὸ εὐκτικὸν, ἐπὶ δὲ τῶν ὁμολογουμένων τὸ ὁριστικὸν, διὰ τοῦτο καὶ ὁ δυνητικὸς φέρεται κατὰ μὲν παρήκοντος, πρὸς ὁριστικὸν, κατὰ δὲ ἐνεστῶτος καὶ μέλλοντος, πρὸς εὐκτικὸν, ἀναιρῶν οὐ τὰ γεγονότα τῶν πραγμάτων. τίς γὰρ ἂν γένοιτο μηχανὴ μὴ γενέσθαι τὰ πεπραγμένα, εἴτ' οὖν τὰ γεγονότα; πῶς δ' ἂν καὶ ἀνέλοι, ἅπερ ἔφθη ὑποστάντα, οὐ τῶν πραγμάτων τοῖς λόγοις, τῶν δὲ λόγων ἐπακολουθούντων τοῖς πράγμασιν; εἴη γὰρ ἂν, εἴπερ, τούτων καταψευδόμενος. εἴγε τὰ μὲν, ὑπέστη, ὁ δὲ, ἀποφάσκει τὴν τούτων ὑπόστασιν. οὔκουν τὰ γεγονότα, ὡς οὐδὲ τὰ γιγνόμενα, ἢ τὰ γενησόμενα. ἀλλ' ἣν τὸ ῥῆμα κατηγορεῖ γένεσιν τῶν μὴ γεγονότων, ἢ μὴ γιγνομένων, ἢ μὴ γενησομένων. τὸ γὰρ ἔτυψα, γεγονός τι δηλοῖ. καὶ τὸ τύπτω γιγνόμενον, καὶ τὸ τύψω γενησόμενον. ὁ γοῦν ἂν, ἀναιρεῖ εἴτ' οὖν ἀποφάσκει τὸ γεγονέναι τι ἐπὶ τῶν μὴ γεγονότων, τὸ γίγνεσθαι δὲ, ἐπὶ τῶν μὴ γιγνομένων, τὸ γενήσεσθαι δὲ, ἐπὶ τῶν μὴ γενησομένων. οὐμὴν ἵσταται μέχρι τοῦτου, ἀλλὰ καὶ παρίστησι δύνασθαι γενέσθαι μὲν, τὸ μὴ γεγονὸς, γίγνεσθαι δὲ, τὸ μὴ γιγνόμενον, καὶ τὸ μὴ γενησόμενον, γενήσεσθαι.

Ἔτι δὲ γνωριμώτερον, ἂν μὲν καὶ πρὸ τοῦ ῥήματος καὶ μετὰ τὸ ῥῆμα δύνηται ὁ ἂν, θεωρεῖσθαι ἀδιαφόρως, πρὸς εὐκτικὸν, ἂν δὲ μὴ ἐπαμφοτερίζῃ τοῖς τόποις, πρὸς ὑποτακτικὸν μόνον.

Εἴη δ' ἂν τρανότερον γνώρισμα τοῦτε ἂν, ὁποῖός τίς ἐστι, πότερος δυνητικὸς, ἢ διστακτικός; καὶ τῆς κατ' αὐτὸν συντάξεως, τοιοῦτο. ἐὰν μὲν ἀδιάφορον ἡγῆται τὴν πρὸ τοῦ ῥήματος, ἢ μετὰ τὸ ῥῆμα σύνταξιν, δυνάμενος καθ' ὁπότερον βούλει, τόπον τίθεσθαι ἀδιορίστως, δυνητικός τέ ἐστι καὶ πρὸς εὐκτικόν φησι φέρεται, (δῆλον δ' ὅτι κατὰ ἐνεστῶτος καὶ μέλλοντος.) σὺ δέ μοι πρόσθες καὶ πρὸς ὁριστικόν. φθάνει γὰρ εἰρηκὼς, καὶ πρὸς ὁριστικὸν κατὰ παρήκοντος. (Χρυσμ. ὁμλ. γ', τοῦ κατὰ Ματθ. εἰ γὰρ τοῦτο ἐξ ἀρχῆς τοῖς ἰουδαίοις γέγονε κατάδηλον, ἂν κατέλευσαν τὴν παρθένον, κακουργοῦντες τῷ λεγομένῳ, καὶ μοιχείας αὐτὴν ἔκριναν ἂν.) ὅρα τὸν ἂν, ᾧδε τοῖς τόποις ἐπαμφοτερίζοντα. ἐὰν δὲ μὴ ἐπαμφοτερίζειν τοῖς τόποις δυνάμενος, πρὸ τοῦ ῥήματος μόνον τάσσηται, διστακτικός τέ ἐστι καὶ πρὸς μόνην ὑποτακτικὴν φέρεται. ἐξ ὧν δῆλον ὡς ὁ δυνητικὸς ἀγνοεῖ ὅλως τὴν ὑποτακτικήν. εἴγ' ὁ μὲν, ὡς ἐπαμφοτερίζειν τοῖς τόποις πεφυκὼς, καὶ προτάσσεσθαι καὶ ἐπιτάσσεσθαι τῷ ῥήματι δύναται. οἱ δὲ τῆς ὑποτακτικῆς προτασσόμενοι σύνδεσμοι, μετ' αὐτὴν οὐκ ἐθέλουσι τάττεσθαι. ὧν ἐστι καὶ ὁ ἀοριστολογικὸς εἴτ' οὖν διστακτικὸς ἂν. Δημοσθ'. ὀλυνθ. β', καὶ ὅπῃ τις ἂν, οἶμαι, προσθῇ, κἂν μικρὰν δύναμιν, πάντ' ὠφελεῖ. ἐν δὲ τῷ α', πρὸς εὐκτικὸν ὁ ἀοριστολογικὸς συντέτακται. τὰς δ' ἐπ' ἰλλυριοὺς καὶ παίονας καὶ ὅπῃ τις ἂν εἴποι, παραλείπω στρατείας. εἰ μὴ γραφικὸν εἴη ἁμάρτημα. εἰ γὰρ καί τινες

γὰρ καί τινες παρασημειοῦνται, ὡς ὅ, τε δυνητικὸς καὶ ὁ ἀοριστολογικὸς ἄν, ἐπικοινωνοῦσιν ἀλλήλοις τῶν ἰδίων ἐγκλίσεων, συμφερόμενοι ὁ μὲν, εὐκτικῇ, ὑποτακτικῇ δ' ὁ δυνητικός. Πλάτ, ἐν Φαίδρ, καλὸν γοῦν ἄν, ὦ σώκρατες, εἶδος ᾖ κατανενοηκὼς, ὁ τοῦτο λαβών. ἀντὶ τοῦ εἴη. καὶ Ἰσοκρ, ἐν τῷ πανηγυρ. οὕτω γὰρ ἀμφοτέρων ὑμεῖς πεπείρασθε, ὥστ' ἄριστ' ἂν διδάξητε περὶ αὐτῶν. ἀντὶ τοῦ διδάξοιτε. παρὰ δὲ Δημοσθ', ἐν τῷ περὶ Στεφ'. ἐν τίσιν οὖν σὺ τεανίας, καὶ πηνίκα λαμπρός; ἡνίκα ἂν εἰπεῖν τι κατὰ τούτων δέοι; ἀντὶ τοῦ δέῃ. ὁ αὐτὸς κατὰ Φιλίπ, ἐκόλαζον δ' οὕτω καὶ ἐτιμωροῦντο, οὓς ἂν αἴσθοιντο δωροδοκοῦντας. ἀντὶ τοῦ αἴσθωνται. ἀλλὰ τὰ τοιαῦτα, εἰ καί τισι τῶν λογίων ἀνδρῶν παρεσπούδασται, ἡμῖν ὅμως οὐ ζηλωτέα. τοῦ κανονικοῦ ζυγοῦ αὐτονόμως διαζευχθέντα. Καὶ τὸ ὅταν δὲ, καὶ ἐπειδὰν, τοῦ συνειλημμένου ἄν, ὡς μὴ ἐπαμφοτερίζειν δυναμένου, πρὸς ὑποτακτικὴν μόνην. Φασὶ δέ τινες ὡς ἀορίστῳ συντασσόμενος ὁ ἂν δυνητικὸς, τῇ μὲν, παρῳχημένου, τῇ δὲ, μέλλοντος ἔχει σημασίαν. Ἀλλὰ γὰρ ἅπαξ ἐκεῖνό ἐστι διαλαβεῖν, ὡς τὸ δυνάμει τιθεὶς, εἰς τὸ μέλλον καθόλου τὰ τοῦ χρόνου μεθίστησιν. Οἱ δ' αὐτοὶ καὶ τὸν μέλλοντα καθ' ἑαυτὸν πρὸς τὸν μετὰ τοῦ δυνητικοῦ ἀόριστον παράλληλα τιθέμενοι διηγηματικῶς, τὸν μὲν, ἀμφιβολίαν, βεβαίωσιν δέ φασι δηλοῦν τὸν μέλλοντα. οἷον, λέγει ἥξειν, καὶ, λέγει ἐλθεῖν ἄν. ἔσχε δ' ὁ μέλλων τὸ βέβαιον οὐκ αὐτόθεν, ἀλλ' ἐκ τοῦ δυνάμει ἐγκειμένου βεβαιωτικοῦ προσρήματος τοῦ ὅτι. Ἀλλὰ μὴν τοῦτο ἔγκειται δυνάμει οὐ μᾶλλον ἐν τῷ, λέγει ἥξειν, ἢ ἐν τῷ, λέγει ἐλθεῖν ἄν, καὶ τὸ δεύτερον ἄρα κατὰ τὸ πρῶτον βέβαιον. Ἔτι τὸν ἄν, ἐν τέλει λόγου πολλάκις τιθέμενον, περιγραφικὸν ἀκούειν φασί. περιγραφικὸν δέ ἐστι μόριον, οὐ τὸ ἐν τέλει λόγου ἁπλῶς τιθέμενον, τὸ δὲ ἐκπολλῶν ἔν τι περιορίζον ὡς εἴρηται. ὁ δὲ ἄν, καθ' ἑαυτὸν οὐδαμοῦ περιγραφικὸς παραδέδοται, ὅτι μὴ συνειλημμένος τῷ καὶ, φημὶ δὴ ὁ κἄν. οὗτος γὰρ περιγραφικῶς τε λαμβάνεται καὶ δυνητικῶς. καὶ περιγραφικῶς μὲν, οὐκ ἔχει ὡρισμένην τὴν σύνταξιν. Δημοσθ. ὀλύν. β'. καὶ ὅπῃ τις ἂν οἶμαι προσθῇ, κἂν μικρὰν δύναμιν, πᾶντ' ὠφελεῖ. Λουκιαν, κἂν ἕνα τῶν πενήτων, ὦ μοῖρα, ποίησόν με. σημαίνει δ' ὁ τοιοῦτος αἵρεσιν τοῦ ἐλάττονος ἐν ἀποτυχίᾳ τοῦ μείζονος. καὶ ἔστιν ἔν, οὐχὶ δύω μέρη λόγου. δυνητικῶς δὲ, πρός τε ὁριστικὴν ὡς εἴρηται. κἂν ἐποίησε τοῦτο, ἀντὶ τοῦ καὶ ἐποίησεν ἄν. καὶ πρὸς εὐκτικὴν, ἡμῶν μὲν ἕνεκεν κἂν εἰς τὴν ἐρημίαν ἀφίκοιτό τις. Γρηγόρ. ἐπιστλ. πρὸς κελεύσιον. ἀντὶ τοῦ καὶ εἰς τὴν ἐρημίαν ἀφίκοιτο ἄν τις. διστακτικὸς δὲ, πρὸς μόνην ὑποτακτικήν. οἷον, κἂν πέσῃς, ἀνάστηθι. κἂν δέῃ με σὺν σοὶ ἀποθανεῖν. ἔστι γὰρ ἀντὶ τοῦ καὶ ἐάν. ἔστι δέ φασι καὶ ἐπιτατικὸς ὁ κἂν, οἱ τοῖς κειμένοις μὴ στοιχοῦντες, τὰ δὲ σφίσι παριστάμενα ἐρευγόμενοι. ἐγὼ δὲ ὅτου ποιεῖται ἐπίτασιν, οὐ ξυνορῶ.

Καὶ μεταλαμβάνοντες τὸ ἀπαρέμφατον πρὸς τὴν τοῦ ὁριστικοῦ κατάλληλον σύνταξιν, λέγομεν δυνητικῶς κατὰ τὰς τρεῖς τοῦ χρόνου διαφοράς. λέγειν ἄν, εἰπεῖν ἄν, καὶ ἐρεῖν ἄν. καὶ πρὸς μετοχήν. εἰπόντας ἄν, καὶ ἐροῦντας. καὶ εἰπὼν ἄν. καὶ εἰπόντων.

Τὸ μὲν μεταλαμβάνειν, ὡς πολλάκις εἴρηται, τὸ ἐναλλάσσειν δηλοῖ, ὁ δὲ, τὸ ἀπαρέμφατον εἰπὼν μεταλαμβάνεσθαι πρὸς τὴν ὁριστικὴν, ὁριστικὴν δέον ἐπενεγκεῖν κατὰ τὸν προτεθέντα λόγον, ὁ δὲ, ἀπαρέμφατον

ρέμφατον πάλιν ἐπήνεγκε, μὴ μεταλαβὼν αὐτὸ εἰς ὃ ὤφειλε κατὰ τὴν ὑπόθεσιν μεταληφθῆναι ὁριστικήν. ἐφεξῆς δὲ καὶ πρὸς μετοχὴν εἰπὼν αὐτὸ μεταλαμβάνεσθαι, οὐκ ἔτι ἀπαρέμφατον, μετοχὴν δὲ ἐπήνεγκε, μεταλαβὼν εἰς αὐτὴν τὸ ὅ, τι ποτ' ἂν ᾖ τὸ μεταλαμβανόμενον. εἰ γὰρ ἀπαρέμφατον ἦν τὸ μεταλαμβανόμενον, ἔδει σὺν τῇ τότε πρὸς τὴν ὁριστικὴν μεταλήψει, μὴ ἀπαρέμφατον, ἀλλ' ὁριστικὴν ἐπενεγκεῖν. νῦν δὲ μὴ ὁριστικῆς, ἀλλ' ἀπαρεμφάτου ἐπενεχθέντος, δῆλον ὡς τὸ τῆς ἐκδόσεως ἡμάρτηται, τῆς προθέσεως μεταπεθείσης. ὅπω καὶ ἀναγνωστέον. καὶ μεταλαμβάνοντες πρὸς τὸ ἀπαρέμφατον τὴν τε ὁριστικὴν καὶ λοιπὸν σωπάξιν, κτ. ὁποιοῦτός ἐστιν. ὡς ἡ δωνητικῶς κατὰ μίαν μόνην τοῦ χρόνου διαφοράν, τὴν ὡς εἴρηται τοῦ παρήκοντος, συνπασομένη ὁριστικὴ, (κατὰ δὲ τὰς λοιπὰς δύω, ἀσυνίως.) μεταληφθεῖσα πρὸς ἀπαρέμφατον, ἡ καὶ πρὸς μετοχὴν, καὶ κατὰ τὰς ξεῖς δ' μάλα συνπάσεται. ὅτι δὲ ἐχὶ τὸ ἀπαρέμφατον πρὸς τὴν ὁριστικὴν, τὸ δὲ αὖ πάλιν τὴν ὁριστικὴν πρὸς τὸ ἀπαρέμφατον μεταλαμβάνεσθαι βούλεται, δῆλον ἐκ τοῦ μὴ ἄλλα, ἃ δὲ ἔφθη σὺν τῇ ὁριστικῇ ἐκθέμενος ῥήματα, αὐτὰ ταῦτα εἰς τε τὸ ἀπαρέμφατον καὶ τὴν μετοχὴν μεταλαβών. Ὁ γοῦν δωνητικὸς συνπάσεται κατὰ τὰς ξεῖς τοῦ χρόνου διαφορὰς, τῷ μὲν ἀπαρεμφάτῳ, ὡς δυνάμει ἐμπεριέχοντι οἷα δὴ γένει τὴν τε ὁριστικὴν καὶ τὴν δυκτικὴν ἐγκλισιν, τῇ δὲ μετοχῇ, ὡς αὖ αὐτῇ τὰς τε ὁριστικὰς καὶ τὰς δυκτικὰς εἰς πρωτικὸν μεταποιεμένων χήμα. καὶ τὰς ξεῖς δὲ εἰπὼν διαφορὰς, τὸ εἰδικὸν ἀπαρέμφατον ἐσήμανε. τὸ γὰρ τελικὸν κατὰ τὰς δύω μόνας συνπάσεται, τὴν κατὰ τὸ μέλλον ὡς εἴρηται μὴ προσιέμενον. τὸ δ' ὅλον τοιοῦτο, ὁ δωνητικὸς συνπάσεται ὁριστικῇ μὲν, καὶ μίαν τὴν χρόνου διαφοράν. δυκτικῇ δὲ, καὶ τὰς λοιπὰς δύω. ἀπαρεμφάτῳ δὲ εἰδικῷ, καὶ μετοχῇ, καὶ καὶ τὰς ξεῖς. Καὶ τί δήποτε μὴ καὶ τελικῷ; Ἢ ὅτι τὸ μὲν τελικὸν, πρὸς μόνον τὸ ὕστερον ὡς εἴρηται ἀπετείνεται. ὁ δὲ δωνητικὸς καὶ πρὸς τὸ νῦν καὶ τὸ πρότερον. δι' ὃν δὴ λέγομεν δὲ τὴν προσακτικὴν τε καὶ ὑποπτικὴν συνπασόμενος φαίνεται. ὁ γὰρ συμφερόμενος τῇ ὑποπτικῇ, δισακτικός ἐστιν, ὡς δέδεικται, δ δωνητικός. εἰ δὲ καὶ τὴν προσακτικὴν τε καὶ ὑποπτικὴν μέλλοντος ἔχειν εἴρηται συμασίαν καὶ δυκτικὴ, ἀλλ' ἐν δυσὶν ἡσημαίνετο, τὸ γε μὴν αὐτὴ συνπασόμενον δυνητικὸν τὸ τῆς δυσὶν καταργήσαντος, παντὶ ἐφαρμόττει χρόνῳ.

Ὁμοίως αὖ δὲ καὶ ἐπὶ τῶν ἄλλων.

Χρόνων. σημειωτέον δὲ ὡς καὶ πολλαχοῦ παραπλησίως ὁ αὐτὸς, μήτε δωνητικὸς ὢν, μήτε δισακτικὸς, ὡς καὶ ἐπὶ τῶν προκειμένων, ὁμοίως αὖ δέ.

Ἤκιστα δὲ ὁ παρακείμενος τὸν αὖ ἐπιδεκτικός.

Τί δήποτε; ἴσως δι' ὃν ἐξέθετο λόγον ὁ Ἀπολλ. καθ' ὅ, τι δηλαδὴ ὁ παρακείμενος οὐχὶ παρῳχημένην, τὸν δὲ ἐνεστῶτος σημαίνει συμπέλειαν. ἀλλὰ γὰρ ὁ λόγος ἔπος τῷ μὲν Ἀπολλωνίῳ τιθεμένῳ τὸν δωνητικὸν παρῳχημένοις μόνοις συμπάσεσθαι, εἰκὸς ἂν ξυμπελῶν. ἴσως δὲ οὐδὲ τῷ Ἀπολλωνίῳ ὁ γὰρ παρακείμενος, οὐκ ἐν τῷ ἀκριβῶς ἐνεστῶτι νῦν, ἐν δὲ τῷ ἄρτι τὸν ἐνεστῶτα ἀτελῆ κίνησιν οἷον ἀποπαύων συμπληροῖ, τὸ ἄρτι παρελνυθὸς δηλῶν. τὰ δὲ ἄρτι εἰ καὶ ἐγγὺς τοῦ παρόντος ἐστὶ νῦν, ἀλλ' οὐ παρὰ τοῦτο παρόν ἐστι καὶ αὐτὸ, τὰ δὲ παρελθόντος ἐστὶν, ὡς εἴρηται, μόριον.

ὥστε καὶ ὁ παρακείμενος παρεληλυθὸς ὅλως δηλῶν, συνοισθήσεται τῷ κατὰ Ἀπολλών, μόνοις παρῳχημένοις συντασσομένῳ δυνητικῷ. τῷ γε μὴν Θεοδώρῳ κατὰ τὸ τριμερὲς ἁπλῶς τοῦ χρόνου τὸν δυνητικὸν συντάσσεσθαι λέγοντι πρὸς τὸ ῥῆμα, οὐ μᾶλλον ξυντελῶν ἂν εἴη ὁ τοῦ Ἀπολλωνίου λόγος, ἢ προσιστάμενος. εἴγε οὐδὲ ὁ παρατατικὸς παρῳχημένου συντέλειαν δηλοῖ, ὅ, τε ἐνεστὼς καὶ ὁ μέλλων οὐχ ὅπως παρῳχημένου συντέλειαν, ἀλλ' οὐδὲ παρῳχημένον ἁπλῶς δηλοῦντες, καὶ αὐτοὶ οὐδὲν ἧττον εἶεν ἂν ἀνεπίδεκτοι κατὰ τὸν παρακείμενον τοῦ δυνητικοῦ. ἤδη δὲ παρ' αὐτῷ κατὰ τὰς τρεῖς ἁπλῶς τοῦ χρόνου διαφορὰς συντασσομένου τοῦ δυνητικοῦ, εἴη ἂν οὐχ ἥκιστα καὶ ὁ παρακείμ, τούτου ἐπιδεκτικὸς, ὡς καὶ Βουδαῖος αὐτὸς παρασημειοῦται καὶ ἡ χρῆσις τῶν ἐνδοξοτέρων παρίστησι. Δημοσθ'. περὶ Στεφ', ἐπεὶ διά γε ὑμᾶς αὐτοὺς πάλαι ἂν ἀπολώλατε. Ἀλέξ, Ἀφροδισ. καὶ ἔστιν οὐδενὸς τῶν αἰτίων δεύτερον τὸ τέλος. ἄνευ γὰρ τῆς τοιαύτης αἰτίας οὐδ' ἂν τὴν ἀρχὴν ὁ ἀνδριὰς φέρ' εἰπεῖν γέγονε. Χρυσόστμ, ἐπιστλ, ρ', Θεοδότῳ διακ'. ἡμεῖς μὲν οὖν, καὶ μὴ ἀναμνήσαντός σου, πρὸς πάντας ἂν ἀπεστάλκαμεν. ἔκ τε γοῦν τῆς χρήσεως καὶ τοῦ λόγου, ἐξ ὧν ἔχει πᾶς κανὼν τὸ ἀσφαλές τε καὶ βέβαιον, ἐξαιρετέα δοκεῖ τισιν ἡ κατὰ τὸν παρακείμενον ὑπεξαίρεσις. εἰ μή τις τὸ ἐπιπλέον τῆς χρήσεως μόνον μηδενὶ ξὺν λόγῳ φασὶ προβάλλοιτο. Οὔ γε μὴν ἀλόγως ὁ παρακείμενος τοῦ ἂν ἀνεπίδεκτος, ὡς ἐν οὐδεμιᾷ τῶν τριῶν τοῦ χρόνου διαφορῶν καθαρῶς ταττόμενος. μέλλων μὲν γὰρ οὐκ ἔστιν. ἀλλ' οὔτε ἐνεστὼς, ὡς ἐντελὴς, οὔτε παρῳχημένος, ὡς τὸ τοῦ ἐνεστῶτος ἐντελὲς δηλῶν.

Τὰ μὲν οὖν μέρη οὕτω συντάσσοντες, κατάλληλον ἂν ποιοῖμεν τὸν λόγον.

Ἰδοὺ δὴ πεπλήρωκε τὴν ἐν τῷ προοιμίῳ ὑπόσχεσιν, εἰπὼν καὶ ὅπως ἂν τὰ τοῦ λόγου μέρη ὀρθῶς συντασσόμενα, ἀποτελοίη τὸν λόγον. Οὕτω, Πῶς; ὡς ἐν τοῖς καθ' ἕκαστα παραδέδοται δηλονότι. δῆλον δ' ἄρα ὡς οὐχ οὕτω τὰ μέρη συντάσσοντες, ἀκατάλληλον ἂν ποιοῖμεν τὸν λόγον. ὅς πέρ ἐστιν ὁ σολοικισμός. οὗ τοὺς τρόπους ἔφθη διορισάμενος. δι' ὃ παρέλκον ἂν εἴη περὶ τούτου ἑτέραν ἐπιζητεῖν πραγματείαν, εἴπερ ὅλως καὶ παρὰ τοῖς γραμματικοῖς ἔχεται λόγου τὸ, τῶν ἐναντίων ὁ αὐτός ἐστι λόγος, εἴτ' οὖν ἐπιστήμη. καὶ γὰρ καὶ ὁ Θεόδωρος ἀποδοὺς ὅτι τὸ εὖ συντάττειν ἐστὶ τὸ καταλλήλως ἐπιπλέκειν τὰ τοῦ λόγου μέρη, ἐπήγαγε, καὶ τοὐναντίον τὸ σολοικίζειν. ὁ γοῦν οἰδὼς ὅτι τὸ οὕτως ἐπιπλέκειν τὰ τοῦ λόγου μέρη πρὸς ἄλληλα, ἐστὶν ὀρθὸν, οὗτος οἶδεν ὅτι τὸ οὐχ οὕτως ἐπιπλέκειν, οὐκ ἔστιν ὀρθόν. ὥσπερ ὁ οἰδὼς, ὅτι τὸ λευκόν ἐστι διαχυτικὸν ὄψεως, οὗτος οἶδεν, ὅτι τὸ μέλαν ἐστὶ συγκριτικὸν ὄψεως, ὅ ἐστι συσταλτικόν. πολλάκις γὰρ ἡ ἐναντία ἕξις ἀπὸ τῆς ἐναντίας γνωρίζεται. εἰ γάρ ἐστιν ἡ τῆς σαρκὸς πυκνότης εὐεξία, ἀνάγκη τὴν τῆς σαρκὸς μανότητα καχεξίαν εἶναι. ἱκανὸν γὰρ θάτερον μέρος τῆς ἐναντιώσεως ἑαυτό τε κρίνειν καὶ τὸ ἀντικείμενον. καὶ γὰρ τῷ εὐθεῖ καὶ αὐτὸ καὶ τὸ καμπύλον γινώσκομεν. κριτὴς γὰρ ἀμφοῖν ὁ κανὼν, εἴτ' οὖν τὸ εὐθές. τὸ δὲ καμπύλον, οὐθ' ἑαυτοῦ, οὔτε τοῦ εὐθέος. Ἀποδοτέον δὲ καὶ ἡμῖν ἤδη πρὸ ὁδοῦ γεγενημένοις, ἃ ἔφθημεν ὑποσχεθέντες.

Τί τὸ Ὀρθὸν τοῦ λόγου, καὶ τί τὸ Πλάγιον.

Ὁ αὐτοτελὴς κατὰ σύνταξιν λόγος ἐξ ὀνόματος συνέστηκε καὶ ῥήματος, ὧν οὐκ ἄνευ.

ἔστι δὲ

ἔστι δὲ τοῦ ὀνόματος τὸ μὲν, ὑποκείμενον, τὸ δὲ, κατηγορούμενον. τοῦ δ' αὖ κατηγορουμένου τὸ μὲν, καθ' ὑποκειμένου μόνον λεγόμενον, τὸ δὲ, καὶ πρὸς ἕτερον θεωρούμενον. ὡσαύτως δὲ καὶ τοῦ ῥήματος τὸ μὲν, τέλειον, εἴτ' οὖν ἀμετάβατον καὶ καθ' ὑποκειμένου μόνον λεγόμενον. τὸ δὲ, ἀτελὲς, εἴτ' οὖν μεταβατικὸν καὶ πρὸς ἕτερον ἀναφερόμενον. Τοῦ δὲ ἁπλῶς κατηγορουμένου (ὀνόματος λέγω καὶ ῥήματος) τοῖς μὲν, καθ' ὧν λέγεται, πτωτικοῖς ταυτοπροσωποῦντος, τῶν δὲ, πρὸς ἃ φέρεται, ἑτεροπροσωποῦντος, (ὑπεξαιρείσθω τὰ ὑπαρκτικὰ τῶν ῥημάτων, καὶ τῶν ὁλοπαθῶν τὸ γίγνομαι, καὶ τὰ ἐπ' αὐτοπαθείας, τῶν πτωτικῶν ἑκατέροις ταυτοπροσωποῦντα.) συμβαίνει τοῦ λόγου τὸ μὲν, εἶναι ταυτοπροσωπικόν. τὸ δὲ, ἑτεροπροσωπικόν. καὶ ὀρθὸν μὲν τὸ ταυτοπροσωπικὸν, ὑπεξαιρουμένης κἀν ταῦθα τῆς αὐτοπαθείας. πλάγιον δὲ, τὸ ἑτεροπροσωπικόν. παρονομάζουσι δὲ τὸν λόγον Ὀρθὸν μὲν, ἡ τοῖς ὑποκειμένοις συνοῦσα ἀμεταβάτως ὀρθή. Πλάγιον δὲ, αἱ ἐκδεχόμεναι τὰς μεταβάσεις τῶν πρὸς ἕτερον φερομένων πλάγιαι πτώσεις.

Τί τό, τε συνέχον καὶ τὸ λύον τὸ τοῦ λόγου κατάλληλον.

Συνέχει μὲν οὖν ἐν ἑκατέροις (τῷ τε ὀρθῷ φημι καὶ πλαγίῳ) τὸ τοῦ καταλλήλου δέον ἡ τῶν παρεπομένων ταυτότης, λύει δὲ πάλιν ἡ παραλλαγή.

Τί, τε καὶ ποσαπλοῦν τὸ τὴν ὀρθότητα πλαγιάζον τοῦ λόγου.

Ὅρος δὲ ἐφ' οὗ μὲν, τῆς ὀρθότητος, ἀφ' οὗ δὲ, τοῦ πλαγιασμοῦ, διττός. ὁ μέν τις, τῶν καθ' ὑποκειμένου λεγομένων πτωτικῶν τὰ πρὸς ἕτερον θεωρούμενα. ὁ δὲ, τὰ μεταβατικὰ τῶν ῥημάτων. καὶ τριχῶς μὲν, ὁ τῶν πτωτικῶν. ὧδε δέ. ἢ γάρ τοι εἰς γενικὴν, τὰ Παραθετικὰ, τῶν Πρός τι τὰ Καθ' ὑπεροχὴν καὶ ὑποταγὴν, τὰ Διαφορικὰ, τὰ Στερητικὰ, τὰ Πληρωτικὰ, καὶ τὰ Ὡς κτητικά. ἢ εἰς δοτικὴν, τὰ ἐξ ἴσου τῶν Πρός τι. ἢ εἰς αἰτιατικὴν, Συνεκδοχικῶς. τοσαυταχῶς δέ τοι καὶ ὁ τῶν ῥημάτων. ἢ γάρ τοι εἰς αἰτιατικὴν, τὰ κατ' Ἐκπομπὴν. ἢ εἰς γενικὴν, τὰ κατ' Εἰσπομπὴν. ἢ εἰς δοτικὴν, τὰ κατὰ Περιποίησιν. Συμπαρειλήφθω δὲ τούτοις καὶ τῶν Συγκατηγορημάτων ὅσα πτωτικῶς συντάσσεται. ἐπιρρήματά τε λέγω καὶ προθέσεις. Διττὸν μὲν οὖν, ὡς εἴρηται, τὸ τὴν τοῦ λόγου πλαγιάζον ὀρθότητα, τὸ μὲν, Ὀνοματικόν. τὸ δὲ, Ῥηματικὸν, ἢ Συγκατηγορηματικόν.

Τί, τε καὶ ποσαπλοῦν τὸ ἀνορθοῦν τὸν πλαγιασμόν.

Διττὸν δὲ καὶ τὸ τοῦ λόγου τὸ πλάγιον ἀνορθοῦν, τὸ μὲν, πτωτικόν. τὸ δὲ, Συγκατηγορηματικόν. καὶ τοῦ μὲν πτωτικοῦ, τὰ Ἐρωτηματικὰ, τὰ Ἀόριστα. ἐν οἷς καὶ τὸ Τὶς ἐγκλινόμενον ἄρθρῳ, καθ' ὁ, τι οὖν γένος. τῶν Ἀναφορικῶν τὰ ἀπὸ φωνήεντος ἀρχόμενα. καὶ τὰ Ὑποτακτικὰ τῶν ἄρθρων. τὰ γὰρ τοιαῦτα τῶν πτωτικῶν, οὐχ ὁμοιοπτώτως τοῖς ἡγουμένοις τῶν πτωτικῶν συντάσσεται, πρὸς δὲ ἴδιον ῥῆμα πέφυκε φέρεσθαι, τὴν τούτῳ συνοδεύουσαν ὑπερχόμεμενα πτῶσιν, πλαγίαν μὲν, ἑτεροπροσωποῦντα. ὀρθὴν δὲ, ταυτοπροσαποῦντα τῷ ῥήματι. τὸ δὲ ῥῆμα ὀρθὴν προϋποτίθησιν, ἄρα. Τῶν δὲ Συγκατηγορημάτων Ἐπιρρήματά τε καὶ Σύνδεσμοι. καὶ ἐν μὲν Ἐπιρρήμασι τῶν Χρονικῶν τὸ Ἐπεὶ, καὶ τὸ Πρὶν, ἐν παρεληλυθότι, ὡσαύτως καὶ τὸ Ἕως καὶ τὰ ἰσοδυναμοῦντα. ἐπὶ δὲ μέλλοντος, μετ' ἐπιπλοκῆς τὸ μὲν πρὶν, τοῦ ἀοριστολογικοῦ ἂν, τὸ δὲ ἕως, καὶ τὰ ἰσοδύναμα, καὶ τοῦ οὗ. τὰ ἀπὸ φωνήεντος ἀρχόμενα Ἀναφορικὰ, τὸ ὅτε φημὶ, καὶ Ἡνίκα. τῶν

κα. τῶν Ἐρωτηματικῶν τὰ Τοπικά τε καὶ Τροπικὰ καὶ Χρονικὰ, ὀρθοτονούμενά τε, καὶ τῶν ἐγκλινομένων εἴτ' οὖν ἀορίστων τὰ ἀπὸ φωνήεντος ἀρχόμενα. τῶν Βεβαιωτικῶν τὸ Ὅτι. τῶν Ἀπαγορευτικῶν τὸ Μὴ, ἀποτελεστικόν τινα σύνδεσμον ἔχον συνεννοούμενον. Τῶν παραβολικῶν εἴτ' οὖν ὁμοιωματικῶν τὰ Ἀναφορικὰ, μεθ' ὧν καὶ τὸ ὁμοειδὲς Ἧ, τῶν ὁμοιωματικῶν δηλ. ὄν. τὰ Δεικτικά. τὰ Παρακελευστικά. τὰ Εὐκτικά. Ἔστι δὲ ὅτε καὶ τὸ Ἀποστατικὸν, ἐπιτακτικὸν ὂν ὁμοιωματικοῦ τοῦ ἢ παρισωτικοῦ ὀνόματος, ἢ συμπερασματικόν. καὶ τῶν Τοπικῶν τὸ Οἷ μὲν, ἢ Ἧ, μοναχῶς, τὸ Οὗ δὲ, τῷ μὲν ἕως, καὶ τοῖς ἰσοδυναμοῦσι χρονικῶς ἐπιπλεκόμενον, τοῦ δὲ ἐὰν, τοπικῶς προπλεκόμενον. καὶ ὅλως τὰ ὡς εἴρηται, οὐ πρὸς τὸ ἡγούμενον, πρὸς δὲ ἴδιον ῥῆμα φερόμενα. Ἐν δὲ Συνδέσμοις οἱ Συναπτικοί τε καὶ Παρασυναπτικοὶ, ἐπεμβαλλόμενοί τε καὶ ἐπιφερόμενοι. οἱ Αἰτιολογικοὶ, ἐν οἷς καὶ τὸ Ὅπως τροπικόν. ἔστι δὲ ὅτε καὶ τὸ Ἐφ' ᾧ. (πλὴν τοῦ οἷα, καὶ ἅτε δὴ, καὶ τοῦ ἕνεκα, τοῦ μὲν, γενικῇ, τῶν δὲ, ὁμοιοπτώτως τοῖς ἡγουμένοις πτωτικοῖς συντασσομένων.) ὁ Ἂν ἀοριστολογικὸς ὢν, καὶ τῶν χρονικῶν τῷ ἕως, καὶ τοῖς ἰσοδυναμοῦσιν ἐπιπλεκόμενος. (ὁ δὲ διαζευκτικὸς τοῖς συγκριτικοῖς ἐπιφερόμενος ἐπιῤῥήμασιν, ὁμοιοπτώτως τοῖς ἡγουμένοις πτωτικοῖς συντάσσεται. τὸ δὲ Εἴτε, διαζευκτικῶς, ἀδιαφορεῖ, πρὸς τὸ δοκοῦν ἔστι μὲν οὗ, τοῖς ἡγουμένοις ὁμοιοπτώτως, ἔστι δ' οὗ, ἰδίῳ ῥήματι συντασσόμενον.) Τὰ δὴ τοιαῦτα τῶν συγκατηγορημάτων, ῥήμασιν ἰδίοις φιληδεῖ συντάσσεσθαι. τὸ δὲ ῥῆμα ὀρθὴν προσποτίθησιν, ἄρα. ἔστι μὲν γὰρ καὶ ἀλλ' ἄττα τῶν συγκατηγορημάτων ῥηματικῶς συντασσόμενα, ἀλλὰ λόγου κατάρχοντα. ἐπακολουθοῦντα δὲ, οὐκ ἀλλοιοῖ τὸ τοῦ λόγου σχῆμα. τὰ δὲ προκείμενα ὁποτέρως ἂν σχῇ θέσεως, τὸ τοῦ λόγου πλάγιον ἀνορθοῦν πέφυκε. Δεῖ δὲ μηδὲ τὰς τῶν μορίων ἀγνοεῖν μεταλήψεις. ἔστι δὲ κατὰ γραμματικοὺς Μετάληψις, ὅταν τις πρώτη λέξις ἑρμηνεύηται διά τινος δευτέρας ταυτοσήμου καὶ ἰσοδυνάμου. αὕτη δὲ ἡ δευτέρα ὁμωνύμως δηλοῖ καί τι ἑτεροῖον, οἰκειώσηται δὲ ἡ πρώτη ἐκείνη λέξις διὰ τῆς δευτέρας τὴν τρίτην τὴν ἑτερόφυλον, ὡς οἷον ἐκλαθομένη τῆς συγγενοῦς δευτέρας λέξεως. τὸ τοιοῦτο λέγεται μετάληψις, ἤτοι μεταλλαγὴ ἐκ τῆς δευτέρας τῆς ἰσοδυνάμου εἰς τὴν τρίτην τὴν ἑτεροίαν. λέγεται γὰρ Μεταλαμβάνειν καὶ τὸ ἀλλάσσειν. οἷον, ἔχων τις δόρυ, μετέλαβε σπάθην. οὕτως οὖν καὶ μετάληψις τὸ σχῆμα, ὅτε ἡ πρώτη ἐκ τῆς καθ' ἑρμηνείαν ἰσοδυνάμου ἑαυτῇ δευτέρας λέξεως, μεταβῇ εἰς τὴν τρίτην τὴν ὁμοίαν πως τῇ δευτέρᾳ. οἷον, γλήνη ἡ κόρη τοῦ ὀφθαλμοῦ. κόρη δὲ ἁπλῶς ἡ παρθένος. ἐν γοῦν τῷ, ἔῤῥε κακὴ γλήνη, ὁ εἰπὼν τὸ γλήνη ἀντὶ τοῦ κόρη, ἤγουν παρθένος, τοῦτ' ἔστιν ἔῤῥε, ὦ δειλὸν κοράσιον, καὶ μεταβὰς ἀπὸ τῆς πρώτης λέξεως εἰς τρίτην οὐκ ἰσοδυνάμου τῇ πρώτῃ ἀλλὰ τῇ δευτέρᾳ, μεταληπτικῶς ἐσχημάτισεν. οὕτω καὶ λάσιον τὸ πυκνὸν, πυκνὸν δὲ τὸ συνετόν. λάσιον ἄρα τὸ συνετόν. οὕτω καθίσταται εἰς σαφὲς καὶ τὸ, οὐκ ἔσθ' ὅπως. οἷον, οὐκ ἔσθ' ὅπως ἀληθῆ λέγεις. ἤγουν οὐκ ἔστιν ὅτι ἀληθεύεις. ὅπως μὲν γὰρ, ἔστιν ὅτε ἀντὶ τοῦ ὡς. αὐτὸ δὲ πάλιν ταὐτὸν πολλάκις τῷ ὅτι, βεβαιωτικῶς. μεταληπτικῶς οὖν τὸ ὅπως ἀντὶ τοῦ ὅτι. ὅμοιον καὶ τὸ ὅπως ἀντὶ τοῦ καθά. ὡς τὸ, φελλοὶ δ' ὅπως. παρ' Αἰσχύλῳ, ὅπως μὲν γάρ ποτε τὸ ὡς. αὐτὸ δὲ ἔστιν οὗ παραβολικῶς ἀντὶ τοῦ καθάπερ. ὅθεν μεταλήψεως λόγῳ τὸ ὅπως ἀντὶ τοῦ καθά. οὕτω δὲ ἐφοδεύεται καὶ τὸ ὅτι ἀντὶ τοῦ λίαν.

οἷον, ὅτι

οἷον, ὅτι μάλα. τὸ μὲν γὰρ ὅτι, ταὐτὸ δύναται ποτε τῷ ὡς. τὸ δὲ ὡς, ἔστιν ὅτε ἀντὶ τοῦ λίαν, τὸ τοίνυν ὅτι, σημαίνοι ἂν τὸ λίαν, ὥσπερ ποτε καὶ τὸ ὡς. τοιούτῳ τρόπῳ καὶ ἐν Οἰδίποδι τῷ τυράννῳ Σοφοκλῆς ἔφη τὸ ὅπως τάχιστα, ἀντὶ τοῦ λίαν ταχέως, μεταλαβὼν τὸ ὅπως εἰς τὸ ὡς, αὐτὸ δὲ εἰς τὸ λίαν. πολλὰ δὲ καὶ ἕτερα παρὰ τοῖς παλαιοῖς τοιαῦτα. Τὸ δὲ Ὡς, πρὸς τοῖς εἰρημένοις καὶ αἰτιολογικόν τε ἐστι. καὶ χρονικὸν ἀντὶ τοῦ ἐπεὶ, καὶ τοῦ ὅταν. καὶ τροπικὸν ἀντὶ τοῦ πῶς. καὶ ἀποστατικὸν ἀντὶ τοῦ ὥστε. καὶ ἐναντιωματικὸν ἀντὶ τοῦ ὅμως, περιπωμένως. καὶ εὐκτικὸν ἀντὶ τοῦ εἴθε. καὶ στοχαστικὸν, ἀντὶ τοῦ ὡσεί. τὸ Ὅτι καὶ βεβαιωτικὸν, ὡς εἴρηται καὶ αἰτιολογικόν. τὸ Ὅπως ἔτι καὶ τροπικὸν, καὶ αἰτιολογικὸν, καὶ ἀόριστον. τὸ Ἐπεὶ καὶ ἐπειδὴ καὶ παρασυναπτικὸς σύνδεσμος, καὶ χρονικὸν ἐπίρρημα. τὸ οἷα, καὶ οἷον, καὶ παραβολικὸν καὶ αἰτιολογικόν. καὶ δὴ οὕτω μὲν ταῦτα. Τὸ δὲ τοῦ λόγου διττὸν θεωρεῖται ἔτι κἀν τοῖς ἐπιμερισμοῖς. ἔστι δὲ Ἐπιμερισμὸς, τοῦ ἀθροίσματος εἰς τὰ καθ' ἕκαστα διανομὴ, καὶ ὡς εἰπεῖν τοῦ ὅλου εἰς μέρη διαίρεσις, γιγνομένη ἔνθα τὰ μέρη τῷ ὅλῳ συμβεβηκότων ἢ οὐδ' ὅλως, ἢ τῶν μὲν, τῶν δ', οὐ κοινωνεῖ. αὐτίκα ἐν μὲν τῷ, ἀετοὶ διέπτησαν δύω, ὁ μὲν, ἔνθεν. ὁ δὲ, ἐκεῖθεν. ὕπεστι συμβεβηκότος καὶ κινωνία μὲν, ἧ ἑκάτεροι ἀπὸ τοῦ χώρου διέπτησαν, καὶ διαφορὰ δὲ πάλιν, ἧπερ οὐκ ἀφ' ἑνὸς καὶ τοῦ αὐτοῦ τόπου. ἐν δὲ τῷ, τῶν ἀνδρῶν, οἱ μὲν, ἐλήφθησαν. οἱ δὲ, διέδρων, κοινωνία μὲν οὐδεμία, διαφορὰ δὲ μόνον, ἧ δὴ οὐχὶ ταυτό τι πεπόνθασιν ἅπαντες, ἀλλ' οἱ μὲν, τόδε, οἱ δὲ, τόδε. Προάγεται τοίνυν ξύμπας ὁ ἐπιμερισμὸς ἤτοι ὀρθῶς, ἢ πλαγίως. ἢ τὸ μὲν ἄθροισμα τούτου πλαγίως, τὰ δὲ μέρη τῇ μὲν, ὀρθῶς, τῇ δὲ, πλαγίως. Τῶν γάρ τοι ἐπιμερισμῶν οἱ μὲν εἰσι κατὰ πρόληψιν,

οἱ δὲ, οὔ. καὶ κατὰ πρόληψιν μὲν, ὧν ἐν τῷ ἀθροίσματι πληθυντικόν τι προτάσσεται ῥῆμα, πρὸς ἑκάτερον τῶν μερῶν δυνάμενον ἀπὸ κοινοῦ ὑπακούεσθαι. οἷον, ἀετοὶ διέπτησαν δύω, ὁ μὲν, ἔνθεν. ὁ δὲ, ἐκεῖθεν. ὧν δὲ ἐν ἑκατέροις τοῖς μέρεσι διάφορα κεῖται τὰ ῥήματα, μὴ δυνάμενα δι' αὐτὸ τοῦτο ὑφ' ἓν προληφθῆναι πληθυντικῶς ἐν τῷ ἀθροίσματι, οὗτοί γε οὐκ εἰσὶ κατὰ πρόληψιν. οἷον, τῶν ἀνῶν, οἱ μὲν, ἦλθον, οἱ δ', ἀπῆλθον. ξύμπας τοίνυν ὁ κατὰ πρόληψιν, ὀρθῶς μὲν προάγεται, ταυτοπροσωπικὸς ὢν, εἴτ' οὖν ἀμετάβατός τε καὶ ἄσχετος ἑτεροπροσωπικῷ τῷ ῥήματι. ὡς ἐν τῷ, ἀετοὶ διέπτησαν, κτ. ἑτεροπροσωπικὸς δ' ὢν, πλαγίως, τοῦ ταυτοπροσωπικοῦ ῥήματος συνάμα τῷ ἀθροίσματι εἰς πτωτικὸν ὁμοιόπτωτον σχῆμα μετενεχθέντων, καθ' ἣν ἂν ἀπαιτῇ πτῶσιν ἡ ἑτεροπροσωπία τοῦ ῥήματος, καὶ τῶν μερῶν τῷ ὅλῳ συνδιατιθεμένων, εἴτ' οὖν ὁμοιοπτωτούντων. ἡ γάρ τοι παραλλαγὴ τῆς πτώσεως ἐνταῦθα σολοικισμός. οἷον, ἐπελαβόμην ἀετῶν, διαπτάντων τοῦ μὲν, ἔνθεν. τοῦ δὲ, ἐκεῖθεν. ἐνέτυχον ἀετοῖς διαπτάσι, τῷ μὲν, τῷ δέ. εἶδον ἀετοὺς διαπτάντας τὸν μὲν, τὸν δέ. ὥσπερ ἄρα καὶ ἀετοὶ διέπτησαν, ὁ μὲν, ὁ δέ. τοῦ δὲ μὴ κατὰ πρόληψιν τὸ μὲν ἄθροισμα, πλαγίως κατὰ γενικὴν ἀεὶ κτητικῶς, εἴτ' οὖν ἀπολύτως, τὰ δὲ μέρη ὀρθῶς μὲν, ταυτοπροσωποῦντος αὐτοῖς τοῦ συνόντος ῥήματος, πλαγίως δὲ, ἑτεροπροσωποῦντος. οἷον, τῶν ἀνδρῶν ὁ μὲν ἑάλω, ὁ δὲ, οὔ. ἢ τὸν μὲν, ἔκτειναν, τὸν δ' οὔ. ἢ τοῦ μὲν ἀπέσχοντο, τῷ δὲ, προσέβαλον. καὶ τοῦ ἐπιμερισμοῦ ἄρα ὀρθὸν μὲν, τὸ ταυτοπροσωπικόν. πλάγιον δὲ, τὸ ἑτεροπροσωπικόν. Τηρητέον δὲ, ὡς πᾶν μὲν ἑτεροπροσωπικὸν, καὶ πλάγιον, οὐ μὴν ἀντιστρέφει. καὶ γὰρ τὸ φιλῶ ἐμαυτὸν, καὶ ὅλως τὸ ἐπ' αὐτοπαθείας πλάγιον μὲν, οὐ μὴν ἑτεροπροσωπικόν.

πάλιν, πᾶν ὀρθὸν, καὶ ταυτοπροσωπικὸν δή. οὐ μὴν ἀντιστρέφει. καὶ γὰρ τὸ φιλῶ ἐμαυτὸν, καὶ ὅλως τὸ ἐπ' αὐτοπαθείας, ταυτοπροσωπικὸν μὲν, φημὶ δὴ τὸ ἐκ γ', οὐ μὴν ὀρθόν.

Περὶ τῆς τοῦ Ἀπαγγέλλειν Διαστολῆς.

Ἀπαγγέλλειν δὲ

Ἐλλείπει τὸ δεῖ ἀττικῶς.

Τὰ συντεταγμένα μὴ μόνον καθ' ὑπόκρισίν τε καὶ προσῳδίαν, ἀλλὰ καὶ κατὰ διαστολήν. οὕτω γὰρ ἂν ἡ τοῦ λόγου διάνοια εἴη συμφανεστέρα. καὶ Γράφοντας οὖν τι, στικτέον εἰς διαστολὴν, καὶ Φθεγγομένους διακριτέον τριχῶς. ἢ γὰρ Τελείως, ἢ Ἀτελῶς, ἢ Μέσως. Ἔνθα μὲν γὰρ τὰ περὶ τὴν ἔννοιαν συναποτελούμενα λήγει τοῖς κώλοις, διαστάλτέον ἐπὶ τέλει ἐννοίας τὸν λόγον, καὶ πλέοντι χρόνον ἀποστηματιστέον εἰς ἀπόδοσιν τοῦ τελείου. Ἔνθα δὲ ἀτελῶς πάμπαν ἔχει, ὑπανιέντας τι τῆς φωνῆς, καὶ ἐπ' ἐλάχιστον διαστηματίζοντάς γε, ἀπαγγελτέον. Μέσως δέ τοι, τὰ κώλων τε καὶ τοῦ ἐντελοῦς ἀπαρτιστικὰ κόμματα ἀποδοτέον. οἷον, ἐγὼ μὲν, διδάσκω. σὺ δὲ, μανθάνεις.

Ἀπαγγελίαν ἐνταῦθα οὐ τὴν ἁπλῶς ἀνάγνωσιν ληπτέον, τὴν δυναμένην καὶ ἐν διαθέτως γίγνεσθαι, τὴν δὲ διὰ φωνῆς ἐκφοράν. φησὶ γὰρ, καὶ φθεγγομένους διακριτέον. ὃ τοῦ προφορικοῦ λόγου ἐστί. κατὰ μὲν οὖν τὸν φίφον εἰπόντα, τὰ ἐν τῇ φωνῇ τῶν ἐν τῇ ψυχῇ παθημάτων τυγχάνει σύμβολα, τὰ ἐν τῇ ψυχῇ συντεταγμένα ἀπαγγελτέον. ἐπεὶ δὲ ἡ γραμματικὴ καὶ περὶ τῶν παρὰ τοῖς ἐνδοξοτέροις λογίοις λεγομένων, ὡς εἴρηται, πραγματεύεται, τῆς τούτων φημὶ ἀναπτύξεως, ἀπαγγελτέον δὴ καὶ τὰ ἐν τῇ γραφῇ. καὶ ἄλλως ἀπαγγέλλειν ἀνάγκη, λογικὸν ὄντα. καθ' ὅ, τι ὁ ἀνῖνος νοῦς παντοδαπῶν νοημάτων εὑρετὴς ὢν, τῷ μὴ δύνασθαι τοῖς διὰ σωματικῶν αἰσθήσεων ἐπαΐουσι γυμνῇ τῇ ψυχῇ δεικνύειν τὰς τῆς διανοίας ὁρμὰς, τῶν ἐμψύχων τοῦ προφορικοῦ λόγου ὀργάνων ἁπτόμενος, διὰ τῆς ἐν τούτοις ἠχῆς φανερὰ ποιεῖται τὰ κεκρυμμένα νοήματα. Τριχῶς δὲ τὰ τῆς ἀπαγγελλίας γίνεσθαι πέφυκε, καθ' Ὑπόκρισιν, Προσῳδίαν, καὶ Διαστολήν. Καὶ τῆς μὲν Ὑποκρίσεως τοῖς ἀπὸ ῥητρείας μάλιστα μέμηλεν, ἔστι δὲ Ὑπόκρισις, διάθεσις εἴτ' οὖν μίμησις πιθανὴ φωνῆς τε καὶ σχήματος, πρέπουσα τῷ τῇ ἀπαγγελίᾳ ὑποκειμένῳ προσώπῳ καὶ πράγματι. ταύτης δὲ τῆς ὑποκρίσεως πρόνοιαν ποιοῦνται ἐπὶ τοῖς ἐναγωνίοις τῶν λόγων μάλιστα, καὶ οἱ τραγῳδίας τε καὶ κωμῳδίας ὑποκρινόμενοι. οἳ τὰ αὐτὰ ποιήματα λέγοντες, οὐχ ὡσαύτως ἡμᾶς κηλοῦσιν ἅπαντες. ἀλλ' ἐνίοις τε ἀχθόμεθα, καὶ ὥσπερ ἀδικούμενοι καθυποκρινομένοις καὶ διαφθείρουσι τὰς βουλήσεις τῶν ποιημάτων χαλεπαίνομεν. Διττὴ δὲ ταύτης ἡ φύσις, ἡ μὲν, περὶ τὰ πάθη τῆς φωνῆς, ἡ δὲ, περὶ τὰ σχήματα τοῦ σώματος. ὥστε καὶ τοὺς ἀναγινώσκοντας λόγους, ἐπιμελῶς χρὴ παρατηρεῖν, ἵνα τοῦτον ἕκαστα λέγηται τὸν τρόπον, ᾧ ὁ τοῦ λόγου πῆρ ἐβούλετο. αὐτὴ γὰρ ἡ λέξις διδάσκει τοὺς ψυχὴν εὐκίνητον ἔχοντας, μεθ' οἵας τῆς ὑποκρίσεως ἐκφέρεσθαι δεήσει. τὰ μὲν γὰρ, Πευστικῶς, τὰ δὲ, κατὰ Ἀνθυποφοράν: τὰ δὲ, κατὰ Ἀγανάκτησιν,

Τῶν τοῦ λόγου Μερῶν,

- Τὰ μὲν, μηδενὸς πλαγιαστικὰ, ὅ ἐστιν Ἀμετάβατα.
  - Τῶν πτωτικῶν
    - τὰ οὐσιῳδῶς ὑποκείμενα
      - ὀνοματικά.
      - ἀρθρικά.
      - ἀντωνυμικά.
    - καὶ τῶν ἐπιθέτων τὰ ἀπολύτως τῶν ὑποκειμένων κατηγορούμενα, ὅ τι μὴ συνεκδοχικῶς.
  - Τῶν ῥημάτων τὰ ἁπλῶς οὐ πῇ συνταοσόμενα ἀμετάβατα, δῆλον δ' ὅ τι καὶ αἱ σύστοιχοι τούτων μετοχαὶ, καὶ (τὰ ἀπαρέμφατα.
  - Τῶν συγκατηγορημάτων τὰ ῥηματικῶς συνταοσόμενα.
- Τὰ δὲ, πλαγιαστικὰ τοῦ εὐθέος.
  - Τῶν ἐπιθετικῶν πτωτικῶν τὰ καὶ πρὸς ἕτερον θεωρούμενα.
    - Τῶν πρός τι
      - τὰ καθ' ὑπεροχήν.
      - καὶ ὑποταγήν.
      - ὧν ἐστι καὶ ἡ κτητικὴ σύνταξις.
    - Τὰ διαφορικά.
    - Τὰ παραθετικά.
      - συγκριτικά.
      - ὑπερθετικά.
    - Τὰ στερητικά.
    - Τὰ πληρωτικά.
    - Τὰ ὡς κτητικά.
    - Τὰ ἐξ ἴσου καὶ ὁμοίου καὶ ταὐτοῦ τῶν πρός τι. — Δοτικῇ.
    - Τὰ τριγενῆ, συνεκδοχικῶς. — Αἰτιατικῇ.
    - γενικῇ.
  - Τῶν ῥημάτων
    - Τὰ μεταβατικὰ καὶ
      - ἁπλῶς.
      - πῇ.
    - Τὰ ἀμετάβατα.
    - συνταοσόμενα. καὶ αἱ σύστοιχοι τούτων μετοχαὶ καὶ τὰ ἀπαρέμφατα.
  - Τὰ ἀπαρέμφατα. καὶ ταῦτα γὰρ πλαγιαστικὰ τοῦ ἐκ' ἁ, αὐτῶν οὐσιῴδους πτωτικοῦ.
  - Τῶν ἑτεροπροσωπικῶν μετοχῶν τὸ πρὸς ῥῆμα ἀμετάβατον.
  - Τῶν ἀντωνυμιῶν καὶ ἁπλῶς τῶν πτωτικῶν τὰ κτητικά.
  - Τῶν προθέσεων αἱ παρατιθέμεναί τε καὶ συντιθέμεναι.
  - Τῶν ἐπιῤῥημάτων τὰ πτωτικῶς, ἢ καὶ ῥηματικῶς συνταοσόμενα.
  - Τῶν συνδέσμων ὁ ἕνεκα.
- Τὰ δὲ, τοῦ πλαγιασμοῦ ἀνορθωτικὰ, ὅσα πρὸς ἕτερον, εἴτ' οὖν ἴδιον ῥῆμα φέρεται, οὐ μὴν πρὸς τὸ ἡγούμενον.
  - Πτωτικά.
    - Τὰ ἐρωτηματικὰ εἴτ' οὖν ὀρθοτονούμενα.
    - Τὰ ἀόριστα πλὴν τῶν ἐπιπλεκόντων τὸ οὖν.
    - Τῶν ἀναφορικῶν τὰ ἀπὸ φωνήεντος ἀρχόμενα.
    - Καὶ τὰ ὑποτακτικὰ τῶν ἄρθρων.
  - Συγκατηγορήματα.
    - Ἐπιῤῥήματα.
      - Τῶν χρονικῶν.
        - τὸ ἐπεὶ καὶ ἐπειδή.
        - τὸ πρίν,
        - τὸ ἕως καὶ τὰ ἴσα.
          - ἐν μὲν παρήκοντι, καθ' ἑαυτά.
          - ἐπὶ δὲ μέλλοντος, μετ' ἐπιπλοκῆς.
            - τὸ μὲν πρίν, τοῦ ἀοριστολογικοῦ ἄν.
            - τὸ δὲ ἕως, καὶ τοῦ οὖ.
      - Τῶν τοπικῶν
      - Τῶν τροπικῶν.
        - τὸ ᾗ μὲν, ἢ οἷ
        - τὸ οὗ δὲ καὶ
          - μοναχῶς.
          - τῷ μὲν ἕως καὶ τοῖς ἴσοις ἐπιπλεκόμενον, τοῦ δὲ ἐὰν προπλεκόμενον.
        - τὰ ἐρωτηματικά.
        - τὰ ἀόριστα
      - Τῶν βεβαιωτικῶν τὸ ὅ τι (εἰ μή πῃ παρέλκοι) καὶ τὸ ᾗ.
      - Τὰ παρακελευστικά.
      - Τὰ εὐκτικά.
      - Τὰ δεικτικά.
      - Τὸ ἀπαγορευτικὸν μὴ, ἀποτελεστικοῦ τινος συνδέσμου ὑπακουομένου.
      - Τῶν παραβολικῶν τὰ ἀναφορικά, ἐν οἷς καὶ τὸ ὁμοιωματικὸν ᾗ.
      - Ἔστι δ' οὗ καὶ τὸ ἀποστατικὸν συμπερασματικὸν ὂν, ἢ ὁμοιωματικῶν τε καὶ παρισωτικῶν ἐπιτακτικόν.
    - Σύνδεσμος.
      - οἱ Συναπτικοί τε καὶ παρασυναπτικοὶ τὰ συνημμένα συνδέοντες. πλὴν τοῦ εἰ καὶ τις ἄλλος, ὁμοιοπτώτως τοῖς ἡγουμένοις γηματιζομένου.
      - οἱ Αἰτιολογικοὶ, ἐν οἷς καὶ τὸ ὅπως τροπικόν. ἔστι δ' οὗ καὶ τὸ ἐφ' ᾧ. πλὴν τῶν οἷα, καὶ ἅτε, καὶ τοῦ ἕνεκα, τοῦ μὲν, γενικῇ, τὼν δὲ, ὁμοιωπτώτως τοῖς ἡγουμένοις συνταοσομένων.
      - ὁ Ἂν ἀοριστολογικὸς, ἀορίστοις καὶ τῶν χρονικῶν τῷ ἕως καὶ τοῖς ἰσοδυνάμοις ἐπιπλεκόμενος.
      - οἱ Ἀπορηματικοί.
      - τῶν Συλλογιστικῶν ὁ ἀλλαμὴν καὶ ὁ ἄρα, οὐχ ὡς πλαγιασμοῦ ἀνορθωτικοὶ, ἀλλ' ὡς μηδενὸς πλαγιαστικοί.

σιν, παρεντεινομένου τοῦ ἤχου, καὶ δι' ὀργῆς ὑπερβαλλούσης οἴκτου τε καὶ ὀλοφυρμοῦ. καὶ ἄλλα κατὰ Ἐγκλίσεις καὶ σχηματισμοὺς προσώπων, καὶ χειρῶν φορὰς, ὡς οἱ κατὰ ἀλήθειαν ταῦτα πεπονθότες, ἐπιτελοῦσιν. ἕτερα δὲ πάλιν καθ' Ἡδονὴν, ἐν παροδικοῖς μέλεσιν ὡς ἱστορίαν. τὰ δὲ, ἐν Ἀστεϊσμῷ. τὰ δὲ, Ἐσπευσμένως. τὰ δὲ, Ἀναβεβλημένως. καὶ τὰ μὲν, Ἀσυνδέτως. τὰ δὲ, Συνημμένως. τὰ δὲ, Ὑπεροπτικῶς. τὰ δὲ, Πεφοβισμένως. καὶ τὰ μὲν, ἐν Διασυρμῷ. τὰ δὲ, ἐν Αὐξήσει. καὶ ἄλλα ἐν Συναλγήσει. καὶ ἁπλῶς εἰπεῖν, ὡς ἕκαστον διδάσκει. Τὰ δὲ μὴ μετὰ τῆς ὀφειλομένης ὑποκρίσεως ἀπαγγελλόμενα, τὸ κάλλιστον αὐτῶν ἀγαθὸν ἀπόλλυσι, τὸ πνεῦμα. καὶ οὐδὲν διοίσει σώματος καλοῦ μὲν, ἀκινήτου δὲ καὶ νεκροῦ. καὶ τὸ ὅλον ἀψύχου. Πολλὰ δὲ πολλάκις καὶ ἄτοπα ἐτέχθη νοήματα καὶ Παρὰ ὑπόκρισιν μόνην ἀναγνώσεως. καὶ Παρὰ στιγμὴν μόνην. Ἔστι δέφασιν, ὥσπερ Ἀπαγγελίας, οὕτω καὶ Συνθέσεως Ὑπόκρισις. ἔνθα τῶν συντεταγμένων τοῦ λόγου μορίων ἡ σύνθεσις μιμητικῶς πρὸς τὰς τῶν ὑποκειμένων προσώπων τε καὶ πραγμάτων ποιότητας πεποίηται, πρὸς τὰ ἤθη φημὶ, τὰ πάθη, τὰς διαθέσεις, τὰ ἔργα, καὶ τὰ τούτοις συνεδρεύοντα. δεῖ γὰρ ἡμᾶς φασιν, ὑπὲρ ὧν πραγμάτων τοὺς λόγους ἐκφέρομεν, μιμητικοὺς γίγνεσθαι μὴ μόνον κατὰ τὴν τούτων ἀπαγγελίαν, ἀλλὰ καὶ κατὰ τὴν τούτων σύνθεσιν οὕτως, ὥστε μηδὲν διαφέρειν γιγνόμενα ὁρᾶν τὰ πράγματα, ἢ λεγομένων ἀκούειν. Παράδειγμα δὲ ἐν ἐκ πολῶν εἰλήφθω τὸ τοῦ Ὁμήρου, ἐν οἷς εἰσάγει τὸν Ὀδυσσέα ἀπαγγέλλοντα τοῖς φαίαξι τὴν ἑαυτοῦ πλάνην, καὶ τὴν εἰς ᾅδου κατάβασιν, καὶ τὰ ἐκεῖσε κακά. ἐν δὲ τούτοις καὶ τὰ περὶ τὸν Σίσυφον πάθη. ᾧ φασι τοὺς καταχθονίους δαίμονας ὅρον πεποιῆσθαι τῆς τῶν δεινῶν ἀπαλλαγῆς, ὅταν ὑπὲρ ὄχθου τινὸς ἀνακυλίσῃ πέτρον τινὰ, (τοῦτο δὲ ἀμήχανον εἶναι.) καταπίπτοντα πάλιν, ὅταν εἰς ἄκρον ἔλθῃ. δηλῶν οὖν ταῦτα μιμητικῶς καὶ κατ' αὐτὴν τῶν ὀνομάτων τὴν σύνθεσιν, φησὶ, καὶ μὴν Σίσυφον εἰσεῖδον κρατερ' ἄλγε' ἔχοντα, λᾶαν βαστάζοντα πελώριον ἀμφοτέρῃσιν. ἤτοι, ὁ μὲν, σκηριπτόμενος χερσίν τε ποσίν τε λᾶαν ἄνω ὤθεσκε ποτὶ λόφον. Ἐνταῦθα γοῦν οὐ μᾶλλον τὰ ὀνόματα, ἢ ἡ τούτων σύνθεσις δηλοῖ τῶν γιγνομένων ἕκαστον. τὸ βάρος τοῦ πέτρου, τὴν ἐπίπονον ἐκ τῆς γῆς κίνησιν, τὸν διερειδόμενον τοῖς κώλοις, τὴν τούτου πρὸς τὸν ὄχθον ἀνάβασιν, τὴν μόγις ἀνωθουμένην πέτραν. ἡ μὲν γὰρ ἐν οἷς ἀνακινεῖ τὴν πέτραν δυοῖν στίχοις, ἔξω δυοῖν ῥημάτων, δισυλλαβία τε καὶ μονοσυλλαβία, τῶν τῆς λέξεως μορίων πολλοὺς μεταξὺ χρόνους ἀπολειπομένων ἀλλήλων, τὸ χρόνιον μιμεῖται τοῦ ἔργου. οἱ δὲ τῆς τῶν συλλαβῶν κατὰ τὸ πλεονάζον ἐκτάσεως στηριγμοί τε καὶ τὰ ἐγκαθίσματα, τὴν ἀντιτυπίαν καὶ τὸ βαρὺ καὶ τὸ μόγις. ἡ δὲ μεταξὺ τῶν ὀνομάτων εὐμεγέθης διάστασις καὶ τὸ ἐντεῦθεν ψῦγμα, ἔνθα μὲν φωνηέντων, ἔνθα δὲ, ἡμιφώνων τε καὶ ἀφώνων συγκρουομένων ἀλλήλοις, τὰ τῆς ἐνεργείας διαλείμματα καὶ τὴν τοῦ πέτρου ἔρεισιν, ἐποχάς τε καὶ τοῦ μόχθου μέγεθος. (ὅτι γὰρ μεταξὺ δυοῖν λέξεων κατὰ τὰς τῶν φωνηέντων συμβολὰς, ὧν τὸ μὲν ἐστι ληκτικὸν τῆς πρώτης, τὸ δὲ, ἀρκτικὸν τῆς δευτέρας, χρόνος τις ἀξιόλογος ἀπολαμβάνεται, δηλοῦσιν οἵτε μουσικοὶ καὶ οἱ μετρικοὶ, τὸν μεταξὺ τῶν φωνηέντων χρόνον ἑτέρων παρενθήκῃ γραμμάτων ἡμιφώνων ἀναπληροῦντες. τοῦτο δ' οὐκ ἂν ἐγίγνετο, μὴ σιωπῆς τινος ἀξιολόγου διειργούσης τὰ φωνήεντα ἀπ' ἀλλήλων.

οὐμὴν ἀλλὰ

οὐ μὴν ἀλλὰ κἀπὶ τῆς τῶν κατὰ διάστασιν συμφώνων ἀπαγγελίας, φημὶ δὴ τῶν ἐπὶ τῆς αὐτῆς συλλαβῆς ἀσυμβάτως ἀλλήλοις ἐχόντων, ἐμπεριλαμβάνεταί τις χρόνος, δι' οὗ συνίσταται τὸ λεῖον καὶ εὐπετὲς τῆς ἁρμονίας. τὸ γὰρ ἐν τούτοις δυσέκφορον, ἀναβολήν τε ποιεῖ καὶ ἐγκοπὴν τῆς ἁρμονίας εἴτ' οὖν συνθέσεως, μὴ ἔχον συνῳδὸν μηδὲ εὐκέραστον τὸν ἦχον, ἀλλ' ἀνάγκη πιεσθὲν ὑπὸ τοῦ στόματος, στηριχθῆναι ἱκανῶς τούτων τὸ προηγούμενον, εἶθ' οὕτω τρανὴν καὶ καθαρὰν τὴν ἑαυτοῦ λαβὸν δύναμιν, ἀκουστὸν γενέσθαι τὸ συναπτόμενον αὐτῷ ἕτερον. τῶν γοῦν φωνηέντων πολλαχῇ συγκρουομένων ἀλλήλοις καὶ ἔτι τῶν ἡμιφώνων τε καὶ ἀφώνων, στηριγμούς τε καὶ ἐγκαθίσματα αἱ ἁρμονίαι λαμβάνουσιν.) οἱ δὲ ῥυθμοὶ, εἴτ' οὖν πόδες ἐν μήκει θεωρούμενοι. δακτυλικοὶ γάρ εἰσιν οἱ πλείους. πολλὴν ἔχοντες τὴν διάβασιν, τὴν ἔκτασιν τῶν μελῶν, καὶ τὸν διελκυσμὸν τοῦ κυλίοντος. καὶ τὰ ἑξῆς δὲ τούτων οὐ φύσεως αὐτοματιζούσης ἐστὶν ἔργα, τέχνης δὲ μᾶλλον, μιμήσασθαι τὰ γιγνόμενα πειρωμένης. προειπὼν γὰρ ἐν τῷ αὐτῷ σχήματι,

ἀλλ' ὅτε μέλλεν
ἄκρον ὑπερβαλέειν,
ἐπιφέρει τούτῳ.
τότ' ἀποστρέψασκε κραταὶ ἶς,
αὖθις ἔπειτα πέδονδε κυλίνδετο λᾶας ἀναιδής.

Ἐν οἷς συγκατακεκυλίσθαι δοκεῖ τῷ βάρει τῆς πέτρας καὶ ἡ τῶν ὀνομάτων σύνθεσις, μᾶλλον δ' ἐφθακέναι τὴν τοῦ λίθου φορὰν τὸ τῆς ἀπαγγελίας τάχος. ὁ γὰρ τὴν καταφορὰν τοῦ πέτρου δηλῶν στίχος, μονοσύλλαβον μὲν οὐδεμίαν, δύω δὲ μόνον δισυλλάβους ἔχων λέξεις, οὐκ ἐᾷ διεστάναι τοὺς μεταξὺ χρόνους, ἀλλ' ἐπιταχύνει τῇ τῶν λοιπῶν πολυσυλλαβίᾳ. ἔπειθ' ἡ κατὰ τὸ πλέον συστολὴ τῶν συλλαβῶν κατασπῶσα, συστέλλει τὴν φράσιν, τῇ τῶν συλλαβῶν βραχύτητι ἐφελκομένην. Ἐφ' οἷς οὐδ' ὄνομα ἀπὸ ὀνόματος ἀξιόλογον εἰλήφει διάστασιν, οὔτε φωνηέντων οὔτ' αὖ ἡμιφώνων. ἃ τραχύνειν πέφυκε καὶ διϊστάνειν τὰς λεκτικὰς ἁρμονίας, ἀλλήλοις παρακειμένων τε καὶ συγκρουομένων μεταξὺ τῆς τῶν λέξεων πρὸς ἀλλήλας ἁρμονίας, ἀλλὰ συνολισθαίνουσιν ἀλλήλαις αἱ λέξεις τῷ μὴ διεστάναι ἀπ' ἀλλήλων, καὶ συγκαταφέρονται. καὶ τρόπον τινὰ μία ἐξ ἁπασῶν γίγνεται, διὰ τὴν τῶν Λέξεων πρὸς ἀλλήλας ἀκριβῆ ἁρμονίαν. καὶ ἡ τῶν ῥυθμῶν δὲ εἴτ' οὖν μέτρων συστολὴ εὔτροχον καὶ περιφερῆ καὶ καταρρέουσαν ποιεῖται τὴν φράσιν. οὐδεὶς γὰρ τῶν μακρῶν οὔτε σπονδεῖος οὔτε βακχεῖος ἐγκαταμέμικται τῷ στίχῳ, ἀλλὰ πλὴν τοῦ ἐσχάτου ποδὸς οἱ λοιποὶ πάντες δάκτυλοί εἰσι. καὶ τούτων δὲ οἱ πλείους ἀποδεδιωγμένας ἔχοντες τὰς ἀλόγους, οὐ πολὺ διαφέρουσι τῶν τροχαίων. οἱ γὰρ ῥυθμικοὶ τοῦ δακτυλικοῦ ποδὸς τὴν ἐσχάτην βραχυτέραν εἶναί φασι τῆς τελείας. μὴ ἔχοντες δ' εἰπεῖν πόσῳ, καλοῦσιν αὐτὴν ἄλογον. Περὶ μὲν οὖν τῆς κατὰ σύνθεσιν ὑποκρίσεως ἐπιτετμημένως ἐκ τῶν τοῦ ἀλικαρνασ, Διονυσίου εἴρηται ὅσαγ' ἐγχωρεῖ. βαθεῖα γάρ τίς ἐστι κατ' αὐτὸν, καὶ πολλῶν πάνυ δεομένη λόγων ἡ κατ' αὐτὴν θεωρία. καὶ οὐχ ὁ παρὼν ἀνασκοπεῖν καιρός. Τῆς δὲ κατὰ τὴν Ἀπαγγελίαν, πάνυ φησὶν ὁ αὐτὸς εὔηθες ἄλλοτι ζητεῖν διδασκάλιον, ἀφέντας τὴν ἀλήθειαν, αὐτὴν λέγω τὴν φύσιν. Περὶ δὲ τῆς κατὰ Προσῳδίαν, ἀποχρώντως εἴρηται τῷ Θεοδώρῳ ἐν τοῖς πρότερον. κατὰ γὰρ προσῳδίαν ἀπαγγέλλομεν τὰ συντεταγμένα, ὅτε τὰς τούτων συλλαβὰς ποιᾷ τάσει τῇ κατά τε χρόνον καὶ τόνον καὶ πνεῦμα προφέρομεν, χρόνον μὲν μακρὸν, ἢ βραχύν. τά-

χὺν, τόνον δὲ, ὀξὺν, ἢ βαρὺν, ὅ ἐστιν ἐπιτεταμένον, ἢ ἀνειμένον, ἢ μέσον. πνεῦμα δὲ, δασὺ, ἢ ψιλόν. Τὴν γε μὴν κατὰ προσῳδίαν ἀπαγγελίαν οὐχ ἁπλῶς ἀλλ' ἀπηχηματικῶς ἐκληπτέον. εἴ γε τὰ τῆς προσῳδίας οὐχὶ ἦχοι ἀλλ' ἀπηχήματα τυγχάνουσι τῆς μουσικῆς κατὰ τὸν Εὐστάθ. Ἀπήχημα δὲ λέγεται τὸ τῶν ἀνομοίων ποσῶς μετέχον, ἢ δοκοῦν μετέχειν. ὃ γὰρ ἐπὶ τῆς ὁράσεως εἰκὼν, ὁμοίωμά τι πρὸς τὸ πρωτότυπον ἔχουσα, τοῦτο ἐπὶ τῆς ἀκοῆς ἀπήχημα, ὁμοίωμά τι πρὸς τὴν φωνὴν ἔχον. ἐφ' οὗ καὶ παροιμία λέγεται, τὸ τῆς ἠχοῦς ὑστερόφωνον. τὸ γὰρ ἀπὸ τοῦ ἤχου εἰς τὸ ἐλάχιστον καταντῆσαν, τοῦτό ἐστι τὸ ἀπήχημα. τῆς γοῦν μουσικῆς αὐτῆς ποιᾷ τάσει τὰ συντεταγμένα ἀπαγγελλούσης, ἐξ αὐτοῦ τοῦ κατὰ τὴν ποιὰν τάσιν ἤχου ἀπηχήματά τινα καὶ οἱονεὶ ὁμοιώματα τοῦ ἤχου, εἰ καὶ ἀνομοίως ἐκλαμβάνονται, πρὸς τὸν πεζὸν λόγον φθάνουσι. Λείπεται δ' εἰπεῖν ἐνταῦθα περὶ τῆς τῶν συντεταγμένων Διαστολῆς, τῆς κατά τε Ἀπαγγελίαν καὶ Γραφήν. διαστελλομένων γὰρ τούτων, ἐμφανεστέρα τοῖς ἀκούουσιν ἡ τούτων καθίσταται διάνοια, μὴ ἀθρόως, ἀλλ' ἐν τάξει ταῖς ἀκοαῖς προσπίπτουσα, κατὰ κόμμα τε καὶ κῶλον τοῦ πνεύματος διαναπαυομένου. Διαστολὴ οὖν ἐστι συνθέτου διανοίας ποιά τις περιτομή. ἔστι δὲ διττὴ, ἡ μέν τις, ἐν τῇ ἀπαγγελίᾳ εἴτ' οὖν ἐκφορᾷ τῶν συντεταγμένων. ἡ δὲ ἐν τοῖς γραφομένοις θεωρουμένη. καθ' ὅ, τι καὶ τὰ γραφόμενα τῶν ἐν τῇ φωνῇ τυγχάνει σύμβολα. ἑκατέρα δὲ διαιρεῖται τριχῶς, εἰς Τελείαν, Ἀτελῆ, καὶ Μέσην. καθ' ἃς διακριτέον φθεγγομένους τε καὶ γράφοντας, τῇ διαστολῇ μὲν τοῦ πνεύματος τὰ ἀπαγγελλόμενα, τῇ στιγμῇ δὲ τοῦ γράμματος τὰ γραφόμενα. ἔστι δὲ Στιγμὴ μὲν τὸ Στιζόμενον ἐφεξῆς

τῶν γραφομένων ἀμερὲς σημεῖον, Πνεῦμα δὲ καθ' Ἑρμογένην, σύνθεσις λόγου, διάνοιαν ἀπαρτίζουσα, ἐν κώλοις τε καὶ κόμμασι μετρουμένη. πνεῦμα δὲ ἡ τῶν συντεταγμένων ἀπαγγελία εἴρηται. ἐπειδὴ πρὸς διάρκειαν τοῦ ἡμετέρου πνεύματος εἴτ' οὖν τῆς ἐκπνοῆς γίνεται, κατὰ τὴν φωνὴν τοῦ λέγοντος. ὅπερ, εἴπερ ὑπερεκπέσοι τὸ μέτρον τοῦ λόγου, τάσις ἀκούει, ἀποτεινόμενον ἐπὶ μακρότερον, ἢ ὥστε δύνασθαι ἐν ἰδίῳ ληφθῆναι τοῦ λέγοντος πνεύματι. συμβαίνει δὲ διαρκεῖν τὸν λέγοντα ἐκ τοῦ καθ' ἕκαστον κῶλον, ὀλίγον ἐπαναπαύεσθαι, ἕως οὗ πρὸς τὴν τελείαν φθάσῃ στιγμήν. τοῦ δὴ Πνεύματος κώλοις τε καὶ κόμμασιν, ὡς εἴρηται, συναπαρτιζομένου, Εἴδη μὲν αὐτοῦ δύω. Ἢ γάρ τοι ἐν νόημα λαβόντες, καὶ τοῦτο ἐργαζόμενοι τῇ ἑρμηνείᾳ, πλείοσι κώλοις διαρκοῦμεν τὸ ἐν ἐπεκτείνοντες, (οἷον, ὅτε γὰρ περιϊὼν ὁ Φίλιππος ἰλλυριοὺς καὶ τριβαλοὺς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖτο ἐφ' ἑαυτὸν, καί τινες τῶν πόλεων, ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε, διεφθείροντο. ὧν εἷς οὗτος ἦν, τότε δὴ τότε πάντες, ἐφ' οὗς ταῦτα παρεσκεύαζεν ἐκεῖνος, ἐπολεμοῦντο. εἰ δὲ μὴ ᾐσθάνοντο, ἕτερος οὗτος λόγος, οὐ πρὸς ἐμέ. μέχρι τούτου τὸ πνεῦμα. ὅπερ σύμπαν ἑνός ἐστι νοήματος ἑρμηνεία, τοῦ ὅτι πάλαι Φίλιππος τοῖς ἕλλησιν ἐπεβούλευεν.) Ἢ ὅταν πολλὰ πράγματα ἀθρόως ἔχοντες εἰπεῖν, καθ' ἕκαστον κῶλον πρᾶγμα ἀπαρτίζωμεν, ἐπιμένοντες τῷ αὐτῷ σχήματι ὡς ἐν ἐκείνῳ, ἀλλ' ὁ τὴν εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν ἀττικὴν, καὶ καταλαμβάνων ὠρεὸν, καὶ κατασκάπτων πορθμὸν, καὶ καθιστὰς, ἐν μὲν

ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δ' Ἐρετρίᾳ Κλείταρχον, πότερον ταῦτα ποιῶν, ἠδίκει καὶ παρεσπόνδει, καὶ τὴν εἰρήνην ἔλυεν, ἢ οὔ; τοῦτο γὰρ δι' ὅλου τὸ πνεῦμα συναπαρτίζει τῷ πράγματι καὶ κῶλον. καὶ παρὰ ταῦτα οὐκ ἔστιν ἄλλο εἶδος πνεύματος. Σχήματα δὲ αὐτοῦ, ὅσα καὶ λόγου. ἔστι γάρ τοι τὸ μὲν, ἀποφαντικὸν, τὸ δὲ, κατ' ἐρώτησιν. ἔστι καὶ ἐλεγκτικὸν, καὶ δεικτικὸν πάλιν. καὶ κατ' ἔντασιν, εἴτ' οὖν ἀποστροφὴν εἰς πρόσωπον. καὶ κατὰ ἄρνησιν, καὶ κατὰ ἀποτροπὴν, ὧν καθ' ἕκαστον σχῆμα δύναται μεταχηματισθῆναι τὸ προχειρισθὲν πνεῦμα. καὶ καθ' ὁ, τιοῦν ἔτι τῶν παρεπομένων, πτῶσιν λέγω, γένος, ἀριθμὸν, ἔγκλισιν. συνδεῖται δὲ τὸ πνεῦμα καὶ συντίθεται μάλιστα καὶ εὔτονον γίνεται τοῖς συνέχουσι συμπλεκτικοῖς συνδέσμοις. Κῶλον δὲ καὶ Κόμμα ἀπὸ μεταφορᾶς τῶν σωματικῶν μελῶν τε καὶ μερῶν εἴληπται. Κῶλον γάρ ἐστι τὸ ἐκ δυοῖν μερῶν, μηροῦ λέγω καὶ κνήμης, συνεστὼς μέλος. ὡς γοῦν ἐκεῖ τὸ μέλος, οὕτως ἐνταῦθα τὸ κῶλον, καὶ ὡς ἐκεῖ τὸ μέρος, οὕτως ᾧδε τὸ κόμμα. πλὴν οὐχ ὡς ἐκεῖ τὸ μέρος μέλους ἐστὶ μέρος, οὕτω κἀνταῦθα τὸ κόμμα μέρος ἐστὶ κώλου κατά τινας, ἀλλὰ σύνθεσις καὶ αὐτὸ ὡς καὶ τὸ κῶλόν ἐστι διανοίας, ἔστι μὲν οὖ, ἐντελοῦς, ἔστι δ' οὗ, ἀτελοῦς. διαφορὰν δὲ πρὸς τὸ κῶλον ἔχει. ὅτι μικροτέρα κώλου. οἷον, ἔπου θεῷ. γνῶθι σαυτόν. οὐ δὲ γὰρ μόνον τὸ κῶλον, ἀλλὰ καὶ τὸ κόμμα ἀπαρτίζειν ἔχει ἐντελῆ διάνοιαν. ἔνθεντοι καὶ πνεῦμα μὲν, ἢ περίοδος ἐκ κώλων, ἢ ἐκ κομμάτων, ἢ καὶ ἐξ ἀμφοῖν συντεθείη ἂν, κῶλον δ' ἐκ κομμάτων οὐδαμῶς. τὸ γὰρ ἐκ τούτων συγκείμενον ἢ πνεῦμά ἐστιν, ἢ περίοδος. Διαφέρει γοῦν κῶλον κόμματος τῷ μέτρῳ μόνον εἴτ' οὖν τῷ ἀριθμῷ τῶν συλλαβῶν. Τὸ μὲν γὰρ ἀπὸ δ', καὶ ε', συλλαβῶν καὶ μέχρι τῶν ς', Κόμμα ἐστὶν, ἐπῳδῷ μετρούμενον. καθ' ὅ, τι καὶ τὰ ἐπῳδὰ ἐν τοσούτοις ὡς ἐπιτοπολὺ εὑρίσκεται. οὐ μὴν ἀλλὰ καὶ ἀπὸ ἡσσόνων ἢ δ', συλλαβῶν τὸ Κόμμα συνίσταται. τῆς γὰρ διανοίας καὶ ἐν δυοῖν συλλαβαῖς ἀπαρτιζομένης, Κόμμα ἐστίν. ὡς ἐπὶ τοῦ, πότερον, ταῦτα ποιῶν, ἠδίκει καὶ παρεσπόνδει, ἢ οὔ; τὸ γὰρ ἐπὶ τέλους δισύλλαβον ἢ οὔ. κόμμα ἐστὶ, σύνθεσιν ἔχον καὶ αὐτὸ διανοίας ὁλοκλήρου. συνυπακούεται γὰρ κἀντῷ κόμματι τούτῳ ἀπὸ κοινοῦ τὰ ἐν τῷ κώλῳ. τὰ δὲ κατὰ ὄνομα ἀναπαύοντα τὸν λόγον καθ' Ἑρμογένην οὐ κόμματα. οἷον, ὁ φαρμακὸς, ὁ λοιμός. καὶ πάλιν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, ὄλεθρος, γραμματεὺς, καὶ ὅσα τοιαῦτα. καθ' ὅ, τι τὸ ὄνομα καθ' ἑαυτὸ διανοίας οὐκ ἔστι σύνθεσις, τὸ δέ τοι ῥῆμα καὶ καθ' ἑαυτὸ, πρὸς δὲ καὶ ἡ μετοχὴ καθ' ἑαυτὴν σύνθεσιν ἔχει διανοίας, ὡς συνεννουμένου τούτοις τοῦ ὑποκειμένου. Τὸ δὲ ὑπὲρ τὰς ζ', καὶ η', συλλαβὰς καὶ ι', καὶ ἐγγύζον ἤδη τῷ τριμέτρῳ, ἤγουν τῷ δωδεκασυλλάβῳ, εἰ δισύλλαβοί εἰσιν οἱ πόδες, (μέτρον δὲ καλῶ ἐνταῦθα τὴν διποδίαν τοῦ στίχου.) εἰ δ' οὖν, καὶ πεντεκαιδεκασυλλάβῳ, καὶ μέχρι τοῦ ἡρωϊκοῦ προχωροῦν, Κῶλον γίνεται ὀρθὸν καὶ τεταμένον. παράδειγμα δὲ κώλων καὶ κόμματος. οἷον, τὸ λαβεῖν οὖν τὰ διδόμενα, ὁμολογῶν ἔννομον εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι, παρανόμων γράφῃ; ἐν ᾧ τρισὶ κώλοις δι' ὅλου ἴσοις κόμμα ἐν ἐπηνέχθη τὸ, παρανόμων γράφῃ; κομμάτων δ' αὖ, οἷον, οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ. οὐ δ' ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δέ; οὐ δ' ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δέ. Τὸ δὲ ὑπὲρ τὸ Ἡρωϊκὸν, σχοινοτενὲς κέκληται ἀπὸ τῆς αἰγυπτιακῆς σχοίνου χρήσιμον προοιμίοις μάλιστα, καὶ ταῖς τῶν προ-

ταῖς τῶν προοιμίων περιβολαῖς, ὡς τὸ, πρῶτον μὲν, ὦ ἄνδρες ἀθηναῖοι, εὔχομαι τοῖς θεοῖς πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαιμοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα. καὶ τὸ, εἶτα οὐκ αἰσχύνεσθε, εἰ μὴ δ' ἃ πάθοιτ' ἄν. εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες, οὐ τολμήσετε; τὰ γὰρ καθ' Ἑρμογένην μονόκωλα ταῦτα πνεύματα, μᾶλλον δὲ τὸ πολύκωλον τοῦτο πνεῦμα, ἐπειδὴ κρέμαται ἡ διάνοια αὐτοῦ μέχρι τέλους, τῷ ὑπερβατῷ οὕτω σχηματισθεῖσα, σχοινοτενῶς διελήφθη. Ἕτεροι δέφασι καὶ τὸ ἐπῳδὸν, Κῶλον, ὡς μέχρι καὶ θ', συλλαβῶν φθάνον, καὶ μεῖζον ὂν τοῦ κόμματος. Κόμμα δὲ, τὸ ὑποκάτω τοῦ ἐπῳδοῦ ὄν. Περίοδος δέ ἐστι καθ' Ἑρμογένην τοῦ ὅλου ἐπιχειρήματος ἀναγκαστικὴ σύνοδος καὶ κλεῖς τρόπον τινὰ, τῷ τε τῆς ἑρμηνείας σχήματι καὶ τῷ νῷ ἀπαρτίζουσα τὸ ἐπιχείρημα καὶ συνάγουσα. καὶ καθόλου εἰπεῖν, περίοδός ἐστι σχῆμα αὐτοτελὲς ὅλου τοῦ ἐπιχειρήματος ἐν ἑρμηνείας ῥυθμῷ συντόμως ἀπηρτισμένον. περίοδος δὲ εἴρηται, ὡς καὶ τὸ αὐτὸ σχῆμα συνεστραμμένου πρὸς ἑαυτὸ τοῦ κατὰ τὴν ἑρμηνείαν εἴτ' οὖν φράσιν ἐπιχειρήματος, ἀπὸ μεταφορᾶς τῶν περιοδευόντων. οἵτινες εἰς αὐτὸ τοῦθ', ὅθεν ἤρξαντο, τελευταῖον ἀποκαθίστανται, καθ' ὁμοιότητα τῆς τοῦ κύκλου ἐν ἐπιπέδῳ καταγραφῆς. οὗ ἡ περιφέρεια τὸ αὐτὸ σημεῖον ἀρχὴν ἔχει καὶ τέλος. οἷον, ἃ γὰρ ἐφυλαξάμεθα ἂν ποιεῖν εἰκότως, εἰρήνης ὑπαρχούσης, ταῦτα βέλτιον ἐργάσασθαι, πολέμου καθεστηκότος. ἐν ᾧ ταυτοσχήμως ἀλλήλοις τῶν κώλων ἑκάτερα συνέστραπται, ὁμοιοπτώτως τοῦ δευτέρου πρὸς τὸ α', ἀποδοθέντος. Τῆς γεμὴν ἑρμηνείας ἡ ταυτότητι μὲν ῥυθμοῦ εἴτ' οὖν σχήματος εἰς ἑαυτὴν συνεστραμμένη, ἑτέρως δὲ ἢ κατασκευαστικῶς, περιοδικὴ ἂν εἴη μᾶλλον ἢ περίοδος. καὶ τὸ ἑτέρως λέγειν, περιοδικῶς ἐστιν ἑρμηνεύειν, καὶ σχῆμα περιόδου λαμβάνειν, οὐ περίοδον ποιεῖν. οἷον, νῦν δὲ, ἃ μὲν πλεύσασιν ἦν σῶσαι, βαδίζειν κελεύων, ἀπολώλεκεν οὗτος, ἃ δ' εἰ ποῦσι τἀληθῆ, ψευδόμενος. (ἀπὸ κοινοῦ τό, τε σῶσαι, καὶ τὸ ἀπολώλεκεν.) οἷον καὶ τὸ, πρῶτον μὲν εὔχομαι τοῖς θεοῖς, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαιμοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα. Τῶν δὴ δύοιν τούτων περιοδικῶν πνευμάτων οὐδέτερον ἀληθινὴ τυγχάνει περίοδος. εἰ γάρ τοι καὶ ταυτοσχήμως εἰς ἑαυτὸ συνέστραπται, ἀλλ' οὐκ ἐπιχειρήματος, εἴτ' οὖν κατασκευῆς προτεθέντος τινὸς, ἀφηγήσεως δέ ἐστι συγκλειστικόν, ἀλλότριον δὲ καθ' Ἑρμογένην περίοδος διασκευῆς εἴτ' οὖν τῆς τοῦ πράγματος διατυπώσεως τοῦτ' ἔστιν ἀφηγήσεως. γένοιτο δ' ἂν ἀληθινὴ περίοδος ἑκάτερον τούτων, εἴπερ ἐκ διασκευῆς εἰς κατασκευὴν εἴτ' οὖν ἐπιχείρημα μεταβάλλει ὁ λόγος οὑτωσὶν, ἃ μὲν γὰρ πλεύσασιν ἦν σῶσαι, κτ'. καὶ, ὅσην γὰρ εὔνοιαν ὑμῖν ἔχω, τοσαύτην ὑπάρξαιμοι παρ' ὑμῶν εὔχομαι. οἷόν τι καὶ τὸ ἀποστολικὸν ἐκεῖνο πρὸς ῥωμ', κφ', 7, ὃ γὰρ κατεργάζομαι, οὐ γινώσκω. οὐ γὰρ, ὃ θέλω, τοῦτο πράσσω, ἀλλ', ὃ μισῶ, τοῦτο ποιῶ. εἰ δὲ, ὃ οὐ θέλω, τοῦτο ποιῶ, κτ'. ὧν περίοδοι μὲν τὰ πρότερα, περιοδικὸν δὲ τὸ, εἰ δὲ, ὃ οὐ θέλω, κτ'. ἐπεὶ οὐ ταὐτὸν τῷ, οὐ γὰρ, ὃ θέλω, τοῦτο πράσσω. ὡς μὴ κατασκευαστικῶς ἐξενηνεγμένον. Τῶν δ' αὖ κατασκευῶν αἱ μὴ περιωδευμέναι, οὐδὲ περιοδικαὶ οὐχ ὅπως περίοδοί εἰσιν. ὅλως γὰρ ἡ καθ' ἑρμηνείαν περίοδος τὴν κυκλικὴν ὁπωσοῦν ἐθέλει μιμεῖσθαι περιαγωγὴν, εἰς τὸ ἀφ' οὗ προήχθη, ἐπαναστρέφουσα, καὶ κατ' Ἀριστοτέλην εἰπεῖν, πρὸς τὴν ἀρχὴν

τελευτῶ-

τελευτῶσα. ἔστι γὰρ κατ' αὐτὸν ἡ περίοδος λέξις, ἀρχὴν ἔχουσα καὶ τελευτὴν πρὸς αὑτήν. εἴη δ' ἂν ἐπαναστρέφουσα πρὸς ἑαυτὴν διὰ τῶν ἀναφορικῶν μάλιστα καὶ ἀνταποδοτικῶν μορίων. Γίνεται δὲ καὶ δίκωλος, καὶ τρίκωλος, καὶ τετράκωλος ἐκ δ', κώλων συνεστηκυῖα ἡ τοῦ λόγου περίοδος. δίκωλος μὲν οὖν ἐκείνη, ἡ, προτάσεως μονοκώλου κειμένης, ἀπόδοσιν ἀπαιτοῦσα μονόκωλον. τοῦτο δὲ μάλιστα πάσχουσιν αἱ γνωμικαὶ, οἵα ἡ, τὸ γὰρ εὖ πράττειν παρὰ τὴν ἀξίαν, ἀφορμὴ τοῦ κακῶς φρονεῖν τοῖς ἀνοήτοις γίνεται. Τρίκωλος δ' ἐκείνη, ὅταν δυοῖν κώλων διαφόρων προτεθέντων, ἀρκῇ μονόκωλος ἑκατέροις ἀπόδοσις. οἷον, ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, ἡμῖν δὲ δίκην προσήκει λαβεῖν. (μέχρι τούτου ἡ πρότασις. εἶτα, ἐπήρκεσεν ἑκατέροις τοῖς κώλοις ἡ ἀπόδοσις μονόκωλος.) τούτων οὐχὶ νῦν ὁρῶ τὸν καιρὸν τοῦ λέγειν. τετράκωλος δὲ, ἡ ἐν ἑκατέρᾳ προτάσει ἀπόδοσιν ἔχουσα. οἷον, ὁ μὲν γὰρ Φίλιππος ὅσῳ πλείονα ὑπὲρ τὴν ἀξίαν πεποίηκε τὴν αὑτοῦ, τοσούτῳ θαυμαστότερος παρὰ πᾶσι νομίζεται. ὑμεῖς δὲ, ὦ ἄνδρες ἀθηναῖοι, ὅσῳ χεῖρον ἢ προσῆκε, κέχρησθε τοῖς πράγμασι, τοσούτῳ πλείονα αἰσχύνην ὠφλήκατε. περαιτέρω δὲ τῆς τετρακώλου οὐκ ἂν προβαίη ἡ περίοδος. κατὰ γὰρ ἐπιμεριστικὴν συμπλοκὴν τῆς τῶν κώλων ἀποδόσεως γινομένης, τὸ πέμπτον κῶλον οὐκ ἂν σχοίη πρότασιν σύζυγον εἰς ἀπόδοσιν. πρότασιν δὲ λέγω ἐνταῦθα οὐ κατὰ διαλεκτικοὺς, ἀλλὰ τὴν διὰ τὸ ἐφ' ἑαυτῆς στῆσαι μὴ δύνασθαι τὴν ἔννοιαν, πρὸς τὴν ἐπαγομένην ἀφορῶσαν ἀπόδοσιν. ἀλλ' οὐδὲ μονόκωλος γένοιτ' ἂν περίοδος ἢ μονοκόμματος, μὴ ἐνὸν ἐν ἑνὶ κώλῳ, ἢ κόμματι περιοδικὴν συναγωγὴν ὅ ἐστι κυκλικὴν συστροφὴν ἐν ταυτότητι γενέσθαι σχήματος. τὸ γὰρ ἀλγῶ. τύπτω γὰρ ἐμαυτὸν, συνέστραπται μὲν, ἀλλ' οὐκ εὐρύθμως. οὐδὲ κατὰ ἀναφορὰν καὶ ἀνταπόδοσιν, ὅπερ ἐστὶν οὐσιῶδες τῆς περιόδου γνώρισμα. κατὰ τὸ, ἐμαυτὸν, ὃν φιλῶ, θεραπεύω. τῶν δὲ περιόδων ἐκείνων, οἷον, εἶτα, οὐκ αἰσχύνεσθε, εἰ μὴ δ', ἃ πάθοιτ' ἂν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες, οὐ τολμήσετε; καὶ, πρῶτον μὲν εὔχομαι τοῖς θεοῖς, ὅσην εὔνοιαν ἔχω ὑμῖν, τοσαύτην ὑπάρξαιμοι παρ' ὑμῶν, τούτων φημὶ οὐδετέρα τυγχάνει ὡς Ἑρμογένης οἴεται μονόκωλος. εἴγ' οὐ πέφυκε κατὰ τὸ πνεῦμα καὶ τὸ κῶλον ἐκ κώλων, ἢ κομμάτων ἢ καὶ ἐξ ἀμφοῖν συγκεῖσθαι, ὡς εἴρηται. ἀλλὰ τρίκωλος μὲν ἡ β', ἡ δὲ α', ἐκ δυοῖν μὲν κομμάτων τοῦτε ἃ πάθοιτ' ἂν, καὶ τοῦ οὐ τολμήσετε, ἑνὸς δὲ κώλου πρὸς τὸ προτεθὲν κόμμα ἀποδιδομένου τοῦ, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες. εὐρύθμῳ γοῦν ὡς εἴρηται σχήματι τὸ ἐπιχείρημα συστρέφουσα ἡ περίοδος. (ἡ γὰρ ἐν ἀμφοῖν τοῖς κώλοις, ἢ κόμμασι, τῷτε προτεθέντι λέγω καὶ τῷ ἀποδιδομένῳ ταυτότης τοῦ κατὰ πτῶσιν σχήματος, ἢ καθ' ὅ, τι οὖν τῶν παρεπομένων, εὐρυθμίαν ἐργάζεται.) οὐχ ἑνὶ, ὥστε αὐτὸ παραδοῦναι, πολλοῖς δὲ καὶ αὐτὴ κατὰ τὸ ὡς εἴρηται πνεῦμα καὶ παντοίοις ὑποπίπτει σχήμασι. καθ' ὅ, τι πτῶσις πᾶσα καὶ ἀριθμός τε καὶ γένος μεταποιούμενα καὶ μεταλλασσόμενα, ἀλλάσσει τὸ σχῆμα. οἷον, κατὰ πτῶσιν, Εὐθεῖαν μὲν, ὁ γὰρ, οἷς ἂν ἐγὼ ληφθείην, ταῦτα πράσσων καὶ κατασκευαζόμενος, οὗτος ἐμοὶ πολεμεῖ. Γενικὴν δὲ, ὧν οὖν ἐκεῖνος μὲν ὀφείλει τοῖς ὑπὲρ αὐτοῦ πεπολιτευμένοις χάριν, κτ'. Δοτικὴν δὲ, οἷς γὰρ οὖσιν ἡμετέροις ἔχει χρῆσθαι, τούτοις πάντα τ' ἄλλα ἀσφαλῶς κέκτηται. Αἰτιατικὴν δὲ, εἶθ' ὃν ἡ τύχη καὶ τὸ δαιμόνιον φίλον μὲν ἀλυσιτελῆ, συμφέρον-

συμφέροντα δ' ἐχθρὸν ἐμφανίζει, τοῦτον ἡμεῖς φοβούμεθα; οἷόν τι καὶ τὸ τοῦ ἀποστόλου ἐκεῖνο πρὸς ῥωμ, κφ, 7, οὐ γὰρ ὃ θέλω, τοῦτο πράσσω, ἀλλ' ὃ μισῶ, τοῦτο ποιῶ. ὃ καὶ δὶς περιώδευται. τὸ δὲ κλητικὸν σχῆμα, οὐ πνεῦμα, πνεύματος δέ ἐστι μέρος, ἐπιστροφὴν ἐργαζόμενον. οἷον, εἶτα, ὦ τί ἂν εἰ τώνσέ τις, ὀρθῶς προσείποι. ἡ γοῦν περίοδος καὶ πνεῦμα εἴρηται, οὐ μὴν καὶ εἴτι πνεῦμα, τοῦτο πάντως καὶ περίοδος. οὐ γὰρ δὴ καὶ τοῖς ἐνδιασκεύοις εἴτ' οὖν ἀφηγηματικοῖς, ἀλλὰ μόνοις φασὶ τοῖς ἐγκατασκεύοις εἴτ' οὖν ἀποδεικτικοῖς τῶν λόγων ἡ περίοδος ἀποκεκλήρωται, καὶ ὅλως τῷ ἐπιχειρήματι. Ἐπιχείρημα δέ ἐστι λόγος πιστωτικὸς, εἴτ' οὖν ἀποδεικτικός τε καὶ κατασκευαστικὸς τοῦ προτεθέντος, εὑρισκόμενος ἀπὸ τῆς περιστάσεως, ἥ τίς ἐστι τόπος, χρόνος, τρόπος, πρόσωπον, αἰτία, πρᾶγμα. καὶ τῷ ἐπιχειρήματι δὲ οὐχ ἁπλῶς, ἀλλ' εἴγε κατὰ περιοδικὴν ὅ ἐστι κυκλικὴν ὡς εἴρηται συστροφὴν συνάγει τὴν ἀπόδειξιν. Ἐπιχειρήματος μὲν γὰρ εἴδη προηγουμένως μὲν ὁ συλλογισμὸς ὁπωσοῦν εἰλημμένος, ἑπομένως, δὲ καὶ ἡ Ἐπαγωγὴ, τὸ Ἐνθύμημα, τὸ Παράδειγμα, ὁ Σωρείτης, τὸ Διλήμματον, τὰ γνωμικὰ εἴτ' οὖν τὰ κοινὰ ἀξιώματα, καὶ οἱ τῶν πραγμάτων Ὁρισμοί. ἄριστον δὲ περιόδου σχῆμα τὸ τῆς παραβολῆς μάλιστα. οἷον, ὥσπερ γὰρ εἴ τις ἐκείνων προείλω, σὺ τά δε οὐκ ἔγραψας ἄν, οὕτως ἂν σὺ νῦν δίκην δῷς, ἄλλος οὐ γράψει. Ἔστι δὲ οὐ μόνον ἀποδεικτικὴ, ἀλλὰ καὶ ἐπιτιμητικὴ περίοδος τῷ σχήματι. οἷον, εἶθ' ἃ Φίλιππος ἂν εὔξαιτο τοῖς θεοῖς, ταῦθ' ἡμῶν τινες ἐνθάδε ποιοῦσι; καὶ πάλιν, εἶτα οὐκ αἰσχύνεσθε, εἰ μὴ δ', ἃ πάθοι τ' ἄν, εἰ δύναιτ' ἐκεῖνος, ταῦτα ποιῆσαι καιρὸν ἔχοντες, οὐ τολμήσετε; Καὶ Διαπορητικὼς ἐστι περιοδεῦσαι, ἂν ἄρξηταί τις, ὡς ὁ Δημοσθένης ἐν τῷ κατὰ Τιμοκράτ. διὰ τί ἄρα νὴ δία διὰ τί τοῦτο οὐχι καλῶς ἔχειν δόξει τὸ ψήφισμα; πότερον, ὅτι παρὰ τοὺς νόμους; καὶ μὴν μόνον ἐστὶ κατὰ τοὺς νόμους. ἀλλ' ὅτι τάξεως λύσις; καὶ μὴν καὶ τοῦτο ὡς οὐκ ἄλλο θεμέλιος εὐταξίας. ἀλλ' ὅτι τόδε; καὶ ἀποδώσεις αὐτό. γίνεται δὲ, ὅταν καὶ δύω καὶ τρία νοήματα ἔχῃς. καὶ πάλιν, διὰ τί γὰρ ἂν νὴ δία, διὰ τί φείσαιτο ἄν τις Αἰσχίνου; πότερον, ὅτι τὴν ἔξοδον ἐπετάχυνε; καὶ μὴν πλεῖν ἔδει καὶ μὴ βαδίζειν. ἀλλ' ὅτι τἀληθῆ πρὸς ἡμᾶς ἔφησε; καὶ μὴν ψευσάμενος, πάντα ἀπολώλεκε. γίνεται δὲ καὶ ἐκ δυοῖν κατὰ μερισμὸν συμπεπλεγμένον. οἷον, νῦν δὲ, ἃ μὲν πλεύσασιν ἦν σῶσαι, ταῦτα βαδίζειν κελεύων, ἀπολώλεκεν οὗτος. ἃ δ' εἰποῦσι τἀληθῆ, ψευδόμενος. Εἴη δ' ἂν περιοδικῶς λεγόμενος καὶ ὁ ῥητορικὸς κύκλος, ὅς ἐστι τὸ ἀφ' ὧν ἂν ἄρξηταί τις ὀνομάτων, εἰς τὰ αὐτὰ δύνασθαι καταλήγειν πάλιν. οἷον, σοὶ μὲν γὰρ ἦν κλέπτης ὁ πὴρ, εἴπερ ἦν ὅμοιός σοι. Δεῖ δέ φασι τὴν περίοδον ἐν τῇ ἀποδόσει ἤτοι ἰσοσκελῆ καὶ ἰσόπλευρον εἶναι, τῇ προτάσει κατὰ τὰ κῶλα. κατὰ τὴν, ὧν γὰρ τοὺς ἐπαίνους οἶδα, τούτων καὶ τὰς ἐπιδόσεις. ἢ συντομωτέραν. ἀτονία γάρ φασι ῥήτορος τὴν ἀπόδοσιν τῆς περιόδου μακροτέραν ποιεῖσθαι τῆς προτάσεως. τούτων δ' ὥσπερ ἐπιλαθόμενος Ἑρμογένης, μικρὸν προβὰς, γίνεταί φησι καὶ μονόκωλος περίοδος. περίοδος δὲ μονόκωλος, πῶς ἂν ἰσοσκελὴς γένοιτο καὶ ἰσόπλευρος καὶ ὅλως ἰσόκωλος; οὔτε γὰρ τὸ μονόκωλον ἰσόκωλον, οὔτ' αὖ τὸ ἰσόκωλον πνεῦμα μονόκωλον. εἰ οὖν δεῖ τὴν περίοδον ἰσοσκελῆ καὶ ἰσόκωλον εἶναι, δεῖ πάντως καὶ δίκωλον εἶναι τοὐλάχιστον. εἴγε τὸ ἴσον σκέλος καὶ κῶλον, ἑτέρῳ ἐστὶν ἴσον κώλῳ καὶ σκέλει οὐχ ἑαυτῷ. Καὶ ἵνα ἐπαναλαβόντες, πρὸς ἦν ἐλίπομεν, ἐπανέλθωμεν νύσσαν, φαμὲν

ὡς ἐξ ὑπαρ-

ὡς ἐξ ὑπαρχῆς. Ἡ τῶν συντεταγμένων ἀπαγγελία καὶ Πνεῦμα ἤκουσεν. ἐπειδὴ πρὸς διάρκειαν τοῦ ἡμετέρου πνεύματος γίνεται. καθ' ὅσον δηλαδὴ διαρκεῖ ἡ ἐκπνοὴ εἴτ' οὖν ἡ φωνὴ τοῦ λέγοντος. Πνεῦμα δέ ἐστι σύνθεσις διανοίας αὐτοτελοῦς. ἐν κώλοις καὶ κόμμασι μετρούμενον. Σύνθεσιν δὲ διανοίας ληπτέον οὐ τὴν ἐκ δύοιν ἢ πολλῶν ἤτοι οὐσιῶν συνέλευσιν, ὡς ἡ τοῦ νὼ, ἢ ἡ τοῦ δῆμος. ἡμεῖς. ἢ συμβεβηκότων, ὡς ἡ τοῦ φερέπονος, φιλάγαθος. οὐδὲ τὴν ἐξ οὐσίας καὶ συμβεβηκότος ἁπλῶς, ὡς ἡ τοῦ, ὁ ἀγαθὸς σωκράτης. ἢ ἡ τοῦ φιλάνος. οὐδὲ τὴν ἐν τοῖς ὁρισμοῖς τῶν πολλῶν ὅρων ἀνθ' ἑνὸς ἁπλουστάτην συμπλοκήν. ἀλλὰ τὴν ἐξ ὑποκειμένου συμπλοκῆς, καὶ ἤτοι μετοχίκου, ἢ ῥηματικοῦ κατηγορουμένου. συμπαρειλήφθω δὲ τῷ ῥήματι καὶ τὸ ἀπαρέμφατον, ῥῆμα καὶ αὐτὸ ὄν. Ἔστι δὲ καὶ τῶν κώλων τε καὶ κομμάτων ἑκάτερον οὐδὲν ἧττον σύνθεσις διανοίας, τῷ μέτρῳ μόνῳ τῶν συλλαβῶν ἀλλήλων διαφέροντα. Κόμμα μὲν γάρ ἐστι, τὸ ἀπὸ β', καὶ γ', καὶ δ', καὶ ε', καὶ μέχρι τῶν ἓξ συλλαβῶν προχωροῦν, Κῶλον δὲ, τὸ ὑπὲρ τὰς ζ', καὶ η', καὶ θ', καὶ ι', συλλαβὰς, καὶ ἐγγίζον ἤδη τοῦ τριμέτρου τῷ ἤτοι ἰαμβικῷ, εἴτ' οὖν δωδεκασυλλάβῳ, ἢ ἡρωϊκῷ, εἴτ' οὖν ἑπτακαιδεκασυλλάβῳ. τὰ δὲ ὑπὲρ τοῦτο, χοινοτενῆ καὶ τεταμένα καλεῖται κῶλα. Τῆς δὲ συνθέτου διανοίας, εἴτ' οὖν τοῦ λόγου, Αὐτοτελὴς μὲν, ἡ ὡς ἁπλῶς εἰπεῖν, ἐξ ὑποκειμένου, καὶ κατηγορουμένου, μόριόν τι τῶν ἑτέρας ἐννοίας ἐφελκυστικῶν μηθὲν ἔχουσα, τὸ δὲ κατηγορούμενον συνεισάγει πάντως καὶ τὰ ἐκ γ', πτωτικὰ μεταβατικὸν ὄν, καὶ τὰ συγκατηγορήματα. Ἀτελὴς δὲ, ἡ τοῦ συνθέτου διανοίας ὑποκειμένου καθ' ἑαυτὸ, δίχα λέγω τοῦ κατηγορουμένου. (οἷον, σωκράτης περιπατῶν. τὸ γὰρ σωκράτης, ἁπλῆς, τὸ δὲ σωκράτης περιπατῶν, συνθέτου μὲν, ἀτελοῦς δὲ διανοίας, δίχα ῥήματος τοῦ διαλέγεται τυχόν.) καὶ ἡ τῶν μεταβατικῶν ῥημάτων. ἀτελῆ γὰρ καὶ αὐτά. Τῶν δὲ ἑτέρας ἐννοίας ἐφελκυστικὸν ἐχουσῶν μόριον, αἱ μέν εἰσιν ἀτελεῖς, αἱ δὲ, μέσαι. Μόρια δὲ ἑτέρου νοήματος ἐφελκυστικά εἰσι, τῶν συνδέσμων οἵ τε μεριστικοὶ καλούμενοι, ὁ μὲν λέγω καὶ ὁ δέ. οἷον, ἐγὼ μὲν, διδάσκω. σὺ δὲ, μανθάνεις. (ὧν ἐστι καὶ τὸ κατὰ Ἀπαρίθμησιν. οἷον, πρῶτον μὲν τοῦτο, δεύτερον δὲ ἐκεῖνο. ὁποῖον καὶ Δημοσθ', τὸ πρῶτον μὲν, ὦ ἀθηναῖοι, εὔχομαι τοῖς θεοῖς, ὅσην εὔνοιαν κτ', ἔπειθ' ὅπερ ἐστὶν ὑπὲρ ὑμῶν. ἔτι καὶ τὸ κατὰ Προτίμησιν λεγόμενον. οἷον, μάλιστα μὲν εἵνεκα τοῦ νομίζειν συμφέρειν τῇ πόλει λελῦσθαι τὸν νόμον, ταῦτα διεξῆλθον, εἶτα καὶ τοῦ παιδὸς εἵνεκα τοῦ χαβρίου.) καὶ οἱ Διαζευκτικοί. ὧν ἐστι καὶ ἡ θάτερον τῶν δύοιν ὡρισμένως ζητοῦσα ἐρώτησις. πότερον φῶς, ἢ σκότος ἐστίν. ἄρα γράφεις, ἢ οὔ; Συναπτικοί τε καὶ Παρασυναπτικοί. Τῶν πτωτικῶν τε καὶ ἀπτώτων μορίων τὰ Ἀναφορικά τε καὶ ἀνταποδοτικά. τοιοῦτος, οἷος. τοσοῦτος, ὅσος. τέως, ἕως. ὅτε, τότε. ὥσπερ, οὕτω, καὶ τὰ τοιαῦτα. ὧν εἰσι καὶ τὰ τὰς Ἀποστάσεις ἐφελκόμενα ὀνόματά τε καὶ ἐπιρρήματα. οἷον, οὕτω πέπραχα πονήρως, ὥστε ὑδροσκοπίου μοι δεῖ. καὶ, τοιοῦτός ἐστιν, ὥστε καὶ νοεῖν καὶ λέγειν τὰ δέοντα. τοσοῦτος, ὥστε ἅπαντας ὑπερβάλλειν. Ἡ τὴν θέσιν ἑπομένην ἔχουσα ἄρσις. καὶ ἁπλῶς τὸ ἐξ ἀναιρέσεως συμπλεκτικὸν σχῆμα. οὐκ ἐγὼ, ἀλλὰ σύ. οὐ μόνον τόδε, ἀλλὰ καὶ τόδε. Ἔτι καὶ τῶν πλαγιασμῶν τὰ ἀπόλυτα. οἷον, ἐμοῦ διδάσκοντος, σὺ μανθάνεις. ὧν τὸ μὲν ἐστιν ἐφελκυστικὸν, τὸ δὲ, ἐφελκόμενον. οὐκ ἄρα ἑαυτοῦ ἦν Ἀμμώνιος, εἰρηκὼς δύω αὐτοτελεῖς εἶναι λόγους τὸ, τοῦ ἡλίου ὑπὲρ

γῆν

γῆν ὄντος, ἡμέρα ἐστὶ, καὶ τὰ τοιαῦτα. θατέρου τούτων ἑκάτερα τὰ τὸ αὐτοτελὲς τῆς διανοίας συνιστῶντα μέρη μὴ ἐμπεριέχοντος. Τῶν δὴ τοιούτων μορίων, μὴ δυναμένων στῆσαι εἴτ' οὖν ἀναπαῦσαι τὰς ἐννοίας ἐφ' ἑαυτῶν, ἑτέρας δὲ ταῖς πρώταις ἐπιζητεῖν πεφυκότων καθ' Ἑρμογένην, οἱ τούτοις συνδεδεμένοι λόγοι, αὐτοτελεῖς οὐκ εἰσὶν, Ἀλλὰ Μέσως μὲν ἔχουσι, τῶν καθ' ἑαυτὰς αὐτοτελῶν οἱ συνδεδεμένοι τοῖς τε ἀναφορικοῖς εἴτ' οὖν ἀνταποδοτικοῖς τῶν εἰρημένων μορίων. καὶ τῶν συνδέσμων τοῖς τε μεριστικοῖς καὶ διαζευκτικοῖς. καὶ τοῖς ἐξ ἀναιρέσεως συμπλεκτικοῖς. Ἀτελῶς δὲ, οἱ τοῖς Συναπτικοῖς τε καὶ Παρασυναπτικοῖς συνδεδεμένοι, καὶ τῶν πλαγιασμῶν τὰ ἀπόλυτα. καὶ τὸ συνθέτου, ὡς εἴρηται, διανοίας ὑποκείμενον καθ' ἑαυτό. Ἔτι μὴν καὶ τῶν ῥημάτων τὰ, ὡς εἴρηται, μεταβατικά. Τοῦ γοῦν Κόμματος οὐδὲν ἧττον ἢ τοῦ κώλου πεφυκότος συναπαρτίζειν διάνοιαν, ἔνθα μὲν τῷ κώλῳ, ἢ τῷ κόμματι καὶ ἡ τῶν ἀπαγγελλομένων συναπαρτίζεται διάνοια, μὴ διεγείρουσα λόγον ἕτερον διάτου τῶν ἑτέρας διανοίας ἐφελκυστικῶν μορίων, διακριτέον ἐπὶ τέλει τοῦ κώλου, ἢ κόμματος τὸ πνεῦμα. τῷ τρόπῳ; μέχρι πολλοῦ τινος τὸ πνεῦμα ἐπαναπάυοντας, καὶ εἰς πλέον, τι χρόνου διάστημα τῶν ἐφεξῆς αὐτὸ ἀποδιϊστῶντας καὶ διακόπτοντας. μέχρι πόσου; μέχρις οὗ ἀποδῶμεν τοῖς ἀκροωμένοις τῆς τῶν ἀπαγγελλομένων διανοίας τὸ τέλειον. Ἔνθα δὲ τῷ κώλῳ, ἢ κόμματι ἡ τῶν ἀπαγγελλομένων διάνοια οὐ συναπαρτίζεται, παρ' ἔλλειψίν τινος τῶν τοῦ λόγου συστατικῶν μερῶν ἐπικρεμαμένη καὶ ἐπιζητοῦσα τοῦτο εἰς ἐντέλειαν, ἐπ' ἐλάχιστον τοῦ χρόνου διάστημα τῶν ἐφ' ἑξῆς τὸ πνεῦμα διακόπτοντας, καὶ μικρόντι τῆς φωνῆς εἴτ' οὖν τοῦ πνεύματος ὑποχαλῶντας καὶ λύοντας, οὕτως ἀπαγγελτέον τῶν κώλων τε καὶ κομμάτων ἕκαστον. Μέσως δέ τοι ἀπαγγελτέον, ὅ ἐστι μήτε πάμπαν ἀτελῶς, μήτε πάμπαν τελείως, τῶν καθ' ἑαυτὰ ἐντελοῦς διανοίας ἀπαρτιστικῶν, ὅσα τοῖς ὡς εἴρηται ἀναφορικοῖς εἴτ' οὖν ἀνταποδοτικοῖς τῶν μορίων, καὶ τῶν συνδέσμων τοῖς μεριστικοῖς τε καὶ διαζευκτικοῖς, καὶ τοῖς ἐξ ἀναιρέσεως συμπλεκτικοῖς συνδέδεται. Τῶν δὲ ῥημάτων τὰ μεταβατικὰ, εἰ καὶ καθ' ἑαυτὰ δίχα τοῦ ἐπιτρίτου αὐτῶν πτωτικοῦ ἀτελῶς πάμπαν ἔχει, οὐδ' ὅλως γεμὴν διαστηματίζονται, μὴ προσλαβόντα τὸ ἐκ τρίτου πτωτικόν. ὡς δῆλον καὶ ἐκ τῶν ἐγκλινομένων. ὁρῶ σε. ἐπαινῶ σε. Τῶν δὲ συνδέσμων οἱ μὲν ἐκ τῶν προκειμένων λαμβάνοντες ἀπὸ κοινοῦ ἤτοι ὄνομα, ἢ ῥῆμα, στιγμῆς ὅλως ἀπροσδεεῖς εἰσι κατὰ Ἀπολλ', ὡς ἂν ἔτι ἐχομένου τοῦ προϊόντος λόγου πρὸς τὸ ἐφεξῆς ὑποκείμενον ἢ κατηγορούμενον. οἷον, διονύσιος περιπατεῖ καὶ ἀπολλώνιος. περιπατεῖ σωκράτης καὶ διαλέγεται. κοινοῦ παραλαμβανομένου ἔνθα μὲν, τοῦ περιπατεῖ, ἔνθα δὲ, τοῦ σωκράτης. θεοί τε καὶ ἀνέρες εὗδον. φιλολογήσωμεν σήμερον σὺ μὲν, κατὰ χολὴν, ἐγὼ δὲ, κατ' οἶκον. Ἔνθα δέ τοι ὁ δὲ, καὶ οἱ τούτῳ ἰσοδυναμοῦντες, παραιτούμενοι, οἱ μὲν, τὰς κοινότητας, ὁ δὲ, τὸν ἐπιμερισμὸν, μετάβασιν ἐννοίας ποιοῦνται, ἀπροσδεεῖς ὄντες τοῦ προκειμένου λόγου, τελείας στιγμῆς αἴτιοι καθεστῶσι τὸ τηνικαῦτα κατὰ Ἀπολλώνιον. ὡς ἔχει τὰ τοιαῦτα, διονύσιος ἔγραψε, τρύφων δὲ ἀνέγνω. ἄλλοι μεταδιδόασι, σὺ δὲ καὶ προσαφαιρῇ. καὶ ὡς παρὰ Δημοσθ', ἐν τῷ περὶ Στεφ'. ἐδίδασκες γράμματα, ἐγὼ δὲ ἐφοίτων. ἐτέλεις, ἐγὼ δὲ ἐτελούμην. οὐ γὰρ δὴ τούτων τῶν κώλων ἢ τῶν κομμάτων τὸ ἀσύνδετον μέσως ἀπαγγελτέον κατά τινας. οὐ γὰρ ὡς ἐν μερισμῷ συνδέδεται, μὴ προηγουμένου τοῦ μέν.

εἰ δὲ καὶ

ἐὰν δὲ καὶ προσυπακούμενον ἔχειν δοκεῖ ὁ δέ, τὸν μὲν, οὐδὲν τοῦτο πρὸς τὸν ἁμάρτημα. μὴν γὰρ προσκειμένῳ ἐνεργεῖ τὰ μὲν, οὐδ' ὧν ἀναγκαίη ἡ διάνοια εἰς ἐπιζήτησιν τοῦ ἐξῆς κώλου, ἢ κόμματος, τῷ ἀσυνδέτως προειρῆσθαι ἐπιρεμήσασα. Πρὸ δὲ τῶν ὑποπτικῶν ἄρθρων, τέλειαι πίπτουσιν αἱ σιγμαὶ καθ' Ἡρῳδιανόν, τὰ προηγουμένως πτωτικὰ, ὡρισμένως εἰ τὰ ἓν ἐγνωσμένῳ δηλαδὴ ὄντος ἢ αὐτόθεν, ἢ ἐξ ἐπιθετικῆς ἐπενεχθείσης. οἷον, τιμῶ τὸν ὅμηρον, ὃς πᾶς ἀναγκαίως ἐπαινεῖ. Θεραπεύω ἐμαυτόν. οὐ φιλῶ. ἀσθενῶ δὲ, ἀτελεστέρως οἶμαι μᾶλλον, ἢ μέσως. οἷον, ἦκεν ἀνήρ, ὃς ἐπέσελλεν. ὁ γὰρ ἀορίστου λόγος ἔτε αὐτοτελὴς ἔτε μεσῶ μέσως, ἀσαφῆ δὲ μᾶλλον καὶ πάμπαν ἀτελῆ σωτίθησι διάνοιαν διὰ τὸ τὸ ὀνόματος ἀόριστον. Περὶ δὲ τῆς χρῶμαι, οἷς ἔχω βιβλίοις καὶ τῶν ὁμοίως πρωθυστέρων, ἢ καὶ τῶν κατ' ἔννοιαν ὑπερβατῶν σκεπτέον, ὅπως ποτὲ αὐτὰ καὶ ἀπαγγελτέον καὶ γιγνωσκτέον. ἔτι μὴν καὶ περὶ τῆς Κλιτικῆς. οἱ μὲν γὰρ παλαιοὶ αὐτοτελείας αὐτὴν εἶναί φασιν. οἷς καὶ ὁ Θεόδωρος συμφερόμενος, οὐ τῇ δυνάμει τῶν λέξεων τὰς κλιτικὰς φησι τῶν ὀνομάτων δηλοῦσθαι προφέρεσθαι καθ' ἑαυτὰς εἰς διάνοιαν ἀτελῆ. αὐτὸς δὲ τὴν ἐκ μόνης πτωτικῆς χωρὶς ῥήματος αὐτοτελῆ διάνοιαν ξιφορραῖ ὅλως οὐκ ἔχω. οὐδὲ γὰρ ἀληθὲς τὸ μὴ πάντως ὁμοιοπτώτῳ εἶτ' οὖν ταυτοπροσώπῳ κατάτινας αὐτῷ συμφέρεσθαι ῥήματι. τοῖς γὰρ δευτέροις ὡς εἴρηται τῶν ῥημάτων προτάττοις, καὶ ὅλως ταυτοπροσωπικῷ ῥήματι καὶ τὴν δι' ἀεὶ καὶ αὐτὴ συμφερομένην, καθ' ἑαυτὴν οὐκ ἂν ἀπαρτίσοι διάνοιαν, (τὴν οὐκ ἐκ μιᾶς, οὐκ δὲ δυοῖν τοῦ λάχιστον λέξεων ἀπαρτίζεσθαι πεφυκυῖαν, ὀνόματος ὡς εἴρηται καὶ ῥήματος.) πῶς γάρ; ἢ καὶ κατάτινα τῶν παλαιῶν οὐχὶ λόγος κλιτικὸς, κλῆσις δὲ μόνον ἅπα;

Ὁ δὲ Ἕρμογ, τὸ κλιτικὸν χῆμα μέρος ῥηδήματος εἶναί φησιν. ἀλλὰ γὰρ τοῦ μὲν ῥηδήματος μέρη κῶλά τε εἰσὶ καὶ αὐτὸν καὶ κόμματα, ἡ δὲ κλιτικὴ καθ' ἑαυτὴν μὲν δήλως σωτιθεῖσα διάνοιαν. πῶς γάρ; δίχα γ' ὡς εἴρηται ῥήματος, ἔχει ἂν δὴ; πολὺ δεῖ ῥηδήματος μέρος γενέσθαι, ἢ μηδὲ κῶλον, ἢ κόμμα τυγχάνουσα. Διασταλτέον δὲ καὶ τῶν ἐπιμεριζομένων πτωτικῶν τὰ ἄρθρικά. οἷον, τῶν ἀνῶν οἱ μὲν εἰσὶν Ἕλληνες, οἱ δὲ, βάρβαροι. ἢ οἱ μὲν, δικαιοπραγοῦσιν, οἱ δὲ, ἀδικοῦσιν. αὐτοὶ διέπτησαν, οἱ μὲν, ἀπ' αὐτολῶν, οἱ δὲ, ἀπὸ δυσμῶν. μὴν γὰρ διαστελόμενα τὰ τοιαῦτα τῶν ἄρθρων, ῥημάτων ἔσονται καὶ ἄλλως ἀπτώτων προηγητικὰ, πτωτικῶν προηχεῖσθαι πεφυκότα. Τὰ δὲ κατ' ὄνομα ἀναπαύοντα τὴν διάνοιαν. οἷον, ὁ φαρμακὸς, ὁ λοιμός. εἰ γὰρ αἰακὸς, ἢ ῥαδαμάνθης, ἢ μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ αὐτερμολόγος, περίτριμμα ἀγορᾶς, γραμματεύς, οὐκ ἂν αὐτὸν οἶμαι ταῦτ' εἰπεῖν. τὰ δὴ τοιαῦτα τῇ ὑποδιαστολῇ μᾶλλον ἢ τῇ στιγμῇ οἶμαι διαστελτέον, ὡς μὴ κόμματα, ὡς εἴρηται, ὄντα, ὥς ἐστιν ἡ διαστολὴ τὸ θέτε ἁμὴ ἁπλῶς διανοίας ἔσα περιτομή. Περὶ δὴ Κώλων τε καὶ Κομμάτων καὶ Περιόδου καὶ Ἀπαγγελίας, καὶ ὅλως περὶ Ῥηδήματος καὶ τῆς τότε Διαστολῆς, εἰμὴ ἀποχρώντως εἴρηται, εἰδ' ὅπ, ἀλλὰ ζητητέον, καὶ τῶν σὺ αἷς ἀπολελοίπασι πραγματείας περὶ τούτων διειλημμένων τὰ λεγόμενα ἐπισκεπτέον, ἐφ' ὅσον ἂν ἡ καὶ περὶ τούτων διακεινβεῦντας, ὡς ἂν ἔχοιμεν καὶ λόγον δίζειν τε γράφοντες καὶ διαστέλλειν ἀπαγγέλλοντες τὰ σωτεταγμένα. γραμματικῆ δὲ καὶ ἡ περὶ τὰ τοιαῦτα θεωρία. Ἔοικε δὲ καὶ τοῖς πρότερον παλαίπωρον εἶναι καὶ μὴ ῥᾴδιον τὰ τοιαῦτα διακεινβώσασθαι. ὁπότε οἱ μὲν αὐτῶν ἂν ἐαυτοῖς καὶ ἀλλήλοις συμφωνὰ περὶ τῶν φθέγ-

των φθέγγονται, οἱ δὲ, ῥημάτων ὥσπερεὶ φειδόμενοι, οὐδέν τι σαφὲς εἰπεῖν ἀποδιδόασιν, εἰσὶ δὲ οἱ καὶ πόῤῥω τοῦ ὀρθοῦ ἀποπλανῶνται. Αὐτίκα καὶ γὰρ ὁ τὴν διαστολὴν διανοίας ὁλοκλήρου περιτομὴν εἶναι ὑπογραψάμενος Βαρῖνος, τὰ ληθοῦς διαμαρτάνων ἐλέγχεται. εἴγε κατὰ Θεόδωρον καὶ ἀτελοῦς καὶ μέσης ἐστί. καὶ οὐδὲ διανοίας ἁπλῶς, ἀλλὰ τῆς συνθέτου. εἴγε κατὰ Θεόδωρον κώλων τε καὶ κομμάτων ἐστὶν ἡ διαστολή, ὧν ἑκάτερον σύνθεσίς ἐστιν, ὡς εἴρηται, διανοίας καθ' Ἑρμογένην. ἄλλως τε καὶ τῶν ὑποκειμένων ὅρων ἕκαστος ὁλόκληρον παρίστησι διανοίαν. τὸ γὰρ ζῷον φέρε, οὐσίαν, ἔμψυχον, αἰσθητικὴν, μεταβατικὴν δηλοῖ, οὐ μὴν ἐν τῷ ζῷον περιπατεῖ, διαστέλλεται τὸ ὑποκείμενον τοῦ κατηγορουμένου. ὅτι οὐ σύνθετος ἡ τούτου διανοία ἐξ ἐνεργείας ἢ πάθους. διὰ τὸν αὐτὸν δὲ λόγον οὐδὲ ἡ ἐν τοῖς ὁρισμοῖς τῶν πολλῶν ὅρων ἀνθ' ἑνὸς συμπλοκή. Τὸ κῶλον δὲ πάλιν ἀπηρτισμένην εἰπὼν εἶναι διανοίαν Ἑρμογένης, εἶθ' ὥσπερ ἐπιλαθόμενος, ὑποσυνάπτει προσεχῶς δικώλους καὶ τρικώλους καὶ τετρακώλους περιόδους. ὧν τὰ κῶλα οὐκ ἔστι τοῦ ἐντελοῦς ἀπαρτιστικὰ, ὡς τοιούτοις μορίοις συνδεσμούμενα, ἃ κατ' αὐτὸν πάλιν τοῦτον ἑτέρας ἐννοίας ὄντα ἐφελκυστικὰ, οὐ δύναται στῆσαι ἐφ' ἑαυτῆς τὴν πρώτην διανοίαν, ὡς ἐπὶ ταύτης τῆς τετρακώλου. ἐν μὲν γὰρ τῷ γράψαι μηδένα εἶναι ἀτελῆ, τοὺς ἔχοντας ἀφείλετο τὴν ἀτέλειαν, ἐν δὲ τῷ προσγράψαι μηδὲ τὸ λοιπὸν ἐξεῖναι δοῦναι, τὸ δοῦναι ἡμῖν ἐξεῖναι. οὕτως ἑαυτοῖς τε διαμάχονται, οὐδὲν ὅ, τι καὶ ὑγιὲς λέγοντες, καὶ ἀλλήλοις. κατὰ γὰρ τὸν Θεόδωρον λέγοντα, ἔστι μὲν οὖ, τὰ τῆς διανοίας συναποτελούμενα, λήγει τοῖς κώλοις, ἔστι δ' οὗ, ἀτελῶς ἔχει, τῷ τῶν κώλων ἀπαρτισμῷ μὴ συναποτελούμενα, δῆλον ὡς οὐ πάντως

ἀπηρτισμένη ἐστὶ τὸ κῶλον διανοία, ἀλλὰ σύνθεσις ἁπλῶς διανοίας, ὡς καὶ τὸ κόμμα, ὡς εἴρηται, ἤτοι τελείας, ἢ ἀτελοῦς ἢ μέσης. Ὅθεν οὐδὲ ἐν τῷ, ἀλλ' ὁ τὴν εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ τὸ, καὶ τὸ, καὶ τὸ, ποιῶν, πότερον ἠδίκει, ἢ οὔ; οὐδ' ἐν τούτῳ φημὶ τῷ πνεύματι ὡς Ἑρμογένης οἴεται, καθ' ἕκαστον πρᾶγμα τὸ κῶλον συναπαρτίζεται, ὡς λειπόμενον τῆς τοῦ ῥήματος ἀποδόσεως, τῆς διανοίας κατ' αὐτὸν μὴ πληρουμένης μηδὲ ἱσταμένης καθ' ἑκάστην συμπλοκήν. Καὶ ὁ τὸ κῶλον δὲ μέρος εἰπὼν εἶναι περιόδου, ἠγνόησεν, ὅτι πᾶν κῶλον ἐν τοῖς πολυκώλοις εἴτ' οὖν συνδεδεμένοις τῶν λόγων, πνεύματος μὲν ἂν εἴη μέρος, περιόδου δ' οὐ πᾶν. καθ' ὅ, τι οὐ πᾶν ὡς εἴρηται πνεῦμα, τὸ αὐτὸ καὶ περίοδος. Ὁ δ' αὖ πάλιν Θεόδωρος μέσως ἀπαγγέλλεσθαι βούλεται τῶν κομμάτων μόνα τὰ κώλων τε καὶ τοῦ ἐντελοῦς ἀπαρτιστικὰ, τὰ δηλονότι κατὰ τὴν τῶν συλλαβῶν ποσότητα, ἐντελοῦς διανοίας κώλῳ ἐγγίζοντα, εἴτ' οὖν συνεξισούμενα, καὶ ὡς εἰπεῖν μακρὰ μὲν κόμματα, μικρὰ δὲ κῶλα κατὰ τὸν Ἀριστοτέλην βιβλ. γ', τῶν ῥητορ. τί δ' οὐχὶ καὶ αὐτὰ ἐντελῶς, ᾗ τοῦ ἐντελοῦς εἰσιν ἀπαρτιστικὰ, ἀλλὰ μέσως; κῶλα γάρ τοι καὶ αὐτὰ, ᾗ κώλων εἰσὶν ἀπαρτιστικὰ, καὶ οὐδὲν ἧττον ἢ τὰ ἐντελῆ τῶν κώλων συναποτελούμενα σφίσιν αὐτοῖς ἔχει τὰ περὶ τὴν ἔννοιαν. Ἄλλως τε ἐπεὶ κατὰ μὲν Θεόδωρον καὶ Ἀριστλ', τῶν κομμάτων τὰ μακρὰ, εἴτ' οὖν τὰ ὑπὲρ τὰς ε', συλλαβὰς ἐκτεταμένα, κῶλα ἀλλ' οὐ κόμματά ἐστι. κατὰ δὲ Ἑρμογένην τῶν κώλων τὰ βραχέα, εἴτ' οὖν τὰ ὑποκάτω τῶν η', συνεσταλμένα, οὐ κῶλα, κόμματα δὲ καλεῖν ἄμεινον. οἷον, οὐκ ἐκβησόμεθα; οὐκ ἔξοιμεν; ἔσονται ἄρα κατ' αὐτοὺς κῶλα μὲν τὰ κόμματα, κόμματα δὲ τὰ κῶλα, μᾶλλον δὲ τὰ αὐτὰ καὶ κῶλα καὶ κόμματα,

κόμματα, καὶ ὁμοῦ πάντα χρήματα. τῶν δὲ κομμάτων τὰ κώλων μὲν οὐ, μόνου δὲ τοῦ ἐντελοῦς ἀπαρτιστικὰ πῶς ἀποδοτέον, Θεόδωρε; φημὶ δὴ τὰ τῷ μέτρῳ τῶν συλλαβῶν πάμπαν ἀφεστηκότα τῶν κώλων; ταῦτα δὴ τὰ ἀπὸ ἡσσόνων ἢ δ', συλλαβῶν συνιστάμενα, καὶ τὴν διάνοιαν κἀπὶ δυοῖν συλλαβῶν ἀπαρτίζοντα; ὡς ἔχει τὸ πνέω, ζῶ, οἶδα, καὶ τὰ τοιαῦτα. ἆρ' ἀτελῶς; ἀλλ' οὐκ ἔχει ἀτελῶς. ἆρα τελείως; ἀλλ' οὐκ εἰσὶ κατὰ σὲ κῶλα. ἆρα μέσως; ἀλλ' οὐ καὶ κώλων εἰσὶ κατὰ σὲ ἀπαρτιστικά. ἆρ' οὐδ' ὁπωσοῦν; ἀλλὰ κατὰ σὲ πάλιν φθεγγομένους τε διακριτέον, ἵνα ᾖ συμφανεστέρα ἡ διάνοια, καὶ γράφοντάς τι στικτέον. πῶς δὲ καὶ τῶν τοῦ ἐντελοῦς ἀπαρτιστικῶν κώλων τε καὶ κομμάτων τὰ ὁπωσοῦν συνημμένα ἀπαγγελτέον, τὰ διὰ τὴν συνάφειαν ἐκπίπτοντα, οὗπερ ἰδίᾳ τε καὶ καθ' ἑαυτὰ ηὐμοίρησεν ἐντελοῦς; ὧν γὰρ προκεχείρισαι κομμάτων, κώλου μέν ἐστιν ἑκάτερον ἰδίᾳ ἀπαρτιστικόν πως, τοῦ δὲ ἐντελοῦς οὐδέτερον, ᾗ συνδέδεται. ὁρᾷς τὴν ἐκ τῆς βραχυλογίας ἀσάφειαν, τοῖς ἀκριβολογουμένοις φωρᾶσαι τοῦ λόγου τὴν ἔννοιαν ὅσα παρέχει τὰ πράγματα; Ἐῶ λέγειν ὡς τὸ περὶ τῆς τῶν κώλων τε καὶ κομμάτων διδάσκειν διαστολῆς, μὴ προεκθέμενον ὁποῖόν τί ποτέ ἐστι τούτων ἑκάτερον, κρούειν ἐστὶ τὴν λύραν πρὸς ὄνον. οὐδὲ γὰρ, ὡς καὶ ἄλλα πολλὰ, οὕτω τοι καὶ ταῦτα συγκεχυμένως προσῆκε λαβεῖν. καθ' ὅ, τι τῶν μὲν συγεχυμένως εἰλημμένων ἡ εὐκρινὴς γνῶσις οὐδέν τι πλέον ἡμῖν εἰς τὸ παρὸν ξυμβαλεῖται. τῆς δὲ τῶν κώλων τε καὶ κομμάτων ἐπὶ τῇ τούτων διαστολῇ ἀγνοουμένης, ἢ εἰς ἑτέραν θεωρίαν ὑπερτιθεμένης, ἔσται ἡμῖν ὁ γραμματικὸς, οὐδὲν ἀλλ' ἢ μήτε φθεγγόμενος, μήτε γράφων τοσύνολον, καὶ ἔψευσται ὁ τὴν γραμματικὴν ὁρισάμενος, ὅτι ἐστὶ τέχνη, καταγινομένη περὶ τὸν προφορικὸν λόγον. οὗ ὀκτὼ τὰ μέρη, τέλος ἔχουσα τὸ ὀρθῶς λέγειν καὶ γράφειν. πῶς γὰρ ἂν ἀπαγγείλοι ὅλως, ἢ γράψοι, μὴ εἰδὼς τὴν καθ' ἑκάτερα τούτων διαστολὴν, ὁποία τίς ἐστιν; Ἀλλὰ γὰρ οὐ μόνον ἀπαγγέλλοντας, διασταλτέον τὰ ἀπαγγελλόμενα, ἀλλὰ

Καὶ στίζειν δὲ, γράφοντας κατὰ τὰς εἰρημένας

Τρεῖς

Διαφορὰς, τὸ μὲν Τέλειον

Τῆς διανοίας στικτέον,

Ἐφεξῆς

Τῶν γραφομένων

Ἐν τῷ μέσῳ

Τῆς λευκῆς γραμμῆς.

Τὸ δ' Ἀτελὲς, παρεκκλίνοντας πρὸς τὸ κάτω, τὸ δὲ Μέσον, παρεκκλίνοντας πρὸς τὸ ἄνω.

Ὁ δὲ θεῖος Χρυσόστομος ἐν τῇ ά, πρὸς κορινθ', τινὲς, εἰπὼν, οὕτως ἀναγινώσκουσι, τὸν οὕτω τοῦτο κατεργασάμενον, ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χοῦ, καὶ ὑποστίξαντες ἐνταῦθα, ἢ μέσην θέντες, οὕτως ἐπάγουσι τὸ ἑξῆς. δῆλός ἐστι στίζειν βουλόμενος ἐφεξῆς ἐν τῷ μέσῳ οὐχὶ τὸ τέλειον τῆς διανοίας, ἀλλὰ τὸ ἡμιτελὲς, μᾶλλον δ' ἀτελές. τοῦ δὲ μέσου εἴτ' οὖν ἀτελοῦς ἐν τῷ μέσῳ στιζομένου κατ' αὐτὸν, ἢ ὑποστιζομένου, λείπεται τὸ τέλειον παρεκκλίνοντας πρὸς τὸ ἄνω, στίζειν. καθάπερ κἂν ταῖς νεωτέραις τῶν ἐκδόσεων ὁρῶμεν. βέλτιον ὅμως τοῖς τοῦ Θεοδώρου στείχειν, ὡς προύργου περὶ στιγμῆς πραγματευομένου, τοῦ Χρυσοστόμου κατὰ παρεκβολὴν

Ἡ Γραμματικὴ Διαιρεῖται. Εἰς

- Ἀνάγνωσιν, ἡ εἰς
  - Ὑπόκρισιν. ἥ ἐστι διάθεσις πιθανὴ φωνῆς τε καὶ σχήματος.
  - Προσῳδίαν. ἥ ἐστι ποιὰ τάσις φωνῆς ἐγγραμμάτου πρὸς αἰ φωνίαν τοῦ ὅλου λόγου.
    - Εἰς τόνους. οἵ εἰσι ποιὰ τάσις συλλαβῶν, αἰ φωνίαν ἔχουσα.
      - Ὀξεῖα, ἐπίτασις. ἧς τόποι.
        - λήγουσα, οὖσα
          - βραχεῖα μὲν, ἀεί.
          - μακρὰ δὲ, οὐκ ἀεί.
        - παραλήγουσα, οὖσα.
          - ἢ αὐτή τε βραχεῖα καὶ ἡ λήγουσα. λόγος.
          - ἢ αὐτή τε μακρὰ καὶ ἡ λήγουσα, ἥρως.
          - ἢ αὐτὴ μὲν, βραχεῖα, ἡ δὲ λήγουσα μακρά. ἔρως.
        - προπαραλήγουσα. ὧν μὴ ἡ λήγουσα μακρὰ οὖσα, κωλύοι.
      - Βαρεῖα, ἄνεσις. ἧς τόποι, πᾶσα ὀξυτονουμένη λήγουσα, ὁμαλῶς ἀναγινωσκομένη.
      - Περισπωμένη, μεσότης. ἧς τόποι
        - ἡ λήγουσα οὖσα
          - βραχεῖα μὲν, οὐδέποτε.
          - μακρὰ δὲ
            - ἐκ μὲν συναιρέσεως, ἀεί, πλὴν τῶν ἑτέρᾳ πτώσει ὁμοφωνούντων. σαπφόα, σαπφώ.
            - ἄλλως δὲ φύσει, οὐκ ἀεί.
        - ἡ παραλήγουσα ὅταν αὐτή τε ᾖ φύσει μακρὰ καὶ ἡ λήγουσα φύσει βραχεῖα.
    - Εἰς Χρόνους. οἵ εἰσι φωνήεντος
      - ἔκτασις,
      - ἢ συστολή
      - ὧν τόποι, τῶν φωνηέντων τὰ δίχρονα παρὰ τοῖς ποιηταῖς.
    - Εἰς Πνεύματα. ἅ εἰσι ποιότης φυλακτικὴ, ἢ τρεπτικὴ συμφώνων
      - ἤτοι εἰς δασὺ
      - ἢ εἰς ψιλόν
      - ὧν τόποι, τὰ κατάρχοντα τῶν λέξεων φωνήεντα.
    - Εἰς πάθη. ἅ εἰσι ποιότης φωνῆς πεπονθείας.
      - ἤτοι δι' ἀφαίρεσιν φωνήεντος. ἢ φωνηέντων, τοῦτ' ἔστι. βούλομ' ἐγώ.
      - ἢ δὲ σύνθεσιν δυοῖν λέξεων φύσει διῃρημένων. δημοσθένης.
      - ἢ δι' ὑποδιαστολὴν δυοῖν λέξεων, εἴτ' οὖν διαίρεσιν φύσει συνημμένων. καθ' ὅ, τι, δι' ὅ, τι.
  - Διαστολὴν, ἧς
    - Ἡ μὲν, τελεία, ἔνθα τὰ περὶ τὴν ἔννοιαν συναποτελούμενα λήγει τοῖς κώλοις.
    - Ἡ δὲ, Ἀτελὴς, ἔνθα ἀτελῶς πάμπαν ἔχει ἡ ἔννοια.
    - Ἡ δὲ, Μέση, ἔνθα μέσως.
- Ἐξήγησιν.
- Κρίσιν.
- καὶ Διόρθωσιν.
  - Περὶ Λέξιν.
    - Κανόνες μὲν
      - κατὰ παράδοσιν, τῶν ἀρκτικῶν καὶ τελικῶν τὰ πολλά.
      - κατὰ ἐτυμολογίαν
        - κατὰ τροπὴν φωνήεντος.
          - ἐν σχήματι
            - ἢ ἁπλῷ,
            - ἢ συνθέτῳ,
            - καὶ
              - τετραχῶς μὲν, ἡ τροπὴ
                - ἢ τὸ βραχὺ εἰς βραχύ.
                - ἢ τὸ ἀνάπαλιν.
                - ἢ τὸ μακρὸν εἰς μακρόν.
                - ἢ τὸ ἀνάπαλιν.
              - τετραχῶς δὲ καὶ ἡ σύνθεσις
                - ἐκ δυοῖν τελείων.
                - ἐκ δυοῖν ἀπολειπομένων.
                - ἐξ ἀπολείποντος καὶ τελείου.
                - ἐκ τελείου καὶ ἀπολείποντος.
          - ἐν εἴδει, εἴτ' οὖν παραγωγῇ, λέγω, λόγος. λείβω, λοιβὴ, ἀμείβω, ἀμοιβή.
          - ἐν κλίσει, θέωνι μὲν τῷ μεγάλῳ. μέμνονι δὲ τῷ μικρῷ, ἄμφω δὲ τῷ ῑ. ὅτι πᾶσα δοτικὴ τῷ ῑ, ἤτοι ἐκφωνουμένῳ, ἢ μὴ, ἀλλ' ἐν διφθόγγῳ. ὡς ἐπὶ τῶν ἰσοσυλλάβων. πέρσῃ, καλῷ. ἔτυψα τῷ ῡ. ὅτι τύπτω. ἔμεινα, ὅτι ἀπὸ τοῦ μένω, διφθογγοῦσθαι ταύτῃ συμβαίνει.
        - κατὰ πάθος εἴτ' οὖν συναίρεσιν. φθοῖς τῇ διφθόγγῳ. ὅτι τοῦ φθοῖς τὸ ο, καὶ ῑ, συνῄρηται.
      - κατὰ ἀναλογίαν. τὸ ταχεῖα τῇ ε, διφθόγγῳ, ὅτι καὶ τὸ βραδεῖα. ὡς γὰρ ἀπὸ τοῦ ταχέως ταχεῖα, οὕτω καὶ ἀπὸ τοῦ βραδέος βραδεῖα.
      - κατὰ συστοιχίαν, ὡς τὸ δίκαιος τῇ αι, οὕτω καὶ τὸ δικαία, καὶ δίκαιον, καὶ δικαιοσύνη, καὶ δικαιοῦν.
      - κατὰ διάλεκτον, τὸ ἡμεῖς ἦτα γραπτέον. ὅτι ἄμμες οἱ δωριοῖς λέγουσι. καὶ τὸ μύρμηξ, ὅτι μύρμαξ. πόλεως. μενέλαος τῷ ω, κατὰ τοὺς ἀττικούς.
    - Εἴδη δὲ
      - σύνταξις. τῶν πρὸς ἄλληλα συμπλεκομένων συμφώνων τὰ μὲν, κατὰ σύλληψιν, τὰ δὲ, κατὰ διάστασιν. καὶ ὅτι πᾶν σύμφωνον μεταξὺ ὂν δυοῖν φωνηέντοιν τῷ β, συλλαβιστέον.
      - ποιότης, ἐν τῷ ἔμπορος πότερον τῶν συμφώνων ἐστὶ γραπτέον, τὸ μ, ἢ τὸ ν. καὶ τῷ ἰσμαὴλ, τὸ ζ, ἢ τὸ σ.
      - ποσότης. τὸ νεῖκος πότερον τῷ ῑ, ἢ τῷ ει, γραπτέον;
  - Περὶ Λόγον. περὶ οὗ ἐν τῷ Δ, βιβλίῳ.

παρεκβολὴν ταύτης ἐπιμνησθέντος. Στιγμῇ μὲν οὖν μιᾷ καὶ τῇ αὐτῇ στικτέον κατὰ τὰς εἰρημένας τρεῖς θέσεις, εἰ καὶ ἡμῖν τὰ τῆς τυπογραφίας ἔθιμα μετασκευάσασθαι τὸ τοῦ καιροῦ κατεπεῖγον οὐκ ἐπέτρεψε, τοῦ ἐπικειμένου πολέμου πάντα δεύτερα τῆς ἰδίας ψυχῆς τίθεσθαι ἀναπείθοντος. τῇ γὰρ λεγομένῃ ὑποδιαστολῇ, φημὶ δὴ τῷ μηνίσκῳ οὐκ ἐπὶ τῇ τῶν κώλων τε καὶ κομμάτων διαστολῇ, ἐν δὲ δύοιν τινῶν λέξεων διαιρέσει περὶ σύστασιν ἀμφιβαλλομένων χρηστέον. ὡς ἐπὶ τοῦ ἔστι, νάξιος. καὶ ἔστιν, ἄξιος. καὶ τοῦ ὅ, σοι. καὶ τοῦ ἔστιν, οὖς. ἢ ἔστι, νοῦς. καὶ τῶν ὁμοίων. οἱ δὲ πλείους τῶν τριῶν ἐκτιθέμενοι θέσεων, αὐτοὶ ἂν εἰδοῖεν μόνοι καὶ τὴν τῶν συντεταγμένων καθ' ἑκάστην αὐτῶν ἀπαγγελίαν. ἀμήχανον γὰρ ἄλλην τινὰ θέσιν παρὰ τὰς εἰρημένας τρεῖς ὑποθέσθαι. Ἀλλὰ γὰρ αἱ στιγμαὶ τῶν γραμμάτων τοῖς παισί φασι, κεῖνται, ὁ δὲ μείζονος ἐπιστήμης ἔμπειρος, ἐξ ἑτέρων καὶ οὐκ ἐξ αὐτῶν τὰ ἀπ' αὐτῶν πληροῖ. τοῦγε μὴν θείου χρυσοστόμου ὁμλ'. α', εἰς τὸ κατὰ Ἰωάν. λέγοντος τὴν κατὰ τὸ ἀπαγγέλλειν περιέργειαν περιττὴν εἶναι, καὶ σοφιστῶν ἀξίαν, μᾶλλον δὲ οὐδὲ σοφιστῶν, ἀλλὰ μειρακίων ἀνοήτων, περιέργειαν ληπτέον οὐ τὴν διαστολὴν τῶν λεγομένων. αὕτη γὰρ οὐ περιττή. ἀλλ', ὡς αὐτός φησι, τὴν τούτων καλλιέπειαν καὶ τῶν ῥημάτων τε καὶ ὀνομάτων τὸ κεκοσμημένον.

Καὶ περὶ μὲν κλίσεως,

Ἐπίλογός ἐστιν οἱονεὶ τῶν δ', βιβλίων καὶ ἀνακεφαλαίωσις, ἢ ἐπάνοδος.

Καὶ σχηματισμοῦ, καὶ διαιρέσεως, καὶ ὀνομασίας, καὶ προσῳδίας, καὶ ὀρθογραφίας, καὶ χρόνου,

Οὐχὶ τοῦ τὴν κατὰ τὸ πρότερόν τε καὶ ὕστερον ἀριθμοῦντος κίνησιν, τοῦ δὲ ἐκτείνοντος, ἢ συστέλλοντος τὸ φωνῆεν.

Καὶ συντάξεως τῶν γραμματικῶν, καὶ ὅλως περὶ βαρβαρισμοῦ καὶ σολοικισμοῦ, ἔστω δὴ εἰρημένον ἀποχρώντως, ὡς ἐν εἰσαγωγῇ.

Εἰσαγωγή ἐστι, δι' οὗτις εἰς ἕτερόν τι ὁδηγούμενος, εἰσάγεται, ἧς οὐκ ἄνευ. ἤτοι τὸ μέσον τε καὶ ὀργανικὸν αἴτιον, δι' οὗτις τοῦ τελικοῦ αἰτίου ἐπιλαμβάνεται. ἕτερον ἄρα εἰσαγωγὴ, καὶ ἄλλο, οὗ ἐστιν εἰσαγωγή, ὥσπερ καὶ τὸ μέσον, ἕτερον τοῦ τέλους. καὶ τὸ ἕνεκά του, τοῦ οὗ ἕνεκα. οἷον, ὁ μὲν σκέπαρνός ἐστιν ἕνεκά του. ἕνεκα γὰρ τῆς τεκτονικῆς ἐπινενόηται. ἡ δὲ τεκτονικὴ, ἧς ἕνεκα ὁ σκέπαρνος. τούτων οὕτως ἐχόντων, εἴη ἂν εἰσαγωγὴ τὰ μὲν πρότερα τρία βιβλία, τοῦ δ'. εἴ γ' ὡς ἐν τοῖς προοιμίοις ἐλέγετο, τῶν ἐν τῷ δ', ἕνεκα πραγματεύεται, ὁ περὶ τῶν ἐν τοῖς τρισὶ διασκεπτόμενος. τὸ δὲ δ', οὔτε, ὡς ἄν τις οἰηθείη, τῶν ἐπιπλέοντε καὶ ἀκριβέστερον ῥηθησομένων, οὔτε τοῦ μετὰ ταῦτα ὅπως δεῖ ἐρωτηματίζειν. εἴ γ' οὐδέτερον τούτων τελικόν ἐστι τῶν εἰρημένων. μᾶλλον δὲ καὶ τούτων ἑκάτερον, ὡς οὐδενὸς ἀλλ' ἢ περὶ ὧν ἀποχρώντως εἴρηται, ῥηθησόμενον ὁπωσδήποτε, τοῦ αὐτοῦ ἂν εἴη εἰσαγωγὸν, οὗπερ καὶ τὰ εἰρημένα. οὐδετέρου τοίνυν τούτων, ἀλλ' οὗπερ ἕνεκα λέλεκται ὅπως τὰ τοῦ λόγου μέρη ἀλλήλοις ὀρθῶς συντάσσεται. τοῦτο δέ ἐστιν ὁ ὡς, εἴρηται, ἐκ τῆς τῶν τοῦ λόγου μερῶν συντάξεως ἀποτελούμενος λόγος. τοῦ κατὰ συνταξιν ἄρα λόγου ἐστὶν εἰσαγωγὴ ἡ γραμματικὴ θεωρία. κατὰ δὲ τοὺς περὶ Φίλωνα τὸν ἰουδαῖον καὶ τῆς τῶν λόγων ἀναπτύξεως. ἣν δὴ ἀνάπτυξιν ἔσχατόν τε καὶ τελεώτατον τέλος τῆς γραμματικῆς οἱ περὶ τὸν εἰρημένον Φίλωνα τίθεντο,

καθ' ἣν

καθ' ἣν δὴ ἔννοιαν εἴη ἂν ἡ περὶ, ἐν τῷ, ἐκ τούτων τε καὶ περὶ τούτων ἡ γραμματικὴ θεωρία καὶ μέθοδος, οὐ τὸ ὡς εἴρηται ὑποκείμενον, ἀλλὰ μᾶλλον τὸ τελικὸν αἰτιολογοῦσα. Εἴη δ' ἂν καὶ πρὸς φιφίαν εἰσαγωγὸς ἡ γραμματικὴ, προπαίδευμα φιφίας αὐτὴν εἰπόντος τοῦ Φίλωνος, τοῦ δὲ Ἀμμωνίου ἐν τῷ εἰς τὰς ε', φωνὰς ὑπομνήμ, καὶ τρίτον εἶδος τῆς φιφίας, μετὰ τὸ θεωρητικὸν λέγω καὶ πρακτικόν. Ἀλλὰ γὰρ τὴν διττὴν ταύτην ἐκδοχὴν ἐπὶ τῆς κατὰ τὸ προοίμιον εἰσαγωγῆς ληπτέον, ὧδε δὲ, ἐπεὶ τὰ ἐπιπλέον ῥηθησόμενα, πρὸς τὰ ὡς ἐν εἰσαγωγῇ εἰρημένα ἀντιδιεστάλθαι δοκεῖ, τοῖς δὲ ἐπιπλέον τὰ ἐπ' ἔλαττον ἀντιδιῄρηται, παρέπεται δὲ τοῖς μὲν ἐπιπλέον, τὸ ἀνεπτυγμένον ἐν μακρολογίᾳ, τοῖς δὲ ἐπέλαττον, τὸ συνεπτυγμένον τε καὶ ἐπιτετμημένον τῆς φράσεως, δῆλον ὅτι τὸ ὡς ἐν εἰσαγωγῇ, ἀντὶ τοῦ ὡς ἐν ἐπιτόμῳ καὶ συνεπτυγμένως εἴληπται. ἐπάγει γὰρ ἑξῆς

Τὸ γὰρ ἐπιπλέον καὶ ἀκριβέστερον περὶ τούτων εἰπεῖν, ἥκιστ' ἂν τῆς παρούσης εἴη προθέσεως.

Ὅτι δὲ τὸ ὡς ἐν εἰσαγωγῇ τὸ διὰ βραχέων βούλεται, δηλοῖ καὶ ὁ Πορφύριος ἐν τῇ περὶ τῶν πέντε καθόλου φωνῶν εἰσαγωγικῇ πραγματείᾳ, εἰπὼν πειράσομαι διὰ βραχέων ὥσπερ ἐν εἰσαγωγῆς τρόπῳ τὰ παρὰ τοῖς πρεσβυτέροις ἐπελθεῖν. Τοῦ μὲν οὖν ἐπιπλέον, πρὸς τὸ ἐν εἰσαγωγῇ ἀντιστοιχοῦντος ὡς εἴρηται, τοῦ δὲ ἀκριβέστερον πρὸς τὸ ἀποχρώτως, δῆλον ὡς τὸ ἀποχρώντως, ἀντὶ τοῦ ἀκριβῶς, οὐμὴν ἀντὶ τοῦ συγκεχυμένως εἴληπται. εἴγε τὸ ἀκριβέστερον, πρὸς τὸ ἀκριβὲς ἀντιδιέσταλται, οὐ πρὸς τὸ συγκεχυμένον. Συγκεχυμένως γὰρ εἰλῆφθαι λέγεται, ὧν πρωτόντε καὶ ἁπλῶς ἡμῖν ἐνυπάρχει ἐκ τῆς αἰσθήσεως νόημα. οἷον, τὸ ζῷον φέρε, καθ' ὃ φανὲν τὸ τοιοῦτο γνωρίζομεν. τῶν δὲ τοιούτων τὴν μορφὴν καὶ τὸν τύπον ἐκ τοῦ πολλάκις ἔξωθεν φανῆναι προεναποκείμενον σχόντες, κατὰ πρόληψιν εἰδέναι ταῦτα ἀναφανέντα λεγόμεθα, οὐ πάνυ τοι ἀνομοίως τῷ συγκεχυμένως. ἀκριβῶς δὲ, ὧν καὶ λόγον ἔχομεν, τὸν τὸ τί ἦν εἶναι τούτων παραδηλοῦντα. Ἀκριβέστερον δὲ, ὧν μετὰ τὴν ἀκριβῆ κατανόησιν πλείους ἐπεισάγει καὶ λεπτοτέρας τὰς θεωρίας ἡ κατ' αὐτὰ διαίρεσις κατὰ τὴν λεγομένην ἐπίνοιαν. καὶ διαφόρους ἀκολούθως τὰς σημαντικὰς τῶν νοηθέντων προσηγορίας. Ἄγε δὴ, ὦ δαιμόνιε, τίποτε τῶν περὶ τῶν προκειμένων εἰρημένων οὐκ ἀκριβεστάτην ἔσχε σοι τὴν διαίτησιν; ἆρα τὰ τῶν ὁρισμῶν; καὶ μὴν ἕκαστος τούτων τὴν οἰκείαν ἀρετὴν ἀποφέρεται, συμπαρεκτεινόμενός τε καὶ ἀντιστρέφων πρὸς τὸ ὁριστὸν, ἤτοι ἀντικατηγορούμενος αὐτῷ. σαφεστάτῃ τε γὰρ τῇ ἑρμηνείᾳ, ὡς ἐνδέχεται, ἐχρήσω, μηθὲν μήτε καθ' ὁμωνυμίαν μήτε κατὰ μεταφορὰν, ἢ παρὰ τὸ εἰωθὸς εἰρηκὼς, καὶ ἐπιπλεῖεν ἢ ἔλλαττον τοῦ δέοντος οὐδένα τῶν λόγων ἀπέδου, μηθὲν μήτε μάταιον ἢ περίεργον εἰρηκὼς, μήτε μὴν κατὰ ἀδολεσχίαν πλεονάκις περίτινων τὸ αὐτὸ κατηγορήσας. οὐμὴν ἀλλὰ καὶ διὰ τῶν προτέρων τε καὶ τῶν ἁπλῶς γνωριμωτέρων πεποιηκὼς τοὺς ὁρισμοὺς, ὅ ἐστι διὰ τοῦ γένους καὶ τῶν ἀντιδιαιρουμένων καὶ εἰδοποιῶν διαφορῶν, οὐδὲν ἀλλ' ἢ αὐτὸ τὸ τί ἦν εἶναι τῷ ὁριζομένῳ ὁρισάμενος εἴρηκας. τοῦ δὲ μὴ διαψευδομένου τοὔνομα ὁρισμοῦ ἡ ἀκρίβεια τὴν ἐσχάτην ἐμφαίνουσα τελειότητα, ἐπιτάσεώς ἐστιν ἀπαράδεκτος. Εἴησαν γὰρ ἂν, εἴπερ, πλείους τοῦ αὐτοῦ ὁρισμοὶ, ἢ δύω τοὐλάχιστον, ὁ μὲν, ἀκριβὴς, ὁ δὲ, ἀκριβέστερος, ὅ ἐστι βελτίων. εἴη δ' ἂν οὕτω καὶ τῷ ὁριζομένῳ τὸ εἶναι ταὐτὸν, ὅπερ καθ' ἑκάτερον

κάτερον τῶν ὁρισμῶν δηλοῦται. ἕτεροι δὲ οἱ ὁρισμοὶ, ἕτερα ἄρα καὶ τὰ τῷ ὁριζομένῳ εἶναι καὶ οὐ ταὐτὰ, καὶ ἁπλῶς διάφοροι τοῦ αὐτοῦ αἱ οὐσίαι. ἀλλὰ μὴν ἑκάστῳ τῶν ὄντων ἐν ἐστι τὸ εἶναι ὅπερ ἐστιν, οὐδὲ ὁρισμοὶ ἄρα πλείους ἔσονται τοῦ αὐτοῦ, ὡς φησιν Ἀριστλ'. ϛ', τῶν τοπικῶν. Ἐπεὶ, καθάπερ ἐν ταῖς ἐκκλησίαις ὁ ἐπεισφερόμενος νόμος, κἂν ᾖ βελτίων, ἀναιρεῖ τὸν ἔμπροσθεν, οὕτω καὶ τῶν ὁρισμῶν ὁ ἐπιφερόμενος, ἐὰν φαίνηται βελτίων, καὶ μᾶλλον δηλῶν τὸ ὁριζόμενον, δῆλον ὅτι ἀνῃρηκὼς ἔσται τὸν κείμενον. ἐπεὶ οὐκ ἐνδέχεται, ὡς εἴρηται, τοῦ αὐτοῦ πλείους εἶναι ὁρισμούς. ἢ γὰρ οὐχὶ ταὐτὰ καὶ τῷ Φίφῳ ἀποδέδοται περί τε ὁμωνύμων καὶ συνωνύμων, περί τε στοιχείων καὶ τῆς τῶν αἰτίων τετρακτύος, καὶ αὐτῶν μικροῦ δεῖν ἁπλῶς τῶν πρός τι; Περὶ δὲ τῶν ἐμψύχων τοῦ λόγου μερῶν οὐχὶ μᾶλλον τὰ ἀποδεδομένα σοι τυγχάνει ἐπιπλέοντε καὶ ἀκριβέστερα, τοῦ μὲν Φίφου στενολόγως εἰπόντος φωνὴν σημαντικὴν, τὸ μὲν ὄνομα ἄνευ χρόνου, τὸ δὲ ῥῆμα μετὰ χρόνου, (καθ' ὃν εἴη ἂν καὶ τῶν ἐπιρρημάτων τὰ μὲν χρονικὰ, ῥήματα, ὀνόματα δὲ τὰ παρὰ ταῦτα,) σοῦ δὲ προσθέντος ἔνθα μὲν, τὸ πτωτικὸν, ἔνθα δὲ, τήν τε τῶν προσώπων διάκρισιν καὶ τὸ τοῦ χρόνου προσσημαντικὸν καὶ τὸ ποιὸν τοῦ σχηματισμοῦ; Ἢ τὰ μὲν τῶν ὁρισμῶν κατώρθωται, τὰ δὲ τῆς διαιρέσεως οὐ διηκρίβωται; ἆρ' οὐχὶ, ὑπεξαιρουμένης τῆς κατὰ τὴν Ἀντωνυμίαν, ὡς διημαρτημένης μᾶλλον ἢ ἀκριβοῦς, (ὁ γὰρ λόγος σοι τῶν ἀκριβῶς εἰρημένων εἰπεῖν ἀκριβέστερον.) τῶν ὁρισθέντων ἕκαστον εἰς προσεχῆτε καὶ ἀντιδιαιρούμενα εἴδη διῄρηται, ὑποδιαιρεθέντα μέχρι τῶν εἰδικωτάτων αὐτῶν, τινὰ δὲ καὶ ἐπιδιῄρηται, κατὰ ταὐτὰ τῇ ὑποδιαιρέσει τὴν ἐνοῦσαν σύγχυσιν διασχούσης τῆς ἐπιδιαιρέσεως; Ἢ καὶ ταῦτα μὲν τῆς οἰκείας ἀρετῆς οὐκ ἠστόχη-

σε, τῇ δὲ τῶν ὁρισθέντων τε καὶ διαιρεθέντων ποιᾷ συντάξει τε καὶ ὀρθογραφίᾳ, ὡς αὐτὸς φῄς, προσδεῖ τινος ἀκριβεστέρας διασκέψεως; ἆρ' οὐχὶ καὶ περὶ τούτων εἴρηταί σοι τὸ ὀρθὸν, τῆς μὲν ὀρθογραφίας πρότερον, τῆς δὲ τοῦ λόγου συντάξεως ᾧδε, ἔνθα περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ τεθεώρηταί σοι τὸ ὀρθόν τε καὶ μή; τοῦ δὲ ὀρθοῦ, ὥσπερ δὴ καὶ τοῦ ἴσου τὴν φύσει ἐνοῦσαν ἀκρότητα τίς τῶν ὀρθὰ φρονούντων ἐπιτείνειν καταθρασύνοιτο; τίς γὰρ τῶν πώποτε ἢ τὸ ὀρθὸν τῆς γωνίας, ἢ τὸ εὐθὲς τῆς γραμμῆς ἐπιπλέον ἠκρίβωσε, τὰ δι' ἣν ἔχει ἄκραν τελειότητα, τοῦ μᾶλλον ὄντα ἀνεπίδεκτα; Περὶ δ' αὖ ὀνομασίας οὐχὶ τῶν ὀνομάτων τὰ μὲν μὴ ὑπάρχοντα, οἰκείως ἔθου, τοῖς δὲ κειμένοις ὀρθῶς ἐχρήσω πρὸς τὸ κατὰ γένος τε καὶ εἶδος σημαινόμενον, τῆς πρὸς τὸ καθ' ἕκαστον ὀνομασίας τὴν ἀπειρίαν ἐκκλίνας καὶ τὸ ἀόριστον, πῶς δ' ἂν καὶ σχοίης ἀκριβέστερον ὀνομάσαι τὸ ποιὸν ἢ τῶν κατὰ τὸ ῥῆμα τόπων, (οἳ κανόνος ἔχοντες τάξιν, οὔτε πρόσθεσιν οὔτε ἀφαίρεσιν δέχονται. ἐπεὶ τὸ κανόνες εἶναι ἀπολύουσιν.) ἢ τῆς κατ' αὐτὸ διαθέσεώς τε καὶ τῆς κατ' εἴδη τὰ πῇ τε καὶ ἁπλῶς συντάξεως; ἢ τῆς κατὰ τὴν πρόθεσιν πρὸ τῶν τοῦ λόγου μερῶν προθέσεως, ἢ τῆς τῶν ἐπιρρημάτων ἐκ τῶν κατ' εἶδος σημαινομένων παρωνυμίας; ἢ τῶν ἀντωνυμιῶν τὰς ἐνδείξει, ἢ ἀναφορᾷ ἀντονομαζούσας τὰ πρόσωπα; ἢ τῶν ὀνομάτων τά τε ἀπολύτως καὶ τὰ πρὸς ἕτερον κατ' εἶδος θεωρούμενα, ἢ καὶ τὰ ἑκάστῳ τῶν τοῦ λόγου μερῶν παρεπόμενα; ἤπου σοι καὶ τῶν μερῶν αὐτῶν ἕκαστον μετονομασθήσεται εἰς τὸ, ὡς αὐτὸς φῄς, ἀκριβέστερον δηλονότι, καὶ ἔσται τὸ μὲν πτωτικὸν σημαντικὸν ἄνευ χρόνου μέρος, ἕτερον ὀνομαζόμενον ἢ ὄνομα, ἄλλο τι δ' αὖ ἢ ῥῆμα τὸ προσώπων τε διακριτικὸν καὶ χρόνων προσσημαντικόν, τῶν δ' αὖ ὀνο-

μάτων ἄλλα τε καὶ δὴ καὶ τὰ πρὸς ἕτερον ἀεὶ θεωρούμενα, ἣν ἐν τῇ κοινῇ τῶν φίφων ἀκαδημίᾳ ἐν τῷ μακρῷ ἀνέμαθε χρόνῳ, μεταμαθόντα προσηγορίαν, ἀλλοίαν τινὰ παρὰ σοὶ μεταλήψεται. ὡς τολμηρόν σου, ἵν' οὕτως εἴπω, τὸ φιλότιμον. Ὑπολείπεταί σοι ἄρα περὶ τῶν συγκεχυμένως καὶ οἱονεὶ κατὰ πρόληψιν εἰλημμένων εἰπεῖν ἀκριβέστερον, φημὶ δὴ γένους, εἴδους, προσώπου, διαθέσεως, χρόνου, οὐσίας πρώτης τε καὶ δευτέρας, καὶ ἁπλῶς τῶν ἐμφερομένων τοῖς ὁρισμοῖς. (ἔτι μὴ τῆς κατὰ τὴν προσῳδίαν ποιᾶς τάσεως. περὶ ἧς οὐ συγκεχυμένως, ἀλλ' ἀκριβῶς σοι εἴρηται, ὅτι ἐστὶν ἐπίτασις, ἢ ἄνεσις, ἢ μεσότης συλλαβῶν, εὐφωνίαν ἔχουσα.) ἀλλ', ὦ μακάριε, τὸ μὲν ἁ, ἡ εὐκρινὴς τούτων γνῶσις, ὡς καὶ αὐτὸς ἔφησθα, οὐδὲν ἡμῖν εἰς τὴν προκειμένην ξυμβαλεῖται πραγματείαν. Εἶτα, περὶ τούτων εἰπόντα, οὐ περὶ ὧν εἶπες, ἐστὶν εἰπεῖν, ἀλλὰ περὶ ἑτέρων. εἴγ' οὐχὶ, ὥσπερ ὁ εἰπὼν εἴτι οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατικὴ, εἶπε τί ἐστι ζῷον, οὕτω καὶ ὁ εἰπὼν, εἴτι πρόσωπόν τε καὶ χρόνος καὶ διάθεσις, εἶπε τί ἐστι ῥῆμα. ἐπεὶ οὐχ, ὥσπερ εἴτι οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατικὴ, τοῦτο ζῷον, οὕτω καὶ εἴτι πρόσωπόν τε καὶ χρόνος καὶ διάθεσις, τοῦτο ῥῆμα, ἀλλ' εἴτι τούτων διακριτικόν. οὔτε μὴν, εἴτι πρώτη τε καὶ β', οὐσία, τοῦτο ὄνομα, ἀλλ' εἴτι τούτων σημαντικόν. οὐδὲ εἴτι γένος ἢ εἶδος, τοῦτο καὶ γενικὸν, ἢ ἰδικὸν ὄνομα. Οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν μὴ ἀκριβῶς ἀλλὰ συγκεχυμένως εἰλημμένων εἰπόντα, ἁπλῶς ἐστιν εἰπεῖν, οὐ μὴν ἀκριβέστερον. Πῶς γὰρ; τῆς ἀκριβεστέρας διασκέψεως οὐ πρὸς τὴν συγκεχυμένην πρὸς δὲ τὴν ἀκριβῆ παρεξεταζομένης; Οἰηθείη δ' ἄν τις λοιπὸν περὶ αἰτιολογίας τῶν προκειμένων ὑπολελεῖφθαί σοι τὴν ἀκριβεστέραν διάσκεψιν. Ἀλλὰ γὰρ ἑνὸς ἑκάστου τῶν μερῶν τῆς μὲν κατ' εἶδός τε καὶ γένος πρὸς ἄλληλα, ἢ καίτινων πρὸς ἑαυτὰ ποιᾶς συμπλοκῆς αἰτίαν οὐ δὲ μίαν ἐστὶ λαβῶν, ἀλλ' ἢ τῇ μὲν, τὸ πεφυκὸς τῆς ἑκάστου δυνάμεως, ὡς δὲ ἁπλῶς εἰπεῖν, τὸ κοινῇ ὁμόλογον. τῆς δὲ ὀρθογραφίας τῇ μὲν, τὴν παράδοσιν. τῇ δὲ, τὴν ἐτυμολογίαν. τῇ δὲ, τὴν ἀναλογίαν. τῇ δὲ, τὴν συστοιχίαν. τῇ δὲ, τὴν διάλεκτον. ἃ δὴ εἰς κανόνα ἀνακεφαλαιούμενα, τὸ κοινῇ ὁμόλογον οὐδ' αὐτὰ διαπέφευγε. τοῦτο δὲ ἀξιώματος λόγον ἔχον, ἥκιστ' ἂν αἰτίας εἴη ἀποδεικτικῆς ἐπιδεὲς, αὐτὸ μᾶλλον ἀρχὴ ὂν ἀποδεικτικὴ τῶν καθ' ἕκαστα. οἷόν τι λέγω, πρὸς τὸν ἐρωτήσαντα, τί ὅτι τὸ διδάσκαλος φέρε, ἢ τὸ διδάσκω πλαγίαν ὅλως ἀπαιτεῖ; ἀπαντῶμεν, δι' ὅ, τι μεταβατικῆς εἴτ' οὖν σχετικῆς πέφυκε δυνάμεως. ὥσπερ ἐκ τοῦ ἐναντίου τὸ ζῶ, πρὸς οὐδεμίαν. δι' ὅ, τι ἀμεταβάτου τε καὶ ἀσχέτου. ἐρωτήσαντος δ' αὖ, τί δ' ὅτι αἰτιατικὴν ἀπαιτεῖ; ἀπαντήσομεν προσεχῶς μὲν, δι' ὅ, τί ἐστι τῶν διαθετικῶν, πόῤῥω δὲ, δι' ὅ, τί ἐστι τῶν ἐπὶ ψυχήν τε καὶ ἦθος ἀναγομένων. πορρώτερον δὲ, δι' ὅ, τί ἐστι τῶν κατ' ἐκπομπὴν, εἴτ' οὖν ἐνεργητικῶν. εἰ δὲ καὶ τρίτον ἐποίσει, τί δαὶ τὰ ἐνεργητικὰ αἰτιατικῇ συντέτακται; ἐροῦμεν ὡς οὕτως ἠξίωσαν οἱ τὰ τῆς κοινῆς διαλέκτου διαθέμενοι. Πάλιν, τί ὅτι ἐν μέσῳ λέξεως τῶν συμφώνων τὰ μὲν, συνείληπται ἀλλήλοις, τὰ δὲ, ἀλλήλων διέστηκε; δι' ὅ, τι καὶ κατ' ἀρχὴν λέξεως τὰ μὲν, τὰ δ', οὐ πέφυκεν ἀλλήλοις συντάσσεσθαι. πάλιν, τί ὅτι τὸ ταχεῖα φέρε διφθογγογραφεῖται; δι' ὅ, τί ἐστι τῶν ἀπὸ τῶν εἰς ἔος, εἰς εἶα. τί δαὶ τὰ τοιαῦτα διφθογγογραφεῖται; δι' ὅ, τι ἀνάλογον ἔχει τὴν παραγωγήν. τί δαὶ τὰ ἀνάλογα ταυτογραφεῖται; δι' ὅ, τί εἰσιν αὐτὸ τοῦτο ἀνάλογα. οὕτω γὰρ ἠξίωσαν οἱ ἐτυμολόγοι.

μολόγοι. οὐκ ἔστι δὲ κἀπὶ τῆς ἀξιώσεως, ἢ τοῦ πεφυκότος τὸ δι' ὅ, τι ἐπιζητῆσαι. θετέον δὲ μᾶλλον ἑκάτερα, ὡς αὐτόθεν ἔχοντα τὸ πιστὸν, τῆς ἐπ' ἄπειρον ἀφισταμένους συζητήσεως. Ἔτι, τί ὅτι τῶν μορίων τὰ μὲν, ἀδιαφόρως τὰς συνδέσεις ποιοῦνται πρὸς τὰ καθ' ὁ, τιοῦν τῶν παρεπομένων διάφορα, τὰ δὲ, οὐκ ἀδιαφορεῖ, ἐν δὲ δεούσῃ ἀκολουθίᾳ τούτοις ἐπιπλέκεται; δι' ὅ, τι τὰ μὲν, εἰς κοινὰς θέσεις ἀναμεμέρισται, τοῖς δὲ, μηθὲν ἐπισυμβέβηκε τὸ τὴν διάκρισιν δυνάμενον φανερῶς ποιεῖσθαι. τί δαὶ ἐν τῷ, ἡμεῖς τύπτομεν αὐτὸν, τὸ ῥῆμα οὐχὶ ἑκατέροις τοῖς πτωτικοῖς, ἀλλὰ τῷ μὲν, τῷ δ' οὐκ ἀκολουθεῖ κατὰ τὰς κοινῇ προσούσας θέσεις, ἀριθμὸν λέγω καὶ πρόσωπον; δι' ὅ, τι τῷ μὲν, τῷ δ' οὐ ταυτοπροσωπεῖ. Πάλιν, τί ὅτι τὸ μὲν ἔλεγον καταλλήλως συντάσσεται πρώτῳ, ἑνικῷ καὶ γ', πληθυντικῷ, τὸ δὲ θ'ς ἀρσενικῷ τε καὶ θηλυκῷ; δι' ὅ, τι τῶν συμπιπτόντων ἐστὶ τὰ μὲν, κατὰ πρόσωπον καὶ ἀριθμὸν, τὰ δὲ, κατὰ γένος. τὰ δὲ τοιαῦτα ὁμόλογόν ἐστί φησιν, ἀφίστασθαι τοῦ ἀκαταλλήλου διὰ τὴν συνέμπτωσιν. ὁρᾷς, ὡς ὁ ἐγκείμενος λόγος, αὐτόθεν ἔχων τὸ ὁμόλογον, ἀξιώματός τε δύναμιν ἔχει, καὶ δι' ὅ, τι οὐ παραδέχεται ἕτερον; Ὡς μὲν οὖν ὅλως τῶν περὶ τῶν προκειμένων εἰρημένων ἀκριβέστερον οὐκ ἔστιν εἰπεῖν, ἐκ τῶν νυνὶ ἐξητασμένων, οἶμαι, ὁμόλογον. ἐῶ λέγειν ὡς ὁ τῶν ὀρθῶς εἰρημένων ὀρθότερον εἰπεῖν ἐνστησάμενος, οὐ μᾶλλον ἀκριβέστερον, ἢ μετριώτερόν τε καὶ καταδεέστερον ἔσται ἐρῶν. εἴγε ἡ κατὰ τὸ ὀρθότερον ἀκρίβεια, πλεῖστον ὅσον καὶ αὐτῆς τῆς κατὰ τὸ ὀρθὸν ἀπολείπεται, ὡς ἐν τοῖς συγκριτικοῖς τῶν ὀνομάτων τὰ κατ' αὐτὴν διηκρίβωται. Ὡς δὲ πάλιν, δοθέντος τυχὸν τοῦ τοιούτου, οὐ μᾶλλον ἑτέρας ἔσται προθέσεως τὰ ῥηθησόμενα, ἢ ἧς ἐστι καὶ τὰ εἰρημένα, ἐντεῦθεν ἂν εἴη δῆλον. Τὸ μᾶλλον καὶ ἧττον, καὶ ὅλως τὰ τῆς παραθέσεως οὐχὶ κατ' ἄλλην καὶ ἄλλην, κατὰ δὲ τὴν αὐτὴν τυγχάνει ποιότητα λαμβανόμενα. παραληροίη γὰρ ἂν ὁ παρατιθεὶς γωνίαν πρὸς γωνίαν, τὴν μὲν, κατὰ τὴν ἀμβλύτητα, τὴν δὲ, κατὰ τὴν ὀξύτητα καὶ μὴ κατὰ ταὐτὰ ἑκατέρας, ἢ τοῖχον πρὸς τοῖχον, τὸν μὲν, κατὰ λευκότητα, τὸν δὲ, κατὰ μελανίαν, καὶ μὴ καθ' ἑτέραν ἑκατέρους. καὶ ἡ τῶν εἰρημένων τε ἄρα καὶ περὶ τῶν αὐτῶν ῥηθησομένων ἀκρίβεια, κατὰ τὴν αὐτὴν ἔσται πρόθεσιν, εἴτ' οὖν θεωρίαν, τῶν μὲν, μᾶλλον, τῶν δὲ, ἧττον ἀκρίβεια. ἡ γὰρ παράθεσις, ὡς ἐπὶ τῶν ὁμοίων πεφυκυῖα λαμβάνεσθαι, οὐκ εἰς τὴν ἐναντίαν τάξιν μεθίστησι τὰ παρατιθέμενα, ἀλλ' εἰς τὴν αὐτὴν συντηρεῖ, ὑπεροχὴν μόνον καὶ ὕφεσιν τούτων ἐμφαίνουσα. Καὶ γὰρ οὐδὲ αὐτὸ τὸ ἐπιπροσθεῖναί τι τοῖς εἰρημένοις τυχὸν, (ὃ βούλεται τὸ ἐπιπλέον εἰπεῖν) μεταβολήτις ἐστιν ἢ ἐκ τοῦ χείρονος πρὸς τὸ βέλτιον, (ὃ δηλοῖ τὸ ἀκριβέστερον εἰπεῖν.) ἢ ἐξ ἑτέρου εἴδους πρὸς ἄλλο.) ὃ δηλοῖ τὸ μὴ τῆς παρούσης εἶναι μεθόδου.) ἀλλὰ συμπλήρωσις τοῦ λείποντος κατὰ τὴν προσθήκην τῆς ἕξεως. ἐπεὶ καὶ τὸ αὐξανόμενον σπέρμα, μεῖζον μὲν ἐκ μικροῦ γίγνεται, τ' αὐτὸ δέ ἐστιν ἑαυτῷ, οὐ κατ' εἶδος μεταβαλλόμενον, ἀλλὰ κατὰ αὔξησιν. Ἀλλὰ γὰρ οὐδὲ ἐπιπροσθεῖναί τι τοῖς εἰρημένοις ἐνδέχεται. εἴγε ἡ μὲν πρόθεσις τοῦ λείποντός ἐστιν, ὡς εἴρηται, συμπλήρωσις, τὰ δὲ εἰρημένα οὐδένος λείπει, τὸ πρόσφορον σχόντα τέλος, ὡς ἐν τοῖς προοιμίοις εἴρηται. δοθὲν δὲ ἑτέρας εἶναι θεωρίας τὰ ῥηθησόμενα, οὔτε περὶ τῶν προκειμένων αὐτῶν ἐστιν εἰπεῖν, οὔτε ἀκριβέστερον, ἀλλὰ περὶ ἑτέρων τε καὶ ἁπλῶς. πρόθεσιν γὰρ ἐν ταῦθα ληπτέον οὐχ ὁρμήν τινα ψυχικὴν, εἴτ' οὖν βούλησιν, ἀριθμῷ μόνῳ τῆς παρούσης διαλλάττουσαν, ἀλλὰ θεωρίαν,

εἰδοποιῷ

εἰδοποιῷ ποιότητι τῆς προκειμένης ἀντιδιαιρουμένην. εἴγε τὰς ὑπερθέσεις εἴτ' οὖν ἀναβολὰς ὁ Θεόδωρος εἰς Θεωρίας μᾶλλον ἑτέρας, ἢ προθέσεως ποιούμενος ὡς ἁπλῶς εἰπεῖν φαίνεται ἔν τε τῇ κατὰ τὰ ἄρθρα συνθήκῃ τοῦ λόγου, καὶ ἐν τῇ κατὰ τὸν χρόνον θεωρίᾳ καὶ ἐν ταῖς κτητικαῖς τῶν ἐν τῷ δευτέρῳ βιβλ. ἀντωνυμιῶν. ἔνθα περὶ τοῦ κατὰ τὴν τῶν διαλέκτων διαφορὰν παραχηματισμοῦ αὐτῶν διορίσασθαι, οὐ τῇ παρούσῃ προθέσει οἰκεῖον εἶναι εἰπὼν, τὴν πρόθεσιν εἰς θεωρίαν ἑξῆς μετέλαβεν ἐν τῷ τρίτῳ, περὶ συλλαβῆς, θεωρίας ἑτέρας εἰπὼν εἶναι καὶ τὸ περὶ τοῦ κατὰ τὴν συλλαβὴν κοινοῦ χρόνου εἰπεῖν, τοῦ καὶ, ὑπονοεῖν διδόντος, ὅτι ὥσπερ τὸ περὶ τοῦ κατὰ τὰς διαλέκτους παραχηματισμοῦ τῶν ἀντωνυμιῶν διορίσασθαι, οὕτως ἑτέρας ἂν εἴη θεωρίας καὶ τὸ περὶ τοῦ κατὰ τὴν συλλαβὴν κοινοῦ χρόνου εἰπεῖν, ὥσπερ δὴ καὶ τὸ ἐν τῷ τετάρτῳ περὶ τῶν κατὰ τὰ στοιχεῖα παθῶν εἰπεῖν. ὁμόλογον γὰρ ὅτι τά τε κατὰ τὰ στοιχεῖα πάθη, καὶ τοῦ κατὰ τὴν συλλαβὴν κοινοῦ χρόνου τὸ τριττὸν, καὶ ὁ τῶν ἀντωνυμιῶν κατὰ τὴν τῶν διαλέκτων διαφορὰν παραχηματισμὸς, τῆς αὐτῆς τυγχάνει πραγματείας. ἥτις μέτροις τε καὶ πάθεσι πρὸς τὴν προκειμένην ἀπαθῆ τε καὶ πεζὴν ἀντιδιαιρουμένη, δῆλον ὅτι ἑτέρα ἐστὶ τῷ εἴδει.

Μετὰ ταῦτα δὲ, ὅπως δεῖ ἐρωτηματίζειν, κατὰ τὴν ἐκτεθεῖσαν τήνδε ἡμῖν μέθοδον, λέγομεν.

Τοῦτο παρέξεται ἀπὸ τοῦ ἡ, κεφ. τῶν τοπικῶν τοῦ φίφου, εἰπόντος ἐν ἀρχῇ, μετὰ ταῦτα δὲ περὶ τάξεως, καὶ πῶς δεῖ ἐρωτᾶν λεκτέον. Τὸ δὲ ἐρωτηματίζειν ἕτερόν τι οἰητέον, ἢ τὸ ἐπιπλέον τε καὶ ἀκριβέστερον εἰπεῖν. εἴγε τὸ μὲν, ἑτέρας, τὸ δὲ ἐρωτηματίζειν τῆς δέ φησι τῆς μεθόδου τυγχάνει. Μέθοδος δέ ἐστιν ὡς ἐν τύπῳ εἰπεῖν, εὕρεσις τῶν ζητουμένων ἐκ τῶν ὁμολογουμένων, μετά τινος ὁδοῦ καὶ τάξεως ἀπὸ τούτων εἰς ἐκεῖνα προϊοῦσα, ἢ φυσικῆς, ὡς ἐπὶ τῶν ἐπιστημῶν, ἢ θετικῆς, ὡς ἐπὶ τῶν τεχνῶν. Ἢ κατά τινας, ἕξις ὁδοποιητικὴ μετὰ λόγου, ἢ μετὰ ὁδοῦ τινος εὔτακτος πρόσβασις ἐπὶ τὸ ζητούμενον. οἷον, ζητεῖται, εἰ τῶν ῥημάτων τὸ ἐπαινῶ τυχὸν αἰτιατικῇ συντάσσεται. ἐπὶ τούτου δὴ τὴν εὕρεσιν ἀπὸ τῶν ὁμολογουμένων συλλογιστικῇ τινι τάξει μεθοδεύοντες τὸν λόγον, οὑτωσὶ χωροῦμεν, ὁμόλογον ὡς τὰ ἐπιδεικτικὰ αἰτιατικῇ συντάσσεται, τὸ δὲ ἐπαινῶ ὁμολόγως ἐπιδεικτικόν ἐστι (ληπτέον γάρ τι κἀπὶ τοῦ ζητουμένου ὁμόλογον, ὡς ἂν δι' ἐκείνου εὑρεθῇ τὸ ζητούμενον.) ἄρα. κἀπὶ τῶν πτωτικῶν δέ τοι ὡσαύτως. θετέον ἄρα καὶ τὰ ἐν τῇ γραμματικῇ παραδεδομένα οὐχ ἧττον ἢ τοὺς γεωμετρικοὺς ὅρους, ἵνα ἔχωμεν ἐξ αὐτῶν ἐπιλύειν τε τῶν ἐν τῷ συντακτικῷ λόγῳ τὰ ἀπορούμενα, καὶ ἀποδεικνύειν τὰ ἀμφιβαλλόμενα. Ἐρωτᾶν μὲν οὖν βούλονται, καὶ αἱ περιφερόμεναί τινων πραγματεῖαι, περὶ γεμὴν τοῦ ὅπως δεῖ κατὰ γραμματικὴν ἐρωτᾶν, ὅπερ ὑπέσχετο μὲν ἐκθήσειν ὁ Θεόδωρος, ἐφθάκει δ', ὡς ἔοικε, προαναρπασθεὶς τῷ θανάτῳ, οὐδεὶς αὐτῶν ἐπραγματεύσατο. φαίνεται δὲ τὸ Ἐρωτηματίζειν εἴτ' οὖν διαλέγεσθαι οὐχ ἁπλοῦν, πολλαπλοῦν δέ τι εἴτ' οὖν πολυειδὲς καὶ πολύτροπον ὄν. τὸ μὲν γὰρ αὐτοῦ, ἐστὶ Πρόβλημα, ἡ δὲ, Πρότασις. καὶ Πρόβλημα μέν ἐστι, θεώρημα εἴτ' οὖν ζήτημα περὶ τῶν μὴ τοῖς πᾶσιν, ἢ τοῖς πλείστοις φανερῶν, συντεῖνον ἤτοι πρὸς ἀλήθειαν καὶ γνῶσιν μόνον. οἷον, πότερον ὁ κόσμος ἀΐδιος, ἢ οὔ; ἢ καὶ πρὸς τὸ ἑλέσθαι ἢ φυγεῖν, οἷον, πότερον ἡ ἡδονὴ αἱρετὸν, ἢ οὔ; Πρότασις δέ ἐστιν ἐρώτησις ἔνδοξος, ὅ ἐστι περὶ ἐνδόξων. ἔνδοξα δέ

κάτερον τῶν ὁρισμῶν δηλοῦται. ἕτεροι δὲ οἱ ὁρισμοὶ, ἕτερα ἄρα καὶ τὰ τῷ ὁριζομένῳ εἶναι καὶ οὐ ταὐτὰ, καὶ ἁπλῶς διάφοροι τοῦ αὐτοῦ αἱ οὐσίαι. ἀλλὰ μὴν ἑκάστῳ τῶν ὄντων ἓν ἐστι τὸ εἶναι ὅπερ ἐστιν, οὐδὲ ὁρισμοὶ ἄρα πλείους ἔσονται τοῦ αὐτοῦ, ὡς φησιν Ἀριστλ'. ς', τῶν τοπικῶν. Ἐπεὶ, καθάπερ ἐν ταῖς ἐκκλησίαις ὁ ἐπεισφερόμενος νόμος, κἂν ᾖ βελτίων, ἀναιρεῖ τὸν ἔμπροσθεν, οὕτω καὶ τῶν ὁρισμῶν ὁ ἐπιφερόμενος, ἐὰν φαίνηται βελτίων, καὶ μᾶλλον δηλῶν τὸ ὁριζόμενον, δῆλον ὅτι ἀνῃρηκὼς ἔσται τὸν κείμενον. ἐπεὶ οὐκ ἐνδέχεται, ὡς εἴρηται, τοῦ αὐτοῦ πλείους εἶναι ὁρισμούς. ἢ γὰρ οὐχὶ ταὐτὰ καὶ τῷ Φίφῳ ἀποδέδοται περί τε ὁμωνύμων καὶ συνωνύμων, περί τε στοιχείων καὶ τῆς τῶν αἰτίων τετρακτύος, καὶ αὐτῶν μικροῦ δεῖν ἁπλῶς τῶν πρός τι; Περὶ δὲ τῶν ἐμψύχων τοῦ λόγου μερῶν οὐχὶ μᾶλλον τὰ ἀποδεδομένα σοι τυγχάνει ἐπιπλέοντε καὶ ἀκριβέστερα, τοῦ μὲν Φίφου στενολόγως εἰπόντος φωνὴν σημαντικὴν, τὸ μὲν ὄνομα ἄνευ χρόνου, τὸ δὲ ῥῆμα μετὰ χρόνου, (καθ' ὃν εἴη ἂν καὶ τῶν ἐπιρρημάτων τὰ μὲν χρονικὰ, ῥήματα, ὀνόματα δὲ τὰ παρὰ ταῦτα,) σοῦ δὲ προσθέντος ἔνθα μὲν, τὸ πτωτικὸν, ἔνθα δὲ, τήν τε τῶν προσώπων διάκρισιν καὶ τὸ τοῦ χρόνου προσσημαντικὸν καὶ τὸ ποιὸν τοῦ σχηματισμοῦ; Ἢ τὰ μὲν τῶν ὁρισμῶν κατώρθωται, τὰ δὲ τῆς διαιρέσεως οὐ διηκρίβωται; ἆρ' οὐχὶ, ὑπεξαιρουμένης τῆς κατὰ τὴν Ἀντωνυμίαν, ὡς διημαρτημένης μᾶλλον ἢ ἀκριβοῦς, (ὁ γὰρ λόγος σοι τῶν ἀκριβῶς εἰρημένων εἰπεῖν ἀκριβέστερον.) τῶν ὁρισθέντων ἕκαστον εἰς προσεχῆ τε καὶ ἀντιδιαιρούμενα εἴδη διῄρηται, ὑποδιαιρεθέντα μέχρι τῶν εἰδικωτάτων αὐτῶν, τινὰ δὲ καὶ ἐπιδιῄρηται, κατὰ ταὐτὰ τῇ ὑποδιαιρέσει τὴν ἐνοῦσαν σύγχυσιν διαχούσης τῆς ἐπιδιαιρέσεως; Ἢ καὶ ταῦτα μὲν τῆς οἰκείας ἀρετῆς οὐκ ἠστόχησε, τῇ δὲ τῶν ὁρισθέντων τε καὶ διαιρεθέντων ποιᾷ συντάξει τε καὶ ὀρθογραφίᾳ, ὡς αὐτὸς φῄς, προσδεῖ τινος ἀκριβεστέρας διασκέψεως; ἆρ' οὐχὶ καὶ περὶ τούτων εἴρηταί σοι τὸ ὀρθὸν, τῆς μὲν ὀρθογραφίας πρότερον, τῆς δὲ τοῦ λόγου συντάξεως ᾧδε, ἔνθα περὶ ἕκαστα τῶν μερῶν ἰδίᾳ τεθεώρηταί σοι τὸ ὀρθόν τε καὶ μή; τοῦ δὲ ὀρθοῦ, ὥσπερ δὴ καὶ τοῦ ἴσου τὴν φύσει ἐνοῦσαν ἀκρότητα τίς τῶν ὀρθὰ φρονούντων ἐπιτείνειν καταθρασύνοιτο; τίς γὰρ τῶν πώποτε ἢ τὸ ὀρθὸν τῆς γωνίας, ἢ τὸ εὐθὲς τῆς γραμμῆς ἐπιπλέον ἠκρίβωσε, τὰ δι' ἣν ἔχει ἄκραν τελειότητα, τοῦ μᾶλλον ὄντα ἀνεπίδεκτα; Περὶ δ' αὖ ὀνομασίας οὐχὶ τῶν ὀνομάτων τὰ μὲν μὴ ὑπάρχοντα, οἰκείως ἔθου, τοῖς δὲ κειμένοις ὀρθῶς ἐχρήσω πρὸς τὸ κατὰ γένος τε καὶ εἶδος σημαινόμενον, τῆς πρὸς τὸ καθ' ἕκαστον ὀνομασίας τὴν ἀπειρίαν ἐκκλίνας καὶ τὸ ἀόριστον, πῶς δ' ἂν καὶ σχοίης ἀκριβέστερον ὀνομάσαι τὸ ποιὸν ἢ τῶν κατὰ τὸ ῥῆμα τόπων, (οἳ κανόνος ἔχοντες τάξιν, οὔτε πρόθεσιν οὔτε ἀφαίρεσιν δέχονται. ἐπεὶ τὸ κανόνες εἶναι ἀπολύουσιν.) ἢ τῆς κατ' αὐτὸ διαθέσεώς τε καὶ τῆς κατ' εἴδη τὰ πῇ τε καὶ ἁπλῶς συντάξεως; ἢ τῆς κατὰ τὴν πρόθεσιν πρὸ τῶν τοῦ λόγου μερῶν προθέσεως, ἢ τῆς τῶν ἐπιρρημάτων ἐκ τῶν κατ' εἶδος σημαινομένων παρωνυμίας; ἢ τῶν ἀντωνυμιῶν τὰς ἐνδείξει, ἢ ἀναφορᾷ ἀντονομαζούσας τὰ πρόσωπα; ἢ τῶν ὀνομάτων τά τε ἀπολύτως καὶ τὰ πρὸς ἕτερον κατ' εἶδος θεωρούμενα, ἢ καὶ τὰ ἑκάστῳ τῶν τοῦ λόγου μερῶν παρεπόμενα; ἤπου σοι καὶ τῶν μερῶν αὐτῶν ἕκαστον μετονομασθήσεται εἰς τὸ, ὡς αὐτὸς φῄς, ἀκριβέστερον δηλονότι, καὶ ἔσται τὸ μὲν πτωτικὸν σημαντικὸν ἄνευ χρόνου μέρος, ἕτερον ὀνομαζόμενον ἢ ὄνομα, ἄλλο τι δ' αὖ ἢ ῥῆμα τὸ προσώπων τε διακριτικὸν καὶ χρόνων προσσημαντικόν, τῶν δ' αὖ ὀνομάτων

μάτων ἄλλατε καὶ δὴ καὶ τὰ πρὸς ἕτερον ἀεὶ θεωρούμενα, ἣν ἐν τῇ κοινῇ τῶν φίφων ἀκαδημίᾳ ἐν τῷ μακρῷ ἐνέμαθε χρόνῳ, μεταμαθόντα προσηγορίαν, ἀλλοίαν τινὰ παρὰ σοὶ μεταλήψεται. ὡς τολμηρόν σου, ἵν' οὕτως εἴπω, τὸ φιλότιμον. Ὑπολείπεταί σοι ἄρα περὶ τῶν συγκεχυμένως καὶ οἱονεὶ κατὰ πρόληψιν εἰλημμένων εἰπεῖν ἀκριβέστερον, φημὶ δὴ γένους, εἴδους, προσώπου, διαθέσεως, χρόνου, οὐσίας πρώτης τε καὶ δευτέρας, καὶ ἁπλῶς τῶν ἐμφερομένων τοῖς ὁρισμοῖς. (ὅτι μὴ τῆς κατὰ τὴν προσῳδίαν ποιᾶς τάσεως. περὶ ἧς οὐ συγκεχυμένως, ἀλλ' ἀκριβῶς σοι εἴρηται, ὅτι ἐστὶν ἐπίτασις, ἢ ἄνεσις, ἢ μεσότης συλλαβῶν, εὐφωνίαν ἔχουσα.) ἀλλ', ὦ μακάριε, τὸ μὲν ά, ἡ εὐκρινὴς τούτων γνῶσις, ὡς καὶ αὐτὸς ἔφησθα, οὐδὲν ἡμῖν εἰς τὴν προκειμένην ξυμβαλεῖται πραγματείαν. Εἶτα, περὶ τούτων εἰπόντα, οὐ περὶ ὧν εἶπες, ἐστὶν εἰπεῖν, ἀλλὰ περὶ ἑτέρων. εἴγ' οὐχί, ὥσπερ ὁ εἰπὼν εἴτι οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατικὴ, εἶπε τί ἐστι ζῷον, οὕτω καὶ ὁ εἰπὼν, εἴτι πρόσωπόν τε καὶ χρόνος καὶ διάθεσις, εἶπε τί ἐστι ῥῆμα. ἐπεὶ οὐχ, ὥσπερ εἴτι οὐσία ἔμψυχος αἰσθητικὴ μεταβατικὴ, τοῦτο ζῷον, οὕτω καὶ εἴτι πρόσωπόν τε καὶ χρόνος καὶ διάθεσις, τοῦτο ῥῆμα, ἀλλ' εἴτι τούτων διακριτικόν. οὔτε μὴν, εἴτι πρώτη τε καὶ β', οὐσία, τοῦτο ὄνομα, ἀλλ' εἴτι τούτων σημαντικόν. οὐδὲ εἴτι γένος ἢ εἶδος, τοῦτο καὶ γενικὸν, ἢ ἰδικὸν ὄνομα. Οὐ μὴν ἀλλὰ καὶ περὶ τῶν μὴ ἀκριβῶς ἀλλὰ συγκεχυμένως εἰλημμένων εἰπόντα, ἁπλῶς ἐστιν εἰπεῖν, οὐ μὴν ἀκριβέστερον. Πῶς γὰρ; τῆς ἀκριβεστέρας διασκέψεως οὐ πρὸς τὴν συγκεχυμένην πρὸς δὲ τὴν ἀκριβῆ παρεξεταζομένης; Οἰηθείη δ' ἄντις λοιπὸν περὶ αἰτιολογίας τῶν προκειμένων ὑπολελεῖφθαί σοι τὴν ἀκριβεστέραν διάσκεψιν. Ἀλλὰ γὰρ ἑνὸς ἑκάστου τῶν μερῶν τῆς μὲν κατ' εἶδός τε καὶ γένος πρὸς ἄλληλα, ἢ καίτινων πρὸς ἑαυτὰ ποιᾶς συμπλοκῆς αἰτίαν οὐδὲ μίαν ἐστὶ λαβεῖν, ἀλλ' ἢ τῇ μὲν, τὸ πεφυκὸς τῆς ἑκάστου δυνάμεως, ὡς δὲ ἁπλῶς εἰπεῖν, τὸ κοινῇ ὁμόλογον. τῆς δὲ ὀρθογραφίας τῇ μὲν, τὴν παράδοσιν. τῇ δὲ, τὴν ἐτυμολογίαν. τῇ δὲ, τὴν ἀναλογίαν. τῇ δὲ, τὴν συστοιχίαν. τῇ δὲ, τὴν διάλεκτον. ἃ δὴ εἰς κανόνα ἀνακεφαλαιούμενα, τὸ κοινῇ ὁμόλογον οὐδ' αὐτὰ διαπέφευγε. τοῦτο δὲ ἀξιώματος λόγον ἔχον, ἥκιστ' ἂν αἰτίας εἴη ἀποδεικτικῆς ἐπιδεὲς, αὐτὸ μᾶλλον ἀρχὴ ὂν ἀποδεικτικὴ τῶν καθ' ἕκαστα. οἷόν τι λέγω, πρὸς τὸν ἐρωτήσαντα, τί ὅτι τὸ διδάσκαλος φέρε, ἢ τὸ διδάσκω πλαγίαν ὅλως ἀπαιτεῖ; ἀπαντῶμεν, δι' ὅ, τι μεταβατικῆς εἴτ' οὖν σχετικῆς πέφυκε δυνάμεως. ὥσπερ ἐκ τοῦ ἐναντίου τὸ ζῶ, πρὸς οὐδεμίαν. δι' ὅ, τι ἀμεταβάτου τε καὶ ἀσχέτου. ἐρωτήσαντος δ' αὖ, τί δ' ὅτι αἰτιατικὴν ἀπαιτεῖ; ἀπαντήσομεν προσεχῶς μὲν, δι' ὅ, τί ἐστι τῶν διαθετικῶν, πόῤῥω δὲ, δι' ὅ, τί ἐστι τῶν ἐπὶ ψυχήν τε καὶ ἦθος ἀναγομένων. πορρώτερον δὲ, δι' ὅ, τί ἐστι τῶν κατ' ἐκπομπὴν, εἴτ' οὖν ἐνεργητικῶν. εἰ δὲ καὶ τρίτον ἐποίσει, τί δαὶ τὰ ἐνεργητικὰ αἰτιατικῇ συντέτακται; ἐροῦμεν ὡς οὕτως ἠξίωσαν οἱ τὰ τῆς κοινῆς διαλέκτου διαθέμενοι. Πάλιν, τί ὅτι ἐν μέσῳ λέξεως τῶν συμφώνων τὰ μὲν, συνείληπται ἀλλήλοις, τὰ δὲ, ἀλλήλων διέστηκε; δι' ὅ, τι καὶ κατ' ἀρχὴν λέξεως τὰ μὲν, τὰ δ', οὐ πέφυκεν ἀλλήλοις συντάσσεσθαι. πάλιν, τί ὅτι τὸ ταχεῖα φέρε διφθογγογραφεῖται; δι' ὅ, τί ἐστι τῶν ἀπὸ τῶν εἰς ἕος, εἰς εἶα. τί δαὶ τὰ τοιαῦτα διφθογγογραφεῖται; δι' ὅ, τι ἀνάλογον ἔχει τὴν παραγωγήν. τί δαὶ τὰ ἀνάλογα ταυτογραφεῖται; δι' ὅ, τί εἰσιν αὐτὸ τοῦτο ἀνάλογα. οὕτω γὰρ ἠξίωσαν οἱ ἐτυμολόγοι.

μολόγοι. οὐκ ἔστι δὲ κἀπὶ τῆς ἀξιώσεως, ἢ τοῦ πεφυκότος τὸ δι' ὅ, τι ἐπιζητῆσαι. θετέον δὲ μᾶλλον ἑκάτερα, ὡς αὐτόθεν ἔχοντα τὸ πιστὸν, τῆς ἐπ' ἄπειρον ἀφισταμένους συζητήσεως. Ἔτι, τί ὅτι τῶν μορίων τὰ μὲν, ἀδιαφόρως τὰς συνδέσεις ποιοῦνται πρὸς τὰ καθ' ὁ, τιοῦν τῶν παρεπομένων διάφορα, τὰ δὲ, οὐκ ἀδιαφορεῖ, ἐν δὲ δεούσῃ ἀκολουθίᾳ τούτοις ἐπιπλέκεται; δι' ὅ, τι τὰ μὲν, εἰς κοινὰς θέσεις ἀναμεμέρισται, τοῖς δὲ, μηθὲν ἐπισυμβέβηκε τὸ τὴν διάκρισιν δυνάμενον φανερῶς ποιεῖσθαι. τί δαὶ ἐν τῷ, ἡμεῖς τύπτομεν αὐτὸν, τὸ ῥῆμα οὐχὶ ἑκατέροις τοῖς πτωτικοῖς, ἀλλὰ τῷ μὲν, τῷ δ' οὐκ ἀκολουθεῖ κατὰ τὰς κοινῇ προσούσας θέσεις, ἀριθμὸν λέγω καὶ πρόσωπον; δι' ὅ, τι τῷ μὲν, τῷ δ' οὐ ταυτοπροσωπεῖ. Πάλιν, τί ὅτι τὸ μὲν ἔλεγον καταλλήλως συντάσσεται πρώτῳ, ἑνικῷ καὶ γ', πληθυντικῷ, τὸ δὲ θ' ἀρσενικῷ τε καὶ θηλυκῷ; δι' ὅ, τι τῶν συμπιπτόντων ἐστὶ τὰ μὲν, κατὰ πρόσωπον καὶ ἀριθμὸν, τὰ δὲ, κατὰ γένος. τὰ δὲ τοιαῦτα ὁμόλογόν ἐστί φησιν, ἀφίστασθαι τοῦ ἀκαταλλήλου διὰ τὴν συνέμπτωσιν. ὁρᾷς, ὡς ὁ ἐγκείμενος λόγος, αὐτόθεν ἔχων τὸ ὁμόλογον, ἀξιώματός τε δύναμιν ἔχει, καὶ δι' ὅ, τι οὐ παραδέχεται ἕτερον; Ὡς μὲν οὖν ὅλως τῶν περὶ τῶν προκειμένων εἰρημένων ἀκριβέστερον οὐκ ἔστιν εἰπεῖν, ἐκ τῶν νυνὶ ἐξητασμένων, οἶμαι, ὁμόλογον. ἐῶ λέγειν ὡς ὁ τῶν ὀρθῶς εἰρημένων ὀρθότερον εἰπεῖν ἐνστησάμενος, οὐ μᾶλλον ἀκριβέστερον, ἢ μετριώτερόν τε καὶ καταδεέστερον ἔσται ἐρῶν. εἴγε ἡ κατὰ τὸ ὀρθότερον ἀκρίβεια, πλεῖστον ὅσον καὶ αὐτῆς τῆς κατὰ τὸ ὀρθὸν ἀπολείπεται, ὡς ἐν τοῖς συγκριτικοῖς τῶν ὀνομάτων τὰ κατ' αὐτὴν διηκρίβωται. Ὡς δὲ πάλιν, δοθέντος τυχὸν τοῦ τοιούτου, οὐ μᾶλλον ἑτέρας ἔσται προθέσεως τὰ ῥηθησόμενα, ἢ ἧς ἐστι καὶ τὰ εἰρημένα, ἐντεῦθεν ἂν εἴη δῆλον. Τὸ μᾶλλον καὶ ἧττον, καὶ ὅλως τὰ τῆς παραθέσεως οὐχὶ κατ' ἄλλην καὶ ἄλλην, κατὰ δὲ τὴν αὐτὴν τυγχάνει ποιότητα λαμβανόμενα. παραληροίη γὰρ ἂν ὁ παρατιθεὶς γωνίαν πρὸς γωνίαν, τὴν μὲν, κατὰ τὴν ἀμβλύτητα, τὴν δὲ, κατὰ τὴν ὀξύτητα καὶ μὴ κατὰ ταὐτὰ ἑκατέρας, ἢ τοῖχον πρὸς τοῖχον, τὸν μὲν, κατὰ λευκότητα, τὸν δὲ, κατὰ μελανίαν, καὶ μὴ καθ' ἑτέραν ἑκατέρους. καὶ ἡ τῶν εἰρημένων τε ἄρα καὶ περὶ τῶν αὐτῶν ῥηθησομένων ἀκρίβεια, κατὰ τὴν αὐτὴν ἔσται πρόθεσιν, εἴτ' οὖν θεωρίαν, τῶν μὲν, μᾶλλον, τῶν δὲ, ἧττον ἀκρίβεια. ἡ γὰρ παράθεσις, ὡς ἐπὶ τῶν ὁμοίων πεφυκυῖα λαμβάνεσθαι, οὐκ εἰς τὴν ἐναντίαν τάξιν μεθίστησι τὰ παρατιθέμενα, ἀλλ' εἰς τὴν αὐτὴν συντηρεῖ, ὑπεροχὴν μόνον καὶ ὕφεσιν τούτων ἐμφαίνουσα. Καὶ γὰρ οὐδὲ αὐτὸ τὸ ἐπιπροσθεῖναί τι τοῖς εἰρημένοις τυχὸν, (ὃ βούλεται τὸ ἐπιπλέον εἰπεῖν) μεταβολήτίς ἐστιν ἢ ἐκ τοῦ χείρονος πρὸς τὸ βέλτιον, (ὃ δηλοῖ τὸ ἀκριβέστερον εἰπεῖν.) ἢ ἐξ ἑτέρου εἴδους πρὸς ἄλλο.) ὃ δηλοῖ τὸ μὴ τῆς παρούσης εἶναι μεθόδου.) ἀλλὰ συμπλήρωσις τοῦ λείποντος κατὰ τὴν προσθήκην τῆς ἕξεως. ἐπεὶ καὶ τὸ αὐξανόμενον σπέρμα, μεῖζον μὲν ἐκ μικροῦ γίγνεται, τ' αὐτὸ δέ ἐστιν ἑαυτῷ, οὐ κατ' εἶδος μεταβαλλόμενον, ἀλλὰ κατὰ αὔξησιν. Ἀλλὰ γὰρ οὐδὲ ἐπιπροσθεῖναί τι τοῖς εἰρημένοις ἐνδέχεται. εἴγε ἡ μὲν πρόθεσις τοῦ λείποντός ἐστιν, ὡς εἴρηται, συμπλήρωσις, τὰ δὲ εἰρημένα οὐδενὸς λείπει, τὸ πρόσφορον σχόντα τέλος, ὡς ἐν τοῖς προοιμίοις εἴρηται. δοθὲν δὲ ἑτέρας εἶναι θεωρίας τὰ ῥηθησόμενα, οὔτε περὶ τῶν προκειμένων αὐτῶν ἐστιν εἰπεῖν, οὔτε ἀκριβέστερον, ἀλλὰ περὶ ἑτέρων τε καὶ ἁπλῶς. πρόθεσιν γὰρ ἐν ταῦθα ληπτέον οὐχ ὁρμήν τινα ψυχικὴν, εἴτ' οὖν βούλησιν, ἀριθμῷ μόνῳ τῆς παρούσης διαλλάττουσαν, ἀλλὰ θεωρίαν,

εἰδοποιῷ

εἰδοποιῷ ποιότητι τῆς προκειμένης ἀντιδιαιρουμένην. εἴγε τὰς ὑπερθέσεις εἴτ' οὖν ἀναβολὰς ὁ Θεόδωρος εἰς Θεωρίας μᾶλλον ἑτέρας, ἢ προθέσεις ποιούμενος ὡς ἁπλῶς εἰπεῖν φαίνεται ἔν τε τῇ κατὰ τὰ ἄρθρα συνθήκῃ τοῦ λόγου, καὶ ἐν τῇ κατὰ τὸν χρόνον θεωρίᾳ καὶ ἐν ταῖς κτητικαῖς τῶν ἐν τῷ δευτέρῳ βιβλ. ἀντωνυμιῶν. ἔνθα περὶ τοῦ κατὰ τὴν τῶν διαλέκτων διαφορὰν παραχηματισμοῦ αὐτῶν διορίσασθαι, οὐ τῇ παρούσῃ προθέσει οἰκεῖον εἶναι εἰπὼν, τὴν πρόθεσιν εἰς θεωρίαν ἑξῆς μετέλαβεν ἐν τῷ τρίτῳ, περὶ συλλαβῆς, θεωρίας ἑτέρας εἰπὼν εἶναι καὶ τὸ περὶ τοῦ κατὰ τὴν συλλαβὴν κοινοῦ χρόνου εἰπεῖν, τοῦ καὶ, ὑπονοεῖν διδόντος, ὅτι ὥσπερ τὸ περὶ τοῦ κατὰ τὰς διαλέκτους παραχηματισμοῦ τῶν ἀντωνυμιῶν διορίσασθαι, οὕτως ἑτέρας ἂν εἴη θεωρίας καὶ τὸ περὶ τοῦ κατὰ τὴν συλλαβὴν κοινοῦ χρόνου εἰπεῖν, ὥσπερ δὴ καὶ τὸ ἐν τῷ τετάρτῳ περὶ τῶν κατὰ τὰ στοιχεῖα παθῶν εἰπεῖν. ὁμόλογον γὰρ ὅτι τά τε κατὰ τὰ στοιχεῖα πάθη, καὶ τοῦ κατὰ τὴν συλλαβὴν κοινοῦ χρόνου τὸ τριττὸν, καὶ ὁ τῶν ἀντωνυμιῶν κατὰ τὴν τῶν διαλέκτων διαφορὰν παραχηματισμὸς, τῆς αὐτῆς τυγχάνει πραγματείας. ἥτις μέτροις τε καὶ πάθεσι πρὸς τὴν προκειμένην ἀπαθῆ τε καὶ πεζὴν ἀντιδιαιρουμένη, δῆλον ὅτι ἑτέρα ἐστὶ τῷ εἴδει.

Μετὰ ταῦτα δὲ, ὅπως δεῖ ἐρωτηματίζειν, κατὰ τὴν ἐκτεθεῖσαν τήνδε ἡμῖν μέθοδον, λέγομεν.

Τοῦτο παρέξεται ἀπὸ τοῦ ἡ, κεφ. τῶν τοπικῶν τοῦ φίφου, εἰπόντος ἐν ἀρχῇ, μετὰ ταῦτα δὲ περὶ τάξεως, καὶ πῶς δεῖ ἐρωτᾶν λεκτέον. Τὸ δὲ ἐρωτηματίζειν ἕτερόν τι οἰητέον, ἢ τὸ ἐπιπλέον τε καὶ ἀκριβέστερον εἰπεῖν. εἴγε τὸ μὲν, ἑτέρας, τὸ δὲ ἐρωτηματίζειν τῆς δέ φησι τῆς μεθόδου τυγχάνει. Μέθοδος δέ ἐστιν ὡς ἐν τύπῳ εἰπεῖν, εὕρεσις τῶν ζητουμένων ἐκ τῶν ὁμολογουμένων, μετά τινος ὁδοῦ καὶ τάξεως ἀπὸ τούτων εἰς ἐκεῖνα προϊοῦσα, ἢ φυσικῆς, ὡς ἐπὶ τῶν ἐπιστημῶν, ἢ θετικῆς, ὡς ἐπὶ τῶν τεχνῶν. Ἢ κατά τινας, ἕξις ὁδοποιητικὴ μετὰ λόγου, ἢ μετὰ ὁδοῦ τινος εὔτακτος πρόσβασις ἐπὶ τὸ ζητούμενον. οἷον, ζητεῖται, εἰ τῶν ῥημάτων τὸ ἐπαινῶ τυχὸν αἰτιατικῇ συντάσσεται. ἐπὶ τούτου δὴ τὴν εὕρεσιν ἀπὸ τῶν ὁμολογουμένων συλλογιστικῇ τινι τάξει μεθοδεύοντες τὸν λόγον, οὑτωσὶ χωροῦμεν, ὁμόλογον ὡς τὰ ἐπιδεικτικὰ αἰτιατικῇ συντάσσεται, τὸ δὲ ἐπαινῶ ὁμολόγως ἐπιδεικτικόν ἐστι (ληπτέον γάρ τι κἀπὶ τοῦ ζητουμένου ὁμόλογον, ὡς ἂν δι' ἐκείνου εὑρεθῇ τὸ ζητούμενον.) ἄρα. κἀπὶ τῶν πτωτικῶν δέ τοι ὡσαύτως. θετέον ἄρα καὶ τὰ ἐν τῇ γραμματικῇ παραδεδομένα οὐχ ἧττον ἢ τοὺς γεωμετρικοὺς ὅρους, ἵνα ἔχωμεν ἐξ αὐτῶν ἐπιλύειν τε τῶν ἐν τῷ συντακτικῷ λόγῳ τὰ ἀπορούμενα, καὶ ἀποδεικνύειν τὰ ἀμφιβαλλόμενα. Ἐρωτᾶν μὲν οὖν βούλονται, καὶ αἱ περιφερόμεναί τινων πραγματεῖαι, περὶ γεμὴν τοῦ ὅπως δεῖ κατὰ γραμματικὴν ἐρωτᾶν, ὅπερ ὑπέσχετο μὲν ἐκθήσειν ὁ Θεόδωρος, ἐφθάκει δ', ὡς ἔοικε, προαναρπασθεὶς τῷ θανάτῳ, οὐδεὶς αὐτῶν ἐπραγματεύσατο. φαίνεται δὲ τὸ Ἐρωτηματίζειν εἴτ' οὖν διαλέγεσθαι οὐχ ἁπλοῦν, πολλαπλοῦν δέ τι εἴτ' οὖν πολυειδὲς καὶ πολύτροπον ὄν. τὸ μὲν γὰρ αὐτοῦ, ἐστὶ Πρόβλημα, ἡ δὲ, Πρότασις. καὶ Πρόβλημα μέν ἐστι, θεώρημα εἴτ' οὖν ζήτημα περὶ τῶν μὴ τοῖς πᾶσιν, ἢ τοῖς πλείστοις φανερῶν, συντεῖνον ἤτοι πρὸς ἀλήθειαν καὶ γνῶσιν μόνον. οἷον, πότερον ὁ κόσμος ἀΐδιος, ἢ οὔ; ἢ καὶ πρὸς τὸ ἑλέσθαι ἢ φυγεῖν, οἷον, πότερον ἡ ἡδονὴ αἱρετὸν, ἢ οὔ; Πρότασις δέ ἐστιν ἐρώτησις ἔνδοξος, ὅ ἐστι περὶ ἐνδόξων. ἔνδοξα δέ

δοξα δέ ἐστι τὰ δοκοῦντα πᾶσιν, ἢ τοῖς πλείστοις, ἢ τοῖς σοφοῖς, καὶ τούτοις ἢ τοῖς πᾶσιν, ἢ τοῖς πλείστοις, ἢ τοῖς μάλιστα γνωρίμοις καὶ ἐνδόξοις. καὶ ὅσαι δόξαι κατὰ τὰς εὑρημένας εἰσὶ τέχνας. οἷον, περὶ μὲν τῶν ἐν ἰατρικῇ, ὡς ὁ Ἰατρὸς, περὶ δὲ τῶν ἐν γεωμετρίᾳ, ὡς ὁ γεωμέτρης. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. Τῆς δ' αὖ Προτάσεως ἡ μὲν τίς ἐστιν Ἐπιστημονικὴ, ἑνός τινος γένους ὡρισμένως οὖσα, εἴτ' οὖν τέχνης, ἢ ἐπιστήμης, ἡ ἐκ τῶν κατὰ τὴν προκειμένην μέθοδον οἰκείων ἀρχῶν εἴτ' οὖν ἀξιωμάτων φύσιν τινὰ δεικνύσα, καὶ οὐκ ἐκ τῶν τοῦ ἀποκρινομένου δοξῶν εἰς τοῦτο ἐπιχειροῦσα. (τοιαῦται δὲ πᾶσαι αἱ καθ' ἑκάστην ἐπιστήμην προτάσεις, ἐξ ὧν ὁ καθ' ἑκάστην συλλογισμός.) διχῶς δὲ, τῇ μὲν, εἰς τὸ διδάξαι μόνον, τοῦ μανθάνοντος τιθέντος ἀεὶ τὰ τῷ διδάσκοντι δοκοῦντα, ὅ ἐστι πιστεύοντος αὐτοῖς, ὡς οὐδενὸς ψεῦδος διδάσκειν ἐπιχειροῦντος. καθ' ὃν δὴ τρόπον οὐδὲ ἐρωτᾷ κατὰ τὸν Διαλεκτικὸν ἀντιφατικῶς. ἀποδυκνύντα γάρ φησιν, οὐκ ἔστιν ἐρωτᾶν. ἀλλὰ λαμβάνει θάτερον τῆς ἀντιφάσεως μόριον, καὶ ἀποδείκνυσιν ὁ διδάσκων. τῇ δὲ, εἰς τὸ ἐλέγξαι κατὰ τὰ ἴδια τὸν θέμενον τὴν ἀντίφασιν τοῦ ἀληθοῦς. ἡ δὲ, κοινῶς Διαλεκτικὴ, περὶ γένος τι ὡρισμένον μὴ οὖσα, ἔνθεν τοι μηδὲ ταῖς καθ' ἑκάστην ἰδίᾳ ἐπιστήμην, ταῖς δὲ κοιναῖς πρὸς ἅπασαν μέθοδον ἀρχαῖς προσχρωμένη, φύσεως μὲν οὐδεμιᾶς δεικτικὴ, γένους εἴτ' οὖν μεθόδου φημὶ, περισκοποῦσα δὲ κατὰ τὰ κοινὰ καὶ θεωροῦσα, οὐχὶ τὸν εἰδότα, τὸν δὲ ἀγνοοῦντα μὲν, εἰδέναι δὲ προσποιούμενον. Ταύτης δὲ ἡ μὲν τίς ἐστι Πειραστικὴ, ἡ ἐκ τῶν δοκούντων μὲν τῷ ἀποκρινομένῳ καὶ ἀναγκαίων τῷ τὴν ἕξιν ἔχειν προσποιουμένῳ ἐγχειροῦσα, γυμνασίας γε μὴν καὶ πείρας ἕνεκα τὸ ἀντικείμενον ἀεὶ τῇ παρὰ τοῦ πειραζομένου εἴτ' οὖν ἀποκρινομένου ὑπεχομένῃ θέσει συμπεραίνουσα, ἐνδόξῳ μὲν οὔσῃ, ἄδοξον, ἀδόξῳ δὲ, ἔνδοξον. Ἡ δὲ, Ἀγωνιστικὴ. καθ' ἣν δεῖ φαίνεσθαι τὸν μὲν ἐρωτῶντα, ποιοῦντά τι πάντως, τὸν δὲ ἀποκρινόμενον, μηθέν τι πάσχοντα. ἧς ἡ μὲν τίς ἐστιν ἰδιαίτερον Διαλεκτικὴ, ἡ δὲ, Ἐριστικὴ, ἐξ ἐνδόξων ἐπιχειροῦσαι ἑκάτεραι, αὕτη μὲν, τῶν φαινομένων, ἐκείνη δὲ, τῶν ὄντων. ἔργον δὲ τοῦ μὲν διδάσκοντος, δεικνύναι τινὸς, ὡς εἴρηται, φύσιν, τοῦ δὲ πειραστικοῦ, τὸ οὕτως ἐπαγαγεῖν τὸν λόγον, ὥστε ποιῆσαι τὸν ἀποκρινόμενον τὰ ἀδοξότατα λέγειν τῶν διὰ τὴν θέσιν ἀναγκαίων, ἢ καὶ κατὰ τὸ προκείμενον πρᾶγμα ἐλέγξαι καὶ δεῖξαι αὐτὸν ἀγνοοῦντα. εἴη δ' ἂν τὸ αὐτὸ καὶ τοῦ Διαλεκτικοῦ. εἴγε καὶ ἡ Διαλεκτικὴ, πειραστική τίς ἐστιν, εἴτ' οὖν ἐξεταστικὴ, ὥσπερ αὖ καὶ ὁ τέχνῃ συλλογιστικῇ πειραστικὸς, διαλεκτικός. τοῦ δὲ Ἐριστικοῦ τὸ φανῆναι τῇ μὲν, νικήσαντα, τῇ δὲ, σοφὸν, ἐν τῷ σοφίσασθαι εἴτ' οὖν παραλογίσασθαι κατά τινα τῶν πέντε τρόπων ἐκείνων, ὧν οἱ καλούμενοι σοφιστικοὶ στοχάζονται. οἷς πρὸ ἔργου τὸ δοκεῖν, ἢ τὸ εἶναι σοφοῖς. Τὸ σαυταχῶς δὴ ἐν γένει τοῦ ἐρωτηματίζειν συνισταμένου, πολυτρόπως δὲ πάλιν καθ' ἕκαστον εἶδος λημματιζομένου, ὡς παρὰ τῷ Φίφῳ ἐστὶν ἰδεῖν, ὁποῖόν τι τῶν προκατειλεγμένων εἰδῶν ξυντελοῦν ἂν εἴη τῇ προκειμένῃ πραγματείᾳ, διαρθροῦν οὐ πάνυ τοι ῥᾴδιον. δοκεῖ γὰρ εἶδος μὲν, τὸ διδασκαλικὸν ὑπαινίττεσθαι ὁ Θεόδωρος, εἰπὼν, δεῖ ἐρωτηματίζειν κατὰ τήνδε τὴν μέθοδον, ὅ ἐστι κατὰ τὰς τῆς Γραμματικῆς ἀρχὰς καὶ τοὺς τόπους. τοῦτο γὰρ καὶ μόνον τὸ εἶδος ἐκ τῶν καθ' ἑκάστην ἰδίᾳ ὡς εἴρηται, πραγματείαν ἀρχῶν ἐπιχειροῦν φαίνεται. Τίς δὲ καὶ ὁ τρόπος, ἢ τίς ἡ τάξις τῶν κατ' αὐτὸ ἐρωτημάτων, διαλεκτικῶς μὲν, πλέον ἂν εἴη ἢ κατὰ τὴν παροῦσαν μέθοδον θεωρεῖν, γραμματικῶς δὲ, αὐτὸς ἂν εἰδοίη

Θεόδωρος. οἱ γὰρ ἐν τῷ ἡ, τῶν τοπικ'. ἐμφερόμενοι ἐρωτηματικοὶ τρόποι, ξύμπαντες σχεδὸν ἀγωνιστικοὶ εἴτ' οὖν πειραστικοί εἰσιν. Εἴη δ' ἂν πρὸς τρόπου διδασκαλικοῦ ἀρξάμενον ἀπὸ τῶν καθόλου, εἴτ' οὖν τῶν οἰκείων ἀρχῶν, συνεῖραι διαιρετικῶς μέχρι τῶν ἐσχάτων, ἥκιστα κρυπτικῶς πυνθανόμενον. (Ἀγωνιστικοῦ γὰρ τοῦτο.) ἐπιστημονικώτερον γάρ φησι, τὸ διὰ τῶν προτέρων τὰ ὕστερα πειρᾶσθαι γνωρίζειν, ὁρίζοντα μὲν τὰς ἀρχὰς, τὰ δὲ ἔσχατα διὰ τούτων δεικνύντα. Δοκεῖ δὲ μηδὲ τὸ διδασκαλικὸν αὐτὸ εἶδος ξυντελεῖν ὅλως τῇ προκειμένῃ ἐρωτηματικῇ μεθόδῳ, δύοιν ἕνεκα, τοῦ μὲν, ᾗ τῇ μὲν, ἐρωτᾶν ὁπωσοῦν πρόκειται, τὸ δὲ, οὐκ ἔστιν ἐρώτησις, ἀλλὰ λῆψις, ὡς εἴρηται, θατέρου μορίου τῆς ἀντιφάσεως. ἔνθεντοι καὶ περιττῶς τὸ κατὰ διδασκαλίαν ἐπιστημονικὸν ἐρώτημα τοῖς ἐρωτηματικοῖς εἴδεσι συνηριθμῆσθαι δοκεῖ. εἰ γὰρ ἐλέγχοντα, ἔνια, ὥς φησιν, οὐ δὲ ἐρωτητέον, ἀλλ' ὡς ὁμολογουμένοις χρηστέον, πολλῷ μᾶλλον διδάσκοντα. τοῦ δὲ, ᾗ ὁ κατὰ τήν δε τὴν μέθοδον μετὰ ταῦτα ἐρωτώμενος, οὔτε τῶν ἀγνοούντων τυγχάνει, ἵνα διδαχθῇ, οὔτε μὴν τῶν ἀντιφασκόντων, ἵνα ἐλεγχθῇ. Προτατικῶς μὲν οὖν, ὅ ἐστι κατὰ πρότασιν ἁπλῶς μὴ ἐνὸν, ὡς δέδεικται, δόξοι ἂν μηδὲ κατὰ Πρόβλημα οἷόν τε ἐρωτᾶν τὸν γραμματικόν. ἀνάγκη γὰρ ἤτοι τὰ ἁπλῶς πόρρω, ἢ τὰ συνέγγυς προβάλλοντα, εὐθύνας ὑπέχειν καθ' ἑκάτερα, τοῦ Φίφου τοὺς μὲν τὸ μηδενὶ δοκοῦν προτείνοντας, νοὸς, τοὺς δὲ τὸ τοῖς πᾶσιν ἢ τοῖς πλείστοις φανερὸν προβάλλοντας, καὶ κολάσεως, ἢ αἰσθήσεως δεῖσθαι λέγοντος. (οἷον, πότερον δεῖ τὸν Θῆ τιμᾶν, καὶ τοὺς γονεῖς ἀγαπᾶν, ἢ οὔ; καὶ, πότερον ἡ χιὼν λευκὴ, ἢ οὔ;) τῶν δὲ τοῖς πᾶσιν, ἢ τοῖς πλείστοις φανερῶν εἰσι καὶ ὧν συνέγγυς ἡ ἀπόδειξις. οἷα τὰ καθ' ἕκαστα τὰ ὑπ' ὄψιν. καὶ ὧν λίαν πόρρω, οἷα τὰ φύσει πρότερα, εἴτ' οὖν αἱ καθ' ἑκάστην ἰδίᾳ μέθοδον οἰκεῖαι ἀρχαί. τὰ μὲν γάρ φησιν, οὐκ ἔχει ἀπορίαν, τὰ δὲ, πλέον εἰσὶν ἢ κατὰ ἀπόδειξιν, ὅ ἐστιν ἀνεπιχείρητα, ὡς μὴ ἐγχωροῦν, ὥσπερ τὰ μετ' αὐτὰ δείκνυται δι' αὐτῶν, οὕτω καὶ αὐτὰ δι' ἑτέρων δείκνυσθαι, ὅτι μὴ μόνον ὁρίζεσθαι. μὴ τιθεμένων γὰρ τῶν κατ' αὐτὰ ὁρισμῶν, οἷον, τί τούτων ἕκαστον, χαλεπὸν, τάχα δ' ὅλως ἀδύνατον δεῖξαί τι. Καὶ δὴ κἀπὶ τῆς Γραμματικῆς τὰ μὲν πρότερα εἴτ' οὖν πόρρωτε καὶ καθόλου, οὐχ ἧττον τῇ φύσει ἢ τοῖς πᾶσιν, ἢ γοῦν τοῖς πλείστοις τυγχάνει γνώριμα. οἷον, ὅτι ἕκαστον τῶν μερῶν τοιόν δέ τί ἐστι, καὶ οὕτω πως ἔχει συντάξεως, ἢ σημασίας τῆς κατὰ γένος καὶ εἶδος, (φύσιν δὲ ληπτέον ἐνταῦθα τὴν κατὰ γραμματικὴν ἕξιν, φημὶ δὴ τοὺς τῆς γραμματικῆς περὶ ἑνὸς ἑκάστου ὅρους.) τῶν δὲ ὑστέρων εἴτ' οὖν τῶν καθ' ἕκαστα ἡ μὲν ἑνὸς ἑκάστου σύνταξις οὐχ ἧττον τῇ φύσει, ἢ τῷ γραμματικῷ τυγχάνει διὰ τὴν ἀπειρίαν ᾗ τὴν τοῦ δηλουμένου ἀσάφειαν ἄγνωστος, ἥγε μὴν ἐρώτησις, ὡς συνέγγυς ὄντων τῇ αἰσθήσει, τάτε ἄλλα καὶ ὑπὸ ἐπιτίμησιν ἔσται τυχόν, ὡς ἐκ τῆς κατὰ μέρος ἐρωτήσεως μηδενὸς συμπεραινομένου, εἴτ' οὖν ἀποδεικνυμένου. ἥτις ἐστὶ τῶν πέντε ἐπιτιμήσεων ἡ πρώτη. διὰ δὴ ταῦτα οὐδὲ εἰς τὸ μετὰ ταῦτα περὶ τοῦ ὅπως δεῖ ἐρωτᾶν φαίνεταί τι πραγματευσάμενος ὁ Θεόδωρος, οὐχ ὡς μηδὲν ἔχων παραδεδομένον ὑπ' ἄλλων, ἐπειράθη γὰρ ἂν αὐτὸς οἴκοθέν τι εἰπεῖν, ἀλλ' ὡς τάχα μὴ κατὰ τρόπον ἢ καὶ κατὰ γραμματικοὺς τὴν περὶ τούτου ξυνιδὼν οὖσαν ὑπόσχεσιν. Εἴη δ' ἂν ἴσως καὶ πρὸς Γραμματικοῦ παρὰ τὰ εἰρημένα εἶδος ἕτερον τοῦ ἐρωτηματίζειν, πειραστικὸν δὴ καὶ αὐτὸ οὐ μὴν κατὰ τὸ προειλημμένον διαλεκτικῶς, ὅ ἐστι συλλογιστικῇ μεθόδῳ, ἰδιωτικὸν δέ τινα τρόπον κατὰ τὸν φίφον ἐγχειροῦν μέχρι

τινὸς

Τοῦ ἐρωτηματίζειν.

- Τὸ μὲν ἐστι πρόβλημα. περὶ τοῦ ἀληθοῦς, ἢ καὶ τοῦ ἀγαθοῦ τοῦ μὴ τοῖς πᾶσιν, ἢ τοῖς πλείστοις φανεροῦ.
- ἡ δὲ, πρότασις, περὶ ἐνδόξων τῶν τοῖς πᾶσιν, ἢ τοῖς πλείστοις φανερῶν. ὅτι.
  - ἡ μὲν τίς ἐστιν ἐπιστημονικὴ, ἑνός τινος γένους ὡρισμένως οὖσα. ἐξ οὗ καὶ ἐπιχειρεῖ.
    - ἢ τὸν μαθητιῶντα τὰ τοῦ προκειμένου γένους διδάσκουσα.
    - ἢ . . . . . .
  - ἡ δὲ, διαλεκτικὴ, περὶ γένος μέν τι ὡρισμένον μὴ οὖσα, ἐπιχειροῦσα δὲ ἐξ ἐνδόξων.
    - τῶν ὄντων μὲν, ἡ πειραστικὴ, τἀναντία οἷς ὁ ἐρωτώμενος τίθησι συμπεραίνουσα, καὶ ἁπλῶς.
      - τὸν ἀντιφάσκοντα ἀγνοοῦντα ἐλέγχουσα.
    - τῶν φαινομένων δὲ, ἡ ἐριστικὴ, εἴτ' οὖν σοφιστική.



τινὸς ἀνακρίνειν τοὺς ἐπαγγελλομένους εἰδέναι. καθ' ὃν οἶμαι τρόπον καὶ αἱ πέντε καθόλου ἐκεῖναι φωναὶ τῶν ὑποκειμένων κατηγοροῦνται. ὅς ἐστι, τὸ τί ἐστι καὶ ὁποῖόν τί ἐστι. (τὸ γὰρ διὰ τί ἐστι, ταὐτὸν τῷ τί ἐστι) πρὸς ὃν οὐκ ἔστι φησὶν, ἀποκρίνασθαι, καταφήσαντα ἢ ἀποφήσαντα, ὅ ἐστι τὸ ναὶ, ἢ τὸ οὔ, ὡς μὴ διαλεκτικῶς εἴτ' οὖν ἀντιφατικῶς τι προτείνοντα, τοῦ δὲ προβαλλομένου τὸ τί ἦν εἶναι ὁπωσοῦν ἐπιζητοῦντα. ὧν ἐν μὲν τῷ τί ἐστι, τὰ γένους ἢ εἴδους, ἐν δὲ τῷ ὁποῖόν τί ἐστι, τὰ διαφορῶν ἢ ἰδίων λόγον ἔχοντα, ἀποδίδοται. οἷον, τί ἐστι τὸ ἄνος; ὄνομα. τί δαὶ τὸ ὄνομα; μέρος λόγου πτωτικὸν σημαντικὸν ἄνευ χρόνου. διὰ τί δὲ ὄνομα τὸ ἄνος; δι' ὅ, τί ἐστι πτωτικ. σημαντικ. ἄνευ χρόνου. (ἐν οἷς φανερόν, ὅτι ταὐτόν ἐστι τὸ τί ἐστι καὶ διὰ τί ἐστιν.) ὁποῖον δέ τι ὄνομα τὸ ἄνος; προσηγορικὸν, ἢ εἰδικόν. πότερον δὲ, τῶν ἀπολύτως καθ' ὑποκειμένου λεγομένων ἐστὶν, ἢ τῶν καὶ πρὸς ἕτερον θεωρουμένων; τῶν ἀπολύτως. πῶς δὲ καθ' ὑποκειμένου λέγεται; κατὰ συνεξακολούθησιν τῶν σφίσι προσόντων. τί βούλεται τὸ κατὰ συνεξακολούθησιν; τὸ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως καὶ ὁμοιαρίθμως. Τὸ δὲ πῆρ, ὁποῖον; τῶν καὶ πρός τι ἕτερον λεγομένων. ὁποίᾳ πτώσει τοῦ πρὸς ὃ ἡ σχέσις συνάσσεται; γενικῇ. διὰ τί; δι' ὅ, τί ἐστι τῶν καθ' ὑπεροχήν. Τί δὲ τὸ ἐπαινῶ; ῥῆμα. ῥῆμα δὲ τί; μέρος λόγου προσώπων τε διακριτικὸν καὶ χρόνων διαφόρων προσημαντικὸν κατὰ διαφόρους μετασχηματισμούς. ὁποῖον δέ τι ῥῆμα τὸ ἐπαινῶ; κατὰ μὲν προσώπων διάκρισιν, πρωτοπροσωποῦν, κατὰ δὲ τὸ προσημαντικὸν, πόρρω μὲν, ἐνεργητικὸν, προσεχῶς δὲ, ἐπιδεικτικόν. κατὰ δὲ τὸν μετασχηματισμὸν, πεπονθὸς, εἴτ' οὖν συνῃρημένον. πότερον, τῶν καθ' αὑτὸ, ἢ τῶν πρός τί ἐστιν; ἔχεις τοῦτο λαβὼν ἐν τῇ ὁποῖόν τί ἐστιν ἐρωτήσει. ἐνεργητικὸν γὰρ ἦν, δῆλον ὅτι τῶν πρός τί ἐστι. ποσαχῶς ᾗ πρός τι συντάσσεται; διχῶς. πῶς; ἁπλῶς τε καὶ πῇ, ὅ ἐστιν ἐκ τρίτου τε καὶ τετάρτου. ὁποίᾳ τῶν πτώσεων ἁπλῶς; αἰτιατικῇ. διὰ τί; δι' ὅ, τί ἐστι τῶν κατ' ἐκπομπήν. ποίᾳ δὲ πῇ; ὁποίαν ἂν ἡ διάφορος αὐτοῦ δύναμίς τε καὶ χρῆσις ὑπαγορεύσῃ. ποσαχῶς δὲ ληφθῆναι δύναται; ἑξαχῶς. πῶς; διαβατικῶς. αἰτιολογικῶς. ὀργανικῶς. τελικῶς. ἐλλειπτικῶς, καὶ συγκατηγορηματικῶς. ὁποίᾳ δὲ τῶν πτώσεων καθ' ἑκάστην αὐτοῦ δύναμιν συντάσσεται; γενικῇ μὲν, αἰτιολογικῶς. δοτικῇ δὲ, ὀργανικῶς. αἰτιατικῇ δὲ, διαβατικῶς. τελικῶς δὲ, ἢ εἰδικῶς, ἀπαρεμφάτῳ, συγκατηγορηματικῶς δὲ ὁτῳοῦν τῶν προσηκόντων ἐπιρρημάτων, ἢ ᾑτινιοῦν τῶν προθέσεων. ἀνάπτυξον αὐτὸ καθ' ἑκάστην αὐτοῦ δύναμιν. ἐπαινῶ σε, διαβατικῶς μὲν, τὰ εἰκότα. αἰτιολογικῶς δὲ, τῆς ἀρετῆς. ὀργανικῶς δὲ, ὅλῃ ψυχῇ. ἐλλειπτικῶς δὲ, τὰ μηχανικὰ, ἢ χρόνον συχνόν. τελικῶς δὲ, ὥστε ἐπιδιδόναι. συγκατηγορηματικῶς δὲ, ὁλοψύχως, ἢ δι' ἣν ἔχεις ἀρετὴν, ἢ σοφίαν. ὁποῖον δέ τί ἐστι, πῇ συντεταγμένον; σύνθετον. πόθεν συγκείμενον; ἐξ ἐνεργείας καὶ ἤτοι τοῦ κατ' αὐτὴν πράγματος, ἤ του αἰτίου, ἢ τρόπου, ἢ χρόνου, ἤ του τῶν παρεδρευόντων. ὁποῖον δὲ, ἁπλῶς; ἁπλοῦν. πῶς; ἢ καθ' ἑαυτὴν ἔχει τὴν ἐνέργειαν καὶ ἀπροσδιόριστον ὁτῳοῦν τῶν εἰρημένων. πότε καὶ πῦ πῇ συντάσσεται; ὅτε καὶ ἔνθα τὰ τῆς χρείας καὶ διανοίας ἀπαιτεῖ. ὁποῖον δέ τι δηλοῦν βούλεται τῶν συνθέτων εἰδῶν ἕκαστον; τὸ μὲν διαβατικὸν, τὸ κατ' ἐνέργειαν πρᾶγμα. τὸ δὲ αἰτιολογικὸν καὶ ἐλλειπτικὸν, τὴν αἰτίαν, ἐξ ἧς ἡ ἐνέργεια. τὸ δὲ ὀργανικὸν, τὸ ὅθεν ἡ κατ' ἐνέργειαν κίνησις.

νησις. τὸ δὲ τελικόν, τὸ οὗ ἕνεκα, τὸ δὲ εἰδικὸν, τὸ καθ' ὅ. τὸ δὲ ἐλλειπτικὸν β', ὡς ἁπλῶς εἰπεῖν, τὸ κατά τι. τὸ δὲ συγκατηγορηματικὸν, ὅ, τί ποτε κατ' εἶδος τὸ πρόσρημα ἢ τὸ προθετικὸν ὑπαγορεύει. δι' ὃ καὶ εἴη ταύτῃ γε διχῶς ἐρωταῦ, οὐ μόνον πτωτικῶς εἴτ' οὖν ὀνοματικῶς, ἀλλὰ καὶ συγκατηγορηματικῶς, διαπυνθανομένους τῇ μὲν, τὰ ἀμφὶ τὸ ὑποκείμενον, τῇ δὲ, τὰ ἀμφὶ τὸ κατηγορούμενον, πτωτικῶς μὲν, τί ἐστιν; ὁποῖόν τί ἐστι; πότερον; συγκατηγορηματικῶς δὲ, πῶς; διὰ τί; πότε; πόθεν;

Ἐπιθεωρίαι.

Εἰς τὸ Ὅτι μὴ, ἐξαιρετικὸν. Γρηγόριος εἰς τὸν μέγ, Βασίλειον.

„ Τῆς ἔξω παιδείας τὸ μὲν ἐξεταστι-
„ κόν τε καὶ θεωρητικὸν ἐδεξάμεθα,
„ ὅσον δὲ εἰς δαίμονας φέρει καὶ πλάνην
„ καὶ ἀπωλείας βυθὸν, διεπτύσαμεν, ὅ-
„ τι μὴ κἀκ τούτων πρὸς θεοσέβειαν ὠφε-
„ λήμεθα, ἐκ τοῦ χείρονος τὸ κρεῖττον κα-
„ ταμαθόντες, καὶ τὴν ἀσθένειαν ἐκείνων
„ ἰσχὺν τοῦ καθ' ἡμᾶς λόγου ποιούμενοι.

Ἐν τούτοις τὸ μὲν ὅτι μὴ, οὐκ ἐξαιρετικὸν, ἀλλ' αἰτιολογικὸν, τὸν δὲ λόγον ἀποφατικὸν εἶναι βούλονταί τινες, οὑτωσὶν ἑρμηνεύοντες. Τῆς θύραθέν φησι, παιδείας τὸ εἰς δαίμονας φέρον διὰ τοῦτο διεπτύσαμεν, καθ' ὅ, τι οὐχ ὥσπερ ἐκ τοῦ τῶν ὄντων θεωρητικοῦ, οὕτωτοι καὶ ἐκ τοῦ εἰς δαίμονας φέροντος πρὸς θεοσέβειαν ὠφελήθημεν. Τὸ γὰρ ἐξαιρούμενον, μέρος ὄν φασιν, οὗ ἐξαιρεῖται ὅλου, τῆς αὐτῆς ἐστι τῷ ὅλῳ φύσεως. ἡ δὲ πρὸς θεοσέβειαν ὠφέλεια, μὴ τῆς αὐτῆς οὖσα φύσεως τῇ εἰς δαίμονας φερούσῃ ὀλεθρίῳ πλάνῃ, οὐ δὲ μέρος ἐστὶν αὐτῆς. καὶ ἑπομένως οὐ δὲ ἐξαιρετικὸν τὸ ὅτι μή. Πρὸς ὃ ῥητέον, ὅτι οὐχ ἁπλῶς τὸ μέρος τῆς αὐτῆς ἐστι τῷ ὅλῳ φύσεως. οὔτε γὰρ τὸ σῶμα οὔθ' ἡ ψυχὴ καθ' ἑαυτὴν, τῆς αὐτῆς ἐστι φύσεως τῷ ἐξ ἀμφοῖν συνεστῶτι ἀνῷ. οὐδέτερον γὰρ αὐτῶν καθ' ἑαυτὸ ζῷόν ἐστι λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν. οὔθ' ὅ, τι οὖν τῶν δ', τοῦ παντὸς στοιχείων ὁμοφυὲς καθ' ἑαυτὸ τῷ παντί. οὐ τοῦτο δέ φαμεν, ὅτι τῆς ἔξω παιδείας τὸ πρὸς δαίμονας φέρον, ὥσπερ ἐκ τῆς ὀλεθρίου πλάνης καὶ τῆς τούτων ἀσθενείας, οὕτωτοι καὶ ἐκ τῆς πρὸς θεοσέβειαν ὠφελείας συνέστηκεν, ἵν' ᾖ δῆθεν καὶ ἡ πρὸς θεοσέβειαν ὠφέλεια μέρος ὅ, τι οὖν τοῦ εἰς δαίμονας φέροντος, ἀλλ' ὅτι ἐκ τῆς ἔξωθεν παιδείας τὴν τῆς πολυθείας ἀσθένειάν τε καὶ ὀλέθριον πλάνην καταμαθόντες, κἀντεῦθεν ὠφελήμεθα, ὁποίαν ταύτην ὠφέλειαν; τῆς ἡμετέρας δηλαδὴ θρησκείας τὴν ἰσχὺν κἀκεῖθεν ἐπιγνόντες. τὸ γὰρ ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταμανθάνειν, καὶ τὴν τῶν ἑλληνικῶν σεβασμάτων ἀσθένειαν ἰσχὺν τοῦ καθ' ἡμᾶς λόγου ποιεῖσθαι, τῶν καὶ ἐκ τοῦ τοῖς πλανωμένοις ὀλεθρίου ὠφελουμένων τυγχάνει. Ὁ γοῦν θείος Πῆρ πρὸς τοὺς, τῆς ἔξω παιδείας, διὰ τὸ αὐτῆς ἐν μέρει πολείθεον μᾶλλον δὲ ἄθεον, καὶ τὸ ἐξεταστικὸν ἀπαιδεύτως διαπτύοντας ἀνθιστάμενος, δείκνυσιν ἐκ περιουσίας καὶ τὸ αὐτῆς κατάπτυστον, ὁπωσοῦν ὠφέλιμον τοῖς αὐτὸ διαπτύσασιν. Ἐπείτοιγ', εἴπερ καὶ ἐξ ὧν διεπτύσαμεν, οὐθὲν ὅλως κατὰ τοὺς ἀνεμώλια βάζοντας πρὸς θεοσέβειαν ὠφελήθημεν, πῶς ἐκ τοῦ χείρονος τὸ κρεῖττον κατεμάθομεν, καὶ τὴν τῶν εἰδώλων ἀσθένειαν ἰσχὺν τῆς κα-

τῆς καθ' ἡμᾶς πίστεως πεποιήμεθα; Ἀλλὰ πῶς ὅλως οἷόν τέ φασι, τὸ τῆς ἔξω παιδείας πολύθεον σκότος, παρακτικόν ποτε γενέσθαι τοῦ τῆς πρὸς θεοσέβειαν ὠφελείας φωτός; Ῥητέον δὲ καὶ πρὸς τοῦτο, ὅτι τοῖς μὲν ἀπολλυμένοις, ἐν οἷς ἐστι κεκαλυμμένον τὸ εὐαγγέλιον τοῦ Χῦ. ὧν ὁ θὶς τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα, εἰς τὸ μὴ αὐγάσαι αὐτοῖς τὸν φωτισμὸν τοῦ εὐαγγελίου, οὐχ οἷόν τε. ὧν γε μὴν ἐν ταῖς καρδίαις, ὁ ἐν προοιμίοις τῆς κτίσεως εἰπὼν ἐκ σκότους φῶς λάμψαι κατὰ τὸν ἀπόστλ. (β', πρὸς κορθ, 4, 6.) ἔλαμψε πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ θεοῦ, ἐν προσώπῳ Ἰησοῦ Χῦ, λαλήσας αὐτοῖς διὰ τῶν ἀποστόλων σοφίαν Θεοῦ, τὴν ἀποκεκρυμμένην. ἣν προώρισε πρὸ τῶν αἰώνων εἰς δόξαν ἡμῶν, (α', πρὸς κορθ', β'.) τούτοις οἷόν τε καὶ ἐκ τῆς σκοτεινῆς ἀσθενείας, ὧν διέπτυσαν, τὸ φῶς τῆς θείας ἀναλάμψαι δυνάμεως. καὶ τούτου μάρτυς αὐτὸς πάλιν οὗτος ὁ θεῖος Γρη-
,, γόριος ἐν τῷ αὐτῷ λόγῳ. Βλαβεραὶ
,, μὲν γάρ φησι, τοῖς ἄλλοις ἀθῆναι τὰ εἰς
,, ψυχήν. (οὐ γὰρ φαύλως τοῦτο ὑπολαμ-
,, βάνεται τοῖς εὐσεβεστέροις.) καὶ γὰρ πλου-
,, τοῦσι τὸν κακὸν πλοῦτον, τὰ εἴδωλα, μᾶλ-
,, λον τῆς ἄλλης ἑλλάδος. καὶ χαλεπὸν μὴ
,, συναρπασθῆναι τοῖς τούτων ἐπαινέταις καὶ
,, συνηγόροις. ἡμῖν δὲ οὐδὲ μία παρὰ
,, τούτων ζημία, τὴν διάνοιαν πεπυκνω-
,, μένοις καὶ πεφραγμένοις. τοὐναντίον μὲν
,, οὖν, εἴτι χρὴ καὶ παράδοξον εἰπεῖν, εἰς
,, τὴν πίστιν ἐντεῦθεν ἐβεβαιώθημεν, κα-
,, ταμαθόντες αὐτῶν τὸ ἀπατηλὸν καὶ κί-
,, βδηλον, ἐνταῦθα δαιμόνων κααταφρο-
,, νήσαντες, οὗ θαυμάζονται δαίμονες.
Ὁρᾷς ὅτι καὶ ἐκ σκότους φῶς ἀναλάμψαι οἷόν τε; εἰς τὴν πίστιν γάρ φησιν, ἐντεῦθεν, τοῦτ' ἔστιν ἐκ τῶν εἰδώλων ἐβεβαιώθημεν. πῶς καὶ τίνα τρόπον; καταμαθόντες φησὶν, αὐτῶν τὸ ἀπατηλὸν καὶ κίβδηλον. ἢ οὐ

χὶ αὐτὰ ταῦτα κἀνταῦθά φησι; κἀκ τούτων γάρ φησι πρὸς θεοσέβειαν ὠφελήμεθα, ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταμαθόντες. ἐκ τῆς ἐκείνων δηλαδὴ ἀσθενείας τὴν ἰσχὺν τῆς ἡμετέρας πίστεως. Οἱ γοῦν ἀποφατικὸν ἐνταῦτα τὸν λόγον λαμβάνοντες, οὐ ξυνορῶσι παρὰ τὸν γραμματικὸν κανόνα καὶ ἀντιφάσκοντα ἑαυτῷ τὸν θεῖον Γρηγόριον ἀπελέγχοντες. Οὐ μόνον δὲ ἐν τούτοις, ἀλλὰ κἀν τῷ, ὅτι μὴ πᾶσα ἀνάγκη, τὸ ὅτι μὴ, ἐξαιρετικόν ἐστιν, εἰ κἀνταῦθα εἰκαιολογοῦντες ἐκτόπως κατά τε ἔννοιαν καὶ σύνταξιν, αἰτιολογικὸν μὲν σύνδεσμον τὸ ὅτι, ἀποφατικὸν δὲ τὸν λόγον εἶναι βούλονται, μεταλαμβάνοντες τὸ, ὅτι μὴ πᾶσα ἀνάγκη, εἰς τὸ, διὸ, τι οὐχ ἁπλῶς ἐστιν ἀναγκαῖον. πῶς γὰρ ἂν εἴη ἢ ὁ λόγος ἀποφατικὸς, ὁ καὶ κατ' αὐτοὺς ἐκείνους τῆς οὐ, ἀποφάσεως ὅλως ἀνεπίδεκτος; ἢ τὸ ὅτι, αἰτιολογικὸς σύνδεσμος, ἀποφαντικοῦ τοῦ λόγου μὴ ὄντος; ὁ γὰρ καὶ κατ' αὐτοὺς τῆς οὐ, ἀποφάσεως ἀνεπίδεκτος, δῆλον ὡς οὐδὲ τὴν ναὶ, κατάφασιν ἐγκειμένην ἔχων, οὐκ ἔστιν ἀποφαντικὸς εἴτ' οὖν ὁριστικὸς, ἐφ' ὃν οἱ διὸ, τι καὶ ὅτι αἰτιολογοὶ τῶν συνδέσμων τείνουσιν. οὐ μὴν ἀλλ' οὐδὲ τὸ μὴ, ὁ προκείμενος ἔχει λόγος ἢ ἀντὶ τῆς οὐ, ἀποφάσεως, ὡς αὐτῆς ἥκιστα καὶ κατ' αὐτοὺς ἐκείνους, ὡς εἴρηται, ἐπιδεκτικός. (ἦν γὰρ ἂν, εἴπερ, πολὺ βέλτιον τὴν οὐ, μεταλαμβάνεσθαι ἐν τῷ λόγῳ.) ἢ ἀπαγορευτικὸν, ὡς τὰ τῆς ἀνάγκης οὐκ ἀπαγορεύων, ἀλλ' ὑποτιθεὶς
,, μᾶλλον ἐν ἐξαιρέσει. ἐν γὰρ τῷ, οὔτε
,, τῷ τῆς πίστεως λόγῳ συνέβαινον, (οἱ τῷ
,, βασιλείῳ πολεμοῦντες ἐπίσκοποι,) ὅτι
,, μὴ πᾶσα ἀνάγκη, τοῖς πλήθεσι βι-
,, αζόμενοι, οὔτε τὴν ἐπὶ τῇ (αὐτοῦ) χει-
,, ροτονίᾳ μικροψυχίαν ταχέως καταλελύ-
κεσαν. τὸ, τοῖς πλήθεσι βιαζόμενοι, ἑρμη-
νευτικὸν ὂν προδήλως τῇ πᾶσα ἀνάγκη, τὴν ἀνάγκην εἴτ' οὖν τὴν βίαν, οὐκ ἀπαγο-
ρεύει, ἀλ-

ρεύει, ἀλλ' ἐξαιρετικῶς ὑποτίθησιν. ὅτι δὲ ταυτοδύναμα ἀλλήλοις τό, τε πᾶσα ἀνάγκη, καὶ τὸ, τοῖς πλήθεσι βιαζόμενοι, μᾶλλον δὲ καὶ ἑρμηνευτικὸν τὸ δεύτερον τοῦ προτέρου, κἀν τεῦθεν δῆλον. ἆρον τὸ, πᾶσα ἀνάγκη, καὶ ἕξεις τὸ ἑξῆς κῶλον οὐδὲν ἧττον τὰ αὐτὰ τῷ ἀρθέντι ἀνεπτυγμένως ξυμφθεγγόμενον. ταὐτὸν γὰρ τῷ, ὅτι μὴ πᾶσα ἀνάγκη, τὸ, ὅτι μὴ τοῖς πλήθεσι βιαζόμενοι, οὐθὲν πλέον ἔχον ἐκείνου, ἢ μόνην τὴν ἀνάπτυξιν, τὸ εἶδός φημι τῆς ἀνάγκης, εἴτ' οὖν τὰ πλήθη. καὶ γοῦν τὴν ἀνεπτυγμένην ἀνάγκην οὐδ' ἡ συνεπτυγμένη ἀποφατικὴ ὁμολόγως οὖσα, ἀλλ' ἐξ ὑποθέσεως καταφατικὴ, δῆλον ὡς οὔτε ἀντὶ τῆς οὐ, ἀποφάσεως, οὔτε ἀπαγορευτικὸν, ἀλλ' ἀργὸν ἔχει τὸ τοῦ ὅτι ἐπιτακτικὸν μῆ. ὡς κἀν τῷ, ἐγὼ δὲ καὶ τοῦτο μέμνημαι διηγορευμένον ἐν τοῖς νόμοις, ἐκτὸς εἰ μὴ διὰ τὴν πολλὴν δουλείαν ἐπιλέλησμαι. (Λουκιὰν, ἐν τῷ τυραννοκτ'.) καὶ Βασίλ, ἐν τοῖς κατ' ἐπιτο-
,, μὴν ὅροις. μήτε τὸ κοινὸν δεῖπνον ἐν ἐκ-
,, κλησίᾳ ἐσθίειν καὶ πίνειν, μήτε τὸ κυρια-
,, κὸν δεῖπνον ἐν οἰκίᾳ καθυβρίζειν, (ἐκ
,, τῆς γραφῆς παιδευόμεθα.) ἐκτὸς εἰ μὴ
,, ἐν ἀνάγκῃ ἐπιλέξηταί τις καθαρώτερον
,, τόπον, ἢ οἶκον ἐν καιρῷ εὐθέτῳ. ὅτι δὲ τὸ, ὅτι μὴ, οὐκ ἔστι κατὰ τὸν λεξικὸν Βαρῖνον ἀντὶ τοῦ ὅτι οὐχὶ, ἀλλ' ἀντὶ τοῦ εἰ μὴ, μάρτυς ὁ βαθὺς Εὐστάθειος, τοῦ γὰρ Ὁμήρου τὸ, εἰ μὴ ἀχιλλεῖ, οἱ μεθ' ὅμηρόν φησι, ῥήτορες μεταλαμβάνοντες, ὅτι μὴ ἀχιλλεῖ, εἴποιεν ἄν. οἱ τὸ, οὐκ ἄλλο τι ἐποίησα, εἰ μὴ τό δε, ὅτι μὴ τό δέ φασιν. ἐξαιρετικοῦ τοιγαροῦν ὄντος τοῦ εἰ μὴ, (ὅπερ ὁ Πλάττων γ', τῶν πολιτ, εἰς τὸ ἂν μὴ, μετέλαβεν, εἰπὼν, πρῶτον μὲν δεῖ οὐσίαν κεκτημένον μηδένα ἰδίαν, ἂν μὴ πᾶσα ἀνάγκη) ἐξαιρετικὸν ἄρα καὶ τὸ ἀντ' αὐτοῦ μεταληφθὲν ὅτι μή. ὡς εἶναι τὸ μὲν, ἐκ τὸς εἰ μὴ, ἑρμηνευτικὸν τοῦ, ὅτι μὴ, τὸ δὲ ἐν ἑκατέροις μῆ, καὶ ἀποφάσεως καὶ ἀπαγορεύσεως ἄμοιρον. οὐδὲ γὰρ, ἐπειδὴ τοῦ, ὅτι πᾶσα ἀνάγκη ἐλθεῖν τὰ σκάνδαλα, καταφατικὸς μὲν ὁ λόγος, σύνδεσμος δὲ ὁ ὅτι, ἔνθα μὲν, βεβαιωτικὸς, ἔνθα δὲ, αἰτιολογικὸς, παρὰ τοῦτο καὶ τοῦ, ὅτι μὴ πᾶσα ἀνάγκη, ὡσαύτως μὲν τὸ, ὅτι, τὸν δὲ λόγον διὰ δῆθεν τὸ μῆ, ἀποφατικὸν παραλληπτέον, καθ' ὅ, τι οὐδαμοῦ εὕρηται τὸ, ὅτι μὴ πᾶσα ἀνάγκη, ἢ μετειληφὸς τὸ μὴ, εἰς τὴν οὗ, ἢ ἀπαρέμφατον ἔχον καὶ αὐτὸ ἐπιφερόμενον. ὃ γάρ τοι ὁ Μοριολόγος ἐν τούτῳ προσυπακούειν ἀπὸ κοινοῦ βιάζεται ἀπαρέμφατον, ἀποφατικόν φημι λαμβάνων τὸ μῆ, καὶ αἰτιολογικὸν τὸ ὅτι, ἐν ἄλλοις μὲν, τάχα ἂν δόξειέ τῳ τῶν ἀδοκίμων οὐκ ἀδόκιμον. ἔν γε μὴν τοῖς τοῦ θείου Γρηγορίου, καὶ παντάπασιν ἔκτοπον. δείκνυσι καὶ γὰρ, ἐν οἷς μὲν ὁ θεῖος πατὴρ καὶ ἐκ τῆς τῶν καταπτύστων ἀσθενείας ὠφελῆσθαί φησιν, ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταμαθὼν, αὐτὸν ἑαυτῷ ἀντιφάσκοντα, ἐν οἷς δὲ τῶν μὴ συμβαινόντων τῷ τῆς πίστεως λόγῳ ἐπισκόπων κατηγορεῖ, εἰκῇ τούτων κατηγοροῦντα. καθ' ὅ, τι οὐκ ἔστι φησὶν, ἁπλῶς ἀναγκαῖον τοὺς πολεμίους τοῦ βασιλείου ἐπισκόπους συμβαίνειν τῷ τῆς πίστεως λόγῳ. ὧν δὴ ἑκατέρων τὴν ἀτοπίαν ξυνιδὼν καὶ αὐτὸς οὗτος ὁ τῶν γραμματικῶν, ὡς αὐτὸς χαίρει καλούμενος, σπλάγχνων κατατομεὺς, πειρᾶται μὲν, ὡς οἴεται, θεραπεύειν τὰ ἀθεράπευτα, ἑτέραις ὅμως ἀτόποις εἰκαιομυθίαις, τὸν θεῖον Γρηγόριον ἔνθα μὲν, ἀδιανοήτως παρερμηνεύων, ἔνθα δὲ, καὶ εἴρωνα ἀποκαλῶν, τὸν τῆς ῥητορικῆς τὸ μὲν τῆς φράσεως κάλλος ἀπανθισάμενον, τὸ δὲ ψεῦδος, οὗ τινός ἐστι καὶ ἡ εἰρωνεία, ἐκκλίναντα. καὶ οὐδὲ ξυνορᾷ, ὡς τὰ ἐν ἑκατέροις τοῖς ἡγουμένοις τοῖς, ὡς αὐτὸς οἴεται, ἀποφατικοῖς ἐπιφερόμενα κῶλα, καταφατικά τε

τικά τε ὄντα καὶ τῶν ἡγουμένων ἑρμηνευτικὰ, ἧς ἐκεῖνος ὠνειρώξατο ἀποφατικῆς τῶν ἡγουμένων ἑρμηνείας κατειρωνευόμενα, ὡς καταπτύστου καταγελῶσιν. ἐν γὰρ τῷ, ὅτι μὴ κἀκ τούτων πρὸς θεοσέβειαν ὠφελήμεθα, ἐκ τοῦ χείρονος τὸ κρεῖττον καταμαθόντες, κτ. τοῦ ἡγουμένου κώλου, τοῦ ὅτι μή φημι, ὠφελήμεθα, ἀποφατικῶς εἰλημμένου, τὸ καταφατικῶς ἐπιφερόμενον, δύοιν ἀνάγκη θάτερον ἂν εἴη, ἤτοι ἕωλόν τε καὶ οὐδενὶ ξὺν νῷ παρερρίμμενον ὡς ἀντιφατικὸν, ἢ ἑρμηνευτικὸν τοῦ ἡγουμένου, τοῦτ' ἔστι τῆς ὠφελείας. ἀλλὰ μὴν οὐκ ἔστιν ἀντιφατικόν. (οὐ γὰρ δὴ ὥσπερ εἰρωνείαν, οὕτω τοι καὶ ἀντίφασιν ὁ Μοριολόγος τοῦ θείου κατηγορήσει πρός.) ἑρμηνευτικὸν ἄρα. τοῦ τοίνυν θείου Γρηγορίου καταφατικῶς τὸ ἡγούμενον, ταὐτὸν εἰπεῖν ἑαυτὸν, ἑρμηνεύοντος, ἕωλος ἄρα καὶ κατάπτυστος ἡ τοῦ ἡγουμένου ἀποφατικήτε καὶ αἰτιολογικὴ λῆψίς τε καὶ ἑρμηνεία. Αὐτὰ ταῦτα ῥητέον κἀπὶ τοῦ οὔτε τῷ τῆς πίστεως λόγῳ συνέβαινον, ὅτι μὴ πᾶσα ἀνάγκη, τοῖς πλήθεσι βιαζόμενοι. οὐ γὰρ δὴ τοῦτο βούλεται ὁ πατὴρ, ὅτι τῷ τῆς πίστεως λόγῳ οὐδ' ὑπὸ τοῦ πλήθους βιαζόμενοι, συνέβαινον, ἀλλ' ὅτι τῷ τῆς πίστεως λόγῳ ἑκόντες οὐ συνέβαινον, ὅτι μὴ, ἀντὶ τοῦ, πάρεξ ὑπὸ τοῦ πλήθους ἀναγκαζόμενοι. ὡς εἶναι τὸ, τοῖς πλήθεσι βιαζόμενοι, ἑρμηνευτικὸν τοῦ πᾶσα ἀνάγκη. πᾶσα τοιγαροῦν ἀνάγκη ἑκάτερα ταῦτα τὰ κῶλα, ὡς ταυτοδύναμα δύοιν θάτερον, ἢ καταφατικὰ εἶναι, ἢ ἀποφατικά. ἀλλὰ μὴν τὸ ἀποφατικὸν τούτων καὶ ἀσύστατον καὶ ἀδιανόητον, καταφατικὰ ἄρα ἐξ ὑποθέσεως ἐξαιρετικῆς. Ἀλλὰ τῶν ἐξαιρετικῶν φησι, θετικῶς εἴτ' οὖν καταφατικῶς πεφυκότων ἐπάγεσθαι, ἡ τούτων ἡγουμένη πρότασις καταφατικὴ μὲν, ἐπ' ἔλαττον. οἷον ἐγὼ δὲ καὶ τοῦτο μέμνημαι διηγορευμένον ἐν τοῖς νόμοις, ἐκτὸς εἰ μὴ διὰ τὴν πολλὴν δουλείαν ἐπιλέλησμαι. ὡς τὰ πολλὰ δὲ ἀποφατικὴ ἐστιν. οἷον, ἐγὼ δὲ οὐδένα προσβλέπειν, ἢ προσιέσθαι ἔχω, ὅτι μὴ σέ. ἐν ἄρα τῷ, ὅσον εἰς δαίμονας φέρει, διεπτύσαμεν, ὅτι μὴ κἀκ τούτων ὠφελήμεθα. τὸ ὅτι μὴ, τὴν ἡγουμένην πρότασιν καταφατικὴν ἔχον, (διεπτύσαμεν γάρ φησιν.) οὔτε ἐξαιρετικόν ἐστιν, οὔτε θετικόν. ἐπεὶ ὥρα, θετικοῦ τούτου ὑποτεθέντος, ἀποφατικὸν ἀσεβῶς τε καὶ ἀνοήτως τιθέναι τὸ τούτου ἡγούμενον, τοῦτ' ἔστιν οὐ διεπτύσαμεν. Ταῦτα οἱ ἐν ταῖς ἰδίαις αὐτῶν θέσεσι καὶ ἄκοντες ἁλισκόμενοι. εἰ γὰρ καὶ κατ' αὐτοὺς ἐξαιρετικά ἐστιν, ὧν ἡ ἡγουμένη πρότασις καταφατικὴ μὲν, ἐπ' ἔλλαττον, ὡς τὰ πολλὰ δὲ ἀποφατικὴ ἐστιν, ἐξαιρετικὰ ἄρα καὶ τῶν τοῦ θείου Γρηγορίου ἑκάτερα, τό, τέ φημι, ὅτι μὴ πᾶσα ἀνάγκη, καὶ τὸ, ὅτι μὴ κἀκ τούτων ὠφελήμεθα. εἴγε τὸ τούτων ἡγούμενον τοῦ μὲν, τῶν ὡς τὰ πολλὰ ἀποφατικῶν, τοῦ δὲ, τῶν ὡς ἐπ' ἔλλαττον καταφατικῶν ἐστι προτάσεων. τίς γὰρ ἡ ἀνάγκη ἀποφατικὸν εἶναι καὶ τὸ ἡγούμενον τοῦ ὅτι μὴ κἀκ τούτων ὠφελήμεθα, τῶν ἐξαιρετικῶν κατὰ τὴν ὑπόθεσιν μὴ ἐν τῷ καθόλου λόγῳ ἀποφατικὸν τὸ ἡγούμενον ἀπαιτούντων; ἐγὼ δὲ καὶ τοῦ, ὅτι μὴ κἀκ τούτων ὠφελήμεθα, τὸ ἡγούμενον, ἀποφατικὸν οὐδὲν ἧττον κατανοῶ. τὸ γὰρ διεπτύσαμεν, ταὐτὸ δύναται τῷ, οὐκ ἐδεξάμεθα. Κατὰ δὴ τὰ ὑποτεθέντα πᾶσα ἀνάγκη ἐξαιρετικὸν εἶναι κἀντῷ ά, στηλιτεύτ. Τὸ μὲν ἑαυτοῦ σαθρὸν ἤλεγξαι, τοὺς ἐλέγχους δὲ οὐ διέφυγεν, ὅτι μὴ καὶ μᾶλλον τούτοις ἑαυτὸν ὑποθεὶς ἠγνόησεν. Ἔτι μὴν καὶ τοῦ μεγάλου Βασιλείου ἐκεῖνο, οὐδὴ οὖν τῷ σώματι δουλευτέον, ὅτι μὴ πᾶσα ἀνάγκη, ἀλλὰ τῇ ψυχῇ τὰ βέλτιστα πορισέον. εἰ καὶ ὁ Μοριολόγος αὐτὸς ἑαυτῷ ἀντιφάσκων

κἀνταῦθα

κἀνταῦθα οὐ συνοίδεν, ἀποφατικὸν οὐχὶ θετικὸν εἶναι λέγων κἀν τούτοις τὸ ὅτι μὴ. οὗτινος ἡ ἡγουμένη πρότασις ἀποφατικὴ οὖσα, καὶ κατ' αὐτὸν ἐκεῖνον θετικόν τε ἅμα καὶ ἐξαιρετικὸν ὂν αὐτὸ προδηλότατα δείκνυσιν. Ἀλλὰ τὸ τοῦ ὅλου φησὶν, ἐξαιρούμενον εἴτ' οὖν ἀπομεριζόμενον, μερικόν ἐστι, τὸ δὲ, ὅτι μὴ πᾶσα ἀνάγκη, τὸν καθόλου προσδιορισμὸν ἔχον, οὐκ ἔστι μερικόν, οὐδ' ἐξαιρετικὸν ἄρα. Οὐχ ἁπλῶς μερικόν ἐστι πᾶν τὸ ἐξαιρούμενον, ἀλλὰ πρὸς τὸ ὅλον ἀναφερόμενον. καθ' ἑαυτὸ δὲ θεωρούμενον, ὅλον ἐστὶ καὶ αὐτό. ἐκ δὲ μείζονος μερικῆς ἐπὶ τοῦ β', σχήματος οὐδὲν συνάγεται. τῆς γὰρ πρὸς τὸ σῶμα ἁπλῶς δουλείας, εἴς τε τὴν ἀναγκαίαν διαιρουμένης καὶ τὴν περιττὴν καὶ τὴν μέσως πως ἔχουσαν, ἡ ἀναγκαία μέρος οὖσα, τῆς ἁπλῶς πρὸς τὸ σῶμα δουλείας, καθ' ἑαυτὴν γεμὴν θεωρουμένη, ὅλον ἐστίν.

Εἰς τὸ Ὥστε ἀποστατικόν.

Ἰσοκράτ. πλαταϊκ. εἰς τοῦθ' ἥκομεν ἀτυχίας, ὥστε μὴ μόνον ἡμῖν εἶναι τὸν ἀγῶνα πρὸς τούτους, κτ'. Ἐν ᾧ τὸ ἀπαρέμφατον ἀντὶ ὁριστικῆς ἐγκλίσεως κεῖται, ὡς αὐτὸς ὑποκαταβὰς, ἑρμηνεύει. τοσούτου γάρ φησι, δέομεν τῶν ἴσων ἀξιοῦσθαι τοῖς ἕλλησιν, ὥστε οὐχ ὅπως τῆς κοινῆς ἐλευθερίας μετέχομεν, ἀλλ' οὐδὲ δουλείας μετρίας ἠξιώθημεν τυχεῖν. ὁ αὐτὸς ἐν τῷ πανηγυρ. τοσούτου δέουσιν ἐλεεῖν, ὥστε καὶ μᾶλλον χαίρουσιν ἐπὶ τοῖς ἀλλήλων κακοῖς. Τοιοῦτο Καὶ γρηγορίου τοῦ θεολόγου. εἰς τὸν ἐπιτάφιον. Βασιλείου τὸ. „ Ἅπτεται γὰρ οὐ τῶν πολλῶν μόνον, ἀλλὰ „ καὶ τῶν ἀρίστων ὁ μῶμος. ὡς μόνου ἂν εἶ„ναι τοῦ θεοῦ τὸ παντελῶς ἄπταιστον καὶ ἀ„νάλωτον πάθεσιν. οὔτε γὰρ τελικὸν, οὔτε εἰδικὸν ᾧδε τὸ ἀπαρέμφατον, μηδόλως αὐτῷ τοῦ ἵνα ἀποτελεσματικοῦ, ἢ τοῦ ὅτι βεβαιωτικοῦ ἁρμόττοντος. οὐ μὴν ἀλλ' οὐδὲ ῥήματός του πτωτικὸν ἐκ α', ἢ ἐκ γ'. ἀλλὰ μὴν οὐδὲ τὸ ὡς, ἢ τῶν αἰτιολογικῶν, κατὰ τὸν Μοριολόγον, καὶ ὡς μὴ ἀμέσως ἐχόμενον τοῦ ἂν, καὶ ὡς οὐδενὸς τῶν αἰτιολογικῶν παρὰ τὸ ἐφ' ᾧ, ἀπαρεμφάτῳ πεφυκότος συντάσσεσθαι, ἢ τῶν ἀποτελεστικῶς πρὸς τελικὸν ἀπαρέμφατον φερομένων ἀποστατικῶν, τοῦ ἀπαρεμφάτου μὴ ὄντος, ὡς δέδεικται τελικοῦ. Ἔστιν ἄρα τὸ μὲν ἀπαρέμφατον ἀντὶ παρεμφαντικοῦ εἴτ' οὖν προσωπικοῦ ῥήματος, τὸ δὲ ὡς, τῶν συμπερασματικῶς οὐ μόνον πρὸς ἀπαρέμφατον, ἀλλὰ καὶ πρὸς ὁριστικὴν, διὰ δὲ τοῦ δυνητικοῦ πρὸς εὐκτικὴν φερομένων ἀποστατικῶν. ὁ δὲ ἂν, δυνητικὸς, μᾶλλον δὲ, ἀδύνατος παραπληρωματικός. ἀποφηνάμενος γὰρ ὁ θεῖος Πὴρ, ὅτι πάσχουσί τι ἀνίνον καὶ αὐτοὶ οἱ ἄριστοι, ἐπιφέρει συμπερασματικῶς, ὥστε μόνου ἂν εἴη τοῦ ἀσυγκρίτως τῶν ἀρίστων ὑπερκειμένου θεοῦ τὸ πάντῃ ἀνάλωτον, οἷς οἱ ἄριστοι ἁλίσκονται πάθεσι. Κἀπεὶ ὁ δυνητικὸς ᾧδε ἀδύνατος ὢν ὡς εἴρηται, παραπληροῖ, (δυνητικῶς γὰρ ληφθεὶς, ἀδυναμίαν τοῦ παντοδυνάμου κατηγορήσει Θεοῦ, δηλῶν τό γε εἰς αὐτὸν ἧκον, ὅτι τὸ θεῖον ἀνάλωτον πάθεσιν οὐκ ἔστι μὲν, δύναται δ' ὅμως γενέσθαι.) διὰ δὴ τοῦτο τὸ ἀπαρέμφατον μὴ ὂν, ὡς δέδεικται, οὔτε τελικὸν, οὔτε εἰδικὸν, οὔτε πτωτικὸν, ἀλλὰ παρεμφαντικὸν, οὐδ' ἀντὶ εὐκτικῆς, ἀλλ' ἀντὶ ὁριστικῆς ἐστιν. ὡς εἶναι τὸν νοῦν τοῦ Πρὸς οὑτωσὶ μεταφραζόμενον, ἁλίσκονται καὶ αὐτοὶ οἱ ἄριστοι πάθεσιν. ὥστε μόνου ἐστὶ τοῦ Θεοῦ τὸ πάντῃ ἀνάλωτον. συμπερασματικῶς φημι, κοὐχὶ καθ' ἣν ὁ Μοριολόγος ἐξ ὀνειρώξεως ἐκβατικὴν ἐτεκμήρατο ἔλλειψιν. ὃς μηθὲν τῆς ἰδίας ἑαυτοῦ μοριολογίας

γίας πρὸς τὴν ἑνός γε καὶ ταῦτα τετριμμένου μορίου ἑρμηνείαν ἀπονάμενος, ὡς πορρωτάτῳ τῆς τοῦ μεγάλου Πρὸς ἐννοίας ἐκβέβηκεν, ἀναγκασθῆναι λέγων αὐτὸν, οὐκ οἶδ' ὑφ' ὅτου, οὐχὶ τεχνικῶς, κατὰ δὲ τὸ τῆς γραφῆς ἰδίωμα φράσαι τὰ τῆς ἐκβάσεως, ἐκβατικοῦ τε καὶ ἐλλειπτικοῦ δῆθεν ὄντος τοῦ ὡς. Τί οὖν οὐχὶ προήνεγκέ τι τῶν γραφικῶν ὁ Μοριολόγος καθ' ἣν ὁ θεῖος πατὴρ οὐχὶ τεχνικῶς, ὡς ὁ ἐκείνου λῆρος, ἀλλὰ γραφικῶς μετεμόρφωσε σύνταξιν; ποῦ δέποτε προήνεγκεν ἡ γραφὴ τὰ τῆς ἐκβάσεως, ἢ ἀτέχνως, ἵν' ᾖ κατὰ τὸ τῆς γραφῆς δῆθεν ἄτεχνον καὶ ὁ τεχνικώτατος Πὴρ τὰ τῆς φράσεως τεκταινόμενος, ἢ καθ' ἣν ὁ μοριολόγος ἐτεκμήρατο ἔλλειψιν, ἵν' ᾖ καὶ τὰ τοῦ Πατρὸς ἐλλειπτικῶς ὑποδηλούμενα; Ἀλλὰ γὰρ ἐπεὶ τὸ μὲν τῆς γραφῆς ἐκβατικὸν ἰδίωμα οὔτε ἄτεχνον οὔτε ἐλλειπτικόν. (καὶ γὰρ ὁ μέγας Βασίλ. καὶ ἐντέχνως καὶ ἀνελλιπῶς αὐτῷ ἐχρήσατο. ὃς ἑρμηνεύων τὴν παραβολὴν τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστὰς, φησὶν, (ὁμλ', ἐν λακίζοις, περὶ τὸ τέλος. ,, ἀπὸ τοίνυν τῶν ὑψηλῶν ἐπὶ τὰ κάτω ἦλθεν ὁ ἀνὸς, ἵνα λῃσταῖς περιπέσῃ, τῆς ,, ἀσφαλείας ἐξελθὼν τῆς Ἱερουσαλὴμ, ,, ἵνα εὐάλωτος γένηται τοῖς κατὰ τὴν ἐρημίαν λῃσταῖς.) τὸ δέ, ὡς μόνου ἂν εἶναι τοῦ θεοῦ, κτ'. καὶ ἄτεχνον κατὰ τὸν μοριολόγον καὶ ἐλλειπές. οὐκ ἄρα τῶν ἐκβατικῶν, οὔτε μὴν τῶν γραφικῶν ἰδιωμάτων. οὐ μὴν ἀλλ' οὐδ' ἡ τέχνη ἐπιγινώσκει, ἣν ὁ Μοριολόγος ὠνειρώξατο ἔλλειψιν. καθ' ὅ, τι οὐδ' ἀποτελεστικοῦ κατ' αὐτὸν ὑποτεθέντος τοῦ ὡς, πέφυκέ τι τῶν ἀποτελεστικῶν μορίων κατ' ἔλλειψιν τοῦ ἀποτελέσματος, καὶ ὡς εἰπεῖν καθ' ἑαυτὸ συντάττεσθαι.

Εἰς τὸν δεύτερον τρόπον τῆς μετοχῆς εἴτ' οὖν τὸν ἀπὸ γενικῆς ἑτεροπροσωπικὸν ἀμετάβατον.

Ἰστέον ὡς τοῦ μὲν Φιλοσόφου διδάσκοντος ἐν οἷς οὐ κεῖται ὄνομα, ὀνοματοποιεῖν, τοῦ δὲ Θεοδώρου φίφον εἶναι λέγοντος, τὰ μὲν μὴ ὑπάρχοντα ὀνοματοθετεῖν, τὰ δὲ μοχθηρῶς ὠνομασμένα τοῖς πολλοῖς διορθοῦσθαι, χρῆσθαι δὲ πάλιν τοῖς ὀρθῶς κειμένοις ὀνόμασι, τινὲς οὐκ οἶδ' ὅπως τῶν μὲν ὀρθῶς εἴτ' οὖν προσφυῶς κειμένων ὀνομάτων καὶ ἀνελλιπῶς τὸ ὑποκείμενον ὁριζόντων μοχθηρίαν κατειπόντες, τῶν δὲ ταῦτα φιλοσόφως τὴν ἀρχὴν θεμένων ἀγνωμόνως τε ἅμα καὶ θρασέως καταδραμόντες, ὀνοματοθετεῖν οἴκοθεν προήχθησαν, ἀτὰρ οὐ προσφυῶς οὐδὲ κατὰ λόγον. Τὴν γὰρ τῆς μετοχῆς πρὸς τὸ ῥῆμα κατὰ τὸν δεύτερον τρόπον, ἑτεροπροσωπικὴν λέγω καὶ ἀμετάβατον σύνταξιν, οὐκ ἀπόλυτον εἴτ' οὖν ἀμετάβατον, ἀλλ' ἑτερόσχετον ἐκάλεσαν ὡς ἀνομοιόπτωτον, (πρὸς ἀντιδιαστολὴν δῆθεν τῆς τῶν ἄλλων τρόπων, τῆς, ὡς ἂν αὐτοὶ πάλιν εἴποιεν, ταυτοσχέτου, ὡς ὁμοιοπτώτως τῆς μὲν, τοῖς ἐκ πρώτου, τῆς δὲ, τοῖς ἐκ γ', πτωτικοῖς τοῦ ῥήματος πρὸς αὐτὸ φερομένης) σχέσιν μὲν ἡντιναοῦν δεδωκότες τῇ τοῦ β', τρόπου μετοχῇ πρὸς τὸ ῥῆμα, ἑτεροίαν, ὥς φασιν, ἢ κατὰ τὴν τῶν ἄλλων τρόπων, μὴ προεπιστήσαντες δὲ, εἴ ἐστιν ὅλως ἐπὶ τοῦ δευτέρου τρόπου σχέσις τις τοῦ ῥήματος πρὸς τὴν μετοχὴν ἢ ἐναλλάξ. Τριττῆς γὰρ οὔσης τῆς σχέσεως κατὰ τὸν Ἀριστοτέλην δ', μεταφ', τῆς μὲν, κατὰ ἀριθμὸν, τῆς δὲ, κατὰ δύναμιν, εἴτ' οὖν ἐνέργειαν, τῆς δὲ κατὰ μέτρον. (ὅρα λογικὴν κορυδλ', σελίδ. 259) ἡ τῶν μεταβατικῶν ῥημάτων πρὸς τὰ ἐκ τρίτου πτωτικὰ σχέσις κατ' ἐνέργειαν ἐστιν, εἴτ' οὖν μετάβασιν ἐνεργείας. εἴγε καὶ κατὰ τὸν Θεόδωρον τὰ ἀμετάβατα, ἀπόλυ-

ἀπόλυτά τε ἀκλίτα καὶ ἄχρονα. ἀλλὰ μὴν ὁ β', ξόπος ἀμεταβατός ἐστι κατὰ τὸν Θεόδωρον, τῆς τοιαύτης μετοχῆς ἔστε τοῖς ἑκατέρου τοῦ ῥήματος πρωτικοῖς ὁμοιοπτωτούσης, ἔστε λέγω ταυτοπροσωπικῶς ἀπὸ δι' ἑαυτοῦ ἀκολουθούσης τῷ ῥήματι, ἔστε ἑτεροπροσωπικῶς μὴν τοῦ ῥήματος ἐκδεχομένης μεταβασιν, καὶ ἄσχετος ἄρα. εἴρηται δὲ ἀμετάβατον ξύμπασιν ἁπλῶς τοῖς τεχνικοῖς ἀπόλυτόν τε καὶ ἄχρονον ὡμολόγηται. Ἀλλὰ πῶς ἄσχετός φησιν, ἧς εἰς ἀπαρτισμὸν λόγου πρὸς τὸ ῥῆμα ἀποδιδομένη καὶ ἀποδιδοῦσα, ἔξεστιν; ἢ δὲ ἐχὶ σχέσις καὶ ἡ ἀπόδοσις; ἢ ξύμπασας τὰς πρὸ ἡμῶν καὶ αὐτὰς δῆτα θαυμαζούσας τῶν τεχνῶν ἀρχιτέκτονας; Οὐκοῦν ὥρασοι μὴ μόνον τὴν μετοχὴν, ἀλλὰ καὶ ἁπλῶς ὑσιῶδές τε καὶ ἐνεργείᾳ δὲς πρωτικὸν ὀνοματικόν τε καὶ ἀρθρικὸν καὶ αὐτωνυμικὸν, ἔτι μὴν καὶ αὐτὰ τὰ συγκατηγορήματα ἑτεροπελῆ τε φημὶ καὶ προσρηματικὰ, καὶ ὅλως πᾶν τὸ ὀπωσοῦν πρόσρημα φερόμενον, μᾶλλον δὲ πᾶν μέρος λόγου τῶν πρός τι εἶναι λέγειν καὶ σχετικῶν. ἔτι γοῦν αὖ δ' ἠθέτερον; τί δὲ καὶ μοχθηρότερον τῆς ὀνοματοποιίας ταύτης, ἧς τὰς εἰδικὰς κατατομὰς ἐν δυσὶ τετράσι ὅλα συμπεριλαβεῖν ἱκανά; Καὶ δὴ καὶ τὴν τῶν ἄλλων τρόπων μετοχὴν, μὴ ὁμοιοπτώτως τὴν μὲν, τοῖς ἑκατέρου, τὴν δὲ, τοῖς ἑκατέρου, τοῦ ῥήματος πρωτικοῖς, ἀλλὰ καὶ τὸν β', ὡσανεὶ τρόπον ἔστιν ἐσχηματισμένην, ἑτεροσχετον καὶ αὐτὴν λέγουσι, τὸ τῆς μετοχῆς πρὸς τὸ ἑκατέρου, καὶ ἑκατέρου, καὶ τρίτου, πρωτικὸν ἀνομοιόπτωτον εἰς μυρία ὅσα διαιροῦντες. μᾶλλον δὲ καὶ πανοῦργοι ὄντες, ὡς δῆθεν τοῖς συγγράφουσιν ὄχρηστον, ἐκ αὐτῶν καὶ περὶ τούτου βατταρίζουσιν. ἦν μὲν παρὰ πᾶσιν ὁμολογουμένη δόξα, σπερμολόγους αὐτοὺς ἀπελέγχει. Αἱ δὲ λέξεις φησὶν εἰς ἰδίας θέσεις ἀ- ,, ναμεμερισμένας, τὸ ὁπωσοῦν παρεμπί- ,, πτοντα εἰς ἐκ ἐπιβάλλουσαν θέσιν ἐλέγ- ,, χεσθαι τῆς παρ' ἑαυτῶν ἀκολουθίας. ὥ- ,, στε ἀνάγκη τῶν ἑκατέρου, ἢ ἐκ τρίτου πρωτικῶν τὰ ταυτοπροσωπούντα, συνεξακολουθεῖν ἀλλήλοις τά τε ἄλλα τῶν σφίσι κοινῶς προσόντων καὶ τῇ πτῶσιν. τὸ δὲ ἀνακόλουθα εἶναι καὶ τοῖς ἀρχαίοις σχήματ' ἄττα ἐστὶν, ἡμῖν μὲν τοῖς σολοικισμὸς οὐτικρυς. Ἀποναίνεσθαι δὲ καὶ εἰ τῷ τὸ β', τρόπου μετοχὴν προθετόπτωτον εἶναι λέγοντες. ὡς δὴ καὶ τῶν ἄλλων τρόπων, ἔτωσι καὶ τὸ β', ἐκ ἐπεισάκτως, ἀλλ' οἰκοθεν αἰτιολογεῖ, καὶ χρονολογεῖ.

Τυπωσὶ μὲν οὖν τῆς ὡς τὸ τέταρτον τοῦ θεωρήματος ὑπομνήματος, εἴ τίς ἐστιν ὄρεξις, αὐτοὶ ἂν εἰδεῖεν οἱ ἐφιέμενοι. τῆς δέ τινες φιλοσοφίας ἐκ οἶδα ὅ, τί ποτε παθόντες, ἡμᾶς μὲν ἀπαλλάττειν ἠξίωσαν τῆς ἀνὰ χεῖρας πραγματείας τῆς λογικῶν συζητήσεων, αὐτοὶ δὲ οὐ τῇ κατ' αὐτοὺς λεγομένῃ Ὀντολογίᾳ θεολογοῦντες, καὶ ἐπὶ τὸν θεῖον εἰπεῖν Χρυσόμ. (ὁμιλ. θ'. καὶ ιβ', εἰς τὴν γένεσ. (τῷ ἀπὸ τῆς οἰκείας λογισμῶν ληρῳδίας ἐπεισφέροντες τοῖς τῆς ἐκκλησίας δόγμασιν, (οἱ δὴ οὐ τοῖς Θεολογικοῖς ἀριστοτελικὰ ἢ πλατωνικὰ κινοῦντες, ἀφ' ἑαυτῆς φησι, λαλοῦσι, τοῦτ' ἔστιν ἐξωνόμω. λόγῳ περὶ τοῦ ἁγίου πνεύματος) οὐκ ἐρυθριῶσι, μιγνύντες τὰ ἄμικτα, καὶ δὲ ἀσυλλογίστως περὶ θεοῦ συλλογιζόμενοι, ξυνορᾶν ὅλως ἔχουσι. Τὸ κατ' οὐσίαν γάρ φασι, καὶ καθ' ὑπαρξιν (ὅπερ ἐστὶ τὸ περὶ τὴν οὐσίαν) ἀναγκαῖον, ἔστιν ἀναλλοίωτον. ἀλλὰ μὴν τὸ θεῖόν φασιν, ἀναγκαίον ἐστὶ καθ' ἑκάτερα, ἄρα. Ὅτι δὲ ὁ συλλογισμὸς οὗτος πάντῃ ἐστὶ διημαρτημένος, μὴ ὢν μὲν, σχῆμα δὲ μόνον ἔχων καὶ φαινόμενος, μᾶλλον δὲ οὐδὲ τοῦτο, πολλαχόθεν δέδεικται. πρῶτον μὲν δὴ

μὲν γὰρ ἐκεῖνο διωμολόγηται, ὡς μοναδικόν ἐστι τῇ φύσει τὸ Θεῖον, καὶ τοιοῦτο μοναδικόν, ὡς οὐκ ἐκ πολλῶν ἐν, ἢ ὡς ἐξ ὕλης καὶ εἴδους, (οἷος ὁ κόσμος. ὁ ἥλιος, ἀφ' ἑαυτοῦ ἔχων τὸ φῶς. ὁ οὐνὸς, πέμπτης ὢν οὐσίας καθ' ἡμᾶς. ἡ οὐνία κίνησις μόνη, ζωογονοῦσα. ἡ σελήνη. ὁ καθ' ἱστορίαν φοῖνιξ τὸ πτηνόν. ὁ χερσὶ Θεοῦ πλασθεὶς πρῶτος ἄνος. ὧν καὶ αὐτῶν μοναδικὸν μὲν ἕκαστον, οὐ μὴν ἁπλοῦν, ἀλλὰ σύνθετον ἐξ ὕλης καὶ εἴδους) ἢ ὡς ἐκ γένους καὶ διαφορῶν. οἷον, τὸ εἰδικώτατον εἶδος. ἀλλ' ἁπλῶς ἐν. ἐπὶ δὲ τούτου τοῦ ἑνὸς οὐκ ἔστι τό δέ τι εἶναι καὶ ὑποκείμενον. ὑποκειμένου δὲ ἄνευ πρότασις οὐκ ἔστιν. εἴγ' ἀποφαίνεσθαί τι πέφυκεν αὕτη ἤτοι κατά τινος, ἢ ἀπό τινος ὑποκειμένου. προτάσεως δὲ μὴ οὔσης, συλλογισμὸς πῶς ἂν γένοιτο; Εἰ δὲ φήσουσιν, ὡς τὰ κατὰ τοῦ Θεοῦ λεγόμενα, ἐκ τῶν περὶ αὐτὸν, ἀλλ' οὐκ ἐκ τῶν κατ' αὐτόν ἐστιν, Ἀκούσουσιν οἱ τοιοῦτοι, ὡς οὐδὲν τῶν τῷ ἑνὶ καὶ μόνῳ θεῷ ἑπομένων Εἴτ' οὖν προσόντων, ἐπιπλέον ἐστὶν αὐτοῦ, ἀλλὰ καὶ τούτων ἕκαστον μοναδικόν ἐστι κατ' αὐτόν. καὶ ὅ, τι ἂν τούτων αὐτοῦ κατηγορῆται, οὐ καθόλου. οὐδεὶς γὰρ ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θὸς, ὁ μόνος δίκαιος, ὁ μόνος σοφός. ὁ μόνος δυνάστης. ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, εἰρήσθω δὲ κατ' αὐτοὺς καὶ ὁ μόνος ἀναγκαῖος κατ' οὐσίαν καὶ καθ' ὕπαρξιν. Τοῦ ἄρα ἐν τῷ προκειμένῳ συλλογισμῷ μέσου ὅρου, ὡς ἐν τῇ ἐλλάττονι, οὕτω κἂν τῇ μείζονι τῶν προτάσεων μοναδικῶς, ληφθέντος καὶ ὡς εἰπεῖν ἀτομικῶς, ἀσύστατός ἐστιν ὁ συλλογισμὸς, ἐστερημένος τοῦ καθόλου. εἴγε κοινὸν τῶν τριῶν σχημάτων τὸ τὴν ἑτέραν τῶν προτάσεων ἔχειν καθόλου. δεύτερον δὲ, ἐξ ἀνυποστάτου λήμματος τὸ ὑφεστὼς ἀποδυκνύειν πειρᾶται, καὶ ἐκ τῶν μηδαμῇ μηδαμῶς ὄντων τὸ αἰωνίως Ὄν. εἴγ' ὁμολόγως τὰ μὲν καθόλου ἐκ τῆς τῶν καθ' ἕκαστα ἐπαγωγῆς συνάγεσθαι πέφυκεν, ἡ δὲ τοῦ προκειμένου συλλογισμοῦ καθόλου δοκοῦσα πρότασις, οὐδὲν ἔχει ἐπαγαγεῖν τῶν καθ' ἕκαστα, οἷον ὑποτίθησιν, ὅτι μὴ τὸ θεῖον. τοῦτο δὲ κεῖται ἐν τῇ ἐλάττονι. οὐκ ἄρα καθόλου, οὔτε μερική. καὶ δὴ ἀσύστατός τε ἅμα καὶ ἀνύπαρκτος. Εἰ δὲ δοίημεν, ὅπερ ἡ φύσις οὔτε ἔδωκεν, οὔτε δίδωσιν, οὔτε δώσει ποτὲ, ὑφεστάναι, ὅ ἐστιν ἀληθεύειν τὴν μείζονα, ᾗ καθόλου, δυοῖν θάτερον, ἤτοι τῇ πληθύϊ ἔσται ἡμῖν τὸ θεῖον συντεταγμένον, τὸ πάσης ἐξῃρημένον πληθύος. ὃ καὶ λίαν ἐστὶ πλημμελὲς, ἀπὸ τῶν κτιστῶν περὶ τῆς ἀκτίστου φύσεως συλλογιζόμενον, εἰς κτίσιν αὐτὴν κατάγειν, ἢ τούτου ἐν τῇ κατ' αὐτὸ μοναδικῇ ὑπεροχῇ μένοντος, ἀσυνάρτητος πάλιν ἔσται ὁ συλλογισμὸς, τοῦ κατ' αὐτὸν μέσου ὅρου μὴ ὄντος κοινοῦ. ὡς οὐχ ὡσαύτως, εἴτ' οὖν συνωνύμως, ἀλλ' ὁμωνύμως εἰλημμένου. εἴγε τῶν προτάσεων ἔνυλον μὲν ἡ μείζων, ἄϋλον δ' ἡ ἐλλάττων τὴν οὐσίαν προβάλλεται, εἴτ' οὖν ἡ μὲν, κτιστὴν, ἡ δ' ἄκτιστον. ἡ δ' αὖ ὕπαρξις ἐν μὲν τῇ μείζονι, τὸ παρυφεστάναι εἴτ' οὖν ἐνυπάρχειν, καὶ ὡς εἰπεῖν ἐνεῖναι, ἐν δὲ τῇ ἐλάττονι, τὸ προσεῖναι βούλεται. ὧν οὐ ταὐτὸν ἑκάτερον δύναται, ἀλλὰ τὸ μὲν, δηλοῖ τὸ οὐσιῳδῶς, οἷα τὰ τῷ θεῷ προσόντα, τὸ δὲ, ἐπουσιῳδῶς, τὸ ἐνυπάρχειν, οἷα τὰ συμβεβηκότα. Πῶς δὲ καὶ ἀναγκαῖον ὅλως ἔσται τὸ καθ' ὕπαρξιν; εἴγε τὸ μὲν ἀναγκαῖον ἀεὶ ὡσαύτως ἔχον ἐστὶ, καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν, τὸ δὲ καθ' ὕπαρξιν πρὸς τὸ κατ' οὐσίαν ἀντιδιαστελλόμενον, μεταβλητόν τέ ἐστιν, ἵνα τοῖς αὐτῶν συγχρήσωμαι λόγοις, καὶ ἐν ῥοῇ καὶ ἐνδεχόμενον; οὕτω γὰρ αὐτοὶ τὴν ὕπαρξιν ἐκλαμβάνουσιν. Ὁρᾷς τουτονὶ τὸν ἠκριβωμένον αὐτῶν περὶ Θεοῦ συλλογισμὸν, ὡς οὔτε ἀποδεικτικός ἐστιν. (οὐδὲ γὰρ

ςιν, (οὐδὲ γὰρ ἐκ κοινῶν ἐννοιῶν εἴτ' οὖν ἀνα-
ποδείκτων ἀρχῶν καὶ ἀξιωμάτων, ἢ τό γε
δεύτερον ἐξ ἐπαγωγῆς τῶν καθ' ἕκαςα.)
οὔτε διαλεκτικός; (οὐδὲ γὰρ οὐδὲ ἐξ ἐνδόξων.
τίς γὰρ τῶν πώποτε ἐνδόξων ἠξίωσεν ἕτε-
ρόν τι παρὰ τὸ Θεῖον εἶναι κατά τε οὐσίαν καὶ
τὰ περὶ τὴν οὐσίαν (οὐ γὰρ ἂν εἴποιμι τὰ κα-
θ' ὕπαρξιν.) ἀναγκαῖον; εἰ μή τις ἐν
δόξους λέγοι τοὺς ἔνθα μὲν, πολλὰ καὶ ἄλλα
κατὰ τὸ θεῖον τιθεμένους, ἔνθα δὲ, ἐν τῶν
πολλῶν τὸ θεῖον συμπεραίνοντας.) οὔτε πά-
λιν σοφιςικός, εἴγ' οὐ ψευδὲς, ἀλλ' αὐτόπι-
ςον τὸ ἀσυλλογίςως συναγόμενον. ἄρρη-
τος δὲ μᾶλλον καὶ ἀδιανόητος; Διὰ δὴ ταῦ-
τα αὐτοὺς προσῆκε μᾶλλον ἀπαλλάττειν τὸ
ὑπὲρ τὰ ὄντα τῶν ὄντων, ἤπερ ἡμᾶς τοῦ προ-
σφυοῦς λόγου λόγον τὸν κατὰ σύνταξιν, τοῦ
Θεοδώρου πολὺ πρότερον τὸ τοιοῦτο ἐνδει-
ξαμένου, ἐν οἷς τά τε ἄλλα καὶ δὴ καὶ τόπους
ἐξέθετο. τόπος δὲ τί ἂν εἴη, ἀλλ' ἢ κοινὸς
καὶ μέσος ὅρος; φαίην δ' ἂν ἔγωγε, ὡς καὶ
ἀπηρτισμένος δυνάμει συλλογισμός; οἱ δὲ
τούτου γ' ἕνεκα οὐδὲ τούτου καίτοι πολὺν ἐπὶ
σοφίᾳ λόγον τοῖς παλαιοῖς ἐσχηκότος, ἀ-
πέσχοντο, μή τέ τι τῶν δεόντων εἰπόντες
αὐτὸν πραγματεύσασθαι, μήτε μὴν ἐν τῷ
δέοντι λόγῳ ἔςιν ἃ τῶν ἐν τῇ προκειμένῃ
πραγματείᾳ προχειρίσασθαι. φιλοσόφου
γὰρ εἶναι, ἀλλ' οὐ γραμματικοῦ τὰ τοιαῦτα,
καί τοι τοῦ Θεοδώρου τὴν προκειμένην θεω-
ρίαν φιλόσοφον ἄλλως οὖσαν, ὡς γε μὴν πε-
ρὶ τοῦ συντακτικοῦ λόγου πραγματευομένην,
Γραματικοῦ εἶναι προαναφωνήσαντος. κἂν
τῷ ἐπιλόγῳ δὲ τὰ ἐπιπλέον τε καὶ ἀκριβέ-
ςερον ῥηθησόμενα, ἥκιςα τῆς παρούσης εἶ-
ναι προθέσεως ἐπειπὼν, τρανῶς παρίςη-
σιν ὡς τὰ εἰρημένα οὐδεμιᾶς, ἀλλ' ἢ τῆς κα-
τὰ γραμματικὴν τυγχάνει προθέσεως. καὶ
γὰρ ἵνα παραλείψω τ' ἄλλα, καὶ αὐτὴ ἡ κατὰ
τοὺς ὑποθετικοὺς τῶν συνδέσμων ἀνάπτυ-

ξις, ὧν συχνὴ παρὰ τοῖς διαλεκτικοῖς ἡ χρῆ-
σις, οὐ πρὸς αὐτῶν ἂν εἴη μᾶλλον ἢ πρὸς
γραμματικοῦ. πρὸ ἔργου γὰρ καὶ αὐτὸν εἰδέναι
τὰ κατ' αὐτοὺς, τῇ μὲν, ἵνα μὴ τοῦ συνημ-
μένου τὸ ἡγούμενον, λόγον ἐν τελῇ ὑπο-
λάβῃ, ὡς ἐξ ὀνόματος δῆθεν συνεςὼς καὶ ῥή-
ματος. εἴγε τὸ ἐν αὐτῷ κατηγορούμενον,
τῷ ὑποκειμένῳ οὐχ ὑπάρχει. τῇ δὲ, ὅπως
τε τῇ τῆς ἀκολουθήσεως ποιᾷ τάξει ἀναλό-
γως ἀποδῷ τὰς ἐκγλίσεις, καὶ ὅπως μὴ κατὰ
τελείαν ἢ μέσην, κατὰ δὲ ἀτελῆ διαςολὴν ἀ-
παγγείλῃτε φθεγγόμενος, καὶ ςίξῃ γράφων
τῶν συνημμένων κομμάτων, ἢ κώλων τὸ
ἡγούμενον, ὡς τῆς διανοίας μὴ συναποτελου-
μένης τούτῳ διὰ τὴν τοῦ ἑπομένου ἀκολούθη-
σιν. καὶ αὐτὸ δὲ τὸ ἀπαγγέλλειν καθ' ὑ-
πόκρισιν οὐ μᾶλλον ῥήτορος, ἢ καὶ γραμμα-
τικοῦ τυγχάνει. εἴγε τὰ ἀπαγγελλόμενα
οὐδὲν ἀλλ' ἢ φωναὶ σημαντικαὶ εἴτ' οὖν λέξεις
εἰσίν. ὧν οὐχ ἥκιςα τῆς εὐαρμόςου συντά-
ξεως ἢ τῆς ἀπαγγελίας πρόνοιαν ὁ γραμμα-
τικὸς ποιεῖται, φωνητικὸν ὂν ζῷον καὶ αὐτός.
οὐμὴν ἀλλὰ καὶ τὴν ἀνάπτυξιν τῶν παρὰ
ποιηταῖς καὶ συγγραφεῦσιν ἐπαγγελλόμε-
νον, ὅπερ ἐςιν ἐπάγγελμα τῆς τελεωτέρας
γραμματικῆς, τὸ γὰρ γράφειν καὶ ἀναγινώσκειν
τῆς ἀτελεςέρας ἐςί. πρὸ ἔργου ὁπωσοῦν γοῦν
εἰδέναι, οὐ μόνον τὸ κατὰ τὰς φωνὰς σχετικὸν,
ἢ ἀπόλυτον. ἀλλὰ καὶ τὰς κατὰ ψυχὴν ἐγκλί-
σεις, καὶ τὰς κατὰ σῶμα διαθέσεις, ἔτι καὶ τὸ κα-
τ' αὐτὰς ἁπλοῦν, ἢ σύνθετον τοῦ λόγου, καὶ αὐ-
τὴν τοῦ αἰτίου τὴν τετρακτὺν, αἰτιῳδῶς ἐ-
πιτοπολὺ τῆς κατὰ διάθεσιν συνθέσεως γι-
γνομένης. λέγω δὲ ἐγκλίσεις μὲν, βού-
λημα, ἢ πάθημα. διαθέσεις δὲ, ἐνέργει-
αν ἢ πάθος. τὰ μὲν, ψυχῆς οὖσαν δύνα-
μιν ἐνεργούσης τῇ μὲν, καθ' ἑαυτὴν, τῇ δὲ,
πρὸς ἕτερον. τὰ δὲ, σώματος ἢ καὶ τοῦ συ-
ναμφοτέρου κίνησιν. Ἐφ' οἷς καὶ τῶν τῷ ὑ-
παρκτικῷ συνημμένων δυοῖν πτωτικῶν,
ὁποῖον μὲν,

γίας πρὸς τὸν εὐθύς γε καὶ πᾶσα τετριμμένην μοῖραν ἑρμηνείαν ἀπονέμων, ὡς πορρωτάτω τῆς τοῦ μεγάλου Πρὸς οὐσίας ἐκβέβηκεν, ἀναγκαζόμενος λέγων αὐτὸν, ἀκοῖδ' ὑφ' ὅτου, οὐχὶ τεχνικῶς, κατὰ δὲ τὸ τῆς γραφῆς ἰδίωμα φράσαι τὰ τῆς ἐκβάσεως, ἐκβατικόν τε καὶ ἐλλειπτικὸν δηθὲν ὄντος τοῦ ὡς. Τί δὲν οὐχὶ προήνεγκέ τι τῶν γραφικῶν ὁ Μοσχολόγος καθ' ὃν ὁ θεῖος πατὴρ οὐχὶ τεχνικῶς, ὡς ὁ ἐκείνου λήρος, ἀλλὰ γραφικῶς μετεμόρφωσε σωτῆρα; τοῦ δ' ποτε προήνεγκον ἢ γραφὴ τὰ τῆς ἐκβάσεως, ἢ ἀτεχνῶς, ἵν' ᾖ καὶ τὸ τῆς γραφῆς δηθὲν ἄτεχνον καὶ ὁ τεχνικώτατος Παῦλος τοῦ τῆς φράσεως τεχναινόμενος, ἢ καθ' ὃν ὁμολογοῦσι τετριμμένον ἔλλειψιν, ἵν' ᾖ καὶ τὸ τῆς Πηγῆς ἐλλειπτικῶς ὑποδηλούμενα; Ἀλλὰ γὰρ ἐπεὶ τὸ μὲν τῆς γραφῆς ἐκβατικὸν ἰδίωμα ἔστε ἄτεχνον ἔστε ἐλλειπτικόν. (καὶ γὰρ ὁ μέγας Βασίλ. καὶ οὐτέχνως καὶ ἀνελλιπῶς αὐτῷ ἐχρήσατο. ὃς ἑρμηνεύων τὸν παραβολὸν τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστὰς, φησὶν, (ἐμοὶ, οὐ λακίζοις, περὶ τοῦ τέλους. „ἀπὸ τούτου τοῦ ὑψηλοῦ ἐπὶ τὸ κάτω ἦλ„θεν ὁ ἄνθρ, ἵνα λῃσταῖς περιπέσῃ, τῆς „ἀσφαλείας ἐξελθὼν τῆς Ἱερουσαλὴμ, „ἵνα δι' ἄλλου γενήται τοῖς καὶ τοῦ ἑρμή„νευμα λῃσταῖς.) τὸ δὲ, ὡς μόνος ἂν εἶναι τὰ θεῖα, κτ. καὶ ἄτεχνον καὶ τὸν μοσχολόγον καὶ ἐλλειπές. οὐκ ἄρα τοῦ ἐκβατικῶν, ἔστε μὴν τοῦ γραφικῶν ἰδιωμάτων. ἐμοὶ μὲν ἀλλ' οὐδ' ἡ τέχνη ἐπιγινώσκει, ὃν ὁ Μοσχολόγος ὠνειρώξατο ἔλλειψιν. καθ' ὅ, τι δ' ἀποτελεστικὸς κατ' αὐτὸν ὑποτεθέντος τοῦ ὡς, πέφυκέ τι τοῦ ἀποτελεστικῶν μορίων κατ' ἔλλειψιν τοῦ ἀποτελέσματος, καὶ ὡς εἰπεῖν καθ' ἑαυτὸ σωπᾶσθαι.

Σζ.

Εἰς τὸν δεύτερον τρόπον τῆς μετοχῆς εἴτ' ὂν τὸν ἀπὸ γενικῆς ἑτεροπροσωπικὸν ἀμεταβατον.

Τέον ὡς τὰ μὲν Φιλοσόφῳ διδάσκοντος ἐν οἷς κεῖται ὄνομα, ὀνοματοποιεῖν, τὰ δὲ Θεοδώρῳ φέρον οὕτω λέγοντος, τὰ μὲν μὴ ὑπάρχοντα ὀνοματοθετεῖν, τὰ δὲ μοχθηρῶς ὠνομασμένα τοῖς πολλοῖς διορθοῦσθαι, χρῆσθαι δὲ πάλιν τοῖς ὀρθῶς κειμένοις ὀνόμασι, τινὲς ὑπ οἶδ' ὅπως τοῦ μὲν ὀρθῶς εἴτ' ὂν προσφυῶς κειμένων ὀνομάτων καὶ ἀνελλιπῶς τὸ ὑποκείμενον οἰκειζόντων μοχθηρίαν κατηπόντες, τοῦ δὲ ταὐτὰ φιλοσόφως τῷ ἀρχαίῳ θεμένων ἀγνωμόνως τε ἅμα καὶ θρασέως καταδραμόντες, ὀνοματοθετεῖν οἱ πόθεν προήχθησαν, αὐτάρκως προσφυῶς δὲ καὶ λόγον. Τῷ δὲ τῆς μετοχῆς τρόπος τὸ ῥῆμα καὶ τὸν δεύτερον τρόπον, ἑτεροπροσωπικὸν λέγω καὶ ἀμετάβατον σωπᾶξιν, καὶ ἀπόλυτον εἴτ' ὂν ἀμετάβατον, ἀλλ' ἐπροέχετον ἐκάλεσαν ὡς ἀνομοιόπτωτον, (τρόπος ἀντιδιαζεύξεως δηθὲν τοῦ τῶν ἄλλων τρόπων, τοῦ, ὡς αὐτοὶ πάλιν εἴποιεν, ταυτοχέτου, ὡς ὁμοιοπτώτου τοῦ μὲν, τοῖς ἐκ πρώτου, τοῦ δὲ, τοῖς ἐκ γ, πτωτικοῖς τὸ ῥήματος τρόπος αὐτὸ φερομένης) χέσιν μεσολιτυναῖν δεδωκότες τῇ τὸ β, τρόπου μετοχῆ τρόπος τὸ ῥῆμα, ἑτεροίαν, ὡς φασιν, ἢ καὶ τῶν τῶν ἄλλων τρόπων, μὴ προσπεσήσαντες δὲ, εἰ ἔστιν ὅλως ἐπὶ τὸ δεύτερον τρόπου χέσις τοῦ ῥήματος τρόπος τῶν μετοχῶν ἢ σαλάξ. Τετάρτης δὲ ὄσης τῆς χέσεως καὶ τοῦ Ἀριστοτέλους δ', μεταφ, τοῦ μὲν, καὶ ἀριθμὸν, τοῦ δὲ, καὶ δυνάμιν, εἴτ' ἂν ἐνέργειαν, τοῦ δὲ καὶ μέγεθος. (ὅρα λογικὴν καρυδλ', σελίδ. 259) ἢ τῶν μεταβατικῶν ῥημάτων τρόπος τὰ ἐκ τρίτου πτωτικὰ χέσις κατ' ἐνέργειαν ἔστιν, εἴτ' ἂν μετάβασιν ἐνεργείας. ἄγε καὶ τὸν Θεόδωρον τὰ ἀμετάβατα, ἀπόλυ-

ἀπόλυτά τε ἀκόλουθα ἔχειν. ἀλλὰ μὴν ὁ β', ξόανος ἀμεταβατός ἐστι κατὰ τὸν Θεόδωρον, τῆς τότε μετοχῆς ὅτε τοῖς ἐκ, ὅτε τοῖς ἐκ τρίτου τοῦ ῥήματος πτωτικοῖς ὁμοιοπτωτούσης, ὅτε λέγω ταυτοπροσωπικῶς ἀπ' ὀθείας ἀκολουθούσης τῷ ῥήματι, ὅτε ἑτεροπροσωπικῶς τὴν τοῦ ῥήματος ἐκδεχομένης μεταβασιν, καὶ ἄσχετος ἄρα. ἔγωγε τὸ ἀμετάβατον ξύμπασιν ἁπλῶς τοῖς τεχνικοῖς ἀπόλυτόν τε καὶ ἄσχετον ὁμολογῶ. Ἀλλὰ πῶς ἄσχετός φησιν, ἢ εἰς ἀπαρτισμὸν λόγου πρὸς τὸ ῥῆμα ἀποδιδομένη καὶ ἀποδέουσα, ἔ ἀκαθάρ; ἢ γὰρ ἐχέγγυος καὶ ἡ ἀπόδοσις; ἢ ξύμπασπις τοὺς πρὸ ἡμῶν καὶ αὐτὸς δῆτα θαλαθοῦσα τοὺς τῶν τεχνῶν ἀρχιτέκτονας; Οὐκοῦν ὥρα σοι μὴ μόνον τὴν μετοχὴν, ἀλλὰ πᾶν ἁπλῶς ὑσιῳδές τε καὶ ἐπισιῳδὲς πτωτικὸν ὀνοματικόν τε καὶ ἄρθρικὸν καὶ αὐτωνυμικόν, ἔτι μὴν καὶ αὐτὰ τὰ συγκατηγορήματα ἑτεροπελῆ τε φημι καὶ προσρηματικὰ, καὶ ὅλως πᾶν τὸ ὀπωσοῦν πρὸς ῥῆμα φερόμενον, μᾶλλον δὲ πᾶν μέρος λόγου τῶν πρός τι εἶναι λέγειν καὶ χατικῶν. ἔτι γοῦν αὖ δεύτερον; τί δὲ καὶ μοχθηρότερον τῆς ὀνοματοποιίας ταύτης, ἧς τὰς εἰδικὰς κατατομὰς ἀδὲ δύω τετράδες ὅλα συμπεριλαβεῖν ἱκαναί; Καὶ γὰρ καὶ τὴν τῶν ἄλλων τρόπων μετοχὴν, μὴ ὁμοιοπτώτως τὴν μὲν, τοῖς ἐκ, τὴν δὲ, τοῖς ἐκ, τοῦ ῥήματος πτωτικοῖς, ἀλλὰ καὶ τὸν β', ὡσανεὶ τρόπον ἔστιν ἐσχηματισμένην, ἑτερόσχετον καὶ αὐτὴν λέγουσι, τὸ τῆς μετοχῆς πρὸς τὸ ἐκ πρώτου, ἢ ἐκ τρίτου, πτωτικὸν ἀνομοίοπτωτον εἰς μυρίαδας διαιροῦντες. μᾶλλον δὲ καὶ κανονίζοντες, ὡς δεῖ θεῖν τοῖς συγγραφεῦσιν εὐχρηστον, καὶ οὐκ αὐθαδιάζοντες καὶ περὶ τούτου βασανίζουσιν. ἔγωγε μὲν παρὰ πᾶσιν ὁμολογουμένην δόξαν, ἀστομολόγως αὐτοὺς ἀπελέγχει. Αἱ γὰρ λέξεις φησὶν εἰς ἰδίας θέσεις ἀναμεμερισμένας, τὸ ὁπωσοῦν παρεμπίπτοντα εἰς καὶ ἐπιβάλλουσαν θέσιν ἐλέγχεσθαι τῆς παρ' ἑαυτῶν ἀκολουθίας. ὥστε ἀνάγκη τῶν ἐκ, ἢ ἐκ τρίτου πτωτικῶν τὸ ταυτοπροσωποῦντα, συνεξακολουθεῖν ἀλλήλοις τά τε ἄλλα τῶν σφίσι κοινῶς προσόντων καὶ τῇ τῶν πτώσιν. τὸ δὲ ἀνακόλουθα εἶναι καὶ τοῖς ἀρχαίοις σχήματα ἄπτα ἐστὶν, ἡμῖν μὴν τοι σολοικισμὸς ὠτίπυρος. Ἀνοητοῦσι δὲ καὶ οἱ τῶν τοῦ β', τρόπον μετοχὴν προθετόπτωτον εἶναι λέγοντες. ὡς γὰρ καὶ τῶν ἄλλων τρόπων, ἤτοι καὶ ἡ τοῦ β', οὐκ ἐπισάκτως, ἀλλ' οἰκοθεν αἰτιολογεῖται, καὶ χρονολογεῖται.

Τέως μὲν οὖν τῆς ὡς τὸ τέταρτον τοῦ Θεοδώρου ὑπομνήματος, εἴ τίς ἐστιν ὄνησις, αὐτοὶ ἂν εἰδεῖεν οἱ ἐφεξῆς. τῆς δέ τινες φιλοσοφίας οὐκ οἶδα ὅ, τί ποτε πάσχοντες, ἡμᾶς μὲν ἀπαλλάττειν ἠξίωσαν τῶν κατὰ χεῖρας πραγματείας τῆς λογικῶν συζητήσεων, αὐτοὶ δὲ ἐν τῇ κατ' αὐτοὺς λεγομένῃ Ὀντολογίᾳ θεολογοῦντες, καὶ καθ' τὸν θεῖον εἰπεῖν Χρυσόστομ. (ὁμιλ. θ'. εἰς τὴν γένεσ. (τῶν ἀπὸ τῆς οἰκείας λογισμῶν ληρῳδίαν ἐπισφέροντες τοῖς τῆς ἐκκλησίας δόγμασιν, (οἱ γὰρ ἐν τοῖς Θεολογικοῖς ἀειστελικὰ ἢ πλατωνικὰ κινοῦντες, ἀφ' ἑαυτῶν φησι, λαλοῦσι, τοῦτ' ἔστιν ἔξω νόμου. λόγῳ περὶ τὰ ἁγία τοῦ) οὐκ ἐρυθριῶσι, μιγνυόντες τὰ ἄμικτα, ἀδὲ ἀσυλλογίστως περὶ θεῖα συλλογιζόμενοι, ξυμφορᾶν ὅλας ἔχουσι. Τὸ κατ' οὐσίαν γὰρ φασι, καὶ καθ' ὕπαρξιν (ὅπερ ἐστὶ τὰ περὶ τῶν οὐσίαν) ἀναγκαῖον, ἐστὶν ἀναλλοίωτον. ἀλλὰ μὴν τὸ θεῖον φασιν, ἀναγκαίως ἐστὶ καθ' ἑκάτερα, ἄρα. Ὅτι δὲ ὁ συλλογισμὸς οὗτος πάντῃ ἐστὶ διημαρτημένος, μὴ ὢν μὲν, σχῆμα δὲ μόνον ἔχων καὶ φαινόμενος, μᾶλλον δὲ οὐδὲ τοῦτο, πολλαχόθεν δείκνυται. πρῶτον μὲν γὰρ

μὲν γὰρ ἐκεῖνο διωμολόγηται, ὡς μοναδικόν ἐστι τῇ φύσει τὸ Θεῖον, καὶ τοιοῦτο μοναδικὸν, ὡς οὐκ ἐκ πολλῶν ἐν, ἢ ὡς ἐξ ὕλης καὶ εἴδους, (οἷος ὁ κόσμος. ὁ ἥλιος, ἀφ' ἑαυτοῦ ἔχων τὸ φῶς. ὁ οὐνὸς, πέμπτης ὢν οὐσίας καθ' ἡμᾶς. ἡ οὐνία κίνησις μόνη, ζωογονοῦσα. ἡ σελήνη. ὁ καθ' ἱστορίαν φοῖνιξ τὸ πτηνόν. ὁ χερσὶ Θεοῦ πλασθεὶς πρῶτος ἄνος. ὧν καὶ αὐτῶν μοναδικὸν μὲν ἕκαστον, οὐ μὴν ἁπλοῦν, ἀλλὰ σύνθετον ἐξ ὕλης καὶ εἴδους) ἢ ὡς ἐκ γένους καὶ διαφορῶν. οἷον, τὸ εἰδικώτατον εἶδος. ἀλλ' ἁπλῶς ἐν. ἐπὶ δὲ τούτου τοῦ ἑνὸς οὐκ ἔστι τό δέ τι εἶναι καὶ ὑποκείμενον. ὑποκειμένου δὲ ἄνευ πρότασις οὐκ ἔστιν. εἴγ' ἀποφαίνεσθαί τι πέφυκεν αὕτη ἤτοι κατά τινος, ἢ ἀπό τινος ὑποκειμένου. προτάσεως δὲ μὴ οὔσης, συλλογισμὸς πῶς ἂν γένοιτο; Εἰ δὲ φήσουσιν, ὡς τὰ κατὰ τοῦ Θεοῦ λεγόμενα, ἐκ τῶν περὶ αὐτὸν, ἀλλ' οὐκ ἐκ τῶν κατ' αὐτόν ἐστιν, Ἀκούσουσιν οἱ τοιοῦτοι, ὡς οὐδὲν τῶν τῷ ἑνὶ καὶ μόνῳ θεῷ ἑπομένων Εἴτ' οὖν προσόντων, ἐπιπλέον ἐστὶν αὐτοῦ, ἀλλὰ καὶ τούτων ἕκαστον μοναδικόν ἐστι κατ' αὐτόν. καὶ ὅ, τι ἂν τούτων αὐτοῦ κατηγορῆται, οὐ καθόλου. οὐδεὶς γὰρ ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θὸς, ὁ μόνος δίκαιος, ὁ μόνος σοφός. ὁ μόνος δυνάστης. ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον, εἰρήσθω δὲ κατ' αὐτοὺς καὶ ὁ μόνος ἀναγκαῖος κατ' οὐσίαν καὶ καθ' ὕπαρξιν. Τοῦ ἄρα ἐν τῷ προκειμένῳ σύλλογισμῷ μέσου ὅρου, ὡς ἐν τῇ ἐλλάττονι, οὕτω κἂν τῇ μείζονι τῶν προτάσεων μοναδικῶς, ληφθέντος καὶ ὡς εἰπεῖν ἀτομικῶς, ἀσύστατός ἐστιν ὁ συλλογισμὸς, ἐστερημένος τοῦ καθόλου. εἴγε κοινὸν τῶν τριῶν σχημάτων τὸ τὴν ἑτέραν τῶν προτάσεων ἔχειν καθόλου. δεύτερον δὲ, ἐξ ἀνυποστάτου λήμματος τὸ ὑφεστὼς ἀποδυκνύειν πειρᾶται, καὶ ἐκ τῶν μηδαμῇ μηδαμῶς ὄντων τὸ αἰωνίως Ὄν. εἴγ' ὁμολόγως τὰ μὲν καθόλου ἐκ τῆς τῶν καθ' ἕκαστα ἐπαγωγῆς συνάγεσθαι πέφυκεν, ἡ δὲ τοῦ προκειμένου συλλογισμοῦ καθόλου δοκοῦσα πρότασις, οὐδὲν ἔχει ἐπαγαγεῖν τῶν καθ' ἕκαστα, οἷον ὑποτίθησιν, ὅτι μὴ τὸ θεῖον. τοῦτο δὲ κεῖται ἐν τῇ ἐλάττονι. οὐκ ἄρα καθόλου, οὔτε μερική. καὶ δὴ ἀσύστατός τε ἅμα καὶ ἀνύπαρκτος. Εἰ δὲ δοίημεν, ὅπερ ἡ φύσις οὔτε ἔδωκεν, οὔτε δίδωσιν, οὔτε δώσει ποτὲ, ὑφεστάναι, ὃ ἐστιν ἀληθεύειν τὴν μείζονα, ᾗ καθόλου, δυοῖν θάτερον, ἤτοι τῇ πληθύι ἔσται ἡμῖν τὸ θεῖον συντεταγμένον, τὸ πάσης ἐξῃρημένον πληθύος. ὃ καὶ λίαν ἐστὶ πλημμελὲς, ἀπὸ τῶν κτιστῶν περὶ τῆς ἀκτίστου φύσεως συλλογιζόμενον, εἰς κτίσιν αὐτὴν κατάγειν, ἢ τούτου ἐν τῇ κατ' αὐτὸ μοναδικῇ ὑπεροχῇ μένοντος, ἀσυνάρτητος πάλιν ἔσται ὁ συλλογισμὸς, τοῦ κατ' αὐτὸν μέσου ὅρου μὴ ὄντος κοινοῦ. ὡς οὐχ ὡσαύτως, εἴτ' οὖν συνωνύμως, ἀλλ' ὁμωνύμως εἰλημμένου. εἴγε τῶν προτάσεων ἔνυλον μὲν ἡ μείζων, ἄϋλον δ' ἡ ἐλλάττων τὴν οὐσίαν προβάλλεται, εἴτ' οὖν ἡ μὲν, κτιστὴν, ἡ δ' ἄκτιστον. ἡ δ' αὖ ὕπαρξις ἐν μὲν τῇ μείζονι, τὸ παρυφεστάναι εἴτ' οὖν ἐνυπάρχειν, καὶ ὡς εἰπεῖν ἐνεῖναι, ἐν δὲ τῇ ἐλάττονι, τὸ προσεῖναι βούλεται. ὧν οὐ ταὐτὸν ἑκάτερον δύναται, ἀλλὰ τὸ μὲν, δηλοῖ τὸ οὐσιῳδῶς, οἷα τὰ τῷ θεῷ προσόντα, τὸ δὲ, ἐπουσιῳδῶς, τὸ ἐνυπάρχειν, οἷα τὰ συμβεβηκότα. Πῶς δὲ καὶ ἀναγκαῖον ὅλως ἔσται τὸ καθ' ὕπαρξιν; εἴγε τὸ μὲν ἀναγκαῖον ἀεὶ ὡσαύτως ἔχον ἐστὶ, καὶ οὐκ ἐνδέχεται ἄλλως ἔχειν, τὸ δὲ καθ' ὕπαρξιν πρὸς τὸ κατ' οὐσίαν ἀντιδιαστελλόμενον, μεταβλητόν τέ ἐστιν, ἵνα τοῖς αὐτῶν συγχρήσωμαι λόγοις, καὶ ἐν ῥοῇ καὶ ἐνδεχόμενον; οὕτω γὰρ αὐτοὶ τὴν ὕπαρξιν ἐκλαμβάνουσιν. Ὁρᾷς τουτονὶ τὸν ἠκριβωμένον αὐτῶν περὶ Θεοῦ συλλογισμὸν, ὡς οὔτε ἀποδεικτικός ἐστιν. (οὐδὲ γὰρ

ςιν, (οὐδὲ γὰρ ἐκ κοινῶν ἐννοιῶν εἶτ' οὖν ἀνα-
ποδείκτων ἀρχῶν καὶ ἀξιωμάτων, ἢ τό γε
δεύτερον ἐξ ἐπαγωγῆς τῶν καθ' ἕκαςα.)
οὔτε διαλεκτικός; (οὐδὲ γὰρ οὐδὲ ἐξ ἐνδόξων.
τίς γὰρ τῶν πώποτε ἐνδόξων ἠξίωσεν ἕτε-
ρόν τι παρὰ τὸ Θεῖον εἶναι κατά τε οὐσίαν καὶ
τὰ περὶ τὴν οὐσίαν (οὐ γὰρ ἂν εἴποιμι τὰ κα-
θ' ὕπαρξιν.) ἀναγκαῖον; εἰ μή τις ἐν
δόξους λέγοι τοὺς ἔνθα μὲν, πολλὰ καὶ ἄλλα
κατὰ τὸ θεῖον τιθεμένους, ἔνθα δὲ, ἐν τῶν
πολλῶν τὸ θεῖον συμπεραίνοντας.) οὔτε πά-
λιν σοφιςικός, εἴγ' οὐ ψευδὲς, ἀλλ' αὐτόπι-
ςον τὸ ἀσυλλογίςως συναγόμενον. ἄρρη-
τος δὲ μᾶλλον καὶ ἀδιανόητος; Διὰ δὴ ταῦ-
τα αὐτοὺς προσῆκε μᾶλλον ἀπαλλάττειν τὸ
ὑπὲρ τὰ ὄντα τῶν ὄντων, ἤπερ ἡμᾶς τοῦ προ-
σφυοῦς λόγου λόγον τὸν κατὰ σύνταξιν, τοῦ
Θεοδώρου πολὺ πρότερον τὸ τοιοῦτο ἐνδει-
ξαμένου, ἐν οἷς τά τε ἄλλα καὶ δὴ καὶ τόπους
ἐξέθετο. τόπος δὲ τί ἂν εἴη, ἀλλ' ἢ κοινὸς
καὶ μέσος ὅρος; φαίην δ' ἂν ἔγωγε, ὡς καὶ
ἀπηρτισμένος δυνάμει συλλογισμός; οἱ δὲ
τούτου γ' ἕνεκα οὐδὲ τούτου καίτοι πολὺν ἐπὶ
σοφίᾳ λόγον τοῖς παλαιοῖς ἐσχηκότος, ἀ-
πέσχοντο, μή τέ τι τῶν δεόντων εἰπόντες
αὐτὸν πραγματεύσασθαι, μήτε μὴν ἐν τῷ
δέοντι λόγῳ ἔςιν ἃ τῶν ἐν τῇ προκειμένῃ
πραγματείᾳ προχειρίσασθαι. φιλοσόφου
γὰρ εἶναι, ἀλλ' οὐ γραμματικοῦ τὰ τοιαῦτα,
καί τοι τοῦ Θεοδώρου τὴν προκειμένην θεω-
ρίαν φιλόσοφον ἄλλως οὖσαν, ὡς γε μὴν πε-
ρὶ τοῦ συντακτικοῦ λόγου πραγματευομένην,
Γραματικοῦ εἶναι προαναφωνήσαντος. κἂν
τῷ ἐπιλόγῳ δὲ τὰ ἐπιπλέον τε καὶ ἀκριβέ-
ςερον ῥηθησόμενα, ἥκιςα τῆς παρούσης εἶ-
ναι προθέσεως ἐπειπὼν, τρανῶς παρίςη-
σιν ὡς τὰ εἰρημένα οὐδεμιᾶς, ἀλλ' ἢ τῆς κα-
τὰ γραμματικὴν τυγχάνει προθέσεως. καὶ
γὰρ ἵνα παραλείψω τ' ἄλλα, καὶ αὐτὴ ἡ κατὰ
τοὺς ὑποθετικοὺς τῶν συνδέσμων ἀνάπτυ-

ξις, ὧν συχνὴ παρὰ τοῖς διαλεκτικοῖς ἡ χρῆ-
σις, οὐ πρὸς αὐτῶν ἂν εἴη μᾶλλον ἢ πρὸς
γραμματικοῦ. πρὸ ἔργου γὰρ καὶ αὐτὸν εἰδέναι
τὰ κατ' αὐτοὺς, τῇ μὲν, ἵνα μὴ τοῦ συνημ-
μένου τὸ ἡγούμενον, λόγον ἐν τελῇ ὑπο-
λάβῃ, ὡς ἐξ ὀνόματος δῆθεν συνεςὼς καὶ ῥή-
ματος. εἴγε τὸ ἐν αὐτῷ κατηγορούμενον,
τῷ ὑποκειμένῳ οὐχ ὑπάρχει. τῇ δὲ, ὅπως
τε τῇ τῆς ἀκολουθήσεως ποιᾷ τάξει ἀναλό-
γως ἀποδῷ τὰς ἐκγλίσεις, καὶ ὅπως μὴ κατὰ
τελείαν ἢ μέσην, κατὰ δὲ ἀτελῆ διαςολὴν ἀ-
παγγείλῃτε φθεγγόμενος, καὶ ςίξῃ γράφων
τῶν συνημμένων κομμάτων, ἢ κώλων τὸ
ἡγούμενον, ὡς τῆς διανοίας μὴ συναποτελου-
μένης τούτῳ διὰ τὴν τοῦ ἑπομένου ἀκολούθη-
σιν. καὶ αὐτὸ δὲ τὸ ἀπαγγέλλειν καθ' ὑ-
πόκρισιν οὐ μᾶλλον ῥήτορος, ἢ καὶ γραμμα-
τικοῦ τυγχάνει. εἴγε τὰ ἀπαγγελλόμενα
οὐδὲν ἀλλ' ἢ φωναὶ σημαντικαὶ εἴτ' οὖν λέξεις
εἰσίν. ὧν οὐχ ἥκιςα τῆς εὐαρμόςου συντά-
ξεως ἢ τῆς ἀπαγγελίας πρόνοιαν ὁ γραμμα-
τικὸς ποιεῖται, φωνητικὸν ὂν ζῷον καὶ αὐτός.
οὐμὴν ἀλλὰ καὶ τὴν ἀνάπτυξιν τῶν παρὰ
ποιηταῖς καὶ συγγραφεῦσιν ἐπαγγελλόμε-
νον, ὅπερ ἐςιν ἐπάγγελμα τῆς τελεωτέρας
γραμματικῆς, τὸ γὰρ γράφειν καὶ ἀναγινώσκειν
τῆς ἀτελεςέρας ἐςί. πρὸ ἔργου ὁπωσοῦν γοῦν
εἰδέναι, οὐ μόνον τὸ κατὰ τὰς φωνὰς σχετικὸν,
ἢ ἀπόλυτον. ἀλλὰ καὶ τὰς κατὰ ψυχὴν ἐγκλί-
σεις, καὶ τὰς κατὰ σῶμα διαθέσεις, ἔτι καὶ τὸ κα-
τ' αὐτὰς ἁπλοῦν, ἢ σύνθετον τοῦ λόγου, καὶ αὐ-
τὴν τοῦ αἰτίου τὴν τετρακτὺν, αἰτιῳδῶς ἐ-
πιτοπολὺ τῆς κατὰ διάθεσιν συνθέσεως γι-
γνομένης. λέγω δὲ ἐγκλίσεις μὲν, βού-
λημα, ἢ πάθημα. διαθέσεις δὲ, ἐνέργει-
αν ἢ πάθος. τὰ μὲν, ψυχῆς οὖσαν δύνα-
μιν ἐνεργούσης τῇ μὲν, καθ' ἑαυτὴν, τῇ δὲ,
πρὸς ἕτερον. τὰ δὲ, σώματος ἢ καὶ τοῦ συ-
ναμφοτέρου κίνησιν. Ἐφ' οἷς καὶ τῶν τῷ ὑ-
παρκτικῷ συνημμένων δυοῖν πτωτικῶν,
ὁποῖον μὲν,

ὁποῖον μὲν, ὑποκείμενον, ὁποῖον δὲ, κατηγορούμενον. καὶ ὁποῖον μὲν αὐτῶν, οὐδόλως, ἢ ἄρτι, ὁποῖον δὲ, πάλαι ἐστὶν ἐγνωσμένον, εἴγε μὴ μέλλοιμεν, τοῖς πτωτικοῖς συναρτῶντες τὸ ἄρθρον, τὸ μὲν πάλαι ὡς ἄρτι, τὸ δὲ ἄρτι ὡς πάλαι ἐγνωσμένον λαμβάνειν. Ἡ δὲ παρὰ τῶν μωμοσκόπων περὶ τῶν παρεκβολῶν πρὸς ἡμᾶς μέμψις, τάχα μὲν εὐπρεπὴς, τάχα δὲ ὑπόψυχρος. εἴγε οὔτε πρῶτοι οὔτε μόνοι τῶν ἁπάντων ἡμεῖς τὰς ἐν λόγῳ παρεκτροπὰς ἐκαινοτομήσαμεν, (εἰ ὅλως παρεκτροπὴν χρὴ καλεῖν τὴν τοῦ προκειμένου ἀκριβεστέραν ἀνάπτυξιν.) οἱ τὸν λόγον ἄλλως ποιούμενοι οὐ πρὸς χθιζὰ καὶ προχθιζὰ βρεφύλλια, καί τοι μηδὲ τούτου ἀποσχόμενος ὁ Θεόδωρος φαίνεται, τιθεὶς τόπους τοῦ ἐπιρρήματος τὰ δέκα τῶν Ὄντων ἐκεῖνα Γένη, καὶ ἐπίτι τούτων ἕκαστα πειρᾶσθαι ἀνάγειν παρεγγυώμενος, τίσι; τοῖς μηδὲ εἰς αὐτὸν ἀχθεῖσι τὸν κατὰ σύνταξιν λόγον, Ἀλλ' ἔτι ἐν τῷ δευτέρῳ περὶ τῶν μερῶν, ὅπως ἔχει σχηματισμοῦ καὶ κλίσεως παιδαγωγουμένοις. οὐδὴ λέγω τοιούτους, πρὸς δὲ τοὺς λόγων μὲν ὁπωσοῦν μετεσχηκότας, περὶ δὲ τὴν τούτων ὑποσκάζοντας γραμματικὴν ξυνθήκην, οὐκ Ἀετὸν ἵπτασθαι, τὸ τοῦ λόγου, διδάσκοντες, ἀναμιμνήσκοντες δὲ οἷον αὐτοὺς πλατωνικῶς εἰπεῖν, καὶ ὧν ἤδη ἐν προλήψει ἐτύγχανον. Ἀλλὰ γὰρ δι' ὃν μὲν αὐτοὶ λόγον τοῦ Θεοδώρου κατέδραμον, Ἡσίοδος ἂν εἴποι, τοὺς ὁμοτέχνους ἀντιτέχνους καλέσας. τῶν δὲ ἐντυγχανόντων οἱ εὐγνώμονες, τὸν ἐναποκείμενον, οἷς αὐτοὶ πολλαχόθεν ἐδρεψάμεθα ἄνθεσι, καρπὸν συγκομιζόμενοι, τῇ τῶν ἐλλογίμων ἀνδρῶν λογικῇ πανδαισίᾳ ζακόρως ἐνευωχείσθωσαν. τοῦ κεκοπιακότος μνείαν ποιούμενοι.

Τῷ συντελεστῇ τῶν καλῶν
Θεῷ δόξα.

Τῶν τȣ̃ τύπȣ σφαλμάτων τῶν ϗ αὐτόθεν δήλων ὄντων Διορθώματα.

4, 13. εἶτ ȣ̓ν, γράφε. εἶτ' ȣ̓ν.
7, 14. ὄτων, γρ'. Ὄντων.
8, 40. συλλογιγμȣ̃, γρ'. συλλογισμȣ̃.
12, 20. τ' ἀνȣ̃. γρ'. τ' ἀνȣ̃.
14, 32. τὰ δὲ ἁπλῶς, γρ'. τὰ δὲ, ἁπλῶς.
17, 1. ὑποδεκ, γρ'. ὑποδεκ-
29, ὑπὲρ τὴν σελίδα. περὶ Στοιχείων. γρ'. Στοιχείων.
34, 6. ὦ συντάσ. γρ'. ᾧ. ϗ 11, κἀντῶ. γρ'. κἀντῷ.
38, 8. δύω, γρ'. δύω.
48, 17. νάρθρως, γρ'. ἐνάρθρ. ϗ 38. ἀκλιτον, γρ'. ἄκλιτον.
51, ὑπὲρ τὴν σελίδα. περὶ σύλλ. γρ'. συλλ. ϗ 19. ὅστι, γρ'. ὅ ἐστι.
73, 25. ιδωμαι, γρ'. ἴδωμαι.
74, 37. Λȣ́γȣ, γρ'. Λόγȣ.
73κ, γρ', 75. 29. πλονάζει, γρ'. πλεονάζει.
76, 37. φθορα, γρ'. φθορά.
82, 14. ὄσα, γρ'. ὅσα.
106, 39. ϗ 107, 19, 22. σησσημ'. γρ'. συσσημ'.
122, 34. βελτίωνι, γρ'. βελτίονι.
124, 31. οἱ κολοιοί, γρ'. οἱ κολ.
145, 29. ματὰ τὸ, γρ'. μετὰ τὸ,
157, 7. πρόσωπρον, γρ'. πρόσωπον.
170, 8. εγὼ, γρ'. ἐγώ.
188, 13. ὀρθογώνιος, γρ', ἀμβλυγώνιος.
199, 2. επὶ, γρ'. ἐπί.
206, 34. ȣ̓σιῶν. γρ', ȣ̓σιῶν.
207, 15. ὑπκοείμ. γρ'. ὑποκείμ.
214, 35, σανάπτ. γρ'. συνάπτ.
226, 20. ὁ δύω, γρ'. ὁ δύω.
227, ὑπὲρ τὴν σελίδα. 127, γρ'. 227. ϗ ἑξῆς 228. 229 230.
232, 33. αἰωλ. γρ'. αἰολ.
242, 9. οια, γρ', οἷα.
276, 34. εἰρεῖσθαι, γρ'. εἰρῆσθαι.
302, 10. ϗ θεόδωρ. γρ'. ϗ ὁ θεόδωρ.
323, 29. πρόσλαμ. γρ'. προσλαμ.
330, 19. ἔμπροθεν, γρ'. ἔμπροσθεν.
363, 31. ἐναφορά, γρ'. ἀναφορά.
392, 30. μυνύοντες, γρ'. μηνύοντες.
409, 38. πράγμτος, γρ'. πράγματος.
435, 12. λοι ορῶ. γρ'. λοιδορῶ.
535, 336, γρ'. 535, 536.
545, 1. λέγω τὸ, γρ'. τὸ,
553, 26. μὴ, παρὰ. γρ', μὴ παρὰ.
555, 13. κατασκευαστικη γρ', κτσκστκή.
601, 19. ποιήσον. γρ'. ποιῆσον. ἐν τῷ ἑτέρῳ στύλῳ 902, γρ'. 602.
619, ἐν τοῖς ἄλλοις στύλοις. 720, 721.
722. γρ', 620, 621, 622.
650, 29. ἀπολλώννιος. γρ'. ἀπολλώνιος.
769, 7. προσθήσεσθε. ἀντὶ τῆς τελείας γρ'. ἀτελῆ στιγμήν.
748, 10. ἔτοι, γρ'. ἔτι.
923, 2. γένος, γρ'. γένος.
941, 38. συνδεθέντα, γρ'. συντεθέντα.
949, 14. χημα, γρ'. χῆμα,
972, 673 γρ'. 972, 973.
1005, 12. ποιητικόν, γρ'. Ἀρχικόν.
1010, 35. δ/ὰ τȣ́το, γρ', δ/ὰ τȣ̃το.
1064, 1095. γρ'. 1065.
1081, 0182. γρ'. 1082.
1142, 21. ἀντις. γρ'. ἄντις.
1148, 1146. γρ'. 1149.
1153, 23. τῶν μὲν ȣ̓ν, γρ'. τῶν ȣ̓ν-
1160, 39. εἰωθὸς. γρ'. εἰωθὼς,
1182, 11. ὄρκιον. γρ'. ὅρκιον.
1197. 13. τȣιȣ̃το. γρ'. τοιȣ̃το.
1276, 1280. γρ', 1279. 1280.
1287, ὑπὲρ τὴν σελίδα. Ἀποστὰ τικȣ̃. γρ'. ἀποστατικȣ̃. 1295, 2196 γρ'. 1296.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



Συνθέσις συντάξεως διαφέρει. ζήτει Σύνταξις.
Συνθετα καὶ ἁπλᾶ εἴδη συντάξεως. ζήτει Συντάξεως εἴδη. καὶ 421, 34.
Συνθέτου λέξεως μέρη ὡς πρὸς τὸ ὅλον οὐθέντι καθ' ἑαυτὰ σημαίνει. 108, 40. 935, 15.
Συνιζήσεως πέρι. 97, 33.
Συνίημι, ὅπως συντάσσεται. 437, 1.
Σύνταξις διαφέρει καὶ συνθέσεως, 52, 16. 53, 13. 931, 38. καὶ τοῦ Λόγου. 4, 38. 5, 7. Ὁ τρόπος αὐτῆς διττός. 7, 10. 409, 1. 412, 27. 465, 17.
Συντάξεως ἀκαταλλήλου ἔλεγχος. 150, 11. 152, 19.
Σύνταξις Ὀνόματος πρὸς ἑαυτό. 336, 2. 343, 16.
Συντάξεως Ῥημάτων προσωπικῶν εἴδη Ἁπλᾶ μὲν, τρία. 409, 3. κατ' Ἐκπομπὴν, εἰς αἰτιατικήν. 410, 18. κατ' Εἰσπομπὴν, εἰς γενικήν. 412, 11. κατὰ Περιποίησιν, εἰς δοτικήν. 412, 16. Σύνθετα δὲ, 412, 27. 413. Διαβατικόν, εἰς αἰτιατικήν. 414, 15. 465, 35. Αἰτιολογικὸν εἴτ' οὖν Ἐλλειπτικὸν πρῶτον, εἰς γενικήν. 415, 10. 469, 24. Τόποι τούτου. 492, 11. 495. 496 497. 498. 499, 500. Ὀργανικὸν, εἰς δοτικήν. 415, 20. 472, 33. Εἰς δὲ ἀπαρέμφατον τῇ μὲν, τελικόν. 416, 36. 474, 35. Τούτου Τόπος μὲν, 480, 14. Χρόνος δὲ, 651, 35. 658, 33. τῇ δὲ, Εἰδικόν. 417, 13. 475, 1. Τούτου Τόπος μὲν, 480, 20. Χρόνος δὲ, 653, 38. 657, 1. Ἐλλειπτικὸν δεύτερον, εἰς αἰτιατικήν. 417, 19. 480, 1. Τόποι τούτου, 481, 20. 482. 483. 484. 485. 486. 487. 488. 489. 490. Συγκατηγορηματικόν. οὗ εἴδη, Προσρηματικὸν καὶ Ἑτεροτελές. 418, 26, 31. Ξύμπαντα δὲ τὰ εἴδη πόσα. 426, 20.
Σύνταξις Ῥημάτων ἀπροσώπων. 535, 10. Τούτων τὰ μὲν καθ' ἑαυτὰ, περιποιητικῶς εἰτύχοι δοτικῇ, καὶ ὡς τὰ παθητικά. 535, 25. Τὰ δὲ πρὸς ἕτερον, τριχῶς. ἢ Κτητικῶς, εἰς γενικὴν μετὰ δοτικῆς. 536, 12. ἢ Περιποιητικῶς, εἰς δοτικὴν καὶ ἀπαρέμφατον. 538, 29. ἢ Ἐπιβατικῶς, εἰς ἀπαρέμφατον μοναχῶς. 538, 40.
Σύνταξις Ῥημάτων κατὰ διάθεσιν, Ἐνεργητικῶν λέγω, Παθητικῶν, Οὐδετέρων, Μέσων καὶ Ἐπιμέσων, ζήτει Ῥημάτων προσωπικῶν σύνταξις.
Σύνταξις ῥημάτων τίς μὲν, ἐλλειπὴς, τίς δὲ, πληρεστέρα. 420, 10, 35. 421. Τὴν δὲ ἑκάστου τῶν λοιπῶν τοῦ Λόγου μερῶν, ζήτει ἐν ἑκάστῳ.
Συντάξεως διπλόη ἐν τε ἀπαρεμφάτῳ καὶ ἐπιρρήματι κλητικῷ τε καὶ θετικῷ. 1075, 35. 1076, 22. 1077, 17. 130, 25.
Συντάττειν εὖ, τί ἐστι. 185, 8.
Συνώνυμα τίνα. 228, 2. 449, 7.
Συσσημαίνειν τί διαφέρει τοῦ σημαίνειν. 106, 39.
Σύστοιχα τίνα. 544, 5. 545.
Σύστοιχον ὄνομα μὲν, ῥήματι, ῥῆμα δὲ, ὀνόματι συνεισαγόμενον. 83, 28.
Σφέτερον τί σημαίνει. 134, 9. Ὅπως συντάσσεται. 837, 25. 838. 839. 840.
Σχέσις τί ἐστι. 246, 31. 982, 24. Τίς ἡ τῷ ἑνὶ, καὶ τίς ἡ τῷ ἀριθμῷ βεβηκυῖα. 247, 3.
Σχετικῶν τὸ μὲν ἐστι πρός τι, τὸ δὲ, πρὸς ὅ. 247, 16. 251, 35. 254, 6. 339, 24.
Σχετλιαστικῶν καὶ θαυμαστικῶν ἐπιρρημάτων ἡ γενικὴ ἔλλειψιν ἔχει αἰτιολογικοῦ τοῦ μορίου. 1073, 38. 1074.
Σχῆμα καὶ σχηματισμὸς λέξεως ὁποῖον. 139, 32. 141, 8. 154, 1, 4. Καὶ ὅτι τριττὸν, κατὰ φύσιν, ὑπὲρ φύσιν, καὶ παρὰ φύσιν. 140, 34.
Σχῆμα Ἐλλειπτικόν. 87, 7. Ἀπὸ κοινοῦ. 87, 36. 89, 22. Ὑπερβατόν. 93, 33. 95, 20.

95, 20. Ἀσύνδετον. 99, 40. 100, 11. Πρωθύστερον. 103, 3, 9. Κατὰ ἀπόστασιν. 129, 37. Ἐκ παραλλήλου. 588, 38. Περιβλητικόν. 142, 39. 144, 2. Προεπιζευκτικόν. 405, 14. Ἐπιζευκτικόν. 406, 20. Χιαστόν. 763, 6, 15. 776, 20. 786, 35. Περινενοημένον. 142 32. Κακόζηλον. 144, 14. Σολοικοφανές. 141, 10.

Σῶμα διὰ σώματος ποῖον μὲν, ποῖον δ' οὐ χωρεῖ. ζήτει Διὰ σώματος.

Τ

Τ, πλεονάζον. 63, 30.

Τακτικὰ ὀνόματα ὅπως συντάσσεται. 298, 31. 291, 1. Ποῖον πρὸς ποῖον ἀπαντᾷ. 299, 13. Ἐπιρρήματα. 1118, 38.

Ταυτίζω, Ταυτότης. πόθεν. 297, 5. 298, 11.

Ταὐτὸν, ὅπως προσλαμβάνει τὸ ν. 795, 19.

Ταυτοπροσωπία ταὐτότητα παρεπομένων ἀπαιτεῖ. 154, 24. 155, 6, 10. 156, 3. 157, 27. 158, 1. 361, 30.

Ταυτότης πτώσεως, ἢ κατηγορουμένου τί δύναται. 99, 23, 38.

Τε, σύνδεσμ. λέξεων μὲν ὑποτακτικὸς, προηγητικὸς δὲ τοῦ καί. 1153, 40. Ἔστιν οὗ παρέλκων. 70, 25. 1148, 1. 1154, 8.

Τελικὸν εἶδος συντάξεως. 416, 25. 474. 35.

Τέλος εἴτ' οὖν τελικὸν αἴτιον, διττὸν τὸ μὲν, οὗ. τὸ δὲ, ᾧ. 1007, 27. 352, 12.

Τέως, 1091, 37. 1092, 14.

Τὶ, καὶ τὶς παρέλκοντα. 69, 24, 32. Ἐλλείποντα. 77, 18. Τί ζητοῦσι. 262, 7.

Τις, πότε ὀξύτονον, καὶ πότε βαρύτονον. 821, 8.

Τὸ, ἀντωνυμικόν. 924, 7.

Τοι, παρέλκον. 70, 19.

Τοπικὰ Ἐπιρρήματα. 1115, 1, 17.

Τόπος τί ἐστι. 427, 10, 428. 10.

Τότε, ὅτε. 1086, 34. 1087. 1088. 1089. 1090.

Τοῦτο, πόθεν. 924, 7.

Τρὶς, ἐν συνθέσει προτασσόμενον, ὅπως λαμβάνεται. 288, 11.

Τροπὴ τί ἐστι. 144, 18. Πόθεν περιείργασται. 230, 36.

Τροπικὰ ἐπιρρήμ, ζήτει Ἐρωτηματικά.

Τυ, ἀντωμία μόνως ἐγκλιτικὴ, τοῦτ' ἔστι μόνης αἰτιατικῆς. 890, 36. 817, 27. 818, 16.

Τῶν, καί τοι τριγενὲς, οὐδὲν ἧττον ἄρθρον. 796, 22.

Υ

Υ, πλεονάζον. 61, 25.

Ὕλη διαφέρει. Στοιχείου. 15 7. Καὶ ὅτι διττὴ, ἐξ ἧς καὶ περὶ ἧν. 6, 3. Καὶ ἡ τοῦ κατηγορουμένου δὲ πρὸς τὸ ὑποκείμενον, καὶ ἡ τοῦ ἑπομένου πρὸς τὸ ἡγούμενον ὕλη, εἴτ' οὖν σχέσις, διττή. 1191, 19. 1192.

Ὑπαρκτικὸν ῥῆμα πρώτης ἐστὶ γνώσεως. 219, 8. Διὸ καὶ τὸ ἐκ τρίτου αὐτοῦ πτωτικὸν, ἄρθρου ἀνεπίδεκτον. 217, 6, 37. 362, 2. 220, 17. Ὅτι σύνδεσμός ἐστι κατηγορουμένου πρὸς ὑποκείμενον. 220, 10. 221, 8. 542, 20. Τί διαφέρει τοῦ γίγνομαι. 549, 1.

Ὕπαρξις ἐπὶ τίνων. 1201, 17. Ὅτι ἡ μὲν, ἁπλῶς, ἡ δὲ, πῇ. 1185, 19. 1187, 40. 1188, 7. Ἐπὶ δὲ τοῦ συνημμένου τί διαφέρει ἀκολουθήσεως. 1191, 14.

Ὑπὲρ, πρόθεσις Γενικῇ αἰτιολογεῖ πολλαχῶς. 1038, 1, 4, 8, 30. Καὶ ἀνθ' ἑτέρων. 1038, 19. 1039, 9. Αἰτιατικῇ. 1040, 4, 18.

Ὑπερβιβαζόμενα, τὴν αὐτὴν ἔχει κἀν τῷ ὑσσερβιβασμῷ πρὸς τὰ πτωτικὰ παραθετικὴν καταλληλότητα. 938, 15.

Ὑπέρθεσις

Ὑπέρθεσις τῇ τε τοῦ κύκλου διαμέτρῳ καὶ τῇ κατ' αὐτὴν ἀποστάσει ἀναλογεῖ. 970, 37.
Ὑπερθετικὰ πτωτικὰ τίνα. καὶ σύνταξις, αὐτῶν. 310, 23, 40. 320, 7. 321, 21. 323, 28. Τίνα τούτων ἐν ἀπολύτῳ σχήματι ὑπερθετικῆς τυγχάνει συντάξεως. 325, 34. 326, 4.
Ὑπὸ, πρόθεσις Γενικῇ αἰτιολογεῖ τὸ ποιητικὸν εἴτ' οὖν ἐνέργειαν. 1034, 9, 16. Ἔτι καὶ τὸ ὑποκάτω. ὃ δὴ καὶ Δοτικῇ καὶ Αἰτιατικῇ. 1037, 10, 14. Ἐν δὲ συνθέσει. 1037, 23, 25, 32.
Ὑπόθεσις καὶ ὑποθέσθαι τί βούλεται. 1186, 18, 22. 1188, 4.
Ὑποκείμενα ὅπως σχηματίζει σφίσι τὰ ἐπίθετα. 222, 36.
Ὑποκείμενον πτωτικὸν, οὐ πᾶν οὐσιαστικόν. 221, 33.
Ὑποκοριστικὰ ὀνόματα, 331. 20. Σύνταξις αὐτῶν. 332, 14.
Ὑπόκρισις Ἀπαγγελίας τίς. 1236, 20, 31. 1240, 31. Συνθέσεως. 1237, 22. 1238, 1239.
Ὑπολαβὼν ὁ δεῖνα εἶπε, τί βούλεται. 1037, 30.
Ὑπονοεῖν καὶ ὑπόνοια τί βούλεται. 1037, 32.
Ὑπονοητικὰ Ῥήμ. αἰτιατικῇ 436, 17. εἰδικῷ ἀπαρεμφάτῳ. 654, 5.
Ὑποτακτικὰ ῥήματα πόθεν μεταλαμβάνεται. 612, 15. 613, 10.
Ὕστερον, πολλαχῶς. ζήτει Πρότερον.
Ὑφ' ἕν, τὸ πάθος ποῦ τίθεται. 97, 34. 98, 23.
Ὑφίστασθαι, τίνος ἐστι. 402, 33.

Φ

Φαντασία καὶ αἴσθησις τί, τέ εἰσι καὶ τί διαφέρουσιν ἀλλήλων. 449, 32.
Φασὶ καί φησι τί διαφέρει ἀλλήλων. 89, 35. 90, 5.
Φέρων, παρέλκον. 69, 39.
Φερώνυμα τίνα. 300, 15.
Φθάνω καὶ τὰ ἀπ' αὐτοῦ μετοχῇ. 70, 17.
Φιλεῖν τοῦ ἐρᾶν τί διαφέρει. 448, 13.
Φιλικὰ Ῥήματα αἰτιατικῇ ἁπλῶς. 432, 4. γενικῇ πῇ. 496, 26.
Φόβος τί ἐστι. 1126, 21.
Φροντιστικὰ ῥήματα γενικῇ. 449, 12.
Φύσει, διττὸν, κατὰ φύσιν καὶ παρὰ φύσιν. 213, 13.
Φυσικὰ ῥήματα αἰτιατικῇ. 443, 14.
Φωνὴ τί, τε καὶ τίνων ἐστί. 17, 7, 18. 18, 5. 20, 25. Καὶ ὅτι διττὴ ἡμὲν, φυσικὴ εἴτ' οὖν ὑλικὴ καὶ ἀνείδεος, ἡ δὲ, εἰδοπεποιημένη καὶ ἔντεχνος, εἴτ' οὖν ἔναρθρος. 15, 3, 26. 16, 8. Ὅτι αὐδῆς καθολικωτέρα. 17, 30. Ὅτι πᾶσα φωνὴ σημαντική τινος τῶν ὄντων, τῆς τοῦ ὀνόματος ἠξίωται προσηγορίας. 195, 34.
Φωναὶ αἱ μὲν, φιλόσοφοι, αἱ δὲ, λογικαί. 239, 27. 244, 39.
Φωρῶ, μετοχῇ. 479, 1.

Χ

Χθές. 1085, 1.
Χιαστὸν σχῆμα. ζήτει Σχῆμα.
Χρὴ καὶ δεῖ, ὁποῖα. 668, 5. Ὅπως ἀπαρεμφάτῳ συντάσσεται. 671, 11. 538, 40.
Χρονικῶν ἐπιρρημάτων σύνταξις. 1079, 20. 1080. 1081. 1082. 1083. 1084. 1085. 1086. 1087. 1088. 1089. 1090. 1091. 1092. 1093. 1094. 1095. 1096. 1097. 1098. 1099. 1100. 1101. 1102. 1107, 37. 1108, 37. Ὅπως διορίζει τὸν χρόνον. 1094, 30. 1095.
Χρόνοι τίνες τίνων ἐντελέστεροι. 385, 38. 497, 21. Συγγένειαι τούτων καὶ διαφοραί. 386, 19. Τοῦ ἐνεστῶτος τίνες μᾶλλον, καὶ τίνες ἧττον ἀφεστήκασι. 1093, 23, 1094. Οἱ δὲ μέσοι τίνες. 132, 16.

Χρόνος

Χρόνος τί ἐστι. 369, 7. 370, 24, 35. 371, 10. 372, 6. 373, 2. 381, 21. 1107, 1. Ὅπως ἀριθμεῖται. 374, 5, 38. 375, 2. 1103, 26. 376, 10. Ἀνάπτυξις αὐτοῦ. 380, 5. Ἀρχαί. 379, 14. Διαίρεσις. 381, 30. Μόρια. 1079, 37.
Χρόνος καὶ κίνησις ὑπ' ἀλλήλων διορίζονται. 375, 5, 36. 376.
Χρόνος συλλαβικὸς τίς. 1054, 6.

Ψ

Ψιλὰ στοιχεῖα ἐπὶ τέλει λέξεως οὐ τάσσεται. 22, 37.
Ψόφος φωνῆς διαφέρει. 17, 12. 20, 15.
Ψυχὴ οὐκ οὐσίας ὄνομα. 235, 28.
Ψυχικαὶ δυνάμεις ὁποῖαι. 347, 8.

Ω

Ὦ, καὶ κλητικὸν ἐπίφθεγμα πρὸς κλητικὴν, 1073, 5. οὐκ ἄρθρον. 790, 37. 791. 792. 794, 1. 795, 31. 796. 797, 1. 830, 23. Καὶ σχετλιαστικὸν πρὸς γενικήν. 1073, 19. 1075, 32. Διαφέρει τοῦ ἄ. 1076, 6.
Ὧν, παρέλκον. 70, 15.
Ὧν, καὶ ἦν, τί μὲν, ἐφ' ἡμῶν, τί δὲ, ἐπὶ Θοῦ δηλοῖ. 388, 37. 1104, 25.
Ὡο, λήγουσαι γενικαὶ πόθεν. 65, 1.
Ὥπερ, ἐπίρρημα παραβολικόν. 1148, 6.
Ὡς, παρέλκον. 69, 15. 70, 32.
Ὡς, εὐκτικὸν ἐπίρρημα. 588, 32. Παραβολικόν. ζήτει Καθώς. Αἰτιολογικὸν, ἀντὶ τοῦ καθ' ὅ, εἴτ' οὖν τοῦ γάρ. 1182, 29. Καὶ ἀντὶ τοῦ ἅτε δή. καὶ τοῦ ὅτι. 1209, 3. Καὶ τοῦ λίαν. 1232, 40. Καὶ ἀντ' ἄλλων τινῶν. 1233, 9.
Ὡς ἐπιβατικὰ ῥήματα τίνα. 423, 21. 426, 6, 16, 26, 37.
Ὡς κτητικὰ ὀνόματα τίνα. 338, 36. 339, 8. 340, 18. 687, 28. 688, 1. Ὅτι ἀντιδιῄρηται τοῖς πρός τι. 244, 1. 339, 23. Ὅτι ἐνέργειαν δηλοῖ. 244, 8. 339, 25. 689, 31. 936, 29. Ὅπως πρὸς αὐτὰ ἀντιστρέφει τὰ τούτων ἀντισχετικά. 339, 34. 340, 2, 32. 691, 13. Τὰ δὲ Ῥήματα γενικῇ. 453, 15. 449, 12. 450, 30.
Ὡς κύρια - - - | τίνα 337, 1.
Ὡς προσηγορικὰ |
Ὡς πρός τι, ὅπως συντάσσεται. 253, 12. Ὅπως τὰ αὐτὰ καὶ ἐναντία καὶ πρός τι. 257, 12.
Ὡς ἐρᾷς, παρέλκον. 70, 27.
Ὥστε, ἀποστατικόν. 1287, 22.
Ὥστε, ἐπίρρημα παραβολικόν. 1148, 6.
Ὤφελον, ῥῆμα εὐκτικόν. 587, 29.
Ὠω, λήγοντα ῥήματα, ζήτει Οω.
Ὡς, μετοχῇ ἀπολύτῳ συμφερόμενον, σκοπεῖν, ὁποῖόν τί ἐστιν. Ἰσοκράτης πρὸς Νικοκλ. μὴ νόμιζε τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ τὸ βελτίους ἡμᾶς καὶ φρονιμωτέρους γίγνεσθαι, μηδὲ μίαν ἔχειν δύναμιν. μηδὲ καταγνῷς τῶν ἀνθρώπων τοσαύτην δυστυχίαν, ὡς περὶ μὲν τὰ θηρία τέχνας εὑρίσκομεν, αἷς αὐτῶν τὰς ψυχὰς ἡμεροῦμεν, ἡμᾶς δ' αὐτοὺς οὐδὲν ἂν πρὸς ἀρετὴν ὠφελήσαιμεν. ἀλλ' ὡς καὶ τῆς παιδεύσεως καὶ τῆς ἐπιμελείας δυναμένης τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην. Τὸ γοῦν ὡς, ἐν ταῦθα ἀναφερόμενον πρὸς μὲν τὸ οὕτω, παραβολικὸν δοκεῖ, ἀντὶ τοῦ ὥσπερ. πρὸς δὲ τὴν μετοχὴν, αἰτιολογικὸν ἀντὶ τοῦ ἅτε δή. πρὸς δὲ τὸ διάκεισο εἴτ' οὖν νόμιζε, βεβαιωτικὸν ἀντὶ τοῦ ὅτι. Ἀλλὰ παραβολικῶς μὲν, ἢ αἰτιολογικῶς ληφθὲν, εὐσύντακτον μὲν, ἀδιανόητον δὲ, τῆς μὲν παραβολῆς οὐθὲν ἀλλ' ἢ ταυτολογούσης ἐν τῷ λέγειν, ὥσπερ διάκεισαι τὴν γνώμην, τῆς παιδείας δυναμένης εὐεργετεῖν ἡμᾶς

Πίναξ ἀκριβὴς τῆς δε τῆς βίβλου. ἐν ᾧ ὁ μὲν πρῶτος ἀριθμὸς δηλοῖ τὸν τῆς σελίδος στύλον, ὁ δὲ δεύτερος, τὸν τοῦ στύλου στίχον.

Ἀ

Α, τὸ στοιχεῖον πόθεν ἄλφα ἐκλήθη. 196, 10.
Α, πλεονάζον. 60, 34.
Αα, λήγοντα ῥήματα, πόθεν. 64, 38.
Ἀδολεσχία ἐν λόγῳ ὁποία. 72, 32.
Αἰεί. 1103, 5, 23. 1104, 8.
Ἀθροιστικὰ ἐπιῤῥήματα. 1119, 11.
Αἶμε, ὁποῖόν τί ἐστι. 1073, 25. 1074, 25. 1076, 27.
Αἶσα, τί ἐστι. 73κ, 3.
Αἰσθάνομαι, ὅπως κατ' εἶδος συντάσσεται. 444, 27. 476, 17.
Αἴσθησις τί διαφέρει φαντασίας. 449, 32. Ὅτι διττή. 444, 15. Ὅτι λόγῳ ἀθεώρητος. 446, 31. 447, 1, 7.
Αἴτια ὁπόσατε καὶ ὁποῖα. 468, 34. Τί διαφέρει τῆς Ἀρχῆς. 473, 1. Τὸ εἰδικὸν καὶ τελικὸν ἔσθ' ὅπου συνέρχονται. 649, 35. Τὸ δὲ Ἀρχικὸν, ζητόν. 1005, 12. ὡσαύτως καὶ τὸ Ὀργανικόν. 1004, 34. Τὸ δὲ Ποιητικὸν τίσιν ἐπιλέγεται. 601, 2.
Αἰτιατικὴ πτῶσις τίσιν ἁρμόζει. 352, 31 410, 18. 414, 12. 481, 20.
Αἰτιατικῶν δυοῖν μετὰ ἀπαρεμφάτου Ἀμφιβολία διακρινομένη. 671, 28.
Αἰτιολογικοὶ σύνδεσμοι ἐπὶ τίνων λαμβάνονται. 1204, 3.
Αἰτιολογικὸν εἶδος συντάξεως. 415, 10. 468, 34. Ὅτι κοινόν. 519, 15. 534, 9.
Αἰὼν τί ἐστι. 1103, 11. 1105, 24.
Αἰώνιον τί ἐστι. 1103, 7. 1105, 16. 1106, 29, 37.
Αἰώνιος ὁ Θεὸς πῶς λέγεται. 1105, 17.
Αἰωνιότης διὰ τί ἐν τῷ ἐνεστῶτι. 388, 21.
Ἀκαταλλήλου συντάξεως τίς ὁ ἔλεγχος. 150, 11. 152, 19.
Ἀκολούθησις ὑπάρξεως ἐπὶ τοῦ συνημμένου τί διαφέρει. 1191. 14.
Ἀλλὰ, σύνδεσμος, ἐπιτακτικὸς λόγου καὶ τοῦ μέν. 1163, 31. Ποῦ μάλιστα παραλαμβάνεται. 1165, 6. Καὶ ἀντὶ τοῦ ὅμως. 1164, 3. Καὶ ἀντὶ τοῦ γάρ. 1164, 16. Ποῦ ταυτοδυναμεῖ τῷ δέ. 1164, 27. Τῷ δή. 1164, 31. Ποῦ παρέλκει. 1164, 21, 40. 1165, 18. Ποῦ ἀντὶ τοῦ ἄρα. 1165, 14. Κατ' ἔκθλιψιν δὲ προτασσόμενος τοῦ ἤ, εἰς τί μεταλαμβάνεται. 322, 4.
Ἀλλὰ καὶ ἀλλὰ μὴν, τίσι προσῳκείωνται. 1212, 38.
Ἀλληλοπαθοῦς σύνταξις. 912, 1. 914, 25.
Ἀλλήλων, ἀπαράδεκτον ἄρθρου. 913, 35.
Ἄλλο καὶ ἄλλος, τί διαφέρει. 248, 8, 1168, 24. Ὅτι οὐκ ἀντωνυμία. 259, 39. 852, 20.
Ἄλλοι, πότε μὲν, πότε δ' οὐ συνέχει τὸ Ἄρθρον. 760, 6, 28. 761, 3.
Ἄλλος ἐγὼ, τί δηλοῖ. 248, 12.
Ἅμα, 1086, 21,
Ἁμάρτημα Λόγου περὶ ποῖα Μέρη οὐ συμβαίνει 167, 39.
Ἀμέλει, παρέλκον. 60, 15.
Ἀμετάβατον εἶδος συντάξεως. 514, 17. 523, 3. 524, 34. 525. 526, 23.
Ἀμφὶ πρόθ: ταυτοδύναμος τῇ Περὶ, 103, 1. γενικῇ γε μὴν οὐδαμοῦ εὕρηται συντασσομένη.
Ἀμφίβολα ἐκ τοῦ συμπαρατιθεμένων διακρίνεται. 562, 10. 726, 38. 727, 37. 578. 15, 25.
Ἄμφω καὶ τὰ ἐξ αὐτοῦ διὰ τί ἀνεπίδεκτα ἄρθρου. τὰ δὲ μετ' αὐτὸ πτωτικὰ πότε μὲν, πότε δ' οὐκ ἐπιδέχεται ἄρθρον. 286, 6, 27.
Ἀνδυνητικὸς καὶ Ἀοριστολογικός. 1217, 15, 20. Σύνταξις δὲ τοῦ μὲν ἀοριστολογικοῦ. 1218, 29, 34. 1222, 5.

Τοῦ δὲ

Τοῦ δὲ Δωνητικοῦ. 163, 27. 164, 4. 165, 15. 1143, 25, 29. 1192, 31. 1195, 23. 1218, 35. 1219, 1224. 30. 1225, 14. 1226, 25. Καὶ συνελόντι ἑκατέρων διάκρισις. 1222, 1.
Ἂν ἀδύνατος. 1288, 17, 26. 1226, 20.
Ἀνὰ πρόθ: τί δηλοῖ. 985, 31, 36. 986 7. Ἐν δὲ συνθέσει, 986, 15, 32, 34, 37.
Ἀναγραμματισμὸς τί ἐστι. 97, 4.
Ἀναληπτικὰ ῥήματα κατ' αἴσθησιν, 444, 9. Ἢ ἄλλως καθ' ὑπεροχὴν ἀντιληπτικά. 533, 25, 30.
Ἀναλογία γεωμετρικὴ ὁποία. 226, 10. 983, 1.
Ἀναλογία λόγου καὶ λέξεως. 109, 32. 110.
Ἀνάλυσις τί, τε καὶ τίνων ἐστί. 308, 20. 450, 38. 547, 10. 664, 18.
Ἀνάλυσις καὶ συναίρεσις Στοιχείων καὶ συλλαβῆς καὶ Λέξεως. 49, 20. 93, 16. 97, 25. καὶ λόγου. 99, 7.
Ἀνάλυσις ῥήματος, καὶ τίς ὁ περὶ αὐτῆς λόγος, 541, 34. 542. 543. Ἐγκλίσεως δὲ, ζήτει Ἐγκλίσεων ἀνάλυσις.
Ἀναμιμνήσκω, ὅπως συντάσσεται. 450, 15.
Ἀναστροφὴ προθέσεων. 1051, 30. 1052. 1053. 1054.
Ἀναφορικὰ ὀνόματα. 273, 29. 274, 20. Τί διαφέρει τῶν ὑποτακτικῶν ἄρθρων. 277, 12. Τῶν πρός τι. 279, 21. Τίνα τούτων συντάσσεται ἄρθροις. 276, 15. Ὅτι καὶ ἀπολύτως λαμβάνεται ἤτοι ἐλλειπτικῶς, ἢ θαυμαστικῶς. 276, 24. 277. 11. εἰς αἰτιατικὴν ἢ εἰς ἀπαρέμφατον φερόμενα. 341, 23. Τὰ δ' ἀνταποδοτικὰ κατὰ τὰς ἀνταποδόσεις ὁποῖον ἀπαιτεῖ πνά. 277, 28.
Ἀναφορικὰ μόρια ἴδιον ἀπαιτεῖ ῥῆμα. 278, 25. Ἐλλειποπτωτεῖ. 783, 25.
Ἀνετικὰ ἐπιρ' ῥήματα. 1148, 24.
Ἀνθυπαλλαγὴ πτώσεων. 357, 21. 358, 27.
Ἀνταλλαγματικὰ ῥήματα Αἰτιατικῇ ἁπλῶς. 443, 12. γενικῇ πῇ. 492, 30.
Ἀντανάκλασις τί ἐστι. 894, 30.
Ἀνταπόδοσις τίς ἐστι. 1032, 34.
Ἀντὶ πρόθ: ἐν γένει μὲν, ἀμοιβήν. ἐν εἴδει δὲ, τὸ ἴσον. ἢ τοὐναντίον. 1018, 1019.
Ἀντιδιαιρούμενα τίνα. 390, 28. Ὅτι ἅμα εἰσί. 206, 39.
Ἀντικείμενα ποσαχῶς. 253, 18. 354, 21. Ὅτι τὰ μὲν, ἄμεσα, τὰ δὲ, ἔμμεσα. 254, 25. Τὰ δὲ καθ' Ἕξιν καὶ Στέρησιν, ὅπως εἰσὶ καὶ πρός τι. 253 36.
Ἀντιμέρεια τί ἐστι. 117, 36. 121, 27. 687, 2.
Ἀντιμετάβασις τί ἐστι. 840, 27. 841, 26.
Ἀντιπιπτικὰ ῥήματα, δοτικῇ. 454, 25. καὶ τίνα. 458, 20. 459, 14. 461, 9, 39.
Ἀντίφασις τί ἐστι. 253, 20.
Ἀντωνυμία τί ἐστι. 798, 1. Ὅτι τοῦ ὀνόματος φύσει μεταγενεστέρα. 196, 23. 197. 26. Τίνος ἕνεκα ἐπενοήθη. 230, 30. 361, 10. 363, 16. 365, 10. 366, 11. 798, 16. 800, 13. 802, 5, 23. Διαίρεσις αὐτῆς. 802, 37. 803. Ἀντὶ τίνων ὀνομάτων λαμβάνεται. 194, 37. 800, 35. 871, 7. Ἡ ἀναφορική. 857, 25. 860, 35. Ἡ δεικτική. 862, 15. Ὅτι οὐ πάντοτε τὸ συναμφότερον ἀντονομάζουσι. 861, 23. Ὅτι εἰς παραθετικὸν τύπον οὐχηματίζονται. 313, 22. Τίνες αὐτῶν ἐγκλιτικαὶ, καὶ τίνες ὀρθοτονούμεναι. 366, 11. 804, 5. 805, 11. 806, 10. 23. 807, 20. 812, 14. 815, 11, 36. 816, 32. 819, 4, 7. 820, 11. 821, 11. 823, 5. Ὅτι τῶν δεικτικῶν αἱ ὀρθοτονούμεναι, οὐπάντως πρόσωπον ἕτερον ἀντιδιαστέλλουσιν, 880, 10. Ἄρθρου Τίνες μὲν ἀνεπίδεκτοι, 823, 23. 824, 31. 825, 27. τίνες δ' ἐπιδεκτικαί. 826, 19. 827, 28. 829. 830, 26. 831. Ὅπως τοῖς ἀντονομαζομένοις προσώποις συζυγοῦσι. 865. 866. 874, 31. 875, 14. 876, 6. Τίς ἡ τούτων κατὰ τὸ γ', πρόσωπον πρὸς τὰ ἐπὶ γ', ῥήματα διαφορά. 863. 18, 35, 40. 864. Ὅτι τοῖς ῥήμασι κατὰ τὰ ὀνόματα

ματα συντάσσονται. 882, 30. Ἡ πρωτότυπος οὐχ ὑπερβαίνει τὴν δισυλλαβίαν. 170, 20. Διὰ τί ταύτης ἡ τοῦ α', καὶ β', προσώπου, γενῶν ἀδιάκριτος. 169, 36. Διὰ τί ταύτης αἱ μὲν τοῦ α', καὶ β', προσώπου θεματικῶς κλινόμεναι, ἀπένευσαν τὴν τῶν ὀνομάτων ἀκολουθίαν, 867, 5. 868, 25. 869, 19. 871, 35. 872, 30. οὐχὶ δὲ καὶ τοῦ γ', ἡ ἐκεῖνος καὶ αὐτός; 873, 7. 874, 4. Διὰ τί τῶν δυϊκῶν ἡ ἐν τρίτοις εὐθεῖα ἀπέστη; 907, 8. Ἡ ὃς διὰ τί οὐκ ἐπὶ γ'. 170, 8. Ἡ οὗτος πόθεν, ζήτει Οὗτος. Ἡ οὗ ποσαχῶς κινεῖται. 170, 31. Ἡ ἐπιταγματικὴ ὁποία. 166, 39. 892, 30. Ἡ ἀναφορικὴ κατὰ τὸ οὐδέτερον πότε προσλαμβάνει τὸ ν̄. 795, 24. Ἡ ἐπὶ γ', δεικτικὴ ἐστὶ ὅτε τοῦ ἑπομένου πτωτικοῦ τὸ γένος ὑποδύεται. 778, 2. Αἱ παράγωγοι ἐκ τίνων. 908, 13. Τούτων ὁποία ἡ σύνταξις. 817, 5. Ἡ ἀπόδοσις. 848, 10. Τίνες ἐπιζητοῦσι τὰς πρωτοτύπους. 832, 10. 843. Τίνες καὶ τὴν κτητορολογοῦσαν γενικήν. 836, 30. 837, 5. 839, 840. Τίς ἡ τούτων πρὸς τὰς πρωτοτύπους καὶ τὰ ἄρθρα τῆς συνεμπτώσεως διάκρισις. 845, 25. 846, 38. 847, 12, 36. Τῶν συνθέτων ὁποία μὲν ἡ χρῆσις. 855, 29. 892, 7. Ἡ δὲ σύνθεσις ἐκ τίνων. 171, 8, 901, 16. ἐπὶ τίνων. 900, 15. 901, 9. 915, 10, Ἐν δὲ πληθυντικοῖς σύνθεσις διὰ τί οὐκ ἐγένετο. 902, 40. 903. 904. 909, 32, 910, 27.

Ἀντωνυμία παρέλκουσα. 69, 3, 17.

Ἀνυπότακτα ῥήματα. 613, 30.

Ἀόριστα ὀνόματα. 270, 37. Ὧν ὁποίαν μὲν δύναμιν ἔχει τὸ τίς, ὁποίον δὲ τὸ ἀρκτικὸν ὄ. 271, 8, 39. 272.

Ἀοριστία στερήσεως διαφέρει. 1141, 18.

Ἀόριστον ὄνομα καὶ ῥῆμα. 560, 24. 877, 30.

Ἀόριστος τί σημαίνει. 384, 26, 30. Ὅπως ἀνθ' ἑκάστου τῶν ἄλλων χρόνων λαμβάνεται. 385, 7.

Ἀπαγγελίας πέρι, ὅτι τριττή. 1235, 10. 1236, 16. 1240, 35. 1241, 3.

Ἀπαγορευτικὰ ἐπιρρήματα. 1125, 20. 1129, 35.

Ἀπαρέμφατον τί ἐστι. 614, 15. 174, 37. Ὅτι οὐκ ἔστιν ἔγκλισις. 625, 30. 659, 21. Ὅτι ἐκ πρώτου αἰτιατικὴν περιέχει. 404, 7. 630, 36. 631, 21. καὶ διὰ τί. 635, 27. Τῆς τούτου πρὸς τὰ ῥήματα συντάξεως τί τὸ αἴτιον. 661, 12. Τίσι μάλιστα ἐπιφέρεται. 648, 38. Ὅτι τῇ μὲν, τελικῶς. τῇ δὲ, εἰδικῶς. 415, 25. 440, 36. Χρόνος τοῦ τελικοῦ. 651, 35. 658, 33. τοῦ εἰδικοῦ. 653, 38. 657, 1. Πῶς δὲ οὐδετέρως, Ἀλλ' ἀντὶ ὁριστικοῦ, ἢ προστακτικοῦ κεῖται. 481, 1. 665, 33. 1149, 28. ἢ ὀνόματος. 629, 10. Ὅτι κοινὸν πᾶσι τοῖς τοῦ ῥήματος εἴδεσι. 540, 34. 942, 20. καὶ τοῖς Ἀπροσώποις. 540, 34. Ὅπως γίνεται κατηγορούμενον. 618, 28. Πότε ἐνάρθρως, καὶ πότε Ἀνάρθρως. 49, 5. Ὅπως ἐπιδέχεται τὸ ἄρθρον. 629, 5. Διὰ τί τὸ οὐδέτερον. 713, 6. Τῆς τούτου μετὰ δύοιν αἰτιατικῶν ἀμφιβολίας διάκρισις. 671, 28. 951, 23. Ἔστιν οὗ τὸ τελικὸν ἐλλείπει προηγουμένου λόγου. 86, 32. μορίου, οὗπερ Ἀπαιτεῖ ἡ χρεία. 643, 25. καὶ τίς αὕτη ἡ χρεία. 644, 9. Τὸ δὲ τῆς ἐπισταλτικῆς συντάξεως ὁποῖον. 635, 4.

Ἀπέχω, τί βούλεται. 1033, 11.

Ἀπήχημα, τί. 1241, 7.

Ἁπλᾶ καὶ σύνθετα εἴδη συντάξεως, ζήτει, Συντάξεως εἴδη.

Ἁπλῶς, τί δηλοῖ. 739, 31. 740, 2.

Ἀπὸ, καὶ ἐκ, ἐπὶ ἀψύχων. 1012, 29.

Ἀπὸ, πρόθ. τί δηλοῖ. 1031, 30, 38. 1032, 10, 14. Ἐν δὲ συνθέσει, 1033, 14, 26, 31, 33, 39. 1034, 1.

Ἀποδεκτικὰ εἰς ἀρετὴν ῥήματα, ζήτει Ἐπιδεικτικά.

Ἀποθετικὸν ἐπίρρημα. 1150, 26. 1151.

Ἀποδέ-

Ἀποδίδωμι καὶ ἀπόδοσις τί. 1032, 16, 32.
Ἀπὸ κοινοῦ σχῆμα, ὁποῖον. 87, 36. 88, 32. 89, 15, 31. Ὅτι διττόν. 88, 18. 89, 22.
Ἀπολαμβάνω τί βούλεται. 1032, 15. 1033, 11.
Ἀπολελυμένα ὀνόματα. 233, 30. Τί διαφέρει τῶν ἀφῃρημένων. 234, 20.
Ἀπόλυτος μετοχὴ, ζήτει Μετοχή.
Ἀπορηματικοὶ Σύνδεσμοι. 1214, 5.
Ἀπορία ἡγεῖται ἐρωτήσεως. 1177, 31.
Ἀποστατικὸν Ἐπίρρημα. 1148, 25. 1149. 1287, 22.
Ἀποστηματικὰ ῥήματα, γενικῇ. 453, 27.
Ἀποτιμητικὰ ῥῆμ. ζήτει Ἀνταλλαγματικά.
Ἀπόφανσις τί ἐστι. 620, 26.
Ἀποφαντικὰ ἐπιρρήματα. 1130, 30.
Ἀποφαντικὸς λόγος, τίς. 346, 39. 348, 15. 555, 36. 1130, 33.
Ἀποφάσεις δύω Ἀντὶ μιᾶς ποτὲ μὲν, Ἀποφάσεως, ποτὲ δὲ, Καταφάσεως. 1132, 21. 1133, 1134. 1135. 1138, 38. 1139. 1140. Καὶ ὅπως εἰσὶν ἀλλήλων ἀναιρετικαί. 1142, 21.
Ἀπόφασις μία πῶς συνεισάγει καὶ ἑτέραν ἀπόφασιν. 1136, 33.
Ἀπόφασις μία πῶς μὲν, πῶς δ', οὐ συνεισάγει τὴν κατάφασιν. 1137, 4, 17. 1138, 9, 18.
Ἀπόφασις ἔστι μὲν οὗ, καθ' ὕφεσιν. ἔστι δὲ οὗ, καθ' ὑπεροχὴν λέγεται. 1141, 32.
Ἀπόφασις ποτὲ μὲν, τὸ ἴσον τῇ καταφάσει. ποτὲ δὲ, τὸ ἔλαττον δύναται. 1141, 37. ποτὲ δὲ, τὸ μεῖζον. 1142, 11.
Ἀπόφασις ἀντὶ στερήσεως. 1136, 11.
Ἀποφατικὸς λόγος οὐκ ἔστιν ὁριστικός. 879, 33.
Ἅπτεσθαι Ἀλλήλων τίνα λέγεται. 374, 31.
Ἅπτομαι, ὅπως συντάσσεται. 444, 18.
Ἄρα, παρέλκον. 70, 20.
Ἄρθρον, τίνα τάξιν ἔχει. 726, 1. Τί ἐστι 728, 30. Ὅτι κυρίως ἄρθρον τὸ προτακτικόν. 729, 14. 743, 19. Τίνων προτάσσεται. 741, 28, 36. Τίσι προστίθεται. 220, 22. Τί σημαίνει. 220, 26. 729, 31. 730, 18. 731, 8. 732, 9, 30. 733, 30. 734, 5. Ὅπως τῇ μετοχῇ συμφέρεται. 221, 13. Πῶς τῷ καθόλου προσδιορισμῷ ἰσοδυναμεῖ. 260, 35. Ὅτι οὐκ ἐγκλίνεται. 822, 23. Πότε μὲν ἀνθ' ὑποτακτικοῦ ἐστι. 746, 33. Πότε δὲ ἀντωνυμικόν. 66, 20, 40. 69, 10, 29. 108, 9. 920, 17. 921. 922, 2. Χρῆσις τούτου κἀπὶ τοῦ ἐπιμερισμοῦ. 777, 19, Πρὸς γενικὴν μόνην ἐλλειποπτωτεῖ. 783, 36. Ἔνθα μὲν, πλεράζον, ἢ ἔλλειψιν ἔχον. 66, 20. Ἔνθα δὲ, ἐλλεῖπον. 77, 34. Τοῦ οὐδετέρου τί ἴδιον. 764, 8. Τοῦ ἀρσενικοῦ ἡ εὐθεῖα ἐμπαθὴς, μετὰ τοῦ τ, καὶ αὐτὴ προφερομένη. 794, 14. 795, 2. 297, 20. Τὸ δὲ ὑποτακτικὸν ἐπὶ ἴδιον ῥῆμα φέρεται. 745, 2. 767, 11. 768. ξιχῶς. 767, 24. 770, 22, 34. 771, 6. Ἡ δὲ μετ' αὐτὸ ἐπαγομένη μετοχὴ, ὁποία. 773, 21. Πρὸς τίνος ῥήματος πτῶσιν ἀποδίδοται. 775, 27. Πρὸς ποίου δὲ πτωτικοῦ γένος. 777, 23. Ὅπως ἔχει ἐπιτατόμενα τὰ τούτου προηγούμενα πτωτικά. 776, 30. Τίσιν ἀνομοιαρίθμως ἀποδίδοται. 778, 36. Ἡ τούτου εἰς προτακτικὸν μετάληψις, ὁποία. 780, 30. 781, 782. 785, 25. Ἐλλειποπτωτεῖ πολλάκις. 783, 16. Τῷ τίς ἐρωτηματικῷ μετὰ τίνος ῥήματος ἀποδίδοται. 784, 11. Πρὸ αὐτοῦ αἱ στιγμαὶ ὁποῖαί τινες πίπτουσι. 1255, 6.
Ἄρθρων προτακτικῶν δύοιν, ἢ καὶ ξιῶν συνθήκη τίς ἡ βελτίων. 786, 4.
Ἀριθμητικὰ ὀνόματα ὅπως συντίθεται. 149, 5, 26.
Ἀριθμὸς τί ἐστιν. 285, 16. Εἴδη τούτου. 284, 21. Τὸ πληθυντικὸν, κἀπὶ ἑνὸς πολλάκις. 288, 36. 842, 9. καὶ διὰ τί. 289, 8, 39.

289, 8, 39.
Ἀρκτέον πόθεν. 10, 20. 13, 34. 14, 3.
Ἀρσενικὰ ἐκθηλύνειν, καὶ θηλυκὰ ἀρρενοῦν τίνων. 125, 11.
Ἄρσις, πῦ μὲν, πῦ δ' οὐ συνεισάγει τὴν θέσιν. 1137, 4, 17, 30. 1138, 9, 18.
Ἄρτι καὶ αὐτίκα. 1083, 15. 1084, 35. 1086, 14.
Ἀρχὴ, ποσαχῶς. 473, 2. Τί διαφέρει Στοιχείου. 15, 18. Αἰτίου. 473, 1.
Ἀρχὴ τέχνης καὶ ἐπιστήμης διὰ τίνος δείκνυται. 153, 2.
Ἀρχικὰ ῥήμ, γενικῇ ἁπλῶς. 450, 30.
Ἄται, λήγοντα τρίτα πρόσωπα πληθυντικὰ πόθεν. 64, 30.
Ἀτὰρ σύνδεσμος. 1163, 11.
Ἄττα, παρέλκον. 70, 16. Διαφέρει προτασσόμενον καὶ ὑποτασσόμενον. 741, 5.
Ἄτε δὴ, αἰτιολογικόν. 1209, 2.
Ἀτομικὸν, τί διαφέρει μερικοῦ. 201, 30. μοναδικοῦ. 203, 33.
Αὖ, ἀργόν. 70, 14.
Αὐδὴ, ἐπὶ τίνος καὶ πόθεν. 17, 29.
Αὖθις. 1107, 9.
Αὐθυπότακτα ῥήματα τίνα. 562, 20. 563. 564. 565, 15, 20. 566. 567. 568. 613, 17.
Αὔριον. 1085, 2, 21.
Αὐτὰρ, σύνδεσμος. 1163, 11.
Αὕτη, πόθεν. 924, 5.
Αὐτὴ, αὐτὸς ἐπιταγματικὴ οὖσα, ὅπως καὶ πρώτῳ καὶ β', συντάσσεται. 166, 39.
Αὐτίκα καὶ ἄρτι. 1083, 15. 1086, 16.
Αὐτὸ, ἀντωνυμία, κατὰ τὸ οὐδέτερον πότε μὲν, πότε δ' οὐ προσλαμβάνει τὸ ν. 795, 15.
Αὐτοενεργητικὰ ῥήματα, ζήτει Σύνταξις ῥημάτων.
Αὐτοπάθεια τί ἐστι. 855, 30. 902, 40. 914, 31.
Αὐτοπαθητικὰ ῥήματα, ζήτει Σύνταξις ῥημάτων.
Ἀφηγηματικὰ ῥήματα, εἰδικῷ ἀπαρεμφάτῳ. 654, 5.
Ἀφήγησις τί ἐστι. 721, 36.
Ἀφῃρημένα ὀνόματα τί διαφέρει τῶν ἀπολελυμένων. 234, 20. Ἐπὶ τίνων μὲν, οὐσιῴδη, ἐπὶ τίνων δ', ἐπουσιῴδη. καὶ ὅτι καθ' ἑτέρων οὐ λέγεται. 235, 5. Ἔστιν οὗ ἀντὶ τῶν συγκεκριμένων λαμβάνεται. 236, 34. Τούτων τὰ ῥηματικὰ ὅπως ἐπὶ γενικὴν φέρεται. 340, 23.
Ἀφοριστικὰ ῥήματα γενικῇ καὶ ἁπλῶς, 453, 27. καὶ πῇ. 495, 18.

Β

Β, πλεονάζον. 60, 39. Πρὸς τὴν τοῦ ἰδίου ἤχου ποιότητα ὀνοματοποιεῖ. 232, 30.
Βαρβαρισμὸς τί, τε καὶ ποσαχῶς. 111, 9, 28, 112.
Βεβαιωτικὰ ἐπιρρήματα. 1122, 36.
Βλώσκω, πόθεν. 26, 35.
Βρύω, ὅπως συντάσσεται. 526, 19.

Γ

Γ, πλεονάζον. 60, 40.
Γὰρ, οὐδαμοῦ ἀρκτικὸς, εἰ μὴ καθ' ὑστερολογίαν. 1210, 25, 36. Ἔστι δ' οὗ ἀργὸς κεῖται. 70, 18. 1210, 28. 1211, 11.
Γε, μειωτικός. 1216, 20, 30, 35.
Γενικαὶ εὐθείαις καὶ αἰτιατικαῖς ποσότητα σημαινόντων ὀνομάτων ὑποτασσόμεναι, ὅπως λαμβάνονται. 351, 14.
Γενικὴ πτῶσις τίσι συντέτακται. 348, 28. 350, 16. 412, 11. 415, 9. 499, 2. Ὅτι ἡκτητικὴ οὐ συγκλίνεται τῷ κτήματι. 451, 10.
Γενικὴ πᾶσα παντὸς ὀνόματος πότε συνέχει τὸ ἄρθρον. 759, 12.
Γενικὴ σχετλιασμοῦ αἰτιολογικὴ κατ' ἔλλειψιν σχετλιαστικοῦ ἐπιρρήματος. 1077, 35.

Γενικὴ

Γενικὴ τῷ μετὰ τῶν τῆς μεσότητος ἐπιῤῥημάτων ἔχω προσκειμένη, ὁποία. 1113, 22, 30. 1114, 19.
Γένος, ποσαχῶς λέγεται. 315, 10.
Γένους σημαντικὰ ὀνόματα. 233, 9.
Γίγνομαι τοῦ εἰμὶ τί διαφέρει. 549, 1.
Γνῶσις ἀνθρωπίνη τί ἐστι. 55, 2.
Γνωστικὰ ῥήματα ὅπως συντάσσεται. 436, 22, 36. 476, 14. 477, 8, 35. 654, 5.
Γραμματικὴ τί ἐστι. 1, 33. 1259, 40. Ἐκ τίνων καὶ περὶ τίνων. 186, 24. Ταύτης ὕλη μὲν καὶ ὑποκείμενον, 3, 37. 5, 3, 23, 34. 6, 3, 24. εἶδος δὲ, 3, 38. τέλος δὲ, 5, 5. 6, 31. μέρη δὲ, δύω, θεωρητικὸν καὶ πρακτικόν. 9, 12. Ὅτι μία τῶν ἐννέα μουσῶν. 80, 32. Διαίρεσις αὐτῆς. 1260.
Γραμματικοὶ τὰ τῆς Φιφίας παρεσπάσαντο. 369, 26. 370, 1.
Γραμματικοὶ κανόνες οὐ πανταχοῦ ἁπλῶς ἀντιστρέφουσι. 512, 4.

Δ

Δ, ἐλλεῖπον. 74κ, 34. 76, 34. Πλεονάζον. 61, 1.
Δ, καὶ θ, εἰς ἄλληλα μεταχωροῦσι. 168, 27.
Δαὶ, σύνδεσμος. 261, 8. 1163, 1.
Δασία στοιχεῖα οὔτε διπλάζεται, οὔτε δασεῖαν ἔχει προκαθημένην. 57, 2, 20. οὔτε ἐπὶ τέλει λέξεως τάσσεται. 22, 37.
Δαται, λήγοντα γ', προσώπου πληθυντικοῦ παρακειμένου, πόθεν. 64, 22.
Δὲ, σύνδεσμος, λόγου καὶ λέξεως καὶ τοῦ μὲν ἐπακολουθητικός. 1158, 32. 115. 9, 31, 20. καὶ μεταβατικός. 1162, 24. Μόνον δὲ μεταβατικὸς, στιγμῆς ἀπροσδεής. 809, 8. 1254, 26. 1255, 1. Λόγου δὲ κατάρχων, ἢ παρέλκει, ἢ ἔλλειψιν ἔχει. 1158, 35. 1159, 1. Ἔστιν οὗ τὸν μὲν, μὴ προηγούμενον, συνυπακουόμενον ἔχει. 1159, 35. Ἔστιν οὗ αἰτιολογεῖ. 1161, 12. 1162, 1. Καὶ ἀντὶ τοῦ ἀλλά. 1162, 19. Καὶ ἀντὶ τοῦ καὶ, ἑαυτοῦ ὢν ἐπακολουθητικός. 1162, 22. Καὶ ἀντὶ τῆς εἰς. 1162, 26. Καὶ ἀντὶ τοῦ δή. 1162, 30. Πῶς διφθογγογραφεῖται. 1163, 1.
Δίομαι, ἐπὶ τίνος. 442, 38.
Δεῖ καὶ χρὴ, ὁποῖα. 668, 5. Ὅπως ἀπαρεμφάτῳ συντάσσεται. 671, 11.
Δείκνυμι, μετοχῇ. 478, 21.
Δεικτικὰ ἐπιῤῥήματα. 1148, 12.
Δεῖν, μετὰ γενικῆς, ὁποῖον. 716, 38.
Δεῖξις διττὴ, ἡ μὲν, τῆς ὄψεως, ἡ δὲ, τοῦ νοός. 862, 27. 1090, 40. καὶ ἡ τῆς ὄψεως πάλιν διττή. 885, 10.
Δὴ, σύνδεσμ. περιγραφικὸς καὶ μεταβατικός. 1216, 24, 38. Καὶ βεβαιωτικὸς καὶ συμπλεκτικός. 1217, 5, 8. παραπληρῶν δὲ, ἔστιν οὗ ἐγκλίνεται. 1217, 10.
Δῆλός εἰμι καὶ δηλῶ, μετοχῇ. 478, 11.
Δῖα καὶ δῖος, διὰ τί ὑπερθετικὸν οὐ παράγει. 123, 1.
Διὰ, πρόθ. Γενικῇ αἰτιολογεῖ πολλαχῶς. 993, 15, 33. 994. 995. 996, 997. 998. Δηλοῖ δέ που καὶ τὸ συναιτιατόν. 998, 35. 1001, 1, 36. Ἔτι καὶ ἀσύγχυτον περιχώρησιν. 1008, 31. Καὶ ἕτερα. 999, 33. 1000, 10. Συνοπτικῶς δὲ, 1002. 33. 1003, 38. 1004, 9, 20, 29. Δοτικῇ δὲ, τό, τε τελικὸν καὶ τὸ ποιητικόν. 1005, 30, 38. 1006, 5, 11. Ἐν δὲ συνθέσει. 1007, 35. Ὅπως αἰτιολογεῖ. 940, 24. 953, 7.
Διὰ καὶ ἐκ, εἴτ' οὖν ὑπὸ, πολλάκις ἰσοδυναμοῦσιν ἀλλήλαις. 996, 33. Ἐν δὲ τῇ μετ' ἀλλήλων συντάξει τί ὅτι οὐχὶ τῆς ἐκ, ἡ ταυτοδυνάμος διὰ, προηγεῖται, ἀλλ' ἕπεται. 1001, 15.
Διαβατικὸν εἶδος συντάξεως. 408, 33. 414, 12. 425, 11, 30. 465, 35. 466. 467. 468. 481, 36. 490, 10. 538, 24.

Δια-

Διαζευκτικοὶ σύνδεσμοι. 1166, 29. 1167, 6.
Διάθεσις τί ἐστι. 320, 4. 367, 37. Ἡ δὲ τῶν ῥημάτων, διπλῆ. 433, 25. Πλεῖστοι αὐτῆς τόποι. 434, 11. Ὅτι ἡ ἐνεργητικὴ τῆς παθητικῆς προτέρα. 674, 1.
Διαθετικὰ ῥήματα, αἰτιατικῇ. 442, 8.
Διαιρετικὰ ῥήματα, γενικῇ καὶ ἁπλῶς, 453, 26. καὶ πῇ. 495, 18. Ἐπιρρήματα. 1117, 34.
Διακρυστικὰ ῥήματα αἰτιατικῇ. 442, 1.
Διαλεκτικὸς περὶ τί, τε καὶ τίνος θεωρεῖ. 7, 37.
Διάλυσις καὶ συναίρεσις Στοιχείων καὶ Συλλαβῆς καὶ Λέξεως. 93, 16, 30. 97, 25. καὶ Λόγου. 99, 7.
Διάνοια σύνθετος τίς. καὶ ὅτι τριττή. 1251, 7, 30.
Διανοοῦμαι. 479, 27.
Διαστολὴ τί ἐστι. Καὶ ὅτι τριττή. 1241, 28, 35. 1253, 20. 1257, 4.
Διὰ σώματος σῶμα οὐ χωρεῖ, τί βούλεται. 1008, 21, 31. Καὶ ποῖον σῶμα χωρεῖ διὰ σώματος. 1009, 31.
Διὰ τί, πῦ οὐκ ἐπιζητητέον. 152, 35.
Διά τι, οὐπάντως ἀτιμότερον τοῦ δι' ὅ. 1006, 15.
Διά τινός τι ὂν, οὐπᾶν καὶ ἐξ ἐκείνου, δι' οὗ ἐστι, λέγεται. 1000, 26. 1001, 1.
Διαφορὰ, τίνων, καὶ πῦ μὲν, πῦ δ' οὐκ εἰ σάγει ἐναντίωσιν. 1168, 22, 39. 1169.
Διαφορικὰ ὀνόματα ὅπως συντάσσεται. 247, 33. 250, 17. Τί διαφέρει τὰ οὐδέτερα τῶν καὶ τὰ λοιπὰ γένη. 247, 38. Ὅτι ἐν τοῖς Πρός τι δοκεῖ τακτέα εἶναι. 248, 25.
Διαφορικὰ ῥήματα, γενικῇ. 453, 27.
Διάφορον ἐπὶ τίνων. 1168, 23.
Διδασκαλικὰ ῥήματα, αἰτιατικῇ. 442, 8.
Διήγησις ὅτι τριττή. 622, 18. Ἑκάστη τε ταύτης διχῶς. 1124, 10.
Δι' ὅ, οὐ πάντως τιμιώτερον τοῦ διά τι. 1006, 15.
Δι' ὅ, τι, ποτέρῳ τῶν τοῦ συνημμένου μερῶν συντάσσεται. 553, 16. Ζήτει καὶ ὅ, τι. καὶ 952, 1. 1204, 7. Τί ποτε αἰτιολογεῖ. 1204, 28. 1205, 14.
Διπλασιασμὸς Στοιχείου. 56, 35. Συλλαβῆς καὶ Λέξεως. 57, 27, 34. καὶ Λόγου, 58, 3.
Διώνυμα, τίνα. 300, 15. 301, 2.
Δοξαστικὰ ῥήματα, αἰτιατικῇ. 436, 17. Εἰδικῷ ἀπαρεμφάτῳ. 654, 5.
Δοτικὴ πτῶσις, τίνος τάξιν εἴληφε. 351, 26, 34. 212, 30. 412, 16. 415, 19. Ὅτι αἰτιολογεῖ ἔνθα μὲν, τὸ δι' ὅ. ἔνθα δὲ, τὸ ὑφ' οὗ. ἔνθα δὲ, τὸ δι' οὗ. 352, 4. 20. 474, 1. Ἡ δὲ περιποιητικὴ, ἐκ τρίτου δοκοῦσα, ἐκ τετάρτου ἐστί. 506, 25. ἀπολελυμένη τῆς τοῦ ῥήματος μεταβατικῆς σχέσεως. 507, 7. Ἡ δὲ τῶν ἀντιπιπτικῶν ῥημάτων τί βούλεται. 507, 26.
Δυϊκὰ πτωτικὰ ὅπως πληθυντικοῖς συντάσσεται ῥήμασι. 283, 39. 284, 22.
Δυϊκὰ ἀντὶ πληθυντικῶν. 73, 9.
Δυϊκὸν δύαδος ἀεὶ σημαντικόν. 290, 34.
Δυνάμει, ὅτι διττόν. 883, 4.
Δυνάμεις ψυχικαὶ, ὁποῖαι. 347, 8.
Δύναμις τί ἐστι. 1034, 39. 1035, 1. Ἡ δὲ ἑκάστου τῶν τοῦ Λόγου μερῶν, ὁποία. 104, 12. 105.
Δυνητικοῦ ἂν, σύνταξις, ζήτει Ἂν δυνητ.
Δύω, εἶδος ἀριθμοῦ. 371, 19. Ἐν μὲν δυϊκοῖς παρέλκει. 72, 27. 73, 5. Ἐν δὲ πληθυντικοῖς οὔ. 286, 35. Ἐκτείνει τὴν λήγουσαν. 287, 1.

E

Ἔ, τὸ στοιχεῖον, εἶ, ἐλέγετο πάλαι. 61, 21.
Ἔ, ἐλλεῖπον. 74, 37. 75, 2. Πῦ προστίθεται καὶ ἀφαιρεῖται. 816, 12.
Ἐὰν, σύνδεσμος. ζήτει Ἵνα σύνδεσμος.

Εαται,

Εαται, λήγοντα τρίτου προσώπου πληθυντικοῦ παρακειμένου, πόθεν. 50, 24.
Ἑαυτὸν, ἐπὶ πρώτου ἴσως ἐν κήκῃ. 169, 16.
Ἑαυτῶν, τρίτου ὄν, διὰ τί κἀπὶ πρώτου καὶ β'. 168, 3. 172, 1. 173, 9. 902. Καὶ πότερον συνθετον, ἢ ἁπλοῦν. καὶ ὅτι σολοικοφανές. 171, 5, 30. 905, 32. 906. 907. 911, 21.
Ἐγκλινομένων καὶ ἐγκλιτικῶν πέρι. 926, 25. 927. 928. 929. 580, 5. 820, 19. 821, 1. 822, 21. 816, 37. 819, 31. 1121, 10.
Ἔγκλισις τί ἐστι. 549, 20. 550, 21. 551, 30. Ὁριστική. 551, 40. 552. 555, 35. 556. 557. 559, 35. Ὅτι ἐξ αὐτῆς αἱ λοιπαί. 948, 22. Τίνι λόγῳ οὐχὶ τὸ ἀπαρέμφατον, ἀλλ' αὐτὸ κατάρχει. 560, 29. 665, 10. Προστακτική. 561, 37. Εὐκτική. 584, 15. Ἀνάλυσις αὐτῶν. 619, 5. 623, 1. 626, 3. Ἰδιώματα αὐτῶν. 624, 4. Ἡ δ' ὑποτακτικὴ, 593, 23. ἐπὶ τίνας χρόνους καὶ ὅπως φέρεται. 596, 11. 597, 18. Ἀπὸ ποίας ἐγκλίσεως μετείληπται. 605, 37. Ὅτι ἄδηλον εἰ ἔγκλισις καὶ αὕτη. 624, 6. 625.
Ἐθνικὰ, τετραχῶς. 228, 29. Πόθεν ἡ τούτων παραγωγή. 855, 12.
Εἰ, σύνδεσμος, πολλαχῶς. Ὑποθετικός. 1183, 25. Ἀντὶ τοῦ ἐπεί. 1187, 2. Ὁποίαις ἐγκλίσεσι συντάσσεται. 1190, 25, 35. 1191, 10. Καὶ ἀντὶ τοῦ οὐ. 1196, 34. Καὶ ἀντὶ τοῦ δι' ὅ, τι. 1197, 1. Καὶ ἀντὶ τοῦ ὅ, τι. 1197, 5. Καὶ ἀντὶ τοῦ ἄρα. 1197, 16, 27. Καὶ εὐκτικόν. 1198, 3. Καὶ πολλαχῶς ἄλλως. 1198, 13, 15, 16.
Εἴαται. 722, 7.
Εἴγε, ἀντὶ τοῦ γάρ. 616, 26.
Εἴδη, τίνων λέγεται. 408, 11.
Εἴδη τῆς τῶν ῥημάτων συντάξεως, ζήτει Συντάξεως ῥημάτων.
Εἰδικὸν εἶδος συντάξεως. 416, 25. 475, 1.
Εἴδους σημαντικὰ ὀνόματα. 233, 9.
Εἶεν, ἐπίρρημα. 1150, 26. 1151.
Εἴθε, ἐπίρρημα, τίνι λόγῳ καὶ τῇ ὁριστικῇ συντάσσεται. 585, 10.
Εἰκαστικὰ ἐπιρρήματα. 1143, 19.
Εἴκω, τὸ ὁμοιῶ. 474, 24.
Εἶναι, παρέλκον. 70, 5.
Εἶναι λεγόμενα, πολλαχῶς. 1184, 24. 1185.
Εἴπερ, κατ' ἔλλειψιν λόγου. 85, 3, 25. 86, 5. Καὶ ὅτι κατὰ τὸν ἢ, συγκριτικὸν συντάσσεται αὐτότε καὶ τὸ, εἰ καὶ, προσλαβόντα τὸ τι, ἢ τὸ τις. 322, 35.
Εἴπως, ἀντὶ τοῦ ὅπως. 1198, 20.
Εἰς, πρόθεσις τίσιν ᾠκείωται. 958, 10, 20, 37. Ἐφ' ἑκάστου εἴδους τῆς κινήσεως λαμβάνεται. 959, 12. Καὶ ἀνθ' ἑτέρων. 959, 39. 960, 9, 17, 22, 30. 961, 4.
Εἰσαγωγὴ τί ἐστι. 1262, 9. 1263, 5, 27.
Εἰσαεί. 1107, 9.
Εἴσω ἐπίρρημα, διφορεῖται κατὰ σύνταξιν. 121, 18. 961, 26.
Εἶτα, παρέλκον. 69, 26.
Εἴτι, ἀντὶ τοῦ ὅ, τι. 1198, 34.
Εἴτ' οὖν, ὁποῖόν ἐστι. 549, 32. 550, 12.
Ἐκ, καὶ ἀπὸ, ἐπὶ ἀψύχων. 1012, 29.
Ἐκ, πρόθεσις δηλοῖ κίνησιν τὴν ἀπότου πολλαχῶς. 959, 12. 961, 28, 35. 962, 16, 25, 28. 964, 16. 469, 34. 470, 30. 471, 14. Αἰτιολογίαν πολλαχῶς. 963, 18, 28. 964, 13, 24. 965, 13, 18, 24. 35. 966, 15, 33. 967, 21, 29, 35. 968, 8. Ὁμοουσιότητα ἀναιτιολόγητον. 964, 3. 966, 24, 25. 967, 11. Καὶ ἀνθ' ἑτέρων. 961, 31. 962, 34. 963, 2, 5, 6, 7, 8, 14, 15. 971, 19, 27. Ἐν δὲ συνθέσει. 971, 30, 34, 39, 40. 972, 3.
Ἐκ, καὶ διὰ, ἰσοδυναμοῦσι πολλάκις ἀλλήλαις. 994, 7. 996, 33.

Ἐκ, ἀντὶ

Ἐκ, ἀντὶ τῆς διά. 1001, 5.
Ἕκαστος.
Ἑκάτερος | πόθεν παρήχθη. 294, 22. 295, 1.
| τί διαφέρει τοῦ ἀμφότεροι. 296, 12.
Ἐκ διαμέτρου, τί βούλεται. 969, 15.
Ἐκ παραλλήλου, διττῶς. 74κ, 8. 588, 38. 589.
Ἐκστατικὰ ῥήματα, ζήτει Ἀφοριστικά.
Ἔκτινός τι ὄν, οὐπαῦ καὶ διάτινός ἐστι τὸ αὐτό. 1000, 20.
Ἔλλειψις Στοιχείων. 74κ, 22. Συλλαβῆς καὶ Λέξεως. 77, 8, 15. 79, 5. 80, 7. 82, 17. ἡ δὲ τῆς Λέξεως τριχῶς. 78, 32. Λόγου. 85, 1. 86, 37.
Ἐλλειπτικὸν εἶδος συντάξεως πρῶτον. 415, 10. δεύτερον. 417, 19.
Ἑλληνισμὸς διττός. 422, 24.
Ἐμπεριβολὴ τί ἐστι. 1028, 38.
Ἐν, πρόθεσις τί δηλοῖ. 955, 35. 956, 18, 20, 27. 957, 4, 9, 15, 17, 20, 23, 27. 1092, 17. Τί διαφέρει τῆς ἰσοδυνάμου σύν. 972, 28. τῆς πρός. 973, 38. Ἐν δὲ συνθέσει. 957, 40.
Ἐναλλαγὴ τῶν τοῦ Λόγου μερῶν, καὶ τῶν τούτοις παρεπομένων. ζήτει ἐν τῷ Σολοικισμός.
Ἐναντιωματικοὶ σύνδεσμοι. 1211, 15.
Ἐναντίωσις τίνων. 1168, 20, 38.
Ἐνδέκατος καὶ ἑνδεκάτη, σολοικοφανῆ. 149, 1.
Ἐνδεχομένου διαφοραὶ τρεῖς. 187, 5.
Ἕνεκα, πολλαχῶς. 470, 10. 1073, 39. 1113, 29. 1209, 8, 18, 30. 1210, 19.
Ἐνέργεια τί, τε καὶ τίνος ἐστί. 1034, 30. 1035, 6, 12. Ὅτι τριττή. 1002, 30.
Ἐνέργεια ῥημάτων μείζων καὶ ἐλάσσων. 429, 4, 14. Διαφέρει κινήσεως. 503, 3. Τοῦ πάθους προτέρα. 674, 1.
Ἐνεργείᾳ ὅτι διττόν. 884, 14.
Ἐνεργητικῶν ῥημάτων σύνταξις. ζήτει Σύνταξις ῥημάτων.
Ἐνεστὼς ὅπως ἐστὶ χρόνος. 376, 30, 38.
Τί σημαίνει. 383, 1. 592, 13. Ὅπως καὶ διαιρετὸς ὁ αὐτὸς καὶ ἀδιαίρετος. 38, 2, 26. Ἐν τίνι πλατύνεται. 386, 32.
Ἐνεστῶτές τινες ἀντὶ παρακειμένων. 1127, 2.
Ἕνωσις, πολλαχῶς. 568, 36. 569. 570. 571. 572.
Ἐξαίφνης. 1086, 23.
Ἕξις τί ἐστι. 320, 2. Διαίρεσις αὐτῆς. 319, 35.
Ἐξ' οὗ, καὶ παρ' οὗ ἐπὶ Θῦ ὅπως λέγεται. 964, 40. 968, 35. 969, 1.
Ἔξω ἐπίρρημα, πόθεν. 961, 25.
Ἐπανάληψις λόγου ὅπως γίνεται. 59, 11.
Ἐπεὶ καὶ ἐπειδὴ, χρονικὸν ἐπίρρημα. 1127, 29. 1201, 1. 1223, 19. Σύνδεσμος παρασυναπτικός. 1199, 5. Τῷ γὰρ, ἰσοδύναμος. 1200, 28. 1201, 4. Ἔστιν οὗ δυσαπόδοτος. 1201, 8. Καὶ ἀντὶ τοῦ ἢ, διαζευκτικοῦ. 1201, 12.
Ἐπειδὰν αἰτιῳδῶς, καὶ πρὸς ὁριστικήν. 1199, 23.
Ἔπειτα, παρέλκον. 69, 26.
Ἐπέκτασις ποσαχῶς. 121, 4. Αἱ δὲ τῶν ἀπτώτων, παρέλκουσι. 70, 6.
Ἐπὶ, πρόθεσις τί δηλοῖ Γενικῇ. 1019, 36. 1020, 2, 18, 26, 34. Δοτικῇ. 1021, 3, 21, 27. Αἰτιατικῇ. 1022, 19, 37. Μεταλαμβανομένη δὲ, διάφορα. 1023, 17.
Ἐπιβατικὸν εἶδος συντάξεως. 410, 30. 411, 17. 423, 20. 425, 19, 30. 426, 27. 490, 10.
Ἐπιδεικτικὰ ῥήματα, αἰτιατικῇ ἁπλῶς. 434, 40. γενικῇ πῇ. 496, 8.
Ἐπίθετά τινα παρέλκοντα. 71, 4. 72.
Ἐπίθετον τί ἐστιν. 206, 23. Ἀπὸ τίνος ὥρισται. 210, 15. Τίνος χάριν ἐπενοήθη. 101, 24. 870, 18. Ὅπως καθ' ὑποκειμένου λέγεται. 210, 38. 209, 26. 215, 5, 30. 340, 38. 342, 12. Ὅτι τὰ μὲν αὐτῶν ἀπόλυτα, τὰ δὲ, πρός τι. 240, 28.

240, 28. 337, 23. 342, 35. Τίνα μὲν, ἐνάρθρως, 214, 5. καὶ τίνα ἀνάρθρως, 215, 5. Ὅτι τὸ ἄρθρον οὐδὲ τῶν συνάρθρων ἴδιον. 220, 30. 342, 30. Τίνα τούτων εἰς ἔναρθρον γενικὴν μεταβάλλει. 220, 40. 221, 7. Ὅτι τινὰ μὲν αὐτῶν καθ' ἑαυτὰ λέγεται, συνεισάγοντα τὸ ὑποκείμενον, 207, 13. τινὰ δὲ, οὐ καθ' ὅλου τοῦ ὑποκειμένου, ἀλλὰ κατά τι. 208, 25. Ἀλλεπάλληλα δὲ χωρὶς ὑποκειμένου ἐπὶ τίνων κεῖται. 208, 6, 14. Τίνα τούτων ἐν ἀπολύτῳ μὲν σχήματι ὑπερθετικῆς τυγχάνει συντάξεως. 325, 34. 326, 4. ἐν παραθετικῷ δὲ, θετικῆς. 226, 21.

Ἐπίθετά τινα πότε ὀνοματικῶς, καὶ πότε ἐπιρρηματικῶς ἀκούεται. 108, 15.

Ἐπικρατητικὰ ῥήμ. αἰτιατικῇ. 441, 5.

Ἐπικρυπτικὰ ῥήμ. 1117, 32.

Ἐπιμεριζόμενα ποσαχῶς σχηματίζεται. 291, 40. 677, 33. Τίνα τούτων ἐπιδέχεται ἄρθρον. 292, 40. Ὅπως συντάσσεται. 293, 36. Τὸ ἐπιφερόμενον ῥῆμα ὅπως τούτοις κατ' ἀριθμὸν συνακολουθεῖ. 294, 4.

Ἐπιμερισμὸς τί ἐστι. 748, 25. 1233, 23. Ὅτι τριχῶς. 749, 24. 750, 23. 751. 754, 24. 755. 756. 757. 758. 759, 5. Ποσαχῶς λαμβάνει τὴν ἀπόδοσιν. 1162, 13. Ἔστιν οὗ χιάζει. 762. 1. 763.

Ἐπιμέσων ῥημάτων σύνταξις. ζήτει ἐν τῷ, Σύνταξις ῥημάτων.

Ἐπίρρημα τί ἐστι. 1067, 1. 1069, 32. 1070, 5. 1072, 30. Τί διαφέρει τοῦ ἐπιθέτου ὀνόματος τὰ τῆς μεσότητος. 1070, 34. Ὅτι τὰ μὲν, πτωτικῶς, τὰ δὲ, ῥηματικῶς, τὰ δὲ, συναμφοτέρως συντάσσεται. 1072, 35. 1073. 1074. 1075. 1076. 1078, 5, 20. 1115, 33. τὰ δὲ κατ' εἶδος, ζήτει κατ' εἶδος.

Ἐπιρρήματά τινα ἀντὶ προθέσεων. 121, 27. Καί τινα χρονικὰ σύναρθρα, ὅπως ἔχει τὸ ἄρθρον. 66, 20.

Ἐπιστήμη καὶ ἡ τέχνη. 441, 33.

Ἐπιστημονικὰ ῥήμ. αἰτιατικῇ. 441, 30,

Ἐπιταγματικὴ ἀντωνυμία. 92, 1. 166, 39. 892, 30.

Ἐπίτασις ἡ μέν τις, καθ' ἑαυτήν. ἡ δὲ, ἐν ὑποκειμένῳ. 587, 1, 7. 1110, 35.

Ἐπιτατικὰ μόρια. ζήτει Μόρια.

Ἐπιχείρημα τί ἐστι. 1249, 15.

Ἐπόμενα, τίνα. 1188, 14.

Ἐπιφορὰ τί ἐστι. 1212, 16.

Ἐπώνυμα τίνα. 300, 15.

Ἐρᾶν τοῦ φιλεῖν διαφέρει. 448, 13, 33.

Ἐρωμένη, ὅτι οὐ μετοχή. 259, 17.

Ἐρωτηματικὰ ὀνόματα. ζήτει Ἐρώτησις. Ἐπιρρήματα. 1120, 34. 1207, 30.

Ἐρωτηματίζειν, ὅτι πολλαπλοῦν. 1272, 30. 1275, 4. 1276, 35.

Ἐρώτησις ἀπορίαν ἔχει προηγουμένην. 1177, 31. Πεύσεως τί διαφέρει. 257, 32. Εἰς δύω μέρη λόγου προσεχώρησε. 261, 14. 1121, 34. 1207, 30. 1279, 6. Διὰ πολλὰ γίνεται. 270, 29. Ἡ μέν τίς ἐστιν ἁπλῆ, εἴτ' οὖν διαπορητικὴ, ἡ δὲ, σύνθετος. 268, 30. 269, 1, 27. Τί ἀντεισάγει. 270, 20. Ὁποίαν ἔχει τὴν ἀνθυπαγωγήν. 954, 15. 264, 28. Ὅτι δυσφύλακτος ἐν αὐτῇ ὁ σολοικισμός. 1125, 15.

Ἐρωτῶ, ἀντὶ τοῦ παρακαλῶ. 442, 31.

Ἔσθ' ὅτε, ὅπως ἐκθλίβεται τὸ ἰ. 133, 33.

Ἔστιν ὧν, οἷς, οὕς. 91, 21.

Ἔστοντας, ὅτι στυγητόν. 699, 35.

Ἕτερον, ἐπὶ τίνων. 1168, 23. Πότε μὲν, πότε δ', οὐ προφέρεται μετὰ τοῦ θ. 296, 38. 297, 2.

Ἑτεροτελὲς εἶδος συντάξεως. 418, 31.

Ἔτι, - -
Εὖ ἴσθι. - | - ἀργά. 70, 10, 30.
Εὖ οἶδ' ὅτι.

Εὖ συντάττειν, ὁποῖον. 185, 8.

Εὐδαι-

Εὐδαιμονία τί ἐστι. 1194, 34.
Εὐθεῖα πτῶσις, οὐ πτῶσις, καὶ τίσιν ἁρμόζει. 344, 30. 345, 24. 346, 36. Παρυφίσταται ἐκ πρώτου τῷ ῥήματι. 402, 23. 403, 25. Τίνι λόγῳ προστίθεται, ᾧ συνυπακούεται ῥήματι. 883, 30. Τῇ κλητικῇ συνεμπίπτουσα, ὅπως διακρίνεται. 579, 10.
Εὐθεῖα τῶν ὀνομάτων ἐπὶ τίνων καὶ ἐν πρώτῳ καὶ δευτέρῳ προσώπῳ καταγίνεται. 362, 8.
Εὐκτικὰ ῥήματα τί σημαίνει. 592, 23. Τί διαφέρει τῶν εὐκτικῶν ἐπιῤῥημάτων. 585, 22.
Εὐκτικὰ ἐπιῤῥήματα. 1128, 24.
Εὑρίσκω, μετοχῇ. 479, 22.
Εὔρωστος, διὰ τί οὐ διπλάζει τὸ ῥ. 40, 11.
Ἐφεξῆς τίνα λέγεται. 377, 29. 1119, 5.
Ἐφίεμαι, ἐφικνοῦμαι, τίνι λόγῳ γενικῇ. 1023, 10, 14.
Ἐφ' ᾧ, αἰτιολογικόν. 1208, 7.
Ἔχω, μετὰ τῶν τῆς μεσότητος ἐπιῤῥημάτων γενικῇ. 1113, 22.
Ἔχων, παρέλκον. 68, 3.
Ἕως. 1099, 25. 1100. 1101. 1121, 19, 27.

Z

Ζ, τὸ στοιχεῖον, ἐπὶ τῶν ἀπὸ τοῦ σ β, οὐ μὴν ἀλλὰ καὶ τῶν ἀπὸ τοῦ σ μ, ἀρχομένων λέξεων, ἀντὶ τοῦ σ, ἐγράφετο πάλαι. 28, 1. Ἐπὶ δὲ τέλει λέξεως οὐ τάσσεται. 23, 6.
Ζητητικὰ ῥήματα, αἰτιατικῇ. 440, 4.

H

Ἡ, πλεονάζον. 61, 16. 1058, 27.
Ἡ, ἀντωνυμικόν. 924, 5.
Ἡ συγκριτικὸν καὶ διαζευκτικὸν, ὁμοιόπτωτα τοῖς ἡγουμένοις ἀπαιτεῖ τὰ ἑπόμενα. 321, 21. 1116, 25, 30.
Ἡ, σύνδεσμος πολλαχῶς. Διαζευκτικός. 1170, 15, 24. 1171. Παραδιαζευκτικός. 1174, 25. Διασαφητικὸς 1173, 5, 25. Ἀπορηματικὸς καὶ Λυτικός. 1175, 5, 9, 35. 1176. Καὶ ἀντὶ τοῦ ἴσως. 1177, 26. Καὶ ἀντὶ τοῦ εἰ. Καὶ τοῦ εἰμή. Καὶ τοῦ παρ' ὅ. Καὶ συγκριτικός Καὶ ἀντὶ τοῦ Καί. 1178, 10, 17, 20, 26. 1179, 1. Καὶ τοῦ δή. Καὶ τοῦ οὐ. Καὶ τοῦ ἤγουν. 1179, 15, 18, 22. 1180, 35. Καὶ τοῦ Ἐπεὶ, παρασυναπτικοῦ. 1172, 6. Ὁ δὲ τοῦ ἄρα ἐπακολουθητικὸς, ἀντὶ τοῦ ἄρα καὶ αὐτός ἐστι. 1172, 35.
Ἡ, περισσώμενον ἐπίῤῥημα. Δασυνόμενον μὲν, Ὁμοιωματικόν. 1181, 12. καὶ Τοπικόν. 1182, 16. καὶ τὸ Καθ' ὃ δηλοῦν. 1182, 23. Ψιλούμενον δὲ, Βεβαιωτικόν. 1181, 10. Καὶ ὅρκιον. 1182, 11.
Ἡ, λήγοντα ἐπιῤῥήματα, τίνα μὲν, τίνα δ' οὐχ ὑπογράφεται. 1183, 10.
Ἡγούμενα τίνα. 1188, 13.
Ἡ δὲ, σύνδεσμος. 1165, 25.
Ἤδη, 1093, 15. 1095, 29. 1096.
Ἡλίου αἱ κινήσεις δύω. 375, 13.
Ἡμεδαπὸς, ὅτι ἀντωνυμικὸν ἐκ παραγωγῆς. 848, 15. 849, 32. Ἀντὶ τίνος, καὶ εἰς τί μεταλαμβάνεται. 852, 5. Διὰ τί μὴ καὶ σφεδαπός. 853, 7.
Ἡ μὲν, ἡ δὲ, σύνδεσμοι. 1165, 25, 35.
Ἦν καὶ ὢν, ζήτει Ὢν.
Ἠσι, λήγοντα ῥήματα, τίνων. 65, 8.
Ἤτοι σύνδεσμος συμπλεκτικὸς τοῖς ποιηταῖς. 1165, 36. 1169, 23. Διαζευκτικὸς δὲ, προτακτικός ἐστι τοῦ ἤ. 1169, 12. 1170, 24.
Ἡττῶμαι. 454, 6.
Ἠΰ, ἠΰτε, ἐπίῤῥημα παραβολικόν. 1148, 1.



Θ

Θ, καὶ δ. ζήτει δ, καὶ θ.

Θ'ς, αἰώνιος πῶς λέγετ. 1105, 17. Ὅτι οὐκ οὐσίας ὄνομα, ἀλλ' ἐνεργείας. 235, 25. Καὶ ὅπως τὰ τῶν ἐνεργειῶν ὀνόματα ἐπ' αὐτῆς τῆς οὐσίας ἀνάγετ. 236, 70.
Θεοτόκος, τίνι λόγῳ τιμιωτέρα τῶν Χερουβίμ. 318, 11.
Θέσις τῶν ὁμωνύμων οὖσα, ὅπως ᾧδε εἴληπται. 150, 17. 151, 27. 1186, 2, 6.
Θέσις προτακτικὴ, ἢ ὑποτακτικὴ Στοιχείου, Συλλαβῆς, λέξεως καὶ Λόγου. ζήτει ἐν τοῖς καθ' ἕκαστα.
Θέσπεια καὶ θεσπιὰ, ὅπως τῇ γραφῇ διφορεῖται. 126, 3.
Θετικὰ Ἀντικείμενα τίνα. 253, 29. 1186, 4.
Θετικὰ ἐπιῤῥήματα διπλόϊν ποιεῖ συντάξεως. 1077, 17.
Θετικῶς τινα λεγόμενα, ἀρνητικῶς νοεῖτ. 1136, 27.
Θεωρία τί ἐστι. 4, 8.
Θηλυκὰ ἀῤῥενοῦν, καὶ ἀρσενικὰ ἐκθηλύνειν τίνων. 125, 11.
Θηλυτέρα ἡ γυνὴ ὅπως ἐκλήθη. 123, 9.

I

Ι', πλεονάζον. 61, 20. 63, 15. Ἐπεκτατικὸν, καὶ ἀντωνυμικόν. 863, 3, 12.
Ἰδίωμα φωνῶν ἐλλειπεστέρας καθίστησι καθολικὰς τηρήσεις. 818, 40.
Ἱκετευτικὰ ῥήμ. αἰτιατικῇ. 442, 29.
Ἵνα, σύνδεσμος εὐκτικῇ καὶ ὑποτακτικῇ, καὶ δὲ τὸν παρατατικὸν καὶ ὁριστικῇ. τῇ μὲν ὑποτακτικῇ ἀποτελεσματικῶς μὲν, ἐπὶ ἐνεστῶτος καὶ μέλλοντος, ἔτι κἀπὶ παρῳχημένου. αἰτιολογικῶς δὲ, ἐπὶ μόνου παρῳχημένου. 596, 11. 597, 18. 600, 25. 601, 2. 602. 603, 36. 609, 27. τῇ δὲ εὐκτικῇ καὶ ὁριστικῇ ἐπὶ μόνου παρῳχημένου ἀποτελεσματικῶς. 605, 1. 1202, 34. 1203, 3, 9.
Ἵνα, σύνδεσμ. κατ' ἔλλειψιν λόγου. 86, 18.
Ἵνα, ἐκβατικός. 603, 2, Ἐνδοιαστικὸς, ἀντὶ τοῦ ἐάν. καὶ ἐπίῤῥημα τοπικόν Καὶ ἀντὶ τοῦ ὅθεν. Καὶ τοῦ καί. 1203, 33, 35. 40. 1204, 1.
Ἰσοδύναμα μόρια, ἀντ' ἀλλήλων δύναται τίθεσθαι. 996, 35.
Ἴσον αὐτό τι ἑαυτῷ ὅπως λέγεται. 252, 31. 329, 32.
Ἴσως, ἔστιν οὐ κολαστικὸν, οὐ διστακτικόν. 13, 33. 14, 6, 25.
Ἰωάννης ὁ πρόδρομος τίνων μείζων. 314, 37.

K

Κ', πλεονάζον. 61, 31.
Καθ' ὃ, τί βούλετ. 482, 17.
Καθ' ὅ, τι. ζήτει ὅ, τι. καὶ 952, 1.
Καθ' ὅλου, πόθεν. 204, 25. Ὅτι ἄπιστα. 205, 4.
Καθὼς, ποῦ μὲν, ποῦ δ' οὐκ ἔστιν ἀπαραλλάκτου ἀκριβείας. 1146, 37. 1147, 1, 6, 30. 1182, 37.
Καὶ, σύνδεσμος, λέξεως προτακτικός. ὁ δὲ λόγου, παρέλκει μὲν, ἐπιφέρεται δὲ καὶ ἕτερον καί. 1153, 38. 1154, 29. 1156, 2. Οὗτος δὲ καὶ κάλλους ποιητικός. 1157, 6. Καὶ ἄλλως δὲ ἐκ περισσοῦ ποτε κεῖται. 1156, 33. Ἔστι δ' οὗ αἰτιολογεῖ. 1154, 11.
Καιροῦ εἴτ' οὖν εὐκερίας τῆς ἐνλόγοις τέχνην οὐδεὶς ὡρίσατο. 790, 12.
Κακοζηλίας πέρι. 137. 138. 139. 140. 141. 142. 143. 144.
Κακόζηλον ὁποῖον. 144, 14. Καὶ ὅτι οὐ ζηλωτόν 141, 21.
Κἂν καὶ δυνητικὸς, καὶ περιγραφικός. 1224, 5.
Κἂν εἰ, θάτερον τούτων παρέλκει. 70, 25.
Κανόνες γραμματικοί. ζήτει Γραμματικοὶ κανόνες.

Κανόνων

Κανόνων ἱερῶν ἡ ποιὰ δίχα τῆ πάπα διεκδικᾶντων ἀρχὰ πέως. 582, 10, 583.
Κατά, πρόθ. Γραικῆ. 987, 4, 14, 15. 988, 22, 35, 39. 989, 6, 10, 30. Αἰτιατικῆ. 990, 1, 10, 25, 34. 991, 20. 992, 2, 4, 26, 33, 29. Παρεκβοπαὶ αὐτῆς δίτται. 1040, 20. Ἐν δὲ σωθίσει, ἐπίπασιν. 1046, 11.
Κατὰ διάμεσον, τί βάλη. 969, 15.
Κατάλληλον τῆ Λόγῳ δίτπν. 145, 38. Καὶ σὺ τίνι θεωρεῖται. 146, 7.
Καταλλήλα ἀρχικὴ αἰτία τίς. 151, 20.
Κατά τι, διχῶς. 489, 33.
Καταχρηστικῶς ἐπί τίνων λέγη. 344, 36.
Κατηγόρημα τί ἐστι. 537, 11. 617, 18. 618, 4, 22.
Κατηγορούμενον, ἀναπόδεκτον ἄρθρα. 220, 20.
Κίνησις τί ἐστι. 372, 8, 17, 35. 503, 12. Ὅπως διορίζεται. 374, 38. 375, 2. 376, 27. Ὅτι πεζαπλῆ. 377, 8. Ἡ κύκλω, ἄπειρος. ἡ ἐπ' εὐθείας, ἀνακάμψασα, ὁποίας ποιεῖ πὰς κινήσεις. 377. 378. 503, 35. 959, 12. Ὅτι πῆς ἐνεργείας διαφέρει. 503, 3.
Κίνησις ἢ χρόνος ὑπ' ἀλλήλων διορίζονται. 375, 4, 36. 376.
Κλητικὰ ῥήματα αἰτιατικῆ. 441, 28.
Κλητική, 453, 10. 916, 18. Ὅπως αὐτοπαλής. 106, 2, 17. 1255, 22. Ὅτι πλαγία. 353, 20. 354, 34. Τίνος ἐστὶ πτῶσις. 354, 34. Τῆ εὐθείᾳ συμπίπτουσα, ὅπως διακρίνη. 579, 10. Ὅπως συντάσσεται. 355, 19. Ἄρθρα ἀναπόδεκτος. 355, 25. 790, 21. Ὅτι ἢ τὰς μὴ ὑπ' ὄψιν πίπτοντας φθάνει. 363, 33. Τῶν δὲ ἀντωνυμιῶν σὺ τίσιν ἀσυνίστα. 916, 5. 917. 918. 919.
Κόμμα καὶ κῶλον τί ἐστι. 1243, 18, 39. 1251, 19.
Κτηματολογίαι ἅμα τόν τε κτήτορα καὶ τὸ κτῆμα, ὡς τῆ πρόσωπα ὄντας, ἅπαι ἑκάτερος σωματαφέρεσιν, ἢ ἔ. 218, 13.
Κτήσει τίνα ὑποπίπτωσι. 305, 6. 349, 5. 350, 11.
Κτῆσις μόνης ἐστὶ πῆς γραικῆς. 305, 13. 349, 28. 352, 13. Ὅτι τῆ πρός τι. 349, 12.
Κτητικὰ πτωτικὰ τίνα σωίαρθρον ἔχει πὸν φύσει ἐγκείμενόν γραικὸν. 218, 20. Ὅπως σωπάσεται. 303, 31. 304. 305, 9, 32. 306, 21. 307. 308. 898, 34. Τύπος αὐτῆ. 308. 305, 3. Ἔστιν ἃ ἐκ πτητικῶν. 325, 5
Κτητικὰ ῥήματα γραικῆ. 449, 12.
Κτητικὴ αὐτοπαθὴς σωπαξις. 893, 13. 894. 896, 25. 897. 898.
Κύριον ὄνομα, ἁποῖον. 200, 36. 201, 37. 267, 13. 268, 24. 273, 13. Ἡγεῖται πὸ προσηγορικόν. 204, 5. Οὐδεμιᾶς ἐστὶ γνώσεως. 218, 32.
Κυρίως ἐπί τίνων λέγη. 344, 34.
Κῶλον ἢ κόμμα τί ἐστι. 1243, 18. 1244, 21. 1245, 14. 1251, 19. 1257, 21. 1258, 1, 12.

Λ

Λ', ἐπὶ τέλει λέξεως ἁπλᾶ. 23, 6.
Λαμβάνω, μετοχῆ. 479, 13.
Λαμβάνω, ὅπως σωπάσει. 435, 36.
Λέξις τί ἐστι. 54, 9. Ὅτι πὸ Λόγου στοιχεῖον. 11, 10. Διπλασιασμὸς αὐτῆς. 57, 34. Πλεονασμός. 65, 16. Ἔκθλιψις. 79, 5. 80, 7. Ὑποπτικὴ θέσις. 91, 27. Προπτικὴ. 93, 1. Ἀνάλυσις ἢ σωκαίρεσις. 97, 25. Ὅτι πὰ ἀρῶπα σύμφωνα ἀφαιρεῖται. 76, 10. Ὅτι ἀπεξέλεγκτος ἢ ἡ σὺν ἀκολουθίᾳ ὡσαυτῶς μὴ ἔσα. 158, 13. 162, 8, 38. 163, 5. 167, 39. ἢ ἡ διαφόρων παρηπομοίων σωέμπτωσιν ἀναδέξασθαι. 176, 30. 177. 27. 181, 8, 33. 182, 15. 185, 15. 183, 18. 359, 35.

Λόγος, τῶν ὁμωνύμων. 18, 7. 54, 31. 55. 186, 5. 226, 14. 982, 29. Ὡς δ' ἁπλῶς εἰπεῖν, διττός. ὁ μέν τις, φυσικός. ὁ δὲ, τεχνικός. 56, 21. Τοῦ τεχνικοῦ εἴδη ὁπόσα. 347, 35. Ὅτι ὁ προφορικὸς τῶν πρός τι. 235, 36. Ὁ γραμματικὸς τίς. 52, 12. 53, 26. Ὅτι παρὰ μὲν τὰ πράγματα ἀληθὴς, ἢ ψευδὴς, παρὰ δὲ τὴν σύνταξιν κατάλληλος, ἢ μή. 148, 22. Ὅτι πρὸς δεύτερον ἀποτείνεται πρόσωπον. οὗ οὐκ ἄνευ. 677, 9. 678, 16. Ὁ ἄπους πεζός. 144, 38. Ὁ ἀποφαντικὸς ὅπως εἰς ἀφήγησιν μεταβάλλει. 620, 24. τοῦ ἀφηγηματικοῦ τί διαφέρει. 621, 37.

Λόγου διπλασιασμὸς διχῶς. 58, 12. καὶ ὅπως. 59, 11. Πλεονασμός. 74, 26. Ἔλλειψις. 85, 1. 86, 5. Ὑποτακτικὴ θέσις. 92, 16. Πορτακτικὴ 93, 11. Ἀνάλυσις καὶ συναίρεσις. 99, 7. Συμπλοκή. 404, 10.

Λόγου μέρη μὲν, ζήτει Μέρη λόγου. στοιχεῖα δὲ, 11, 11. Πλάγιον δὲ καὶ ὀρθὸν ὁποῖον. 1229, 17. 1234, 35.

M

Μ, ἐπὶ τέλει λέξεως οὐ τάσσεται. 23, 6. Πλεονάζον. 61, 37.

Μειονεκτῶ, ὅπως γενικῇ. 454, 6.

Μέλει καὶ μεταμέλει διὰ τί οὐκ ἔχον εὐθεῖαν. 537, 16. 538.

Μέλλοντα ὅπως τοῖς προφήταις ὡς παρῳχημένα λαμβάνεται. 134, 26.

Μέλλων τί σημαίνει. 384, 25. Ὅπως διῄρηται. 382, 10. Ὅτι ἀόριστος. 385, 24. 386, 27.

Μὲν, σύνδεσμος, τίνος ἀρκτικός. 1158, 27. Ποῦ ποτε μένει ἀνανταπόδοτος. 1159, 39. 1160, 15, 23. Ἰσοδύναμος τῷ δέ. 1161, 10. Καὶ ἀντὶ τοῦ μήν. 1161, 31.

Μὲν, καὶ δὲ, πῶς λαμβάνονται. 1162, 5, 747, 25. Πότε διαστέλλονται. 1256, 9.

Μέρη λόγου ὁπόσα τε καὶ ὁποῖα. 7, 19. Ὅτι ἐκ συνθήκης. 16, 24. Ὅτι ἕκαστον ἰδίαν ἔχει τάξιν. 52, 35. 190, 18, 35. Ὅτι τὰ μὲν ἄλλα, μίαν ἔχει σύνταξιν, ἐφ' ἣν καὶ φέρεται, ἡ δὲ πρόθεσις, δύω τήν τε πρὸς τὸ ἄνομα καὶ τὴν πρὸς τὸ ῥῆμα. 1058, 32. Ἐμψυχότατα τίνα. 190, 35. 191, 25. 193. 194. Ὅτι ὡς πρὸς τὸν λόγον συσσημαίνουσιν, οὐ σημαίνουσι. 109, 5. Ὅτι διττῶς θεωρεῖται. 199, 30. Ὅτι καὶ τὰ σφίσι κοινῶς παρεπόμενα συνεξακολουθεῖν ὀφείλουσι. 154, 25. πλὴν τίνων. 279, 35. 280, 34. 281. 282. Τὰ δὲ καθ' ὁ, τιοῦν τῶν σφίσι παρεπομένων συνεμπίπτοντα, ἀνεξέλεγκτα. 176, 30. 359, 35. Ὡσαύτως καὶ τὰ ἐν ἀκολουθήσει ὡρισμένῃ μὴ ὄντα. 167, 39. 169, 31. 174, 34. 175, 38. 176, 30. 177, 27. 181, 8, 33. 182, 15. 183, 18. Ὅτι πάντα κοινότερον ὀνόματα ἀκούει. 195, 30. Ὅπως διΐστανται ἀπ' ἀλλήλων. 934, 32. Τὰ ἄλλων μερῶν ἀναπληροῦντα τὰς ἰδιότητας, τῆς τούτων ὀνομασίας τυγχάνει. 922, 18. 1016, 20.

Μέρη συνθέτων ὡς πρὸς τὸ ὅλον οὐθέν τι σημαίνει. 108, 40. 935, 15.

Μέρη φυσικὰ ζῴου, ὅτι οὐ τῶν πρός τι. 241, 24. Ὅπως συντάσσεται. 242, 20.

Μερικὸν ἀτομικοῦ διαφέρει. 201, 30.

Μεριστικοὶ σύνδεσμοι τίνες. 1162, 10. Πῶς διαστελτέοι. 1256, 9.

Μέσα στοιχεῖα ἐπὶ τέλει λέξεως οὐ τάσσεται. 22, 37.

Μέσα, ὅτι καὶ αὐτὰ αἴτια. 473, 23.

Μέσοι χρόνοι τίνες. 132, 16.

Μέσον τὸ μὲν, τὸ δ', οὐ μετέχει τῶν ἄκρων. 255, 7. Καὶ ὅτι διττὸν τὸ μὲν, τοῦ πράγματος, τὸ δὲ, πρὸς ἡμᾶς. 256, 9. ὅπερ καὶ χαλεπὸν εὑρεθῆναι. 256, 9, 25.

Μεσότητος ἐπιρρήματα καθόλου μὲν, ῥηματικῶς. πτωτικῶς δὲ, ὡς ἕκαστον ἔχει παραγωγῆς. 1111, 27. 1112, 5. Ὧν κοινὸν καὶ

νόν καὶ προκειμένου τῷ ἐχω γενικῆ. 1113, 18. 1114, 14.
Μίσων ῥημάτων συμπαξις. ζήτει ἐν τῷ Συμπαξις ῥημάτων.
Μετὰ, προθετις, γενικῆ; 1010, 5, 8, 20, 24, 25, 35. Αἰτιατικῆ; 1011, 11, 15, 22, 40. 1012, 6, 9.
Μεταβασις ἑτεροπροσωπικὴ ἁπαντως ταυτότητα παρεπομένων ἀπαιτεῖ. 155, 28. 156, 24.
Μεταβατικὰ εἴδη συμπαξεως. 408, 5. 706, 2. 707, 12.
Μεταβολὴ καὶ ἐν λόγοις ἑνός τινος χρῆμα. 789, 10. 790, 15.
Μεταδοτικὰ ῥήμ. ζήτει Μεσσιαστικά.
Μετάθεσις, Στοιχεῖα. 49, 21. Συλλαβῆς καὶ Λέξεως. 100, 24, 35. 101. 102. Λόγ. 103, 9.
Μεταλαμβάνω, αἰτιατικῆ τί δηλοῖ. 1012, 10. 1224, 36. 1232, 14.
Μεταμανθάνω, τί δηλοῖ. 1012, 15.
Μεταπλασμὸς τί ἐστι. 357, 37.
Μετασχηματισμὸς λέξεως τί ἐστι. 154, 9. 344, 17. 368, 10.
Μετὰ τοῦτο, ἀντὶ τοῦ διὰ τοῦτο λαμβάνεται ποτε. 1011, 40.
Μετατύπωσις τί ἐστι. 78, 25.
Μεταφορῶν θρασέων ἰάματα. 893, 34. Καὶ τίνων μὲν, τίνων δ' οὐκ ἀναγκαία ἡ ἀπόδοσις. 144. 15.
Μετέχω, τί δηλοῖ. 300, 9.
Μετονομάζομαι τί δηλοῖ. 1012, 15.
Μετουσιαστικὰ ὀνόματα. 299, 35. Τὰ δὲ ῥήματα γενικῆ πῆ. 496, 16. δοτικῆ ἁπλῶς. 412, 16.
Μετοχαὶ ἀρσενικαὶ ὅπως ἐπιτίθενται θηλυκοῖς προσηγορικοῖς γενικαῖς κατὰ συνταγμένοις. 123, 37.
Μετοχαὶ αἰτιολογοῦσαι οὐ ἕκαστον τῶν τεσσάρων αἰτίων. 697, 20.
Μετοχὴ τί ἐστι. καὶ τίνων μὲν, τίνων δ' ἐμπέπτωκε. 175, 38. 682. 683, 9. Οὗ τῶς συμπάσεται. 460, 24. 683, 24. 684. 685. 686. 687, 10. 691, 30. 718, 35. 719, 24. 948. 539. Διὰ τί δ' ῥηται. 692, 5. 693, 694. 695, 35. 696. Τί δηλοῖ. 476, 14. 697, 1, 22, 33. 968, 34. 699, 1, 16. Τρόποι συμπάξεως αὐτῆς πρὸς τὸ ῥῆμα ὁποῖοί τε καὶ ὁπόσοι. 700, 16, 38. 702, 20. 708, 2, 25. Ποτέρῳ τῆς συμπλεκομένων γενῶν ἑπάγεται. 720, 11, 38. 721, 20. 722, 30. Τοῖς ὑπαρκτικοῖς τῆς ῥημάτων συμφερομένη, τίποτε βούλεται. 724, 20. Ἡ τῶ ὑπαρκτικῶ ἐδάφους τὸ γένος τῶ ἐκφαίνοντος τῶ ἐκφαντικῶ πτωτικῶ ὑποδύεται. 778, 20. Πότε ἀπονοεῖται τὸ εἶναι μετοχή. 947, 7. Τῆς Ἀπολύτου ὁποῖον τὸ γνώρισμα. 702, 22.
Μετοχὴ ἀπόλυτος ἡμῶν τῆς προσωπικῶν ῥημάτων, καὶ πᾶσαν πτῶσιν. 705, 23. Ἡ δὲ τῆς ἀπροσώπων καὶ μόνην τὴν εὐθείαν τῆς ἑτέρων. 712, 9. 713, 1. 714, 19. 715, 18.
Μὴ, μόριον τίσι τῆς ἐγκλίσεως συντάσσει. 554, 4. 557, 19. 558, 40. 559, 11. 561, 6. 1125, 20. 1129, 35. 1130, 25. 1131, 24.
Μηδείς, πόθεν. 169, 9.
Μηθέν, τί διαφέρει τοῦ οὐθέν. 169, 3.
Μνημονεύω, μετοχῆ. 479, 11.
Μοναδικὸν διαφέρει ἀτομικοῦ. 203, 33.
Μονὰς ἡγεῖται ἀριθμοῦ. 10, 20,
Μόρια παρέλκοντα. 65, 21. 66. 69. 70. 71. 72. Τὰ δὲ ἐπιπατικὰ ὅπως πρόσκειται τῆς ἐπιθέτων τοῖς ὑπερθετικοῖς. 324, 10. Τοῖς θετικοῖς. 1109, 35. Τῶν ἐπιῤῥημάτων τοῖς τῆς μεσότητος. 1111, 10.
Μόρια πλαγιαστικὰ τοῦ ὀρθοῦ, καὶ αὐορθωτικὰ τοῦ πλαγιασμοῦ. 1229, 32. 1230, 1231.
Μόρια ἑτέρου νοήματος ἐρωτηματικὰ ὁποῖα. 1252, 6. 1253, 4.

Μορίων μεταλήψεις. 1232, 3.
Μοῦσαι ὁπόσαι τε καὶ ὁποῖαι. 80, 17.

N

Ν, πρὸ τοῦ μ, κεῖσθαι οὐπέφυκεν ἐπὶ τῆς αὐτῆς λέξεως. 26, 23. Πλεονάζον. 62, 4. Τῷ λ, ἀντιστοιχοῦν. 76, 24.
Νοεῖν, πάσχειν ἐστί. 436, 26.
Νοήματα τῆς ψυχῆς ὅπως τὰ αὐτὰ καὶ παθήματα. 550, 23.
Νόησις τί ἐστι. 55, 4. Καὶ ὅτι διὰ τῶν αἰσθήσεων ἀνακινεῖται πρὸς θεωρίαν. 550, 40.
Νῦν, καὶ χρονικὸν, καὶ ἀτομικόν. 387, 17. 1084, 27. Τοῦ χρονικοῦ σύνταξις. 1079, 20. 1080. 1081. Προηγουμένου λόγου ἐπακολουθητικὸν ὄν, παρέλκει. 1082, Τῷ τοῦ ἐνεστῶτος νῦν, τίνα ἀντιπαράκειται. 1083, 15.

Ξ

Ξ, πλεονάζον. 62, 7.
Ξυνίημι, ὅπως συντάσσεται. 437, 1.

O

Ο, τὸ στοιχεῖον, οὗ, ἐλέγετο πάλαι. 61, 25.
Οἷ, ἀντωνυμία πρωτότυπος πότε ἐγκλίνεται, καὶ πότε ὀρθοτονεῖται. 856, 20.
Οἰκεία καθ' ἑαυτὸ ἐπὶ τῆς πρίδος. 71, 28.
Οἰκία οὐδετέρως ὁ οἶκος. 1062, 33.
Οἰκτικὰ ῥήματα αἰτιατικῇ. 442, 19.
Οἶμαι, ἀργόν. 70, 10.
Οἴμοι, ὁποῖόν τί ἐστι. 1074, 30.
Ὁλοενεργητικὰ ῥήματα, ζήτει ἐν τῷ σύνταξις ῥημάτων.
Ὅλον, ἐπὶ τίνων. 65, 37. 66, 6. Ἀπὸ τίνος μέρους καλεῖται. 675, 7. Τί διαφέρει τοῦ ὅλος καὶ ὅλη. 248, 8.
Ὁλοπαθῆ ῥήματα, ζήτει ἐν τῷ σύνταξις ῥημάτων.
Ὁμοειδὲς τί ἐστι. 159, 37. 160, 4. 161, 13. 545, 27. 548, 20.
Ὅμοια τίνα λέγεται. 250, 34.
Ὁμοτικὰ ἐπιρρήμ. 1119, 23. 1120.
Ὁμοῦ τοῦ ἅμα τί διαφέρει. 1086, 21.
Ὁμώνυμα τίνα. 224, 14. Τί τὸ ἐπὶ τούτων παρατήρημα. Καὶ ὅτι τούτων τὸ μὲν, τὸ δ' οὐκυρίως. 225, 12, 25. 345, 1. Πόθεν λαμβάνεται. 225, 37. Ὅτι τὰ παρωνύμως, διττά. 226, 34. Τίνα τῆς ὁμωνυμίας ἐξήρηται. 227, 13.
Ὁμωνυμία πόθεν ἐπενοήθη. 230, 22.
Ὄνομα τί ἐστι. 197, 32. Διὰ τί τρίτου ἐστὶ προσώπου. 800, 38. Ἐπὶ τίνων δὲ καὶ ἐν πρώτῳ καὶ δευτέρῳ καταγίνεται. 362, 8. Τί διαφέρει πτώσεως ὀνόματος. 192, 18. Ὁρισμοῦ. 202, 35. Ἡγεῖται τοῦ ῥήματος. 195, 22. 196, 18. Πότε συμπαραλαμβάνει καὶ τὰς πρωτοτύπους ἀντωνυμίας. 832, 10. 833. 834. 835. Ὅπως διαιρεῖται. 206, 37. Εἴδη τούτου τίνα καθολικώτερα. 199, 24. Εἰδικώτερα. 200, 15, 25. Διαφόρως θεωρεῖται. 238, 12. 335, 7. Τὰ εἴδη τούτου ζήτει ἐν τοῖς καθ' ἕκαστα στοιχείοις. Σύνταξις τούτου συνοπτικῶς. 336, 2. 343, 16.
Ὀνόματα τὰ μὲν εἰσι τῶν ὄντων σημαντικὰ, τὰ δὲ, οὐχὶ τῶν ὄντων αὐτῶν, τῶν δὲ τοῖς οὖσιν ἐνθεωρουμένων. 244, 39. 239, 27.
Ὀνόματα ἀπολελυμένα καὶ ἀφῃρημένα, ζήτει ἐν τοῖς ἰδίοις στοιχείοις.
Ὀνόματα καὶ ῥήματα ὅπως μεταπίπτει εἰς ἄλληλα. 542, 30. Καὶ ὅτι ἀλλήλων εἰσὶν ἐν λόγῳ ὁριστικά. 878, 38. 879, 1.
Ὀνόματα ἀπὸ τοῦ τρίτου προσώπου τοῦ παθ. παρακειμένου τριγενῆ ὅπως συντάσσεται. 242, 20. 243, 7, 22,
Ὀνόματα ἐκ τοῦ ὁμοῦ, ἢ τῆς σὺν, καὶ τοῦ ὁμοίου, ἢ ἴσου, ἢ ταὐτοῦ συγκείμενα, ὅπως συντάσσεται. 251, 3, 20. 252, 5.
Ὀνόματα. ζήτει κἂν τοῖς, Πτωτικά.

Ὀνομά-

Ὀνομάτων δύοιν προηγησαμένων, ἕτερα δύω κατὰ μερισμὸν συντάξεως ὅπως ἐπάγεται. 762, 1. 763.
Ὀνοματοπεποιημένα τίνα, καὶ πόθεν ἐπενοήθη. 229, 29, 40. 230, 40. 231. 232.
Ὅτι τὰς τούτων χρονικὰς κινήσεις οὐκ ἀκριβολογητέον. 232, 37.
Ὀνόματα ῥηματικὰ, ζήτει Ῥηματικὰ ὀνόμτ.
Ὄντα, ὅτι τριμερῆ. 434, 16.
Ὅπως, τροπικὸν, ὅπως συντάσσεται. 1205, 18. 1206. 1207, 13.
Ὅπως, ἀντὶ τοῦ ὅτι. καὶ τοῦ καθά. 1232, 30, 35. Καὶ τοῦ λίαν. Καὶ ἀόριστον. 1233, 5, 15.
Ὁράσεως καὶ τῆς ταύτης σημαντικῶν ῥημάτων πέρι. 446, 13, 18. 447, 13.
Ὀργανικὸν εἶδος συντάξεως. 415, 20. 471, 33. 473. 18. 1036, 25.
Ὄργανον, ὅτι διττὸν, ἐσωτερικὸν καὶ ἐξωτερικόν. 1003, 2. Τὸ δὲ ἐξωτερικὸν, τριττόν. 1004, 34.
Ὀρθὴ πῶς ἁρμόζει. ζήτει Εὐθεῖα.
Ὀρθογραφίας πόσα τὰ εἴδη. 21, 30.
Ὁρικὸν ὅρου τί διαφέρει. 764, 15. 765, 17. 766.
Ὁρισμὸς τί ποιεῖ. 1, 27. 10, 22. 556, 10. Τί διαφέρει ὀνόματος. 202, 35. Ὅπως ἀναπτύσσει τὸ ὁριστόν. 560, 18. Ὅτι τοῦ αὐτοῦ πλείους οὐκ εἰσί. 1264, 36. Πῶς ἡγεῖται διαιρέσεως. 10, 19.
Ὁριστικὴ ἔγκλισις. ζήτει ἐν τῷ Ἔγκλισις. Συνεμπίπτουσα δὲ τῇ προστακτικῇ, πῶς διακρίνεται. ζήτει Προστακτικὰ ῥήματα.
Ὁριστὸν ἄρθρου ἀνεπίδεκτον. 218, 38.
Ὅρκος τί ἐστι. 975, 38.
Ὁρῶ, μετοχῇ. 476, 24.
Ὃς ἀντωνυμικόν. 922, 35. 923, 13. 925, 40. Διὰ τί οὐχὶ ἐπὶ τρίτου. 170, 8.
Ὅσον. . . . . | παρέλκοντα. 70, 35.
Ὅτι, ἐπίῤῥημα- |
Ὅταν, διὰ τί ὑποτακτικῇ. 1223, 19.
Ὅτε, τότε. 1086, 34. 1087. 1088, 1089. 1090, 1101, 40. 1102, 5.
Ὅ, τι, παραδεξάμενον τὸν διὰ, ἢ τὸν ἤτε, ὁποίαν ἐπέχει σύνταξιν. 940, 1. 952, 1, 35. Καὶ ὅτι οὐ σύνδεσμος. 953, 14.
Ὅτι, ἀφηγηματικῶν μὲν, ἢ γνωστικῶν, ἢ δοξαστικῶν ἡγουμένων ῥημάτων, ἐπίῤῥημά ἐστι βεβαιωτικόν. 556, 34. 557, 8. ὁριστικῇ καὶ εὐκτικῇ συντασσόμενον. 1123, 1. 1124, 10. 1207, 36. Πρὸς δὲ ἀπαρέμφατον, παρέλκει. Τῷ συνημμένῳ δὲ συμπλεκόμενος, αἰτιολογικός ἐστι σύνδεσμος. 552, 29. 557, 4.
Ὅτι, σύνδεσμος ποτέρῳ τῶν τοῦ συνημμένου μερῶν συντακτέος. καὶ τί διαφέρει τοῦ διὸ, τι. ζήτει, Διὸ, τι. καὶ 1204, 7.
Ὅτι μὴ, ἐξαιρετικόν. 1279, 21.
Οὐ, ἀντωνυμία πενταχῶς κινεῖται. 170, 31.
Οὐ, ἀπόφασις πῶς κατάλληλος. 553, 40. 557, 16. 558, 12, 40. 559, 11. 561, 6. 1130, 27. 1131, 6, 29. Τῶν δὲ ἐπὶ τρίτου ῥημάτων τίσι. 882, 8. ζήτει καὶ Ἀποφάσεις δύω.
Οὐ γὰρ, ἀλλά. ἡ ἄρσις καὶ θέσις παρέλκει 70, 24.
Οὐδέποτε. 1102, 21.
Οὐδὲ πώποτε. 1107, 6.
Οὐδέτερα πτωτικὰ πληθυντικὰ, ὅπως ἑνικοῖς συντάσσεται ῥήμασι. 280, 34. 281. 282.
Οὐδετέρων ῥημάτων. σύνταξις. ζήτει ἐν τῷ Σύνταξις ῥημάτων.
Οὐθὲν, τί διαφέρει τοῦ μηθέν. 169, 3.
Οὐκ ἔτι. 1102, 20.
Οὖν, σύνδεσμος, ὁποῖος. 1213, 12.
Οὖν, οὖν δὴ, ἀργά. 70, 11.
Οὔπω. 1107, 16.
Οὐσία τί ἐστι. 201, 21. Πρώτη. 200, 36. Δευτέρα. 204, 16. 205, 38. Τοῦ μᾶλλον καὶ ἧττον τίς μὲν, τίς δ' οὐκ ἐπιδεκτική. 312, 7. 313, 7, 30. 314, 11.

Ὅτι

Ὅτι ἁπλῶς λαμβάνεται. 324, 26.
Οὗτος ἀντωνυμία πόθεν. 170, 19. 872, 40. 922, 35. 925, 25, 40. 926, 7.
Οὐχ ἧττον, οὐ πάντως συνεισάγει τὸ μᾶλλον. 1138, 27.
Οὐχὶ, ἐκθλίβεται τὸ δίχρονον. 1131, 31. 1132, 2.
Οὐχὶ, ἐπὶ τῷ μή. | παρέλκον. 70, 23, 26.
Οὐχ ὁρᾶς.. .. |
Ὄφελον, ἐπίρρημα εὐκτικόν. 587, 33.
Οως | λήγοντα | ὀνόμ. | πόθεν | 65, 7.
Οω | | ῥήμ. | | 64, 35.

Π

Παθητικῶν ῥημάτων συνταξις. ζήτει ἐν τῷ Συνταξις ῥημάτων.
Πάθος τί δηλοῖ. 502, 35.
Πάλαι, πρῴην. 1092, 26, 36. 1093, 1, 8.
Παρὰ, καὶ πρὸς, Γενικῇ ἐπὶ ἐμψύχων. 1012, 34.
Παρὰ, πρόθ. Γενικῇ. 1012, 23. Δοτικῇ. 1013, 11. Αἰτιατικῇ. 1013, 27, 32, 35. 1014, 1, 25. 1015, 21, 33, 36. 1017, 10, 19, 29, 33. Ἐν δὲ συνθέσει. 1018, 3.
Παραβολικὰ ἐπιρρήματα. 1144, 28. 1145. 1146, 16. Τὰ μὲν αὐτῶν κοινὰ, τὰ δὲ, ποιητικά. 1147, 37.
Παράγωγον, ὁποῖον. 302, 23.
Παραγωγῆς ὀνομάτων τίς ἡ αἰτία. 230, 34.
Παραγώγων πέρι. 923, 2, 16. 924.
Παραδιαζευκτικὸς συνδεσμος. 1168, 5.
Παράδοσις ἀντὶ κανόνος. 1268, 7.
Παράθεσις ἐν τίσι θεωρεῖται. 311, 38. 313, 10. 319, 29. 1270, 14. Ὅτι ἐπὶ δυοῖν. 329, 26. Ὁποῖά τινα ἐν αὐτῇ ἐμφαίνεται. 330, 2. Ὅτι διττὴ τίς ἐστιν ἡ μὲν, συγκριτικὴ, ἡ δὲ, διακριτικὴ. 314, 11, 19. 317, 37. 318, 6, 33. 319, 25.
Παραθέσεως τῶν λέξεων τί τὸ ἴδιον. 931, 32. 932, 4, . 937, 6. 947, 29.
Παραθετικὰ πτωτικὰ, ὅπως συντάσσεται. 309, 15. ὅπως εἰσὶ σύνθετα. 329, 18. Τὰ δ' ἀπὸ παραθετικῶν παρηγμένα, οὐθὲν πλέον ἐκείνων δηλοῖ. 324, 23. ζήτει καὶ Συγκριτικὰ καὶ ὑπερθετικά.
Παραθετικὰ ἐπιρρήματα. 1116, 16.
Παραινῶ, ὅπως συντάσσεται. 1042, 23.
Παρακείμενοί τινες ἀντὶ ἐνεστώτων. 1126, 36.
Παρακείμενος τί σημαίνει. 385, 27.
Παρακελευσματικὰ ἐπιρρήματα. 1128, 38. 1129.
Παραμέμβλωκε, πόθεν. 26, 30.
Παραπληρωματικοὶ σύνδεσμοι πόθεν οὕτως ἤκουσαν. 1214, 25. 1215, 5. Ὅτι εἰς ἔννοιαν πῇ μὲν, ἀσυντελεῖς, 74, 14. πῇ δὲ χρειώδεις. 1215, 11, 40.
Παρασκευὴ ἡ ἁγία, ὅπως ὁμώνυμος τῇ πίστει. 337, 10.
Παρασύμβαμα τί ἐστι. 537, 11. 617, 21. 618, 4, 22.
Παρασυναπτικοὶ σύνδεσμοι τί δηλοῦσι. 1185, 26. 1186, 40. 1193, 4. 1199, 40. 1200, 6, 28. Ὅπως συντάσσονται. 1199, 7.
Παρασύνθετον, τί. 947, 30. 949, 10.
Παράτασις χρονικὴ οὐ πάντως τοῦ ἀτελοῦς. 383, 27. Καὶ ὅτι κατὰ τὸ τριμερὲς τοῦ χρόνου. 384, 18.
Παρατατικὸς τί σημαίνει. 384, 1.
Παρεληλυθὸς, ὅτι φιλευκτικόν. 1125, 4, 24.
Παρέμπτωσις διαφέρει συνεμπτώσεως. Καὶ ὅτι τὰ κατὰ τὸ αὐτὸ πρόσωπον παρεμπίπτοντα πτωτικὰ, ὁμοιοπτωτεῖν ἐθέλει, τοῦ αὐτοῦ καὶ ῥήματος καὶ τόπου ὄντα. 177, 36. 361, 30.
Παρεπόμενον φωνὴ, γένος ἐστι τῶν καθ' ἕκαστα παρε-

στα παρεπομένων τοῖς τοῦ Λόγου μέρεσι. 159, 37.

Παρ' ὃ. 1014, 29, 40.

Παρ' οὗ, καὶ ἐξ οὗ, ἐπὶ Θοῦ ὅπως λέγεται. ζήτει ἐξ οὗ καὶ παρ' οὗ.

Παρυφίστασθαι, τίνος ἐστί. 402, 34.

Παρώνυμα τίνα μὲν, ἰδίως, καὶ τίνα κοινῶς. 332, 21, 39. 333, 3. Ὅτι τεσσάρων τινῶν χρῄζει. 333, 25. Ὅτι τὰ μὲν, ἀφ' οὗ. τὰ δὲ, πρὸς ὅ. 655, 18. Τίνα δὲ οὐ παρώνυμα. 334, 10. 545, 1.

Παρῳχημένα, ὅπως ὡς παρόντα εἰσάγεται. 134, 17.

Πᾶς, παρέλκον. κἀπὶ τίνων λέγεται. 65, 29, 39. 66, 1. Καὶ ὅτι οὐ πάντως τὸ καθόλου. δηλοῖ. 737, 37. 738, 17.

Παρωνυμικὰ πόθεν σχηματίζεται. 302, 28. Ὁποῖά εἰσι καὶ ὅπως συντάσσεται. 303, 4, 12. 304, 29.

Παῦλος ὁ Ἀπόστολος πρὸς τίνας παρεξετάζεται. 314, 40. 315, 1.

Περὶ, πρόθ. Γενικῇ αἰτιολογεῖ. 988, 35, 39. 1025. 1026, 25, 28, 36. 1027, 1, 10. 1028, 4, 26, 31. Καὶ δοτικῇ. 1027, 10. Αἰτιατικῇ δὲ, 1029, 7, 35. 1030, 22, 28, 29.

Περιβλητικὸν σχῆμα. 142, 39.

Περιεκτικὰ, ὡς περιεκτικά. 229, 5, 25.

Περιληπτικὰ, ὁποῖα καὶ ὅπως συντάσσεται. 279, 35. 283, 1. 291, 11, 29.

Περινενοημένον τί ἐστι. 142, 32.

Περίοδος τί ἐστι. 1245, 17, 38. 1246, 12, 34. 1247, 1, 5. Ὅτι πολλοῖς καὶ παντοίοις ὑποπίπτει σχήμασι. 1248, 20. 1249, 28, 32. 1250, 18.

Περιποίησις τί ἐστι. 352, 3. Εἴδη ταύτης. 395, 17. 351, 26.

Περιποιητικὰ ῥήματα. ζήτει Ῥήματα τίνα δοτικῇ.

Πεῦσις ἐρωτήσεως τί διαφέρει. 257, 32. Ἄρθρου πότε μὲν, πότε δ' οὐκ ἐπιδεκτική. 258, 24. 264, 35. Πότε δι' ὀνόματος, καὶ πότε δι' ἐπιρρήματος γίνεται. 261, 21. Ὁποίας ζητεῖ τὰς ἀνθυπαγωγάς. 262, 17. 264, 16, 28. 265, 21.

Πευστικά. 257, 29. Ὅπως συντάσσεται. 258, 23. 265, 5. 267, 5. Ὅτι εἰς δύω μέρη λόγου ἐχώρησε. 261, 14.

Πίστις, ὅπως ὁμώνυμος τῇ ἁγίᾳ Παρασκευῇ. 337, 10.

Πλάγιαι πτώσεις ὅπως ἐκδέχονται τὰ ῥήματα. 406, 38.

Πλεονασμὸς Στοιχείου. 60, 25. 61. 62. Συλλαβῆς. 64, 1. Λέξεως. 65, 16. Λόγου. 74, 26.

Πλεονεκτῶ. 454, 6.

Πλῆθος, ἀπὸ πόσων ἄρχεται. 285, 18, 20, 288, 11.

Πληθύνειν τὰ ἑνικὰ, τίνων. 842, 9.

Πληθυντικὰ ἀντὶ δυϊκῶν. 73, 11.

Πληθυντικῷ πολλάκις καὶ περὶ ἅπασαν ἐπιδεκτικὴν ἀριθμοῦλεξιν χρώμεθα. 288, 37.

Πληρωτικὰ ὀνόματα, γενικῇ. 228, 16. ῥήματα δὲ, αἰτιατικῇ μὲν, ἁπλῶς. 431, 38. γενικῇ δὲ, πῇ. 495, 8.

Πλουτῶ, ὅπως συντάσσεται. 526, 2.

Πνεῦμα προσῳδίας, ὅτι φίλαρχον. 952, 30.

Πνεῦμα ἀπαγγελίας ὁποῖον, καὶ πόσα τὰ τούτου εἴδη. 1242, 1, 17. 1251, 5.

Ποιότητες παθητικαὶ ὅπως λέγονται ἐμποιεῖν πάθος περὶ τὴν αἴσθησιν. 1036, 13.

Πολλὰ, τῇ μὲν, ἁπλῶς. τῇ δὲ, πρός τι. 285, 39.

Πολύμνια, τίς. 80, 32.

Ποσότητος ἐπιρρήματα. 1118, 27.

Ποταίνιον, τί, τε καὶ πόθεν. 979, 21.

Ποτὲ, παρέλκον. 70, 29. Τῷ δέ τις, ἐπιπλεκόμενον, τί βούλεται. 740, 17.

Πράγματα, ὁποῖα. 330, 33. 1167, 22.

Πρίν. 1097, 15. 1098. 1099, 2.

Πρὸ, πρόθ. τί δηλοῖ. 984, 17, 20, 25. 38, 40. 985, 10, 12, 15.

Προαιρε-

Προαιρετικὰ ῥήματα ὅπως συντάσσεται. 437, 10. 438. 439, 38. 648, 37. 649, 6. 650, 20. 651.

Πρόβλημα τί ἐστι. 8, 15. 1272, 33.

Προεγνωσμένα, ὅτι διττά. 1090, 7.

Προθέσεις ἐλλείπουσαι. 77, 23. Καὶ ὅτι ἀντὶ ὑπαρκτικοῦ ῥήματος λείποντος λαμβάνονται. 78, 9. Καὶ ἀντὶ ἐπιρρημάτων. Καὶ ἀντὶ ἄρθρων. 121, 27, 35.

Πρόθεσις τί ἐστι, καὶ τίνα τάξιν ἔχει· 930, 3, 7. Ὅπως συντάσσεται. 814, 23. 931, 19. 931, 12. 940, 33, 950, 5. Ὅτι συνδεσμικῆς συντάξεώς ἐστι παρεμφαντική. 939, 4. 1057, 4. Ὅτι τῶν ἄλλων μερῶν μοναπλῆν, διπλῆν αὐτὴ ἔχει τὴν σύνταξιν τὴν μὲν, πρὸς τὸ ὄνομα, τὴν δὲ, πρὸς τὸ ῥῆμα. 1057, 17. 1058, 32. 1059, 3. Διὰ τί τοῖς ῥήμασι καὶ τῶν πτωτικῶν ταῖς μὲν εὐθείαις καὶ κλητικαῖς, (Πλὴν τῶν ἀντωνυμικῶν. 954, 21. Καὶ τῶν ἄρθρων. 955, 2.) ἐν συνθέσει, ταῖς δὲ πλαγίαις, ἐν παραθέσει. 935, 23. 936, 38. 937, 6. 947, 16. 954, 37. Ὅτι ἐν συνθέσει τῇ μὲν πτωτικῇ, τὸ καὶ παράθεσιν πάλιν ἰδίωμα ὁμολογεῖ. 1018, 40· Ἐν δὲ τῇ ῥηματικῇ, ἢ τοῦτο μόνον, ἢ ἐπιτείνει ὁμοιοπτώτως, ἢ ἑκάτερα. 1040, 29. 1041. 1042. πλὴν τῶν κτητικῶν καὶ περιποιητικῶν. Ὅτι τῇ τοῦ ἄρθρου παραθέσει διακρίνεται τῆς πρὸς τὰς πλαγίας συνθέσεως, ἢ παραθέσεως. 942, 25. 944, 7. Ὅτι τοῖς ῥήμασιν οὐκ ἀπὸ τοῦ ἐνεστῶτος, ἀλλὰ καθ' ἕκαστον χρόνον συντίθενται. 944, 34. 946, 5. Ὅτι αἱ μὲν, αἱ δ', οὐχ ὑπερβιβάζονται ἀπὸ τῶν πτωτικῶν εἰς τὰ ῥήματα. 938, 15, 33. Ὅτι ὀρθοτονοῦσι τὰς ἀντωνυμίας. 813, 29. 814, 38. 818, 13. 954, 40. Ἐν τίσιν οὐ καλοῦνται προθέσεις· 943, 31. 945, 29. 946, 20. 940, 37. Τίς ἡ ἰδιάζουσα τούτων σημασία. 1047, 28. Ὅτι παροξυτονούμεναι, ἀντὶ ῥημάτων καθ' ἑαυτὰς κεῖνται. 1055, 16. Τίνες μὲν, τίνες δ' οὔ, καὶ πότε μὲν, πότε δ', οὐκ ἀναστρέφονται. 1052, 13. 1053. 1054. 1055. 1056. 1057. 1058. 1059. 1060. 1061. 1062. 1063. 1064. 2065. Τίνες οἱ μετ' αὐτὰς στίζοντες. 1065, 15.

Πρόληψις ἐν ἐπιμερισμῷ τί ἐστι. 748, 23. 749, 24.

Προοιμίῳ πῶς χρηστέον. 3, 29. Ἀρεταὶ τούτου 19, 12.

Πρὸς, καὶ παρὰ, γενικῇ ἐπὶ ἐμψύχων. 1012, 32.

Πρὸς, πρόθ. Γενικῇ. 975, 7, 9, 18. 976, 1, 4, 10, 24, 31. 977, 2, 30, 38. 978, 5, 8, 11, 20, 25. 979, 3. Δοτικῇ. 977, 21. 979, 6, 30. 980, 1. Αἰτιατικῇ. 958, 12, 20. 980, 5, 24, 32. 981, 15, 23, 27. 982, 20. 983, 14. Ἐν δὲ τῷ, 983, 28. ἔνωσιν δηλοῦσα, τί διαφέρει τῆς ἰσοδυνάμου ἐν, ἢ τῆς μετὰ, ἐν τῷ, καὶ ὁ λόγος ἦν πρὸς τὸν θν. 973, 38.

Πρός τι, πτωτικὰ ὅπως συντάσσεται. 222. 24. 338, 13. 340, 29. 241, 5, 31, 242, 5, 10. 249, 40. Πρὸς τίνα ἀποδίδοται. 246, 12. Ὅτι ἅμα εἰσὶ τῇ φύσει. 244, 29. Ὅτι τετραχῶς. 245, 10. Ὅτι τούτων τὰ μὲν ἐξ ἴσου, καὶ ταυτωνυμίαν, τὰ δ' ἄλλα, καθ' ἑτερωνυμίαν. 246, 38. Διὰ τί μὴ πρὸς ἄλληλα, ἀλλὰ πρός τι λέγεται. 247, 8. Ὅτι ἀλλήλοις οὐκ ἀντίκειται. 254, 5. Ὅτι τὰ ἐξ ὁμοίου, οὐ πανταχοῦ ἀντιστρέφει. 252, 16. ζήτει καὶ Σχετικῶν.

Προσδιορισμοὶ τίνες τε καὶ πόσοι, καὶ ἰσοδυναμία τούτων. 1139, 7, 34.

Προσηγορίαι ἐπὶ Θοῦ καταφατικῶς καὶ ἀποφατικῶς ὅπως ἐπαληθεύουσι. 345, 4, 24.

Προσηγορικὸν ὄνομα τί. 204, 16. 205, 26. Κατὰ τί ὁρίζεται. 205, 30. Ὅτι τὸ αὐτὸ καὶ ἐπίθετον. 208, 28. 209. Τί διαφέρει τοῦ

φέρει τοῦ ἐπιθέτου. 209, 20. 239, 4.
Προσκυνῶ, ὅπως συντάσσεται. 436, 4
Πρόσληψις τίς. 1188, 5.
Προσρηματικὸν εἶδος συντάξεως ὁποῖον. 418, 26.
Προσσημαίνειν τί διαφέρει τοῦ σημαίνειν. 367, 30.
Προστακτικὰ ῥήματα τί δηλοῖ. 580, 25. Ὅτι μέλλοντός ἐστι. 581, 23. Τί διαφέρει τῶν προστακτικῶν ἐπιρρημάτων. 587, 15. Τίνα συντεθέντα προθέσει, ἀναβιβάζει τὸν τόνον. 948, 12. Τοῖς ὁριστικοῖς συνεμπίπτοντα, πῶς διακρίνεται. 561, 31. 577, 1. 578. 579, 32. Ὅτι οὐ πανταχοῦ πρόσταξιν ἐμφαίνει. 580, 25. 581, 9.
Πρόσταξις ἡ ἐπὶ τρίτου, ἄνευ δευτέρου ἀσύστατος. 573, 24. 576, 20.
Πρόσφατον τί, τε καὶ πόθεν. 979, 18.
Προσῳδία ὅτι μουσικῆς ἀπήχημα. 1241, 5.
Πρόσωπον τί ἐστι. 674, 40. 676, 7. Ἐπὶ τίνος λέγεται. 712, 21.
Προσώπων τάξις. 676, 25. Σύλληψις. 679, 16. Διακριτικὸν μόριον. 367, 13.
Πρότασις τί ἐστι. 8, 4, 15, 33. 347, 3. 1272, 39. Διαίρεσις αὐτῆς. 1273, 8.
Πρότερον, ποσαχῶς. 197, 1. 1108, 10. Τὸ φύσει, ὁποῖον. 207, 4.
Προτρεπτικὰ ῥήμ. αἰτιατικῇ. 441, 20.
Πρωτότυπον ὁποῖον. 302, 8.
Πρῴην, πάλαι. 1092, 25. 1097, 5.
Πτῶσις τί ἐστι. καὶ πόσαι αἱ κυρίως. 344, 14, 28. Τάξις αὐτῶν. 356, 5. Ἀνθυπαλλαγή. 357, 35.
Πτώσεις αἱ μὲν, ἀπορφανισθεῖσαι, αἱ δὲ, ἀτεκνωθεῖσαι, ὅπως ἑκάτεραι παραμυθοῦνται. 714, 20.
Πτῶσις πᾶσα παντὸς ὀνόματος πότε συνέχει τὸ ἄρθρον. 759, 12.
Πτωτικὰ οὐσιῴδη πότε ἐνάρθρως, καὶ πότε ἀνάρθρως. 217, 32.
Πτωτικὰ κατηγορούμενα μὲν, οὔ, ὑποκείμενα δὲ, ἐπιδέχεται ἄρθρον, καὶ διὰ τί. 219, 11.
Πτωτικὰ τοῖς πευστικοῖς συμφερόμενα, τίνα μὲν, τίνα δ' οὐκ ἐπιδέχεται ἄρθρον. 258, 33. 259, 4, 32. 260, 2.
Πτωτικὰ κτητικὰ τίνα σύναρθρον ἔχει τὴν φύσει ἐγκειμένην γενικήν. 218, 20.
Πτωτικῶν δυοῖν ἐκ πρώτου καθ' ἑνὸς ὑποκειμένου λεγομένων, πότερον καταλληλότερον συνάρθρως κατάρχον. 217, 20.
Πτωτικὰ ἐκ τρίτου τῶν ὑπαρτικῶν τε καὶ κλητικῶν ῥημάτων διὰ τί ἀσύναρθρα. 217, 6, 37.
Πτωτικὰ οὐδετέρων πληθυντικὰ, ὅπως συντάσσεται ἐκ πρώτου ἐνικοῖς ῥήμασι. 280, 34.
Πτωτικὰ ἐπιθετικῶς τίνα συντάσσεται. 336, 15, 16, 27,
Πτωτικὰ ῥημάτων ἐνεργητικῶν τε καὶ παθητικῶν, τίνα μὲν αὐτῶν κοινὰ, τίνα δὲ ἴδια. 505, 9, 15. 507, 35. 508, 24.
Πτωτικὸν ὑποκείμενον εἴτ' οὖν ἐκ πρώτου, οὐ πᾶν οὐσιαστικόν, 221, 31.
Πύθομαι, ὅπως συντάσσεται. 440, 10.
Πύσμα. 8, 38. διὰ τί οὐκ ἐγκλίνεται. 820, 38. ζήτει καὶ Πεῦσις.

Ρ

Ρ, τὸ στοιχεῖον φευκτὸν τοῖς τραυλίζουσι. 43, 17. Ὅπως ἔχει φωνήεντος δυνάμιν. 29, 17, 31. πλεονάζον. 62, 9. Ἐλλεῖπον. 74κ, 28.
Ράμφος ἐπὶ τίνων. 712, 23.
Ῥῆμα τί ἐστι, καὶ διὰ τί μετὰ τὸ ὄνομα τέτακται. 365, 2, 10. 368, 23. Τί διαφέρει πτώσεως ῥήματος. 192, 31. 388, 30. Εὐθεῖαν ἔχει ἐκ πρώτου. 402, 20. Ὁποῖον πρόσωπον κατὰ τὴν εὐθεῖαν παρίστησι. 366, 4. Ὅτι καὶ τὸ πρῶτον καὶ δεύτερον ὥρισται. 105, 28. κατὰ δὲ τὸ τρίτον ἀοριστοῦται. 864, 5. 877, 30. 891, 16. Τίνος ἕνεκα κατὰ τὸ α', καὶ β', προσ-

λαμβάνει

λαμβάνει ἔσθ' ὅτε καὶ τὴν συνυπακουομένην ἀντωνυμικὴν εὐθεῖαν. 883, 30. 884, 27. Διαίρεσις αὐτοῦ, κατὰ Χρόνον. 381, 30. 383. 384. 385. κατὰ Διάθεσιν. 389, 1. 390. 391. κατὰ Σύνταξιν. 394, 9. 396, 26, 37. Τὸ τούτου τέλειόν τε καὶ ἀτελὲς πολλαπλοῦν. 392, 31. 393. 524, 34. 525. Διπλῆν ἔχει τὴν σημασίαν, οὐσιώδη καὶ ἐπουσιώδη. 542, 7.

Ῥήματα τίνα μὲν, κατὰ μείζω, τίνα δὲ, κατὰ ἐλάσσω ἐνέργειαν. 429, 4, 14.

Ῥήματα μεταβατικὰ τίνα μὲν, αἰτιατικῇ ἐν γένει. 410, 18. 429, 4. 431, 38. 432, 3. Ἐν εἴδει, 434, 40. 435, 25. 436, 17. 437, 10. 440, 4. 441. 442. 443. 444, 13. Τίνα δὲ γενικῇ ἐν γένει. 412, 11. Ἐν εἴδει. 444, 8. 449, 12. 450, 30. 453, 26. Τίνα δὲ δοτικῇ ἐν γένει. 412, 16. Ἐν εἴδει. 454, 24.

Ῥῆμα πᾶν, ὅπως ἂν ἔχῃ συντάξεως, καὶ ὡς περιποιητικόν ἐστι λαβεῖν τὸ αὐτό. 462, 2.

Ῥῆμα τὸ αὐτὸ διαφόρως λαμβανόμενον, διοίσει ἑαυτοῦ καὶ τῷ εἶναι καὶ τῇ προσηγορίᾳ καὶ τῇ συντάξει. 501, 6. 526, 38.

Ῥήματος προσωπικοῦ σύνταξις καὶ ἀπροσώπου. ζήτει Συντάξεως ῥημάτων.

Ῥημάτων προσωπικῶν κατάληξις κατὰ διάθεσιν ἐνεργητικῶν μὲν καὶ οὐδετέρων, ἡ εἰς ω. 397. 398. 399. τῶν δὲ λοιπῶν, ἡ εἰς μαι. 400.

Ῥημάτων προσωπικῶν σύνταξις Ἐνεργητικῶν. 397, 7. Παθητικῶν. 504, 22. Οὐδετέρων. 397, 39. 398, 399. (ὧν τὰ μὲν Ὑπαρκτικὰ, εὐθείᾳ ἐκ τρίτου. 512, 15. τὰ δ' Ἄλλα, κοινὰ πρὸς τὸ ἐνεργητικόν. τὰ μὲν γὰρ κατ' Εἰσπομπὴν, κτητικῶς. 513, 16. τὰ δὲ κατ' Ἐκπομπὴν, ὁλοενεργητικῶς. 520, 15. τὰ δὲ, ἢ κατὰ Περιποίησιν. 515, 11. ἢ Ὀργανικῶς, 514, 16.) Μέσων. 528, 40. Ἐπιμέσων. 530, 33. τούτων Τόποι. 531, 36. Εἰς αἰτιατικήν. 532, 19. Εἰς γενικήν. 533, 37. Εἰς δοτικήν. 532, 10. Καὶ ἀτελῶς. 533, 2.

Ῥήματα αὐθυπότακτα. ζήτει αὐθυπότακτα. Ἀνυπότακτα. 613, 30.

Ῥήματα γνωστικὰ, καὶ τἄλλα κατ' εἶδος, ζήτει ἐν τοῖς ἑνὸς ἑκάστου στοιχείοις.

Ῥημάτων ἐνεργητικῶν καὶ παθητικῶν τί κοινὸν, καὶ τί ἴδιον. 505, 9, 15. 506, 14. 507, 35. 508, 24.

Ῥήματά τινα τῶν μέσων ἐνεργητικῶς εἰλημμένα, οὐ ταὐτὸ δύνατο τῆς συστοίχοις αὐτῶν ἐνεργητικοῖς. 529, 29.

Ῥήματα ἀμετάβατα τίνα. 523, 5. Ὅπως συντάσσετο. 514, 20. 534, 10. 519, 25.

Ῥήματα καὶ ὀνόματα ὅπως μεταπίπτει εἰς ἄλληλα. 542, 30.

Ῥήματα καὶ ὀνόματα ἐν λόγῳ ἀλλήλων εἰσὶν ὁριστικά. 878, 38.

Ῥήματα τίνα μετοχῇ ἀντὶ εἰδικοῦ ἀπαρεμφάτου συντάσσετο. 476, 14. 477. 478. 479.

Ῥῆμα ἀόριστον διχῶς. 560, 24. 877, 30.

Ῥήματος ἀνάλυσις. ζήτει Ἀνάλυσις ῥήμ.

Ῥήματα ὑπαρκτικὰ, ζήτει Ὑπαρκτικόν.

Ῥήματα πτωτικὰ τίνα. ζήτει Ὡς κτητικὰ ὀνόματα.

Ῥηματικὰ ὀνόματα. 332, 21. 936, 29. Τίνα τούτων πρὸς ἕτερον λέγετο. 335, 2.

Ῥύγχος ἐπὶ τίνων. 712, 23.

Ῥῶστος ἐν τῷ εὔρωστος, διὰ τί οὐ διπλάζει τὸ ρ. 40, 11.

Σ

Σ, τὸ στοιχεῖον, ὅτι δύσηχον καὶ ἄχαρι. 44, 7. Τοῦ μὲν μ, προτακτικὸν, τοῦ δὲ ρ, ὑποτακτικόν. 29, 6. 30, 13. Ποῦ ἀντὶ τοῦ ζ, προφέρεται. 27, 37. 28, 2. Δωρικῶς μεταπίπτει εἰς τ. 795, 4. Πλεονάζον. 62, 34. Ἐλλεῖπον. 74κ, 36. 75, 11. 76, 4. 77, 4.

Σβέσαι,

Σβέσαι, διὰ τοῦ ζ, πάλαι ἐγράφετο. 28, 2.
Σεπτικὰ ῥήματα αἰτιατικῇ. 435, 25.
Σημαίνειν τί διαφέρει τοῦ συσσημαίνειν. 106, 37. 108, 34. τοῦ προσσημαίνειν. 367, 29.
Σήμερον. 1085, 4, 30.
Σμικρὸν καὶ σμῶδιξ διὰ τοῦ ζ, ἐγράφετο. 28, 2.
Σολοικισμὸς λόγου τί, τε καὶ ποσαχῶς. 111, 9, 36. 112. 113, 40. 185, 38. 1228, 7. Ἐν τίνι θεωρεῖται. 146, 7. Ὅτι ἀκοῇ ὑποπίπτει. 148, 1. Ὑποδείγματα τούτου καθ' ἕκαστον καὶ τῶν τοῦ λόγου μερῶν, 115. 116. 117. 118. 120. 121. 135, 15, 29. καὶ τῶν τούτοις παρεπομένων, Εἴδους. 122, 8, 25. Γένους. 123. 124. Ἀριθμοῦ. 125, 27. 126. Σχήματος. 127, 14. Πτώσεως. 127, 27, 34. 128. 129, 24. Διαθέσεως. 131, 21. Προσώπου. 131, 39. 133, 39. Χρόνου. 134, 10. Ὁ δὲ τοῦ νοήματος ὁποῖος. 138, 32, 139, 11.
Σοφία φρονήσεως τί διαφέρει. 255, 36.
Στέρησις ἀντὶ ἀποφάσεως. 1136, 16.
Στέρησις ἀοριστίας διαφέρει. 1141, 18.
Στερητικὰ ὀνόμ. γενικῇ. 338, 15. Ῥήματα δὲ, ζήτει Ἀφοριστικὰ ῥήματα.
Στιγμὴ τίς. 1241, 40. 1260, 8. Ὅτι μοναδική. 1261, 1. Τίσιν ἀναγκαία. 1261, 19. Τίνα οὐστικτέον, ἀλλ' ὑποδιασταλτέον. 1256, 17. 1261. 10.
Στίζουσι μετὰ τὰς προθέσεις τίνες. 1065, 15.
Στοιχεῖον τί ἐστι. 12, 4. 13, 11. 14, 37. Ὅτι οὐχ ἁπλοῦν εἴτ' οὖν ἀμιγές. 50, 17. Ὅτι διαφέρει καὶ ὕλης καὶ ἀρχῆς. 15, 7, 8, Ποσαχῶς λέγεται. 11, 11, 34. 7, 32. Ὅτι ἕκαστον ἄλφα ἐδύνατο καλεῖσθαι. 196, 9.
Στοιχείων διαίρεσις Ἡ μὲν, ἐκ τῆς δυνάμεως αὐτῶν. 19, 34. 20, 11. 21, 13, 35, 27. Ἡ δὲ, ἐκ τῆς τάξεως εἴτ' οὖν ἐπιπλοκῆς. 22, 6. Ὅτι οὐχ ὡς ἔτυχεν ἀλλήλοις ἐπιπλέκεται. 18, 14. Τούτων ὁποία μὲν, ἡ δύναμις. 41. 16. 42. 43. 44. καὶ ἡ ἑνὸς ἑκάστου ἐκφώνησις. 41, 23. 42. 43. 44. 45. Πόθεν δὲ ἡ εὕρεσις. 45, 20. 46. Ὁποία δὲ ἡ τάξις, καὶ πόσος ὁ ἀριθμός. 47, 11. Τίνα δὲ τὰ πάθη. ζήτει Στοιχείων διπλασιασμός. Πότε ἐνάρθρως, καὶ πότε ἀνάρθρως λέγεται. 47, 35, 48. Ὅτι ἄκλιτα. 47, 39. 48, 21, 37.
Στοιχείων διπλασιασμός. 56, 35. Πλὴν τῶν δασέων. 57, 2. Πλεονασμός. 60, 25. 61. 62. Ἔλλειψις. 74κ, 22. Ἀνάλυσις καὶ συναίρεσις. 49, 20. 93, 16. Θέσις προτακτικὴ. 22, 11, 31. Ὑποτακτική. 36, 39. Μετάθεσις. 49, 20.
Σὺ, αὐτωνυμία, εὐθείας μᾶλλον ἢ κλητικῆς. 360, 20. 361, 5. 363, 10.
Συγκατηγορηματικὸν εἶδος συντάξεως. 419, 35.
Συγκεκριμένα ὀνόματα ἀντὶ τῶν ἀφῃρημένων. 237, 36.
Συγκριτικὰ πτωτικὰ τίνα. 310, 27. Ὅπως συντάσσεται. 309, 15, 38. Τί διαφέρει τῶν ὑπερθετικῶν. 310, 11. 312, 15. 320, 7. 321, 21. 323, 6, 18. 324, 15. 338, 6. Ὅτι τὰ μὲν, ὡρισμένην ἐμφαίνει ποιότητα, τὰ δ', ἀόριστον. 331, 6. Τούτων ἔστι μὲν ἃ ἐξ ὑπερθετικῶν εἰς σύγκρισιν καταβιβάζεται. 324, 40. Ἔστι δ' ἃ ἀντὶ ἁπλῶν θετικῶν λαμβάνεται. 326, 21. Τίνα δὲ τούτων καὶ τοῦ θετικοῦ μετριώτερον βούλεται. 327, 3. 328. 329, 9.
Συγχωρῶ σοι τῆς ἁμαρτίας, ὅπως ἐστὶ διαιρετικόν. 495, 35.
Σύζυγα τίνα. 167, 10.
Συλλαβὴ τί ἐστι. 51, 34. Ὅτι τῆς λέξεως στοιχεῖον. 11, 11. Διπλασιασμὸς αὐτῆς. 57, 27. πλεονασμός. 64, 1. Ἔλλειψις. 77, 8. Ὑποτακτικὴ θέσις. 91, 13. προτακτικὴ. 93, 5. Ἀνάλυσις καὶ συναίρεσις.

συναίρεσις. 93, 25. Μετάθεσις. 100, 24.
Συλλαβὴ εἰς σύμφωνον λήγουσα, καὶ τὴν ἑξῆς, ἀπὸ συμφώνου ἔχει ἀρχομένην. 38, 30.
Σύλληψις προσώπων. 362, 15. Γενῶν. 720, 11.
Συλλογισμὸς τί ἐστι. 494, 5. Πόθεν σύγκειται. 8, 1.
Συλλογιστικοὶ σύνδεσμοι. 1212, 1.
Σύμβαμα τί ἐστι. 537, 10. 617, 18.
Συμβολαίων σημαντικὰ ῥήματα, Αἰτιατικῇ ἁπλῶς. 443, 12. Γενικῇ πῇ. 492, 28.
Συμπέρασμα τί ἐστι. 8, 13. 1212, 14.
Σύμφωνα παράλληλα τίνα μὲν ἐστι κατὰ Σύλληψιν. 34, 31. 35, 15. τίνα δὲ, κατὰ Διάστασιν. 36, 38. 37, 38. 38, 29. Ὅτι ἔστιν ἃ τούτων ἐπνευματίζετο, 29, 29. Τριὼν δὲ ἀμίσων τὰ παράλληλα δύω, ταυτοδύναμα οὐχ εὕρηται. 39, 27. 40, 35, Δύω δὲ τὰ αὐτὰ, οὐδέποτε ἐν συλλήψει. 37, 38. Ἐν δὲ μεταξὺ ὂν δυοῖν φωνηέντοιν, τῷ δευτέρῳ συλλαβιστέον. 33, 20.
Σὺν, πρόθεσις τί δηλοῖ καὶ τίσιν ἰσοδυναμεῖ. 972, 15. Τί διαφέρει τῆς ἰσοδυνάμου ἐν. 972, 28. Πότε ἑνὸς κατὰ σύνθεσιν, καὶ πότε πλειόνων τοῦ ἑνὸς διῃρημένως ποιεῖται τὴν δήλωσιν. 974, 6. Ἀριθμητικῶν δέ τινων ὀνομάτων συντασσομένη, ὑφ' ἓν ἀναγινώσκεται. 974, 35. Συντιθεμένη δὲ ταῖς ἀπὸ τοῦ σ, ἢ ζ, ἀρχομέναις λέξεσι, τί ὅτι ἔνθα μὲν, τρέπει, ἔνθα δ' ἀποβάλλει τὸ ν. 40, 22.
Συναίρεσις καὶ ἀνάλυσις Λόγου καὶ τῶν ἐξ ὧν ὁ Λόγος. ζήτει Διάλυσις.
Συναιτιατὸν, Συναίτιον. 999, 14. 1002, 5.
Συναπτικοὶ σύνδεσμοι τί δηλοῦσι. 1183, 25. 1184, 21. 1185, 33. 1186, 33, 40. 1187, 20. 1193, 4. 1194, 7. Ὁποίας ἐννοίας συνάπτουσι. 1188, 23. Ὅπως συντάσσονται. 1189, 24. 1190, 25. 1194, 18.
Σύνδεσμος τί ἐστι. 1152, 16. Ὅτι ἐν ποιεῖ τὰ πολλά. 99, 16. Δεσμοῦ τί διαφέρει. 1152, 13. Τοὺς δὲ κατ' εἶδος, ζήτει κατὰ στοιχεῖον.
Σύνδεσμοι τίνες μὲν διεγείρουσι τὴν ἀντωνυμίαν. 811, 20, 34. 812, 5. 889, 20. Οἱ δὲ Συμπλεκτικοὶ καὶ Διαζευκτικοὶ ὁμοιόπτωτα πότε συνάπτουσι. 362, 30. 363, 1. 1158, 18. 1155, 37. Ἀπὸ κοινοῦ τίποτε λαμβάνουσι. 1156, 28. Στιγμῆς ἀπροδεεῖς. 808, 32. 1254, 15. Οἱ δὲ Μεριστικοὶ ἀπὸ κοινοῦ καὶ αὐτοὶ λαμβάνοντες, 809, 15, πότε διασταλτέοι. 1256, 9. Οἱ δὲ αἰτιολογικοὶ ὅπως καὶ τίσι τῶν ἐγκλίσεων συντάσσονται. 1201, 31, 39. 1202, 15, 25, 34. 1203, 4, 9. Ἐπὶ τίνων λαμβάνονται. 1204, 3. Ἐπὶ δὲ τὴν ὁριστικὴν οὐδιὰ τὸν ἐγκείμενον ὁρισμὸν, διὰ δὲ τὴν τοῦ αἰτιατοῦ ἀκολούθησιν τείνουσι. 552, 29. 557, 4. Οἱ δὲ ἐπιζευκτικοὶ τίσι χρόνοις συντάσσονται. 609, 1.
Συνεκδοχὴ ὁποία τίς ἐστι. 342, 17. 675, 6.
Συνεκδοχικὴ δοτικὴ οὐ πάνυτοι ἀκριβής. 212, 30. Καὶ ὅτι διαφέρει τῆς αἰτιατικῆς. 213, 13.
Συνεκφώνησις. ζήτει Συνίζησις.
Συνέμπτωσις τῶν τοῦ λόγου μερῶν καθ' ὁ, τιοῦν τῶν παρεπομένων, ἀνεξέλεγκτος. ζήτει Λέξις, ἢ Μέρη λόγου. Καὶ τί διαφέρει παρεμπτώσεως. 137, 36.
Συνεχῆ τίνα λέγεται. 377, 33.
Συνημμένον, ὁποῖον. 92, 30. 553, 2. 1187, 36. Ὅτι ἀτελεῖς ἐννοίας συνάπτει. 87, 1. 1188, 23. Ἐκ πόσων λόγων σύγκειται. 1193, 32. Ἐλλειπτικόν. 86, 37.
Συνθέσεως τί τὸ ἴδιον. 931, 31. 935, 10. 936, 21. 937, 10. 947, 32. 948, 18. 949, 10.
Συνθέσεως ὀνομάτων τίς ἡ αἰτία. 230, 35. 870, 26.
Σύνθεσις ἡ μὲν, ἡ δ' οὐκ ἀναβιβάζει τὸν τόνον. 946, 5.

Σύνθεσις

τεῖν ἡμᾶς, οὕτω διάκεισο. τῆς δὲ μετοχῆς οὐθὲν αἰτιολογούσης. βεβαιωτικῶς δὲ, ἀσύντακτον μὲν, τοῦ ὅτι, βεβαιωτικοῦ, ὁριστικῇ τε καὶ εὐκτικῇ, οὐμὴν μετοχῇ συμφέρεσθαι πεφυκότος, οὐκ ἀδιανόητον δέ. Διὸ καὶ εἴη ἂν μᾶλλον βεβαιωτικῶς ἑρμηνευόμενον, εἰ καὶ ἀσύντακτον, ἔχοντος οὑτωσὶ τοῦ λόγου. Οὕτω διάκεισο τὴν γνώμην, οὕτω δηλαδὴ φρόνει, δόξαζε, νόμιζε, τοιαύτην γνώμην ἔχε, ὅτι οὐ μόνον τῇ τέχνῃ τὰς ψυχὰς τῶν θηρίων ἐξημεροῦμεν, ἀλλὰ καὶ τῇ παιδεύσει τε καὶ ἐπιμελείᾳ ἡμᾶς αὐτοὺς βελτιοῦμεν. ὥσπερ γὰρ ἐπὶ τῆς τέχνης περὶ τῶν θηρίων φρονεῖς, οὕτω φρόνει κἀπὶ τῆς παιδεύσεως περὶ ἡμῶν, ὅτι δηλαδὴ ὥσπερ ἡ τέχνη τὰ θηρία ἡμεροῖ, οὕτω καὶ ἡ παίδευσις δύναται τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν. καὶ ὥστε ἔτι μᾶλλον ἀνεπτυγμένως εἰπεῖν, μὴ οὕτω νόμιζε, ὅτι τὰ μὲν θηρία ἡ τέχνη ἡμεροῖ, ἡμᾶς δὲ οὐδέν ἐστι τὸ βελτιοῦν, ἀλλ' ὅτι καὶ ἡμᾶς ἡ παίδευσις δύναται εὐεργετεῖν, οὕτω νόμιζε. τὸ γὰρ οὕτω νόμιζε, καὶ τὸ οὕτω τὴν γνώμην διάκεισο, ταὐτοδύναμα λόγῳ πολυωνυμίας. ἦν δὲ ἀνωτέρῳ ἐν τῇ ἄρσει ἐπιφερόμενον τῷ νόμιζε δοξαστικῷ εἶτ' οὖν ὑπονοητικῷ ῥήματι ἀπαρέμφατον εἰδικὸν, ᾧ τὸ ὅτι βεβαιωτικὸν ἁρμόττει. (μὴ νόμιζε γάρ φησι τὴν ἐπιμέλειαν ἐν μὲν τοῖς ἄλλοις πράγμασι χρησίμην εἶναι, πρὸς δὲ ἡμᾶς μηδεμίαν ἔχειν δύναμιν.) κἂν τῇ θέσει ἄρα, φημὶ δὴ ἐν τῷ, ἀλλ' ὡς καὶ τῆς παιδεύσεως δυναμένης ἡμᾶς ὠφελεῖν, οὕτω διάκεισο τὴν γνώμην, τῆς μετοχῆς ἀπὸ εἰδικοῦ ἀπαρεμφάτου μετειλημμένης, τὸ συμφερόμενον αὐτῇ ὡς, ἀντὶ τοῦ ὅτι βεβαιωτικοῦ ἐστι, τοῦ οὐχὶ πρὸς μετοχὴν, ἀλλ' ὡς εἴρηται πρὸς ὁριστικὴν πεφυκότος φέρεσθαι. ταὐτὸν γὰρ ἂν ἦν, ὡς εἰ εἶπεν, ἀλλ' ὅτι καὶ ἡ παίδευσις καὶ ἡ ἐπιμέλεια δύναται τὴν ἡμετέραν ψυχὴν εὐεργετεῖν, οὕτω διάκεισο τὴν γνώμην.

Τέλος.





ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000073366